τὸ δὲ τοῖς ὑποπεπτωκόσι χρηστὸν εἶναι καὶ πρᾶον, μεγαλοφροσύνῃ πάντων καὶ ἡμερότητι διαφέροντος. ὥστε ὑπάρξει σοι βουληθέντι ἐν τῷ αὐτῷ τήν τε πρὸς τὸ ἀμύνασθαι καὶ τὴν εἰς τὸ σώζειν, ὡς ἂν ἐθέλῃς, ἐπιδείξασθαι μεγαλοψυχίαν. τοῦτο μέτρον ἀρκοῦν δομετιανῷ τῆς κολάσεως, τῶν προσδοκωμένων ὁ φόβος. καὶ ὧν ἄξιον οἶδεν ἑαυτὸν παθεῖν ὄντα, τούτοις μηδὲν εἰς τιμωρίαν προστεθῆναι αὐτῷ ἱκετεύομεν. καὶ γὰρ ἐκεῖνο σκόπει, ὅτι κύριοι μὲν τῶν ἠδικηκότων, πολλοὶ τῶν πρότερον ἤδη γεγόνασιν, ὧν οὐδεὶς πρὸς τοὺς ὕστερον διεπέμφθη λόγος. ἀφῆκαν δὲ τὴν ὀργὴν, οἱ φιλοσοφίᾳ τοὺς πολλοὺς ὑπεράραντες. ὧν ἀθάνατος ἡ μνήμη τῷ χρόνῳ παντὶ παραδίδονται. προσκείσθω δὲ καὶ τοῦτο τοῖς σοῖς διηγήμασι. δὸς ἡμῖν τοῖς ὑμνεῖν προαιρουμένοις τὰ σὰ, τὰς ἐν τοῖς ἄνω χρόνοις ᾀδομένας φιλανθρωπίας ὑπερβαλέσθαι. οὕτω καὶ κροῖσος τῷ παιδοφόνῳ τὴν ὀργὴν ἀφεῖναι λέγεται, ἑαυτὸν παραδόντι εἰς τιμωρίαν. καὶ κῦρος ὁ μέγας αὐτῷ τούτῳ τῷ κροίσῳ φίλος γενέσθαι μετὰ τὴν νίκην. τούτοις σε συναριθμήσομεν. καὶ ὅση δύναμις ἡμετέρα, ταῦτα ἀναγορεύσομεν, εἴπερ μὴ μικροί τινες εἶναι παντάπασιν ἀνδρὸς τοσούτου κήρυκες νομισθείημεν· ἐκεῖνο δὲ ἐπὶ πᾶσιν εἰπεῖν ἀναγκαῖον, ὅτι τοὺς ὁποιοῦν ἀδικοῦντας, οὐχ ὑπὲρ τῶν ἤδη γεγενημένων κολάζομεν (τίς γὰρ ἂν γένοιτο μηχανὴ μὴ γεγενῆσθαι τὰ πεπραγμένα) ἀλλ᾽ ὅπως ἂν ἢ αὐτοὶ πρὸς τὸ λοιπὸν ἀμείνους γένοιντο, ἢ τοῖς ἑτέροις, ὑπάρξειαν τοῦ σωφρονεῖν παράδειγμα. τούτων τοίνυν οὐδετέρου δεῖν αὐτοῖς ἐν τῷ παρόντι φήσαιμι. αὐτός τε γὰρ καὶ μετὰ τὸν θάνατον, τούτων μεμνήσεται. τοὺς δὲ λοιποὺς τεθνάναι τῷ δέει πρὸς τοῦτον ἀφορῶντας οἴομαι· ὥσθ᾽ ὅπερ ἂν προσθῶμεν τῇ τιμωρίᾳ, τὴν ὀργὴν ἡμῶν ἀποπιμπλάναι δόξομεν. ὃ πολλοῦ δεῖν ἐπὶ σοῦ ἀληθὲς εἶναι φαίην ἂν ἔγωγε. καὶ οὐδὲν ἂν τούτων τῶν λόγων προήχθην εἰπεῖν, εἰ μὴ μείζονα τῷ διδόντι τὴν χάριν ἑώρων ἢ τοῖς λαμβάνουσιν. οὐδὲ γὰρ ὀλίγοις ἔσται καταφανὴς ἡ μεγαλοψυχία τοῦ τρόπου. καππαδόκαι γὰρ ἅπαντες ἀποσκοποῦσι τὸ μέλλον. οἷς δεξαίμην ἂν μετὰ τῶν λοιπῶν ἀγαθῶν τῶν προσόντων σοι καὶ ταύτην ἀπαριθμήσασθαι· ὀκνῶ δὲ τοῦ γράφειν παύσασθαι. ἡγούμενός μοι ζημίαν οἴσειν τὸ παρηθέν· τοσοῦτόν γε μὴν προσθήσω ὅτι πολλῶν ἐπιστολὰς ἔχων ἐξαιτουμένων αὐτόν, πασῶν ἡγήσατο προτιμοτέραν εἶναι τὴν παρ᾽ ἡμῶν οὐκ οἶδ᾽ ὅπως μαθὼν. εἶναί τινα ἡμῶν λόγον, παρὰ τῇ σῇ τελειότητι. ὅπως οὖν μήτε αὐτὸς ψευσθῇ τῶν ἐλπίδων, ἃς ἐφ᾽ ἡμῖν ἔχει, καὶ ἡμῖν ὑπάρξῃ πρὸς τοὺς ἐνταῦθα σεμνολογεῖσθαι, παρακαλῶ σε δέσποτα ἀνυπέρβλητε, ἐπινεῦσαι πρὸς τὴν αἴτησιν. πάντων γὰρ οὐδενὸς χεῖρον τῶν πώποτε φιλοσοφησάντων, ἐπίσκεψαι τὰ ἀνθρώπινα· καὶ οἶδας ὡς καλὸς θησαυρὸς πᾶσι τοῖς δεομένοις ὑπουργεῖν προαποκείμενος.

Βασίλειος Εὐσταθίῳ φιλοσόφῳ.

Ἀπειρηκότα με ἤδη πρὸς τὰς παρὰ τῆς λεγομένης τύχης ἐπηρείας, παρ' ἧς ἀεί τι πρὸς τὸ μὴ συγγενέσθαι σοι ἐμπόδιον γέγονε, θαυμαστῶς πως ἀνεκαλέσω καὶ παρεμυθήσω τοῖς γράμμασι, καὶ κάρπος ἤδη καὶ κατ' ἐμαυτὸν ἔστρεφον, μή ποτε ἀληθές ἐστι τὸ παρὰ τῶν πολλῶν θρυλλούμενον, ὅτι ἀνάγκη τίς ἐστι καὶ εἱμαρμένη ἡ καὶ τὰ μικρὰ καὶ τὰ μείζω τῶν ἡμετέρων ἄγουσα, αὐτοὶ δὲ οὐδενὸς ἐσμὲν οἱ ἄνθρωποι κύριοι. ἢ εἰ μὴ τοῦτο τύχη τις πάντως τὸν ἀνθρώπινον ἐλαύνει βίον καὶ τούτων πολλὴν συγγνώμην ἕξεις τῶν λογισμῶν, ἐπειδὰν τὰς αἰτίας, ὑφ' ὧν εἰς αὐτοὺς προήχθην, μάθῃς. ἐγὼ κατέλιπον τὰς Ἀθήνας κατὰ φήμην τῆς σῆς φιλοσοφίας, ὑπεριδὼν τῶν ἐκεῖ. παρέδραμον δὲ τὴν ἐφ' Ἑλλησπόντῳ πόλιν ὡς οὐδεὶς Ὀδυσσεὺς Σειρήνων μέλη. καὶ τὴν Ἀσίαν ἐθαύμαζον μὲν, πρὸς δὲ τὴν μητρόπολιν τῶν ἐν αὐτῇ καλῶν ἠπειγόμην. ἐπειδὴ δὲ κατέλαβον τὴν πατρίδα, καὶ σὲ ἐν αὐτῇ τὸ μέγα ὄφελος ζητήσας οὐχ εὗρον, ἐντεῦθέν μοι λοιπὸν αἱ πολλαὶ καὶ ποικίλαι ἀφορμαὶ τῶν ἀδοκήτων ἐπιγεγόνασι κωλυμάτων. ἢ γὰρ ἀσθενεῖν πάντως ἔδει καὶ διὰ τοῦτο ἀπολείπεσθαι, ἢ ἐπὶ τὴν ἑῴαν βαδίζοντι συναπαίρειν μὴ δύνασθαι. ὀψὲ δὲ ποτε μυρίοις πόνοις τὴν Συρίαν καταλαβόντα, οὐκ ἔχειν συνεῖναι τῷ φιλοσόφῳ πρὸς Αἰγυπτίους ἀπάραντι. πάλιν οὖν ἔδει Αἴγυπτόνδε ἰέναι δολιχὴν ὁδὸν ἀργαλέην τε. καὶ οὐδὲ ἐνταῦθα τὸ σπουδαζόμενον ἔχειν. ἀλλ' οὕτω δύστηνος ἦν, ὥστε ἢ τὴν ἐπὶ Πέρσας βαδίζειν ἔδει καὶ συμπροϊέναι εἰς ὅ,τι μηκιστὸν τῆς βαρβάρων· ἦλθες γὰρ κἀκεῖσε. τοσαύτη τις ἦν φιλονεικία τοῦ δαίμονος, ἢ αὐτοῦ καθῆσθαι ἐπὶ τῆς Ἀλεξάνδρου, ὅπερ οὖν καὶ συνέβη. δοκῶ γάρ μοι εἰ μὴ ὥσπερ τι θρέμμα θαλλῷ προδεικνυμένῳ ἑπόμενος ἀπηγόρευσα, ἐπέκεινα ἄν με καὶ Νύσσης τῆς Ἰνδικῆς ἐλθεῖν ἀγόμενον. καὶ εἴ τι ἔσχατον τῆς καθ' ἡμᾶς οἰκουμένης χωρίον, καὶ τούτῳ ἐπιπλανηθῆναι. καὶ τί δεῖ τὰ πολλὰ λέγειν· ἀλλὰ τὸ τελευταῖον νῦν ἐπὶ τῆς αὐτῆς χώρας διάγοντι συγγενέσθαι οὐκ ἐξεγένετο, μακραῖς ἀρρωστίαις ἐξειργομένῳ. αἳ εἰ μὴ τοῦ γε λοιποῦ μετριώτεραι γένοιντο, οὐδὲ κατὰ τὸν χειμῶνα τῇ λογιότητί σου συνεσόμεθα· ταῦτα οὐχ εἱμαρμένης ἔργα ὡς ἂν αὐτὸς εἴποις; ταῦτα οὐκ ἀνάγκης. ταῦτα οὐχὶ μικροῦ δεῖν καὶ τοὺς τῶν ποιητῶν ἐπὶ Ταντάλῳ μύθους ὑπερβάλλεται; ἀλλ' ὅπερ ἔφην ῥάων γέγονα τοῖς γράμμασι καὶ οὐκ ἔτι ἐπὶ τῆς αὐτῆς εἰμὶ γνώμης. φημὶ δὲ χρῆναι, διδόντι μὲν τὰ ἀγαθὰ, τῷ θεῷ χάριν εἰδέναι. ταμιευομένῳ δὲ μὴ δυσχεραίνειν· καὶ δὴ οὖν καὶ ἡμῖν εἰ μὲν παράσχοιτο συνεῖναί σοι, ταῦτ' ἄριστά τε ὁμοῦ καὶ ἥδιστα ἡγησόμεθα. εἰ δὲ ἀναβάλλοιτο, πρᾴως οἴσομεν τὴν ζημίαν. ἄμεινον γάρ που πάντως ἢ ὡς ἂν ἡμεῖς προελοίμεθα, διοικεῖ τὰ ἡμέτερα.

Baſilius Euſtathio philoſopho.

VAriis me iam multiſque fortunæ, quod dicunt, fraudibus iactatum, quæ ſemper impedimentum aliquod, quò minus te conuenire poſſem, obiecit, mirificè refocillaſti atque conſolatus es literis tuis. Etenim iam ceperam in animo mecum verſare, vtrum verum eſſet, quod vulgò dicitur, eſſe neceſſitatem quandam atque fatum, quod in rebus humanis tam magnis quàm exiguis dominaretur, & nos omnium ex noſtra voluntate eſſemus impotes: an verò fortuna hominum vitam gubernaret. Atque his meis cogitationibus facilè dabis veniam, ſi cauſſas, quæ me in eas impulerint, audiueris. Ego per motus tuæ ſapiētiæ fama, relinquebam Athenas, omnibus quæ illic vigebant poſthabitis. prætercurrebam autem vrbem Helleſponti, celerius quàm nullus Vlyſſes Sirenum carmina. atque Aſiam admirabar. Ad eius verò Metropolim, ob ipſius ornamenta præſtantiſſima feſtinabā. Cùm verò patriam attigiſſem, téque clariſſimum virum in ea quærerem non inueni. Hinc mihi multiplices inſperatorum acciderunt impedimentorum cauſſæ dum partim morbus grauiſſimus me implicatum à te abſtraheret, partim non poſſem tecum verſus orientem vnà commigrare. Poſtea verò cùm aliquando ſed ſerò & laboribus innumeris Syriam aſſecutus eſſem, conueniendi philoſophum, quippe qui ad Ægyptios diſceſſiſſet poteſtas non fieret. Rurſum igitur lōgam aſperámque viam in Ægyptum oportuit cōtendere: Sed nec ibi, quāobrem venerā, id contingere, potuit. Adeò verò infortunatus eram, vt aut ad Perſas tranſeundum atque longiſſimè in Barbarorum oras ſimul proficiſcendum eſſet. Nam & illuc veniſti, tanta erat fortunæ inuidia: aut ibi vel in Alexandri ciuitate quod & accidit manendū eſſet. Niſi enim, vt bos oſtenſum gramen ſequi deſtitiſſem video me vltra carceres Indiæ venturum, & ſi vlla reliqua fuiſſet vltima in orbe noſtro regio, ad eā oberraturū fuiſſe. Et quid multis opus eſt? Poſtremò nunc in eadē terra verſantes tuo commertio frui diuturna, atq; aduerſa valetudo me prohibent, quæ niſi moderatior & remiſſior fiat, neq; per hyemem tuæ ſapientiæ nobis copia dabitur. Hæc verò etiā tu ipſe fato geſta non eſſe fateare? Hæc non neceſſitate, Hæc non fabularum quæ de Tantalo poëtæ finxerunt, excedere varietatem & fidem? Verùm vt initio dixi, tuis literis ſum mitigatus, neq; in eadem adhuc ſententia perſiſto: Sed oportere dico, ſi quod beneficium acciderit, id acceptum Deo referre, eique gratiam habere, neque moleſto animo diſpēſationem illius pati, proinde ſi tui cōueniendi nobis facultatem cōceſſerit gratū id erit atque iucundum: ſui moram obiecerit, æquo animo diſpendium feremus: ſiquidem noſtras res melius & vtilius, quàm nos propoſuerimus, regit atq; gubernat vniuerſas.

Ἰουλιανῷ.

Πῶς σοι τὸν ἐν τῷ μέσῳ τοῦτον χρόνον τὸ σῶμα ἔχει. εἰ καθαρῶς ἀπέλαβες τῆς χειρὸς τὴν ἐνέργειαν. πῶς δὲ τὰ λοιπὰ τοῦ βίου πράγματα· εἰ κατὰ γνώμην χωρεῖ σοι, ὥσπερ εὐχόμεθα,

Iuliano.

QVomodo verò corpus tuum interea habuit? Num omnino vires manus recuperaſti. Quomodò verò, reliqua vita? Satin' ex ſententia ſuccedunt omnia, quemadmodum optamus,

& tua

& tua mente conſilioque dignum eſt. Etenim quibus ad leuitatem flexibilis & prona mens eſt, harum autem quoque inſtabilem atque inconſtantem eſſe, nemo miratur. Quorum vero ſententia fixa, ſibi perpetuò conſtans atque eadem eſt, eos vitam etiam conſiliis agere conſentaneam, eſt veriſimile. Nam in gubernatoris manu poſitum quidem non eſt, tranquillitatem aquæ, cum velit imponere. Nos verò vitam extra fluctus & tempeſtates conſtituere nullo negotio poſſumus, ſi perturbationes, quæ ex intimis oriuntur affectibus reprimamus, & animum omnibus extrinſecus aduenientibus excelſiorem geramus. Nam neque infortunia neque morbi, neque vlla vitæ incommoda, bonum fortemque virum. Opprimunt donec animum deo morigerantem & obſequentem præbet, vt, & perinde re futura, & turbines in terra concitatos facile ſuperare poſſit. Nam qui vitæ curis & anxietatibus impliciti ſunt, ij perinde, vt aues præpingues quæ fruſtra gerunt alas, deorſum cum pecoribus feruntur. Te verò tantum permittentibus: negotiis cognouimus, quantum, qui in pelago ſeſe inuicem tranſeunt: attamen, quoniam ex vngula totum leonem iudicare licet, breui experientia ſatis te nobis cognitum putamus. Quare valde laboramus, vt apud noſtrum nomen ſit te alicuius momenti, neque ex animo tuo vnquam elabantur, ſed in perpetua ſit in fixum memoria. Signum autem memoriæ fuerint literę, quas quo frequentiores ad nos miſeris, eò nobis facies gratius.

Euſtathio Medico.

SI ſunt in aliquo numero noſtræ literæ, nullum tempus prætermittito, quin ad nos, & ad ſcribendum excites. Nos enim perſpicuam lætitiam ex ſapientum virorum & amantium dominum ſcriptis capimus. An verò in nobis ſit aliquid operæ precium inuenite, veſtrum eſt ex iis qui hinc ad nos erunt cognoſcere. Si igitur negotiorum multitudine non impediremur, non tam ſedulò ab illa ſcribendi ſuauitate nos contineremus. At uos, qui leuioribus curis eſtis occupati, quantum fieri poteſt, ſæpiſſime nos literis veſtris recreate. Etenim puteos ferunt exhauriendo meliores reddi. Videntur autem tuæ ex Medicina deſumptæ admonitiones in vanum abire non quod nos ferrum non adhibeamus, ſed quod illi emanans ſubipſis abhorreant & detrectent. Itaque Stoicus, inquit, *Quoniam res non ita eueniunt vt volumus*, quemadmodum eueniunt ſic velimus. Ego verò ſententiam rebus accommodandam eſſe nõ probo: Sed tamen vt nonnunquam præter voluntatem aliquis, quod neceſſitas imperat, faciat, id vero non improbo. Neque enim vos medici ægrotantibus adultiones & alios dolores ex voluntate admonetis, ſed perſæpe tamen, cum difficultas rei poſtulat, facitis. Neque nugantes libentibus animis, quæ naui vehuntur onera, eiiciunt: Sed vt naufragium euadant, patiuntur erectionem fieri, vitam cum inopia morti præponentes. Sic ſtatue nos quoque ſeparationem defectorum tolerare quidem ægrè &

καὶ ὡς ἔστιν ὀφειλόμενον τῇ σῇ προαιρέσει. καὶ γὰρ οἷς μὲν εὔκολος πρὸς μεταβολὴν ἡ διάνοια, τούτοις οὐδὲν ἀπεικὸς καὶ τὸν βίον εἶναι μὴ τεταγμένον. οἷς δὲ πέπηγεν ἡ γνώμη καὶ ἀεὶ ἕστηκε καὶ ἡ αὐτή, τούτοις ἀκόλουθον συμφώνως τῇ προαιρέσει τὴν ζωὴν διεξάγειν. τῷ ὄντι γὰρ κυβερνήτῃ μὲν, οὐκ ἔξεστι γαλήνην ποιεῖν ὅτε βούλεται· ἡμῖν δὲ ἀκύμονα ἑαυτοῖς καταστῆσαι τὸν βίον καὶ πάνυ ῥᾴδιον, ἐὰν τοὺς ἔνδοθεν ἐκ τῶν παθῶν ἐπανισταμένους ἡμῖν θορύβους κατασιγάσωμεν. καὶ τῶν ἔξωθεν προσπιπτόντων ὑψηλοτέραν τὴν γνώμην καταστησώμεθα. καὶ γὰρ οὔτε ζημίαι, οὔτε ἀρρωστίαι, οὔτε αἱ λοιπαὶ δυσχέρειαι τοῦ βίου, ἅψονται τοῦ σπουδαίου, ἕως ἂν ἔχῃ τὴν διάνοιαν τῷ θεῷ συμπεριφερομένην, καὶ τὸ μέλλον ἀποσκοποῦσαν· καὶ τὰς χαμόθεν ἐγειρομένας ζάλας κούφως καὶ ἀσάλως ὑπεραίρουσαν. ἐπεὶ οἵγε σφοδρῶς ταῖς τοῦ βίου μερίμναις κατειλημμένοι, οἷον ὄρνιθες πολύσαρκοι νικῶν τὸ πτερὸν ἔχοντες, κάτω που σύρονται μετὰ τῶν βοσκημάτων. σὲ δὲ τοσοῦτον ὑπὸ τῶν πραγμάτων ἰδεῖν ἐπετράπημεν, ὅσον οἱ ἐν πελάγει ἀλλήλοις παραμειβόμενοι. πλὴν ἀλλ᾽ ἐπειδὴ καὶ ἐξ ὄνυχος ἔστιν ὅλον γνωρίσαι τὸν λέοντα, ἐκ βραχείας τῆς πείρας ἡγούμεθά σε ἱκανῶς ἐγνωκέναι. ὅθεν καὶ μέγα ποιούμεθα τὸ ἐν λόγῳ σε τινὶ τὰ καθ᾽ ἡμᾶς τίθεσθαι, καὶ μὴ ἀπορρυῆναί σου τῆς διανοίας, ἀλλὰ διηνεκῶς σοι συνεῖναι διὰ τῆς μνήμης. δεῖγμα δὲ μνήμης τὸ γράφειν. ὅπερ ὅσον ἂν συνεχέστερον ποιῇς, τοσούτῳ πλέον ἡμῖν χαριῇ.

Εὐσταθίῳ ἰατρῷ.

Εἴ τι ὄφελος ἡμετέρων γραμμάτων, μηδένα χρόνον διαλίπῃς ἐπιστέλλων ἡμῖν, καὶ διεγείρων ἡμᾶς πρὸς τὸ γράφειν. αὐτοὶ μὲν γὰρ προδήλως ἡδίους γινόμεθα, ἐντυγχάνοντες ἐπιστολαῖς συνετῶν ἀνδρῶν ἀγαπώντων τὸν κύριον. εἰ δὲ καὶ αὐτοί τι ἄξιον σπουδῆς εὑρίσκετε παρ᾽ ἡμῖν, ὑμέτερον εἰδέναι τῶν ἐντυγχανόντων. εἰ μὲν οὖν μὴ ὑπὸ τοῦ πλήθους τῶν ἀσχολιῶν ἀπηγόμεθα, οὐκ ἂν τῆς ἐκ τοῦ γράφειν συνεχῶς εὐφροσύνης ἀπειχόμεθα. ὑμεῖς δὲ οἷς ἐλάττους αἱ φροντίδες, ὁσάκις ἂν οἷόν τε ᾖ, παρακαλεῖτε ἡμᾶς τοῖς γράμμασι. καὶ γὰρ τὰ φρέατα φασὶν ἀντλούμενα, βελτίω γίνεσθαι. ἐοίκασι δέ σοι αἱ ἐξ ἰατρικῆς παραινέσεις εἰς πάρεργον χωρεῖν, οὐχ ἡμῶν ἐπαγόντων τὸν σίδηρον. ἀλλ᾽ ἑαυτοῖς ἐναπτίλοντας τὸ ἀπαξιωμένον. ὁ μὲν οὖν τοῦ στωϊκοῦ λόγος ἐπειδή φησι μὴ γίνεται τὰ πράγματα ὡς βουλόμεθα, ὡς γίνεται βουλώμεθα· ἐγὼ δὲ τὴν μὲν γνώμην τοῖς πράγμασι συγκαταπίπτειν οὐ καταδέχομαι. τὸ δὲ ἀβουλήτως τινὰς ποιεῖν τὸ ἀναγκαῖον, οὐκ ἀποδοκιμάζω. οὔτε γὰρ ὑμῖν τοῖς ἰατροῖς τὸ καίειν τὸν ἄρρωστον, ἢ ἄλλως ποιεῖν ἀλγεῖν, βουλητόν. ἀλλ᾽ οὖν καταδέχεσθε πολλάκις τῇ δυσχερείᾳ τοῦ πάθους ἑπόμενοι. οὔτε οἱ πλέοντες ἑκουσίως ἐκβάλλουσι τὰ ἀγώγιμα. ἀλλ᾽ ὥστε διαφυγεῖν τὰ ναυάγια, ὑφίστανται τὴν ἐκβολήν, τὸν ἐν πενίᾳ βίον, τοῦ ἀποθανεῖν προτιμῶντες. ὥς τι καὶ ὑμᾶς οἴου ἀλγεινῶς

μὲν καὶ μετὰ μυρίων ὀδυρμῶν φέρειν τὸν χωρισμὸν τῶν ἀγαπωμένων. φέρειν δ᾽ οὖν ὅμως. ἐπειδὴ τοῦ θεοῦ καὶ τῆς ἐπ᾽ αὐτὸν ἐλπίδος, οὐδὲν τοῖς ἀληθείας ἐρασταῖς προτιμότερον.

Βασίλειος Διοδώρῳ περὶ τοῦ πῶς χρὴ συντάσσειν τὰς βίβλους.

ΕΝέτυχον τοῖς ἀποσταλεῖσι βιβλίοις παρὰ τῆς τιμιότητός σου. καὶ τῷ μὲν δευτέρῳ ὑπερήσθην, οὐ διὰ τὴν βραχύτητα μόνον, ὡς εἰκὸς ἦν τὸν ἀργῶς πρὸς πάντα καὶ ἀσθενῶς λοιπὸν διακείμενον, ἀλλ᾽ ὅτι πυκνόν τε ἅμα ἐστὶ ταῖς ἐννοίαις καὶ διευκρινῶς ἐν αὐτῷ ἔχουσιν αἵ τε ἐνστάσεις τῶν ὑπεναντίων καὶ αἱ πρὸς αὐτὰς ἀπαντήσεις. καὶ τὸ τῆς λέξεως ἁπλοῦν καὶ ἀκατάσκευον, πρέπον ἔδοξέ μοι προθέσει χριστιανοῦ, οὐ πρὸς ἐπίδειξιν μᾶλλον ἢ κοινὴν ὠφέλειαν γράφοντος. τὸ δὲ πρότερον, τὴν μὲν δύναμιν ἔχον τὴν αὐτὴν ἐν τοῖς πράγμασι, λέξει δὲ πολυτελεστέρᾳ καὶ σχήμασι ποικίλοις καὶ διαλογικαῖς χάρισι κεκομψευμένον, πολλοῦ μοι ἐφάνη καὶ χρόνου πρὸς τὸ διεξελθεῖν, καὶ πόνου διανοίας πρὸς τὸ καὶ συλλέξαι τὰς ἐννοίας καὶ παρακατασχεῖν αὐτὰς τῇ μνήμῃ δεόμενον. αἱ γὰρ ἐν τῷ μεταξὺ παρεμβαλλόμεναι διαβολαὶ τῶν ὑπεναντίων, καὶ συστάσεις τῶν ἡμετέρων, εἰ καὶ γλυκύτητά τινας ἐπεισάγειν δοκοῦσι διαλεκτικὰς τῷ συγγράμματι, ἀλλ᾽ οὖν τὴν σχολὴν καὶ διατριβὴν ἐμποιεῖν, διασπῶσι μὲν τὸ συνεχὲς τῆς ἐννοίας, καὶ τῶν ἐναγωνίων δὲ λόγων τὸν τόνον ὑποχαυνοῦσιν· ἐκεῖνο γὰρ πάντως συνειδέ σου ἡ ἀγχίνοια. ὅτι καὶ τῶν ἔξωθεν φιλοσόφων οἱ τοὺς διαλόγους συγγράψαντες, ἀριστοτέλης μὲν καὶ θεόφραστος, εὐθὺς αὐτῶν ἥψαντο τῶν πραγμάτων διὰ τὸ συνειδέναι ἑαυτοῖς τῶν πλατωνικῶν χαρίτων τὴν ἔνδειαν· πλάτων δὲ τῇ ἐξουσίᾳ τοῦ λόγου, ὁμοῦ μὲν τοῖς δόγμασι μάχεται, ὁμοῦ δὲ καὶ παρακωμῳδεῖ τὰ πρόσωπα. θρασυμάχου μὲν τὸ θρασὺ καὶ ἰταμὸν διαβάλλων. ἱππίου δὲ τὸ κοῦφον τῆς διανοίας καὶ χαῦνον. καὶ πρωταγόρου τὸ ἀλαζονικὸν καὶ ὑπέρογκον. ὅπου δὲ ἀόριστα πρόσωπα ἐπεισάγει τοῖς διαλόγοις, τῆς μὲν εὐκρινείας ἕνεκεν τῶν πραγμάτων, κέχρηται τοῖς προσδιαλεγομένοις. οὐδὲν δὲ ἕτερον ἐκ τῶν προσώπων ἐπεισκυκλεῖ τὴν ὑπόθεσιν. ὅπερ ἐποίησεν ἐν τοῖς νόμοις. δεῖ οὖν καὶ ἡμᾶς τοὺς οὐ κατὰ φιλοτιμίαν ἐρχομένους ἐπὶ τὸ γράφειν, ἀλλ᾽ ὑποθήκας καταλιμπάνειν ὠφελίμων λόγων τῇ ἀδελφότητι προῃρημένους, ἐὰν μέν τι πᾶσι προκεκηρυγμένον ἐπὶ αὐθαδείᾳ τρόπου πρόσωπον ὑποβαλλώμεθα, χρῆναί τινα καὶ ἀπὸ τῆς τοῦ προσώπου ποιότητος παρεμβάλλειν τῷ λόγῳ, εἴπερ ὅλως ἐπιβάλλει ἡμῖν διαβάλλειν ἀνθρώπους τῶν πραγμάτων ἀφεμένους. ἐὰν δὲ ἀόριστον ᾖ τὸ διαλεγόμενον, αἱ πρὸς τὰ πρόσωπα διαστάσεις, μὲν συνάφειαν διακόπτουσι. πρὸς οὐδὲν δὲ πέρας χρήσιμον ἀπαντῶσι. Ταῦτ᾽ εἶπον ἵνα δειχθῇ, ὅτι οὐκ εἰς κόλακος χεῖρας ἀπέστειλας τοὺς πόνους, ἀλλ᾽ ἀδελφῷ τῷ γνησιωτάτῳ ἐκοινώνησας τῶν καμάτων. εἶπον δὲ οὐ πρὸς ἐπανόρθωσιν τῶν γεγραμμένων, ἀλλὰ πρὸς φυλακὴν τῶν μελλόντων. πάντως γὰρ ὁ τοσαύτῃ περὶ τὸ γράφειν ἕξει καὶ σπουδῇ κεχρημένος, οὐκ ἀποκνήσει γράφων. ἐπειδὴ καὶ οἱ τὰς ὑποθέσεις παρέχοντες οὐκ ἀπολήγουσιν.

ἡμῶν

eum immẽſis gemitibus: attamen ferre. Siquidem veritatis amantibus, Deo atque ſpe quæ in ipſum ſtat intenta, nihil eſt antiquius aut prius.

Baſilius Diodoro quemadmodum conſcribere libros oporteat.

ACcepi libros, quos tua dignitas miſerat, atque ſecundus incredibili quadam voluptate me [illegible]auit, non propter breuitatem ſolum, quod ea me qui in poſterum tædio laboréque facile frangor, verumetiam ob crebras ſententias & quod acutiſſimo iudicio ſunt meo aduerſariorum obiectiones, & ad has quaſi occurſiones ſunt introductæ. Item dictio ſimplex, & minimè apparata conuenit cum argumento Chriſtiani, qui non tam oſtentationis, quàm communis vtilitatis cauſſa ſcribit. prior verò quoniam etiamſi vim in rebus eandem haberet, tamen oratione ornatiore, variiſque figuris, & gratiis collocutoris nimium erat affectatus, lõgo mihi videbatur & tempore ad perlegendum & labore cogitationis ad colligendas ſententias atque eaſdem memoriæ commendandas opus habere. Nam quæ interferuntur criminandorum aduerſariorũ gratia, noſtræque partis cõmendandæ, quanquam videntur quandam in colloquendo ſuauitatem ſcriptis inducere: tamen quia tardationem atque moram afferunt, ſententiæ perpetuitatem diſturbant, ſermoniſque pugnatorij tenorem diſiciunt & laxant. Nam illud tua probe nouit intelligentia, quod ex gentilibus etiam philoſophus, qui dialogos conſcripſerunt, Ariſtoteles & Theophraſtus, protinus ad rẽ ipſam ſint aggreſſi, quoniam Platonis gratiarum inopiam apud ſeſe cernerent. Plato verò ſermonis vi, ſimul dogmata pugnat, ſimul vero perſonas exagitat: Thraſymachi confidentiam & temeritatem inſectans, Hippiæ lenitatem & inertiam, Protagoræ iactantiam & ſuperbiam. Vbi vero perſonas indefinitas introducit, perſpicuitatis iudicij quæ cauſſa, tantum rerum ipſarum contentionibus vtitur, neque quicquam argumentis immiſcet ex perſonarum conditione: id quod fecit de Legibus. Quamobrem & nos, qui nõ arrogantia vel ambitione adducti ſcribimus, ſed fraternitati documenta relinquere fructiferarum orationum volumus, ſi quam perſonam infamem cõtumacia ſumimus, oportet etiam aliqua ex qualitate perſonę quædam orationi intexere, ſiquidem omnino prodeſt rebus relictis ad hominum inſimulationem conuerti. Sin verò quod de agatur, id infinitum ſit, perſonarum intermixtæ criminationes & laudes, cohærentiam diſtrahunt, neque ſunt ad vllum finem vtiles. Hæc volui dicere, vt certum haberes te non in aſſentatoris manus labores tuos tradidiſſe, ſed ſyncero fratri eos cõmunicaſſe. Neque vero ad correctionem eorũ quæ ſcripta ſunt, dixi, Sed ad exhibẽdã in iis quæ ſcribẽtur adhuc cautionẽ. Prorſus enim à ſcribẽdo non ceſſabit, qui tantã in ſcribẽdo facultate diligentiáque ſit vſus, quãdoquidẽ nec ij qui materiã ſuppeditãt, non deſiſtunt.

Nobis verò legere veſtra tantummodo ſatis erit. Vt autem ipſi ſcribamus tam fieri non poſſe auſim affirmare, quàm vt valeamus, aut à negotiis vel minimam relaxationem habeamus. Miſi autem nunc per Anagnoſtam priorem librum, quem quantum fieri potuit, percucurri: ſecundũ verò retinui, volẽs eum tranſcribere, cùm hactenus neminem habere potuerim, qui celeriter ſcriberet. Nam ad eam vſque paupertatem, Cappadocarum diuitiæ ſunt redactæ.

Leontio Sophiſtæ.

RAræ quidem tibi à nobis redduntur literæ, nõ tamen rariores, quàm iſthinc nobis, idq; cùm multi, ſempérque è veſtra regione ad nos proficiſcantur, quibus ſi omnibus ordine literas committeres, nihil impediret, quò minùs tecum eſſe vnà & quaſi, præſentes, amicitiæ fructum capere videremur. Sed quid non mittis? quandoquidem nihil aliud quàm ſcribere munus eſt & officium ſophiſtæ. Quòd ſi manũ pigritia detinet, neque tamen ipſum neceſſe erit ſcribere. Nam alius tibi miniſtrabit: ſola verò requiritur lingua, quæ ſi etiã nobiſcum non diſſeruerit, tamen alicui viri, qui preſtò fuerit, loquetur, & ſi nemo adfuerit, ſecum ipſa diſſeret, neque tacebit omnino tam ſophiſtica & attica, non magis quàm luſciniæ, cùm eas ver ad concinendum adhortatur. Nobis verò negotiorũ moleſtia, in qua iam verſamur, ſi fortè quid etiam hoc ad excuſandam ſcribendi raritatem faciet, & quaſi ſordes orationis ex conſuetudine tædioſa cum Idiotis, contractæ, non iniuriæ me deterrent, ne vos alloquar tantos ſophiſtas. Qui, niſi dignum aliquid veſtra ſapientia audiatis, moleſtè patimini atque ægrè toleratis. Te verò contrà quodammodo, quauis occaſione arrepta, vocẽ tuam impertire par eſt, qui ad dicendum omnium quos quidem noui Græcorum ſis inſtructiſſimus. Nam celeberrimos, vt exiſtimo quoſque inter vos cognitos habeo. Quamobrem cur ſileas nullam excuſationem potes adferre. Atque hæc hactenus. Miſi etiam quæ ad Eunomium ſcripſimus, quæ ſiue ludum velis appellare, ſiue ludo, paulò ſeriora, tibi iudicandum relinquo qui quanquam in rebus tuis non magnoperè indiges: tamen haud indecorum & inutile tibi putamus aduerſus quoſuis obuios peruerſores fore telum, non quod viribus & neruis ſcriptorum confidamus tantùm, ſed quòd certò ſcimus te ex paucis ſubmonſtratis, alia plurima inuenire facilè poſſe. Quòd ſi tibi quid infirmius videbitur, quàm vt eius ſit aliquis vſus, non committes, vt non redarguas. Hoc enim ab adulatore maximè differt amicus, quòd ille ad voluptatem gratiámque loquatur, hic verò ne odioſa quidem & inuiſa non proferat.

Baſilius Eunomio.

QVi facilem eſſe dicit rerum inuentionem, is cùm via quadam & ordine per rerum cognitionem ſuum animum intellectúmque traduxit, atque ſic in minoribus & procliuioribus ſe exercuit, per compræhenſionem eorum,

γινώσκειν τὰ ὑμέτερα. τοῦ δὲ δυνηθῆναι γράφειν, τοσοῦτον ἀποδέομεν, ὅσον μικροῦ δεῖν λῆξαι καὶ τοῦ ὑπάρχειν. ἢ καὶ τὴν μετρίαν σχολὴν ἄγειν ἀπὸ τῶν πραγμάτων. ἀπέστειλα δὲ νῦν διὰ τοῦ ἀναγνώστου τὸ μεῖζον καὶ πρότερον, ἐπελθὼν αὐτὸ ὡς ἐμοὶ δυνατόν. τὸ δὲ δεύτερον παρακατέσχον, βουλόμενος αὐτὸ μεταγράψαι, καὶ μὴ εὐπορεῖν πως τινὸς τῶν εἰς τάχος γραφόντων. μέχρι γὰρ τοσούτου ἦλθε πενίας τὰ ἐπίφθονα Καππαδοκῶν.

Λεοντίῳ σοφιστῇ.

ΧΡόνια μὲν σοι καὶ τὰ παρ' ἡμῶν γράμματα. οὐ μὴν χρονιώτερα τῶν αὐτόθεν. καίτοι πολλῶν καὶ συνεχῶς ἐπιδημησάντων ἡμῖν ἀπὸ τῆς ὑμετέρας. οἷς εἰ πᾶσιν ἐφεξῆς γράμματα ἐπετίθεις, οὐδὲν ἦν τὸ κωλῦον αὐτοῖς σοι δοκεῖν συνεῖναι ἡμᾶς. καὶ οἱονεὶ παρόντας καὶ συνόντας ἀπολαύειν. οὕτω συνεχὲς ἦν τὸ πλῆθος τῶν πρὸς ἡμᾶς ἀφικνουμένων. ἀλλὰ τί οὐκ ἐπιστέλλεις; καίτοι γε οὐδὲν ἔργον σοφιστοῦ ἢ τὸ γράφειν. μᾶλλον δὲ εἰ καὶ τῆς χειρὸς ἔχοις ἀργῶς, οὐδὲ γράφειν δεήσει. ἄλλος γάρ σοι διακονήσει. γλώττης δὲ χρεία μόνης. ἣ κἂν ἡμῖν μὴ διαλέγηται, ἀλλ' ἑνί γε πάντως τῶν συνόντων λαλήσει. κἂν μηδεὶς παρῇ, ἐφ' ἑαυτῆς διαλέξεται. σιωπήσει δὲ οὐδαμῶς σοφιστική γε οὖσα καὶ ἀττική. οὐ μᾶλλόν γε ἢ αἱ ἀηδόνες, ὅταν τὸ ἔαρ αὐτὰς πρὸς ᾠδὴν ἀνακινήσῃ. ἡμῖν μὲν γὰρ τὸ πλῆθος τῆς ἀσχολίας ἧς τὸ νῦν ἐσμὲν, κἂν παραίτησιν ἐνέγκοι τινὰ πρὸς τὴν ἔνδειαν τῶν γραμμάτων. καὶ τὸ οἱονεὶ ἐρρυπῶσθαι λοιπὸν τῇ κατακορεῖ συνηθείᾳ πρὸς ἰδιώτας μόνους, ὄκνον εἰκότως ἐμποιεῖ, προσφθέγγεσθαι ὑμᾶς τοὺς σοφιστάς. οἳ εἰ μή τι ἄξιον τῆς ὑμετέρας αὐτῶν σοφίας ἀκούσεσθε, δυσχερανεῖτε καὶ οὐκ ἀνέξεσθε. σὲ δέ που τὸ ἐναντίον εἰκὸς ἐπὶ πάσης προφάσεως δημοσιεύειν σαυτοῦ τὴν φωνήν. ἐπιτήδειον ὄντα εἰπεῖν ἐν αὐτοῖς οἶδα Ἕλλησιν. οἶδα γὰρ ὡς οἶμαι τοὺς ὀνομαστοτάτους τῶν ἐν ὑμῖν. ὥστε οὐδεμία παραίτησις σιωπῶντι. καὶ ταῦτα μὲν εἰς τοσοῦτον. ἀπέστειλα δὲ καὶ τὰ πρὸς Εὐνόμιον. ἃ εἴτε παιδιὰν χρὴ καλεῖν, εἴτε μικρῷ παιδιᾶς σπουδαιότερα, αὐτῷ σοι κρίνειν ἐπιτρέπομεν. πρὸς μὲν τὰ οἰκεῖα σαυτοῦ οὐκ ἔτι οἶμαι χρῄζεις. πρὸς δὲ τῶν διεστραμμένων τοὺς ἐντυγχάνοντας, οὐκ ἄχρηστόν σοι ὅπλον ἔσεσθαι προσδοκῶμεν. οὐ τῇ δυνάμει τοῦ συντάγματος καταπιστεύοντες τοσοῦτον. ἀλλ' ἀκριβῶς γνωρίζοντες ἀπὸ ὀλίγων ἀφορμῶν ἐπὶ πολλά σε ἐντεῦθεν εὑρετικόν. ἐὰν δέ τι σοι καὶ ἀτονώτερον ἔχειν τῆς χρείας καταφανῇ, μὴ κατοκνήσῃς ἐλέγξαι. τούτῳ γὰρ μάλιστα φίλος κόλακος διενήνοχε, τῷ τὸν μὲν πρὸς ἡδονὴν ὁμιλεῖν. τὸν δὲ μηδὲ τῶν λυπούντων ἀπέχεσθαι.

Βασίλειος Εὐνομίῳ.

Ο Ἐφικτὴν εἶναι λέγων τῶν ὄντων τὴν εὕρεσιν, ὁδῷ τινι πάντως καὶ ἀκολουθίᾳ διὰ τῆς τῶν ὄντων γνώσεως παρέβαλεν ἑαυτοῦ τὴν διάνοιαν. καὶ τοῖς εὐλήπτοις τε καὶ μικροτέροις ἐγγυμνασθεὶς, διὰ τῆς καταλήψεως οὕτως καὶ εἰς τὴν

ἐπέκεινα πάσης ἐννοίας προσήκαμεν ἑαυτοῖς καταληπτικὴν φαντασίαν. οὐκοῦν ὁ τὴν περὶ τῶν ὄντων εἴδησιν κατειληφέναι μεγαλαυχούμενος τὸ σμικρότατον τῶν προφαινομένων ὅπως ἔχει φύσεως ἑρμηνευσάτω, καὶ τίς ἡ τοῦ μύρμηκος φύσις, εἰπάτω. εἰ πνεύματι καὶ ἄσθματι συνέχεται αὐτοῦ ἡ ζωή. εἰ ὀστέοις τὸ σῶμα διείληπται. εἰ νεύροις καὶ συνδέσμοις τὰς ἁρμονίας τετόνωται. εἰ μυῶν περιβολῇ καὶ ἀδένων ἡ τῶν νεύρων περικρατεῖται θέσις. εἰ τοῖς νωτιαίοις σπονδύλοις ἐκ τοῦ βρέγματος ἐπὶ τὸ οὐραῖον ὁ μυελὸς συμπαρατείνεται. εἰ τῇ περιοχῇ τοῦ νευρώδους ὑμένος, τοῖς κινουμένοις μέλεσι τὴν ὁρμητικὴν ἐνδίδωσι δύναμιν. εἰ ἔστιν ἐν αὐτῷ τὸ ἧπαρ. καὶ τὸ χοληδόχον ἀγγεῖον ἐπὶ τοῦ ἥπατος, εἰ νεφροί τε, καὶ καρδία, καὶ ἀρτηρίαι, καὶ φλέβες, ὑμένες καὶ διαφράγματα. εἰ ψιλόν ἐστιν ἢ τετρίχωται. μονώνυχόν ἐστιν, ἢ πολυσχιδεῖς ἔχει τὰς βάσεις. πόσον δὲ βιοῖ τοῦ χρόνου. καὶ τίς αὐτοῖς ὁ τρόπος τῆς ἐξ ἀλλήλων γενέσεως. ἐπὶ πόσον δὲ κυΐσκεται τὸ τικτόμενον. καὶ πῶς οὔτε πεζοὶ πάντες οἱ μύρμηκες, οὔτε ὑπόπτεροι πάντες. ἀλλ' οἱ μὲν τὴν χαμαὶ ἐρχόμενοι εἰσίν, οἱ δὲ ἀέριοι φέρονται. ὁ τοίνυν τὴν τῶν ὄντων γνῶσιν ἐπικομπάζων, τέως τὴν τοῦ μύρμηκος φύσιν εἰπάτω. εἶθ' οὕτως φυσιολογείτω τὴν πάντα νοῦν ὑπερέχουσαν δύναμιν. εἰ δὲ τοῦ βραχυτάτου μύρμηκος οὔπω περιέλαβες τῇ γνώσει τὴν φύσιν, πῶς τὴν ἀκατάληπτον τοῦ θεοῦ δύναμιν μεγαλαυχεῖς φαντάζεσθαι.

Ὀλυμπίῳ.

Οἷα ποιεῖς, ὦ θαυμάσιε, τὴν φίλην ἡμῖν πενίαν καὶ φιλοσοφίας τροφὸν, τῶν ἐσχατιῶν ἀπελαύνεις. οἶμαι γὰρ ἄν σε καὶ δίκας γραφὴν ὑπ' αὐτῆς φεύγειν, εἴπερ αὐτῇ προσγένοιτο λόγος, ὅτι τοῦτον συνοικεῖν εἱλόμην ἐγώ, τὸν μὲν τὸν Ζήνωνα ἐπαινοῦντι, ὃς ναυαγήσας πάντα ἀποβαλὼν, οὐδὲν ἀγεννὲς ἐφθέγξατο. ἀλλ' εὖ γε εἶπεν ὦ τύχη συνελαύνεις ἡμᾶς εἰς τὸ τριβώνιον. τὸν δὲ τὸν Κλεάνθην, μισθοῦ ὕδωρ τοῦ φρέατος ἐπαντλοῦντα, ὅθεν αὐτός τε διέζη καὶ τοῖς διδασκάλοις μισθοὺς ὑπετέλει. τὸν δὲ Διογένην οὐδὲ ἐπαύσατό ποτε θαυμάζων, τοῖς παρὰ τῆς φύσεως μόνοις ἀρκεῖσθαι φιλοτιμούμενον. ὡς καὶ τὸ κισσύβιον ἀπορρῖψαι, ἐπειδήπερ παρὰ παιδὸς ἐδιδάχθη κοίλαις ταῖς χερσὶν ἐγκύψαντα πίνειν. ταῦτα ἄν σοι καὶ τὰ τοιαῦτα ἡ σύνοικος ἡμῶν πενία μέμψαιτο, τῆς μεγαλοδωρίας ἐξοικισθεῖσα τῆς σῆς. προσθείη δὲ καὶ ἀπειλήν τινα ὅτι εἰ σὲ ἐνταῦθα πάλιν λάβοιμι, σικελικὴν ἢ ἰταλιῶτιν τρυφὴν ἀποδείξω τὰ πρότερα. οὕτω σε ἀκριβῶς τοῖς παρ' ἐμαυτοῦ ἀμυνοῦμαι. καὶ ταῦτα μὲν δὴ τοιαῦτα. ἥσθην δὲ ἀκούσας ἄρχεσθαί σε τῆς θεραπείας ἤδη. καὶ εὔχομαί σοι ὄνασθαι αὐτῆς. πρέποι δ' ἂν τῇ ἱερᾷ σου ψυχῇ, ἄλυπος ὑπηρεσία σώματος.

Τῷ αὐτῷ.

Καὶ τοῖς γράμμασιν ἐντυχὼν τῆς τιμιότητός σου, ἥδιον ἐμαυτοῦ καὶ εὐθυμότερος ἐγενόμην. καὶ τοῖς ποθεινοτάτοις υἱέσιν εἰς ὁμιλίαν ἐλθὼν, αὐτόν σε ἔδοξα καθορᾶν. οἳ πάνυ μου τὴν ψυχὴν κεκακωμένην παραλαβόντες οὕτω διέθηκαν. ὥστε ἐπιλαθέσθαι με τοῦ παρ' ὑμῶν κακοῦ, ὃ οἱ ὀνειροπόλοι καὶ ὀρνεοκάπηλοι, εἰς τὴν τῶν ἐμμισθωσαμένων αὐτοὺς

ad extremas omnis ſcientiæ partes, compræhenſiuam imaginationem tranſmittit. Atqui qui ſe rerum omnium ſcientiam gloriatur compræhendiſſe, minimum etiam quod propoſitum fuerit, quomodo ſit à natura formatum factúmque, explicare & quæ ſit formicæ natura, exponere debet. Num eios vita ſpiritu quodam & anhelitu continetur. Num corpus oſſibus interſtinctum ſit, An neruis quaſi vincula ſint harmoniæ combinatæ An muſculorum & glandularum circuitu neruorum natura ſuſtentetur. An ex ſincipite medulla per dorſi vertebras ad caudam defluat. An complexione neruoſæ membranulæ, membra quæ mouentur, motiuam vim & facultatem habeant. An ſit in ea jecur, & in iecore vaſculum bilis receptaculum. & renes, & cor, & arteriæ, & venæ. Membranulæ & præcordia. Caluum-ne ſit an piloſum. Vnungulum, an multifidos habeat greſſus. Quanto tempore viuat & quæ ipſis procreandæ ſobolis ratio, quãdiu partum ferant & quomodo neque greſſibiles neque volantes ſint omnes formicæ: ſed aliæ humi decurrant, aliæ per aërem ferantur. Proinde qui rerum omnium cognitionem iactitat hæc de formicæ natura diſſerat, atque ſic naturam, quæ ab omni intelligentia remota eſt, explicet & proponat. Sin minimæ nondum formicæ naturam animo compræhendiſti, quomodo te incompræhenſibilē Dei vim & poteſtatem cernere gloriaris.

Olympio.

QVare paupertatem amicam nobis & altricem ſapientiæ ſtudij, ſuis finibus expellis? Credo enim te de vi reum citatum iri, ſi vis ei ſermonis aliqua ineſſet. Nam ego ſequi eum conſtitui, qui tũ Zenonem laudat, quòd cùm omnia naufragio amiſiſſet, nihil illiberale, ſed Euge, dixerit: Fortuna vocas nos ad laceram veſtem, tum Cleãthem, qui aquã ex puteo haurienda, pecuniam comparauit, vnde & ipſe viueret, & præceptoribus ſuis mercedẽ perſolueret. Diogenem verò mirari nunquam deſtitit, quòd iis quæ natura tribuiſſet, contentus eſſe ſtuderet, ita vt poculum etiam abiiceret, cùm à puero cauis atque inclinatis manibus potũ haurire didiciſſet. Hanc in te querelam & ſimiles alias, familiaris nobis inopia, in te intenderet, maximis muneribus à te nunc in exilium pulſa. Forſitan & minas adderet ſi te ſecundo lumine hîc offendero, Siculas aut Italicas delicias, efficiam priora ſic te meis copiis atq; viribus acerbiſſimè vlciſcar. Atq; de his tantùm. Supra modum gauiſus ſum, cùm audirem te Medicinã adhibere aggreſſum eſſe, quod tibi fœliciter vertat, precor. Meritus eſt enim ſanctus tuus animus, vt corporis curatio ſine dolore eueniat.

Eidem.

ET Redditæ tuæ dignitatis literæ, magna voluptate me recrearunt, atque hilariorem effecerunt: & cum filiis optatiſſimis colloquens, ipſum te coram intueri mihi ſum viſus, qui animum meũ triſtem atq; perturbatum affecerunt vt omnem recordationem veſtri veneni deponerem, quod ſomniorũ cõiectores & vẽditores, in conducentiũ ipſos gratiam

gratiam, in noſtrum exitium circumferunt. Epiſtolas verò partim miſimus, partim ſi placuerit, in poſterum dabimus: ſolùm, vt ex iis ad accipientes aliqua commoditas redundet.

Eidem.

PAuca nobis primùm ſcribere ſolebas, nunc verò ne pauca quidem, ſic vt tua breuitas in loquendo proceſſu téporis obmutuiſſe prorſus videatur: ſed age ſis ad conſuetudinem redi. Non enim queremur vlterius de Laconiſmo tuorum ſcriptorum. Sed & perbreues literas, maximæ beneuolentiæ ſignum, magni faciemus. Tantùm nobis mittas.

Eidem.

QVemadmodum reliqua ſuo tempore ſingula vigent atque matureſcunt, vere, flores: æſtate, ſpicæ: autumno, poma: Sic hyemis fructus ſunt orationes & literæ.

Candidiano.

CVm in manus accepiſſem tuam epiſtolam, paſſus ſum quiddam memoratu dignum: veritus ſum enim eã, vt publicum aliquid annuntiantem, & inter diſſoluendum ceram, ita ſum aſpectu ipſo exanimatus, vt nemo Spartiata criminis reus, cùm Laconicam Scytalam videret. Poſtquam verò reſignaſſem, & ſingula legiſſem, hanc ſubitam expectationem in riſum conuerti, tum præ voluptate, quòd nihil audirem nouum, tum comparatione tui ad Demoſthenem, quòd ille cùm paucis quibuſdam ſaltatoribus & fiſtulatoribus impenſas præbuiſſet, nõ ampliùs Demoſthenis, ſed Choragi nomine appellari ſeſe voluerit. Tu verò idem maneas cũ ſuppeditas ſumptus, qui eũm id non faceres. Suppeditas enim pluribus militum myriadibus, quàm ille viris neceſſaria dedit: qui nobis non præter conſuetudinem ſcribas, ſed ſolito more, neque ab eloquẽtiæ ſtudio recedas, ſed vt Plato inquit, in tempeſtatibus & procellis negotiorum, quaſi ſub firmum aliquem murum concedens, nulli perturbationi mẽtem offeras, neque tamen reliquum, quantùm in te eſt, prætermittas. Atque tua quidem tanta, támque admiranda ſunt iis, qui perſpicere poſſunt, rurſum verò nihil admirãda illi qui eam cùm inſtituto vitæ conferat. Sed audi nunc etiam noſtra, quæ nobis inopinatò meritóque contigerunt. Homo quidam præfractus nobiſcum in Agris habitans, ſeruo meo vita defuncto, dicens ſibi cum illo commercium quoddam interceſſiſſe, nulla mei conuentione, nulla accuſatione, nulla repetitione, vt vltrò redderem, nullis denique minis, ſe, ſi non darem, vi rapturum, cum quibuſdam ſui ſimilibus deſperatis hominibus, in domũ meam irruptionẽ fecit, mulieres, quæ cuſtodirẽt, verberibus affecit, ianuã perfregit, atque omnia exportauit, partim ſibi conſeruans ipſe, partim diripienda quibus libitum eſſet, proponens. Quare ne ſimus extremus nos imbecillitatis terminus, & quibuslibet, ad eludendum propoſiti eſſe videamur, iterum atque iterum te rogo, vt quam in omnibus noſtris rebus diligentiam adhibuiſti, eam nunc etiam præſtes. Solùm enim hoc modo ſine cura poterimus ſalui eſſe, ſi tecum fortiſſimo ſtrenuóq; viro in acie collocabimur. Satis autẽ magnam pœnam luerit nobis, ſi comprehenſus à Pygargo per aliquod tempus in cuſtodiã tradatur.

χάριν, καθ' ἡμῶν περιφέρουσιν. ἐπιστολὰς δὲ τὰς μὲν ἐπέμψαμεν. τὰς δέ, καὶ εἰς ὕστερον δώσομεν ἐὰν ἐθέλῃς. μόνον εἴη τι ὄφελος παρ' αὐτῶν τοῖς λαμβάνουσι.

Τοῦ αὐτοῦ.

ΕΓραφες ἡμῖν πρότερον μὲν ὀλίγα. νῦν δὲ οὐδὲ ὀλίγα. καὶ ἔοικεν ἡ βραχυλογία προϊοῦσα τῷ χρόνῳ, παντελὴς γίνεσθαι ἀφωνία. ἐπάνελθε τοίνυν ἐπὶ τὸ ἔθος. ὡς οὐκέτι σοι μεμψόμεθα λακωνίζοντι πρὸς ἡμᾶς διὰ γραμμάτων. ἀλλὰ καὶ τὰ μικρὰ γράμματα σύμβολα ὄντα τῆς μεγάλης σου διαθέσεως, πολλοῦ ἄξια ποιησόμεθα. μόνον ἐπίστελλε ἡμῖν.

Τοῦ αὐτοῦ.

ΩΣπερ τῶν ἄλλων αἰεί μεν ἕκαστον ἐν τῇ οἰκείᾳ ὥρᾳ ἀπαντᾷ, ἐν ἦρι μὲν τὰ ἄνθη. ἐν θέρει δὲ οἱ στάχυες. τῷ δὲ μετοπώρῳ τὸ μῆλον, οὕτω χειμῶνος καρπός εἰσιν οἱ λόγοι.

Καν διδιανῷ.

ΟΤε εἰς χεῖρας ἔλαβον τὴν ἐπιστολήν σου, ἔπαθόν τι ἀκοῆς ἄξιον, δεδοικὼς αὐτὴν ὡς τι δημόσιον προσαγγέλλουσαν. καὶ παρ' ὃν ἔλυον χρόνον τὸν κηρόν, ἐφοβούμην προσβλέπων. ὡς οὐδεὶς ἂν αἰτίας συνειδὼς Σπαρτιάτης Λακωνικὴν σκυτάλην. ἐπεὶ δὲ ἔλυσα καὶ πᾶσαν ἕκαστα ἐπεξῆλθον, γελάσαι μοι ἐπῆλθε. τοῦτο μὲν ὑφ' ἡδονῆς, τῷ μηδὲν ἀκοῦσαι νεώτερον. τοῦτο δὲ πρὸς τὰ τοῦ Δημοσθένους τὰ σὰ κρίναντι. ὅτι ὁ μὲν, ἐπειδὴ ὀλίγοις τισὶ χορευταῖς καὶ αὐληταῖς ἐχορήγει, οὐκ ἔτ' ἠξίου Δημοσθένης, ἀλλὰ χορηγὸς ὀνομάζεσθαι. σὺ δ' ὁ αὐτὸς εἶ, καὶ χορηγῶν καὶ μὴ χορηγῶν. μὲν τοῖς πλείοσι μυριάσι στρατιωτῶν, ἢ ὅσοις ἀνδράσιν ἐκεῖνος παρεῖχε τὰ ἐπιτήδεια. ὅς γε οὐδὲ ἡμῖν ἀπὸ τοῦ ἀξιώματος ἐπιστέλλεις, ἀλλὰ τὸν εἰωθότα τρόπον. καὶ οὔτε περὶ λόγους σπουδῆς, οὐδὲν ὑφίεσαι. ἀλλὰ τὸ τοῦ Πλάτωνος, ἐν χειμῶνι καὶ ζάλῃ πραγμάτων, οἷον ὑπὸ τείχει τινὶ καρτερῷ ὑποστὰς, οὐδενὸς θορύβου τὴν ψυχὴν ἀναπίμπλασαι. μᾶλλον δὲ οὐδὲ ἐπιτρέπεις ἑαυτῷ τινα σαυτοῦ μέρος. καὶ τὰ μὲν σὰ τοιαῦτα μεγάλα καὶ θαυμαστὰ, τοῖς συνορᾶν δυναμένοις. καὶ πάλιν οὐ θαυμαστὰ τῷ πρὸς τὴν προαίρεσιν τοῦ βίου κρίνοντι. ἄκουε δὲ καὶ τὰ ἡμέτερα παράδοξα ἅ ἐστι καὶ ἀκολούθως ἡμῖν ἀπαντῶντα. ἀνήρ τις ἄγροικος τῶν συνοικούντων ἡμῖν ἐν Ἀννήσοις, οἰκέτου μου τελευτήσαντος, συμβόλαιόν τι πρὸς αὐτὸν εἰπὼν ἐσχηκέναι, οὐ προσελθών μοι, οὐκ ἐπιμηνύσας, οὐ παρ' ἑκόντος ἀξιώσας λαβεῖν, οὐκ ἀπειλήσας εἰ μὴ λάβοι βιάσασθαι, ἀθρόον μετά τινων ὁμοίων αὐτῷ τὴν ἀπόνοιαν, ἐπιθέμενος ἡμῶν τῇ οἰκίᾳ, τάς τε γυναῖκας τὰς φυλαττούσας συνέκοψε τύπτων. καὶ καταρρήξας τὰς θύρας, ἐξεφόρησεν ἅπαντα. τὰ μὲν αὐτὸς λαβὼν. τὰ δὲ εἰς διαρπαγὴν τοῖς βουλομένοις προθείς. ἵν' οὖν μὴ ὁ ἔσχατος ὅρος ἡμεῖς τῆς ἀσθενείας ὦμεν, καὶ παντὶ δόξωμεν ἐπιτήδειοι πρὸς ἐπιχείρησιν, ἣν ἐν πᾶσι τοῖς πράγμασιν ἡμῶν σπουδὴν ἐπιδέδειξαι, καὶ νῦν εἰσενέγκασθαι παρακλήθητι. μόνως γὰρ ἂν ἡμῖν οὕτως τὸ ἀπράγμον σώζοιτο, εἰ τῷ σῷ δραστηρίῳ συντεταγμένοι εἴημεν. ἀρκοῦσα δ' ἂν ἡμῖν ἀρκοῦσα δίκη, εἰ διὰ τοῦ πυγάργου συλληφθεὶς, ἐν τῷ δεσμωτηρίῳ βραχὺν κατακλεισθείη χρόνον,

καὶ γὰρ οὐχ ὑπὲρ ὧν πεπόνθαμεν ἀγανακτοῦμεν μόνον, ἀλλὰ καὶ τῆς πρὸς τὸ λοιπὸν ἀσφαλείας δεόμεθα.

Φιρμῖνος.

ΚΑὶ σπάνιά σου τὰ γράμματα καὶ μικρὰ ταῦτα. ἢ ὄκνῳ τοῦ γράφειν, ἢ ἄλλως τὸν ἐκ τοῦ πλήθους κόρον διαφεύγειν οἰκονομοῦντος. ἢ που καὶ πρὸς βραχυλογίαν ἑαυτὸν συνεθίζοντος. ἡμῖν μέντοι οὐδὲν ἐξαρκεῖ. ἀλλὰ κἂν ὑπερβάλλῃ τῷ πλήθει, τῆς ἐπιθυμίας ἐστὶν ἐλάττω, διὰ τὸ βούλεσθαι πάνθ' ἕκαστα μανθάνειν περὶ σοῦ· πῶς μέν σοι τὸ σῶμα ἔχει. ὅπως δέ σοι τὰ τῆς ἀσκήσεως. καὶ πότερον ἐπιμένεις τοῖς ἐξ ἀρχῆς ἐγνωσμένοις, ἤ τι καὶ μεταβουλεύσῃ πρὸς τὰ συμπίπτοντα τὴν γνώμην μετατιθέμενος. εἰ μὲν οὖν ὁ αὐτὸς διέμεινας σεαυτῷ, οὐκ ἂν πλῆθος γραμμάτων ἐπεζητοῦμεν. ἀλλ' ἤρκει ἡμῖν τοσοῦτον. ὁ δεῖνα τῷ δεῖνι. ὑγιαίνειν ἡμᾶς ἴσθι καὶ ἔρρωσο. ἐπεὶ δὲ ἀκούομεν ἃ καὶ λέγειν αἰσχυνόμεθα. καταλιπόντα σε τὴν τῶν μακαρίων προγόνων τάξιν, ἐπὶ τὴν πρὸς πατρὸς πάππου αὐτομολεῖν, καὶ Βρεττάνιον σπουδάζειν· γίνεσθαι ἀντὶ φιρμίνου ἐπιζητοῦμεν αὐτὰ ταῦτα, ἀκοῦσαι καὶ τοὺς λογισμοὺς μαθεῖν καθ' οὓς ἐπὶ ταύτην ἐλθεῖν τοῦ βίου τὴν ὁδὸν ὑπήχθης. ἀλλ' ἐπειδὴ αὐτὸς ἀπεσιώπησας αἰδοῖ τοῦ βουλεύματος, ἡμεῖς σε παρακαλοῦμεν, μήτε βουλεύεσθαι αἰσχύνης ἄξια, καὶ εἴ τι ὑπέδραμέ σου τὸν νοῦν, ἀπελάσαντα τοῦτο τῆς διανοίας, σεαυτοῦ γενέσθαι πάλιν, καὶ μακρὰ χαίρειν εἰπόντα στρατείᾳ καὶ ὅπλοις, καὶ τῇ ἐπὶ στρατοπέδου ταλαιπωρίαις, καταλαβεῖν τὴν πατρίδα ἀρκεῖν πρὸς ἀσφάλειαν βίου καὶ πρὸς πᾶσαν περιφάνειαν τὸ ἐξεῖναι τοῖς προγόνοις κρατῆσαι τῆς πόλεως ἡγησάμενον. ὅπερ ἀπόνως σοι παραγενέσθαι πεπιστεύκαμεν. πρός τε τὴν ἐκ πίστεως ἐπιτηδειότητα ἀφορῶντες, καὶ πρὸς τὴν ἐρημίαν τῶν ἐνισταμένων. εἴτε οὖν μὴ γέγονεν ἐξ ἀρχῆς ἡ γνώμη, εἴτε γενομένη πάλιν ἐκβέβληται, δήλωσον ἡμῖν ἐν τάχει. εἰ δὲ ὃ μὴ γένοιτο, τὰ αὐτὰ μένει βουλεύματα, αὐτάγγελτος ἡμῖν ἡκέτω ἡ συμφορά. γραμμάτων δὲ οὐ δεόμεθα.

Ἰουλίττῃ Ἐλευθέρα.

ΤΈχνη τίς ἐστι περιστερῶν θηρευτικὴ τοιαύτη. ὅταν μίαν ἐγκρατεῖς γένωνται, οἱ τὰ τοιαῦτα σπουδάζοντες, χειροήθη ταύτην καὶ ὁμόσιτον ἀπεργάσωνται ἑαυτοῖς, τότε μύρῳ τὰς πτέρυγας αὐτῆς χρίσαντες, ἐῶσι συναγελάζεσθαι ταῖς ἔξωθεν. ἡ δὲ τοῦ μύρου ἐκείνου εὐωδία, τὴν αὐτόνομον ἐκείνην ἀγέλην, κτῆμα ποιεῖται τοῦ κεκτημένου τὴν τιθασόν. πρὸς γὰρ τὰς εὐπνοούσας καὶ αἱ λοιπαὶ συντρέπονται καὶ εἰσοικίζονται. τί δὲ βουλόμενος, ἐντεῦθεν ἄρχομαι τοῦ γράμματος. ὅτι λαβὼν τὸν υἱὸν Διονυσίου τὸν ποτὲ Διομήδην, καὶ τῷ θείῳ μύρῳ τὰς τῆς ψυχῆς αὐτοῦ πτέρυγας διαχρίσας, ἐξέπεμψα πρὸς τὴν σὴν σεμνοπρέπειαν. ὥστε καὶ σεαυτὴν συναναπτῆναι αὐτῷ. καὶ καταλαβεῖν τὴν καλιὰν ἣν παρ' ἡμῖν ἐπήξατο ὁ προειρημένος. ἐὰν οὖν ταῦτα ἴδοιμι ἐπὶ τῆς ἐμῆς ζωῆς, καὶ τὴν σὴν σεμνοπρέπειαν πρὸς τὸν ὑψηλὸν βίον μετατιθεμένην, πολλῶν προσώπων ἀξίων τοῦ θεοῦ δεηθήσομαι, τὴν κεχρεωστημένην τιμὴν ἀποπληρῶσαι αὐτῷ.

Neque enim ob acceptam iniuriam tantùm doleo, quàm, vt in poſterum ſecuritate munitus atque ſeptus ſim, poſtulo.

Phirmino.

ET raras & perbreues ad nos literas mittis, vel ſcribendi tædio, vel cauſſa vitandæ ſatietatis, quæ ex frequentia & multitudine naſcitur, vel vt ad breuiter loquendum teipſum aſſuefacias. Nobis verò nihil ſufficit. Nam etiamſi excedat multitudine: tamen cupiditate minus eſt, quoniam de omnibus ſingulíſque tuis rebus cognoſcere volo. Quemadmodum corpus habeat, quo cedat excercitatio & vtrum in iis quę ab initio ſtatuiſti perſeueres: an verò mutato conſilio, mentem ad euentus tráſferas. Quòd ſi in eodē ſtatu permaneres, nō literarū multitudinē requireremus: ſed ſufficeret. tantum ὁ δεῖνα τῷ δεῖνι, Phirminus Baſilio. Bona nos eſſe valetudine ſcito & vale. Verùm quoniā audiuimus, quę dicere nos etiam pudor vetaret, te relicto beatorū parentum ordine ad auum paternum deficere, atque Brettanium quàm plurimùm appellari malle, requirimus, hæc abs te audire, & conſiliorum tuorum rationem nobis explicari, quamobrem ad hanc viuendi conſuetudinem acceſſeris. Verùm quoniam hæc tu pudore conſilij tui reſtituiſti, nos te hortamur, vt neque pudore digna in animum inducas, & ſi quid eiuſmodi te cepit, ab omni cogitatione prorſus ſemoueas, & ad te reuertaris: depoſitáque militia, & armis, atque caſtra metandi laboribus patriam recipias, atque ad ſecuritatem vitæ, famæque claritudinem ſatis exiſtimes eſſe, maiorum more ciuitatem tenere, cuius tibi nullo negotio poteſtatem fore credimus, cùm in fidei ſynceritatem, & ſolitudinem optimatium intuemur. Siue igitur hoc quod diximus propoſitum habeas, ſiue poſtquam propoſuiſſes, mox repudiaueris iterum, per literas ſtatim nos certiores facito. Sin, quod auertat Deus, idem manent conſilium eadémque voluntas, ipſa nobis calamitas nuncium afferat. Tum enim literis non indigemus.

Iuliſſa Eleuthera.

ESt quædam aucupandi columbas ars & via huiuſmodi. Si, qui talia moliuntur, cùm vnam aliquam nacti ſunt, eam cicurem atque familiarem ſibi reddant. Tum alis eiuſdem vnguento oblitis, in externarum cætum gregémque ſinant euolare. Vnguenti verò ſuauis fragrantia, liberum illum gregem in poteſtatem eius qui cicurem poſſidet, adducit. Nam beneuolentes cateruatim reliquæ ſequūtur, atque ad eas commigrant. Sed quorſum hæc? aut cur ab his initium literarum facio? Quoniam cùm accepiſſem filium Dionyſiū aliquando Diomedem & eius alas vnguento cœleſti, imbuiſſem, emiſi eum ad tuam magnificentiam, ſi fortè cum ipſo reuolares, & nidum quem is apud nos conſtruxit ſimul occupares. Quòd ſi mihi id in mea vita cōtigerit, vt tuam magnificentiam, ad excelſum illud vitæ genus, euectam videam, multos homines Dei cultores precabor, vt debitum ei honorem reddant, atque deferant.

Sine titulo.

QVòd amem te, ex eo quod ad te ſcribo, diſce. Quòd oderis me, ex ſilêtio tuo cognoui. Scribe ſaltê in poſterum, tuique amantes calamo, atramento, & exigua charta redama.

Alia ſine inſcriptione.

VNum vitæ eſſe iudicium, oratio. Sed quomodo ſupra terram te exiſtimem eſſe, cùm nunquam loquaris. Verùm depone ſilentium, ſcribe nobis, & te in viuis adhuc manere declara.

Notario.

SErmones alatam quandam habent naturam. Quare ſignis opus habent vt volantibus ipſis, ſcriptor celeritatem prehendat. Tu verò ô fili perfectè characteres pinge, locáque ritè interſtingue. Nam in exiguo errore, ſermo plurimùm delinquit. Cura verò, diligentiáque ſcribentis, corrigitur & emendatur.

Hegemoni.

SCio maximam primámque tuæ dignitatis curã, ad iuſtitiam omnibus rebus colendam ſpectare, ſecũdam deinde ad bene merendum de amicis, & ad ſupplices in fidem tutelámque tuæ celſitudinis recipiendos. In præſenti verò argumento conueniunt ſimul vniuerſa. Nam & iuſta res eſt, quam petimus, nobiſque in ea gratũ facies, quos in tuorum amicorum numero vis eſſe, & debetur iis, qui in ſuis periculis atque damnis à tua firmitudine opem auxiliúmque poſcunt. Frumentum enim quod ſolum ad vitam tuendam neceſſariũ Chariſſimus frater Dorotheus habebat, quidam Veriſenſiũ Rempub. tenentes, ſummæque poteſtatis, diripuerunt. Siue facinus illud ſua voluntate, ſiue aliorũ inſtinctu deſignarunt, nihil ad excuſandũ crimẽ id pertinet. Quid enim leuius delinquit, qui domo ſua ſcelus allatum patrat, quàm qui aliorũ prauę voluntati in miſteriũ præſtat. Nam his qui patiuntur iniuriã, idẽ damnũ infligitur. Qui rapuit, petimus, vt idem reſtituat, neq; liceat in alios culpã audaciæ transferre. Hoc verò tuum beneficium, ſi nobis præſtiteris, tanti apud nos erit, quanti æſtimamus, egeſtatem annonæ, neceſſitatémque defugere.

Gregorio Amico.

ETiamſi frater mihi Gregorius ſcripſiſſet, pridẽ te conuenire nos cupiuiſſe, etiam addere, te illud in animum tuum induxiſſe, tamẽ partim quòd ſæpè deceptus eſſem, non omninò fidem habens, partim negotiis diſtractus, opperiri nõ potui. Quoniam in Pontũ me proficiſci iá oportet, vbi volẽte Deo, liberabimur ab hac oberratione. Nã vix tãdẽ abiecta vana ſpe, quam in te poſitam habebam, imò inſomnio (Laudo enim eũ, qui ſpẽ dixit inſomniũ eſſe vigilantiũ) comparandi victus gratia profectus ſum in Pontum. Ibi mihi Deus obtulit locum, prorſus ingenio meo conuenientem, vt quod otioſi ludentéſque ſæpenumero cogitatione ſoliti ſumus imaginari, cotàm, nunc ob oculos cernere videamur. Mons enim eſt excelſus, profundo

Ἀνεπίγραφος.

ΟΤι σε φιλῶ, οἷς ἐπιστέλλω, μάθε. ὅτι με μισεῖς, οἷς σιωπᾷς ἔγνων. γράφε δὲ κἂν τοῦ λοιποῦ, καλάμῳ καὶ μέλανι καὶ βραχεῖ χάρτῃ φιλοῦντας φιλῶν.

Ἄλλη ἀνεπίγραφος.

ΕΝ γνωρίσματι τοῦ ζῆν ὁ λόγος. πῶς δὲ σὺ ὑπὲρ γῆς εἶναι νομισθείης, μηδέποτε φθεγξάμενος. ἀλλ᾽ ἀπόστηθι τῆς σιωπῆς γράψας ἡμῖν καὶ ἐμφανίσας σεαυτὸν ὅτι περ ζῇς.

Νοταρίῳ.

ΟΙ λόγοι τὴν φύσιν ὑπόπτερον ἔχουσι. διὰ τοῦτο σημείων χρήζουσιν, ἵνα ἱπταμένων αὐτῶν, λάβῃ τὸ τάχος ὁ γράφων. σὺ δὲ ὦ παῖ τὰ χαράγματα τέλεια ποίει, καὶ τοὺς τόπους ἀκολούθως κατάστιζε. ἐν γὰρ μικρᾷ πλάνῃ πολὺς ἡμάρτηται λόγος. τῇ δὲ ἐπιμελείᾳ τοῦ γράφοντος κατορθοῦται τὸ λεγόμενον.

Ἡγεμόνι.

ΟΙδα μεγίστην καὶ πρώτην σπουδὴν οὖσαν τῇ τιμιότητί σου ἐκ παντὸς τρόπου χαρίζεσθαι τῷ δικαίῳ. δευτέραν δὲ τὸ καὶ τοὺς φίλους εὖ ποιεῖν, καὶ ὑπὲρ τῶν προσφυγόντων τῇ προστασίᾳ τῆς σῆς μεγαλονοίας ἀντιποιεῖσθαι. πάντα τοίνυν εἰς ταυτὸν συνέδραμεν ἐπὶ τῆς παρούσης ὑποθέσεως. καὶ γὰρ δίκαιόν ἐστι τὸ πρᾶγμα ὑπὲρ οὗ τὴν πρεσβείαν ποιούμεθα, καὶ ἡμῖν κεχαρισμένον, οὓς ἐν τοῖς φίλοις ἀριθμεῖν σεαυτοῦ κατηξίωσας. καὶ ὀφειλόμενον τοῖς τὴν στερρότητά σου, εἰς τὴν ὑπὲρ ὧν πεπόνθασι βοήθειαν ἐπικαλουμένοις. ὅπερ γὰρ ἓν μόνον εἶχε πρὸς τὴν ἀναγκαίαν τοῦ βίου διαγωγὴν ὁ ποθεινότατος ἀδελφὸς Δωρόθεος, διήρπασάν τινες ἐν Βηρίσοις τῶν τὰ δημόσια διοικεῖν πεπιστευμένων. εἴτε ἀφ᾽ ἑαυτῶν ἐλθόντες ἐπὶ τὴν βίαν, εἴτε καὶ ἑτέρων αὐτοῖς ὑποθεμένων. πλὴν οὐδαμόθεν αὐτοῖς τὸ πρᾶγμα ἀνέγκλητον. τί γὰρ ἧττον ἀδικεῖ ὁ οἴκοθεν πονηρός, ἢ ὁ ἑτέρων κακίᾳ ὑπηρετούμενος. καὶ τοῖς πεπονθόσιν ἡ ζημία ὁμοία. τοῦτον ἀξιοῦμεν, δι᾽ ὧν ἀφῃρέθη μὲν ἀπολαβεῖν. καὶ μὴ ἐξεῖναι αὐτοῖς ἐπ᾽ ἑτέρους τὴν αἰτίαν τοῦ τολμηθέντος ἀναφέρειν. ὅσου δὲ ἄξιον, τὸ τὴν ἐκ τῆς σιτοδείας διαφυγεῖν ἀνάγκην, τοσαύτην τὴν χάριν τιμησόμεθα τῆς παρὰ τῆς σῆς μεγαλοφυΐας ἐὰν ἄρα δοῦναι καταξιώσῃς.

Γρηγορίῳ ἑταίρῳ.

ΕΓὼ τοῦ ἀδελφοῦ μου ἐπιστείλαντος Γρηγορίου πάλαι σε βούλεσθαι ἡμῖν συντυχεῖν, προσθέντος δὲ ὅτι καὶ σοὶ αὐτὸ τοῦτο δεδογμένον εἴη, τὸ μέν τι καὶ διὰ τὸ πολλάκις ἀπατηθῆναί με ὀκνηρῶς ἔχων πρὸς τὸ πιστεύειν, τὸ δέ τι καὶ ὑπὸ ἀσχολιῶν περιελκόμενος, ἐπιμεῖναι οὐκ ἠδυνήθην. δεῖ γάρ με ἤδη ἀπελαύνειν ἐπὶ τὸν Πόντον, ἐν ᾧ τάχα ποτὲ τοῦ θεοῦ βουληθέντος, τῆς πλάνης λήξομεν. μόλις γὰρ ἀπογνοὺς τῶν ματαίων ἐλπίδων, ἃς ἐπὶ σοὶ εἶχόν ποτε, μᾶλλον δὲ τῶν ὀνείρων, εἰ δεῖ ἀληθὲς εἰπεῖν, ἐπαινῶ γὰρ τὸν εἰπόντα τὰς ἐλπίδας εἶναι ἐγρηγορότων ἐνύπνια, καὶ βίου ζήτησιν ἐπὶ τὸν Πόντον ἀπῆλθον. ἔνθα δή μοι ὁ θεὸς χωρίον ὑπέδειξεν ἀκριβῶς συμβαῖνον τῷ ἐμῷ τρόπῳ. ὥστε οἷον πολλάκις εἰώθαμεν ἀργοῦντες ἅμα καὶ παίζοντες τῇ διανοίᾳ συμπλάττειν, τοιοῦτον ἐπὶ τῆς ἀληθείας καθορᾶν. ὄρος γάρ ἐστιν ὑψηλὸν

βαθείᾳ ὕλῃ κεκαλυμμένον, ψυχροῖς ὕδασι καὶ διαφανέσιν εἰς τὸ κατ' ἄρκτον καταῤῥύτον. τούτου ταῖς ὑπωρείαις, πεδίον ὕπτιον ὑποστόρεσται, ταῖς ἐκ τοῦ ὄρους νοτίσι διηνεκῶς πιαινόμενον. ὕλη δὲ τούτῳ αὐτομάτως περιφυεῖσα ποικίλων καὶ παντοδαπῶν δένδρων, μικροῦ δεῖν αὐτῷ ἕρκος αὐτῷ γίνεται. ὡς μικρὰν εἶναι πρὸς τοῦτο καὶ τὴν Καλυψοῦς νῆσον. ἣν δὴ πασῶν πλέον Ὅμηρος εἰς κάλλος θαυμάσας φαίνεται. καὶ γὰρ οὐδὲ πολὺ ἀπολείπεται τοῦ νῆσος εἶναι, ἐπειδή γε πανταχόθεν ἐρύμασι περιείργεσθαι. φάραγγες μὲν γὰρ αὐτοῦ βαθεῖαι κατὰ δύο μέρη περιερρώγασι. κατὰ πλευρὰν δὲ ἀπὸ κρημνοῦ ὁ ποταμὸς ὑποῤῥέων, τεῖχός ἐστι καὶ αὐτὸς διηνεκὲς καὶ δυσέμβατον. ἐκ δὲ τοῦ ἐπὶ θάτερα, παραμήκιον τὸ ὄρος, δι' ἀγκώνων μηνοειδῶν ταῖς φάραγξιν ἐπιζευγνύμενον, τὰ βάσιμα τῆς ὑπωρείας ἀποτειχίζει. μία δέ τις εἴσοδος ἐπ' αὐτῆς, ἧς ἡμεῖς ἐσμὲν κύριοι. τὴν γε μὴν οἴκησιν αὐχήν τις ἕτερος ὑποδέχεται. ὑψηλόν τινα ἐπὶ τῆς ἄκρας αἴρων τινό. ὥστε τὸ πεδίον τοῦτο ὑφαπλοῦσθαι ταῖς ὄψεσι. καὶ ἐκ τοῦ μετεώρου ὀξεῖσθαι καὶ τὸν ποταμὸν περιῤῥέοντα καθορᾶν. οὐκ ἐλάττονα τέρψιν ἔμοιγε δοκεῖν παρεχόμενον, ἢ τοῖς ἐκ τῆς Ἀμφιπόλεως τὸν Στρυμόνα καταμανθάνουσιν. ὁ μὲν γὰρ σχολαιτέρῳ τῷ ῥεύματι περιλιμνάζων, μικροῦ δεῖν καὶ τὸ ποταμὸς εἶναι, ὑπὸ τῆς ἡσυχίας ἀφῄρηται. ὁ δὲ ὀξύτατα ὧν ἐγὼ οἶδα ποταμῶν ῥέων, βραχύ τι τῇ γείτονι πέτρᾳ προστραχύνεται. ἀφ' ἧς ἀνακλώμενος, εἰς δίνην βαθεῖαν περιειλεῖται. ὄψιν τε ἡδίστην ἐμοὶ πάσῃ θεατῇ παρεχόμενος, καὶ χρείαν τοῖς ἐπιχωρίοις αὐταρκεστάτην. ἰχθύων τὸ πλῆθος ἀμύθητον ταῖς δίναις ἐντρέφων. τί δεῖ λέγειν τὰς ἐκ τῆς γῆς ἀναπνοάς. ἢ τὰς ἐκ τοῦ ποταμοῦ αὔρας. τό γε μὴν τῶν ἀνθέων πλῆθος ἢ τῶν ᾠδικῶν ὀρνίθων, ἄλλος μὲν ἄν τις θαυμάσειεν. ἐμοὶ δὲ οὐ σχολὴ τούτοις προσέχειν τὸν νοῦν. ὃ δὲ μέγιστον εἰπεῖν ἔχομεν τοῦ χωρίου, ὅτι πρὸς πᾶσαν ὑπάρχον καρπῶν φορὰν ἐπιτήδειον, δι' εὐκαιρίαν τῆς θέσεως ἥδιστον ἐμοὶ πάντων καρπῶν τὴν ἡσυχίαν τρέφει. οὐ μόνον καθότι τῶν ἀστικῶν θορύβων ἀπήλλακται, ἀλλ' ὅτι οὐδὲ ὁδίτην τινὰ παραπέμπει πλὴν τῶν κατὰ θήραν ἐπιμιγνυμένων ἡμῖν. πρὸς γὰρ αὐτοῖς ἄλλοις καὶ θηροτρόφον ἐστὶν οὐχὶ ἄρκτων ἢ λύκων τῶν ὑμετέρων. μὴ γένοιτο. ἀλλ' ἐλάφων ἀγέλας καὶ αἰγῶν ἀγρίων. καὶ λαγωοὺς βόσκει καὶ εἴ τι τούτοις ὅμοιον. ἆρ' οὖν οὐκ ἐνθυμῇ παρ' ὅσον ἦλθον κινδύνου ὁ μάταιος ἐγώ, τὸ τοιοῦτον χωρίον τὴν Τιβερίνην τὸ βάραθρον τῆς οἰκουμένης φιλονεικῶν ἀνταλλάξασθαι. πρὸς ὅπερ νῦν ἐπειγόμενον συγγνώσῃ. πάντως γὰρ οὐδὲ Ἀλκμαίων τὰς Ἐχινάδας εὑρὼν ἔτι τῆς πλάνης ἠνέσχετο. Ἔρρωσο.

Τοῦ αὐτοῦ περὶ τῆς κατ' ἐρημίαν διαγωγῆς.

tectus nemore, gelidis aquis pellucidiſque verſus Arctum irriguus ſub huius radicem, campus iacet ſupinus, qui ex montanis humoribus fertilis fœcundúſque redditur. Eum circumit ſylua ſpontanea, varijs omniúſque generis arboribus conſtans, quæ perinde vt vallo munitur: ſic vt Calypſus etiam ad hanc planiciem inſula, comparata parua quædam eſſe debeat, cuius ſane præ reliquis amœnitatem Homerus admiratus potiſſimùm eſſe videtur. Neque enim ab inſula multùm habent diſcriminis, quia vallis atque munitionibus vndique circũſepta eſt. Conualles enim à duabus partibus eam circũcingunt. A latere verò decurrens à præcipitijs flumen, perenne atque munitum murum vicè ei præſtat. Ex altera parte mons protenſus per lunatos anfractus cõuallibus inuentus, peruia radicis communit. Vnus autem per eam patet aditus, cuius nos ſumus domini. Habitationem verò, quoddam aliud collum excipit, peraltam quandam in ſummitate ceruicem ſuſtinens, ſic vt in ea totus campus aſpectui ſubijciatur, & ab excelſo fluuium etiam circum fluentẽ videre liceat non minorem voluptatem præbentẽ, vt mihi quidem videtur, quàm ea quæ percipiuntur apud Amphipolim ab iis qui Strymonem fluuium ſpectant. Hic enim leniore fluxu circumſtagnans, propemodum non eſſe fluuius exiſtimatur, propter illam lenitatem. At ille alter, omnium fluuiorum, quos ego vidi, celerrimè fluit, etiam ad petram allidens pictatur. Inde ſe diffundens in profundũ vorticem conuoluitur. Noſter verò aſpectũ mihi præbet omnium ſuauiſſimum, vtilitatémque accolis non mediocrem, piſcium quoque multitudinẽ innumerabilem in gurgitibus nutriens. Quid opus eſt ſuaues terræ illius habitus proferre, aut ex fluuio auras? Quiuis certè miraretur, & florum copiam & auium ſuauiter cantillantium multitudinem, ſed mihi non eſt otium vt iſtis animum aduertam. Hoc maximum de hoc loco poſſum dicere: eum ad omnem fructuum vbertatem eſſe maximè idoneum ex ſitu ſuo opportuno. Mihi verò præbet quietem quibuſuis fructibus grauiorem. Mei, tantùm quòd ſit remotus ab vrbana turba: ſed etiam quòd illac iter habeat, exceptis iis qui venationis cauſa interdum nobiſcum miſcentur. Nam præter lupos, quemadmodum apud vos: Abſit: ſed ceruorum armenta, capprarum ſylueſtrium & leporum greges paſcit, ac feras eiuſmodi: Nonne verò cogitas quantum in periculum deuenerim, ſtultus ego, quòd hunc locum commutare contenderim cum Tiberina illa voragine totius orbis terrarum? Ad quem locum nunc cùm feſtinem, ignoſces. Sic enim Alcmæon Echinadas quum inueniſſet, vagis illis erroribus detineri non ampliùs ſuſtinuit. Vale.

Eidem Gregorio Theologo Baſilius.
De habitatione in loco deſerto.

AGnoui tuam epiſtolam, ſicut faciunt illi, qui amicorum filios ex ſimilitudine

Ἐπέγνων σου τὴν ἐπιστολήν, ὥσπερ οἱ τοὺς τῶν φίλων παῖδας ἐκ τῆς ἐπιφαινομένης αὐτοῖς

parentum

parentum agnoſcunt. Hic verò eſt animi tui ſenſus, omnia in hac nihili facientis, præ beatitudine quæ nobis eſt repoſita in promiſſionibus. At neges loci apparatum multùm conferre ad ingenerandū ſtudium, quo inſtitutum vitæ noſtræ amplectaris, antequam cognoueris huius vitæ noſtræ rationem. Ipſe vero quæ faciam dies noctéſque in hoc ſemoto loco, ſcribere erubeſco. Congreſſus quidem & exercitationes vrbis, tanquam multorum malorum occaſiones reliqui: me ipſum tamen nondum relinquere potui. Sed ſimilis ſum iis qui in mari, non aſſuefacti nauigationibus miſerè nauſeant. atque magnitudine nauigij offenſi, quaſi maiorem iactationem præbeat. Inde in lembum aut in nauiculam tranſeat, & vtrobique nauſea conflictati, neſciunt quò ſe commodè conuertant: vnà moleſtiam & tędium ſecum gerentes. Aliquid eiuſmodi nos etiam patimur. Domeſticas enim perturbationes circumferentes, vbique conflictamur animi perturbationibus: adeò vt non magnoperè nobis profuerit hæc ſolitudo. Nobis tamen inſiſtendum fuit veſtigiis Seruatoris noſtri (ſi quis enim, inquit ille, vult poſt me venire, abneget ſeipſum: & tollat crucem ſuam, & ſequatur me) Ita igitur nos comparare oportet mentem pacatam & quietam habere conandum. Vt enim oculus aſſiduè circumactus, modò huc modò illuc, ad obliqua deflexus ſurſum ac deorſum conuerſus, perſpicuè cernere nequit: ſed oportet viſum ad rem obiectam affixum eſſe certò aſpectu rem conſpecturus: Ita fieri nequit, vt mens hominis infinitis mundi curis diſtracta, euidenter veritati attendat. Etenim is qui nondum eſt nuptiarū vinculis aſtrictus, rapidis tenetur cupiditatibus, effrenes etiam impetus eum irretiunt, amoréſq; perditi eum perturbant. Rurſus quem iam coniugium implicuit, curarum aceruus excipit. In orbitate liberorum, deſiderium prolis: quum ſuſcepit liberos, de ipſis educandis ſollicitus eſt. Accedit vxoris cuſtodia, domus cura, ſeruorum ac familiæ cōſtitutio, in commercijs detrimenta, cum vicinis contentiones, in foro lites, negociationū pericula, agriculturæ labores. Vnaquęque dies venit ſuam animo afferens caliginem. Noctes curas excipientes diurnas, in cogitationibus iiſdem mentem fallunt. Hæc omnia vitandi vnica ratio: ſe ab vniuerſo mundo ſeducere. A mundo verò ſeceſſus non eſt, extra ſe ipſum eſſe corpore, ſed animam à conſenſu corporis auellere: extorrem eſſe, ſine domo, ſine re propria, ſine amicorum ſodalitate, ſine opibus, ſine prouentu ſine negotiis, ſine commerciis: diſciplinas humanas non cognoſcere, ſed paratum eſſe ad ſuſcipiendam doctrinam in diuinis monumentis informatam. Præparatio verò cordis eſt dediſcere ex praua conſuetudine doctrinas, acceptas. Neque enim in tabulis cereis poteſt aliquis ſcribere, niſi priùs literæ fuerint deletæ, ibi ia exaratæ

ὁμοιότητος πρὸς τοὺς τεκόντας ἐπιγινώσκουσι. τὸ γὰρ μὴ μέγα εἶναι θήσειν τὴν τοῦ τόπου κατασκευὴν πρὸς τὸ ἐμποιῆσαι ὁρμήν τινα τῇ ψυχῇ συνεῖναι τὸν μεθ' ἡμῶν βίον, πρὶν ἂν περὶ τὸ τρόπου τι μαθεῖς καὶ τῆς διαγωγῆς, σὸν ὄντως τὸ δόγμα καὶ τῆς σῆς ψυχῆς, τῆς πάντα τὰ τῇδε μηδὲν τιθεμένης πρὸς τὴν ἐν ἐπαγγελίαις ἀποκειμένην ἡμῖν μακαριότητα. ἐγὼ δὲ ἃ μὲν ποιῶ αὐτὸς ἐπὶ τῆς ἐσχατιᾶς ταύτης νύκτας καὶ ἡμέρας, γράφειν αἰσχύνομαι. κατέλιπον μὲν γὰρ τὰς ἐν ἄστει διατριβάς, ὡς μυρίων κακῶν ἀφορμάς. ἐμαυτὸν δὲ οὔπω ἀπολιπεῖν ἠδυνήθην. ἀλλ' ὅμοιός εἰμι τοῖς ἐν θαλάσσῃ ὑπὸ τῆς κατὰ τὸν πλοῦν ἀηθείας ἀπειλουμένοις καὶ ναυτιῶσιν, οἳ τῷ μεγέθει τοῦ πλοίου δυσχεραίνουσιν ὡς πολὺν σάλον παρεχομένῳ. κἀκεῖθεν ἐπὶ τὸν λέμβον ἢ τὸ ἀκάτιον μεταβαίνοντες, πανταχοῦ ναυτιῶσι καὶ ἀπορῶνται. συμμετέρχεται γὰρ αὐτοῖς ἡ ἀηδία καὶ ἡ χολή. τοιοῦτον οὖν τι καὶ τὸ ἡμέτερον. τὰ γὰρ ἔνοικα πάθη συμπεριφέροντες, πανταχοῦ μετὰ τῶν ὁμοίων θορύβων ἐσμέν. ὥστε οὐδὲν μέγα τῆς ἐρημίας ἀπωνάμεθα ταύτης. ἃ μέντοι ποιεῖν ἔδει, καὶ ὅθεν ὑπάρξει ἡμῖν τῶν ἴχνων ἔχεσθαι τοῦ πρὸς σωτηρίαν καθηγησαμένου, (εἴ τις γάρ φησι θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθείτω μοι,) ταῦτά ἐστιν. ἐν ἡσυχίᾳ τὸν νοῦν ἔχειν πειρᾶσθαι προσήκει. ὡς γὰρ ὀφθαλμὸς περιαγόμενος συνεχῶς καὶ νῦν μὲν ἐπὶ τὰ πλάγια περιστρεφόμενος, νῦν δὲ πρὸς τὰ ἄνω καὶ κάτω πυκνὰ μεταστρεφόμενος ἰδεῖν ἐναργῶς οὐχ οἷόν τε, ἀλλὰ χρὴ προσερείδεσθαι τὴν ὄψιν τῷ ὁρωμένῳ εἰ μέλλοι ἐναργῆ αὐτοῦ ποιεῖσθαι τὴν θέαν, οὕτως καὶ νοῦν ἀνθρώπου ὑπὸ μυρίων τῶν κατὰ τὸν κόσμον φροντίδων περιελκόμενον, ἀμήχανον ἐναργῶς ἐνατενίσαι τῇ ἀληθείᾳ. ἀλλὰ τὸν μὲν οὔπω τοῖς δεσμοῖς τοῦ γάμου συνεζευγμένον, λυσσώδεις ἐπιθυμίαι καὶ ὁρμαὶ δυσκάθεκτοι καὶ ἔρωτές τινες δυσέρωτες ἐκταράσσουσι. τὸν δὲ ἤδη κατειλημμένον ὁμοζύγῳ, θόρυβος φροντίδων ἐκδέχεται. ἐν ἀπαιδίᾳ, παίδων ἐπιθυμία, γυναικὸς φυλακή, οἴκου ἐπιμέλεια, οἰκετῶν προστασία, αἱ κατὰ τὰ συμβόλαια βλάβαι, οἱ πρὸς τοὺς γείτονας διαπληκτισμοί, αἱ ἐν τοῖς δικαστηρίοις συμπλοκαί, τῆς ἐμπορίας οἱ κίνδυνοι, αἱ τῆς γεωργίας διαπονήσεις. πᾶσα ἡμέρα ἰδίαν ἥκει φέρουσα τῆς ψυχῆς ἐπισκότησιν, καὶ αἱ νύκτες τὰς μεθημερινὰς φροντίδας παραλαβοῦσαι, ἐν ταῖς αὐταῖς φαντασίαις ἐξαπατῶσι τὸν νοῦν. τούτων δὲ φυγὴ μία, ὁ χωρισμὸς ἀπὸ τοῦ κόσμου παντός. κόσμου δὲ ἀναχώρησις, οὐ τὸ ἔξω αὐτοῦ γενέσθαι σωματικῶς. ἀλλὰ τῆς πρὸς τὸ σῶμα συμπαθείας τὴν ψυχὴν ἀπορρῆξαι, καὶ γενέσθαι ἄπολιν, ἄοικον, ἀΐδιον, ἀφιλέταιρον, ἀκτήμονα, ἄβιον, ἀπράγμονα, ἀσυνάλλακτον, ἀμαθῆ τῶν ἀνθρωπίνων διδαγμάτων, ἕτοιμον ὑποδέξασθαι τῇ καρδίᾳ τὰς ἐκ τῆς θείας διδασκαλίας ἐγγινομένας διατυπώσεις. ἑτοιμασία δὲ καρδίας, ἡ ἀπομάθησις τῶν ἐκ πονηρᾶς συνηθείας προκατασχόντων αὐτὴν διδαγμάτων. οὔτε γὰρ ἐν κηρῷ γράψαι δυνατόν, μὴ καταλεαίνοντα τὰς

ἐναποκειμένους χαρακτῆρας. οὔτε ψυχὴ δόγματα θεῖα παραδέξασθαι, μὴ τὰς ἐκ τοῦ ἔθους προλήψεις αὐτῆς ἐξαλείψασα. πρὸς δὴ τοῦτο μέγιστον ὄφελος ἡμῖν ἡ ἐρημία παρέχεται, κατευνάζουσα ἡμῶν τὰ πάθη καὶ σχολὴν διδοῦσα τῷ λόγῳ παντελῶς αὐτὰ τῆς ψυχῆς ἐκτεμεῖν. ὡς γὰρ τὰ θηρία εὐκαταγώνιστά ἐστι καταψηχθέντα, οὕτως ἐπιθυμίαι καὶ ὀργαὶ καὶ φόβοι καὶ λῦπαι τὰ ἰοβόλα τῆς ψυχῆς κακὰ κατευνασθέντα διὰ τῆς συνηθείας καὶ μὴ ἐξαγριαινόμενα τῷ συνεχεῖ ἐρεθισμῷ, εὐκαταγωνιστότερα τῇ δυνάμει τοῦ λόγου γίνεται. ἔστω τοίνυν τὸ χωρίον τοιοῦτον, οἷόνπερ ἐστὶ καὶ τὸ ἡμέτερον, ἐπιμιξίας ἀνθρώπων ἀπηλλαγμένον, ὡς μὴ ὑπὸ μηδενὸς τῶν ἔξωθεν τὸ συνεχὲς τῆς ἀσκήσεως διακόπτεσθαι. ἄσκησις δὲ εὐσεβείας, τὴν ψυχὴν τρέφει τοῖς θείοις διανοήμασι. ποιῶ μακαριώτερον τοῦ τὴν ἀγγέλων χορείαν ἐν γῇ μιμεῖσθαι. εὐθὺ μὲν ἀρχομένης ἡμέρας εἰς εὐχὰς ὁρμῶντα, καὶ ὕμνοις καὶ ᾠδαῖς γεραίρειν τὸν κτίσαντα. εἶτα ἡλίου καθαρῶς διαλάμψαντος ἐπ' ἔργα τρεπόμενον, πανταχοῦ αὐτῷ τῆς εὐχῆς συμπαρούσης, καὶ τοῖς ὕμνοις ὥσπερ ἅλατι παραρτύειν τὰς ἐργασίας. τὸ γὰρ ἱλαρὸν καὶ ἄλυπον τῆς ψυχῆς κατάστημα, αἱ τῶν ὕμνων παρηγορίαι χαρίζονται. ἡσυχία οὖν ἀρχὴ καθάρσεως τῇ ψυχῇ, μήτε γλώττης λαλούσης τὰ τῶν ἀνθρώπων, μήτε ὀφθαλμῶν εὐχροίας σωμάτων καὶ συμμετρίας περισκοπούντων. μήτε ἀκοῆς τὸν τόνον τῆς ψυχῆς ἐκλυούσης, ἐν ἀκροάσει μελῶν πρὸς ἡδονὴν πεποιημένων, μήτε ῥήμασιν εὐτραπέλων καὶ γελοιαστῶν ἀνθρώπων, ὃ μάλιστα λύειν τῆς ψυχῆς τὸν τόνον πέφυκε. νοῦς μὲν γὰρ μὴ σκεδαννύμενος ἐπὶ τὰ ἔξω, μηδὲ ὑπὸ τῶν αἰσθητηρίων ἐπὶ τὸν κόσμον διαχεόμενος, ἐπάνεισι μὲν πρὸς ἑαυτόν. δι' ἑαυτοῦ δὲ πρὸς τὴν περὶ θεοῦ ἔννοιαν ἀναβαίνει. κἀκείνῳ τῷ κάλλει περιλαμπόμενός τε καὶ ἐλλαμπόμενος, καὶ αὐτῆς τῆς φύσεως λήθην λαμβάνει. μήτε πρὸς τροφῆς φροντίδα, μήτε πρὸς περιβολαίων μέριμναν τὴν ψυχὴν καθελκόμενος, ἀλλὰ σχολὴν ἀπὸ τῶν γηΐνων φροντίδων ἄγων, τὴν πᾶσαν αὐτοῦ σπουδὴν ἐπὶ τὴν κτῆσιν τῶν αἰωνίων ἀγαθῶν μετατίθησι, πῶς μὲν κατορθωθῇ αὐτῷ ἡ σωφροσύνη καὶ ἡ ἀνδρία. πῶς δὲ ἡ δικαιοσύνη καὶ φρόνησις καὶ αἱ λοιπαὶ ἀρεταί, ὅσαι ταῖς γενικαῖς ταύταις ὑποδιαιρούμεναι, καθηκόντως ἕκαστα ἐπιτελεῖν τῷ κατὰ τὸν βίον ὑποβάλλουσι τῷ σπουδαίῳ. μεγίστη δὲ ὁδὸς πρὸς τὴν τοῦ καθήκοντος εὕρεσιν καὶ ἡ μελέτη τῶν θεοπνεύστων γραφῶν. ἐν ταύταις γὰρ καὶ αἱ τῶν πράξεων ὑποθῆκαι εὑρίσκονται. καὶ οἱ βίοι τῶν μακαρίων ἀνδρῶν, ἀναγραπτοὶ παραδεδομένοι, οἷον εἰκόνες τινὲς ἔμψυχοι τῆς κατὰ θεὸν πολιτείας τῷ μιμήματι τῶν ἀγαθῶν ἔργων πρόκεινται. καὶ τοίνυν περὶ ὅπερ ἂν ἕκαστος ἐνδεῶς ἔχοντος ἑαυτοῦ αἰσθάνηται, ἐκείνῳ προσδιατρίβων οἷον ἀπό τινος κοινοῦ ἰατρείου τὸ πρόσφορον εὑρίσκει τῷ ἀρρωστήματι φάρμακον. καὶ ὁ μὲν ἐραστὴς τῆς σωφροσύνης, τὴν περὶ τοῦ Ἰωσὴφ ἱστορίαν συνεχῶς ἀνελίσσων,

ibi iam exaratas: hic neque doctrina diuina poteſt animo infigi, niſi prius anticipati ex conſuetudine concepti, reiecti fuerint. Ad hoc efficiendum, maximam vtilitatem nobis ſolitudo præbet, affectus noſtro ſopiens, otium rationi tribuens, quod poſſit illos ex animo euellere. Quemadmodum enim feræ permulſæ facilè ſuperantur: ita libido, ira, timor, & mœror, animæ mala venefica, cõſuetudine ſopita, neque aſſiduo irritamento exaſperata, faciliùs vi rationis ſuperatur. Sit igitur locus eiuſmodi, cuiuſmodi noſter eſt: ab hominum congreſſu liber, ne ab aliquo extraneo exercitationis & medicationis aſſiduitas interrumpatur. Meditatio verò & exercitatio pietatis animam diuinis cogitationibus alit. Quid igitur beatius, quàm in terris angelorũ chorũ imitari? Prima luce ſtatim à precibus incipere: hymnis & canticis creatorem venerari? Deinde Sole plenè illuceſcente, ad opus ſuum ſe referre: vbique precibus adiunctis & canticis, tanquam ſale actiones ſuas condire? Hymnorum enim conſolationes & hortationes animam reddunt hilarem ac bene compoſitam. Quis igitur initium præbet ad animã purgandã: quando lingua de humanis ſtudiis nõ loquitur, neq; oculi colores nitidos corporum circũſpiciũt, neque membrorum probationem: auditus quoque cantionibus ad voluptatem ſciendam factis, firmitudinem animæ non diſſoluit, animus quoque ſcurrilibus hominum facetorum dictis nõ fit languida. Id enim ad eius vim infringedam maximè comparatum. Mens nanque ad externa non diſcurrens, & per ſenſus in res mundanas nõ diffuſa, ad ſeipſam reuertitur. & per ſe ipſam ad Dei notionem aſcendit. Ex illo igitur decore anima circũluſtrata & illuſtrata obliuionem capit, eorum quæ natura requirit: vt nec ad cibi curam, nec ad veſtimentorum ſollicitudinem abſtrahatur: ſed à terrenis curis vacua, omne ſuum ſtudium ad æternorum bonorum adeptionem conuertit: at videat quomodo temperantia, quomodo fortitudo ſit inſtituenda, quomodo iuſtitia, quomodo prudentia & reliquę virtutes, quæ generalibus hiſce ſubiiciuntur, ſint exercendæ, quæ virum bonum monent, qua ratione ſint iſta rectè & decenter in hac vita præſtanda. Præcipua verò via: ad officij inuentionem, eſt, meditatio ſcripturarum diuinitus inſpiratarum. In his enim actionem præcepta reperiuntur, atque vitæ beatorum virorum præſcriptæ, tanquam imagines & ſimulachra quædam animata proponuntur ad imitationem bonorum operum, quæ ſecundum normam diuinam inſtituuntur. Itaque in qua re vnuſquiſque ſenſerit ſe indigere eo quod oportet in illis ſcripturis diuinitus inſpiratis ſuum ſtudium ponens, tanquam ab aliqua medicinæ communi officina aptum inuenit morbi ſui remedium. Is igitur qui ſtudioſus eſt. Temperantiæ, hiſtoriam de Ioſepho aſſiduè reuoluit & ab illo actio-

actiones temperantiæ diſcit: reperiens ipſum non tantùm continentem in illa libidine, ſed etiam habitu virtutis præditum. Fortitudinē verò docet Iobus, cuius vita quum in contrarium mutata fuiſſet factúſque ex diuite, pauper: ex pulchra prole, liberis orbus, idque temporis momento, idem permanſit tamen, excelſam vbique animę cogitationem retinens. Amicis quoque ad conſolandum venientibus, ac poſtea ipſi inſultantibus dolorem otium augentibus nequaquam acerbè ſuccenſuit. Ruſus ſi quis rationem ineat, qua mitem ac ſimul magnanimum ſe prę̨ſtet, ita vt aduerſus peccatum animoſè inſurgat: ſed erga homines lenitate vtatur: inueniet Dauidem generoſum in bellicis facinoribus, ſed clementem & placidum in vlciſcendis iniuriis ab inimicis acceptis. Talis etiam erat Moſes magna quidem ira in illos inſurgens, qui in Deum deliquerant. ſed miti animo criminationes & calumnias contra ſeipſum tolerans. Quemadmodum autem pictores, vbique quando imaginem ex imagine pingunt, identidem ad exemplar reſpiciētes characterem ad ſuum opificium inde transferre conātur: ita oportet eū qui ſtudet ſeipſum omnibus virtutis partibus perfectum reddere, ſanctorum vitas, veluti ſimulachra quædam viua & efficacia reſpicere, illorúmque bona opera per imitationem ſua facere. Preces rurſus lectionibus ſuccedentes animam vegetiorem ac recētiorem deſiderio Dei flagrantem, ſuſcipiunt. Precatio verò bona eſt ea quæ manifeſtam Dei notionem animo ingenerat. Hoc verò eſt Dei inhabitatio in memoria habere Deū infixum. Efficimur ergo templum Dei, quādo terrenis curis aſſiduitas memoriæ non interrumpitur, neque improuiſis perturbationibus mens tumultuatur: ſed cultor Dei hæc omnia effugiens, ad Deum ſe recipit, affectus expellens prouocantes ad intemperantiam, tunc in ſtudiis ad virtutem ducētibus occupatur. Ante omnia igitur conuenit dare operam ne ſimus rudes & imperiti eorum quę pertinent ad ſermonis vſum, ſed interrogemus citra contentionem: reſpondeamus non ſuperbè, neque interpellemus eum qui nobiſcum diſſerit, vtilia loquentem nimia oſtentatione quadam, ſed modum definitum habeamus & loquendi & audiendi. Neq; nos pudeat diſcere. docendum autem eſt ſine inuidia, quòd ſi quid ab alio didiceris, ne illud occultes: ſicuti faciunt improbæ mulieres, ſpurios partus ſubiicientes: ſed auctorem doctrinæ grato animo celebres: vocis verò contentio temperata & mediocris melior, vt neq; exilitate ſua auditum effugiat, neque impenſa nimis ſit oneroſa. Apud teipſum prius repute quid ſis dicturus, ita vt demū ſermonem proferas. In congreſſibus ſis affabilis atque in colloquiis ſuauis, & conſuetudine gratus: non tamen ſuauitatem illam per ſcurriles facetias, captans: ſed per eam beneuolam ac leuem adhortationem comparans aſperitatem, etiamſi obiurgatione opus foret, remouens. Prius ita te compares

καὶ παρ' αὐτοῦ τὰς σωφρονικὰς ἐκδιδάσκεται πράξεις· εὑρίσκων αὐτὸν οὐ μόνον ἐγκρατῶς πρὸς ἡδονὰς ἔχοντα, ἀλλὰ καὶ ἑκτικῶς πρὸς ἀρετὴν διακείμενον. ἀνδρείαν δὲ παιδεύεται παρὰ τοῦ ἰώβ. ὃς οὐ μόνον πρὸς τὰ ἐναντία τοῦ βίου μεταπεσόντος αὐτῷ, πένης ἐκ πλουσίου καὶ ἄπαις ἀπὸ καλλίπαιδος ἐν μιᾷ καιροῦ ῥοπῇ γενόμενος, διέμεινεν ὁ αὐτός, ἀταπείνωτον πανταχοῦ τὸ τῆς ψυχῆς φρόνημα διασώζων. ἀλλ' οὐδὲ τῶν φίλων τῶν εἰς παραμυθίαν ἡκόντων ἐπεμβαινόντων αὐτῷ καὶ συνεπιτριβόντων τὰ ἀλγεινὰ παρωξύνθη. πάλιν σκοπῶν τις πῶς ἂν πρᾶος ἐν ταὐτῷ καὶ μεγαλόθυμος γένοιτο, ὥστε τῷ μὲν θυμῷ κατὰ τῆς ἁμαρτίας κεχρῆσθαι, τῇ δὲ πρᾳότητι πρὸς τοὺς ἀνθρώπους, εὑρήσει τὸν δαβὶδ γενναῖον μὲν ἐν τοῖς κατὰ πόλεμον ἀνδραγαθήμασι, πρᾶον δὲ καὶ ἀκίνητον ἐν ταῖς τῶν ἐχθρῶν ἀντιδόσεσι, τοιοῦτος ἦν καὶ μωσῆς, μεγάλῳ μὲν τῷ θυμῷ κατὰ τῶν εἰς θεὸν ἐξαμαρτανόντων διανιστάμενος, πρᾳείᾳ δὲ τῇ ψυχῇ τὰς καθ' ἑαυτοῦ διαβολὰς ὑποφέρων. καὶ πανταχοῦ ὥσπερ οἱ ζωγράφοι, ὅταν ἀπὸ εἰκόνων εἰκόνα γράφωσι, πυκνὰ πρὸς τὸ παράδειγμα ἀποβλέποντες, τὸν ἐκεῖθεν χαρακτῆρα πρὸς τὸ ἑαυτῶν σπουδάζουσι μεταθεῖναι φιλοτέχνημα, οὕτω δεῖ καὶ τὸν ἐσπουδακότα ἑαυτὸν πᾶσι τοῖς μέρεσι τῆς ἀρετῆς ἀπεργάσασθαι τέλειον, οἱονεὶ πρὸς ἀγάλματά τινα κινούμενα καὶ ἔμπρακτα, τοὺς βίους τῶν ἁγίων ἀποβλέπειν. καὶ τὸ ἐκείνων ἀγαθόν, οἰκεῖον ποιεῖσθαι διὰ μιμήσεως. εὐχαὶ πάλιν τὰς ἀναγνώσεις διαδεχόμεναι νεαρωτέραν τὴν ψυχὴν καὶ ἀκμαιοτέραν τῷ πρὸς θεὸν πόθῳ κεκινημένην παραλαμβάνουσιν. εὐχὴ δέ γε καλὴ ἡ ἐναργῆ ἐμποιοῦσα τοῦ θεοῦ ἔννοιαν τῇ ψυχῇ. καὶ τοῦτό ἐστι τοῦ θεοῦ ἐνοίκησις, τὸ διὰ τῆς μνήμης ἔχειν ἐνιδρυμένον ἐν ἑαυτῷ τὸν θεόν. οὕτω γὰρ γινόμεθα ναὸς θεοῦ, ὅταν μὴ φροντίσι γηΐναις τὸ συνεχὲς τῆς μνήμης διακόπτηται. μηδὲ τοῖς ἀπροσδοκήτοις πάθεσιν ὁ νοῦς ἐκταράττηται. ἀλλὰ πάντα ἀποφυγὼν ὁ φιλόθεος, ἐπὶ θεὸν ἀναχωρῇ. ἐξελαύνων τὰ προκαλούμενα ἡμᾶς εἰς ἀκρασίας πάθη, καὶ τοῖς πρὸς ἀρετὴν ἄγουσιν ἐπιτηδεύμασιν ἐνδιατρίβῃ. καὶ πρῶτόν γε πάντων σπουδάζειν προσήκει περὶ τὴν τοῦ λόγου χρῆσιν μὴ ἀμαθῶς ἔχειν. ἀλλ' ἐρωτᾶν μὲν ἀφιλονείκως. ἀποκρίνεσθαι δὲ ἀφιλοτίμως, μὴ διακόπτοντα τὸν προσδιαλεγόμενον, ὅταν χρήσιμόν τι λέγῃ, μηδὲ ἐπιθυμοῦντα τὸν ἑαυτοῦ λόγον ἐπιδεικτικῶς παρεμβάλλειν, μέτρα ὁρίζοντα λόγῳ καὶ ἀκοῇ. μανθάνειν δὲ ἀνεπαισχύντως καὶ διδάσκειν ἀνεπιφθόνως. καὶ εἴ τι παρ' ἑτέρου δεδίδακται, μὴ ἐπικρύπτειν ὥσπερ αἱ φαῦλαι τῶν γυναικῶν, αἱ τὰ νόθα ὑποβαλλόμεναι, ἀλλὰ ἀνακηρύσσειν εὐγνωμόνως τὸν πατέρα τοῦ λόγου. τόνος δὲ φωνῆς ὁ μέσος προτιμητέος ὡς μήτε διαφεύγειν τὴν ἀκοὴν ὑπὸ σμικρότητος, μήτε φορτικὸν εἶναι τῷ μεγέθει τῆς διατάσεως. προεξετάσαντα δὲ ἐν ἑαυτῷ τὸ ῥηθησόμενον, οὕτω δημοσιεύειν τὸν λόγον. εὐπροσήγορον ἐν ταῖς ἐντεύξεσι. γλυκὺν ἐν ταῖς ὁμιλίαις. οὐ διὰ τῆς εὐτραπελίας τὸ ἡδὺ θηρώμενον, ἀλλὰ διὰ τῆς εὐμενοῦς παρακλήσεως τὸ προσηνὲς ἔχοντα. πανταχοῦ τὸ τραχὺ κἂν ἐπιτιμῆσαι δέοι, ἀποθούμενον. προκαταλαβὼν γὰρ ἑαυτὸν

διὰ ταπεινοφροσύνης, οὕτως δὲ εὐπρόσδεκτος ἔσῃ τῷ δεομένῳ τῆς θεραπείας. πολλάκις δὲ χρήσιμος ἡμῖν καὶ ὁ τοῦ προφήτου τρόπος τῆς ἐπιπλήξεως. ὃς τῷ Δαβὶδ ἁμαρτόντι, οὐ παρ᾽ ἑαυτοῦ ἐπήγαγε τὸν ὅρον τῆς καταδίκης. ἀλλ᾽ ὑποβολῇ προσώπου χρησάμενος, αὐτὸν ἐκεῖνον ἐκάθισε τοῦ ἰδίου κριτὴν ἁμαρτήματος. ὥστε αὐτὸν καθ᾽ ἑαυτοῦ προεξενεγκόντα τὴν κρίσιν, μηδὲν ἔτι μέμφεσθαι τὸν ἐλέγξαντα. ἕπεται δὲ τῷ ταπεινῷ καὶ καταβεβλημένῳ φρονήματι, ὄμμα συγνὸν καὶ εἰς γῆν συννενευκός. σχῆμα ἠμελημένον· κόμη αὐχμηρά· ἐσθὴς ῥυπῶσα. ὥστε ἃ ποιοῦσιν οἱ πενθοῦντες κατ᾽ ἐπιτήδευσιν, ταῦτα ἐκ τοῦ αὐτομάτου ἡμῖν ἐπιφαίνεσθαι. χιτὼν διὰ ζώνης προσεσταλμένος τῷ σώματι. τὸ μέντοι ζῶσμα μήτε ἄνω τῆς λαγόνος. γυναικῶδες γάρ, μήτε χαῦνον ὥστε διαρρεῖν τὸν χιτῶνα. βλακικὸν γάρ. καὶ τὸ βάδισμα μήτε νωθρόν, ὡς ἔκλυσιν τῆς ψυχῆς κατηγορεῖν. μήτ᾽ αὖ σφοδρὸν καὶ σεσοβημένον. ὡς ἐμπλήκτους αὐτῆς τὰς ὁρμὰς ὑποφαίνειν. σκοπὸς ἐσθῆτος εἷς. κάλυμμα εἶναι σαρκὸς πρὸς χειμῶνα καὶ θέρος αὐτάρκες. μήτε δὲ ἐν χρώματι τὸ ἀνθηρὸν διωκέσθω. μήτε ἐν τῇ κατασκευῇ τὸ λεπτὸν καὶ μαλακόν. τὸ γὰρ τὰς ἐν ἐσθῆτι διαχροίας περισκοπεῖν, ἴσον ἐστὶ γυναικείῳ καλλωπισμῷ, ὃν ἐκεῖναι ἐπιτηδεύουσιν ἀλλοτρίῳ ἄνθει, παρειὰς καὶ τρίχας ἑαυτῶν καταβάπτουσαι. ἀλλὰ μὴν καὶ παχύτητος οὕτως ἔχειν ὁ χιτὼν ὀφείλει, ὡς μὴ δεῖσθαι κοινωνοῦ πρὸς τὸ θάλπειν τὸν ἐνδυόμενον. ὑπόδημα δὲ τὸ εὐτελὲς μὲν κατὰ τὴν ἀξίαν, ἀνενδεῶς δὲ τὴν χρείαν ἀποπληροῦν. καὶ ἁπαξαπλῶς ὡς ἐν τῷ ἐνδύματι ἡγεῖσθαι προσήκει τὸ χρειῶδες, οὕτω καὶ ἐν τροφῇ ἄρτος ἐκπληρώσει τὴν χρείαν, καὶ ὕδωρ θεραπεύσει τὴν δίψαν τῷ ὑγιαίνοντι. καὶ ὅσα ἐκ σπερμάτων παραρτήματα πρὸς τὰς ἀναγκαίας χρείας τὴν ἰσχὺν τῷ σώματι δύναται διασώσασθαι. ἐσθίειν δὲ μὴ λυσσωδῶς γαστρὶ μαργῶσαν ἐμφαίνοντα. ἀλλὰ πανταχοῦ τὸ εὐσταθὲς καὶ πρᾷον καὶ περὶ τὰς ἡδονὰς ἐγκρατὲς διασώζοντα. μηδὲ τότε τὸν νοῦν ἀργὸν ἐν τῇ περὶ θεοῦ ἐννοίᾳ ἔχοντα, ἀλλ᾽ αὐτὴν τὴν βρωμάτων τὴν φύσιν καὶ τὴν τοῦ ὑποδεχομένου σώματος κατασκευήν, ἀφορμὴν ποιεῖσθαι δοξολογίας. πῶς ποικίλα εἴδη τροφῶν τῇ ἰδιότητι τῶν σωμάτων ἁρμόζοντα, παρὰ τοῦ πάντα οἰκονομοῦντος ἐπινενόηται. εὐχαὶ πρὸ τροφῆς, ἀξίως γινέσθωσαν τῶν τοῦ θεοῦ παροχῶν. ὧν τε νῦν δίδωσι καὶ ὧν πρὸς τὸ μέλλον ἐταμιεύσατο. εὐχαὶ μετὰ τροφήν, εὐχαριστίαν τῶν δεδομένων ἔχουσαι καὶ αἴτησιν τῶν ἐπηγγελμένων. ὥρα μία τροφῆς ἀποτεταγμένη, ἡ αὐτὴ κατὰ περίοδον ἀπαντῶσα. ὡς ἐκ τῶν εἰκοσιτεσσάρων ὡρῶν τοῦ ἡμερονυκτίου, μόλις εἶναι ταύτην τὴν προσαναλισκομένην τῷ σώματι. τὰς δὲ λοιπὰς ἐν τῇ κατὰ νοῦν ἐργασίᾳ ἀπασχολεῖσθαι τὸν ἀσκητήν. ὕπνοι δὲ κοῦφοι καὶ εὐαπάλλακτοι φυσικῶς ἀκολουθοῦντες τῇ συμμετρίᾳ τῆς διαίτης. κατ᾽ ἐπιτήδευσιν δὲ ταῖς περὶ τῶν μεγάλων μερίμναις διακοπτόμενοι. τὸ γὰρ βαθεῖ κάρῳ κατακρατεῖσθαι λυομένων αὐτοῦ τῶν μελῶν, ὥστε σχολὴν ἀτόποις φαντασίαις παρέχειν, ἐν καθημερινῷ θανάτῳ ποιεῖ τοὺς οὕτω καθεύδοντας. ἀλλ᾽ ὅπερ τοῖς ἄλλοις ὁ ὄρθρος ἐστί, τοῦτο τοῖς ἀσκηταῖς τῆς εὐσεβείας τὸ μεσονύκτιον.

velatum, ſed demiſſum animum geras: ſic acceptus eris ei qui indiget curatione. Plerumque adhibenda eſt nobis prophetæ moderatio & ratio in reprehenſionibus, qui Dauidi peccanti non à ſeipſo definiuit condemnationem, ſed vſus eſt perſonæ ſubiectione, qua illum ſui ipſius peccati iudicem conſtituit: adeò vt ipſe contra ſeipſum ſententiam tulerit, neque habuerit quid increpantem accuſaret. Abiectum autem & humilem animum ſequitur oculus triſtis humi vergens, forma neglecta, capillus incultus, veſtis ſordida: adeò vt ea quę lugétes ſtudio faciunt, ea ſpóte in nobis fieri videantur. tunica cingulo corpori ſit aſtricta, verumtamen neq; ſupra ilia: illud enim muliebre eſt: neque diffluat laxo cinctu, illud enim eſt elanguidum. Inceſſus etiam neque ſit ſegnis, diſſolutum animũ indicans. nec rurſus incitatus nimis & inſolens: temerarios enim impetus ſignificat: ſcopus veſtitus eſt vnus, vt ſit integumentum carnis aduerſus frigus & calores idoneum. In veſtitu colores floridi, nõ quęrantur, neq; in apparatu ipſius id quod eſt molle & delicatũ. Nam in veſtitu colorũ pulchritudinẽ ſectari, perinde eſt ac ſi muliebris ornatus indueretur quẽ illæ tantoperè affectãt, alieno colore genas & crines ſuos inficientes. quinetiam tunica habeat illá denſitatem, vt non indigeat alio integumento ad calefaciendum indutum. Calcei ſint pretio vili decorũ ſeruantes ac ſine defectu vſum adimplentes ſuum. In ſumma: quemadmodum in veſtitu conuenit vt vtilitas præcedat: ita quoque in cibo, panis vſum explebit ſuum, aqua verò ſitim ſedabit hominis integræ valetudinis. Ex leguminibus verò obſonia, ad neceſſarios vſus robur corporis poſſunt conſeruare. Ita quoque conuenit edere, vt rabida edacitas non oſtendatur: ſed vbique moderatio & ſtabilitas, atq; circa voluptates continentia conſeruetur. Neque tunc oportet mentem & cogitationẽ ita ſe habere, vt nihil de Deo cogitet: Imò potiùs alimentorũ natura & corporis ea recipientis ſtructura occaſionem præbeat Deum glorificandi: cogitando, quàm varia ciborum genera corporibus, quàm aptiſſimè cõuenientia: excogitauerit ille ſummus rerum arbiter & moderator. Precationes porrò ante cibum dignæ fiant, pro iis quæ à Deo ſuppeditantur, quorum alia quidem tunc temporis dantur, alia verò in futurum repoſita, preces etiam poſt cibum fiant, quæ gratiarum actionẽ contineant, eorũ quæ Deus iá dedit, atq; etiá petitionẽ eorũ quæ ipſe pollicitus eſt. Hora ſit vnica ad cibum ſumendũ conſtituta, per ambitum reuertens: vt ex viginti quatuor horis diei ac noctis, vix vna hora inſumatur ad corpus alendum: reliquæ verò inſumantur à cultore pietatis in meditationibus & actionibus eiuſmodi quæ ad pietatẽ conferunt. Somnus etiam ſit nõ profundus, ſed qui facilè diſſoluatur, rationi victus naturæ appoſitá ſectaus ac rerum magnarũ curis ſtudioſè interruptus. Sopor enim grauis & veternus, membra diſſoluens efficit, vt qui eo corripiuntur in quotidiana morte verſari videantur: & in odioſis imaginationibus occupentur. Verùm id quod aliis eſt diluculum hoc Dei cultoribus ſit nocturnum conticinium,

otium

otium animæ præbens quando oculi nihil ſpectant quod ſit noxium: aures etiam voces noxias non audiunt ad ipſas cordis penetralia ſe inſinuantes. Sed mens ſola per ſe cum Deo verſatur, quæ ſeipſam corrigit recordatione peccatorum ſuorum: ſibi quoq; præſcribit quomodo declinet à malo, & ad ea aſſequenda ad quæ toto ſtudio fertur, opem & auxiliũ à Deo implorat.

Baſilius Calligrapho.

REcta ſerie ſcribe: lineæ ordinem dirige: neque manus, ad ſuperiora nimis vergat: neqe ad ima deferatur. calamũ ne cogas vt oblique regrediatur veluti cancer ille apud Eſopum: ſed directò tanquam ad amuſſim procedens, qua Architecti vtũtur, quæ ſeruat vbique æqualitatem tollitque inæqualitatem obliqua emendãs. Nam contorta ſunt, inuenuſta, ſed rectum aſpectu iucundum, non contorquens oculos legentium ſurſum ac deorſum veluti ligna ex quibus vrnæ dependent cùm aqua ex puteis hauritur: cuiuſmodi tuæ literæ mihi viſæ quarum verſus tanquam ſcalæ erant diſpoſiti vt ab vno ad alterum eſſet tranſiliendum & oculus cùm ad finem vnius verſus peruenerat, ad alterum erat conuertendus vt ſeriem obſeruaret, & ita recurrendum vt ordo tranſpoſitus quæreretur, tanquam Theſeus qui filum Ariadnes ſequebatur, ſcribe igitur recta ſerie: neque committas vt ex tua peruerſa ſcribendi ratione mens legentis aberret.

Eidem.

Literæ mihi nuper à te redditæ ſunt: omnino tuæ. non tam ex caractere manus tuæ ſcribentis, quam ex ſtylo epiſtolis conueniente. Breues enim erant verbis, & ſententiis plenæ, quibus tamen non ſtatim reſpondimus, quia peregrè profecti eramus: tabellarius verò cùm alicui ex domeſticis meis eas tradidiſſet, ſtatim diceſſit. Nunc verò per Petrum te compellamus & aloquimur perſoluentes huius rei debitum, ſimul quoque occaſionem præbentes, vt & alteras nobis mittas literas. Omnino ſic eſt, epiſtola Laconicè ſcripta laborem non exhibet: cuiuſmodi ſunt tuæ literæ quæ ad nos quotidie perferuntur.

FINIS.

μάλιστα χολῶδε τῇ ψυχῇ τῆς τυχπείη ς ἡσυχίας χαριζομένης. οὔτε ὀφθαλμῶν, οὔτε ὤτων βλαβερὰς ἀκοὰς ἢ θέας ἐπὶ καρδίαν παραπεμπόντων, ἀλλὰ μόνου καθ' ἑαυτὸν τοῦ νοῦ τῷ θεῷ συνόντος. καὶ διορθουμένη μὲν ἑαυτὸν τῇ μνήμῃ τῶν ἡμαρτημένων, ὅρους δὲ ἑαυτῷ τιθέντος πρὸς τὴν ἔκκλισιν τοῦ κακοῦ, καὶ τὴν παρὰ θεοῦ συνεργίαν, εἰς τὴν τελείωσιν τῶν σπουδαζομένων ἐπιζητοῦντος.

Βασίλειος Καλλιγράφῳ.

ΟΡθὰ γράφε καὶ χρῶ τοῖς στίχοις ὀρθῶς. καὶ μήτε αἰωρείσθω πρὸς ὕψος ἡ χείρ, μήτε φερέσθω κατὰ κρημνοῦ. μηδὲ βίαζε τὸν κάλαμον λοξὰ βαδίζειν ὥσπερ τὸν παρ' αἰσώπῳ καρκίνον. ἀλλ' ἰθὺ χώρει ὥσπερ ἐπὶ στάθμης βαδίζων τεκτονικῆς, ἣ πανταχοῦ φυλάττει τὸ ἴσον. καὶ πᾶν αἰρεῖ τὸ ἀνώμαλον. τὸ γὰρ λοξὸν, ἀπρεπές. τὸ δὲ εὐθὺ, τερπνὸν τοῖς ὁρῶσιν οὐκ ἐῶν ἀνατείνειν καὶ κατανεύειν ὥσπερ τὰ κηλώνια τοὺς ὀφθαλμοὺς τῶν ἀναγινωσκόντων. Ὁποῖόν τι κἀμοὶ συμβέβηκε τοῖς γράμμασιν ἐντυχόντι τοῖς σοῖς. τῶν γὰρ στίχων κειμένων κλιμακηδὸν, ἡνίκα ἔδει μεταβαίνειν ἀφ' ἑτέρου εἰς ἕτερον, ἀνάγκη ἦν ἀνορθοῦν πρὸς τὸ τέλος τοῦ προειπόντος. ἐν ᾧ μηδαμοῦ φαινομένης τῆς ἀκολουθίας, ἀνάγκη ἦν ἰδεῖν πάλιν καὶ τὴν τάξιν ἐπιζητεῖν, ἀναποδίζοντα καὶ παρεπόμενον τῷ αὔλακι καθάπερ τὸν Θησέα τῷ μίτῳ τῆς Ἀριάδνης φασί. γράφε τοίνυν ὀρθῶς. καὶ μὴ πλάνα τὸν νοῦν τῷ πλαγίῳ καὶ λοξῷ τῆς γραφομένης.

Τοῦ αὐτοῦ.

ΓΡάμμα ἦλθέ μοι πρώην παρὰ σοῦ. ἀκριβῶς σὸν. οὐ τοσοῦτον τῷ χαρακτῆρι τῆς χειρὸς, ὅσον τῷ τῆς ἐπιστολῆς ἰδιώματι. ὀλίγα γὰρ ἦν τὰ γράμματα πολλὴν διάνοιαν παριστῶντα πρὸς ἃ εὐθὺς μὲν οὐκ ἀπεκρινάμεθα, διότι αὐτοὶ μὲν ἀπεδημοῦμεν. ὁ δὲ γραμματοφόρος ἑνὶ τῶν ἐπιτηδείων ἡμῖν ἐπιδοὺς τὴν ἐπιστολὴν, ἀπιὼν ᾤχετο. ἀλλὰ νῦν διὰ Πέτρου προσφθεγγόμεθά σε. ὁμοῦ μὲν ἀποτιννύντες τῆς προσηγορίας τὸ χρέος, ὁμοῦ δὲ ἀφορμὴν δευτέρων γραμμάτων παρέχοντες. πάντως δὲ οὐδεὶς πόνος λακωνικῆς ἐπιστολῆς, ὁποῖαί εἰσιν αἱ παρὰ σοῦ ἑκάστοτε πρὸς ἡμᾶς ἀφικνούμεναι.

ΤΕΛΟΣ.

ΕΠΙΣΤΟΛΑΙ ΧΙΩΝΟΣ ΜΑΤΡΙΔΙ.

EPISTOLAE CHIONIS MATRIDI.

Ἀπέδωκέ μοι Λῦσις τὴν ἐπιστολὴν τρίτην ἡμέραν ἤδη περὶ Βυζάντιον διατρίβοντι. δι᾽ ἧς τὴν σαυτοῦ σύγχυσιν καὶ πάσης τῆς οἰκίας, ἐδήλους μοι. ἄλλος μὲν οὖν ὅσοις ἔνεστι παραμυθήσασθαί σε ταῦτ᾽ ἂν διεξίοι. καὶ τὰς ἐκ τῆς ἀποδημίας ἐλπίδας ἐξηριθμεῖτο. καὶ ταύταις ἐπαντίρροπον λύπης εὐφροσύνην καθίστατο. ἐγὼ δὲ τοῦτ᾽ αὐτὸ ἀξιῶ παρ᾽ ὑμῶν γενέσθαι, ὅπως ἆθλόν μοι τῆς ἐλπιζομένης ἀρετῆς κατασταθῇ, τὸ μακαρίους ὑμᾶς ποιῆσαι γονεῖς. ἀλλὰ μὴ τὸ παραμυθεῖν ἐκ τῆς ἐμῆς παιδείας προσδέχεσθαι, μὴ λυπουμένους δι᾽ εὐτυχίαν. ἄμεινον δὲ ὥσπερ ἀθλοφόρῳ μείζονά μοι προστεθῆναι τὰ ἆθλα, ἵνα κρείττων ἐπ᾽ αὐτὰ ἀγωνιστὴς γένωμαι. οὕτως οὖν διάκεισο ὦ πάτερ καὶ παραμυθοῦ τὴν μητέρα. εἴπερ ἀεὶ ἐκείνην μὲν ἐν τοῖς παρηγορουμένοις, σὲ δὲ ἐν τοῖς παρηγοροῦσι τετάχθαι προσήκει.

Τῷ αὐτῷ.

Θράσων ἐμπορεύεται μὲν εἰς τὸν πόντον. χρηστὸς δὲ μᾶλλον ἢ κατὰ τὴν ἐπιτήδευσιν εἶναί μοι δοκεῖ. ἐμοὶ ἐν Βυζαντίῳ γενόμενος, ἔχω τινὰ αὐτῷ χάριν. θεάσασθαι γάρ μοι βουλομένῳ τὰ περὶ χώραν ἄξια θέας ὄντα, ἡγεμὼν τῆς ὁδοῦ ἐγένετο καὶ τἆλλα ἐπεμελήθη, ὅπως μὴ πονηρά τις ἡμῖν ἡ ὁδὸς καὶ κυνηγετικὴ γένοιτο. ἀλλὰ ὀχημάτων τε χορηγὸς καὶ τῆς ἄλλης παρασκευῆς ἀφθονίας. τοῦτον ὡς ὑμᾶς πλέοντα ᾠήθην ταύτῃ τῇ μαρτυρίᾳ συμπροπέμψαι δεῖν. θέας μὲν οὖν οὐδὲν οἶμαι χρῄζει κατεστραμμένος ἐκ πολλοῦ χρόνου τὸν πόντον. εἰς δὲ τὴν οἰκίαν ἐλθὸν, ὡς καὶ τὸ σαυτοῦ ἦθος ὑποδέξῃ προθύμως αὐτόν. ἐγὼ δὲ ὥρμημαι μὲν ἐκπλεῖν, ἀνέμου δὲ οὐκ ἐπιτυγχάνω.

Τῷ αὐτῷ.

Πολλὴν χάριν οἶδα τοῖς ἐπισχοῦσιν ἡμᾶς ἀνέμοις καὶ τὴν ἐν Βυζαντίῳ διατριβὴν βιασαμένοις. καίτοι τὸ πρῶτον ἠχθόμην αὐτοῖς ἐπειγόμενος. ἀλλὰ γὰρ ἀξία πρόφασις καὶ χρονιωτέρας μονῆς ἐφάνη Ξενοφῶν ὁ Σωκράτους γνώριμος. οὗτος γὰρ ὁ Ξενοφῶν εἷς τῶν ἐπ᾽ ἀρταξέρξην στρατευσαμένων Ἑλλήνων, Κύρῳ δὲ συμμαχούντων ἐστί. καὶ τὸ μὲν πρῶτον μετά τινος τῶν στρατηγῶν ἦν οὐδὲν πολυπραγμονῶν ὅτι μὴ στρατιώτην ἐχρῆν. ὥσπερ εἷς ὢν τῶν Κύρῳ τιμίων. ὡς δὲ Κῦρός τε ἀπέθανεν ἐν τῇ πρώτῃ μάχῃ καὶ οἱ στρατηγοὶ τῶν Ἑλλήνων παρασπονδηθέντες ἀπετμήθησαν τὰς κεφαλάς, ᾑρέθη στρατηγὸς ἀνδρείας τε ἕνεκα καὶ τῆς ἄλλης σοφίας δοκῶν ἄριστα ἂν διαπράξασθαι τὴν σωτηρίαν τοῖς Ἕλλησι.

Reddidit mihi epiſtolam Lyſis, iam tertiam diem Byzantij quum fuiſſem. Ex ea cognoui tuam totiúſque familiæ tuæ perturbationem: quam tu poteris ſignificare aliis qui poſſūt te conſolari. Enumero quot quantáque ſpes ex hac migratione ſint conſtitue compenſans gaudio illum dolorem. Ego verò poſtulo vt idem à vobis contingat mihi: vt præmium mihi conſtituatis virtutis ſperatæ, quę vos beatos efficiat parentes: ſed conſolationem ex mea eruditione vllam ne expectetis, quæ veſtram fœlicitatem mœſtā reddat. Melius enim eſt, tanquā præmia reportanti, maiora mihi adiungere præmia, vt melior fiam, ad ea adipiſcenda, decertator. Sic igitur ſis affectus, mi pater, vt matrem conſoleris ipſe. Illa ſiquidem ita debet comparare ſe, vt cōſolationem admittat: tu verò, vt qui conſolationem proferas.

Eidem.

Thraſo ad mercaturam proficiſcitur in Pontum. Mihi videtur ita probus & frugi, vt meliora poſſit præſtare quàm ferat illud inſtitutū. Nūc quum eſſet Byzantij, aliquam habeo ei gratiam. Nam quum cuperem perluſtrare ea quò maximè viſu digna in regione vicina, mihi dux, fuit itineris, & reliqua curauit, ne moleſtum eſſet iter, inſtar cauum pedibus, capeſſendum: ſed abundè ſuppeditauit & vehicula, & alium apparatum neceſſarium. Hinc ad vos nauigātem exiſtimaui hoc teſtimonio proſequendum. Non igitur opus erat ei vt iſtuc tāquam ad ſpectandum ſe conferret. Iampridem enim Pontum in expeditione luſtrauit, ſed vt domi tuæ, qui tuus eſt mos, libenter excipias. Ego verò ad nauigandum propero, ſed ventum ſecundum nondum ſum adepus.

Eidem.

Magnam verò habeo gratiam ventis, qui nos detinuerunt, cogerūntque aliquādiu degere Byzantij, quamuis initiò ſuccenſerem ipſis quum feſtinarem, ſed fuit hæc occaſio & conuocatio diuturnior, optima & maximè appoſita, quam nobis præbuit Xenophon familiaris Socratis. Hic enim Xenophon eſt vnus ex illis Græcis qui Cyro militantibus arma tulerunt aduerſus Artaxerxem. Ac primùm quidem quendam ex Græcis ducē ſequebatur, nihil aliud niſi boni militis munia curans: vnus tamē erat ex iis quos Cyrus in pretio habebat. Poſtquam verò Cyrus in primo prælio interfectus fuiſſet, & cùm duces Græcorum proditoriè & contra fœdera obtruncati fuiſſent, ipſe electus dux fuit, tum propter fortitudinem, tum etiam propter ſingularem prudentiam dignus iudicatus, qui reliquis Græcis ſalutem præſtaret,

neque

neque decepit illos ea ſpes. Nam per hoſtilem terram exiguum duxit illum exercitum incolumem: quotidie caſtra ſua opponens ducibus Regis. Atque hæc admirabilia quidem: ſed hoc maius mirandúmque magis: id quod ipſe modò vidi. Nam cùm Græci defatigati diuturna ac difficili expeditione illa, neque aliud inuenirent præmium tantorum laborum quàm incolumitatem, à Byzantinis timore perculſis recepti, decreuerunt vrbem diripere. Magna perturbatio derepentè Byzantinos inuadit. Et quum peregrini armarentur ad præconij ſignum: equidem armis acceptis ad mœnia accurri vbi videram quoſdam iuuenes congregatos. Nihil verò proderat mœnia cuſtodire, quum hoſtes occupatam tenerent vrbem. Attamen ſatius eſſe arbitrabamur, pugnare ex eo loco qui facultatem nobis præbebat maiorem nos defendendi aut citò moriendi. Quum in hoc eſſemus rerum ſtatu, Græcis Byzantinis perturbatis, vidimus crinitum quendam virum, aſpectu blando ac decoro, dextras apprehendentem ſingulorum militum eóſque ſedantem. Ille erat Xenophon. Quum autem aduerſarij milites ipſum hortarentur, vt ipſe vnus multis obſitundaret, efficerétque tandem aliquando, vt ab iſta miſera iactatione liberarentur, dixit illis, referte igitur pedem & conſilium denuò inite. Nec enim verendum eſt ne conſultando occaſio elabatur. Eſt enim res in noſtra poteſtate. Illos igitur puduit immorigeros ſe præbere. Itaque Xenophon in medio eorum ſtans admirabiles habuit ſermones: quemadmodum docuit exitus. Quos tamen inaudire non poteramus. Hos igitur, qui paulò antè decreuerant, vrbem diripere videbamus modeſtè in foro emere res ſibi neceſſarias: ſicut & reliqui Byſantini, neque quicquam ampliùs hoſtile ſpirare, quod ad direptionem aut iniuriam faciendum ſpectaret. Illius rei aſpectus oſtendebat Xenophontis indolem & quid poſſet, tum Oratione, tum prudentia efficere. Equidem non potui præterire ſilentio talem virum, à quo ſum eodem beneficio affectus quo & reliqui Byſantioi, ſiquidem ego quoque, vi ventorum ibi detentus, eidem direptioni fuiſſem obnoxius: ſed ei me patefeci qui etiam commemoraui tuam cum Socrate amicitiam, mihique philoſophiæ ſtudia propoſuit: atque de reliquis non tanquam militaris homo, ſed humaniſſimè mecum eſt collocutus. Nunc verò ipſe in Thraciam ducit exercitum. Seuthes enim Thracum Rex cum quibuſdam finitimis bellum gerens, Xenophontem cum exercitu accerſiuit camplam mercedem ipſis pollicitus, cui & aſſenſi ſunt. Neque enim volunt ita inopes, alij ab aliis diſcedere quin priùs ex tot tantiſque laboribus ſuis lucrum aliquod fecerint quandiu ſtat exercitus ille. Scito verò me multò ſtudioſiùs Athenas, philoſophandi cauſa nauigaturum. Memineris enim te aſſiduè ſolitum me hortari ad philoſophiæ ſtudia. Mirabilia etiam diſſerebas de iis qui in eam ſtudium ſuũ conferunt.

καὶ οὐκ ἔψευσεν αὐτοὺς τῆς ἐλπίδος· ἀλλὰ διὰ μέσης πολεμίας γῆς, ὀλίγην στρατιὰν ἄγων περιεσώσατο. ἑκάστης ἡμέρας τοῖς βασιλέως στρατηγοῖς ἀντιστρατοπεδευόμενος. θαυμαστὰ μὲν οὖν καὶ ταῦτα. πολὺ δὲ τούτων θαυμασιώτερόν τι καὶ μεῖζον, ὅπερ αὐτὸς ἐγὼ νῦν ἐθεασάμην. πεπονημένοι γὰρ οἱ Ἕλληνες πολυχρονίῳ καὶ χαλεπῇ στρατείᾳ, καὶ μηδὲν ἄλλο εὑρημένοι τῶν κινδύνων ἆθλον πλὴν τῆς σωτηρίας, δεξαμένων αὐτοὺς κατὰ φόβον τῶν Βυζαντίων, ἔγνωσαν διαρπάσαι τὴν πόλιν. καὶ πολὺς ταραχὸς αἰφνιδίως κατεῖχε τοὺς Βυζαντίους. ἐπεὶ δὲ ὡπλίζοντό τε οἱ ξένοι καὶ ὁ σαλπικτὴς ἐσήμαινεν, ἐγὼ μὲν ἀσπίδα καὶ λόγχην ἁρπάσας, ἔδραμον ἐπὶ τὸ τεῖχος, οὗ τῶν ἐφήβων τινὰς συνεστηκότας ἑώρων, ἦν δὲ ἡ φυλακὴ τῶν τειχῶν οὐδὲν ὠφέλιμος πολεμίων κατεχόντων τὴν πόλιν· ἀλλ' ὅμως ῥᾷον ἐνομίζομεν ἀμύνεσθαι πλεονεκτοῦντες τῷ τόπῳ. ἢ ἀπολεῖσθαί γε βελτίονες. κἀν τούτῳ ταραττομένων τῶν Ἑλλήνων, ὁρῶμεν κομήτην ἄνδρα καλὸν πάνυ καὶ πρᾶον ἰδέσθαι, δεξιούμενον μὲν δι' αὐτῶν καὶ παύοντα τῆς ὁρμῆς ἕκαστον· οὗτος δὲ ἦν ὁ Ξενοφῶν. ὡς δὲ ἐκ τῶν ἐναντίων παρεκάλουν αὐτὸν οἱ στρατιῶται ἵνα ὅπλα πολλοῖς πείθεσθαι καὶ ἀναπαύσαι ποτὲ αὐτοὺς τῆς ταλαιπώρου καὶ χαλεπῆς ζάλης, ἀνάγετε οὖν ἐπὶ πόδα ἔφη καὶ βουλεύσασθε· οὐ γὰρ δέος μὴ διαφύγῃ βουλευομένους τὸ πρᾶγμα ἐφ' ἡμῖν κείμενον. ὡς δὲ τοῦτό γε αὐτοῦ ἀπειθεῖν ᾐδέσθησαν, εἰς μέσον καταστὰς ὁ Ξενοφῶν, θαυμαστοὺς λόγους διέθετο. ὡς τὸ τέλος αὐτοῦ ἐδήλωσεν. οὐ γὰρ ἡμῖν γε σαφῶς ἐξηκούοντο τοὺς γοῦν πρὸ μικροῦ διαρπάζειν ἐγνωκότας τὴν πόλιν, μετρίοις κατὰ τὴν ἀγορὰν ἑωρῶμεν ὠνουμένους τὰ ἐπιτήδεια ὡς τῶν ἄλλων Βυζαντίων ἕκαστος. καὶ μηδὲν ἔτι ἐκείνου τοῦ ἀδίκου καὶ ἁρπακτικοῦ ἄρεος πνέοντας. αὕτη δὲ ἡ ὄψις ἐπίδειξις ἦν τῆς Ξενοφῶντος ψυχῆς, ὅπως καὶ φρονεῖν καὶ λέγειν ἠδύνατο. οὐ μὴν ἔγωγε ἡσυχίᾳ τὸν ἄνδρα παρελθεῖν ὑπέμεινα· καὶ ταῦτα ὁμοίως Βυζαντίοις εὖ πεπονθὼς ὑπ' αὐτοῦ. ἐπεὶ διὰ τοὺς ἀνέμους καὶ αὐτὸς εἷς ἦν τῶν διαρπασθησομένων· ἀλλ' ἐγνώρισα αὐτῷ ἐμαυτόν. ὁ δὲ καὶ τῆς σῆς πρὸς Σωκράτη φιλίας ἀνεμιμνήσκετο· κἀμὲ φιλοσοφεῖν παρείσατο. καὶ τἆλλα οὐ στρατιωτικῶς μὲν δὴ ἀλλὰ καὶ πάνυ φιλανθρώπως διελέγετο· νῦν δὲ εἰς Θρᾴκην ἄγει τὸ στράτευμα. σύνηθες γὰρ ὁ τῶν Θρᾳκῶν βασιλεὺς πρός τινας ὁμόρους πολεμῶν, μετεπέμψατο, ἐν τελῇ μισθὸν αὐτοῖς ὑποσχόμενος· οἱ δέ, ὑπήκουσαν. οὐ γὰρ ἄποροι διαλυθῆναι βούλονται, ἀλλὰ καὶ ἐπισπάσασθαί τι ἐκ τῶν πόνων ἕως γ' ἔτι στράτευμά εἰσιν. ἴσθι δὴ πολύ μοι (εἰ) προθυμότερον εἰς Ἀθήνας πλευσεῖσθαι φιλοσοφήσοντα. μέμνησαι γὰρ δήπου ἐπὶ προτρέποντά με συνεχῶς ἐπὶ φιλοσοφίαν καὶ θαυμαστὰ διεξιὼν ἀεὶ τῶν καθ' ὁπωσοῦν σπουδασάντων αὐτῆς

αὐτὴν μέντοι, τἆλλα μὲν εὔχας ποθούμενον, ἐκεῖνο δὲ καὶ πάνυ φοβούμενον· ἐδόκει γάρ μοι τὰ μὲν λεπτὰ ὄντας ἀπραγμονεστέρους ποιεῖν ὅσοι ἐφάπτονται. καὶ γὰρ τὸ σῶφρον καὶ τὸ δίκαιον οὐκ ἄλλοθεν ἀρύεσθαι τοὺς ἀνθρώπους ἢ φιλοσοφίας ᾤμην· τὸ δὲ πρακτικὸν καὶ σφοδρὸν διαλύειν τῆς ψυχῆς καὶ μαλθάσσειν ἐπὶ τὸ ἥσυχον. ἀπραγμοσύνην γὰρ ἤκουον καὶ ἠρεμίαν τὰ θαυμαστὰ ὥς μοι ἔλεγες ἐγκώμια φιλοσόφων. δεινὸν οὖν μοι κατεφαίνετο εἰ φιλοσοφήσας, τἆλλα μὲν ἀμείνων ἔσομαι· θαῤῥαλέος δὲ οὐκ ἔτι στρατιώτης εἶναι δυνήσομαι ὑπὲρ ἀρετῆς εἰ δέοι. ἀλλὰ μεθήσειν πάντα ταῦτα ὥσπερ ἐπιλήσμονι τινὶ ἐπῳδῇ πάντως ἔργου λαμπροτέρου κηληθεὶς τῇ φιλοσοφίᾳ. ἠγνόουν δ' ἄρα ὅτι καὶ πρὸς ἀνδρίαν εἰσὶν ἀμείνους οἱ φιλοσοφήσαντες. καὶ μόλις γε αὐτὸ παρὰ Ξενοφῶντος ἔμαθον. οὐκ ἐπειδὴ διαλέχθη μοι περὶ αὐτοῦ, ἀλλ' ἐπεὶ τοιοῦτος ὢν ἐφάνη ὁποῖός ἐστι. μάλιστα γὰρ δὴ μετασχὼν τῶν Σωκράτους λόγων, ἀρκεῖ στρατεύματα καὶ πόλεις σώζειν· καὶ οὐδὲν αὐτὸν ἐποίησε φιλοσοφία αὑτῷ τι καὶ τοῖς φίλοις ἀχρειότερον. ἡσυχία μὲν οὖν ποτε νικητικωτέρα τάχα δὲ εὐδαιμονίας. ἤδη μέντοι καὶ πράξει καλῶς ἕκαστα ὁ καλῶς ἠρεμεῖν δυνάμενος· ἐπεὶ καὶ μείζων αὖ ἐστι τοῦ πολεμοῦντος ὁ πλεονεξίαν καὶ ἐπιθυμίαν καὶ τἆλλα πάθη χειρούμενος. ὧν καὶ οἱ νικῶντες τοὺς πολεμίους ἡττῶνται. κἀγὼ οὖν ἐλπίζω φιλοσοφήσας, τά τε ἄλλα κρείττων ἔσεσθαι, καὶ οὐδὲν ἧττον ἀνδρεῖος, ἀλλ' ἔτι θρασύς. ταῦτα μὲν οὖν οὐ τοῦ ἱκανοῦ μόνον, ἀλλὰ καὶ τοῦ πάνυ πέρα. γίνωσκε δέ με ἤδη πρὸς τὸ πλεῖν ὄντα· καὶ γὰρ δὴ γέγονε καὶ τὰ τῶν ἀνέμων αἰσιώτερα.

Τῷ αὐτῷ.

Ἐπιτυχόντες τῶν περὶ Σίμωνα κατ' ἐμπορίαν ὡς ὑμᾶς πλεόντων ἔγνωμεν καὶ τὰ ἐν Περίνθῳ συντυχόντα δηλῶσαι. ἦν μὲν γὰρ ἐρίφων ἑσπερία δύσις. κἀγὼ προεῖλεγον τοῖς ἐν ἡμῖν ναύταις ἐπισχεῖν τὸν ἔκπλουν· καὶ ταῦτα ἐν Βυζαντίῳ διατρίβειν δυναμένοις· οἱ δ' οὐκ ἐπείθοντο, ἀλλὰ καὶ πάνυ μου τὴν πρόῤῥησιν ἐχλεύαζον, προσβεβλῆσθαί μοι νόσον τινὰ ἀστρονομίας ὑπὸ Ἀρχεδήμου τοῦ ἀστρονόμου λέγοντες. κἀγὼ μέχρι μέν τινος ἀντεῖχον καταναυμαχούμενος δ' ὑπ' αὐτῶν εἶξα· καὶ ταῦτα οὐδὲ αὐτὸς εἰδὼς ὅτι ἀληθὲς αὐτοῖς προλέγοιμι. ἅμα δὲ πνεῦμα οὔριον καὶ καλὸς πλοῦς προσγινόμενος, ἀπιστότερά μου ἐποίει τὰ προαγορεύματα. ὡς δ' ἀνήχθημεν, ἕως μὲν Συληβρίαν παραλλάξαι, κατεγελώμεν ἐφ' οἷς προεῖπον. εὐχόμην δ' ὅμως γε καὶ μέχρι τῆς ἀποβάσεως γελᾶσθαι· ὡς δὲ τριάκοντά που σταδίους ἀπ' αὐτῆς προκόψαμεν, δεινὸς ἡμᾶς χειμὼν κατέλαβε. καὶ πολλοῦ μὲν χρόνου οὐδαμοῦ καθορμίσαι τὴν ναῦν δυνάμενοι, πονήρως πάνυ διεκείμεθα. μόλις δέ ποτε ἰδόντες τὴν Πέρινθον, ἐβιαζόμεθα πρὸς αὐτήν, κωπηλάται ἀγαθοὶ γενόμενοι· τοῖς μὲν γὰρ ἱστίοις οὐ φορητὸς ἦν ὁ ἄνεμος· καὶ δεινὰ παθόντες ἵνα μὴ λέγω τὰ μεταξύ, μέσων που νυκτῶν κατήχθημεν εἰς Πέρινθον. καὶ τότε μὲν κατεδάρθομεν. ὑπελείπετο δὲ ἡμῖν καὶ ἕτερος χειμὼν οὐδὲν τοῦ θαλαττίου μετριώτερος.

Cæterùm habuiſti me his aſſentientem, vnum tamen timentem, quòd philoſophia meliores quidem efficiat ſui ſtudioſos. Etenim exiſtimabã temperantes aut iuſtas actiones non aliunde poſſe ab hominibus quàm ex philoſophia depromi. Verebar tamen ne illa ſtudia diſſoluerent ac remolleſcerent animos, eóſque otio deditos efficerẽt. Nam quietem & otium audiebam mirabiliter philoſophiæ encomiis celebrari. Illud autem mihi abſonum videbatur, ſi poſtquam dediſſem operã philoſophię, fierem quidem melior, ſed nõ ampliùs poſſem fortis militis actiones præſtare: ſiquãdo opus foret, ſed tanquam incantatione quadam obliuionem efficiente, demulſus à philoſophia, nulla ampliùs ſplendida facinora ederem. Ignorabam enim homines philoſophia deditos fortiores reddi: idque vix tandem à Xenophonte, non ex ipſius verbis, ſed reipſa verum eſſe didici. Is enim poſtquam ſermones Socratis percepit, effectus eſt tum ad exercitum conſeruandum, tum ad Remp. tuendam idoneus. Neq; enim reddidit eum philoſophia ſibi aut amicis inutilem. Quies verò fortaſſis efficacior ad beatitudinem, imò is qui præclarè poteſt quiete vti, ſingula etiam præclarè efficiet. Præſtantior is enim eſt quouis militari homine, qui auaritiam, cupiditatem & reliquos affectus ſcit vincere, à quibus ſępe vincuntur ij qui hoſtes ſuperant. Equidem de me ſpero, poſtquam dedero operam philoſophiæ, tum in reliquis me meliorem fore, tum etiam fortiorem & animoſiorem. Sed de his ſatis, imò omnino plura quàm oportuit. Scito me iam eſſe in procinctu, vt nauem conſcendam. Nam ipſi venti ſunt iam ſecundi.

Eidem.

NActi ex Simone eos, qui ad vos nauigarent ad mercaturam exercendam, ſtatuimus etiam vobis ſignificare quæ Perinthi acciderũt. Erat enim tempus quo hœdi occidui abſconduntur. Ego verò noſtris nautis prædicebam vt differrent nauigationem, quum Byſantij expectare poſſent. At illi parere noluerunt, meam potiùs admonitionem ſannis exceperunt, dictitantes me coniectum in Aſtrologiæ morbum, ab Archidemo Aſtronomo mihi obiectum. Ego quadantenus reſiſtebam, ſed ceſſi tandem cùm omnes huic meæ ſententiæ aduerſarentur, eóque faciliùs, quòd ipſe non ſatis compertum habebam, num vera ipſis prædicerem, ſimul etiam ventus ſecundus flare cœpit, qui commodam nauigationem præſtans, meæ admonitioni fidem abrogabat. Quum igitur ſoluiſſemus, vſque dum Syllembriam præter nauigaſſemus, irridebar propter illam meam prædictionem. Optabam tamen, vt ad finem vſque nauigationis ſic irriderer. Sed quum circiter triginta ſtadia inde progreſſi eſſemus: horrida tempeſtas nos inuaſit, & cùm nuſquam poſſemus appellere, omninò malè affecti eramus. Tandem cùm vix ad conſpectum Perinthi perueniſſemus, remis ſtrenuè incumbentis vela cum ventum ſuſtinere non poterant. Grauia autẽ cùm eſſemus paſſi, (multa enim quæ interiecta omitto) ad mediam noctem delati ſumus Perinthũ: ac tũc dormiebam, ſed imminebat nobis in cõtinẽti tẽpeſtas nõ minor quã in mari.

Perinthij enim bello infeſtabantur à Thracibus, id quòd planè ignorabamus, neque quicquã de hac re inaudiueramus, quamuis duodecem dies commorati fuiſſemus Byzantij. Repentina fuit iſta incurſio Barbarorum, vt fieri ſolet. Nos igitur ſurgentes egrediebamur conſpectur vrbem, vt ego & Heraclides & bonus ille Agatho decreueramus. Sequebãtur nos famuli Batylus & Podarces & Philo. Nos quidem inermes: famuli verò ſinguli noſtri enſem habebãt præcinctum, Philo geſtabat etiam haſtam. Quum paulò à portu progreſſi eſſemus, vidimus caſtra non longè ab vrbe, & quod grauius erat, etiam tres equites non longè à nobis diſtantes. Philo verò porrigens mihi haſtam, vt velocior eſſet in curſu, ad nauem confugit. Ego verò non ratus ſum me velociorem eſſe in curſu equite. Itaque brachium inuoluo pallio, & iaculum contorquens manebam. Idem famuli fecerunt. Thraces verò adequitantes, antequam ad iaculi iactum perueniſſent, ſinguli tria miſſilia eiaculati ſunt, quæ non longè à nobis ceciderunt. Ipſi verò quaſi re confecta conuerſi, ad caſtra ſua ſunt reuerſi. Nos verò iaculis ſublatis ad nauem reuerſi ſumus. Et ſolutis nauis retinaculis, abnauigauimus. Nunc verò ſumus in inſula Chio, Itaque vſi ſumus in illa nauigatione ventis omnino ſecundis. Dicito igitur illi Archidemo. Hœdos occiduos non tantùm marinam tempeſtatem grauem deſignare, ſed etiam multò grauiorem in continenti. Poteris autem de hoc caſu noſtro cum illo iocari.

Eidem.

ATHenas peruenimus & cum Platone Socratis familiari collocuti ſumus. Certè in omnibus eſt ille vir ſapiens, philoſophiámque reddit familiaribus ſuis non alienam à Reip. adminiſtratione, ſed in vtrãque partem, tum ad negotia publica tractanda aptam, tum ad quietam & otioſam vitam comparatam. Scripſiſti enim ad me quinam eſſet inter vos amor mutuus, ac conſuetudo, quod magnum adiumentum mihi futurum eſſet ad familiaritatem cum Socrate contrahendam. Scito igitur Platonem eos magni facere, qui vel vnicum diem cum Socrate verſati ſunt. Maximam ab illo ineunt gratiam ij qui quotieſcunque poſſunt eum conueniunt. Idcirco ſedulò ſtuduimus ne amicitia Platonis nobis deeſſet. Sed inter eos annumerandus qui dicunt, ſe beneficio affici, quoties alicui poſſunt benefacere: Statui quoque non minorem eſſe felicitatem, alios bonos efficere, quàm bonum eſſe.

Eidem.

PHædimus attulit mihi Rhodij ſalſamenti & mellis quinque amphoras, atque vini Merſiti cados quinque præterea tria argenti talenta. Laudo fidelitatem eius, ſed tuam agnoſco curam. Iam verò cuperem mittere tibi quoſdam huius regionis fructus tanquam primitias, ſi tempus daret.

Περίνθιοι γὰρ ὑπὸ Θρᾳκῶν ἐπολεμοῦντο. καὶ τοῦτο οἱ πάντα ἀγνοήσαντες ἡμεῖς οὐκ ἐπυθόμεθα καίπερ δώδεκα ἡμέρας ἐν Βυζαντίῳ διατρίψαντες. ἀλλ' ὡς εἰκὸς αἰφνίδιος ἡ καταδρομὴ τῶν βαρβάρων ἐγένετο. ἀναστάντες οὖν ἐξῄειμεν ὀψόμενοι τὴν πόλιν ὡς ἐδόμεθα ἐγώ τε καὶ Ἡρακλείδης καὶ Ἀγάθων ὁ χρηστός· εἵποντο δὲ ἡμῖν καὶ τῶν θεραπόντων Βάτυλος καὶ Ποδάρκης καὶ Φίλων ὁ θρασύς· ἡμεῖς μὲν ἄοπλοι, τῶν δὲ θεραπόντων παρήρτητο ἑκάστῳ μάχαιρα. Φίλων μὲν γὰρ καὶ δόρυ ἐκόμιζε. μικρὸν δὲ προελθόντες ἀπὸ τοῦ λιμένος, ὁρῶμεν στρατόπεδόν τι οὐ πόρρω τῆς πόλεως καὶ τὸ δεινότερον ἱππέας τρεῖς οὐ πόρρω ἡμῶν· καὶ Φίλων μὲν δούς μοι τὴν λόγχην ἵν' αὐτὸς ᾖ δρομικώτερος, ἐπὶ τὴν ναῦν ἔφυγεν. ἐγὼ δὲ οὐκ ἐλπίζων ὠκύτερος ἵππου ὑπονοούμενος εἶναι, περὶ τὸν βραχίονα ἑλίξας τὸ θοιμάτιον καὶ τὴν λόγχην διαγκυλωσάμενος ἔμενον· τὸ αὐτὸ δὲ ἐποίουν καὶ οἱ θεράποντες. Ἡρακλείδης δὲ καὶ Ἀγάθων λίθους ἔχοντες ὄπισθεν ἡμῶν ἐκρύπτοντο. προσελάσαντες δὲ οἱ Θρᾷκες πρὶν εἰς ἐφικτὸν ἐλθεῖν ἠκόντισαν τρεῖς λόγχας ἕκαστος. καὶ αἱ μὲν μικρὸν πρὸ ἡμῶν ἔπεσον· οἱ δὲ, ἀναστρέψαντες ὡς δὴ τετελεσμένου αὐτοῖς τοῦ ἔργου, ἤλαυνον εἰς τὸ στρατόπεδον· ἀνελόμενοι δ' ἡμεῖς τὰς λόγχας ἀνεχωρήσαμεν ἐπὶ τὴν ναῦν, καὶ λύσαντες τὰ ἀπόγεια ἐπλέομεν. νῦν δ' ἐν Χίῳ ἐσμὲν, πάνυ ἐπιτηδείως τῶν ἀνέμων ἡμῖν περὶ πάντα τὸν πλοῦν χρησαμένων· λέγε νῦν Ἀρχεδήμῳ ὅτι ἐρίφων ἑσπερία δύσις οὐ κατὰ θάλατταν μόνον σημαίνει χαλεποὺς χειμῶνας, ἀλλὰ καὶ κατὰ γῆν χαλεπωτέρους. ἔχεις γὰρ ἐκ τῆς ἡμετέρας συντυχίας παῖξαι πρὸς αὐτόν.

Τοῦ αὐτοῦ.

ΑΦιγμένοι εἰς Ἀθήνας καὶ Πλάτωνι τῷ Σωκράτους γνωρίμῳ διαλεγόμεθα. τά τ' ἄλλα τε πάντα σοφὸς ἀνήρ ἐστι, καὶ τὴν φιλοσοφίαν οὐκ ἀπολίτευτον ἔργον τοῖς γνωρίμοις ποιεῖ, ἀλλὰ καὶ πάνυ ἀμφήκη. πρός τε τὸ πρακτικὸν τοῦ βίου καὶ πρὸς ἡσυχίαν ἀπειργασμένα. ἔγραφες δέ μοι καὶ περὶ τῆς σῆς πρὸς αὐτὸν φιλίας ὅτι οὐ μικρὸν πλεονέκτημα τὴν πρὸς Σωκράτη συνήθειαν εἰς αὐτὸν ἔχοιμι. ἴσθι οὖν ὅτι πάντων μὲν τιμᾶται λόγῳ καὶ τῶν μίαν ἡμέραν ὁμιλησάντων Σωκράτει. οὐδενὶ δ' οὕτως αὐτὸν οἰκειοῖ, ὡς τῷ μάλιστα ἀπολαύειν αὐτοῦ δυναμένῳ· καὶ κατὰ τοῦτο γοῦν ἐσπουδάκαμεν μὴ μειονεκτεῖν τῆς Πλάτωνος φιλίας. ἀλλ' ἐν τούτοις τετάχθαι ὑφ' ὧν εὖ πάσχειν φησὶν, ὅσοι αὐτοὺς εὖ ποιεῖν δύνανται. μὴ γὰρ ἥττονα εὐδαιμονίαν εἶναι λέγει, τὸ ἀγαθοὺς ποιεῖν τοῦ ἀγαθὸν γενέσθαι. τὸ μὲν οὖν ὠφελεῖσθαι τοῖς δυναμένοις τὴν φίλων αὐτοὺς παρέχει, τὸ δ' ὠφελεῖν, οὐχ ἧττον λαμβάνει παρὰ τῶν ὠφελεῖσθαι δυναμένων.

Τοῦ αὐτοῦ.

ΕΚόμισέ μοι Φαίδιμος ταρίχου Ῥοδιακοῦ, καὶ μέλιτος ἀμφορέας πέντε, καὶ τοῦ Μαρωνείου οἴνου κεράμια εἴκοσι. καὶ πρὸς τούτοις τρία ἀργυρίου τάλαντα· καὶ τὸ μὲν πίστεως ἐκείνου ἐπαινῶ, τῆς δὲ ἐπιμελείας σὲ ἐπιγινώσκω. ἤδη μέντοι τῶν ἐπιχωρίων χρημάτων ὥσπερ ἀπαρχὰς ἐβουλόμην ἄν σοι ἀποστεῖλαι εἰ ἐπέτρεπεν ὁ και-

ρός. τούτοις γὰρ καὶ τοὺς ἄλλους φίλους τέρπειν εἰώθασι, καὶ Πλάτωνα σοφίζεσθαι ἀδωροδόκητον ὄντα. χρημάτων δὲ οὐδὲ εἷς ἵμερος ἥψατο πόθος. καὶ μάλιστα ἐν Ἀθήναις τε ὄντι καὶ Πλάτωνι διαλεγομένῳ. ἐπεὶ καὶ ἄτοπον ἴσως κινδυνεύειν μὲν ἡμᾶς εἰς τὴν Ἑλλάδα, ἵνα ἧττον φιλοχρήματοι γενώμεθα. μηδὲν δὲ ἧττον καὶ ἐκ πόντου πλεῖν πρὸς ἡμᾶς τὴν φιλοπραγμοσύνην. χαριεῖσθαι οὖν πέμψας ταῦτα πέμποντι, ὅσα τῆς πατρίδος ἡμᾶς, οὐχ ὅσα πλούτου ἀναμνήσει.

Τοῦ αὐτοῦ.

Ἀρχέπολις Λήμνιος μέν ἐστιν ὡς λέγει τὸ γένος, φαῦλος δὲ καὶ ἀτέκμαρτος ἄνθρωπος· καὶ ταρακτικὸς πρὸς πάντας, μάλιστα δὲ πάντων πρὸς ἑαυτόν. σὺν δὲ τούτοις καὶ λελυμένος τὴν ἀποπληξίαν. καὶ πᾶν ὅ,τι ἂν οἰηθείη λέγει. νοεῖ δ' ἀεὶ τὰ μωρότατα. ἀλλὰ τὸ μὲν πρῶτον ὡς πυνθάνομαι ταμίας τε ἐν Λήμνῳ γενόμενος καὶ τὰς ὁμοίας μετιὼν ἀρχάς, οὐκ εὐπρεπῶς ἀπηλλάττετο, ὡς δὲ ἔδοξεν αὐτῷ καταφρονῆσαι καὶ φιλοσοφίας, εἰς Ἀθήνας κατέπλευσε κἀκεῖ πολλὰ μὲν Πλάτωνι δυσηρέστησε. πολλὰ δ' εἰς ἡμᾶς ἐβλασφήμησεν. οὐδὲν γὰρ αὐτῷ χρήσιμοι ἐφαινόμεθα, περὶ ἀρετῆς, ἀλλ' οὐ περὶ χρηματισμοῦ τὰς διαλέξεις ποιούμενοι. νῦν δὲ εἰς τὸν πόντον ἐμπορεύσεσθαι φησιν, οὐκ ἀφρόνως· εἰ δὲ τοῦτο μόνον ἑαυτῷ προσήκειν λελόγισται, ἀλλὰ τὸ ἀστάθμητον αὐτοῦ καὶ πετόμενον οὐδὲ ταύτην ἐπιδέχεται τὴν φρόνησιν· ἵνα ὅστις ἐστὶν εἰδῇ, καὶ εἰς ὃ χρήσιμος. πρὸς γὰρ τὸ ἀεὶ φανταζόμενον μετεωρίζεται. ἐπεὶ δὲ ἐπιλαθόμενος τῶν βλασφημιῶν, προσῆλθέ μοι καὶ ἐδεήθη, σοὶ γράψαι περὶ αὐτοῦ. ἐγὼ δὲ ἐκείνῳ μὲν ἵνα μὴ ἀναξίῳ ἔτι Βελλεροφόντου σχῆμα περιθῶ, ἑτέραν ἐπιστολὴν ἔδωκα. οὐδὲ μὴ ἐπὶ τοῖς ὁμοίως ψευσάμενος ταύτην δὲ προαναγνωσμένῳ Λυσίδι ἐνεχείρισα. οἶμαι δὴ πάσῃ φιλανθρωπίᾳ δέξασθαί σε δεῖν τὸν ἄνθρωπον. καὶ εἰπεῖν ἐπὶ τέλει, ὅτι οὕτως ἀμείβεται Χίων τοὺς βλασφημήσαντας. τοῦτο γὰρ ἕν ἐστι τῶν μαθημάτων αὐτοῦ ἃ σὺ ἐχλεύαζες, τὸ μηδένα κακὸν ἀμύνεσθαι μέχρι τοῦ μὴ αὐτὸν ἀγαθὸν εἶναι. τοῦτο δὲ ἔσται δι' εὐποιΐας αὐτοὺς ἀμυνουμένῳ. οἶδα μὲν οὖν ὅτι οὐδὲν πείσεται ἄνθρωπος ὢν τὴν ψυχὴν ὑπὸ μωρίας ἄβατος. δ' οὖν ἡμῶν αὐτῶν χάριν, γενέσθω τοῦτο τὸ πολίτευμα. τὰ δὲ περὶ αὐτοῦ λελυμένως καὶ ἀπαρακαλύπτως ἐδήλωσα πρὸς ἄλλον μὲν οὐδ' ἂν βλασφημήσας τῶν ὄντων οὐδένα, πρὸς σὲ δὲ τὸν ἐμὸν νοῦν ὑπὸ μηδενὸς περιεμπεχόμενον λόγου, ἁπλοῦν καὶ σαφῆ δίκαιον εἶναι.

Τοῦ αὐτοῦ.

Ὁ ἀποδιδούς σοι τὰ γράμματα Ἀρχέπολις ὁ Λήμνιος ἐμπορευόμενος εἰς τὸν Πόντον, ἐδεήθη μου ὅπως αὐτὸν συστήσαιμί σοι. ἐγὼ δὲ ἄσμενος ὑπεδεξάμην. καὶ γὰρ οὐδὲ φίλος μοι ὢν ἐτύγχανε· κέρδος οὖν μέγα ᾠήθην ἀφορμὴν λαβὼν τὸ ποιῆσαι φίλον μὴ ὄντα πρότερον. εἰς ὃ κέρδος συλλήψῃ μοι καὶ σὺ φιλανθρώπως αὐτὸν εἰσδεξάμενος. πείθομαι δὲ καὶ μέτριον ἔμπορον εἶναι. καὶ γὰρ φιλοσοφήσας πρότερον εἶτα ἐμπορεύεται.

Nam his ſolent oblectaſſe amicos, & Platonem ſapientem prædicare qui nulla dona accipit, neque mihi videtur eſſe aliquod pecuniarum deſiderium: præſertim illi qui eſt Athenis, & qui cum Platone verſatur: ſiquidem abſurdum fortaſſis foret nos in Græciam appuliſſe, veruntamen cupidi eſſemus pecuniarum, nihilo tamen minus horum ſtudium mare deucheret ad nos. Gratum ergo nobis feceris, ſi nobis eiuſmodi miſeris quæ patriam nobis, non diuitias in memoriam reuocent.

Eidem.

Archepolis ſe Lemnium eſſe dictitat, homo tamen malus eſt, inconſtans: turbat quoſuis, ſed maximè ſeipſum, homo præterea ad amentiam vergens: quæcunque cogitat effutit: cogitat autem ſtultiſſima. Hic igitur primùm, vt audio, apud Lemnium Quæſtor conſtitutus fuit, aliaſque publicas factiones geſſit, quas non honeſtè diſpoſuit: & quum viſum ipſi fuit philoſophiam contemnere, Athenas nauigauit, atque ibi Platonem acerbo ſermone, nos etiam omnes maledictis laceſſiuit. Nos enim videbamur ipſi ad quæuis negotia inutiles: de virtute, non de acquirendis opibus tractationem inſtituentes. Nunc igitur in pontum ad negotiationes proficiſcitur, non inſipienter, ſiquidem ipſe reputat hanc rem ſolam requireodam: ſed ipſius leuis & inconſtans animus, neque hanc prudentiam admittit, vt cognoſcat quiſnam ipſe ſit, & ad quid vtilis: incitatur ſtatim ad ea quæ animo ſibi fingit. Porrò quum ampliùs non recordaretur quàm petulanter in nos inuectus eſſet, acceſſit ad me, rogauitque vt de ipſo ad te ſcriberem. Ego verò ipſi, ne tanquam homini indigno, Bellerophontis perſonam imponam, alteram epiſtolam ei dedi: verùm ne deceperis, hanc præeunti Lyſidi ad te dedi. Exiſtimo oportere vt hominem humaniter excipias: ſed diſcedenti illi dicas, inſulam Chio excipere maledicos: nam maledictis libenter vtitur, quod ipſius inſtitutum tu ſannis excipies. Nequaquam improbum vlciſcaris, donec factus ſit bonus: hoc autem fiet beneficiis eos afficiendo. Noui tamen quod non perſuadebitur. Eius enim animus præ ſtultitia eſt impenetrabilis: nihilominus tamen propter nos ipſos, maneat illud noſtrũ inſtitutum. Ea verò quæ de ipſo non diſſimulanter declaraui, apud alium quempiam non proferrem, apud te verò dignum eſſe, arbitratus ſum ſimplicem, & apertam meam mentem eſſe, nullo ſermone inuolutam proferendam.

Eidem.

Archepolis Lemnius ad mercaturam in Põtum proficiſcens tibi has literas reddet. Is rogauit me vt ſe tibi cõmendarem: libẽter id recepi, neque tamen antea inter nos aliqua interceſſit amicitia, ſed lucro reputaui, ſi occaſionem acceperẽ qua amicum efficerem, qui antea non fuiſſet. Ad quod lucrum percipiendum me adiuuabis, ſi hominem humaniter exceperis. Credo illum eſſe mercatorem frugi, qui priùs philoſophiæ dedit operam, nunc verò mercaturam exercet.

Bieti.

Bianti.

NVnquam exiſtimaſſem tantum tibi contemptum fore mei: neque velim admittere. Miror autem quis fuerit hic caſus quo factum ſit, vt nullas hactenus à te acceperim epiſtolas: quum alij frequenter ſcriberent. Sed de iis quæ ſunt facta, ipſe pro te excuſationem proferam: verùm in poſterum ſi tabellarij non ſint in culpa, hoc obſerues, frequenter vt ſcribas. Sic etiam nanciſceris qui reddant literas, ſi verò tu ſis in culpa qui non ſcribas, itidem hoc obſerua. Et facilis eſt hæc obſeruatio. Etenim tantùm erat in noſtra amicitia poſitum, vt poſſit etiam difficilia quæque vincere. Obliuiſcaris iam Heræum verò amœnitatémque loci & commorationem cum Calliſthene. Alia verò quibus noſtros animos temperauimus, aut ipſe quidem oblitus es, aut exiſtimas quum philoſophiam deguſtauerim, iſta obliuioni tradidiſſe, verùm non decet te vilem habere amicitiam, neque de me vilia exiſtimare, ſed tanquam ipſius memor frequentiùs ſcribere.

Matridi.

PLatoni ex ſororibus quatuor ſunt neptes: quarũ maxima natu nuptum dedi Speuſippo cum mediocri dote, triginta videlicet minarum, quas Dionyſius miſit. Ego verò occaſionem amplectendam ratus, Talentum ad dotem adieci. Recuſauit ipſe ſatis diu, tandem ipſum expugnauimus vero ac iuſto ſermone. Dicebamus enim non ad diuitias, ſed ad humanitatem iſta nos conferre. Eiuſmodi dona ſunt accipienda. Augent enim honorem: reliqua dedecorant munera, ſuſcipere par eſſe. Nam hæc gloriam & honores augent, reliqua verò ſunt cum turpitudine coniuncta. Beneuolentiam igitur amplectens, tametſi opes aſpernabere. Nam reliquas etiam filias, iam gratioſiſſimis quibúſque Athenienſibus elocauit. Speuſippus verò cùm reliquos omnes vincat gratia, in paupertate eſt. Hoc igitur lucrum tibi putaui indicandum eſſe, quì ſanè neſcio, ſi maius vllum per vniuerſam vitam nobis contingere poſſit.

Eidem.

REddidit mihi tuas literas Bianor, quibus me reuerti iubes. Etenim quinque annorum ſpacium ad quamuis peregrinationem ſatis eſſe. Meam autem nunc ſexti anni principium attingere. Me verò quantùm teneat deſiderium, tum veſtri, tum patriæ, vos probè nouiſtis. Sed idem hoc deſiderium videtur mihi neceſſitatem imponere commorandi diutiùs Athenis. Malo enim prodeſſe quàm veſtris affectibus obſequi. Hanc vim ſola poſſidet philoſophia. Quinquennium vero non ſolum ô pater ad philoſophiæ ſtudia: ſed ne ad mercandum quidem ſufficere videtur. Verùm hi minora tenuióráque ſequuntur. Nos autem virtutem mercamur, alia re nulla quàm indole, ſedulitate & tempore venalem: ex quibus priora duo non vſq; adeò nos deſtituit. Sed tẽpore nobis eſt opus. Quod ſi ad hoc alterũ quinquẽnium expleuerimus, Deo nos incolumes ſeruante reuertemur. Te

Βίαντι.

Ὀλιγωρίας μὲν σου τοσαύτην περὶ ἐμοῦ οὐκ ἂν ἤλπισα ἔσεσθαι, οὔτε ἐβουλόμην προσδέξασθαι. θαυμάζω δὲ τὴν συντυχίαν δι' ἣν οὐδέν πως ἥκει μοι παρὰ σοῦ γράμματα· καὶ ταῦτα συνεχῶς γραφόντων ἄλλων. ὑπὲρ μὲν οὖν τῶν γενομένων ἐγὼ αὐτὸς ὑπὲρ σοῦ ἀπολογήσομαι. τὸ δὲ λοιπὸν εἴτε οἱ μὴ ἀποδιδόντες αἴτιοι γεγόνασι, φύλαξαι τοῦτο περὶ συνεχῶς γράφειν. οὕτω γὰρ καὶ τῶν ἀποδιδόντων ἐπιτύχῃ. εἴτε σὺ μὴ γράφων, φύλαξαι καὶ τοῦτο· ῥᾳδία δέ ἐστιν αὕτη φυλακή. καίτοι γε τὴν τῇ ἡμετέρᾳ φιλίᾳ τοσοῦτον, ὅσον καὶ τὰ δυσχερῆ νικᾶν δύνασθαι. ἢ ἐπιλέλησαι τοῦ Ἡραίου καὶ τοῦ καλλιχόρου καὶ τῆς παρὰ Καλλισθένει διατριβῆς καὶ ὅσοις ἄλλοις τὰς ἑαυτῶν ψυχὰς ἀνιέσαμεν. ἢ αὐτὸς μὲν οὐκ ἐπιλέλησαι, ἐμὲ δὲ φιλοσοφίας γευσάμενον ἀμνημονεῖν αὐτῶν ὑπολαμβάνεις. ἀλλ' οὐ προσήκει σοι οὔτε αὐτὸν φαύλως ἔχειν περὶ τὴν φιλίαν, οὔτε περὶ ἐμοῦ φαῦλα εἰκάζειν. ἀλλὰ καὶ ὡς μεμνημένον αὐτῆς, καὶ ὡς μεμνημένῳ γράφειν συνεχέστερον.

Ματρίδι.

Πλάτωνι ἀδελφιδῶν θυγατέρες εἰσὶ τέσσαρες. τούτων τὴν πρεσβυτάτην ἐδίδου Σπευσίππῳ πρὸς γάμον καὶ μετρίαν προῖκα τριάκοντα μνᾶς ἐπιπέμψει δὲ αὐτῷ ταύτας Διονύσιος. ἐγὼ οὖν ἀσπαστὸν ἡγησάμενος τὸν καιρὸν, τάλαντον προσέθηκα τῇ προικί· καὶ μέχρι μὲν πολλοῦ ἠναίνετο· ἐξεπολιορκήσαμεν δ' αὐτὸν πάνυ ἀληθεῖ καὶ δικαίῳ λόγῳ. ἔφαμεν γὰρ ὅτι οὐκ εἰς πλοῦτον, εἰς δὲ φιλανθρωπίαν σοι συμβαλλόμεθα· τὰς δὲ τοιαύτας δωρεὰς δέχεσθαι δεῖ. αὗται γὰρ τιμὰς αὔξουσι· αἱ δὲ ἄλλαι ἀτιμάζουσι. τιμᾷς μὲν οὖν φιλανθρωπίαν. ἀτιμάζεις δὲ πλοῦτον. ἡρμόσαμεν δὲ καὶ τὰς ἄλλας παῖδας ἤδη τοῖς χαριεστάτοις Ἀθηναίων. ἀλλ' οἱ μὲν, πλουτοῦσι. Σπεύσιππος δὲ χαριέστερος ὢν πένεται. τοῦτο οὖν τὸ κέρδος αὐτὸν δηλῶσαί σοι. οὗ μεῖζον ἡμῖν οὐκ οἶδ' εἴ τι περιγενέσθαι ἐν παντὶ τῷ βίῳ δυνατόν.

Τοῦ αὐτοῦ.

Ἐκομισάμην παρὰ Βίαντος τὴν ἐπιστολὴν, ἐν ᾗ με ἀνακομίζεσθαι παρεκάλεις. ἱκανὸν γὰρ εἶναι πρὸς ἑκουσίου ἀποδημίαν πέντε τὸν χρόνον. ἕκτου δὲ τὴν ἐμὴν ξενιτείαν ἄρχεσθαι. ἐμὲ δὲ ὅσος μὲν πόθος ἔχει καὶ ὑμῶν καὶ τῆς πατρίδος, αὐτοὶ σαφῶς ἴστε. ἔοικε δ' οὖν αὐτὸς οὗτος ὁ πόθος καὶ βιάζεσθαί με πλείω χρόνον διατρίβειν Ἀθήνησιν. ὠφελιμώτερος γὰρ εἶναι ἢ συμπαθὴς βούλομαι· τοῦτο δὲ τὸ κράτος μόνη ἔχει φιλοσοφία. πενταετὴς δὲ χρόνος ὦ πάτερ οὐχ ὅπως φιλοσοφοῦσιν ἐπαρκεῖν ἔμοιγε φαίνεται, ἀλλ' οὐδὲ τοῖς ἐμπορευομένοις ἐπιμελέστερον. καίτοι γε οἱ μὲν, ἐπὶ τὰ εὐτελέστερα στέλλονται. ἡμεῖς δὲ ἀρετὴν ἐμπορευόμεθα οὐδενὸς ἄλλου πλὴν φύσεως καὶ φιλοπονίας καὶ χρόνου δεῖον. ὧν τὰ μὲν, οὐ παντελῶς ἡμῶν ἀπολείπεται. χρόνου μὲν δεόμεθα· διατρίψαντες δὲ τὴν ἄλλην πενταετίαν ἀναστρεψόμεθα θεοῦ γε σῴζοντος. σὺ δὲ ὦ λῷ-

γνώμῃ ἐκπέμποντος ἡμᾶς ὑπέμεινας, τούτῳ χρὴ καὶ χρονίζοντα μὴ ἄχθεσθαι. καὶ ταῦτα εἰδότα ὡς οὐχὶ τὸ ἐκπλεῦσαι ἐπὶ παιδείαν ἀγαθοὺς ποιεῖ· τὸ δὲ χρονίσαι περὶ παιδείαν σπουδάζοντας.

Τῷ αὐτῷ.

ΠΡότερον μὲν ὥσπερ ἔγραφον δεκαετίαν ἐκπληρώσας, οὕτως ἐπανέρχεσθαι πρὸς ὑμᾶς ἐβουλόμην· νῦν δὲ ἀκούσας τὴν τυραννίδα, οὐκ ἂν ἔτι ὑπομείναιμι ἐν ἀσφαλεστέρῳ τῶν πολιτῶν εἶναι, ἀλλ' ἢ ἂν ἄρξῃ τὸ ἔαρ πλευσοῦμαι θεοῦ σῴζοντος. νῦν μὲν γὰρ μεσοῦντος ἔτι τοῦ χειμῶνος, οὐκ ἐδυνάμην· ἐπεὶ καὶ τελέως ἄτοπον ὁμοίους ἡμᾶς εἶναι, τοῖς ἐπειδὰν ταραχθῇ τῆς πατρίδος ἀποδιδράσκουσιν ὅπη τύχοι. ἀλλὰ μὴ τότε μάλιστα παρεῖναι ὅτε ἀνδρῶν ὠφελησόντων δεῖται. εἰ δὲ καὶ παντάπασιν ἐν ἀδυνάτῳ εἴη τὸ ὠφελεῖν, τὸ γοῦν μετέχειν βλάβης ἑκόντα, ἀρετῇ μὲν παραπλήσια μοι δοκεῖ. χάριν δὲ ἴσως ἐνδεεστέραν. θαρραλεώτερον δέ σοι γέγραφα, ἐπεὶ καὶ Λύσις τὴν ἐπιστολὴν ἐκόμιζεν.

Τῷ αὐτῷ.

ΟΝτως Κλέαρχος ὥς μοι ἔγραψας, οὐχ οὕτω Σιληνὸν δέδοικε καταληφθέντα αὐτῷ τὸ φρούριον, ὡς ἡμᾶς φιλοσοφοῦντας. ἐπ' ἐκεῖνον μέν γε οὐκ ἐπέστειλέ πως τοὺς πολιορκήσοντας ὡς πυνθάνομαι· ἐπ' ἐμὲ δὲ ἧκέ τις Θρᾷξ δορυφόρος αὐτῷ γενόμενος. ἔγνων γὰρ μετὰ ταῦτα. καὶ μικρὸν ὕστερον ἢ γραφῆναί σοι τὴν περὶ τῆς νόσου παρ' ἡμῶν ἐπιστολήν, ἐπεχείρησεν· ἀνειλήφειν δὲ ἐμαυτὸν ἱκανῶς ἤδη. καί μοι περὶ ἕκτην ὥραν μόνῳ περιπατοῦντι ἐν τῷ ᾠδείῳ καὶ περί τινος σκέμματος φροντίζοντι, αἰφνιδίως προσῆξεν. ἐγὼ δὲ ὀξέως μὲν ὑπενόησα ὥσπερ ἦν· ὡς δὲ ξιφιδίῳ εἶδον ἔσω κακῶς μεταλαμβάνοντα, βοήσας αὐτόν τε ἐξέπληξα καὶ προσδραμὼν τὴν δεξιὰν αὐτοῦ μετειληφότος ἤδη τὸ ἐγχειρίδιον, καταλαμβάνω. καὶ τὸ λοιπὸν δὲ λακτίζων καὶ περιαγνύων τὸν βραχίονα ἐξέβαλον αὐτοῦ τὸ ξίφος· καὶ ἐτρώθην μὲν κατενεχθέντος αὐτοῦ ἐπὶ τὸν πόδα. οὐ χαλεπῶς δὲ ὅμως· ἐκ τούτου δὲ ἰλιγγιῶντα ἔδησα τῷ ἰδίῳ ζώματι ἀποστρέψας εἰς τοὐπίσω τὼ χεῖρε. καὶ πρὸς τοὺς στρατηγοὺς ἄγω· κἀκεῖνος μὲν ἔτισε δίκην. ἐγὼ δὲ οὐδὲν δειλότερος εἰς τὸν πλοῦν γέγονα, ἀλλὰ τῶν ἐτησίων παυσαμένων ὅπως ἂν ἔχω πλευσοῦμαι· ἄτοπον γὰρ τυραννουμένης τῆς πατρίδος, ἡμᾶς δημοκρατεῖσθαι. καὶ τὰ μὲν ἐμὰ ὡς ἂν τύχῃ, ἀσφαλῶς ἔχει. ἀγαθὸς γὰρ καὶ ζῶν καὶ ἀποθνήσκων ἔσομαι. ὅπως δέ τι καὶ ὑπὲρ τῆς πατρίδος πολιτευσώμεθα, πεῖθε τὸν Κλέαρχον. ὅτι φιλοσοφήσαντες, ἡσυχίας γλιχόμεθα. καὶ τελέως ἀπολέλυνται τὰς ψυχὰς ἡμῶν. ταῦτα δὲ καὶ διὰ Νύμφιδος πεῖθε αὐτόν· ὃς ἡμῖν μὲν φίλος. ἐκείνῳ δὲ καὶ συγγενής ἐστιν· οὕτω γὰρ ἂν πορρωτάτω πάσης ὑποψίας ἀπάγοιτο. ἀπαρακαλύπτως δέ σοι γράφομεν ἐπεὶ καὶ πιστοῖς ἐπιτιθέμεθα ἀνδράσι τὰς ἐπιστολάς. καὶ Κλέαρχος ὡς ἐδήλους, καλῶς ποιῶν περὶ γοῦν ταῦτα οὐ πολυπραγμονεῖ.

verò quo animo noſtrum diſceſſum tul ſti, eodem etiam moram tardationémque ferre æquum eſt, idque eò magis cùm ſcias non ad diſciplinam enauigando, ſed in ea commorando cum diligentia, probitatem atque doctrinam comparari.

Eidem.

PRimùm quidem erat in animo, poſt exactum decennium vos reuiſere. Nunc verò cùm audiam tyrannidem in patria conſurgere, nó ampliùs potero locum tutiorem quàm ciues mei tenere: ſed protinus ineunte vere nauigio ad vos contendam. (Iam enim per mediam hyemem non datur) ſiquidem maximum dedecus eſſet eorum more nos facere, qui ſimul ac tumultus aliquis eſt excitatus quouis aufugere, malunt, quàm in patria remanere: & non eò, potiſſimùm tempore præſtò eſſe, cùm auxilio magnorum virorum indiget, Quòd ſi iuuari nullo modo poteſt: ſaltem in periculi ſe ſocietatem libenter offerre, virtuti proximum eſſe iudico: tametſi fortaſſe minorem gratiam conſequatur. Scripſi tibi audaciùs eò quòd Lyſi epiſtolam ferendam traderem.

Eidem.

REuera ſic habet, vt ſcribis. Non ita Silenum, Clearchus metu t ob captam munitioné quàm nos, qui philoſophiæ ſtudiis initiati ſumus. Nam aduerſus illum adhuc nullos miſit oppugnatores, vt audio: ad me verò venit quidam Thrax, ſatelles ipſius quod poſtea reſciui, & paulò pòſt, quàm literas ad te de morbo dederamus, ſcelus aggreſſus eſt. Iam enim ſatis cõualueram; Is dum circiter horam ſextam in Gymnaſio ſolus inambulans quæſtionem quandam diligenti meditatione examino, repentinus impetum in me facit. Ego confeſtim obſeruo, quid agat, cúmque gladium hoſtiliter ſtringere, viderem, ſublato clamore terrorem incutio, accurrénſq; dextram, qua iam ferrum tenebat prehẽdo. Exinde calcibus in eum inuectus, fracto brachio, ferrum excutio, quod in pedem mihi delapſum vulnus inflixit, tametſi non admodum graue, Poſt furentem atque exanimem religatis in tergum manibus proprio cingulo vincio, eúmque ad militiæ principes adduco. Sic ille pœnas mihi dependit. Ego verò nihilo ſum ad nauigandum timidior ſed cùm deſierint Eteſiæ, quàm poterit fieri celerrimè nauigabo. Nam indecorum eſt, nos in Democratia viuentes, patriam Tyrannide premi conficique pati. De me quicquid futurum eſt, boni erit conſulendum. Neque enim viuenti neque mortuo probitas, & virtus eripietur. Vt autem pro patria rem gerere poſſimus, tuum erit perſuadere Clearcho, nos philoſophiæ deditos, otium ſequi & à gerenda Repabl. prorſus animũ abhorrere. Hæc per Nymphidem ei perſuadeto, qui nobis amicitia, illi ſanguine cõiunctus eſt. Sic enim ab omni ſuſpicione longiſſimè abducetur. Tibi non obſcurè ſcribimus, quòd & literas viris fidelibus commiſimus, & Clearchus, vt refers rectè quidem parum eſt de hiſce ſollicitus.

Eidem.

Eidem.

CVm Byzantium ex periculoſa, celerique nauigatione, ſaluus euaſerim, quoad commodum videbitur moram ibi nectere decreui. Miſi autem Crobylum ſeruum ad vos, vt noſter deſcenſus in rem patriæ ſit. Noſtra enim ſecuritas, non eſt penes Clearchum. Sed quoniam ſemel adductus ſum, vniuerſam animi mei ſententiam tibi aperiam. Nam mea opinione, multò maximum periculum extra præſens infortunium, impendet patriæ. Iam enim, vt audio, cædibus hominum & exiliis tentatur, præſtantiſſimis & optimis ciuibus orbatur, improbiſſimis verò in ſeruitutem traditur. Poſthac autem non leue periculum eſt, ne ex hac fortuna, quidam Tyrannidis affectationi, reliqui verò ſeruituti aſſueſcant, atque poſthac in ſempiternam monarchiam res deuoluantur. Nam occaſiones etiam minutiſſimæ ſolent aliquando diuturnorum & propemodum perpetuorum initia malorum introducere, omnimóque ſunt corporum morbis ſimillimæ. Quemadmodum enim hi, ſi ab initio ſtatim obſiſtatur, facilimè ab hominibus depelluntur: ſin inualuerint aut difficulter aut planè non ſanari poſſunt, ſic etiam Rerumpublicarum morbi. Donec enim libertatis memoria viget, & præliorum recordatio ſubit ſeruientibus, conſentiente multitudine ſine periculo reſtitui res in integrum poteſt: poſtquam verò ſemel incrementa malum accepit, neque ſermones ampliùs conferuntur, qui ratione reprimatur tollatúrque, ſed potiùs quemadmodum tolerabilem in eo vitam tranſigant: tunc exitium commune iam eſt præ foribus. Patria itaque in tantis tempeſtatibus periculiſque iactatur. Ego verò ſi mearum rerum ſtatum per ſe voles conſiderare, prorſus in tuto nauigo. Nam ſeruitutem ego eam accipio, quæ cum corporibus, etiam animos ſub imperio continet. Quæ verò nequaquam animum attingens, ſolum corpus obnoxium tenet, ea mihi ne ſeruitus quidem appellanda videtur. Atque his argumentum certiſſimum id eſſe debet. Quicquid enim eſt in ſeruitute mali, illud ad animum omne transfertur. Nam alioqui ne mali quidem appellationem ſubire poſſet. Metus enim exiſtit alicuius incommodi, atque ex incommodo dolor. Quæ grauiſſima videntur hominibus minimè libero ingenio natis. Quomodo igitur? Si quis neque futurum incommodum extimeſcit, neque ob præſens doleat, is ſeruire tenebitur, præſertim cùm omnium malorum quæ ſecum apportat ſeruitus, expers ſit & immunis. Sic igitur tibi perſuadeas velim, me talem euaſiſſe philoſophiæ præceptis, vt me Clearchus, etiamſi in vincula coniiciat, atque ſuppliciis acerbiſſimis afficiat, tamen in ſeruitutem nunquam ſit redacturus. Neque enim animum meum vnquam ſubiget, in quo poſita vel ſeruitus, vel libertas eſt: quoniam corpus fortunæ ſemper eſt obnoxium, tametſi dominatori ſubiectum non ſit. Quòd ſi mihi mortem obtulerit, iam conſtantem perfectámque libertatem largietur. Quam enim ambiens corpus in ſuam pertrahere ſeruitutem non potuit, huic ab corpore ſeparatæ, ſuam quandam quaſi gubernationem relinquere videris. Non autem ego ſolùm, quamcunque procellam ſubiuero, liberi

Τῷ αὐτῷ.

Εἰς Βυζάντιον θρασυτέρῳ μὲν, ταχεῖ δὲ σὺν πλῷ διασωθεὶς, ἔγνων αὐτός τε ἐπιμεῖναι χρόνον ὃν ἄν μοι καλῶς ἔχειν δοκῇ, καὶ πρὸς ὑμᾶς ἐκπέμψαι Κρόβυλον τὸν θεράποντα, ἵνα τὴν κάθοδον πραττώμεθα ὠφελίμως τῇ πατρίδι· τὸ μὲν γὰρ ἡμέτερον ἀσφαλὲς, οὐκ ἐπὶ Κλεάρχῳ ἐστί. βούλομαι δὲ ἐπεὶ προήχθην ἅπαξ, καὶ καθόλου σοι τὴν ἐμὴν γνώμην δηλῶσαι. ἐμοὶ γὰρ δοκεῖ τῇ μὲν πατρίδι ὁ μέγιστος εἶναι κίνδυνος μετ᾽ ἀτυχίας ἤδη παρούσης· νῦν τε γὰρ ὡς πυνθάνομαι σφαγάς τε ἀνθρώπων καὶ φυγὰς ὑπομένει. στερουμένη μὲν τῶν ἀρίστων πολιτῶν· τοῖς δὲ ἀσεβεστάτοις δουλεύουσα. καὶ εἰσαῦθις οὐχ ὁ τυχὼν αὐτῇ κίνδυνος· μή ποτε ἐκ τῆς περὶ τούτων ἀτυχίας, οἷς μὲν, πόθος τοῦ τυραννεῖν· οἷς δὲ συνήθεια δουλείας γένηται. καὶ τὸ λοιπὸν εἰς μοναρχίαν ἀκατάλλακτον περιστῇ τὰ πράγματα· μικραὶ γὰρ δὴ, ὅπαι καὶ τῶν πολυχρονίων καὶ σχεδὸν εἰπεῖν ἀπαύστων ἄρχουσι κακῶν, καὶ ἔγγιστα ὅμοιόν τι ποιοῦσι τοῖς νοσήμασι τῶν σωμάτων· ὥσπερ γὰρ ἐκεῖνα περὶ μὲν τὰς ἀρχὰς ῥᾷον ἀπολύεται τῶν ἀνθρώπων ἐνισχύσαντα δὲ δυσίατα καὶ τελέως ἀνίατα γίνεται, οὕτω καὶ τὰ ἐν ταῖς πολιτείαις νοσήματα, μέχρι μὲν μνήμη τε ἐλευθερίας ἰσχύει καὶ ἐπέρχεται τοῖς δουλευομένοις ἡ παράταξις, λύσις ὀχυρὰ γίνεται προσβουλομένου τοῦ πλήθους· ἐπειδὰν δὲ ἅπαξ ὑπερισχύσῃ τὸ κακὸν, καὶ μηκέτι ᾖ τοῖς ἀνθρώποις λόγος, ὅπως αὐτὸ ἀπαλλάξωσιν ἑαυτῶν, ἀλλ᾽ ὅπως ἂν ῥᾷστα ἐν αὐτῷ διάγοιεν, τότε ὁ παντελὴς ὄλεθρος γίνεται. ἡ μὲν οὖν πατρὶς ἐν τοιούτοις κακοῖς καὶ κινδύνοις ἐστίν· ἐγὼ δέ, εἰ μὲν αὐτὸ ἐφ᾽ ἑαυτοῦ βούλοιο τοὐμὸν σκέψασθαι, καὶ πάνυ ἀσφαλής εἰμι. δουλείαν γὰρ ταύτην ἔγωγε νομίζω, ἣ μετὰ τῶν σωμάτων καὶ τὰς ψυχὰς ὑφ᾽ ἑαυτὴν ἔχει. ἡ δὲ τῆς μὲν ψυχῆς οὐδ᾽ ὅτι οὖν ἁπτομένη, τὸ δὲ σῶμα μόνον ἔχουσα, οὐδὲ δουλεία τυγχάνειν ἔμοιγε δοκεῖ. τεκμήριον δὲ· ὅτι γὰρ δουλείας κακὸν, τοῦτο ἐπὶ ψυχὴν καταβαίνει· ἐπεὶ καὶ ἄλλως οὐδὲ κακὸν λέγοιτο ἄν. φόβος γὰρ τοῦ παθεῖν τι. καὶ ἐκ τοῦ παθεῖν, λύπη. τὰ δυσφορώτατα τοῖς μὴ ἐλευθέροις. τί οὖν; ἄν τις μὴ φοβῆται μέλλον κακὸν, μηδὲ ἐπὶ τῷ γινομένῳ ἄχθηται, δουλεύσει; καὶ πῶς ὅγε μὴ ἔχων τὰ δουλείας κακά. ἴσθι οὖν τοιοῦτόν με ὑπὸ φιλοσοφίας γεγενημένον, ὁποῖον κἂν δήσῃ Κλέαρχος, κἂν ὅτι ἂν δράσῃ τῶν χαλεπῶν, οὐδέποτε ποιήσει δοῦλον· οὐδέποτε γάρ μου τὴν ψυχὴν χειρώσεται, ἐν ᾗ τὸ δοῦλον ἢ τὸ ἐλεύθερον. ἐπεὶ σῶμά γε ἀεὶ σὺν τύχαις ὕπεστι, κἂν ὑπ᾽ ἀνδρὶ μὴ τάττηται δεσπότῃ. ἐὰν δέ με ἀποκτείνῃ τότε καὶ τῆς τελείας ἐλευθερίας χαριεῖταί μοι. λύσας γὰρ ἐκ τοῦ περιέχοντος σώματος ἐκείνην τῇ ἑαυτοῦ δουλείᾳ, ταύτῃ τινὰ οἰκονομίαν καταλείψειν δοκεῖς κεχωρισμένῃ τοῦ σώματος. οὐ μόνον δὲ ἰδοὺ ὃ ἂν πάσχω ἐλεύθερος

ἀλλὰ καὶ Κλέαρχος ὁ εὖ διαθεῖναί με δοῦλος γενήσεται. φοβούμενος γὰρ διαθήσει, δέος δὲ οὐδὲν ἔχει ψυχῆς ἐλευθερίας. τὰ μὲν οὖν ἐμὰ ἐφ᾽ ἑαυτῶν σκοπεῖν ὡς ὁρᾷς ἀσφαλέστερα εἰς τὸ παθεῖν, ἢ Κλεάρχῳ εἰς τὸ δρᾶσαι. καὶ τό γ᾽ ἐμὸν οὐκ ἐπιμελείας, ἀλλ᾽ ὀλιγωρίας δεῖται. τὸ γὰρ ἀρχὴν φροντίζειν περὶ αὐτῶν, ἀνδρός ἐστιν οὐ πάνυ ἐλευθέρου. τὰ δὲ τῆς πατρίδος συμπεπλεγμένα μοι οὐκ ἐπιτρέπει τὸ αὐτόνομον ταύτην ἐλευθερίαν. ἀλλὰ καὶ πολιτεύεσθαι ἀναγκάζει καὶ κίνδυνον ἔχειν. κίνδυνον δὲ οὐχὶ μή αὐτός τι πάθω, ἀλλ᾽ ἵνα μὴ παρόντος ἄν τι τὴν πατρίδα οὐκ ὠφελήσω. διὰ τοῦτό μοι ἀνάγκη καίπερ μὴ φοβουμένῳ, θάνατον προνοεῖν. ὅπως μὴ πρότερον ἀποθάνω, ἢ ὑπὲρ τῆς πατρίδος ἀποθανεῖν δυνήσομαι. πολίτευου δὲ πρὸς τὸν τύραννον ἃ καὶ πρότερόν σοι ἔγραφον, πείθων αὐτὸν ἐπὶ ἡσυχίας ἐρασταὶ ἐσμέν. καὶ γράφε ἡμῖν ἐὰν καὶ ἄλλο τι σοι δοκῇ πρὸς τὴν αὐτόθι πολιτείαν ἀνήκειν· ἐπεὶ ἀνάγκη μοι εἰς τὴν τῆς πατρίδος ἐλευθερίαν, ὑφαιρεῖν τι τῆς ἐμαυτοῦ φροντίζοντι περὶ τούτων καὶ βουλευομένῳ.

verumetiam Clearchus quocunque fuerit in me animo, ſeruus efficietur. Nam metum geret: cùm animus liber, ab omni timore ſit alieniſſimus. Proinde quòd ad meam conditionem per ſe examinandam pertinet, vides me patiendo vim, tutiorem fore, quàm Clearchum inferendo, neque quicquam ſollicitudine, ſed contemptu meis in rebus eſt opus. Nam à principio de his animo enunciari, hominis eſt non planè liberi. Mihi verò patriæ ſtatus plenam hanc abſolutàmque libertatem non concedit. Sed Rempublicam gerere, cogit, periculiſque implicat, non, ne quòd ipſe detrimentum accipiam: ſed ne patriæ afflictæ perturbatæque deeſſe videar. Ob hanc cauſſam mihi quamuis non metuenti, præmeditari tamen de morte neceſſum eſt: ne priùs ipſe occumbam, quàm pro ſalute patriæ mortem oppetere poſſim. Tu coram Tyranno hoc age, quod ſuperioribus literis tibi ſcripſi, vt perſuadeas ei, nos otio delectari. Et ſcribe nobis, ſi quid ad eam rem perficiendam aliud pertinere exiſtimabis. Nam mihi neceſſe eſt, communis libertatis cauſſà, de mea quiddam detrahere, vt curam conſiliúmque de his ſuſcipiam.

Τοῦ αὐτοῦ.

Ἐπὶ μὲν τοῦ συμπεισθῆναι τὸν τύραννον οἷς περὶ ἐμοῦ πρὸς αὐτὸν ἔλεγες, συγχαίρω τῇ πατρίδι. γράψω δὲ καὶ αὐτὸς ὡς συνεβούλευσας, ἀπάγων αὐτὸν ἀπὸ τἀληθοῦς ὡς μάλιστα ἔνεστι. τοὐναντίον γὰρ ἂν ποιῶν, ψευσαίμην τοὺς ἐμαυτοῦ πολίτας καὶ φίλους ὧν ἐξ ἐμοῦ ἤλπισαν, καὶ ταῦτα οὐκ ἀξίους ὄντας ἀπατᾶσθαι. τὸ δὲ εἶναι τὸν τύραννον τελέως καὶ χαλεπόν, ὠφελιμώτερον ἔγωγε ἡγοῦμαι τῇ πόλει ἢ τὸ δημοκοπεῖν αὐτὸν καὶ προκαλύπτεσθαι δόξαν μετριότητος. τὸ δὲ αἴτιον, ὅτι οἱ μὲν χαλεποὶ διαφθείρονται ταχέως καὶ ἂν μὴ καταλυθῶσι, μῖσος ὅμως τυραννίδος κατέλιπον τῷ πλήθει, καὶ παντελῶς τὴν μοναρχίαν ἐφ᾽ ἑαυτῶν διέβαλον. οὕτως οὖν συμβαίνει τὸν γοῦν λοιπὸν χρόνον φυλακτικωτέρους γίνεσθαι καὶ προνοητικωτέρους τῆς δημοκρατίας ἅπαντας. ὅταν δέ τις δουλωσάμενος ἐκδημοκοπήσῃ τοὺς δουλωθέντας κἂν ἀναιρεθῇ ταχέως, πολλὰ ὅμως ἐγκαταλείπει τυραννίδος ἐν ἑκάστοις κακά. ὧν οἱ μὲν ἔτι ποθοῦντες πείσεσθαι. οἱ δὲ ἄλλως δημαγωγηθέντες, τυφλοὶ τῷ κοινῷ συμφέροντι εἰσί. καὶ τοῦτο ἀναιρεθέντα οἰκτείρουσιν ὡς δὴ μέτριον καὶ τὴν τυραννίδα οὐχ ὡς ἀνήκεστόν τι φυλάττονται κακόν· ἀγνοοῦντες ὅτι κἂν πάντα τις ᾖ μέτριος τύραννος διὰ τοῦτο καταλυτέος ἐστὶν ὅτι ἔξεστιν αὐτῷ καὶ χαλεπῷ εἶναι. Κλέαρχος δὲ ὠμὸς ὤν, αὐτός τε εὐχείρωτος ἔσται μισούμενος. καὶ τοῖς ἄλλοις δυσκατορθωτοτέραν ποιήσει τὴν τυραννίδα. προσποιούμενος δὲ εἶναι μέτριος, αὐτός τε ἂν ταύτην τὴν δόξαν ἐκαρπώσατο, τοῖς τε βουλομένοις ὕστερον διέμβατον ἀπολίποι τὴν ἀκρόπολιν ἀλλὰ ταῦτα μὲν καὶ σοὶ δῆλα δὴ φανερά. τὸν δὲ τρόπον τῆς γραφῆς καὶ ἀποδόσεως τῶν ἐπιστολῶν χαίρω ὅτι δὴ σύ τι ἀσφαλῆ ἐνόμισας, καὶ τὸ τέλος μαρτυρεῖ μὴ ἀτόπως εὑρῆσθαι.

Eidem.

QVòd ea Tyranno perſuaſeris quæ de nobis ſollicitus es, id verò gratulor patriæ. Ego in eandem ſententiam ad eum literas dabo, conabórque eum à veritate quàm longiſſimè abducere. Quòd ſi facerem aliter, fallerem ſpem ciuium & amicorum meorum, qui ſanè circumueniri nullo modo debent. Quòd verò Tyrannus ſupra modum eſt intolerabilis, id ego magis è re patri iudico eſſe, quàm ſi populo blandiretur, atque opinionem integritatis prætenderet. In cauſſa eſt, quoniam difficiles ac truculenti citiùs euertuntur aut ſi etiam non tollantur, tamen odium Tyrannidis in animis populi inſitum relinquunt & prorſus ſuis moribus inuidioſam reddunt monarchiam. Ex quo fit vt in poſterum omnes vigilantiori cura prouidentiáque Democratiam tueantur. Cùm verò quis redactos in ſeruitutem blanditiis demulcet, poſteaquam redegerit: is etiamſi ſubitò deleatur: tamen plurima Tyrannidis incommoda ſingulis relinquit, quorum alij beneficiorum cupiditate, nonulli aſſentationis illecebris ducti in perſpiciendis publicis commodis omninò cæci feruntur, atque interfectum luctu proſequuntur, tanquam bonum & moderatum neque Tyrannidem, quaſi malum aliquod infandum execrantur: neſcientes, ſi etiam fuerit æquus & moderatus, ob eam maximè cauſſam fuiſſe tollendum, quòd difficilis & intolerandus eſſe potuiſſet. Sed Clearchus, quoniam ſæuus eſt, tum nullo negotio confici propter odium poterit, tum reliquis incomparabilem, regni affectationem efficiet. Quòd ſi lenitatem ſimulare noluiſſet, profectò & ipſe fructum opinionis fictæ tuliſſet, & poſthac affectantibus viam ad arcem muniuiſſet. Sed hæc tu probè ſcilicet tenes. Modus ſcribendi reſpondendique valdè, mihi probatur, quem tu putaſti tutiorem eſſe, atque euentus declarauit non ineptè fuiſſe excogitatum.

Miſi tibi exemplar eius epiſtolæ, quam ad Clearchum ſcripſi. Eam data opera feci pompoſiorem, ſtrictioremque, vt nos nihili faceret quippe, quos in ſermonis ornatu prorſus inſanire videret.

Clearcho.

CVm Athenis philoſophiæ ſapientiæque cauſſa verſarer, quidam ex communibus amicis atque etiam pater per literas ſignificarunt, me tibi in ſuſpicionem veniſſe, eámque argumentis amouere iuſſerũt. Hoc enim æquum eſſe mihique vtile. Ego verò recte ſuadere ſatis ſciebam: at illud ignorabam, quas ob cauſſas eſſẽ traductus: ſed hoc mihi ad defendendum facultatem maximam ſuppeditare videbatur, quòd neque te regnum occupante, præſtò fuiſſem, neque poſſem abſens reſiſtere. Neque enim quicquam ego vel feci, vel locutus ſum, quod ad illam rem pertineret, aut reſpiceret. Quæ igitur tranſpontanæ aduerſus monarcham controuerſiæ, hominis cum paucis quibuſdam famulis peregrinantis eſſe potuiſſent, non inueniebam: ſic qua potiſſimùm vterer defenſione dubitabam, quòd nihil ſcirem cuius accuſatus eſſem. Non dubitabam rurſus, quòd nihil tale machinarer, cuiuſmodi fortaſſis nonnulli de me ſuſpicarentur, & oſtendere poſſem, nullis eiuſmodi conſiliis facilè meum animum patere. Arbitror autem, ſi etiam non operam philoſophiæ dediſſem: tamen hoc ſatis firmum indicium fore, non me tibi infenſum eſſe, quòd nullam à te paſſus ſum iniuriam; nam ne ij quidem, qui ſunt à ſapientiæ ſtudio diſiuncti, ſi non prorſus mente capti ſint, inimicitias ex quadam voluptate ſuſcipiunt. Neque quemadmodum in amorem ſpecioſorum adoleſcentum, ſic etiam in odium quadam libidine rapiuntur. Multùm abeſt. Nouerunt enim probè, nihil moleſtius hominibus odio contingere poſſe: cùm verò ſcelere quodam aut iniuria diſtrahantur illorum animi, tunc infenſi ſunt atque ne id quidem lubentes. Nobis verò vſque in hunc diem neque magna, neque parua res vlla, mutuæ offenſionis cauſſa exſtitit: ſed tu præter ſuſpiciones & ſermones nihil affers, ego verò ab his quoque mentem expurgo. Quid igitur me impelleret ad tam repentinam aduerſus te factionem? idque cùm nondum etiam hodie viderim patriam ſub tuum imperium miſſam? At Hercules me copia triremium equitúmque ſic effert, vt ſi nihil aliud, at ſaltem poſſe me hoſtem eſſe ſuſpiceris. Atqui peregrinationem ſuſcepimus cum famulis octo, & duobus familiaribus Heraclide & Agathone: duos verò ex famulis amiſi, quibus careo. Hæc neſcio quomodo perſuadentibus ſatis aduerſus te magnũ apparatũ eſſe. Illud verò non cogitas, me, ſi mihi iuſtæ ſuſpicionis eſſem conſcius, nunquam facturum fuiſſe, vt in manus eius, qui ſuſpicatur libenter me committerem: aut ſum tam cupidus inuidentiæ atque odij, vt neque meiipſius amoris rationem ducam, ſed ſponte corpus meum ad iuſtum ſupplicium luendum offeram? Hæc verò imperitis etiam philoſophiæ ſufficerent ad criminis purgationem, immò ſuperare putarent: ego verò cùm aliis rebus omnibus non ineptus eſſem ad philoſophię ſtudia, naturã quantũ fieri potuit, excercui, & adoleſcens non imperia, non dignitates ambiui:

ἔπεμψα δέ σοι καὶ τὸ ἀντίγραφον τῆς πρὸς τὸν Κλέαρχον ἐπιστολῆς διθυραμβικωτέραν ποιήσας ἐπίτηδες αὐτήν, ἵν' ἡμῶν καταφρονῇ ὡς λογομανούντων τελέως.

Κλεάρχῳ.

ἘΝ Ἀθήναις μοι φιλοσοφίας χάριν διατρίβοντι τῶν τε κοινῶν τινες φίλων καὶ ὁ πατὴρ ἔγραψεν ὡς δι' ὑποψίας εἴην πρὸς σέ, καὶ αἰτίας ἐκέλευόν με ἀπολύσασθαι. τοῦτο γὰρ δίκαιον εἶναι καὶ αὐτῷ μοι ἄμεινον. ἐγὼ δὲ ὅτι μὲν ὀρθῶς παρῄνουν ταῦτα, σαφῶς ᾔδειν· ἠγνόουν δὲ ἀφ' ὧν διεβλήθην· καὶ τοῦτό μοι πρὸς τὴν ἀπολογίαν ἦν εὔπορον. οὐ δὲ γὰρ αὐτὸς παρὼν ὅτε περιεβάλλου τὴν ἀρχὴν οὔτε ἀπὼν ἐδυνάμην ἐναντιοῦσθαι. οὐδ' ὅλως ἢ λόγος, ἢ ἔργον τι τῶν ἐμῶν, ἐπιμιξίαν τινὰ ἔχει πρὸς τὰ αὐτόθι πράγματα. τίνες οὖν αἱ διαπόντιοι πρὸς μόναρχον ἐναντιώσεις ἀνθρώπου μετ' ὀλίγων οἰκετῶν ἀποδημοῦντος, οὐχ ηὕρισκον. καὶ διὰ τοῦτό γε ἠπόρουν ἀπολογίας, ὅτι οὐδὲν ᾔδειν τὸ κατηγορούμενον. οὐκ ἠπόρουν δὲ πάλιν τοῦ μηδὲν ἐννενοῆσθαι τοιοῦτον ὁποῖον ἴσως ὑποπτεύομαι, ἀλλὰ καὶ πάνυ εἶχον πεῖσαί σε ὅτι ἡ ἐμὴ ψυχὴ οὐδενὸς δεκτική ἐστι, τῶν τοιούτων βουλευμάτων. οἶμαι μὲν οὖν εἰ καὶ μὴ πεφιλοσοφήκειν, ἱκανὸν ἂν γενέσθαι τεκμήριον τοῦ μὴ ἀπεχθῶς ἔχειν πρὸς σέ, τὸ μηδὲν ἠδικῆσθαί τι ὑπὸ σοῦ. οὐδὲ γὰρ οἱ ἀφιλοσόφητοι μὴ παντάπασί γε μανέντες, καθ' ἡδονήν τινα ταῖς ἀπεχθείαις ἐπανάγονται. οὐδὲ ἐρωτικαῖς τισιν ὥσπερ παιδικῶν ἐπιθυμήμασιν, οὕτω καὶ μίσους λαμβάνουσι, πολλοῦ δεῖ· ἀλλὰ καὶ πάνυ ἐπίστανται, ὅτι οὐδὲν ἀνθρώποις ἀπεχθείας ἀνιαρότερον. ὅταν δὲ ὑπὸ ἀνηκέστου τινὸς διαιρεθῶσιν ἀπ' ἀλλήλων τὰς ψυχάς, τότε ἀπεχθάνονται καὶ οὐδὲ τότε ἑκόντες. ἡμῖν δὲ μέχρι τῆς νῦν ἡμέρας οὐδὲν οὔτε μέγα οὔτε μικρὸν ὑπῆρκται πρὸς ἀλλήλους ἀπεχθείας ἔργον· ἀλλὰ σοὶ μὲν οὐδὲν πλέον ὑπονοίας καὶ λόγου. ἐγὼ δὲ καθαρεύω τὴν ψυχὴν καὶ ἀπὸ τούτων. τί οὖν βουλόμενος ἐξαίφνης στασιάζω πρὸς σέ; καὶ ταῦτα μηδέ πω καὶ τήμερον ἑωρακὼς ἀρχομένην ὑπὸ σοῦ τὴν πατρίδα. ἢ νὴ Δία φυσῶσί με αἱ πολλαὶ τριήρεις καὶ οἱ ἱππεῖς· ἵνα εἰ μηδὲν ἄλλο, ὑποπτεύῃς τό γε δύνασθαί με ἐχθρὸν εἶναι. ἀλλὰ ἀποδημήσαμεν σὺν ὀκτὼ θεράπουσι καὶ φίλοις δύο Ἡρακλείδῃ καὶ Ἀγάθωνι, ἀναλύω δὲ δύο τῶν οἰκετῶν ἀποβαλών. ταῦτα δὲ οὐκ οἶδ' ὅπως πείθουσί σε ἱκανὴν εἶναι παρασκευὴν ἐπὶ σέ. ἐκεῖνο δ' οὐ σκοπεῖς ὅτι εἰ συνῄδειν ἐμαυτῷ δικαίως ὑποπτευομένῳ, οὐκ ἄν ποτε ἑκὼν ἐμαυτὸν ἐνεχείριζον τῷ ὑποπτεύοντι. ἢ οὕτως ἐραστὴς ἀπεχθειῶν εἰμι, ὥστε μηδὲ τὴν πρὸς ἐμαυτὸν φυλάττειν φιλίαν, ἀλλ' ἑκὼν ἐγχειρίζειν τὸ σῶμα τοῖς δικαίως αὐτὸ τιμωρησομένοις. ἀλλὰ ταῦτα μὲν καὶ τοῖς μὴ φιλοσοφήσασιν, ἱκανὴ μᾶλλον δὲ πέρα τοῦ ἱκανοῦ ἀπολογία. ἐγὼ δὲ οὐδ' ἄλλως ἀφυὴς γενόμενος πρὸς τὰ ἐκ τῆς φιλοσοφίας ἀγαθά, συνέλαβον τῇ φύσει ὡς μάλιστα ἐνῆν. καὶ νεανίας γενόμενος, οὐκ ἀρχὰς οὐδὲ φιλοτιμίας ᾑρούμην,

ἀλλὰ εὐθέως αὐτῆς ἦρχον τῆς φύσεως τῶν λόγων. καὶ οὗτός με ὁ ἔρως ἤγαγεν εἰς Ἀθήνας καὶ Πλάτωνι ἐποίησε φίλον. καὶ μέχρι γε νῦν, οὔπω αὐτοῦ πεπλήσμαι. φύσεως μὲν οὖν οὕτως ἔχων πρὸς ἡσυχίαν, ὡς ἔτι παντελῶς νέος ὢν, καταφρονῆσαι πάντων, ὅσα ἀρχὴν ταραχωδεστέρου βίου δύναται. ἐλθὼν δὲ εἰς Ἀθήνας, οὔτε ἐκυνηγέτουν, οὐδὲ ναυτικῆς εἰς Ἑλλήσποντον ἐπὶ Λακεδαιμονίοις σὺν Ἀθηναίοις ἔπλεον. οὐδὲ ταῦτα ἐπαιδευόμην ἀφ' ὧν τυράννοις καὶ βασιλεῦσιν ἐχθροὺς ἐσόμεθα. ἀλλ' ἀνδρὶ ἡσυχίας ἐραστῇ διαλεγόμενος τὸ ἔσχατα θεοῦ λόγων παιδευόμενος. καὶ μοι πρῶτον παρ' αὐτοῦ παρηγγέλθη ἡσυχίαν ποθεῖν· ταύτην γὰρ τὸ τοῦ κατὰ φιλοσοφίαν λόγου φῶς εἶναι. τὴν δὲ πολιτείαν καὶ πολυπραγμοσύνην, ὥσπερ ζόφον τινὰ ἐπικαλύπτειν· καὶ δυσεύρετον ποιεῖν τοῖς ἐρῶσιν· ὡς δὲ αὐτὸ πεφυκέναι κακὸς ἐδόκουν πρὸς αὐτὴν, ἔτι πείθεσθαι ῥᾳδίως περὶ αὐτῆς, τηνικαῦτα ἤδη θεὸν πάντων ἐπόπτην, καὶ κόσμου κατασκευὴν ἐμάνθανον, καὶ φύσεως ἀρχὰς ἑώρων· καὶ δικαιοσύνην τιμᾶν ἐδιδασκόμην· καὶ ὅσα τοιαῦτα ἄλλα παιδεύει φιλοσοφία. καὶ οὐδὲν οὐχ ὅπως τοῦ εἰδέναι ταῦτα, ἀλλ' οὐδὲ τοῦ ζητεῖν τιμιώτερον. τί γὰρ κάλλιον ἢ ἀνθρώπῳ ὄντα θνητῆς φύσεως καὶ θεοῦ κεκραμένον μοίρᾳ, μόνοις διαιρεῖν τοῖς ἀθανάτοις ἑαυτοῦ. καὶ ταῦτα, πρὸς τὸ συγγενὲς ἄγειν· συγγενῆ δὲ τῷ θείῳ τὰ θεῖα λέγω· ταῦτα εὐχόμενόν τε καὶ ἐσπούδαζον μαθεῖν. πολιτείας δὲ ἀνέξῃ γὰρ μετὰ παρρησίας μου λέγοντος, οὐδὲ μεμνῆσθαι ἠξίουν· ἔμαθον δὲ ἄλλα τε πολλὰ καὶ ταῦτα οἷς νῦν χρήσομαι πρὸς σέ. τὸν μὲν μὴ ἀδικοῦντα τιμᾶν. τὸν δὲ ἀδικοῦντα ἄριστον μὲν δι' εὐεργεσίας ἀμείβεσθαι· εἰ δὲ μή γε ἡσυχίᾳ. καὶ φίλον μὲν τιμιώτατον ἡγεῖσθαι, ἐχθρὸν δὲ μηδένα ἑαυτοῦ κατασκευάζειν· καὶ τὸν ὄντα, φίλον ποιεῖσθαι. καὶ μηδὲν τηλικοῦτον νομίζειν κακὸν ἔσεσθαι ὃ ταράξει τὴν ψυχὴν καὶ τῶν οἰκείων ἔργων ἀποστρέψει πρὸς ἕτερα. ἆρά γε ἐπιβουλεύειν μοι νομίζεις χρῆσθαι ταῦτα εἰδότι, μηδαμῶς. ἀλλὰ σοὶ μὲν ἀποκείσθω πολέμων ἔργα καὶ πολιτειῶν· ἡμῖν δὲ τῆς σῆς τοσοῦτον ἀπολελαύσθω τυραννίδος, ὅσον ἀπαρκεῖ ἀνδρὶ δοκεῖς ἐπησυχάσαι. πείθομαι δ' ὅτι σὺ καὶ διαλέγεσθαί με ἀφῆς τοῖς φίλοις. ἠρεμαίους ἂν αὐτοὺς ποιήσαιμι καὶ ἀπολαύοντας ὧν σὺ βούλει διεξιὼν τὰ ἀεὶ ἡμῖν μελετώμενα φιλοσοφίας ἐγκώμια. ἐπεὶ καὶ τελέως ἂν εἴην μὴ ταῦτα δρῶν ἀχάριστος. φέρε γὰρ εἴ μοι τεχνωμένῳ τι ὧν σὺ ὑποπτεύεις, ἡ πραεῖα ἐπισταίη θεὸς ἡσυχία. καὶ ταῦτα λέγοι, ἀχάριστος εἶ καὶ πονηρὸς ὦ Χίων. καὶ οὔτε τῶν καλλίστων μαθημάτων, οὔτε ὅλως σεαυτοῦ μνήμην ἔχεις. ἐμοὶ χρώμενος δικαιοσύνην ἤσκησας καὶ σωφροσύνην ἐκτήσω· καὶ θεὸν ἔμαθες καὶ τὴν σεαυτοῦ πρὸς αὐτὸν συγγένειαν ἀνενεώσω. καὶ τῶν ταπεινοτέρων τούτων, θαυμαζομένων δὲ τοῖς ἄλλοις καταφρονήσας φιλοτιμίας καὶ πλούτου καὶ ὅσα τούτοις ὅμοια. εἶτα νῦν ὅτι ἀποδιδόναι σε δεῖ τὴν χάριν,

ſed ſtatim dicendi atque orationis, amore flagrare cœpi. Qui me amor Athenas adduxit, & Platonis familiaritatem mihi conciliauit, cuius ne nunc quidem me ſatietas tenet. Cùm itaque natura me ſic ad otium & tranquillitatem finxerit, vt etiam rudibus adhuc annis, omnia negligerem, quæ turbulentiorem efficere vitam poſſent. Poſteaquam verò Athenas acceſſi, neque venationibus me dedi, neque Nauta cum Athenienſibus contrà Lacedæmonios in Helleſpontum nauigaui, neque in his eruditus ſum, quæ me à Tyrannis & regibus abalienare poſſent: ſed viro quietis amanti conuerſatus ſum, ab eóque in diuinis propè ſermonibus inſtitutus. Atque primum hoc mihi præceptum dedit, vt otium amplexarer. Id enim philoſophiæ diſſertationem quaſi fulgens quoddam lumen eſſe. Rerumpublicarum verò gubernationes & negotia, quaſi tenebras offundere, atque imperueſtigatam reddere doctrinam quærentibus. Cùm autem neque infœlici ad eam ingenio naturáque præditus eſſem, neque facilè quiduis obuium de ipſa crederem: tum denique Deum omnium inſpectorem, & mundi inſtructum diſcebam, atque naturæ principia conſpiciebam, & quemadmodum eſſet colêda iuſtitia: docebar, ac quæcunque his ſimilia traduntur à philoſophia, quibus nihil eſt, neque ſcitu neque quæſitu dignius. Quid enim ſplendidius quàm hominem ex mortali natura, diuináque portione commixtum, ei duntaxat ſuipſius parti quæ mortalitatis expers eſt, vacare, eámque ad cognata deducere? Cognata verò diuina diuinis appello. Ad hæc perdiſcenda votis omnibus diligentiáque contendi, Reſpublica verò: patieris enim liberè me loqui, ne in mentem quidem venit. Et cùm alia multa diſcendo comprehendi, tum etiam, quibus nunc ad te ſum vſurus. Eum qui nullam faceret iniuriam obſeruantes habere. Iniurioſum verò beneficiis potiſſimum compeſcere: ſin minùs quiete: Amicum in ſummo precio putare. Neminem ſibi inimicum parare, atque cum eo qui ſit, in gratiam redire. Nullum malum tanti ducere, vt animum confundat, & à domeſticis negotiis ad alia transferat. Ecquid inſidias me tibi ſtudere putas, qui teneam hæc? Nullo pacto. Sed tibi bellorum rerúmque publicarum negotia ſerues. Nobis verò tantùm de tua Tyrannide concedatur, quantùm licitum ſit homini otioſo quietem ſectari. Perſuaſum autem habeo, ſi mihi poteſtatem feceris inter amicos diſſerendi: fore, vt quod tu potiſſimum cupis, ipſos quoque faciam quietis auidos, & à Repub. abhorrentes, percenſens prædicánſque clariſſimas philoſophiæ laudes, in quibus nos perpetuò verſamur: ſiquidem omnino forem ingratus, niſi ſic in animum inducerem. Nam age ſi mihi quiddam eiuſmodi molienti, quale tu ſuſpicaris, manſueta dea QVIES aſſiſteret ac his me verbis compellaret. Ingratus verò ô Chion & prauus es, ac neque pulcherrimarum diſciplinarum, neque planè tuipſius meminiſti. Mea opera iuſtitiam coluiſti, & modeſtiam conſecutus es, Deúmque cognouiſti ac tuam cùm eo cognationem renouaſti. Item hæc vilia contempſiſti quæ ſunt apud alios in admiratione, honores, diuitias & quæ ſunt his ſimilia. Nunc verò cùm te gratiã referre par ſit, quippe

qui

qui maiori lege, confirmatioréſq; animo, mihi conuerſaris & colloqueris: me, deſeres, immemor non ſolùm cætera te ex philoſophia didiciſſe, verùm etiã fœliciter inuenire, quæ nunquam noueris. Quonio do verò ſine me quicquam aut quærere aut inuenire potuiſſes? Hæc ſi diceret, quòd ego inſtum ei reſponſum darem. Ego ſanè non video. Atqui ſic tibi perſuade, me ſemper hæc mecum loqui. (Quicquid enim animo quiſque verſat, & ſentit, id ſecum loquitur.) Neque vnquam ea repudiabo. Quare nullus tibi poteſt à nobis eſſe metus rationabilis. Neque enim attinget res tuas meum otium.

Platoni.

Biduò ante Bacchinalia, fideliſſimos mihi famulos Pyladen & Philocalum ad te miſi. Nam in ipſo Bacchinaliũ feſto, Tyranno adoriar, cùm multò antè ſuſpiciones omnes amouerim. Hoc die Põpa celebratur in honorem Bacchi, atque ſatellites in ea videntur negligentius dominum obſeruaturi eſſe. Sin minùs: etiamſi per ignes incedendum erit, non timebimus. Neque aut nos ipſos aut tuam philoſophiam pudore afficiemus. Coniuratorum nobis fi. ma manus eſt, fide magis quàm multitudine. Scio quidem mihi ſubeundã mortem. Sed hoc pati modò vt Tyrannũ occidero, mihi in votis eſt. Etenim cum Pæane, Niceteriiſque vitam relinquero, ſi ſublata Tyrannide, è viuis excedam. Mihi enim & ſacrificia, & auſpicia, & omnino omnia vaticinia mortem præ. iiunt, ſi rem bonis auibus ad finẽ perduxero. Ipſe verò ſpectaculum quoddam multò euidentiùs, quàm vt inſomnium eſſe poſſit, conſpexi. Videbatur mulier diuina quadam venuſtate ac magnitudine: me oleaſtro, atque diadematis ornare, paulóque pòſt monumẽtum quoddam pulcherrimum oſtendere, ac dicere. Quoniam defeſſus es ô Chio, introito in hoc ſepulchrum & quieſcito. Ex hoc inſomnio bonã ſpem habeo, me præclara morte potiturum. Non enim arbitror vllum fallax aut inane vaticinium ab anima proficiſci, quandoquidẽ etiam tu in ea es ſententia. Quòd ſi vera prædixit vaticinatio, beatiorem me fore exiſtimo, quàm ſi vita poſt occiſum Tyrãnum, vſque ad ſenium proferatur. Mihi enim honeſtius eſt, magnis anteà rebus perpetratis, è vita diſcedere, quàm temporis aliquid ad fruendam gloriam prorogari. Et quæ deſignauerimus, multò maiora putabuntur, quàm quæ paſſi fuerimus. Et nos maiori honore apud eos de quibus bene meriti fuerimus, habebimur, ſi propria morte libertatem ipſis redemerimus. Maior enim vtilitas eius beneficij, iis in quos collocatur, videtur, cuius ipſe autor non ſit particeps. Sic ad vaticinium mortis inſtructi ſumus. Tu verò mi Plato, vale, & vſque ad extremam ſenectutem fœliciter age. Poſtremò nunc vt exiſtimo, te compello.

Finis epiſtolarum Chionis.

μείζοσιν ἤδη νόμοις καὶ κρείττοσι ψυχῆ συνὼν ὅτι μοι καὶ διαλεγόμενον ἀπολείψεις με, οὐδὲ μεμνημένος ὅτι οὐ τὰ ἄλλα μόνον ἐκ φιλοσοφίας ἔμαθες, ἀλλὰ καὶ τὸ ζητεῖν δεξιῶς ἃ μή πω οἶδας. καὶ πῶς ἂν σὺ γε ζητήσειας ἢ εὕρεσις ἐμοῦ στερόμενος, ταῦτ' εἰ λέγοι, τί ἂν ἀποκρινάμενος πρὸς αὐτὴν δίκαιον. ἐγὼ μὲν γὰρ οὐδὲν ὁρῶ. ἀλλὰ μὴν εὖ ἴσθι ὡς ἐγὼ ταῦτα πρὸς ἐμαυτὸν ἀεὶ λέγω. λέγει γὰρ ἕκαστος πρὸς ἑαυτὸν ἃ φρονεῖ· καὶ οὐκ ἄν ποτε αὐτῶν ἀπολειφθείην· ὥστε οὐδέν σοι δέος ἐξ ἡμῶν εὔλογον. οὐδὲ γὰρ οὐδ' ἅψεται τῶν σῶν πραγμάτων ἡ ἐμὴ ἡσυχία.

Πλάτωνι.

Δυοῖν ἡμέραις τῶν Διονυσίων ἔμπροσθεν τοὺς πιστοτάτους μοι τῶν θεραπόντων Πυλάδην καὶ Φιλόκαλον ἔπεμψα ὡς σέ. μέλλω γὰρ τοῖς Διονυσίοις ἐπιτίθεσθαι τῷ τυράννῳ, πολὺ τὰ σύμφορος ἐκ πολλοῦ ἀνύποπτος αὐτῷ γενέσθαι· πέμπτα δὲ ἐν ταύτῃ τῇ ἡμέρᾳ ποιεῖται τοῦ Διονύσου· καὶ δοκεῖ ὀλιγωρότερον ἕξειν δι' αὐτὴν τὰ τῶν δορυφόρων· εἰ δὲ μή γε κἂν δέῃ διὰ πυρὸς ἐλθεῖν, οὐκ ὀκνήσομεν. οὐδὲ καταισχυνοῦμεν οὔτε ἑαυτοὺς οὔτε τὴν σὴν φιλοσοφίαν. καὶ τὰ τῶν συνωμοτῶν δὲ ὡς ἡμῖν ἐχυρά. πίστει δὲ ἢ πλήθει ἐχυρώτερα. οἶδα μὲν οὖν ὡς ἀναιρεθήσομαι. τελειώσας δὲ μόνον τυραννοκτονίαν, τοῦτο παθεῖν εὔχομαι. μετὰ παιᾶνος γὰρ ἂν καὶ νικητηρίων ἀπολείποιμι τὸν βίον, εἰ καταλύσας τὴν τυραννίδα ἐξ ἀνθρώπων ἀπαλλάσσοιμαι. σημεῖα γάρ μοι καὶ ἱερὰ καὶ οἰωνίσματα καὶ πάντα ἁπλῶς μαντεῖα θάνατον, κατορθώσαντι τὴν πρᾶξιν. ἐθεασάμην δὲ καὶ αὐτὸς ἐναργεστέραν ἢ κατ' ὄνειρον ὄψιν. ἔδοξε γάρ μοι γυνὴ θεῖόν τι χρῆμα κάλλους καὶ μεγέθους ἀναδεῖν με κοτίνῳ καὶ ταινίαις. καὶ μετὰ μικρὸν ἀποδεῖξαί τι μνῆμα περικαλλὲς καὶ εἰπεῖν. ἐπειδὴ κέκμηκας ὦ Χίων, ἴθι εἰς τουτὶ τὸ μνῆμα ἀναπαυσόμενος. ἐκ τούτου δὲ τοῦ ὀνείρατος εὔελπίς εἰμι καλοῦ θανάτου τυχεῖν. νομίζω γὰρ μηδὲν κίβδηλον εἶναι ψυχῆς μαντεύματα. ἐπεὶ καὶ σὺ οὕτως ἐγίνωσκες. εἰ δὲ καὶ ἀληθεύσειεν ἡ μαντεία, μακαριώτατον ἐμαυτὸν ἡγοῦμαι γενέσθαι ἢ εἰ βίος μοι μετὰ τὴν τυραννοκτονίαν εἰς γῆρας ἐδίδοτο. καλὸν γάρ μοι μεγάλα διαπραξαμένῳ πρότερον ἐξ ἀνθρώπων ἀπαλλάττεσθαι, ἢ χρόνῳ τι συναπολαῦσαι. καὶ ἃ ἂν δράσωμεν πολὺ νομισθήσεται μείζονα, οἷς πεισόμεθα. καὶ αὐτοὶ τιμιώτεροι ἐσόμεθα τοῖς εὖ παθοῦσιν, εἰ τοῦ ἰδίου θανάτου τὴν ἐλευθερίαν αὐτοῖς ὠνησόμεθα. μείζων γὰρ ὠφέλεια τοῖς εὐεργετηθεῖσιν εἶναι φαίνεται, ἧς ὁ δράσας οὐ μεταλαμβάνει. οὕτως μὲν δὴ προθύμως ἔχομεν πρὸς τὴν μαντείαν τοῦ θανάτου. Σὺ δὲ χαῖρέ τε ὦ Πλάτων καὶ εὐδαιμονοίης εἰς τέλειον γῆρας. προσαγορεύω δέ σε ὕστατα ὡς πείθομαι.

Τέλος τῶν Χίωνος ἐπιστολῶν.

ΑΙΣΧΙΝΟΥ ΕΠΙΣΤΟΛΑΙ
ΤΟΥ ΡΗΤΟΡΟΣ.

AESCHYNIS ORATORIS
EPISTOLÆ.

Φιλοκράτει.

ΛΥΣΑΝΤΕΣ ἐκ μουνυχίας ἑσπέρας λαμπρῷ σφόδρα σκίρωνι περὶ μέσον ἡμέραν, κατήχθημεν εἰς νηρησσὸν τὴν χίαν. Καθίσαντες δὲ ἡμέρας ἐννέα. σκαιὸς γὰρ ἦν ὁ ἄνεμος, εἶτα πάλιν λύσαντες ἅμα τῇ ἕῳ εἰς δῆλον ἤλθομεν· δήλιοι δὲ ἐνόσουν λοιμώδη τινὰ νόσον. τὰ μὲν πρόσωπα ἐνεπέπληντο λεύκης· καὶ τὰς τρίχας λευκοὶ ἐγένοντο. ὁ δὲ τράχηλος αὐτῶν καὶ τὰ στέρνα ᾤδει. πυρετοὶ δ' οὐκ ἐγίγνοντο· οὐδὲ ἀλγηδόνες μεγάλαι· οὐδὲ τὰ κάτω μέρη παρήλλαττεν οὐδέν. ταῦτα δὲ ἐπύθοντο κατὰ μῆνιν ἀπόλλωνος αὐτοῖς συμβεβηκέναι, ταφέντος ἐν τῇ νήσῳ τινὸς τῶν ἐπιφανῶν, οὐ πρότερον εἰωθός. Ἐκ τούτου οὖν προσβάλλειν αὐτοῖς τὸν θεὸν τὴν νόσον ταύτην ὑπελάμβανον. ἡμεῖς δὲ ὥσπερ τι ἔθνος ἀλλόφυλον. ἡ νῆσον ἐν τῇ ἔξω θαλάττῃ ἀφιγμένοι, καὶ ἰδόντες ἐξαίφνης χρῶμα ποικίλον ἀνθρώπων, νυκτὸς ἀποφεύγοντες ᾠχόμεθα πυνθανόμενοι ἀλλήλων κατὰ τὸν πόρον, εἰ τὸ χρῶμα ἔχοι ἕκαστος οἷον ἐκόμιζεν οἴκοθεν καὶ τὰς τρίχας. Ζάλη δὲ καὶ ἄνεμος ἐξαίσιος ἐμπεσὼν, ἀπήνεγκεν ἡμᾶς ὑπὲρ κρήτην, πλησίον ψαμαθοῦντος· ὡς δὲ ἐν ἀπόπλῳ ἦμεν ἤδη, ἀντέπνει πνεῦμα λιβυκόν. εἶτα πνεύσαντος ἡμῖν ἀπαρκτίου, πάλιν ἐφερόμεθα πέντε νύκτας ἐν θαλάττῃ φθειρόμενοι, ἐν αἷς προσείχομεν ἀθρόοι. ἵνα μάθωμεν μὴ πολυπραγμονεῖν, εἴτις ἐν τῇ ἑαυτοῦ πατρίδι κατὰ τοὺς νόμους ἢ μὴ, στεφανοῦται. κἀκεῖθεν τέσσαρσιν ἡμέραις, ἀφικόμεθα εἰς ἐπίνειόν τι τῆς ῥοδίας, ὅπου νοσῆσαί μοι συνέβη τὴν περὶ τὸ ἆσθμα νόσον· ὡς δὲ ἐπιμείναντός μου αὐτόθι, οὐκ ἐνεδίδου ἡ νόσος, διέπλευσα εἰς ῥόδον· καὶ ἐδέξατο ἡμᾶς εὐμενῶς ὁ τόπος. εὐθὺς γὰρ ὡς ἐπέβην πολὺ ῥᾴων ἐγενόμην. καὶ ταυτὶ μὲν ἔχομέν σοι τέως ἐπιστέλλειν. τὰ δ' ἄλλα ὡς ἂν ἕκαστα συμβαίνοι, δηλώσομεν. εὐτύχει. καὶ μὴ προσκρούου μήτε τοῖς πλεῖον σοῦ μήτε τοῖς ἔλαττον δυναμένοις.

Philocrati.

CVm veſperè ſoluiſſemus è Munichia, vehementer ſæuiente Scirone, circiter meridiem ad Nereſſum Chiorum delati ſumus. Vbi cùm deſediſſemus per dies nouem: propter venti tempeſtatem, iterum ſoluentes manè, ad Delum appulimus. Delij verò peſtilenti quodam morbo laborabant. Nam facies habebant albas capillis erant candidis. Colla pectoráque tumebant: neque tamen graues inde dolores patiebantur, neque in partibus inferioribus quicquam erant mutata. Hæc audierant ob iram Apollinis ſibi accidiſſe, quòd illuſtrem quendam maximéque inſignem virum in inſula ſepeliſſent, cùm id antè fieri non ſoleret. Eam igitur ob cauſſam hunc morbum à Deo ſibi putabant immiſſum. Nos verò quaſi gens externa, cùm ab exteriore mari inſulam adiiſſemus, colorem diuerſorum hominum mox intuentes, noctu fugientes abſceſſimus, interrogantes inuicem inter nauigandum, ecquid parem colorem & crines, quiſque reportaremus. Hinc turbo atque violentia ventorum exorta ſupra Cretam nos abſtulit, propè Pſamathontem. Cùm verò iam in altum eſſemus euecti, reluctantem habuimus ventum Libycum. Pòſt aſpirante Septentrione: rurſus quinque noctes in mari ferebamur, quas in procellis conſumpſimus, vt diſceremus non magni facere, ſi quis in ſua patria iuxta leges aut contrà, corona donaretur. Et iſthinc, quatriduò venimus ad ſtationem quandam Rhodiæ, vbi ego ex anhelitu laborare cœpi. Cùm autem manente me aliquantiſper ibi, nihil morbus remitteretur, traieci in Rhodum. Qui locus nos benignè recepit. Simul ac enim appuleram, meliùs multò cœpi habere. Atque hæc hactenus tibi habuimus ſcribere. De reliquis, quemadmodum ſingula fors obtulerit, certiorem te faciemus. Vale fœliciter, neque vel potentioribus, vel inferioribus te difficilem præbe.

Cteſiphonti.

SCripſit nobis Nicoſtratus à parte matris auunculus, ſe mirum in modum abs te vexari, méque ob acceptam calamitatem probris affici. At ego miror, quibus cauſſis inductus, nobis è patria migrantibus, ita familiariter locutus ſit, vt mihi perſuaderem nihil abs te aut fictum, aut ſimulatum proferri qui tum in miſerias meas intueret, quæ vel infeciſſimum hoſtem ad miſerandum adigere deberent: tum in ſqualorem & luctum tuum. Quamobrem amicis & neceſſariis meis mandaui, ſi qua re foret opus, vt te adirent, atque te non defuturum illis pollicebar. Ipſe quoque literas ad te miſi vt ea mihi conficeres, de quibus Athenis perſæpe ad populum retuliſſem. Nunc verò cum non tibi ſummo impedimento, neque tibi neque cuiquam ex Athenienſibus negotium faceſſamus, nos inſectaris, ac neque fortunæ, neque vllius humanæ rei rationem ducis: ſed etiamnum oppugnas, exactos patria, orbatos omni deſiderio ciuitatis, ciuium & amicorum. Et quæcunque in abſentem me conuitia recens, tibi fortè non immeritò quandam inuidiam & odium conciliabunt, perinde ac ſi quem mortuorum in ciuitate tam honeſta atque humana criminareris. Ego verò nihilo deterior exiſtimabor: ſi mihi abſenti abſenti conuitieris: infortunatior quidem, & magis miſerandus fortaſſe putabor: aliquando verò etiam minus. Nunc autem nullam pro eo mittere vocem, immò ne audire quidem coniecta in me conuitia datur. At verò ſeni moderato & honeſto iniuriam inferre, cui ſpes omnis vlciſcendi præærepta eſt, quique ſpem ſuam vniuerſam in nobis poſitam habet, qui nos ipſos non amplius ſeruare poſſumus, quomodo id non eſt turpe. Sed per Iouem ne facias Cteſipho, ne tu facias, neque ſi maximè etiam me læſum volueris. Et ſi te nullum noſtrum damnum explet: ſaltem hanc infamiam tibi tuiſque liberis quos alis, ne infligas, quos tu præſidium ſenectutis tuæ fore ſperas. Et memineris, nec Æſchynem putaſſe vſque eò res ſuas redactum iri, neque alios multos, qui magis in ſua patria floruerunt, multóque te méque ſplendidiores extiterunt. Reliqui omnes qui in exilium aguntur, aut precantur ciues, vt ſibi redeundi poteſtas fiat: aut ſi non impetratum ſit calumnias infligunt patriæ tanquam iniquè ſecū agenti. Ego verò, cum indignè ſim in iis: quæ geſſi fraudatus, & dum alios accuſarem ipſe condemnatus, dolore quidem iuſto commoueor, attamen nihil ſuccenſeo. Neque enim tam ego ſum rationis expers vt ex qua ciuitate Themiſtoclē liberatorem Græciæ videam eiectum & vbi Miltiades, quod paululum Reipub. deberet, ætate affectus in carcere vitam finierit, ei ciuitati Æſchynem Atrometi filium exulē ſuccenſere putem oportere, ſi quid vſitatum Athenis & conſuetum paſſus eſt. At ego non immeritò laudi mihi duxero communicatam cum illis infamiam, ſiquidem poſteri me dignum fuiſſe iudicabunt, qui ſimilem pœnam ſubirem.

Κτησιφῶντι.

Ἐπέστειλεν ἡμῖν, Νικόστρατος ὁ πρὸς μητρὸς θεῖος, ὡς ἐπηρεάζοις μὲν εἰς αὐτὸν οὐ μετρίως. ἐμοὶ δὲ ὀνειδίζοις τὴν διὰ σέ μοι συμβᾶσαν συμφοράν. ἐγὼ δὲ θαυμάζω τί παθών. ἐξιοῦσι μὲν οἴκοθεν ἡμῖν, τοσαῦτα διελέχθης, ὥστε πεισθῆναί με, μηδὲν ἂν διαλεχθῆναι πεπλασμένως σε. μηδ᾽ ἄλλως φρονεῖν, βλέποντα πρῶτον μὲν εἰς τὴν ἐμὴν ξυμφοράν, ἣν οὐκ ἀπεικὸς εἶναι καὶ τοὺς ἐχθροὺς ἐλεεῖν ὑπελάμβανον· ἔπειτα δὲ καὶ εἰς τὸ σκυθρωπὸν καὶ ὅμοιον δεδακρυμένῳ. ὥστ᾽ ἔγωγε καὶ ἐπέσκηψα τοῖς οἰκείοις τῶν προσηκόντων ἡμῖν, εἴ του δέοιντο, προσιέναι σοι καὶ μηδενὸς ὑστερήσειν ὑπεσχόμην αὐτοῖς. καὶ αὐτὸς δὲ ἐπέστειλα περὶ ὧν ἐχρημάτιζον Ἀθήνησί μοι ψηφίσασθαι πολλάκις. νῦν δὲ οὐκ ἐμποδὼν ἔτι ὄντων ἡμῶν οὔτε δυσχεροῦσί σοι οὔτε ἄλλῳ τινὶ Ἀθηναίων, ἐπηρεάζεις. οὔτε εἰς τὴν τύχην ἀποβλέπεις. οὔτε εἰς ἄλλο τι τῶν ἀνθρωπίνων· ἀλλ᾽ ἐπαγωνίζῃ ἔτι, καὶ ἐκπεπτωκόσι τῆς πατρίδος καὶ ἀπεστερημένοις ἐπιθυμίας καὶ πόλεως καὶ πολιτῶν καὶ φίλων· καὶ ὅσα μὲν εἰς ἐμὲ ἀπόντα ἐβλασφήμησας, σοὶ μὲν ἴσως φέρει αὖ τινα εἰκότως καὶ φθόνον καὶ μῖσος. ὥσπερ ἂν εἴ τινα τῶν τεθνεώτων ἐπιβάλλοιο βλασφημεῖν, ἐν οὕτω χρηστῇ καὶ φιλανθρώπῳ πόλει· ἐγὼ δὲ, οὐκ ἂν διὰ ταῦτα φαυλότερος νομισθείην ἄπων ὑπὸ σοῦ λοιδορούμενος. ἀτυχέστερος μέν τοι καὶ ἐλεεινότερος ἴσως νομισθείς, ποτὲ μὲν οὐδ᾽ ἧττον, νῦν δὲ οὐδὲ μίαν ὑπὲρ αὐτοῦ φωνὴν ἐκπέμψασιν, ἀλλ᾽ οὐδὲ ἀκούειν λοιδορούμενος δυνάμενος. τὸ δὲ γέροντα ἐπιεικῆ ὑβρίζειν μηδὲ μίαν ἐλπίδα ἔτι ἔχοντα τοῦ δυνήσεσθαί ποτε ἀμύνασθαι, ὅς γε τὴν σύμπασαν ἐλπίδα ἐφ᾽ ἡμῖν αὐτοῖς ἀνημμένην ἔχει τοῖς μηδὲ αὐτοὺς σώζειν ἔτι δυναμένοις, πῶς οὐκ αἰσχρόν ἐστιν. ἀλλὰ μὴ πρὸς τοῦ Διὸς μὴ σύ γε ὦ Κτησιφῶν. μηδὲ εἴ τι μάλιστα ἡμᾶς αἰτιᾶσθαι βούλει. Καὶ εἰ μή τι πεπλήρωκά σε μηδὲ τῶν ἡμετέρων κακῶν, μίασμα τοῦτο πρὸ ὀφθαλμῶν σεαυτῷ τε καὶ τοῖς παισὶν ὡς ξίφος, βοηθοὺς ἔσεσθαί σοι δηλονότι τῷ γήρᾳ σου προσδοκῶν· καὶ μέμνησο ὅτι οὐδὲ Αἰσχίνης εἰς τοῦτό ποτε ἀφίξεσθαι ἤλπισεν. οὐδ᾽ ἄλλοι πολλοὶ καὶ ἔτι μᾶλλον ἀκμάσαντες ἐν τῇ ἑαυτῶν πατρίδι καὶ πολλοὶ λαμπρότεροι ἐμοῦ τε καὶ σοῦ γενόμενοι.

Οἱ μὲν ἄλλοι πάντες ὅσοι φεύγουσιν ἀδίκως ἢ δέονται τῶν πολιτῶν ὅπως ἐπανέλθωσιν, ἢ διαμαρτόντες τούτου λοιδοροῦσι τὰς ἑαυτῶν πατρίδας ὡς φαύλως αὐτοῖς προσφερομένας. ἐγὼ δὲ εἴπερ ἀναξίως ὧν ἐπολιτευσάμην ἠτύχησα, καὶ κατηγορῶν ἄλλων αὐτὸς ἑάλων, ἄχθομαι μὲν, ὥσπερ εἰκός ἐστιν. ἀγανακτῶ δὲ οὐδέν. οὐ γὰρ οὕτως ἔγωγε ἠλίθιός εἰμι, ὥστε ἐξ ἧς πόλεως ὁ Θεμιστοκλῆς ὁ τὴν Ἑλλάδα ἐλευθερώσας ἐξηλάθη, καὶ ὅπου Μιλτιάδης ὅτι μικρὸν ὤφλε τῷ δημοσίῳ γέρων ἐν τῷ δεσμωτηρίῳ ἀπέθανε, ταύτῃ τῇ πόλει Αἰσχίνην τὸν Ἀτρομήτου φεύγοντα ἀγανακτεῖν οἴεσθαι δεῖν, εἴ τι τῶν εἰωθότων Ἀθήνησιν ἔπαθον. ἀλλ᾽ ἔγωγε καὶ λαμπρὸν εἰκότως νομίσαιμ᾽ ἂν αὐτὸ γενέσθαι. τὸ μετ᾽ ἐκείνων ἐν ἀδοξίᾳ παρὰ τοῖς ἔπειτα ἀνθρώποις καὶ ἄξιος τοῦ ὅμοια παθεῖν ἐκείνοις γεγονέναι.

Ἐπειδήποτε δοκεῖ πυνθάνεσθαι περὶ Κλεοκράτους, ὅστις ἐστὶν ὁ Κλεοκράτης, ἄκουε. παύσῃ γὰρ μὴ φροντίζων πολυπραγμονῶν ἤδη, ἄπει πρὶν μακρᾶς ἀκοῦσαι διηγήσεως. τὸ μὲν γὰρ γένος ἐστὶν ἁπάντων ἀνδρῶν Ἑλλήνων, εἰ καὶ ἐν ἀφανεστέροις. Ἀρίφρονα τὸν ἐκ Δαμαγήτου εἴπω πυνθάνοιο, ὃν καὶ ὁ μέγας αἴρει Πίνδαρος. ἀλλ' ὅπως μὴ γέλωτα ὀφλισκάνῃς ζητῶν ὅστις ἐστὶν ὁ Πίνδαρος. τουτὶ μὲν γὰρ οἶμαι ὅτι καὶ παρὰ Μαντίᾳ τῷ γραμματιστῇ ἅμα ἐμοί ποτε ἔμαθες τὸ γράμμα, καὶ εἰ μηδαμῶς ἔτι τῶν παρὰ Μαντίᾳ μνημονεύεις, ἐν γοῦν ταῖς ἐκκλησίαις Μελανίππου ἑκάστοτε ἀκούεις λέγοντος, αἵ τε λιπαραὶ καὶ ἀοίδιμοι Ἑλλάδος ἔρεισμ' Ἀθᾶναι, καὶ ὅτι Πινδάρου τοῦ Θηβαίου τὸ ἔπος τοῦτό ἐστι λέγοντες, καὶ ὅτι ἐζημίωσαν αὐτὸν Θηβαῖοι τοῦτο ποιήσαντα τὸ ἔπος. οἱ δὲ ἡμέτεροι πρόγονοι διπλῆν αὐτῷ τὴν ζημίαν ἀπέδοσαν μετὰ τοῦ εἰκόνι χαλκῇ τιμῆσαι. καὶ ἦν αὕτη καὶ εἰς ἡμᾶς ἔτι πρὸ τῆς Βασιλείου στοᾶς, καθήμενος ἐνδύματι καὶ λύρᾳ ὁ Πίνδαρος, διάδημα ἔχων. καὶ ἐπὶ τῶν γονάτων ἀνειλιγμένον βιβλίον. οὗτος δὴ ὁ Πίνδαρος, Δαμάγητον ᾄδει ἐκεῖνον, εἰς ὃν ἀνατείνει τὸ Κλεοκράτους γένος. λέγει δέ που ὁ αὐτὸς Πίνδαρος καὶ τὰ περὶ τοὺς Διαγορείους καὶ τὰ περὶ τὴν πρεσβῦτιν. ἧς τὸ μητρῷον αὐτοῦ γένος ἀπῆρται. καὶ εἰ μὴ σφόδρα ᾔδειν ποιητῶν ὑπερφρονοῦντα ὄντα σε, καὶ τὰ ἀγοραῖα ταῦτα καὶ τὰ ἀπολέσαντα ἡμᾶς ἐπιτηδεύματα μᾶλλον προῃρημένον, οὐκ ἂν ἀποχρῆν ὑπελάμβανον σε ὑπομνῆσαι μόνον τὰ περὶ τοὺς Διαγορείους εἰπὼν ἔπη Πινδάρου. νῦν δὲ οἶδα ὅτι μάτην οὖν ταύτην τὴν λύραν λέξομεν. ἀναγκαῖον οὖν μοι ἀναγκαῖον εἶναι διηγήσασθαί σοι τὸ διήγημα τοῦτο. ἄξιον γὰρ ἀκοῦσαι, εἰ καὶ μὴ προσῆκον Κλεοκράτει. λέγεται γάρ ποτε γυνὴ πρεσβῦτις Ὀλυμπίασι παρελθοῦσα εἰς τὸ στάδιον, ἑστάναι τε ἅμα τοῖς ἀνδράσι, καὶ θεάσασθαι τοὺς ἀγωνιζομένους. ἐπιστάντων δὲ αὐτῇ τῶν Ἑλλανοδικῶν ὅτι ἐτόλμησε παρελθεῖν εἰς τὸ στάδιον, ἀποκρίνασθαι. τίνι γὰρ ἄλλῃ τοῦτο γυναικὶ δέδωκε καυχήσασθαι οὕτως ὁ θεὸς ὅτι καὶ πατέρα καὶ τρεῖς ἀδελφοὺς ὀλυμπιονίκας ἔχοι καὶ υἱὸν ἐπ' Ὀλύμπια ἄγοι. ταύτης οὖν τῆς πρεσβύτιδος καὶ τούτου τοῦ γένους ἀπορρώξ ἐστιν ὁ Κλεοκράτης, ὡς ἔστι μᾶλλον πάντων ἢ αὐτοῦ πυθέσθαι. καὶ πλείω μὲν οὐ βούλομαι λέγειν, μὴ οὐ μηνύσαιμί σοι ὅσων ἠξίωσας, ὅστις ἐστὶν ὁ Κλεοκράτης βούλεσθαι μᾶλλον, ἀλλὰ καὶ ἐγκεκωμιακέναι αὐτὸν ὥσπερ καὶ Θρασύμαχος τὸν ξένον συντετάχθαι, καὶ ἀποτίνειν ταύτην τὴν χάριν τῶν λαμπρῶν ἑστιάσεων δοκεῖν. τοσοῦτο μέντοι εἴποιμ' ἂν ὅτι ἡ πρεσβῦτις ἐκείνη, εἰ τοῦτον ἐγνώκει τὸν Κλεοκράτη, πολὺ ἂν μᾶλλον ἐπὶ τούτῳ ἢ ἐπὶ τοῖς πέντε ὀλυμπιονίκαις ἐσεμνύνετο.

Ὁ μὲν Ἰουλιάδης ᾧ μάλιστα ἐπεποίθεις, οὔτε ὅτε ἀφικόμεθα ἐς Ῥόδον, παρὼν ἔτυχεν, ἀλλὰ περὶ Λίνδον ἦν· οὔτε ἐπανελθὼν εἰς Ῥόδον περιττῶς ἠσπάσατο ἡμᾶς. ἔξω δὲ τὸ κοινὰ ταῦτα προστάξαι λέγειν, εἴ τινος δεοίμεθα. ὁ δὲ Κλεοκράτης οὐδὲ μὰ τοὺς θεοὺς ἐπιστεῖλαί σοι διηγεῖσθαι αὐτάρκως τὴν ὑπερβολὴν τῆς φιλοφροσύνης, ὅσην ἐχρήσατο περὶ ἐμέ.

Quoniam De Cleocrate cupis audire, quis nã sit Cleocrates: audi. Deſines enim non temere ſollicitus eſſe, neque diſcede priuſquam longam narrationem audieris. Genus eius non inobſcuriſſimus eſt omnium Græcorum, ſi forſitan Ariphronem à Damageto deſcendentem audiendo noueris, quem & magnus ille Pindarus celebrat. Verùm ne riſum excites interrogando, quiſnam ſit ille Pindarus, illud ſcriptum arbitror te mecum vnà ſub Mantia Grammatico quodam tempore didiciſſe: aut ſi tibi Mantianorum dogmatum obrepſit obliuio, ſanè in concionibus Melanippum frequenter audis clamantem αἵ τε λιπαραὶ καὶ ἀοίδιμοι Ἑλλάδος ἔρεισμ' Ἀθᾶναι, idque carmen eſſe Pindari Thebani dicebant eum quod hoc protuliſſet, à Thebanis mulctatum fuiſſe. Noſtros verò maiores duplam ei mulctam reſtituiſſe, ſimulque ſtatuã æneam poſuiſſe. Quæ durauit vſque ad noſtra tempora: Sedens cum veſte lyráque Pyndarus, diademate redimitus, atque librum in genibus euolutum tenens. Hic igitur Pindarus Damagetum illum laudibus vehit, in quem ſui generis originem Cleocrates refert. Idem Pindarus etiam alibi Diagoriorum meminit, & anum illam introducit, à qua maternum eius genus deducitur. Et niſi probe cognitum haberem, te poetarum contemptorem eſſe & iſtis forenſibus quæque nobis exitium pepererunt ſtudiis magis verſatum ſufficere putarem tantum tibi Pindari de Diagoriis carmina in memoriam ſuggerere. Iam verò cum ſcis, nos hanc lyram tibi fruſtra commemoraturos, neceſſarium eſſe duxi hanc hiſtoriam narrare. Quamuis enim ad Cleocratem nihil pertinet, auditu tamen digna eſt. Fertur enim aliquando fœmina quædam ætate prouecta. Olympiacis ludis ſtadium proceſſiſſe, ſtáuſque ſimul cum viris certantium ſpectatricem ſe præbuiſſe. Rogantibus autem & vrgentibus Hellanodicis, cur auſa fuiſſet in ſtadium progredi, reſpondiſſe dicitur. Quoniam non eſt vlla mulier, cui tantam gloriandi facultatem Deus contulerit, quantam mihi, quæ cum patrem & tres fratres Olympici certaminis victores habeam, filium inſuper nunc ad Olympia duco. Ab hac igitur anu & ab hac genere ſtirpem ſuam ortúmque Cleocrates trahit, quod magis ex aliorum quàm ex ipſius ſermonibus intelligere licet. Et plura dicere nolo, ne non tam aperire tibi ea quæ requiſiuiſti, quiſnam videlicet eſſet Cleocrates noluiſſe quàm laudibus eum ornare, quemadmodum Thraſymachus hoſpitem, ſplendidarum epularum cauſſa videar. Hoc autem auſim confirmare, ſi Cleocratem hunc anus illa cognouiſſet, multò magis eam huius, quàm quinque Olympionicarum virtute gloriaturam fuiſſe.

Iuliades ille, cui tum plurimum confidebas, neque cum in Rhodum veniſſemus, aderat: Sed in Lindo verſabatur, neque cum reuerſus eſſet, vllam ſingularem beneuolentiam nobis præſtitit, niſi quod illud vulgare nos dicere iuſſit, ſi qua re indigeremus. Cleocrates verò quantam humanitatem erga me declarauerit, non poſſum hercule ſcriptis ſatis eſprimere.

Nam

Nam & publicas ædes nobis dandas curauit. & Camiri locum concedendum ipſéque nobis ad victum neceſſaria ſuppeditauit, quæ in annum non mihi ſolum verumetiam Teutranti & Hopliſtiæ abundè ſatisfacerent, reliqua ſanè quamquam. Athenienſibus delicijs viliora velut oleum & mel: tamen quæ cùm ſuppeterent, illis non opus haberemus. vinum autem etiam veſtro præſtantius, atque ex nuce pinea ſimul & farina & aromatis ad certam formam confecta bellaria, de quibus etiam tibi miſimus. Hæc nobis miſit & frumenti tot modios, quot ego modijs non me ſolum ſed & omnes Cothocidas ſuſtentare poſſim. Ad hæc alia multa, de quibus ſcribere me pudet, ne meas quaſdam ſordes videar oſtendere. Nam exiguis rebus ſupra modum affici, illud auaritiæ cuiuſdam eſſe dico & præter decorum. Ego verò me parua beneuolentia non difficulter vinci confiteor. Alias quoque lautiores nobis aprorum caprearúmque cupedias ex vlterioribus locis ſubminiſtrat: præterea quotidie nobiſcum ipſe verſatur, ſuæque ſapientiæ participes facit, quæ noſtras vires, plurimum ſuperat. Nam quæ ego cum meo maximo damno ſum edoctus, hæc ante damnum ille ſapientia precauet, neque more inſipientum facto periculo diſcit. Non enim in Republica verſatur & quantum ad Cleocratem, nec ciuitatem aliam vllam nec homines mihi exoptatim: ſed etiam ipſa calamitate valde delector. Atque mihi viuendi initium videtur gerendæ Reipub. negotiorúmque liberatio. Atque ſic me præſens rerum ſtatus voluptate quadam incredibili tenet; & quod Ariſtophanem ſenem iam ferunt, omnibus voluptatibus antepoſuiſſe, quaſi à rabido cane, ſic à cupiditate gerendæ Reipublicæ liberari. Quod quoties in mentem venit, ter beatum ego me propter hoc exilium quo punitus ſum iudico. Contrà vero cum recordor atque cogitatio mihi ſubit non modo familiarium, ſed & cognatorum & concionis & Colyſſi, in quo quadraginta quinque annos habitaui, & Aleſichotij, itémque iucundiſſimorum tecum & Philino colloquiorum, ſanguis omnis à visceribus aliò rurſum transfluit. Atque mihi quidem conuitia Demosthenis, quæ in me coniecit, iucundiſſima videntur, & ſcommata quibus nemo præter Creſiphontem atriſit vnquam. At enim ſatis nobis lacrymatum. Tu vale fœliciter, neque ſolum ab vniuerſa Repub. ſed etiã Leptine abſtine, tum quod noſtrò nomini parum fauet, tum quod cæteris in rebus eſt eiuſmodi, vt eum vincere non admodum glorioſum, vinci vero turpiſſimum etiam habeatur. Atque potiſſimũ hoc te hortor, vt vites eius commercia. Quod ſi forte fortuna rurſus in eum incideris, & contra nos aliquid dixerit, cura quantum potes vt taceas & rideas. Ille verò ſatis acerbam pœnam omnibus mortalibus luit in eo, quod riſu ſimul & odio dignus exiſtimatur. Tu niſi maris perfidiam omnino perhorreſcis, aliquando nos conuenias, & cùm te videndum nobis dederis, rurſus diſcedas.

ARiſto, qui tibi reddit has literas, prim° omniũ in Rhodum veniẽtes nos excepit. Nauigauit

καὶ γὰρ οἰκίαν παρεσκεύασέ μοι δημοσίᾳ δοθῆναι. καὶ χωρίον ἐν Καμείρῳ. καὶ αὐτὸς δὲ ἔπεμψεν ἡμῖν τὰ ἐπιτήδεια καὶ εἰς ἐνιαυτὸν ἀρκέσοντα οὐκ ἐμοὶ μόνον, ἀλλὰ καὶ Τευθράντι καὶ Ὁπλισίᾳ, τὰ μὲν ἄλλα εἰκῇ φαυλότερα τῆς Ἀθήνησιν, ὥσπερ ἔλαιον καὶ μέλι, ἀλλ' οἵων παρόντων, οὐδὲ αὐτῶν ἐκεῖ δεηθείημεν. οἶνόν γε μὴν καὶ πολὺ ἀμείνω τοῦ παρ' ὑμῖν. καὶ ἐκ στροβίλων ἅμα καὶ ἀλεύρων καὶ ἀρωμάτων πεποιημένα ἐν τύποις τραγήματα. ὧν καὶ τι πέπομφά σοι. ταῦτα δ' ἡμῖν ἔπεμψε, καὶ πυρῶν μεδίμνους. ὅσοις ἐγὼ μεδίμνοις οὐχ ὅπως ἐμαυτόν, ἀλλὰ καὶ πάντας Κοθωκίδας διαρκεῖν ἂν ἡγοῦμαι. καὶ πολλὰ δὲ ἄλλα πρὸς τούτοις ἃ γράφειν αἰσχύνομαι. ἵνα μή τινα δηλοῦν ἐμὴν μικρολογίαν δόξω. τὸ μὲν γὰρ τὰ μικρὰ πάνυ ὑπερθαυμάζεσθαι, μικρολογίας μὲν τινος εἶναι φημὶ καὶ ἀπειροκαλίας. φιλοφρονημάτων δὲ καὶ μικρῶν πάνυ ἔγωγε ἡττᾶσθαι ὁμολογῶ. παρέχει δὲ ἡμῖν καὶ ἄλλα καλλίω συῶν τε ἀγρίων καὶ δορκάδων τῆς πέραθεν ἀπολαύομεν. ἔτι δὲ καὶ αὐτὸς ἡμῖν σύνεστιν ὁσημέραι. καὶ μεταδίδωσι τῆς αὐτοῦ σοφίας. ἡ σοφωτέρα ἢ καθ' ἡμᾶς ἐστιν. ἃ γὰρ ἐγὼ παθὼν ἐδιδάχθην, ταῦτα πρὶν παθεῖν φυλάττεται σοφίᾳ. καὶ οὐχ ὥσπερ οἱ ἄφρονες πείρᾳ διδασκόμενος. οὐ γὰρ πολιτεύεται. καὶ ὅσον γ' ἐπὶ Κλεοκράτει οὐδὲ μιᾶς πόλεως ἄλλης οὐδὲ ἀνθρώπων ἐπιθυμῶ. ἀλλὰ καὶ σφόδρα ἀσμενίζω τῇ συμφορᾷ. καὶ ἀρχὴ δοκεῖ μοι τοῦ βίου ἡ ἀπαλλαγὴ τῆς αὐτόθι πολιτείας. καὶ οὕτω μὲν ὑπερηγάπηκα τὰ παρόντα καὶ ὅπερ φασὶ Σοφοκλέα ἤδη γέροντα ὑπὲρ ἄλλης ἡδονῆς εἰπεῖν, ὥσπερ κυνὸς λυττώσης ἀπηλλάχθαι, ποιεῖ τῆς τοῦ πολιτεύεσθαι ἡδονῆς. ᾧ καὶ ὅταν ὁ νοῦς ἐπιστῇ, τρισευδαίμων ἔγωγε ἐμαυτῷ τῆς φυγῆς ἕνεκα φαίνομαι. ὅταν δ' αὖ πάλιν ὑπέλθῃ μοι λογισμός τι καὶ γνώμη τῶν αὐτόθι, οὐχ ἑταίρων μόνον, ἀλλὰ καὶ συγγενῶν καὶ ἐκκλησίας καὶ Κολυττοῦ, ἐν ᾧ πέντε καὶ τετταράκοντα ἔτη ᾤκησα, καὶ τοῦ ἀλωπεκείου. καὶ τῶν ἐκεῖ μοι μετὰ σοῦ καὶ Φιλίνου διατριβῶν γινομένων, μετάρρουν ἅπαν τὸ αἷμα ἄλλοσέ ποι τῶν σπλάγχνων πάλιν. καί μοι δήποτε καὶ λοιδορίαι αἷς ἐλοιδορήμην, ὑπὸ Δημοσθένους ἥδισται δοκοῦσι. καὶ σκώμματα ἐφ' οἷς οὐδεὶς ἔξω Κτησιφῶντος ἐγέλασε πώποτε. ἀλλὰ καὶ ἅλις μὲν ἡμῖν δακρύων. σὺ δ' εὐτυχοίης καὶ μὴ μόνον πολιτείας ἁπάσης, ἀλλὰ καὶ Λεπτίνην φεῦγε. ὅτι πρὸς ἡμᾶς μὲν ἔχει φιλαπεχθημόνως. καὶ ὅτι τἄλλα τοιοῦτός ἐστιν ὅτε περιεῖναι μὲν μηδένα λαμπρότερον. ἡττᾶσθαι δὲ ἀδοξότατον. καὶ μάλιστα μὲν παραινῶ, φεῦγε τὰς μετ' αὐτοῦ διατριβάς· εἰ δ' αὖ συνέλθῃς ἐντύχῃς καὶ καθ' ἡμῶν λέγοι τι, πειρῶ σιωπᾶν ἂν ἰσχύῃς καὶ γελᾶν. ἀλλ' ὁ μὲν δίδωσιν ἀποχρῶσαν δίκην τὸ πᾶσιν ἀνθρώποις καὶ γέλωτος εἶναι δοκεῖν ἅμα καὶ μίσους ἄξιος, σὺ δὲ εἰ μὴ πάνυ φοβῇ τὴν θάλατταν, ἀφίκοιο παρ' ἡμᾶς ποτε. καὶ παρασχὼν σεαυτὸν ἡμῖν ἰδεῖν, ἐπανίοις πάλιν.

ΑΡίστων δὲ ὁ κομίζων σοι τὴν ἐπιστολήν, ὁ πρῶτός ἐστιν ἡμᾶς ὑποδεξάμενος ἐν Ῥόδῳ πλ-

πλεύσει δὲ ἀθήναζε κηδεστὴς γέρων τὸ ἀργύριον εἰς πράξων παρὰ τοῦ τραπεζίτου χαρμόλα. σκόπει δὲ ὅπως αὐτῷ δόξῃ φιλοφρόνως. ἔστι δὲ κομιδῆ ἁπλοῦς τὴν δίαιταν καὶ πρέπων ἡμῖν. ᾧ καὶ τὰ ἄλλα συμπράξεις. ὡς μὴ δόξῃ ὡς οὐ παντελῶς ἔρημον φίλων ὑπέλαβεν· ἀλλ᾽ ἔστι τις ἀθήνησιν αἰσχίνου λόγος καὶ μνήμη.

Athenas Socer natu grandioris nomine, ad pecunias à nummulario Charmola, repetendas. Tuum erit perhumaniter eum tractare. Quod ad victum attinet, planè ſingulis eſt & nobis conueniens, cui & in aliis negotiis tuam operam præſtabis, vt intelligat ſe non prorſus amicorum inopem hoſpicio excepiſſe: Sed eſſe Athenis aliquam adhuc reſiduam Æſchynis gratiam & memoriam.

Τῇ βουλῇ καὶ τῷ δήμῳ.

Senatui & populo.

ΑΠυθόμην τὰ ῥηθέντα μελανώπου πρὸς ὑμᾶς. καὶ τὴν μὲν ὑμετέραν ἀπεδεξάμην φιλανθρωπίαν. μελανώπῳ δὲ οὐκ ἐπανελθὼν μόνον πρὸς ὑμᾶς νομίζω τοῖς βεβουλευμένοις αὐτῷ πρέπουσαν ἀποδώσειν χάριν, ἀλλὰ τυχὸν ἔτι καὶ τῆς πατρίδος ἐστερημένος, ὅμως ἀρκέσαι πειράσομαι. ἐγὼ γὰρ ὦ μελάνωπε κατὰ μὲν τοὺς νόμους ὁμολογῶ ταύτῃ κεχρῆσθαι τῇ συμφορᾷ. φημὶ μέντοι βοηθῶν ταῦτα τοῖς νόμοις πεπονθέναι· καὶ ὑπὲρ τοῦ μηδένα στεφανοῦσθαι παρ᾽ αὐτοὺς ἀγωνιζόμενος. ἐμοὶ μὲν οὖν τοῦτο δυστυχηκέναι πολιτευομένῳ, κοινόν ἐστι πρὸς θεμιστοκλέα καὶ ἀριστείδην καὶ ἄλλους πολλοὺς τῶν λαμπροτάτων ἐν τῇ πόλει γενομένων. σοὶ δὲ τὸ μέχρι μὲν χθὲς καὶ πρώην θεσμοθετοῦντος, ἤδη σου πεπρᾶσθαι τὴν μητέρα, τρὶς δ᾽ ἐμπεσεῖν τὸν πατέρα σου εἰς τὸ δεσμωτήριον. σὲ δὲ πραθέντα δισχιλίων δραχμῶν τὴν ἀκμὴν συγκαταφθαρηκέναι τοῖς περὶ τίμαρχον νέοις, οὐ κοινὰ ταῦτ᾽ εἶναι πρὸς θεμιστοκλέα καὶ ἀριστείδην τὸν δίκαιον ὑπολαμβάνω. ἀλλὰ μελανώπῳ μὲν αὖθις ἐὰν ὑμῖν ποτε δόξῃ διαλέξομαι παρών· νυνὶ δὲ τῆς μὲν εὐνοίας ἧς ἀπόντι μοι παρέχεσθε, θορυβοῦντες καὶ μὴ θέλοντες ἀκροάσασθαι τῶν λοιδορούντων ἡμᾶς, πολλὴν χάριν ἔχω. δικαιότερον μέντοι καὶ ἄμεινον, ἐμαυτὸν ἐάσαι πρὸς τοὺς λοιδοροῦντας λέγειν ψηφισαμένους ἃ πολλάκις πολλοῖς ἤδη ἐψηφίσασθε τὰ μέγιστα ἁμαρτοῦσιν εἰς ὑμᾶς. εἰ δὲ μὴ τό γε δεύτερον ἂν δικαιότατον ἀνέχεσθαι πολὺ μᾶλλον τῶν λοιδορούντων ἡμᾶς, ἢ χαρίζεσθαι δοκοῦντας, ὅτι τῶν βλασφημούντων οὐκ ἀκροᾶσθε, μείζω τὴν ὑποψίαν τῶν δυναμένων λέγεσθαι ποιεῖν.

ALlatum eſt ad me, de Melanopo, quam apud vos orationem habuerit, Atque veſtram quidã humanitatem cognoui libenter. Melanopo verò non ſolùm cum ad nos rediero, me dignam eius conatu gratiam relaturum arbitror: Sed forte dum adhuc patria careo: tamen præſtare conabor. Ego me ô Melanope propter leges in has ærumnas coniectum affirmo, nempe legibus opitulari nolentem huic damno ſuccubuiſſe, & ſecundum eas ne quis corona donarentur concertantem. Mihi quidem igitur quod infœlicem in Reip. cauſſa ſortitus ſum exitum, cum Themiſtocle, Ariſtide, atque aliis innumeris clariſſimiſque in Repub. viris commune eſt: tibi verò, qui heri & recèns Theſmothetam egeris, iam proſtitui matrem, patrem ter cuſtodiam expertum eſſe, te verò duobus millibus drachmarum venditum, ætatis florem in ſtupris cum Timarchi iuuenibus perdidiſſe, hæc non cum Themiſtocle vel Ariſtide iuſto communia eſſe iudico. Sed cum Melanopo in poſterum, cum vobis videbitur, præſens colloquar. Iam verò vobis pro veſtra beneuolentia quam abſenti mihi præſtitiſtis, tumultuando nec audiendo eos, qui nos calumniatum venirẽt maximam habeo gratiam. Iuſtius autem & æquius fuerit mihi ipſi reſpondendi conuitiatoribus, poteſtatem decernere, quod plurimis per ſæpè veſtra ſententia conceſſum eſt, quorum etiam maximam in nos delicta fuerant. Sin minus, hoc alterum à vobis contendo, vt potius qui nos conuitiis lacerant, annos præbeatis quàm vt mihi gratificari videamini, blaſphemos, non audiendo, atque maiorem verbis ſuſpicionem relinquatis ei quidem vſque in præſentem diem nunquam ad nos veniſti: Sed morbos, contentiones forenſes & quiduis potius quàm non velle ad excuſandum adfers. Nicias verò pridem venit liberi Andronides. Si igitur nũc cũ Philino, nam eũ audio profecturum, decreuiſti venire, forte adhuc aliquam excuſationem accepero, bellúmque compoſitum fuerit. Quod ſi neque cùm illo venire tibi in animo eſt, tu quidem perpetuò te venturum ſcribes, nos autem ſemel ſuccenſebimus cùm traieciſſem ad Phyſcum, illo die quieti me dedi, non pigritiæ cauſſa, ſed quod anhelationis dolor prorogari videretur. Quo nocte leuato cum melius habere cepiſſem, progreſſus in arenam, villas oculis perluſtraui atque cæteris rebus omnibus iucundæ variæque mihi videbantur. Nam & oliuis & plantis atque vineis multis erant conſitæ ſegetes etiam copioſas & amœna paſcua continebant. Sed caſę ne mediocres quidem

ΣΥ μὲν οὐδέπω καὶ νῦν ἀφῖξαι πρὸς ἡμᾶς, ἀλλὰ καὶ νόσους καὶ δίκας καὶ πάντα μᾶλλον τοῦ μὴ βούλεσθαι ἐλθεῖν πρὸς ἡμᾶς αἰτιᾷ. νικίας δὲ ἀφῖκται πάλαι καὶ ἀνδρονίδας. εἰ μὲν οὖν νῦν γε σὺν φιλίνῳ, πυνθάνομαι γὰρ αὐτὸν ἐξιέναι, διέγνωκας ἀφικνεῖσθαι πρὸς ἡμᾶς, τάχα ἂν εἴη σοι ἔτι ἀπολογία· ἐλύθη ὁ πόλεμος. εἰ δὲ οὐδὲ σὺν ἐκείνῳ διέγνωκας ἐξιέναι, σὺ μὲν ἐπιστολαῖς διὰ παντὸς ἡμῖν ἀφίξεσθαι. ἐγὼ δὲ ἅπαξ ἀνιάσομαι.

ΠΕραιωθεὶς ἐπὶ φύσκον, ἡσυχάσας ἐκείνην τὴν ἡμέραν, οὐχ ὑπ᾽ ἀργίας, ἀλλὰ μηκύνειν ἔδοξεν ἡ περὶ τὸ ἆσθμα νόσος· ὡς τὴν νύκτα ἐκείνην ῥᾷον ἐσχήκειν, βαδίσας εἰς τὴν ἄκραν, ἐπεῖδον τὰ χωρία. καί μοι ἔδοξε καλὰ μὲν ἄλλως καὶ ποικίλα εἶναι τὰ χωρία. καὶ γὰρ ἐλαιῶν ἦν καὶ πολλὰ φυτὰ καὶ ἄμπελοι συχναί. καὶ σπέρματα πλείονα καὶ νομαὶ καλαί. ἐπαύλιον δὲ οὐδὲ μέτριον

verùm

verùm omnes ſemirutæ. (Myronides nos perhumaniter excepit. Villas autem duobus talentis emi atque nunc eiuſmodi quoddam tugurium eximo cuiuſmodi vt pauper & parum opulentus inſtitui, nihilominus tamen hic habitaturus, quamuis me hercle non ſuauiter, cum præſertim in orbatione meę ciuitatis & talis ciuitatis, in qua certè min⁹ doloris quiſpiam hauſerit habitare me recordabor.

CYmon verò ſingulas ciuitates & littora cum ſpectandi cauſſa terra marique proficiſceretur Ilium, ſic nobis vſus eſt vt nec affinitatis coniunctioni nec legũ ſtatutis parceret. Et quæ inde viderim illic mè literis mandaturum, quoniã copioſam materiam ſuppeditant, non dicam. Vereor enim ne cùm audieris me ad poetica nugamenta operam conuertiſſe præter decorum facere putes: Cimonis verò facinora & intemperantiam ſi etiam linguæ mihi decem eſſent, tamen verbis explicare pro dignitate non poſſem. Nobis enim multos dies Ilij commorantibus: neque tamen pergamorum ludis finem accipientibus mihi verò animus erat manere, donec vniuerſa carmina Iliadis ad ea ipſa, de quibus conſcripta ſunt accommodata finiſſem:) dies interuenit, in quã plurimi cõnubium puellarũ tentant quib. lex & ætas nubere permittit. Numerus itaque earum quæ deſponderentur, frequentiſſimus erat. Sed moris eſt in Troade regione, vt virgines quæ nubunt ad Scamandrum accedentes abluant de hoc quaſi ſacrum quoddam carmen accinant λάβε μου σκάμανδρε τὴν παρθενίαν: Accipe meã Scamandre virginitatem. Proinde inter cæteras Calliroa nomine virgo magna, & genere nobilis lotum ad fluuium venit. Et nos vnà cum deſponſatarum amicis aliiſque turbis, ex longinquo ſolennitatem & lotiones virginum, qua fas erat extrinſecus intueri ſpectabamus. Ibi tum probus ille bonúſque Cimon ſub Arbuſtis Scamandri latet abditus & ſeipſum frondibus velat. Hoc nempe ſtratagema, & hæ inſidiæ contrà Calliroam interdiu commodæ erant. Cum interim illa lauaret, & conſuetum carmen, vt poſt mihi cognitum pronunciaret λάβε μου σκάμανδρε τὴν παρθενίαν, protinus ex arbuſto ſe proripiens Scamander Cimo: Libenter verò inquit admitto, & ego Scamander Callirœn accepto, multáque bona tibi largiar. Hæc ſimul dicens & puellam raptans, euanuit è conſpectu. Non tamen eodem modo ſcelus euaneſcit. Sed quatuor diebus poſt pompa Veneri ducebatur. Eam nuper nuptæ agitabãt. Nos autem ſpectatores pompæ aderamus. Ibi ſponſa, cũ fortè vidiſſet Cimonem quaſi nullius peccati ſibi conſcium & mecum vnà ſpectantem, in genua prolabens adorabat, atque ad nutricẽ conuerſa, vides inquit mea nutrix Scamandrũ, cui meam virginitatẽ tradidi. Quo audito nutrix, exclamare & flagitiũ in vulgus manare. Ego verò domũ reuerſus aſſumo Cimonẽ, & ꝙ par erat facio ſceleſtũ appellato propter eius flagitiũ nos interiiſſe dico. At illi nihil ex eo formidinis, neque verò pudoris quicquàm: ſed fabulas prolixas ordiebatur, omnes, qui vllibi cruce digna perpetraſſent, cõmemorãs, & recenſens. Nã & in Magneſia iuxta

ἀλλὰ πάντα ἐρείπια. ἐδέξατο ἡμᾶς ὁ Μυρωνίδης φιλανθρώπως σφόδρα. τὰ μέντοι χωρία δυοῖν ταλάντοιν ἐπριάμην. καὶ νῦν ἐπαύλιόν τι μηχανῶμαι τοιοῦτον, οἷον ἐμηχανώμην ἐγὼ κεκτημένος βραχέα· καὶ μέλλω ὅμως οἰκεῖν ἐνθάδε μὰ τοὺς θεοὺς οὐχ ἡδέως ἐπὶ τῇ στερήσει τῆς ἐμαυτοῦ πόλεως, καὶ μάλιστα τοιαύτης, ἐν ᾗ δύναιτο ἄν τις ἥκιστα ἀλγεῖν ὑπολαμβάνειν οἰκῶν.

Ο δὲ Κίμων οἷα κατὰ πόλιν ἑκάστην καὶ αἰγιαλὸν ἡμᾶς δέδρακεν, οὐκ ᾐδέσθη οὐ νόμου φειδόμενος οὐδενός, ὅτε κατὰ θέαν εἰς Ἴλιον ἀφικόμην τῆς τε γῆς καὶ θαλάττης. καὶ ἃ μὲν εἶδον αὐτόθι γράφειν ἐπεὶ δοκεῖ ὕλην ἔχειν ἄφθονον σιωπήσω. δέδοικα γὰρ μὴ ποιητικῆς λαβόμενος φλυαρίας, ἀπρεπὴς καλὸς δόξω. τὰ δὲ Κίμωνος ἔργα καὶ τὴν ἀκρασίαν οὐδ᾽ εἴ μοι δέκα μὲν γλῶσσαι δυναίμην ἀρκέσαι λέγων. διατριβόντων γὰρ ἡμῶν πολλὰς ἡμέρας ἐν Ἰλίῳ, καὶ μὴ πληρουμένων τῆς θέας τῶν Περγάμων, ἣν δέ μοι γνώμη μένειν ἕως ἅπαντα διεξέλθοιμι τὰ ἐν τῇ Ἰλιάδι ἔπη πρὸς αὐτοῖς ἑκάστοις τόποις ἐφ᾽ ὧν τὰ ἔπη ἐστὶ γεγραμμένα, ἐνέστη ἡμέρα ἐν ᾗ προῄρηνται τοὺς γάμους οἱ πλεῖστοι τῶν θυγατέρων δοῦναι ἐπιτρέπει ὁ νόμος ποιεῖν καὶ ἡ ὥρα. ἐγένοντο δὲ συχναὶ αἱ γαμούμεναι. νόμος δὲ ἐν τῇ Τρῳάδι γῇ, τὰς γαμουμένας παρθένους ἐπὶ τὸν Σκάμανδρον ἔρχεσθαι, καὶ λουσαμένας ἀπ᾽ αὐτοῦ τὸ ἔπος τοῦτο ὥσπερ ἱερόν τι ἐπιλέγειν. λάβε μου Σκάμανδρε τὴν παρθενίαν. ἐν δὲ ταῖς ἄλλαις Καλλιρρόη ὄνομα παρθένος μεγάλη. πατρὸς δὲ τῶν ἐπιφανῶν, ἐπὶ τὸν ποταμὸν ἦλθε λουσομένη· καὶ ἡμεῖς ἅμα τε τοῖς οἰκείοις τῶν γαμουμένων καὶ τοῖς ἄλλοις ὄχλοις πόρρωθεν τὴν ἑορτὴν καὶ τὰ λουτρὰ τῶν παρθένων ᾗ θέμις αὐτοῖς ἐξωτέρω ὁρᾶν, ἐθεώμεθα. ὁ δὲ καλὸς κἀγαθὸς Κίμων, ἐγκρύπτεται εἰς θάμνον τοῦ Σκαμάνδρου καὶ στέφει ἑαυτὸν δόναξιν. ἦν δὲ αὐτῷ δηλαδὴ τὸ στρατήγημα τοῦτο καὶ ὁ λόχος ἐξ ἡμέρας ἐπὶ τὴν Καλλιρρόην ὁ αὐτὸς. λουομένης δὲ καὶ τὸ εἰωθὸς ἔπος, ὡς μετὰ ταῦτα ἐπυθόμην λεγούσης, λάβε μου Σκάμανδρε τὴν παρθενίαν, ἐκθορὼν ἐκ τῶν θάμνων ὁ Σκάμανδρος Κίμων, ἡδέως ἔφη δέχομαι καὶ λαμβάνω Καλλιρρόην Σκάμανδρος ὢν καὶ πολλὰ ἀγαθὰ ποιήσω σοι. ταῦτα ἅμα λέγων καὶ ἁρπάσας τὴν παῖδα, ἀφανὴς γίνεται. οὐ μὴν καὶ τὸ πρᾶγμα ἀφανὲς γίνεται, ἀλλὰ τέτταρσιν ὕστερον, ἡμέραις πομπὴ μὲν ἦν Ἀφροδίτης. ἐπόμπευον δὲ αἱ νεωστὶ γεγαμημέναι καὶ ἡμεῖς τὴν πομπὴν ἐθεώμεθα. ἡ δὲ νύμφη ἰδοῦσα τὸν Κίμωνα ὡς μηδὲν αὐτῷ κακὸν συνειδότα ἅμα ἐμοὶ θεώμενον, προσεκύνησε. καὶ ἀποβλέψασα πρὸς τὴν τροφὸν, ὁρᾷς ἔφη τίτθη τὸν Σκάμανδρον, ᾧ τὴν παρθενίαν ἔδωκα. καὶ ἡ τίτθη ἀκούσασα ἀνέκραγε, καὶ τὸ πρᾶγμα ἔκπυστον γίνεται. ὡς δὲ οἴκαδε εἰσέρχομαι, καταλαμβάνω τὸν Κίμωνα. καὶ οἷα ἣν οἰκῶ ἐργάζομαι, καλῶν ἀνόσιον καὶ δι᾽ αὐτὸν ἀπολωλέναι λέγων ἡμᾶς. ὁ δὲ οὐδὲν δι᾽ αὐτὸ ἔδεισεν. οὐδὲ ᾐσχύνθη τοῖς πεπραγμένοις. ἀλλὰ μύθους ἐπελάβετο λέγειν μακροὺς τοὺς ἁπανταχόθι τεχθεῖν ἄξια εἰργασμένους καταριθμούμενος. καὶ γὰρ ἐν Μαγνησίᾳ τῷ περὶ Μαίανδρον τὸν

ποταμὸν ἔφη γεγονέναι, ὑπόπτως τὴν ἐκείνου. ἀφ' οὗ καὶ ἔτι σήμερον Ἄτταλον τὸν ἀθλητὴν ὁ πατὴρ ἔφη οὐχ ἑαυτοῦ υἱὸν, ἀλλὰ τοῦ μαιάνδρου εἶναι πείθεται· καὶ διὰ τοῦτο αὐτὸν οὕτω πάνυ νομίζει σαρκῶν τε καὶ ῥώμης δεῖ ἔχειν· ἐπειδὰν δὲ πολλὰς λαβὼν πληγὰς ἀπέρχηται ἡττημένος ἐξίοι, τὸν ποταμὸν αὐτῷ ἐμμηνιᾶσαι λέγει ὅτι νικήσας οὐ πατέρα προσηγόρευσεν αὐτόν· οὐκ ἄρ' ἀπορεῖ γε ἡττώμενος προφάσεως. καὶ περὶ ἐπίδαμνον ὁμοίως πάλιν. καὶ τὸν δὲ ἔφη μουσικὸν ὑπ' εὐηθείας πεπεῖσθαι, ὅτι ἡρακλέους εἴη τὸ ἐκ μοιχοῦ γενόμενον αὐτῷ παιδίον. ἐγὼ δὲ οὐκ ἐπαιδοποιησάμην ἔφη ἅπαξ δὲ διελέχθην παιδὶ ὡραίᾳ τε ἤδη καὶ λουομένην αὐτὴν μετὰ μιᾶς γραὸς ἰδών. καὶ ἄλλως δὲ δοκεῖ μοι ἔφη, ὡς μὴ παντάπασι τὰ ἐν ἰλίῳ τραγικὰ καὶ φοβερὰ ᾖ, παθεῖν δεῖν καί τι ἡμᾶς καὶ οἷον ἐν κωμῳδίαις περὶ τὸν σκάμανδρον ἐργάσασθαι. Κἀγὼ μὲν ἄλλο οὐδὲν ἢ ποῖ λήξει ἡ τοσαύτη ἀναισχυντία προσμένων, λίθινος ὑπ' ἀπιστίας ἐγεγόνειν. ὁ δὲ ἐῴκει καὶ τρίτην ἀπόλλωνος καὶ διονύσου μοιχείαν ἐπάξων. ἕως ἰδὼν ἐγὼ ὄχλον προσιόντα τῇ θύρᾳ, τοῦτ' ἐκεῖνο ἔφην καταπρήσοντες ἡμᾶς πάρεισι. καὶ δι' ὀπισθοδόμου τινὸς εὐθέως πρὸς μελανιππίδην φεύγειν ᾠχόμην. ἐκεῖθεν δὲ ἑσπέρας ἐπὶ θάλατταν εἰς τοὔμπροσθεν, εἶτα ὡς τὸ ξενῶνα αἰεὶ μὲν κατήχθημεν. ἐν μηδεὶς αὖ ἄλλος ἢ φεύγων τὸ κυμαίων ἄκρον ὑπομείναι πλέων. τοιαῦτα μὲν παθὼν δεῖν σοι γράφειν ὡς καὶ ἐμοῦ σχετλιάσοντι μᾶλλον ᾤμην. σὺ δ' αὖ ἱκανῶς οἶμαι γελάσεις.

Τῇ βουλῇ καὶ τῷ δήμῳ τῶν ἀθηναίων.

ΤΑ μὲν ἄλλα δεῖν ὑμῖν ἐπιστέλλειν περὶ ὧν ἐβουλόμην καὶ πρότερον ᾤμην. οὐ γὰρ ἀφῃρῆσθαί γε τοῦτο ἀτυχήσαντα τῶν παρ' ὑμῖν ὑπελάμβανον· συμβουλεύειν δὲ καὶ πολυπραγμονεῖν, οὐ μικρᾶς ἐμοί γε ἀκρασίας ἐφαίνετο ἔργον εἶναι δεδωκότι τηλικαύτην δίκην τοῦ πολιτεύεσθαι. πλὴν εἴ τι δέοι καλούντων ὑμῶν. ἄλλως δὲ μὴ ῥᾳδίως ποτ' ἂν τῶν ἐπιτηδείων, οὐχ ὅτι πόλει συμβουλεύειν ᾤμην. ὑμῖν τε ἑώρων ἄλλους καὶ λέγειν καὶ πράττειν δυναμένους τὰ κοινά. κατέλιπον γὰρ οὐκ ὀλίγους. ἐπεὶ δὲ οἱ μὲν τεθνᾶσι. πολλοὶ δὲ ἠτυχήκασιν ὥσπερ ἐγὼ, περιέστηκε δὲ ἡ πόλις εἰς ἐρημίαν τῶν πολιτευομένων, ἀκούω δὲ τοὺς μὲν αὐτοὺς παρόντας, τοὺς δὲ καὶ δι' ἐπιστολῶν κινεῖν τι τῶν τῆς πόλεως πραγμάτων, ἕτοιμος ἤδη τὰ δοκοῦντα τῇ πόλει συμφέρειν, ὡς μόνον ἔξεστί μοι δι' ἐπιστολῶν λέγειν. εἰ δὲ καὶ νῦν τὰ μακεδόνων φρονεῖν αἰτιῶνταί με καὶ παραπρεσβείας γράφονταί τινες ἀπόντα μάτην, ἢ προδοσίαν τῆς ἑλλάδος, ἕτοιμος ἤδη καὶ ῥόδου καὶ γῆς ἁπάσης ἑλληνίδος πορρωτέρω φεύγειν ἐὰν βούλωνται. καὶ πρὸς τὸν ἐν πέρσαις ἄπειμι καὶ μήδοις βασιλέα. καίτοι τὰ περσῶν τε καὶ μήδων οὐδεὶς ἔφη με ποτὲ φρονεῖν. καὶ πάντων ἥκιστα δημοσθένης. ἀλλ' οὐδ' ἐκεῖσε παύσομαι γράφων, ἃ τῇ πόλει δόξῃ συμφέρειν οὐ χαρίζεσθαι μᾶλλον ὑμῖν ὥσπερ ἄλλοι τινὲς, ἀλλ' ἐλευθέρως νουθετῶν. δεῖ γὰρ εἰδέναι χρὴ ὅτι τῶν πολιτευομένων οἱ μᾶλλον ἐπιπλήττειν ἢ χαρίζεσθαι θέλοντες ὑμῖν δοκεῖν, οὗτοι

Mæandrum fluuium hoc idem à quodam eius terræ iuuene factum eſſe narrabat. Vnde pugilem Attalum hodie quoque pater non ſuum, ſed Mæandri filium arbitratur, & ob eam cauſſam benè corpulentum & robuſtum exiſt met. Quòd ſi plagis acceptis diſcedat victus, fluuium ei ſuccenſuiſſe dicit, quoniam victor eum non parentem ſalutarit. Neque enim ſuperatus, non protinus excuſationem aliquam excogitat. Et eodem modo iuxta Epidamnum. Poſtremo, Muſicum aiebat ob ſtoliditatem perſuaſum Herculis, ex adulterio ſibi natum credidiſſe. At ego non liberos inquit genui: ſed cum puella iam prꝗmatura ſemel tantum vbi cum vna quadam anu lauare conſpexiſſem ſum collocutus. Tum verò, inquit, viſum eſt mihi, ne prorſus Ilij Tragica, horrendáque forent omnia, nos etiam aliquid præſtare oportere, & comœdiarum ritu Scamandrum effingere. Atque ego nihil, niſi quorſum euaderet impudẽtia tanta, expectãs, lapideus propemodũ ſtupore & miraculo rei fact⁹ ſum. Ille verò tertiũ etiã Apollinis & Bacchi videbatur adulteriũ adducturꝰ, donec ego cernẽs agglomeratã ad oſtiũ turbã, hoc ipſum dicerẽ. Hi cõbuſtum nos adſunt, & elabẽs per poſteriores ędiũ partes ad Melannipidã fugerẽ. Inde ſub veſperã mari rectã viã tenuimus. Poſt ad hoſpitiũ vẽto delati ſumus, ad q̃ nemini niſi fugiat Cymoniũ promõtoriũ curſus eſſe poteſt. His caſibus agitatus ſignificãdũ tibi literis putabam, quippe qui multo acerbius me ſis accepturus. Tu verò ni fallor abundè ridebis.

Senatus populóque Athenienſi.

DE Reliquis quæ vellem, literas ad vos dare antea quoque licere mihi ſemper putaui. Hoc enim ſolum ei, qui omnibus rebus apud vos exciderit, non ereptum eſſe cenſui. At conſilium dare, publicique negotij curam agere, non leuẽ audaciam hoc arguere videtur, præſertim in eo qui tantas antea geſtæ Reipub. pœnas dederit: niſi fortè, ſi quid opus ſit, vobis vocantibus. Alioquin non facilè neceſſariorum aliquem nedum Rempublicam cõſilio iuuerit vt mea fert ſententia. Tum vobis alios eſſe, qui tũ oratione tum factis Reipub. præeſſe poſſent videbam. Reliquerã enim nõ paucos. Poſtquã verò nõnulli viuere deſierint: plurimi autẽ eãdẽ fortunę iniquitatẽ ſubierũt: quàm ego, & ciuitas ad ſolitudinẽ vaſtiſſimã procerũ in Repub. redacta eſt, & cũ audiã nõnullorũ præſentia multorum etiã ſcriptis miſſis in Repub. motus excitari, decreui, iã quæ ad vtilitatẽ cõmunem inſeruitura videãtur, quo pacto mihi dũtaxat cõceditur, p epiſtolas enũciare. Quod ſi etiamnũ me cõmodis Macedonũ fauere criminabũtur & obitæ falsò legationis abſenti mihi crimẽ intẽdẽt, aut ꝓditionis Græcorũ diẽ dicẽt, iã è Rhodo etiã & vniuerſa Græcia ad lõginquas terras exulatũ ire ſi ſic volẽt paratus ſũ. Et ad Perſarũ Medorũq; regẽ abibo. Atqui Pérſarũ aut Medorũ partes me fouere nemo dixit vnquã, & omnium minimè Demoſthenes. Sed neque ibi ſcribere deſinã, quæ publicis commodis profutura iudicauero, non vt ad gratiam voluntatémque vobis loquar: ſed vt ingenuè moneam & adhorter. Neq; enim id vos fugere debet, ex his qui Rẽpub. tractãt, qui magis increpare, quã gratificari loquẽdo videri cuprũt eos, potiſſimum

potiſſimum voluptatib. veſtris obſequi ac blandiri. Quoniá prætextum libertatis in dicendo viá ad aſſentandum ſibi muniunt. Nam hic etiam quidá eſt gratificandi ciuibus atque ducibus, multo perniciolior modus, quem ſequétes Athenis aliqui, tum adhuc me ſuperſtite apud vos: Sic enim mihi dicere conuenit, tum nunc, quantum in vobis eſt, mortuo, veſtram ignauiam accuſant, qui non velitis imperium Græciæ tenere: & ad comparandum belli principatum adhortantur perinde, ac ſi eius vobis poteſtas eſſet. vos autem & ad pigritiam animos dediſſe & poſſe quoque Græcis imperare potius exiſtimari vultis quàm & in priſtina animorũ alacritate permanere, & imperium non affectare. Nam poſt mortuum Alexandrum audio quoſdam ad nouarum rerum motus vos oratione incitare. Ego verò ea quæ ſunt emolumento Reipub. futura ſuadere vellem. Non enim per Iouem alióſque deos me fugit quàm ſit præclarum, Barbaris arma ſemper inferre, Græcos verò in libertatem vindicare, & hoc à maioribus noſtris factitatum video Vos autem voluntate ſententiáque ſatis, ad honeſtiſſima paratos, verũm ad efficiendũ facultatẽ bonã fortunam deſiderare: proinde vobis in memoriam reuocandum putaui ſcribere me quidem Atheniẽſibus, non autem iis Athenienſib. quibus Themiſtocles Rempublicã geſſit. verũ iis, qui tametſi animo non ſunt illis deteriores: tamen opportunitates ad gerenda bella ſimiles non habent. Nam largiantur nobis trecentas triremes, qui cõuenientia Græcis ſcripta decretáque promulgant largiantur triginta millia talentorũ argẽti, aurique puri tria millia, largiantur virorũ florentiũ ætate, iuuenũmque qui ſint in armis exercitati paré copiam & non vlterius conſulant. Sciemus enim ipſi, quid faciendũ ſit, cum poteſtatem exquendi, quæ decreuimus, erimus adepti. Neque declamando laudandóque maiores noſtros & regioné perdant operã quòd in ipſa Dij nati ſint. Siquidẽ audiuis ex ipſis, quid in Cheroneſiũ prælio ſeruarit vrbem Athenienſium quod videlicet Mars cum Neptuno de fluctib. maris in Areopago concertarit. Sed verũ viribus ita valeamus vt cũ Antipatro vel quouis alio Macedonum rege bellum gerere poſſimus, id verò nobis eſt conſiderandũ quod ſi ſatis eſt virium bonis auibus ſtatim arma capiamus & ad libertatẽ Græcorũ aſſerendam proficiſcamur. Sin autẽ his neglectis oblectabimur vanis adulationibus ſanè præter quàm quod ipſi nobis calamitatũ autores videbimur extitiſſe, quod vnũ afflictis omnem conſolationẽ erupit: etiã damnũ feremus. Verum ciuitatis & viri prudentis officiũ eſt, præſentiũ temporũ habita ratione, de rebus in mediũ propoſitis deliberationẽ inſtituere. At ex priſtino robore ad eas res in quib. iã verſetur, conficiendas ſpem adferre, & olim ſummis aliquando viribus multũ potuiſſe: perinde eſt ac ſi quis, cũ perſæpe victoriã in Olympiacis antea ſit adeptus poſtea ſenio confectus nomen edat & ſcriptos aduerſarios commemoratione roboris, quod aliquando fuit non quod iam eſt ad certamen prouocet. Operæ precium eſt autem vnà nobiſcũ examinare hæc

καὶ μάλιστα πρὸς ἡδονὴν λέγουσι, τὴν ὑπὸ πρόσχημα τῆς παῤῥησίας ὁδὸν τῇ κολακεύειν ἑλόμενοι. καὶ γὰρ αὕτη τίς ἐστι τοῦ χαρίζεσθαι πολίταις καὶ ἡγεμόσι πολὺ κακουργοτέρα προαίρεσις. ἣν βαδίζοντές τινες ἀθήνησι καὶ πρότερον ἐμοῦ παρ᾽ ὑμῖν, οὕτω γάρ με χρὴ λέγειν, καὶ νῦν ὅσον ἐφ᾽ ὑμῖν τεθνεῶτος, αἰτιῶνται μὲν ὑμῶν τὴν ὀλιγωρίαν ὡς οὐκ ἐθελόντων ἄρχειν τῆς ἑλλάδος. προτρέπονται δὲ ἐπὶ τὴν ἡγεμονίαν ὡς δυναμένους. ὑμεῖς δὲ μετὰ τοῦ δοκεῖν ἀργοὶ γεγονέναι, δύνασθαι τῶν ἑλλήνων ἄρχειν, νομίζεσθαι θέλετε μᾶλλον ἢ μετὰ τῆς μνήμης ὑμῶν τῆς προθυμίας, ἐνδεῖσθαι τοῦ δύνασθαι. πυνθάνομαι γὰρ τελευτήσαντος ἀλεξάνδρου προτρέπειν τινὰς ὑμᾶς, καινοτέρων ἅπτεσθαι πραγμάτων. ἐγὼ δὲ βουλοίμην ἂν ταῦτα συμβουλεύειν ὑμῖν, ἃ μετὰ ταῦτα συμφέρει. οὐ γὰρ ἠγνόουν μὰ τὸν δία καὶ τοὺς ἄλλους θεοὺς, ὅτι λαμπρόν ἐστι τὸ τοῖς μὲν βαρβάροις ἀεὶ πολεμεῖν, τοὺς δὲ ἕλληνας ἐλευθεροῦν. καὶ ταῦτά γε καὶ τοὺς πατέρας ἡμῶν προῃρημένους. ἀλλ᾽ εἰς μὲν τὸ βούλεσθαι τὰ κράτιστα, τὴν γνώμην ἱκανὴν οὖσαν· εἰς δὲ τὸ δύνασθαι καὶ τύχης ἀγαθῆς ὑμᾶς δεομένους. προσήκει συνδιαμνημονεύεσθαι καὶ ὑμᾶς ὑπολαμβάνειν ὅτι ἀθηναίοις μὲν ἐπιστέλλομεν. ἀθηναίοις δὲ, οὐκ ἐν οἷς θεμιστοκλῆς ἐπολιτεύσατο. ἀλλ᾽ οἳ τὰς μὲν γνώμας ἐκείνων οὐ χείρους εἰσί. τὰς δὲ πρὸς τοὺς πολέμους ἀφορμὰς οὐχ ὁμοίας ἔχουσιν· ἐπεὶ δότωσαν μὲν ἡμῖν τριακοσίας τριήρεις οἱ τὰ τῆς ἑλλάδος ἄξια γράφοντες ἡμῖν. δότωσαν δὲ τρισμύρια τάλαντα ἀργυρίου καὶ χρυσίου ἀπέφθου τε χίλια. δότωσαν δὲ ἀνδρῶν ἐν ἥβῃ νέων τοσοῦτον πλῆθος, ἤδη γεγυμνασμένων ἐν ὅπλοις. καὶ μηκέτι συμβουλευέτωσαν. αὐτοὶ γὰρ εἰδήσομεν ἃ χρὴ πράττειν. δυνάμενοι τὰ δόξαντα πράττειν. μηδὲ ῥαψῳδείτωσαν μάτην ἐπαινοῦντες ἡμῶν τοὺς προγόνους τι καὶ τὴν χώραν. ὅτι ἐγένοντο ἐν αὐτῇ καὶ ὑπὲρ αὐτῆς εἶτε γένοιντο ἐν αὐτῇ οἱ θεοί. ἐπεὶ πυνθάνεσθε αὐτῶν τί ἐν τῇ χαιρωνείᾳ μάχῃ τὴν πόλιν ἔσωσε τῶν ἀθηναίων; ὅτι ἄρης πρὸς ποσειδῶνα ὑπὲρ ἁλιῤῥοθίου ἐν ἀρείῳ πάγῳ ἐκρίθη. ἀλλ᾽ εἰ πρὸς ἀντίπατρον ἢ ὅς τις ἄλλος μακεδόνων βασιλεὺς ἱκανοὶ ἐσμὲν ἀγωνίσασθαι, τοῦτο χρὴ σκοπεῖν. κἂν ἱκανοὶ ὦμεν, ἀγαθῇ τύχῃ ἀναλαβόντες ὅπλα εὐθέως ἐλευθερῶμεν τοὺς ἕλληνας, εἰ δὲ τοῦτο μὲν ὀλιγωρήσομεν, κολακευόμενοι δὲ ἡσθησόμεθα, πῶς οὐ μετὰ τοῦ δοκεῖν ἑαυτοῖς αἴτιοι γεγονέναι τῆς συμφορᾶς, ὃ μόνον οὐδὲ παραμυθίαν ἔχει τοῖς κακῶς πράξασιν ἀτυχήσομεν. ἔστι δὲ καὶ πόλεως καὶ ἀνδρὸς εὖ φρονοῦντος ἔργον δεῖν πρὸς τὰς παρούσας ἀφορμὰς ὑπὲρ τῶν παρόντων βουλεύεσθαι. τὸ δὲ τὴν μὲν τόλμαν εἰς τὰ πράγματα, οἷς ἐπιχειρεῖν ἐκ τῆς προτέρου ἰσχύος ἔχειν. τὴν δὲ ἰσχὺν πάλαι ποτ᾽ ἐσχηκέναι μεγάλην, ὅμοιά γε φαίνεται, ὥσπερ εἰ εἰς ὀλυμπιάσι νικήσας πολλάκις, ὕστερον γέρων ἂν ἀπογράφοιτο ἔτι καὶ προκαλοῖτο τοὺς ἀνταγωνιστὰς διαμνημονεύων ἧς ἔσχηκε, οὐ τῆς παρούσης δυνάμεως· ἄξιον δὲ καὶ ἃ λέγειν αὐτοὺς πυνθάνομαι,

λογίσασθε μεθ' ὑμῶν, ὡς καινὰ καὶ θαυμαστὰ ὅσον εἰς ἃ βούλονται τῇ πράξει συλλαβεῖν δυνάμενα. φάσκειν ὑμᾶς ὁμονοεῖν. ὥσπερ ὑμᾶς οὐκ ἐπισταμένους ὅτι τοῦτο μὲν πάσῃ πόλει καὶ πολεμεῖν καὶ εἰρηνεύειν βουλομένῃ κράτιστόν ἐστιν, ἡμῖν δὲ τοῦτο δεῖ σκοπεῖν. εἰ ὁμονοοῦντες πολεμοῦσιν. ὁμονοητέον γὰρ καὶ πολεμοῦσι καὶ μὴ παντὸς ἕνεκα ἀλλ' εἰ μὴ βουλομένοις πολεμεῖν καὶ ὁμονοεῖν, ὡς ἴσμεν ἅπαντες. αὐτάρκης ἐστὶν ἡ δύναμις. ἕως δ' ἂν μήτε στρατείας πολεμοῦντες ἔχωμεν, μήτε χρημάτων πόρους δεικνύωσιν, ἀλλὰ τὴν Ἀθηνᾶν ἐγγυητὴν διδῶσι τοῦ πολέμου, μηδὲν διαφέρειν αὐτοὺς αὐτῆς νομίσωμεν. ἀλλ' ἐκεῖνον μὲν ὥσπερ ἦν ἄξιος παραπλῆγα τῆς διανοίας ὄντα, κατελύσατε εἰκότως. τούτοις δ' ἀπόχρη τὸ μηδὲν παθεῖν κακὸν παραδόξους λόγους μελετῶσι καὶ μηδὲ λείψανον ἐῶσιν ὑμῖν τι τῶν πραγμάτων. ἀλλὰ καὶ τούτων φθονοῦσι προστάττειν ἃ δεῖ βουλομένοις. ἕως ἂν τὸ Θηβαίων πολιτεύσωνται πολίτευμα, μηλόβοτον ὑμῶν γενέσθαι τὴν χώραν καὶ κατασκαφεῖσαν τὴν πόλιν ἀναγκάσαντες. οὐ γὰρ εἰ κακῶς ἔχει τὰ πράγματα διὰ τοῦτο μηδὲν ὅπως μὴ χεῖρον ἕξει φροντιστέον.

Τῇ βουλῇ καὶ τῷ δήμῳ τῶν Ἀθηναίων.

Ἐγὼ προσῆλθον τῷ πολιτεύεσθαι, γεγονὼς ἔτη τρία καὶ τριάκοντα. μὰ δὲ οὔτε ταγωνιστεῖν μαθὼν ὡς Δημοσθένης ἔλεγεν ἀλλὰ καὶ γράφειν ἐλευθερίως, καὶ παιδείας φροντίσας τὰ μέτρια καὶ λόγους οἵους λέγειν ἐν Ἀθηναίοις ἔπρεπε καὶ τούτους οὐκ εἰς συκοφαντίαν γυμνάσας. οὐδέ τινι τῶν πολιτῶν δίκην δικασάμενος, εὑρεθήσομαι λαβὼν ἀργύριον. οὐδὲ ὕβρεις ἀποδόμενος. ἀλλ' οὐδὲ ὑβρισθεὶς ὅλως. οὐδὲ ἀφορμὴν προπηλακισμοῦ παρασχών. οὐδὲ εἰς δίκην τινὰ τῶν πολιτῶν καταστήσας, ἔξω Τιμάρχου μόνου. καὶ οὐκ ἀλαζονεύομαι πρὸς ὑμᾶς ὡς πολλὰ πάνυ λαβεῖν ἐξόν μοι χρήματα μὴ λαβών. ἀλλ' ὡς ἦν προσῆκον δίκην κατὰ τοὺς νόμους λαβών. καὶ μετὰ ταῦτα πάλιν Κτησιφῶντα πολλὰ μὲν ὑπ' αὐτοῦ παθών, πολλὰ δὲ ὑπὸ Δημοσθένους, παρανόμων ἐγραψάμην, δικαιοτάτην ὦ θεοὶ γραφήν. καὶ οὐδὲν θαυμαστὸν εἰ καὶ τῶν νόμων τῶν ὑμετέρων καὶ τῶν ἐμῶν λόγων ἡ Δημοσθένους δεινότης κρείσσων ἐγένετο. ἐφ' ὧν δὲ ἴσως ἐφ' οἷς κατηγορήθην πρότερον ὑπὸ Δημοσθένους πολὺ μείζοσι δηλονότι τούτων οὖσι δι' ἃ νῦν ἐξέπεσον, οὐ μικρὸν εἰς ὑμᾶς δεῖγμα τοῦτο τοῦ καλῶς ἐμὲ πολιτεύεσθαι. ὅτι οὐδὲ Δημοσθένους κατηγοροῦντος ἑάλων. μετὰ δὲ ταύτην τὴν συμφορὰν καὶ τέλεον καταφανῆ πᾶσι τοῖς Ἕλλησιν οὐχ ὅπως μόνοις ὑμῖν ἐμαυτὸν οἴομαι γεγονέναι. τίς γὰρ οὐκ οἶδεν ὅτι ἀποθανόντες οἱ ἄνθρωποι, οὕτω καὶ φεύγοντες ἐκ τῆς πατρίδος, τότε δὴ καὶ μάλιστά τινες οἱ ποῖοι τοὺς τρόπους ἐγένοντο διαδείκνυνται. καὶ γὰρ ἃ συνέκρυπτον αὐτοὶ πρότερον, ἐκ μέσου γενομένων ἀναφαίνεται καθαρῶς. αἰτιᾶται γὰρ πολὺ μᾶλλον τῶν ἐχθρῶν ἕκαστος αὐτοὺς οὐδὲν ἀντειπεῖν δυναμένους. οἱ δὲ δὴ φυγόντες ἐπὶ τοιαύταις αἰτίαις ὡς τὰ τῶν πολεμίων ἀεὶ πραγματευόμενοι, παντελῶς

quæ ab illis in concionibus audio iactari, tanquam noua & inaudita, & ad eas res quas inſtituunt perficiendum vtilia, cum dicunt vobis concordiam intercedere, quaſi verò non id probe vos ſciatis eam in omni Repub. ſiue bellum paretur, ſiue trãquillitas quæratur, maximam vim poſſidere. Nobis autem illud eſt inſpiciendum, ſitne ad bellum conſentiendum. Conſentiendum enim in bellis eſt: at non temerè quamuis ob cauſſam: ſed tum demum, cum volentibus bellum ſuſcipere, & ſenſibus congruere, quod omnes nouerint vires quoque ſufficientes accedunt, & copiæ in promptu ſunt. Donec verò bella molientes neque nos exercitu ſumus instructi neque illi rationes pecuniæ comparandæ demonſtrant. Sed Mineruam pro bello ſpondentem offerunt, nihil eos agere putabimus. Illum, vt dignus erat furibundus nebulo meritò repuliſtis. His verò ſufficit, ſi tantum ſibi non malum accerſant aliquod dum inuſitatas orationes dicunt, & propemodum nihil rerum nobis reliquum faciunt, immò etiam hos qui quæ iuſta ſunt præſtant inuidia proſequuntur, donec Thebanorum more Rempub. gerant & agrorum populationem. vrbis verò euerſionem importent. Non enim quoniam aduerſo loco res ſunt, ideo ne quà fiant deteriores, non eſt prouidendum.

Senatui populóque Athenienſi.

Ego ad Rempublicam acceſſi, natus annos tres & triginta, non vt criminabatur Demoſthenes, viliſſimus aliquis hiſtrio, ſed & ingenuè ſcribere doctus, & mediocriter in diſciplinis verſatus, & orationes, quales Athenis haberi decebat, non ad aſſentandum, componens. Neque ciuis vllius cauſſam, adductus pecunia, egiſſe comunicar, neque iniuriam repuliſſe. Immo neque quiſquam iniuriam mihi intulit, neque cauſſam laceſſendi cuique præbui. Neque ciuem vllum in iudicium adduxi, præter ſolum Timarchum. Neque glorior apud vos, quod cum magnam vim pecuniæ capere liceret, non ceperim, ſed vt æquum erat & iuſtum, ſecundum leges pœnas exegi. Et poſthæc iterum Cteſiphontem, multis tum per illum, tum per Demoſthenem iniuriis affectus, violatarum legum diem dixi, iuſto per Deos immortales iudicio. Et nihil mirum ſi & veſtras leges, & meam orationem Demoſthenis in dicendo vis & facultas obſcurauit. In eo verò iudicio, quo prior inſimulauit me Demoſthenes, longè grauiorum criminum his, propter quæ ſum in exilium eiectus, ſingulare licuit in vobis iudicium animaduertere, me rectè in gerenda Repub. verſari, quod neque Demoſthene accuſante redarguebar. Poſt hanc verò calamitatem, omnino me non tantum vobis, ſed omnibus etiam Græcis innotuiſſe puto. Quis enim ignorat ſicut vita defunctis hominibus ita quoque patria pulſis accidere, vt tũ maximè, quibus moribus fuerint præditi, in lucem veniat. Et quæ prius ipſi texerunt, cum de medio ſublati ſunt, dilucidè conſpiciantur. Nemo enim eſt inimicorum, qui non multò liberius crimina tum in eos conferat, cùm obiectis reſpondere non poſſunt. Qui verò tantorum ſcelerum cauſſa patria carent, quod ad hoſtium vtilitatem omnia dicta factáque retulerint prorſus omnium

omnium hominum oculis & ſuum ingenium, & animum quem in Rep. regenda geſſerint proponunt, & conſpiciendum præbent. Nam & quemadmodũ ferant miſerias, & quo animo ſint in ſuã patriam perſpicue cernitur. Nunquid igitur cum patriam Philippo prodidiſſem, & legationem falſò contra ciuitatẽ obiiſſem, quippe qui Macedonũ partes adiuueram: poſteaquàm à vobis in exilium diſceſſi protinus ad Alexandrum me contuli, vt fructum aliquem pro beneficiis ab eo perciperem, & apud ipſum vitæ meæ rectiſſimè proſpectum eſſet. Videbam enim hoſpitia poſſidentem in Bœotia Demadem, & viginti iugerum prædiorum arantem, aureiſque phialis vtentem. Hegemonem verò & Callimedontem Pellæ alterum, alterum in Berrhæa tum ampliſſimis muneribus ornatos, tum nobiliſſimarum coniugio fœminarum decoratos. Atqui nec ad Thebanos nec in Theſaliam iter mihi à nobis fuit, nec ad vllos alios, apud quos vel meam ipſe patriã inſectarer probris, vel affici contumeliis à populo audirem: ſed Rhodum conceſſi neque per Iouẽ infeſtorum vobis hominum nec alioquin inuidorum ciuitatem. Nam qui ad patriam ſuam proximè ſedes ponant, magis videntur mihi diſſimulantes ludibrio calamitatẽ habere, quam ciuitatis amore flagrare. Nam longiſſimè potius erat recedendum, ne quod ob oculos omnino monumentum verſaretur, quod animum in acerbitates coniiceret. Etenim neque Rhodi me permanere ſcitote: ſed ruri quendam exiguum locum delegi arenoſũ, & ibi fundos coemi duobus talentis, dignum ſane magnificẽtia eo, qui primùm Philippi, deinde Alexandri mercenarius fuit & phorenſes atque Græcorum libertatem Macedonibus prodidit. Hic ſedeo cum ſeptem famulis, ac duobus tantum neceſſariis, & matre, quæ nata ſeptuageſimum tertium annum, vna mecum abnauigauit, vt miſeriarum à vobis mihi impoſitarum particeps eſſet itemque cum vxore quæ prolubente patre mecum egreſſa eſt, legibuſque manere fortaſſe cogentibus, magis Reipublicę morum quam legum perita denique cum tribus liberis, qui nondum etiam ſuum infortunium ſentiunt, neque qualem ipſis in hanc lucem editis patriam deus Athenienſium vrbem dederit, & qualem rurſus, nuper nati amiſerint. Atque alij, quod videmus, liberos ſuos vel in Bæotia vel in Ætolia natos, in veſtram ciuitatem literarum & eruditionis cauſa mittunt, Quibus verò hoc à natura collatum fuerat beneficium; non nouitij ciuis, aut turpium ſcelerum condemnati filiis: hi nondum exuta infantia, ſunt in exilium pulſi & educantur pauperes in ſolitudine fugáque paterna. De Lycurgi liberis autem Demoſthenes ad vos retulit & rectè quidem orauit, vt ne paternum crimen fraudi liberis eſſet, Atque vos morem Athenienſium ſequentes & miſericordia moti, hoc eis conceſſiſtis. Nam & ad iraſcendum pariter & ad præſtandam rurſus gratiam flexibiles animos gerere conſueuiſtis. Ego verò meorum ipſius liberorum nomine deprecãdo non tantum potero, vt impetrem taceo ne in orbitate tollantur: ſed ne ſimul & orbi & exules à patria abſint; qui nec iniuriã adhuc infantes facere potuerunt;

δεικνύουσι καὶ τοὺς τρόπους, καὶ τὰς ἐν τῷ πολιτεύεσθαι διαγενομένας αὐτοῖς γνώμας καταφανεῖς. καὶ γὰρ ὅπως φέρουσι τὰς συμφορὰς, καὶ ὡς διάκεινται πρὸς τὰς ἑαυτῶν πατρίδας, ἐξετάζονται σαφῶς. ἆρ' οὖν ὡς καὶ Φιλίππῳ προδοὺς τὴν ἐμαυτοῦ πατρίδα, καὶ παραπρεσβεύσας τοιαῦτα κατὰ τῆς πόλεως ὡς δὴ θεραπεύσας μακεδόνας, ἐπειδὴ τάχιστα φεύγων παρ' ὑμῶν ᾠχόμην, πρὸς ἀλέξανδρον ἀπηλλάγην, χάριν τιν' ὧν παρεσχόμην αὐτῷ κομιούμενος, καὶ προμηθείας δηλονότι τευξόμενος παρ' αὐτῷ; καὶ οὐκ ᾔδειν ὅπως εἶχ' ἑώρων τὰ μὲν ἐν Βοιωτίᾳ πανδοκεῖα δημάδην ἔχοντα; καὶ χωρία ζευγῶν εἴκοσιν ἀροῦντα, καὶ χρυσᾶς ἔχοντα φιάλας. ἡγήμονα δὲ καὶ καλλιμέδοντα, τὸν μὲν, ἐν πέλλῃ, τὸν δὲ, ἐν Βερροίᾳ. καὶ δωρεὰς ἅμα εἰληφότας. καὶ γυναῖκας εὐπρεπεστάτας γεγαμηκότας. καὶ μὴν οὐδὲ πρὸς θηβαίους οὐδ' εἰς θετταλίαν ᾠχόμην παρ' ὑμῶν. οὐδὲ πρὸς ἄλλους τινὰς, παρ' οἷς ἢ λοιδορεῖν ἔμελλον τὴν πατρίδα τὴν ἐμὴν ἢ λοιδορουμένην αὐτὴν ἀκούειν. ἀλλ' εἰς ῥόδον ἀφικόμενος οὐ μὰ τὸν δία δυσμενῶν ὑμῖν, οὔτ' ἄλλως φιλαπεχθημόνων ἀνθρώπων πόλιν. τὸ μὲν γὰρ ἔγγιστα τῆς ἑαυτοῦ πατρίδος ἱδρῦσθαι, κατειρωνευομένου ἐμοί γε τῆς συμφορᾶς εἶναι μᾶλλον ἢ στέργοντος ἐδόκει τὴν πόλιν· ὡς πορρωτάτω γὰρ μᾶλλον αὐτῆς ἐχρῆν ἀπιέναι. καὶ μηδὲν ἐν τοῖς ὀφθαλμοῖς ὑπόμνημα ἔχειν. ὃ τὴν γνώμην ἀμύξει. καὶ γὰρ οὐδ' ἐνταῦθα μείνας ἐν ῥόδῳ φανείην ἄν. ἀλλὰ τῆς στερεᾶς ἑλόμενός τι μικρὸν φρούριον ἀμμῶδες, κἀνταῦθα πριάμενος χωρία τοσούτων ταλάντων δυοῖν, ὅσων εἰκὸς ἦν τὸν φιλίππου μὲν πρότερον, εἶτ' ἀλεξάνδρου μισθωτὸν ὕστερον γεγενημένον καὶ φωκέας προδόντα. καὶ τὴν τῶν ἑλλήνων ἐλευθερίαν μακεδόσι, κάθημαι μεθ' ἑπτὰ θεραπόντων ἐνταῦθα καὶ δυοῖν μόνον γνωρίμων καὶ τῆς μητρὸς τρίτον ἔχουσα καὶ ἑβδομηκοστὸν ἔτος, ἣ ἔπλευσε σὺν ἐμοὶ μεθέξουσα τῆς δι' ὑμᾶς μοι συμφορᾶς γενομένης. καὶ μετὰ γυναικὸς, ἣ συνεξέπεσέ μοι κωλύοντος αὐτὴν τοῦ πατρὸς καὶ μένειν ἴσως ἀναγκαζόντων τῶν νόμων τὸν τρόπον τῆς πόλεως μᾶλλον ἢ τοὺς νόμους ἐπισταμένη. καὶ μετὰ τριῶν παίδων οὐδέπω καὶ νῦν τῆς ἑαυτῶν συμφορᾶς ἐπαισθομένων. οὐ δὲ ὁποίαν αὐτοῖς ὁ θεὸς ἔδωκε γενομένοις πατρίδα τὴν ἀθηναίων πόλιν, ὁποίαν δ' εὐθέως γενόμενοι ἀφῄρηνται πόλιν. καὶ ἕτεροι μὲν ὡς ἔοικε τοὺς ἑαυτῶν παῖδας ἢ τοὺς ἐν βοιωτίᾳ γεννηθέντας ἢ ἐν αἰτωλίᾳ, πρὸς ὑμᾶς πέμπουσι, τῆς αὐτόθι παιδείας μεθέξοντας. οἷς δὲ ταῦτα παρὰ τῆς φύσεως ὑπῆρξεν, οὐ δημοποιήτου πατρὸς ὄντι, οὐδ' ἐπ' αἰτίαις αἰσχραῖς ἑαλωκότος, φεύγουσιν ἔτι νήπιοι. καὶ τρέφονται πένητες, ἐν ἐρημίᾳ τε καὶ φυγῇ πατρῴᾳ. καὶ περὶ μὲν τῶν λυκούργου παίδων δημοσθένης ὑμῖν ἐπέστελλε καὶ δεῖται καλῶς ποιῶν χαρίζεσθαι τὸ πατρῷον αὐτοῖς ὄφλημα· καὶ ὑμεῖς οὐδὲν, ἀλλ' ἢ ἀθηναίων ἔργον, ἐλεήσαντες αὐτοὺς καὶ χαρισάμενοι ἐποιήσατε. καὶ γὰρ ὀργίζεσθαι ῥᾳδίως ὑμῖν ἔθος ἐστὶ καὶ χαρίσασθαι πάλιν. ἐγὼ δὲ ὑπὲρ τῶν ἐμαυτοῦ παίδων οὐκ ἂν ὑμᾶς πείσαιμι, δεόμενος ὥς μοι μὴ μόνον ἐν ὀρφανίᾳ τραφῶσιν, ἀλλ' ὀρφανοὶ ἅμα καὶ φυγάδες ὦσιν οὐδὲν ἀδικήσαντες παῖδες ὄντες;

ἀλλ' οὐδ' ἄλλως ἑαλωκότες· τὰ μὲν τοῖς τῶν ἑαλωκότων, πάντα πεπονθότες. εἶτα τελευτήσαντος ἀναμνήσθητέ μου καὶ χαρίσασθε τὰς δεήσεις τῷ προσέχοντες ἡμῖν. ἀλλὰ καὶ πρᾶξατε ἄνδρες Ἀθηναῖοι καὶ πείθητε τὰ συνήθη ὑμῖν αὐτοῖς· καὶ μέτρια ποιοῦντες. οὐ γὰρ ἂν δὴ τρόπον ὅπως ἀνῆτε, καὶ καταλύσαιτε τὴν τῆς πόλεως δόξαν ἣν ἐπὶ χρηστότητι μείζω καὶ φιλανθρωπίᾳ δικαιοσύνης ἔχει. ἢ ταῖς ἄλλαις πάσαις ἣν πόλεσιν. οὐδ' ἂν Μελάνωπος ἰσχύει πλεῖον, κωλύων ὑμᾶς μιμεῖσθαι τὴν ἑαυτῶν χρηστότητα καὶ φιλανθρωπίαν, ἢ προτρέπων. ἀλλ' οὐκ Αἰσχίνης οὐδαμῶς μὰ τοὺς θεοὺς οὐ γὰρ αὐτάρκης, οὐδ' ἱκανῶς πείθειν ἔγωγε τὴν πατρίδα τὴν ἐμήν, καὶ μάλιστα νῦν ἐμαυτοῦ χάριν πείθειν δοκεῖν· ἀλλ' ὁ τῆς πόλεως τρόπος καὶ τὸ πάλαι ὑμῶν ὄνομα καὶ τὸ τῶν προγόνων ἦθος ὃ ἀναγκαιότερον δήπουθεν ἢ Μελανώπου καθ' ἡμῶν διομένου προσέχειν.

Τῶν Αἰσχίνου τοῦ ῥήτορος ἐπιστολῶν τέλος.

& quamuis non damnati, damnationis tamen omnes miſerias pertulerunt. Quamobrem ſubeat aliqua tandem nobis mei recordatio, nunc meis precibus animo ſententiáque fauete, voluntatē veſtrā re & euētu declarate, patimini vos ad æqua conſuetáque facienda adduci. Nec enim à conſuetudine recedetis aut ciuitatis gloriam quapropter æquitatem & clementiam ſemper omnibus reliquis rebus publicis præſtitit, violatis neque Melanopus plus proficiet deterrendo vos ab vſitatæ lenitatis & iuſtitiæ imitatione, quàm ad eam adhortando: non AEſchines dicam per Deos immortales (: Non enim ego ſum tantis viribus, tantáque dicendi facultate præditus, vt meam patriam queam perſuadere, maximéque cùm mea nūc agatur cauſa.) Sed mos Reipublicæ, nomen veſtrum antiquum, & maiorum inſtitutum, quæ ſane magis quam Melanopum aduerſus nos quæſtionem ferentem ſequi conuenit.

Eſchynis oratoris Epiſtolarum Finis.

ΙΣΟΚΡΑΤΟΥΣ ΕΠΙΣΤΟΛΑΙ
ΦΙΛΙΠΠΩ.

ISOCRATIS EPISTOLAE
PHILIPPO.

Εἰ μὲν νεώτερος ἦν, οὐκ ἂν ἐπιστολὴν ἔπεμπον, ἀλλ' αὐτὸς ἄν σοι πλεύσας ἐνταῦθα διελέχθην. ἐπειδὴ δ' οὐ κατὰ τοὺς αὐτοὺς χρόνους, ὅ, τε τῆς ἡλικίας τῆς ἐμῆς καιρὸς καὶ ὁ τῶν πραγμάτων συμβέβηκεν, ἀλλ' ἐγὼ μὲν προαπείρηκα, τὰ δὲ πράγματα νῦν ἀκμὴν εἴληφεν, ὡς οἷόν τέ ἐστιν ἐκ τῶν παρόντων, οὕτω σοι πειράσομαι δηλῶσαι περὶ αὐτῶν. οἶδα μὲν οὖν ὅτι τοῖς συμβουλεύειν ἐπιχειροῦσι, πολὺ διαφέρει μὴ διὰ γραμμάτων ποιεῖσθαι τὴν συνουσίαν, ἀλλ' αὐτοὺς πλησιάσαντας. οὐ μόνον ὅτι περὶ τῶν αὐτῶν πραγμάτων ῥᾷον ἄν τις παρὼν πρὸς παρόντας φράσειεν, ἢ δι' ἐπιστολῆς δηλώσειεν, οὐχ ὅτι πάντες τοῖς λεγομένοις μᾶλλον ἢ τοῖς γεγραμμένοις πιστεύουσι, καὶ τῶν μὲν ὡς εἰσηγημάτων, τῶν δ' ὡς ποιημάτων ποιοῦνται τὴν ἀκρόασιν, ἀλλὰ πρὸς τούτοις ἐν μὲν ταῖς συνουσίαις, ἢν ἀγνοηθῇ τι τῶν λεγομένων ἢ μὴ πιστευθῇ, παρὼν ὁ τὸν λόγον διεξιὼν, ἀμφοτέροις τούτοις ἐπικουρεῖ. ἐν δὲ τοῖς ἐπιστελλομένοις ἄν τι συμβῇ τοιοῦτον, οὐκ ἔστιν ὁ διορθώσων. ἀπόντος γὰρ τοῦ γράψαντος, ἔρημα τοῦ βοηθήσοντός ἐστιν. οὐ μὴν, ἀλλ' ἐπειδὴ σὺ μέλλεις αὐτῶν ἔσεσθαι κριτὴς, πολλὰς ἐλπίδας ἔχω φανεῖσθαι λέγοντας ἡμᾶς τι τῶν δεόντων. ἡγοῦμαι γὰρ ἁπάσας ἀφελόντα σε τὰς προειρημένας δυσχερείας, αὐταῖς ταῖς πράξεσι προσέξειν τὸν νοῦν. καίτοι τινές ἤδη με τῶν σοὶ πλησιασάντων, ἐφόβησαν ἐπιχειρήσαντα λέγοντες, ὡς διὰ τοὺς μὲν κολακεύοντας τιμᾷς, τῶν δὲ συμβουλευόντων καταφρονεῖς. ἐγὼ δ' εἰ μὲν ἀποδεχόμενος τοὺς λόγους τοὺς ἐκείνων, πολλὴν ἂν ἡσυχίαν εἶχον. νῦν δ' οὐδεὶς ἄν με πείσειεν ὡς οἷόν τ' ἐστὶ τοιοῦτον εἶναι ταῖς πράξεσι

Sitam eſſem ætate iuuenis quā ſenex non ad te literas darem: Sed hinc naui confeſtim veherer, & coram de rebus præſentibus tecum diſcererem verùm quoniam non in idem tempus & meæ iuuentutis opportunitas & harum occaſio rerum inciderunt: Sed mea nunc ætas conſenuit, & prope decurſa negotiorum verò adminiſtratio quaſi in flore medio, verſatur quantum præſentia tempora patientur, de his tecum agere conabor. Nec verò me latet plurimum eorum, qui ſuadere quippiam aggrediuntur, intereſſe, non per literas, ſed coram ſua præſentia rem tranſigi: non ſolum quod de rebus iiſdem facilius eſt præſentes cum præſentibus colloquia miſcere, quàm per literas ſuam oſtendere, & quod dictis quàm ſcriptis maior ab omnibus fides adhibetur, & illa pro veris hæc pro falſis plærúmque habentur: Verumetiam quod in congreſſibus, cum dictorum quiddam aut minus intelligitur: aut non creditur: vtriſque his autor orationis præſens mederi & ſuccurrere poteſt. In ſcribēdo verò ſi quid eiuſcemodi contingat, nemo eſt qui emēdet. Cum enim abeſt is qui ſcripſit, auxilio res caret. Veruntamen cùm tu ſis mearum literarum futurus iudex, in ſpem venio, quæ ſcribam, ponderis alicuius apud te viſum iri. Credo enim te remotis omnibus hiſce impedimentis, mentem rebus ipſis intenturum. Nonnulli verò qui tecum fuerunt, deterrere me ab inſtituto conati ſunt affirmantes aſſentationem apud te plurimum valere, conſilia verò contemni. Quorum ego ſi orationi acquieſcerem verbum ſane nullum facerem. At nemo mihi perſuadebit, poſſe aliquem tantum & rebus gerendis & animo

& animo præſtare, qui non diſcipulum, auſcultatorem & remuneratorem ſe benignum præbeat, ac ab omnibus admittat & colligat quibus mentem excolere & confirmare poſſit. Quamobrem adductus ſum, vt hæc ad te ſcriberem. Cùm igitur de rebus arduis & ex omnibus mortalibus ad te potiſſimum pertinentibus, ſim dicturus, operæprecium putaui te ſic adhortari, vt ſcriptis animum aduerteres. Non enim ego ducor ambitione, neque te talibus abundare neſcio præterea id quoque conſtat inter omnes his qui ſpecimen aliquod ſuæ eloquentiæ volunt edere, publica Græcorum omnia concilia propoſita eſſe. Nam ibi ſuæ facundiæ laus omnes diſſeminari poteſt. Qui verò rem aliquam agendo perficere animum induxerunt, hos ad eum verbà facere oportere, qui rebus oratione demonſtratis, celerrimè manum admoueat & finem imponat. Si igitur cum aliqua ciuitate res eſſet ad eius optimates ſermonem conſerrem. Iã verò cùm de Græcorum omnium ſalute & incolumitate ſuadere ſuſceperim, quem iuſtius compellabo quàm eum qui principe loco natus, maximam potentiam & copias poſſidet. Neque verò nos intempeſtiuè rerum harum apud te mentionem inducere videbimur cùm enim Lacedæmonij ſummam rerum tenerẽt non facilè poterat vllam curam de hoc noſtro loco ſuſcipere, vel illis aduerſari, ſed cõtentus erat, ſi illi ſe ſuis finibus continerent. Noſtra verò ciuitas libenter ſe tibi ſemper adiutricem impertiet ſi quid in Græciæ totius vtilitatem geras. Quid poteſt igitur vllum tempus opportunius hoc præſenti contingere? Nec verò te mirum habeat, quid ſit quod ego neque concionator neque militiæ princeps, neque iudex rem tam difficilem moliar & duo ferè maxima ſuſcipere non erubuerim, pro Græciæ ſalute verba facere tibi ſuadere. Nam tametſi me ſtatim publicis magiſtratibus abdicaui (quamobrem verò dicere longum eſſet.) tamen eius doctrinæ, quæ leuioribus poſthabitis, in rebus magnis conſumitur, non expers aut imperitus fui. Proinde non eſt diſſimile vero poſſe me quid vtile ſit, perſpicere præ cæteris, qui Rempub. tunc adminiſtrarunt, & magnum ex eo ſibi nomen pepererunt. Declarabimus autem, quantum nobis tribuendum ſit, non veſtitu & pallio, ſed his quæ dicturi ſumus.

Iſocrates Iaſonis filys Salutem.

NVnciauit mihi quidam ex iis, qui legati fuerant ad nos miſſi, quod eum ſeorſum à cæteris auocatum, interrogaueritis, ecquid adduci poſſem, vt peregrinationem ſuſciperem & apud vos vitam agerem. Equidem ego propter hoſpitij cũ Iaſone & Polyace veterem coniunctionem atque ius cupidiſſimus eſſem ad vos veniendi. Certum enim habeo conſortium illud nobis omnibus profuturum: Sed mihi non vnum obſtat impedimentum primum quòd vagari non poſſum, neque peregrinationes meam ætatem decent. Deinde quod omnes qui meam profectionem audirent, merito me contemptui haberent, qui cùm reliquum omne tempus in otio conſumpſiſſent, nunc in extrema ſenectute peregrinationibus me dederem, quando, ſi maximè prius alibi

καὶ τῇ γνώμῃ διενεγκεῖν, ἵνα μὴ μόνης τῶν μὲν μαθητὴς, τῶν δ' ἀκροατὴς, τῶν δ' εὐεργέτης γένηται, καὶ πανταχόθεν προστατῇ καὶ συλλέξηται, δι' ὧν οἷόν τε δεῖν ἀσκῆσαι τὴν αὐτοῦ διάνοιαν. ἐπήρθην μὲν οὖν ἐπιστέλλειν σοι διὰ ταῦτα. λέγειν δὲ μέλλων περὶ πραγμάτων καὶ μεγάλων, καὶ περὶ ὧν οὐδενὶ τῶν ὄντων ἀκοῦσαι μᾶλλον ἢ σοὶ προσήκει, νομίζω δεῖν με προθύμως ἅπαν σοι διεξελθεῖν, ἵνα γένῃ συγχειρήματος ἀκροατής. οὐ γὰρ νῦν ἐγὼ τυγχάνω φιλοτιμίας ὀρεγόμενος, οὔτε σὺ λανθάνεις ἡμᾶς πλήρης ὢν τῶν τοιούτων. πρὸς δὲ τούτοις ἐκεῖνο πᾶσι φανερὸν, ὅτι τοῖς μὲν ἐπιδείξεσι χρωμένοις αἱ πανηγύρεις ἁρμόττουσιν. ἐκεῖ γὰρ ἄν τις ἐν πλείστοις τὴν αὐτοῦ δύναμιν διασπείρειε. τοῖς δὲ διαπράξασθαί τι βουλομένοις, πρὸς τοῦτον διαλεκτέον, ὅστις τάχιστα μέλλει τὰς πράξεις ἐπιτελεῖν, τὰς ὑπὸ τοῦ λόγου δηλωθείσας. εἰ μὲν οὖν μιᾷ τινι τῶν πόλεων εἰσηγεῖσθαι ἐβουλόμην, πρὸς τοὺς ἐκείνης προεστῶτας τοὺς λόγους ἂν ἐποιούμην. ἐπειδὴ δ' ὑπὲρ τῆς τῶν Ἑλλήνων σωτηρίας παραινεῖν δύναμαι συμβουλεύειν, πρὸς τίν' ἂν δικαιότερον διαλεχθείην, ἢ πρὸς τὸν προέχοντα τῷ γένει καὶ μέγιστον ἔχοντα δύναμιν; καὶ μὴν οὐδ' ἄκαιροι φανησόμεθα μεμνημένοι περὶ τούτων. ὅτε μὲν γὰρ Λακεδαιμόνιοι τὴν ἀρχὴν εἶχον, οὐ ῥᾴδιον ἦν ἐπιμεληθῆναί σοι τῶν περὶ τὸν τόπον τὸν ἡμέτερον. οὐδὲ τούτοις ἐναντία πράττειν προῄρηντο, ὥστ' ἀγαπᾶν ἦν τὴν χώραν τὴν αὐτῶν ἔχοντας. ἡ δ' ἡμετέρα πόλις, ἡδέως ἂν αὐτήν σοι παράσχοι συναγωνιζομένην ἤν τι πράττῃς ὑπὲρ τῆς Ἑλλάδος ἀγαθόν. πῶς οὖν ἂν γένοιτο κάλλιον καιρὸς τοῦ νῦν σοι παρόντος; καὶ μὴ θαυμάζῃς εἰ μήτε δημηγορῶν μήτε στρατηγῶν, μήτ' ἄλλως δυνάστης ὤν, ὅπως ἐμβριθῶς ἁρμόττων πράγματι δυοῖν ἐπιχειρῶ τοῖν μεγίστοιν, ὑπέρ τε τῆς Ἑλλάδος λέγειν καὶ σοὶ συμβουλεύειν. ἐγὼ γὰρ τῶν μὲν πράττειν τι τῶν κοινῶν εὐθὺς ἐξέστην. δι' ἃς δὲ προφάσεις, πολὺ ἂν εἴη ἔργον λέγειν. τῆς δὲ παιδεύσεως τῆς τῶν μὲν μικρῶν καταφρονούσης, τῶν δὲ μεγάλων ἐφιεμένης πειρωμένης, οὐκ ἂν φανείην ἄπειρος γεγενημένος. ὥστ' οὐδὲν ἄτοπον εἰ τὸ συμφέρον ἰδεῖν ἂν μᾶλλον δυνηθείην τῶν ἐκεῖ μὲν πολιτευομένων μεγάλην δὲ δόξαν ἐχόντων. δηλώσομεν δ' οὐκ εἰς ἀναβολὰς, οἵτινες ἄξιοι τυγχάνομεν ὄντες, ἀλλ' ἐκ τῶν ῥηθήσεσθαι μελλόντων.

Ἰσοκράτης τοῖς Ἰάσονος παισὶ χαίρειν.

ΑΠήγγειλέ τις μοι τῶν πρεσβευσάντων ὡς ὑμᾶς, ὅτι καλέσαντες αὐτὸν ἄνευ τῶν ἄλλων, ἠρωτήσατε εἰ πεισθείην ἀποδημῆσαί τε καὶ διατρῖψαι παρ' ὑμῖν. ἐγὼ δ' ἕνεκα μὲν τῆς Ἰάσονος καὶ Πολυάλκους ξενίας, ἡδέως ἂν ἀφικοίμην ὡς ὑμᾶς. οἶμαι γὰρ ἂν τὴν ὁμιλίαν τὴν γενομένην ἅπασιν ἡμῖν συνενεγκεῖν, ἀλλ' ἀντεμποδίζει με πολλά. μάλιστα μὲν τὸ μὴ δύνασθαι πλανᾶσθαι. καὶ τὸ μὴ πρέπειν ἐπιξενοῦσθαι τοῖς τηλικούτοις. ἔπειτα δ' ὅτι πάντες οἱ πυθόμενοι τὴν ἀποδημίαν, δικαίως ἄν μου καταγελάσειαν. εἰ προῃρημένος τὸν ἄλλον χρόνον ἡσυχίαν ἄγειν, ἐπὶ γήρως ἀποδημεῖν ἐπιχειροίην, ὅτ' εἰκὸς εἰ καὶ πρότερον ἀλλοσέ ποι διέτριβον, νῦν οἴκαδε σπεύδειν.

ὑπογήρως τῆς τελευτῆς οὔσης· πρὸς δὲ τούτοις φοβοῦμαι καὶ τὴν πόλιν. χρὴ γὰρ τἀληθῆ λέγειν. ὁρῶ γὰρ τὰς συμμαχίας τὰς πρὸς αὐτὴν γενομένας, ταχέως διαλυομένας. εἰ δή τι συμβαίη καὶ πρὸς ὑμᾶς τοιοῦτο, πῶς ἂν καὶ τὰς αἰτίας καὶ τοὺς κινδύνους διαφυγεῖν δυνηθείην; ὃ χαλεπόν ἐστιν. ἀλλ' οὐκ αἰσχυνθείην ἂν, εἰ τὸ διὰ τὴν πόλιν δόξαιμι τισὶν ἀμελεῖν ὑμῶν. εἴτε δι' ὑμᾶς τῆς πόλεως ὀλιγωρεῖν, μὴ κοινοῦ δὲ τοῦ συμφέροντος ὄντος οὐκ οἶδ' ὅπως ἀμφοτέροις ἀρέσκειν δυνηθείην. αἱ μὲν οὖν αἰτίαι δι' ἃς οὐκ ἔξεστί μοι ποιεῖν ἃ βούλομαι, τοιαῦται συμβεβήκασιν. οὐ μὴν περί γε τῶν ἐμαυτοῦ μόνον ἐπιστείλας, οἴομαι δεῖν ἀμελῆσαι τῶν ὑμετέρων. ἀλλ' ἅπερ ἂν παραγενόμενος πρὸς ὑμᾶς διελέχθην, πειράσομαι καὶ νῦν περὶ τῶν αὐτῶν τούτων ὅπως ἂν δύνωμαι διεξελθεῖν. μηδὲν δ' ὑπολάβητε τοιοῦτον, ὡς ἄρ' ἐγὼ ταύτην ἔγραψα τὴν ἐπιστολὴν, οὐχ ἕνεκα τῆς ὑμετέρας ξενίας, ἀλλ' ἐπίδειξιν ποιήσασθαι βουλόμενος. οὐ γὰρ εἰς τοῦθ' ἥκω μανίας, ὥστ' ἀγνοεῖν ὅτι κρεῖττον μὲν γράψαι τῶν πρότερον διαδεδομένων οὐδ' ἂν δυναίμην τοσοῦτον τῆς ἀκμῆς ὑστερῶν. χεῖρον δ' ἐξενεγκὼν, πολὺ φαυλοτέραν ἂν λάβοιμι δόξαν τῆς νῦν ἡμῖν ὑπαρχούσης. ἔπειτ' εἴπερ ἐπιδείξει προσεῖχον τὸν νοῦν, ἀλλὰ μὴ πρὸς ὑμᾶς ἐσπούδαζον, οὐκ ἂν ταύτην ἐξ ἁπασῶν προειλόμην τὴν ὑπόθεσιν. περὶ ἧς οὐ χαλεπόν ἐστιν ἐπιεικῶς εἰπεῖν. ἀλλὰ πολὺ καλλίους ἑτέρας ἂν εὗρον καὶ μᾶλλον λόγον ἐχούσας. ἀλλὰ γὰρ οὔτε πρότερον οὐδεπώποτε ἐφιλοτιμήθην ἐπὶ τούτοις, ἀλλ' ἐφ' ἑτέροις μᾶλλον, ἃ τοὺς πολλοὺς διαλέληθεν, οὔτε νῦν ταύτην ἔχων τὴν διάνοιαν ἐπραγματευσάμην. ἀλλ' ὑμᾶς μὲν ὁρῶν ἐν πολλοῖς καὶ μεγάλοις πράγμασιν ὄντας. αὐτὸς δὲ ἀποφήνασθαι βουλόμενος, ἣν ἔχω γνώμην περὶ αὐτῶν, ἡγοῦμαι συμβουλεύειν μὲν ἀκμὴν ἔχειν· αἱ γὰρ ἐμπειρίαι παιδεύουσι τοὺς τηλικούτους, καὶ δοκοῦσι μᾶλλον τῶν ἄλλων δύνασθαι καθορᾶν τὸ βέλτιστον. εἰπεῖν δὲ περὶ τῶν προτεθέντων ἐπιχαρίτως καὶ μουσικῶς, καὶ διαπεπονημένως, οὐκ ἔτι τῆς ἡμετέρας ἡλικίας ἔργον ἐστίν. ἀλλ' ἀγαπῴην ἂν εἰ μὴ παντάπασιν ἐκλελυμένως διαλεχθείην περὶ αὐτῶν. μὴ θαυμάζητε δ' ἄν τι φαίνωμαι λέγων ὧν πρότερον ἀκηκόατε. τῶν μὲν γὰρ ἴσως ἄκων ἂν τύχοιμι. τὰ δὲ καὶ προειδὼς εἰ πρέπει ἐστί, λέγειν προσλάβοιμι. καὶ γὰρ ἂν ἄτοπος εἴην εἰ τοὺς ἄλλους ὁρῶν τοῖς ἐμοῖς χρωμένους, μόνος ἀπεχοίμην τῶν γ' ὑπ' ἐμοῦ πρότερον εἰρημένων. τούτων δ' ἕνεκα ταῦτα προεῖπον, ὅτι τὸ πρῶτον ἐπιφαινόμενον ἐν τῶν θρυλλουμένων ἐστίν. εἴθισμαι γὰρ λέγειν πρὸς τοὺς περὶ τὴν φιλοσοφίαν τὴν ἡμετέραν διατρίβοντας, ὅτι τοῦτο πρῶτον δεῖ σκέψασθαι, τί τῷ λόγῳ καὶ τοῖς μέρεσι τοῦ λόγου διαπρακτέον ἐστίν. ἐπειδὰν δὲ τοῦθ' εὕρωμεν καὶ διακριβωσώμεθα, ζητητέον εἶναί φημι τὰς ἰδέας δι' ὧν ταῦτα ἐξεργασθήσεται καὶ λήψεται τέλος ὅπερ ὑποθέμεθα, καὶ ταῦτα φράζομεν ἐπὶ τῶν λόγων. ἔστι δὲ τοῦτο τὸ στοιχεῖον καὶ κατὰ τῶν ἄλλων ἁπάντων καὶ κατὰ τῶν ὑμετέρων πραγμάτων. οὐδὲν οἷόν τε ἐστὶ πραχθῆναι νοῦν ἐχόντως, ἐὰν μὴ τοῦτο πρῶτον μετὰ πολλῆς προνοίας λογισθῇ καὶ βουλευθῇ, πῶς χρὴ τὸ ἐπίλοιπον χρόνον

vixiſſem impendente mihi morte domum & in patriam feſtinare dum eſſet. Inſuper ciuitatem etiam timeo. Neceſſe eſt enim vera fateri. Nam video ſocietates cum ipſa initas, non diuturnas eſſe ſolere. Quod ſi nobiſcum id contingeret, qua ratione tandem aut calumniam, aut pericula poſſem effugere: quod ſanè grauiſſimum eſt: vel cur me non puderet, ſi vel Reipublicæ cauſſa, nos relinquere quibuſdam viderer, aut veſtri cauſſa Rempubl. deſerere. Nam cum non eſſet vnum commune commodum, qui tandem vtriſque placere poſſem? Cauſſæ igitur, ob quas licitum mihi non eſt, quæ nolo, præſtare, tales acciderunt. Non autem de meis ſcribendum ſolummodo & de veſtris tacendum arbitror: ſed quæ ſi præſto eſſem, nobiſcum loquerer, hæc ipſa nunc, pro viribus exponere conabor. Nec verò ſuſpicamini, literas has à me non tam hoſpitij, quàm oſtentationis cauſſa ſcriptas eſſe. Non enim tam ſum ratione deſtitutus, vt neſciam, non poſſe me nunc ætate deficiente ſplendidius aliquid ſcribere, his, quæ prius à me ſunt exhibita, & ſi nunc deterius proferrem aliquid, multum de fama qua iam ante floruimus detractum iri. Adhæc ſi ſpecimen duntaxat edere vellem, nec de ſeriis rebus ad nos ſcribere, non hanc vnam ex omnibus materiam delegiſſem: de qua quanquam abundè dicere non eſt difficile: tamen alias multo ſplendidiores & copioſiores inueniſſem. At verò neque prius vnquam hæc me ſollicitum habuerunt: ſed alia potius, quæ vulgus ignorabat, neque iam hoc animo negotium præſens aggreſſus ſum: Sed cùm videam in rebus permagnis & arduis nos verſari, volens meam de iis ſententiam nobis planam facere, puto me conſiliis etiamnum inſtructum eſſe: (Nam hanc ætatem experientia ſolet erudire, videntúrque melius reliquis, quid in vnaquaque re ſit optimum, animaduertere poſſe:) At de propoſitis iucundam concinnam & elaboratam orationem inſtituere, non amplius ætas noſtra patitur: Sed contentus eſſem, ſi non prorſus diſſolutè de ipſis differerem. Ne miremini, ſi quid dicturus ſum, quod prius etiam audiueritis. Nam partim forſitan imprudens effutiuerim, partim verò quod conueniet, id etiam prudens ad dicendum aſſumpſerim. Stultus enim eſſem, ſi cum videam alios meis vtentes, ipſe ſolus ea, quæ priùs à me dicta ſunt, vitarem & ab iis abſtinerem. Hæc autem idcirco dicta ſint, quod primum ſeſe vnum de vulgatis offert. Nam ad eos, quos in philoſophiæ noſtræ præceptis inſtituo, dicere conſueui, primum hoc attendendum eſſe, quid oratione & partibus orationis oporteat efficere. Poſtquam hoc inuentum & examinatum ſit, quærendum eſſe formas eas, quibus hæc efficiantur, & id quod propoſitum ſit, ad finem perducatur. Et hæc in orationibus docemus. Eſt autem hæc regula cùm in aliis omnibus, tum etiam in veſtris rebus tenenda. Nihil enim prudenter inchoari poteſt, niſi primum illud exquiſita diligentia reputatum conſideratúmque ſit. Quomodo nos ipſos in poſterũ

gerere

gerere velitis, quam vitæ conditionem ſequi, cuiuſmodi gloriam affectare, & quibus honoribus delectari, vtrum iis qui ab inuitis exprimuntur, an qui ſponte à ciuibus habentur. Cum hæc diſcreta fuerint, tum ſeparatim in quotidianis actionibus conſiderandum eſt, vt ad rationem ab initio conſtitutam congruant. Et ad hunc modum quærendo meditandóque quaſi ſcopum propoſitum ita ſententiam attingetis & vtilitatis maximè rationem habebitis. Sin certam eiuſmodi nullam ſententiam conſtituetis, ſed ad quoduis obuium rapiemini, neceſſe eſt vt & cogitationibus erretis, & multis in rebus operam perdatis.

FOrtaſſis autem ex his, qui temerariam viuendi viam inſtituerũt, eiuſmodi rationes aliquis carpendo labefactare conabitur & me de prædictis ita vt monui conſilium dare iubebit. Quare danda eſt opera, vt liberè meam de hiſce ſentẽtiam pronunciem. Mihi enim Idiotarum vita ſecurior & melior quàm Tyrannorum eſſe videtur. Etiam de honoribus dicere aggrediar. Non autem me clàm eſt, multos fore mihi aduerſarios & maximè eos, qui veſtra conſuetudine vtuntur. Hi enim, vt arbitror, non leuiter ad capeſſendam Tyrannidem nos inflammant. In cauſſa eſt, quod rei naturam non penitus introſpiciendo ſibi ipſis imponunt. Nam in poteſtates, lucrum & voluptates oculos intendunt, & ex his fruitionem expectant. Cæterum ſedit ones, timores & calamitates, quibus principes & amici ipſorum implicantur non cernunt. Sed idem planè faciunt, quod ij qui ad turpiſſima ac nefanda ſcelera accedunt. Nam illi malum, quod in rebus ineſt non ignorant: at ſperant ſe tantummodo quod bonum eſt, excerpturos: pericula verò, maláque quæ permixta ſunt declinaturos: & ſic ſua gubernaturos, vt procul à periculis abſint: & vtilitatibus maximè appropinquent. Eos igitur, qui ſic animis affecti ſunt, propter incuriam quidẽ & ſecuritatem fœlices iudico. At meipſum hercle puderet, ſi conſulens aliis, ipſorum cauſſa relicta meam rem & commodum agerem: ſed potius poſthabito priuato emolumento, reliquiſque omnibus, optima ſuaderem. Proinde mea nunc in eam partem accipite, vt ab eiuſmodi animo ſententiáque profecta cogitetis.

Iſocrates Philippo Salutem.

NOn me fugit, maiorem ab omnibus gratiam, eos qui laudant quàm qui ſuadent inire ſolere: præſertim: ſi quis hoc faciat iniuſſus. Ego verò, niſi te prius ſumma cùm beneuolentia fuiſſem adhortatus, vt ea, quæ maximè te decere videbantur faceres, iam fortaſſe de iis quæ ad te pertinent diſſererem. Verùm cùm de tuis rebus curam ſuſceperim, & meæ ciuitatis cauſſa & cæterorum Græcorum, turpe ducerem, ſi quæ minùs neceſſaria ſunt, in his tibi conſilium meum impertirem. Ea verò quæ magis vrgent, ſilentio prætermitterem, idque cùm in illis gloria diſceptet, in his vita, quam nihili pẽdere videbaris omnibus, qui collatas in te ſermone hominũ blaſphemias audiuiſſẽt.

ὑμῶν αὐτῶν προστῆναι καὶ τίνα βίον προελέσθαι καὶ ποίας δόξης ὀρεχθῆναι, καὶ ποτέρας τῶν τιμῶν ἀγαπῆσαι, πότερον τὰς παρ' ἑκόντων γιγνομένας ἢ τὰς παρ' ἀκόντων τῶν πολιτῶν. ταῦτα δὲ διορισάμενος τότ' ἤδη τὰς πράξεις τὰς καθ' ἑκάστην τὴν ἡμέραν σκοπεῖν, ὅπως συντείνωσι πρὸς τὰς ὑποθέσεις τὰς ἐξ ἀρχῆς γενομένας. καὶ τοῦτον μὲν τὸν τρόπον ζητοῦντες καὶ φιλοσοφοῦντες, ὥσπερ σκοποῦ κειμένου στοχάσεσθε τῆς ψυχῆς. καὶ μᾶλλον ἐπιτεύξεσθε τοῦ συμφέροντος. ἐὰν δὲ μηδεμίαν ποιήσησθε τοιαύτην ὑπόθεσιν, ἀλλὰ τὸ προστυχὸν ἐπιχειρῆτε πράττειν, ἀναγκαῖόν ἐστιν ὑμᾶς ταῖς διανοίαις πλανᾶσθαι καὶ πολλῶν διαμαρτάνειν πραγμάτων. ἴσως οὖν ἄν τις τῶν εἰκῇ ζῆν ᾑρημένων, τοὺς μὲν τοιούτους λογισμοὺς διασύρειν ἐπιχειρήσειεν. ἀξιοίη δ' ἂν ὑπό μου συμβουλεῦσαι περὶ τῶν προειρημένων. ἔστιν οὖν οὐκ ὀκνητέον ἀποφήνασθαι περὶ αὐτῶν ἃ τυγχάνω γιγνώσκων. ἐμοὶ γὰρ ἀσφαλέστερος βίος εἶναι δοκεῖ καὶ βελτίων ὁ τῶν ἰδιωτευόντων ἢ τῶν τυραννευόντων. καὶ τὰς τιμὰς καὶ περὶ τούτων λέγειν ἐπιχειρήσω. καίτοι με οὐ λέληθεν ὅτι πολλοὺς ἕξω τοὺς ἐναντιωσομένους καὶ μάλιστα τοὺς περὶ ὑμᾶς ὄντας. οἶμαι γὰρ οὐχ ἥκιστα τούτους ἐπὶ τὴν τυραννίδα παροξύνειν ὑμᾶς. σκοποῦσι γὰρ οὐ πανταχῇ τὴν φύσιν τοῦ πράγματος, ἀλλὰ παραλογίζονται σφᾶς αὐτούς. τὰς μὲν γὰρ ἐξουσίας καὶ τὰ κέρδη καὶ τὰς ἡδονὰς ὁρῶσι, καὶ τούτων ἀπολαύσεσθαι προσδοκῶσι. τὰς δὲ ταραχὰς καὶ τοὺς φόβους καὶ τὰς συμφορὰς τὰς τοῖς ἄρχουσι συμπεσούσας, καὶ τοῖς φίλοις αὐτῶν οὐ θεωροῦσιν, ἀλλὰ πεπόνθασιν ὅπερ οἱ τοῖς αἰσχίστοις καὶ παρανομωτάτοις τῶν ἔργων ἐπιχειροῦντες. καὶ γὰρ ἐκεῖνοι τὰς μὲν πονηρίας τὰς τῶν πραγμάτων οὐκ ἀγνοοῦσιν. ἐλπίζουσι δὲ ὅσον ἀγαθόν ἐστιν ἐν αὐτοῖς, τοῦτο μὲν ἐκλήψεσθαι, τὰ δὲ δεινὰ πάντα τὰ προσόντα τοῖς πράγμασι καὶ τὰ κακὰ διαφεύξεσθαι, καὶ διοικήσειν τὰ περὶ σφᾶς κινδύνων ὄντας πόρρω. τῶν δ' ὠφελειῶν ἐγγύς. τοὺς μὲν οὖν ταύτην ἔχοντας τὴν διάνοιαν, ζηλῶ τῆς ῥᾳθυμίας. αὐτὸς δὲ αἰσχυνθείην ἄν, εἰ συμβουλεύων ἑτέροις, ἐκείνων ἀμελήσας, τὸ ἐμαυτοῦ συμφέρον ποιοίην. καὶ πάντα πᾶσιν ἐξωθεὶς ἐμαυτὸν καὶ τῆς ὠφελείας καὶ τῶν ἄλλων ἁπάντων, τὰ βέλτιστα παραινοίην. ὡς οὖν ἐμοῦ ταύτην ἔχοντος τὴν γνώμην, οὕτως ἐμοὶ προσέχετε τὸν νοῦν.

Ἰσοκράτης Φιλίππῳ χαίρειν.

ΟἾδα μὲν ὅτι πάντες εἰώθασι πλείω χάριν ἔχειν τοῖς ἐπαινοῦσιν, ἢ τοῖς συμβουλεύουσιν. ἄλλως τε δὴ καὶ μὴ κελευσθείς τις ἐπιχειρῇ τοῦτο ποιεῖν. ἐγὼ δ' εἰ μὲν μὴ πρότερον ἐτύγχανόν σοι παρῃνηκὼς μετὰ πολλῆς εὐνοίας ἐξ ὧν ἐδόκει μοι μάλιστα τὰ πρέποντα σαυτοῦ πράττειν, ἴσως γ' ἂν νῦν ἐπεχείρουν ἀποφαίνεσθαι περὶ τῶν σοὶ συμβεβηκότων. ἐπειδὴ δὲ προειλόμην φροντίζειν τῶν σῶν πραγμάτων καὶ τῆς πόλεως ἕνεκα τῆς ἐμαυτοῦ καὶ τῶν ἄλλων Ἑλλήνων, αἰσχυνθείην ἂν εἰ περὶ μὲν τῶν ἧττον ἀναγκαίων φανοίμην σοι συμβεβουλευκώς, ὑπὲρ δὲ τῶν μᾶλλον κατεπειγόντων, μηδένα λόγον ποιοίμην. καὶ ταῦτ' εἰδὼς ἐκεῖνα μὲν ὑπὲρ δόξης ὄντα, ταῦτα δ' ὑπὲρ τῆς σωτηρίας: ἧς ὀλιγωρῶν ἅπασιν ἔδοξας τοῖς ἀκούουσι τὰς περὶ σοῦ ῥηθείσας βλασφημίας,

E

οὐδεὶς γάρ ἐστιν ὅστις οὐ κατέγνω προπετέστερόν σε κινδυνεύειν ἢ βασιλικώτερον. καὶ μᾶλλόν σοι μέλειν τῶν περὶ τὴν ἀνδρείαν ἐπαίνων, ἢ τῶν ὅλων πραγμάτων. ἔστι δ' ὁμοίως αἰσχρὸν περιστάντων τῶν πολεμίων μὴ διαφέροντα γενέσθαι τῶν ἄλλων, καὶ μηδεμιᾶς τε συμπεσούσης ἀνάγκης, αὐτὸν ἐμβάλλειν εἰς τοιούτους ἀγῶνας, ἐν οἷς κατορθώσας μὲν οὐδὲν ἂν ἦν μέγα διαπεπραγμένος. τελευτήσας δὲ τὸν βίον, ἅπασαν τὴν ὑπάρχουσαν εὐδαιμονίαν συνανεῖλες. χρὴ δὲ μὴ καλὰς ἁπάσας ὑπολαμβάνειν τὰς ἐν τοῖς πολέμοις τελευτάς. ἀλλὰ τὰς μὲν ὑπὲρ τῆς πατρίδος καὶ τῶν γονέων καὶ τῶν παίδων, ἐπαίνου ἀξίας. τὰς δὲ ταῦτά τε πάντα βλαπτούσας καὶ τὰς πράξεις τὰς πρότερον κατωρθωμένας, καταισχυνούσας, αἰσχρὰς νομίζειν καὶ φεύγειν ὡς αἰτίας ἀδοξίας γιγνομένας· ἡγοῦμαι δέ σοι συμφέρειν μιμεῖσθαι τὰς πόλεις ὃν τρόπον διοικοῦσι τὰ περὶ τοὺς πολέμους. ἅπασαι γὰρ ὅταν στρατόπεδον ἐκπέμπωσιν, εἰώθασι τὸ κοινὸν καὶ τὸ συμβουλευόμενον ὑπὲρ τῶν ἐνεστώτων εἰς ἀσφάλειαν καθιστάναι. διὸ δὴ καὶ συμβαίνει μηδὲ μιᾶς ἀτυχίας συμπεσούσης, ἀναιρεῖσθαι καὶ τὴν δύναμιν αὐτῶν. ἀλλὰ πολλὰς ὑποφέρειν δύνασθαι συμφοράς. καὶ πάλιν ἑαυτὰς ἐκ τούτων ἀναλαμβάνειν. ὃ καὶ σὲ δεῖ σκοπεῖν. καὶ μηδὲν μεῖζον ἀγαθὸν τῆς σωτηρίας ὑπολαμβάνειν, ἵνα καὶ τὰς νίκας τὰς συμβεβηκυίας κατὰ τρόπον διοικῇς. ἴδοις δ' ἂν καὶ Λακεδαιμονίους, περὶ τῆς τῶν βασιλέων σωτηρίας, πολλὴν ἐπιμέλειαν ποιουμένους. καὶ τοὺς ἐνδοξοτάτους τῶν πολιτῶν φύλακας αὐτῶν καθιστάντας. οἷς αἴσχιόν ἐστιν ἐκείνους τελευτήσαντας περιιδεῖν, ἢ τὰς ἀσπίδας ἀποβαλεῖν. ἀλλὰ μὴν οὐδ' ἐκεῖνά σε λέληθεν, ἃ Ξέρξῃ τε τῷ καταδουλώσασθαι τοὺς Ἕλληνας βουληθέντι καὶ Κύρῳ τῷ τῆς βασιλείας ἀμφισβητήσαντι συνέπεσεν. ὁ μὲν γὰρ τηλικαύταις ἥτταις καὶ συμφοραῖς περιπεσών, ἡλίκαις οὐδεὶς ἄλλος οὐδὲ γενομέναις, διὰ τὸ περιποιῆσαι τὴν αὑτοῦ ψυχὴν, καὶ τήν τε βασιλείαν κατέσχε καὶ τοῖς παισὶ τοῖς ἑαυτοῦ παρέδωκε, καὶ τὴν Ἀσίαν οὕτω διῴκησεν, ὥστε μηδὲν ἧττον αὐτὴν εἶναι φοβερὰν ἢ πρότερον. Κῦρος δὲ νικήσας ἅπασαν τὴν βασιλέως δύναμιν, καὶ κρατήσας τῶν πραγμάτων, διὰ τὴν αὑτοῦ προπέτειαν, οὐ μόνον αὑτὸν ἀπεστέρησε τηλικαύτης δυναστείας, ἀλλὰ καὶ τοὺς συνακολουθοῦντας εἰς τὰς ἐσχάτας συμφορὰς κατέστησεν. ἔχοιμι δ' ἂν παμπληθεῖς εἰπεῖν, οἳ μεγάλων στρατοπέδων ἡγεμόνες γενόμενοι, διὰ τὸ προδιαφθαρῆναι, πολλὰς μυριάδας αὑτοῖς συναπώλεσαν. ὧν ἐνθυμουμένους χρὴ μὴ τιμᾶν τὴν ἀνδρείαν τὴν μετ' ἀνοίας καὶ φιλοτιμίας ἀκαίρου γιγνομένην. μηδὲ πολλῶν κινδύνων ὑπαρχόντων ταῖς μοναρχίαις, ἑτέρους ἀδόξους καὶ στρατιωτικοὺς αὐτῷ προσεξευρίσκειν. μηδ' ἁμιλλᾶσθαι τοῖς ἢ βίου δυστυχοῦς ἀπαλλαγῆναι βουλομένοις, ἢ μισθοφορᾶς ὑπερμείζονος εἰκῇ τοὺς κινδύνους προαιρουμένοις. μηδ' ἐπιθυμεῖν τοιαύτης δόξης, ἧς πολλοὶ καὶ τῶν ἄλλων Ἑλλήνων καὶ τῶν βαρβάρων τυγχάνουσιν. ἀλλὰ τῆς τηλικαύτης τὸ μέγεθος, ἣν μόνος ἂν σὺ τῶν νῦν ὄντων κτήσασθαι δυνηθείης· μηδ' ἀγαπᾶν λίαν τὰς τοιαύτας ἀρετάς, ὧν καὶ τοῖς φαύλοις μέτεστιν. ἀλλ' ἐκείνας, ὧν οὐδεὶς ἂν πονηρὸς κοινωνήσειε.

Nemo eſt enim, qui non magis audacter, quàm regiè te vitam tuam in periculum offerre putet, & magis tibi fortitudinis laudem, quàm communis vtilitatis rationem curæ eſſe. par enim eſt turpitudo & circumfuſis: hoſtium copiis, non potiſſimum præ cæteris excellere, & nulla poſtulante neceſſitate in eiuſmodi te certamen immittere, in quo ſi etiam victoriam obtineas, nihil tamen magnopere vtile ſis geſturus: Sin mortem oppetas, exiſtentem etiam fortunam ſis perditurus. Non autem omnis in bello mors honeſta ſtatim putanda eſt, ſed ea quæ pro patria, parentibus & liberis aditur, in laude eſt ponenda. Quæ verò hæc omnia peruertit, & res antea fortiter geſtas commaculat, eam ignominioſam putare, quaſique cauſſam turpitudinis fugere debemus. Cæterum in rem tuam fore arbitror, ſi ciuitatum conſuetudinem in adminiſtrandis bellis immitere. Nam omnes, cum exercitum emittant, Solent Rempublicam & eos qui in res præſentes conſilia dant, Securitate munire. vnde fit vt etiam ſi cladem aliquando accipiant: tamen non funditus illorum copiæ deleantur. Sed multas calamitates tolerare poſſint, & ex his iterum ſeſe colligere. Quod idem & tibi verſandum animo eſt, & nullum aliud bonum ſalute præſtantius exiſtimandum vt partã victoriã, rite diſpenſare poſſis. Itinere Lacedæmonios, qui regum vitam maxima cura ſtudióq; tuentur, & excellentiſſimorum ciuium præſidio ſtipant, quibus manis habetur dedecus, illos morti occumbere pati, quàm ſcuta abiicere. Sed nec eorum es ignarus, quæ Xerxi cùm totam Græciam ſubigere voluiſſet, & Cyro cùm de regno certaret contigerunt. Quorum ille tot tantiſque victoriis & cladibus fractus, quantas vix alius nouerat quoniam ſuam animam conſeruarat regnum & obtinuit, & liberis ſuis tradidit, atque ſic Aſiæ præfuit, vt eam non minus formidabilem quàm antè fuerat, relinqueret. Cyrus verò cum vniuerſum regis exercitum ſuperaſſet, & rerum potiretur, propter temeritatem, non modo ſe ipſum tanta potentia ſpoliauit: verum etiam commilitones ſuos in extremum periculum coniecit. poſſem infinitos alios commemorare, qui cùm magnos & amplos exercitus ducerent, non ipſi ſolùm perierunt, ſed & multas myriadas in exitium vnà pertraxerunt. Quorum recordatione ductum oportet non eam fortitudinem amplecti, quam à temeritate & importuna quadam ambitione proficiſcitur, neque cum ſint alioquin multa monarchiis propoſita pericula, nouum aliud indecorum & militare ſibi aduenire, neque cum iis pedem conferre qui vel vt infortunata vita liberentur, vel amplioris precij ſpe, temerè quoduis periculum adire parati ſunt, neque ad gloriã eam contendere quæ multis aliis tam Græcis tum Barbaris ſæpe contigit: Sed eam quæ tanta eſt, vt ex huius ſeculi mortalibus nemo illam præter te conſequi poſſit, neque nimium iſtis virtutibus ſtudium impendere, quæ cum malis etiam ſint communes: ſed iis, in quorum ſocietatem nemo malus peruenire poteſt,

a

neque

neque conflictus inglorios & difficiles ſubire, cùm liceat glorioſè commodéq; prælium facere, neque ſic bellũ adminiſtrare, vt amiciſsimos tuis in mœrores & ſollicitudines conicias, hoſtibus verò bonam magnámque ſpem obiicias vt nunc feciſti. Sed barbaros, quibus iam bellum infers, eatenus profligare debetis, quatenus tuæ regioni nullum damnum inferatur: eum verò quem hodie Magnum appellant ad nihilum redigere, vt & tuam ipſius gloriam augeas, & Græcis oſtendas. Contra quos bellum ſuſcipere oporteat. Plurimum autem inter eſſe putaui, hæc ante ſuſceptam expeditionem ad te ſcribere, vt ſi quidem morem gereres, non in tantum periculũ adduceretis: Sin repudiares: ego non idem his conſilium dediſſe viderer, quorum clades iam omnibus innotuiſſet: Sed euentus à me bene & vtiliter in medium conſultum fuiſſe declararet. Multa ſunt, quæ rei natura dici poſtularet: ſed finem faciam. Credo enim te tuóſque familiares vigilantiſsimos viros, nullo negotio, quæ placitum fuerit ad ea quæ commemoraui adiuncturos. Ad hæc minima quæque conſectari nolo. Etenim progreſſus iam paulùm, ferè imprudens non in epiſtolæ modum: ſed in iuſtæ orationis longitudinem excidi. At verò quamuis hæc ita habeant, non tamen de Republ. negligentius agendum eſt, ſed annitendum vt te ad eius amicitiam ſocietatemque adhorter. Complures enim inueniri exiſtimo, qui tibi non modò infeſtiſsima duntaxat nuncient & deferant ex his quæ apud nos vulgo iactantur: ſed etiam à ſeipſis aliquòd addant, quibus non eſt æquum te fidem habere. Nam abſurdè faceres, ſi noſtrum populum facile calumniatorũ ſermonibus auſcultare queſtus, tu ipſe, nugiuendis huiuſmodi aures animumque præberes. Atqui vides profectò, quantò flexibiliorem ad omnes partes ciuitatem noſtram hi homines efficiant, tanto tuis rationibus vtiliorem commodioremque reddere. Si enim qui nihil vtilitatis adportant, oratione quod nolunt, adipiſci queunt, quid tandem tibi qui te & opere beneficium præſtare potes; denegari à nobis par eſt. His verò, qui malè acerbéque ciuitati loquuntur, eos opponendos cenſeo, qui omnia huius eſſe contenduut, & qui neque grauem neque leuem iniuriam vnquam feciſſe dicunt. Ego verò non ſanè id dixerim. Cur enim me non puderet, cum aliqui ne deos quidem à crimine immunes eſſe putent, aſſerere audere, nihil vnquam nos mali deſignaſſe. Sed tamen hoc de ipſa confirmare poſſum, non aliquam vel Græcorum vel tuis rationibus vtiliorem reperiri. Quod maximè tibi perpendendum animo eſt. Non enim ſolùm in bello viribus & copiis te iuuabit, verùm etiam ſi fauere duntaxat videatur, adiumento tibi poterit eſſe. Nam ſic & ſubditos tibi facilius continebis atque compeſces, cum perfugij locus non datur, & Barbarorum quos voles citius ſub iugum mittes. Verũ quis eam beneuolentiã non ſummè tibi ſuadeat expetendam, cuius auxilio non modò præſens imperium tutò defendere: ſed etiam ſine periculo multum partibus amplificare poſſis.

μὴ δὲ ποιεῖσθαι πολέμους ἀδόξους καὶ χαλεποὺς ἐξὸν ἐνδόξους. μὴ δὲ ἐξ ὧν τοὺς μὲν οἰκειοτάτους εἰς λύπας καὶ φροντίδας καταστήσεις, τοὺς δ' ἐχθροὺς ἐν ἐλπίσι μεγάλαις, οἵας καὶ νῦν αὐτοῖς παρέσχες. ἀλλὰ τοὺς μὲν βαρβάρους πρὸς οὓς νῦν πολεμεῖς, ἐπὶ τοσοῦτον ἐξαρκέσει κρατεῖν, ὅσον ἐν ἀσφαλείᾳ καταστῆσαι τὴν σαυτοῦ χώραν. τὸν δὲ νῦν μέγαν προσαγορευόμενον, καταλύειν ἐπιχειρήσεις. ἵνα τήν τε σαυτοῦ δόξαν μείζω ποιήσῃς καὶ τοῖς Ἕλλησιν ἐπιδείξῃς πρὸς ὃν χρὴ πολεμεῖν. πρὸ πολλοῦ δ' ἂν ἐποιησάμην ἐπιστεῖλαί σοι ταῦτα πρὸ τῆς στρατείας. ἵν' εἰ μὲν ἐπείσθης, μὴ τηλικούτῳ κινδύνῳ περιέπεσες. εἰ δ' ἠπείθησας μὴ ἐγὼ συμβουλεύειν ἐδόκουν ταῦτα τοῖς ἤδη διὰ τὸ πάθος ὑπὸ πάντων ἐγνωσμένοις, ἀλλὰ τὸ συμβεβηκὸς, ἐμαρτύρει τοὺς λόγους ὀρθῶς ἔχειν τοὺς ὑπ' ἐμοῦ περὶ αὐτῶν εἰρημένους. πολλὰ δ' ἔχων εἰπεῖν διὰ τὴν τοῦ πράγματος φύσιν, παύσομαι λέγων. οἶμαι γὰρ καὶ σὲ καὶ τῶν ἑταίρων τοὺς σπουδαιοτάτους, ῥᾳδίως ὁπόσ' ἂν βούλησθε τοῖς εἰρημένοις προσθήσειν. πρὸς δὲ τούτοις φοβοῦμαι τὴν ἀκρίβειαν. καὶ γὰρ νῦν κατὰ μικρὸν προϊὼν ἔλαθον ἐμαυτὸν οὐκ εἰς ἐπιστολῆς συμμετρίαν, ἀλλ' εἰς λόγου μῆκος ἐξοκείλας. οὐ μὴν ἀλλὰ καίπερ τούτων οὕτως ἐχόντων, οὐ παραλειπτέον ἐστὶ τὰ περὶ τῆς πόλεως. ἀλλὰ πειρατέον παρακαλέσαι σε πρὸς τὴν οἰκειότητα καὶ χρῆσιν αὐτῆς. οἶμαι γὰρ πολλοὺς εἶναι τοὺς ἀπαγγέλλοντας καὶ λέγοντας, οὐ μόνον τὰ δυσχερέστατα τῶν περὶ σοῦ παρ' ἡμῶν εἰρημένων, ἀλλὰ καὶ παρ' αὐτῶν προστιθέντας, οἷς οὐκ εἰκὸς προσέχειν σε τὸν νοῦν. καὶ γὰρ ἄτοπον ἂν ποιοίης, εἰ τὸν μὲν δῆμον τὸν ἡμέτερον ψέγοις ὅτι ῥᾳδίως πείθεται τοῖς διαβάλλουσιν, αὐτὸς δὲ φαίνοιο πιστεύων τοῖς τὴν τέχνην ταύτην ἔχουσι. καὶ μὴν γνώσεις ὡς ὅσωπερ ἂν τὴν πόλιν εὐαγωγοτέραν ὑπὸ τῶν τυχόντων οὖσαν ἀποφαίνονται, τοσούτῳ μᾶλλόν σοι συμφερόντως ἔχουσαν αὐτὴν ἐπιδεικνύουσιν. εἰ γὰρ οἱ μηδὲν ἀγαθὸν οἷοί τε ὄντες πεῖσαι, διαπράττονται τοῖς λόγοις ἃ ἂν βουληθῶσιν, ἦπου σέ γε προσήκει τὸν πλεῖστ' ἂν ἔργῳ δυνάμενον εὐεργετῆσαι, μηδενὸς τυχεῖν παρ' ἡμῶν. ἡγοῦμαι δὲ δεῖν πρὸς μὲν τοὺς πικρῶς τῆς πόλεως κατηγοροῦντας, ἐκείνους ἀντιτάττειν τοὺς πάντα γε ταύτης εἶναι λέγοντας, καὶ τοὺς μήτε μεῖζον μήτ' ἔλαττον αὐτὴν ἠδικηκέναι φάσκοντας. ἐγὼ δ' οὐδὲν ἂν εἴποιμι τοιοῦτον. αἰσχυνθείην γὰρ ἄν, εἰ τῶν μὲν ἄλλων μηδὲ τοὺς θεοὺς ἀναμαρτήτους εἶναι νομιζόντων, αὐτὸς τολμῴην λέγειν, ὡς οὐδὲν πώποτε πεπλημμελήκαμεν. οὐ μήν. ἀλλ' ἐκεῖνό γ' ἔχω περὶ αὐτῆς εἰπεῖν. ὅτι χρησιμωτέραν οὐκ ἂν εὕροις ταύτης οὔτε τοῖς Ἕλλησιν οὔτε τοῖς σοῖς πράγμασιν. ᾧ μάλιστα προσεκτέον τὸν νοῦν ἐστιν. οὐ μόνον γὰρ ἂν συναγωνιζομένη, γένοιτ' ἂν αἰτία σοι πολλῶν ἀγαθῶν, ἀλλὰ καὶ φιλικῶς ἔχειν μόνον δοκοῦσα, τούς τε γὰρ ὑπὸ σοῦ συνόντας ῥᾷον ἂν κατέχοις, ὡς εἰ μηδὲ μίαν ἔχοιεν ἀποστροφήν, τῶν τε βαρβάρων οὓς βουληθείης θᾶττον ἂν καταστρέψαιο. καίτοι πῶς οὐ χρὴ προθύμως ὀρέγεσθαι τῆς τοιαύτης εὐνοίας δι' ἧς οὐ μόνον τὴν ὑπάρχουσαν ἰσχὺν ἀσφαλῶς καθέξεις, ἀλλὰ καὶ πολλὴν ἑτέραν ἀκινδύνως προσκτήσει.

Θαυμάζω δ' ὅσοι τῶν τὰς δυνάμεις ἐχόντων, τὰ μὲν τῶν ξενιτευόντων στρατόπεδα μισθοῦνται, καὶ χρήματα πολλὰ δαπανῶσι, συνειδότες ὅτι πλείους ἠδίκηκε τῶν πιστευόντων αὐτοῖς ἢ σέσωκε. τῆς δὲ πόλεως, τῆς τηλικαύτην δύναμιν κεκτημένης μὴ θεραπεύονται, [illegible] ἢ καὶ μίαν ἑκάστην καὶ ξύμπασαν τὴν Ἑλλάδα πολλάκις ἤδη σέσωκεν. ἐνθυμοῦ δ' ὅτι πολλοῖς καλῶς βεβουλεῦσθαι δοκεῖς, ὅτι δικαίως κέχρησαι Θετταλοῖς, καὶ συμφερόντως ἐκείνοις. ἀνδράσιν οὐκ εὐμεταχειρίστοις, ἀλλὰ μεγαλοψύχοις καὶ στάσεως μεστοῖς· χρὴ τοίνυν καὶ περὶ ἡμᾶς πειρᾶσθαι γίγνεσθαι τοιοῦτον. ἐπιστάμενον, ὅτι τὴν μὲν χώραν Θετταλοὶ, τὴν δὲ δύναμιν ἡμεῖς ὅμορον σοι τυγχάνομεν ἔχοντες. ἣν ἐκ παντὸς τρόπου ζήτει προσάγεσθαι. πολὺ γὰρ κάλλιόν ἐστι τὰς εὐνοίας τὰς τῶν πόλεων αἱρεῖν ἢ τὰ τείχη· τὰ μὲν γὰρ οὐ μόνον ἔχει φθόνον, ἀλλὰ καὶ τῶν τοιούτων τὴν αἰτίαν τοῖς στρατοπέδοις ἀνατιθέασιν· ἣν δὲ τὰς οἰκειότητας καὶ τὰς εὐνοίας κτήσασθαι δυνηθῇς, ἅπαντες τὴν σὴν διάνοιαν ἐπαινέσουσι. δικαίως δ' ἄν μοι πιστεύοις οἷς εἴρηκα περὶ τῆς πόλεως. φανήσομαι γὰρ οὔτε κολακεύειν αὐτὴν ἐν τοῖς λόγοις εἰθισμένος, ἀλλὰ πλεῖστα πάντων ἐπιτετιμηκώς, οὔτ' αὖ παρὰ τοῖς πολλοῖς καὶ τοῖς εἰκῇ δοκιμάζουσι φερόμενος. ἀλλ' ἀγνοούμενος ὑπ' αὐτῶν καὶ φθονούμενος, ὥσπερ σύ. πλὴν τοῦτο διαφέρομεν. ὅτι πρὸς σὲ μὲν διὰ τὴν εὐδαιμονίαν καὶ τὴν δύναμιν οὕτως ἔχουσι. πρὸς ἐμὲ δὲ διότι προσποιοῦμαι τὸ βέλτιον αὐτῶν φρονεῖν. καὶ πλείους ὁρῶσί μοι διαλέγεσθαι βουλομένους ἢ σφίσιν αὐτοῖς. ἐβουλόμην δ' ἂν ἡμῖν ὁμοίως μόνως ῥᾴδιον εἶναι τὴν δόξαν ἣν ἔχομεν παρ' αὐτοῖς διαφθείρειν. νῦν δὲ σὺ μὲν οὐ χαλεπῶς ἂν μεληθῇς αὐτῶν διαλύσαις. ἐμοὶ δ' ἀνάγκη καὶ διὰ τὸ γῆρας καὶ δι' ἄλλα πολλὰ στέργειν τοῖς παροῦσιν. ὥστ' οὐκ οἶδ' ὅτι πλείω δεῖ λέγειν. πλὴν τοσοῦτον ὅτι ἐστὶ τῆς βασιλείας καὶ τῆς εὐδαιμονίας τῆς ὑπαρχούσης ὑμῖν, παρακαταθέσθαι τῇ τῶν Ἑλλήνων εὐδαιμονίᾳ καὶ εὐνοίᾳ.

Atque ego miror eos reges & imperatores, qui copias peregrinorum mercede contrahunt, multáſq; pecunias inſumunt, cùm ſe ſit ſæpius ab his perniciem & iniuriam ſuis dominis allatam, eſſe quam vitam ſalutémque propugnatam. Vrbem verò tam potentem colere negligunt, quæ Græciæ & ſingulas partes & vniuerſam libertatem ſæpe præſentiſſimo exitio liberauit. Illud verò tuum inſtitutum à multis probari cogita, quod Theſſalis æquum te præbueris, & vtilem, viris non imbellibus, ſed magnanimis & bellicoſiſſimis. Quamobrem erga nos quoque ſimile quiddam agere conuenit, cùm videas, Theſſalos regione nos verò potentia tibi finitimos eſſe, quam omnibus modis tibi cõciliare ſtude. Multò enim laudabilius eſt fauorem quàm mœnia ciuitatum capere. Qoniam hoc non ſolùm inuidiam & odium parit, verumetiam ſi quam laudem habet, eius maxima fere pars copiis militibúſq; aſcribitur. Sin amicitiam & beneuolentiam comparare poſſis, omnes inſigni laude tuũ animum ſententiámq; proſequentur. Non iniuria mihi de ciuitate loquenti aſſentiri debes, cum videas me nõ orationes ad gratiam voluntatémque populi, ſed quantum fieri poteſt ad reprehenſionem & obiurgationem accommodatiſſimas habere conſueuiſſe neque leuium hominum, & temerè quiduis probantium ſermonibus laudari, ſed ipſis vel ignotum prorſus vel etiam inuiſum eſſe, quemadmodum tu Quanquam hoc intereſt, quod erga te propter fœlicitatem & potentiam, ſic animis affecti ſunt. Erga me verò, quod excellentiorem ipſis ſapiẽtiam mihi vendico, & quod ad me plures diſcendi cauſſa, quàm ad ſe conuenire vident. Vellem autem eodem modo facile eſſet, hãc opinionem, quã de nobis imbiberunt ex animis illorum eximere. Nunc verò tu, ſi libitum erit, nullo negotio delere poteris. Mihi contra propter ſenectutem, aliaque multa, præſentia boni cõſulere neceſſe eſt. Proinde nihil reliquũ eſſe cẽſeo quod dicã, niſi quod veſtrum regnum, & præſentem fœlicitatem, Græcorum fœlicitati beneuolentiæque committere licet.

Ἰσοκράτης Φιλίππῳ χαίρειν.

Ἐγὼ διελέχθην μὲν καὶ πρὸς Ἀντίπατρον περί τε τῶν τῇ πόλει συμφερόντων καὶ σοί, ἐξαρκούντως ὡς ἐμαυτὸν ἔπειθον. ἐβουλήθην δὲ γράψαι καὶ πρὸς σὲ περὶ ὧν μοι δοκεῖ πρακτέον εἶναι μετὰ τὴν εἰρήνην, παραπλήσια τοῖς ἐν τῷ λόγῳ γεγραμμένοις. πολὺ δ' ἐκείνων συντομώτερα. κατ' ἐκεῖνον μὲν γὰρ τὸν χρόνον συνεβούλευον, ὡς χρὴ διαλλάξαντά σε τήν τε πόλιν τὴν ἡμετέραν καὶ τὴν Λακεδαιμονίων καὶ τὴν Θηβαίων καὶ τὴν Ἀργείων, εἰς ὁμόνοιαν καταστῆσαι τοὺς Ἕλληνας. ἡγούμενος ἐὰν τὰς προεχούσας πόλεις πείσῃς οὕτω φρονεῖν, ταχέως καὶ τὰς ἄλλας ἐπακολουθήσειν. τότε μὲν οὖν ἄλλος ἦν καιρός. νῦν δὲ συμβέβηκε μηκέτι δεῖν πείθειν. διὰ γὰρ τὸν ἀγῶνα τὸν γεγενημένον, ἠναγκασμένοι πάντες εἰσὶν εὖ φρονεῖν καὶ τούτων ἐπιθυμεῖν, ὧν ἐπινοοῦμέν σε βούλεσθαι πράττειν καὶ λέγειν. ὡς δεῖ παυσαμένους τῆς μανίας καὶ τῆς πλεονεξίας ἣν ἐποιοῦντο πρὸς ἀλλήλους, εἰς τὴν Ἀσίαν τὸν πόλεμον ἐξενεγκεῖν.

Iſocrates Philippo ſalutem.

CVm Antipatro ſatis abundè quantum mihi videtur, de his cõmuniter Reipub. tuíſque rationibus conferre diſſerui. Statui autem per literas tibi ſignificare quæ poſt conſtitutam pacem facienda cenſerem, non multum ab illis quæ ſunt in oratione ſcripta, diſcrepantia, tametſi longè ſuccinctiora breuioráque. Nam eo tempore ſuadebam, vt reconciliatis noſtra, Lacedæmoniorũ, Thebanorũ, & Argiuorum ciuitatibus, ad concordiam Græcos reuocares, quod exiſtimarem ſi principes ciuitates in eam ſententiam adduxiſſes, ſtatim cæteras etiam ſponte ſecuturas eſſe. Atque tum alia fuit temporis conditio. Nunc autem eò res eſt adducta, vt non vlterius ſuaſione res indigat: bellũ enim ipſum impendens, rectè ſentire omnes de ſumma coegit, & ea concupiſcere, quæ te agere atque dicere velle intelligebam, depoſito videlicet furore, & contentione quorundam mutua, bellum in Aſiam transferendum eſſe propterea

hoc à

præterea hoc à me multi quæſiuerunt vtrum ego te ad expeditionem contra Barbaros faciendã adhortatus ſim, an tibi prius in animum inducenti, verbis & oratione aſſenſerim. Quibus ego reſpondens me certum inquam non ſcire. nec enim antea te cõueniſſe. Attamen in hæc eſſe, te ſententia prius hæc animo voluiſſe, me verò cupiditatib. his excitandis autorem extitiſſe. Hæc audientes me rogarunt, admonerem te, inſtigaremq; vt in hiſce conſtanter perſeuerares, quod nunquam vel honeſtiores, vel vtilius Græciæ, vel tempeſtiuius commodiuſque in poſterum res vllas geri poſſe exiſtimarent. Quare ſi eandem adhuc illam vim facultatémque tenerem quã antea neque prorſus eſſem defatigatus, nõ ſanè per literas te alloquerer. Sed præſens ipſe te ad has res ſuſcipiendas excitarē & adhortarer. Nunc autē, pro vir li parte, te moneo, ne quid oſcitantius agas, priuſquam his finem impoſueris. Ad hæc in reliquis rebus omnibus, nimium ſtudium cupiditaſque vitio eſt. Nam mediocritatem omnes laudant & admirantur. Gloriam verò præſtantem & inſignem concupiſcere, nec vnquam expleri competit his, qui ſe cæteris excellentius gerere ſtudent. Quod id demum ad ſuum officium pertinet. Tũc autem arbitrare te inſuperabilem & tuis rebus geſtis dignam conſecutum eſſe, cum Barbaros Græcorum ſeruituti ſubiectis, præter eos, qui tibi ſocietate iuncti ſunt, & cũ regem qui nunc Magnus cognominatur, tibi dicto audientem eſſe coegeris. Hæc autem multò facilius eſt perficere in præſenti tempore, quàm in poſſeſſi ab initio regni potentia gloria longius progredi. Nec enim reſtabit quicquam amplius, quam vt in Deorum numero reponaris. Hanc autem vnicam ſenectuti gratiam habeo, quod vitam meam in id tempus prorogarit vt, quæ iuuenis olim ſentiebam, & ſcribere aggrediebar in oratione panegyrica, quã ad te miſi, hæc iam partim fieri ob oculos intuear, partim futura ſperandum putem.

Iſocrates Alexandro ſalutem.

CVm ad patrem tuum literas mitterem, indecenter facturum putabam, ſi te in eodem loco verſantem, neque compellarem, neque ſalutarem, neque tale quoddam ſcriptum mitterem, quod neſcientibus ſatis euidenti ſigno eſſet, me iam non ob ſenectutem deſipere neq; omnino delirare: ſed relictam adhuc & ſuperſtitem ætatem non indignã eſſe ea facultate, qua iuuenis pollebam. Audio quidem ex omnium ſermonibus te perhumanũ t Athenienſium nominis amantem & Philoſophiæ deditum eſſe. Quia in re non ſtultè ſed perſapiēter facis. Nã & eos ex ciuibus noſtris te ſuſcipere non qui ſui ipſorum rationem non ducunt maliſque conatibus animum adiiciunt, ſed quorum conuerſationis te non pœniteat, & cum quibus conferens communicanſque de rebus, non lædaris, neque iniuriã patiaris, quemadmodum ſapientes vti familiaritatibus decet. Philoſophiæ quoque ſtudia non improbare, ne illud quide quod in contentione & litibus verſatur: ſed ea nen ita ſtatuere, hoc in priuatis exercitationibus & congreſſibus, magnum ad victoriam momentum habere, non autem competere

ἔριδας. ἀλλὰ νομίζειν εἶναι πλεονεκτικὴν ἐν

πρὸς δὲ τούτοις κἀκεῖνο πολλοὶ παρ᾽ ἐμοῦ πυνθάνονται. πότερον ἐγώ σε παρώξυνα ποιήσασθαι τὴν στρατείαν ἐπὶ τοὺς βαρβάρους, ἢ σὺ διανοηθέντι συνεῖπον. ἐγὼ δ᾽ οὐκ εἰδέναι μέν φημι τὸ σαφές. οὐ γὰρ συγγεγενῆσθαί σοι πρότερον. οὐ μὴν ἀλλ᾽ οἴεσθαι, σὲ μὲν ἐγνωκέναι περὶ τούτων, ἐμὲ δὲ συνειρηκέναι ταῖς σαῖς ἐπιθυμίαις. ταῦτα δ᾽ ἀκούοντες ἐδέοντό μου παρακελεύεσθαί σοι, καὶ προσεπείπειν ἐπὶ τῶν αὐτῶν τούτων μένειν. ὡς οὐδέποτε ἂν γενομένων οὔτε καλλιόνων ἔργων οὔτε ὠφελιμωτέρων τοῖς Ἕλλησιν. οὔτ᾽ ἐν καιρῷ μᾶλλον πραχθησομένων. εἰ μὲν οὖν εἶχον τὴν αὐτὴν δύναμιν ἥνπερ πρότερον, καὶ μὴ παντάπασιν ἦν ἀπειρηκώς, οὐκ ἂν δι᾽ ἐπιστολῆς διελεγόμην. ἀλλὰ παρὼν αὐτὸς παρώξυνον ἄν σε καὶ παρεκάλουν ἐπὶ τὰς πράξεις ταύτας. νῦν δ᾽ ὡς δύναμαι παρακελεύομαί σοι μὴ καταμελῆσαι τούτων, πρὶν ἂν τέλος ἐπιθῇς αὐτοῖς. ἔστι δὲ πρὸς μὲν ἄλλο τι τῶν ὄντων ἀπληστίας ἔχειν οὐ καλόν. αἱ γὰρ μετριότητες παρὰ τοῖς πολλοῖς εὐδοκιμοῦσι. δόξης δὲ μεγάλης καὶ καλῆς ἐπιθυμεῖν καὶ μηδέποτ᾽ ἐμπίπλασθαι προσήκει τοῖς πολὺ τῶν ἄλλων διενεγκοῦσιν. ὅπερ σοὶ συμβέβηκεν. ἡγοῦ δὲ τότε ἕξειν αὐτὴν ἀνυπέρβλητον καὶ τῶν σοὶ πεπραγμένων ἀξίαν, ὅταν τοὺς μὲν βαρβάρους ἀναγκάσῃς εἱλωτεύειν τοῖς Ἕλλησι πλὴν τῶν σοὶ συναγωνιζομένων, τὸν δὲ βασιλέα τὸν νῦν μέγαν προσαγορευόμενον, ποιήσῃς τοῦτο πράττειν, ὅ ἂν σὺ προστάττῃς. ταῦτα δὲ κατεργάσασθαι πολὺ ῥᾷόν ἐστιν ἐκ τῶν νῦν παρόντων, ἢ προελθεῖν ἐπὶ τὴν δύναμιν καὶ τὴν δόξαν ἣν ἔχεις ἐπὶ τῆς βασιλείας τῆς ἐξ ἀρχῆς ὑμῖν ὑπαρξάσης. οὐδὲ γὰρ ἔσται λοιπὸν ἔτι, πλὴν θεὸν γενέσθαι. χάριν δ᾽ ἔχω τῷ γήρᾳ ταύτην μόνην, ὅτι προήγαγεν εἰς τοῦτό μου τὸν βίον, ὥσθ᾽ ἃ νέος ὢν διενοήθην καὶ γράφειν ἐπεχείρουν ἐν τῷ πανηγυρικῷ λόγῳ καὶ τῷ πρὸς σὲ πεμφθέντι, τούτων ἤδη τὰ μὲν νῦν γιγνόμενα διὰ τῶν σῶν ἐφορῶ πράξεων. τὰ δ᾽ ἐλπίζω γενήσεσθαι.

Ἰσοκράτης Ἀλεξάνδρῳ χαίρειν.

ΠΡὸς τὸν πατέρα σου γράφων ἐπιστολήν, ἄτοπον ᾤμην ποιήσειν, εἰ περὶ τὸν αὐτὸν ὄντα σε τόπον ἐκείνῳ, μήτε προσείπω μήτε ἀσπάσομαι, μήτε γράφω τι τοιοῦτον ὃ ποιήσει τοὺς ἀναγιγνώσκοντας μὴ νομίζειν ἤδη με παραφρονεῖν διὰ τὸ γῆρας μηδὲ παντάπασι ληρεῖν. ἀλλ᾽ ἔτι τὸ καταλελειμμένον μοι μέρος καὶ λοιπὸν ὂν, οὐκ ἀνάξιον εἶναι τῆς δυνάμεως ἣν ἔχον νεώτερος ὤν. ἀκούω δέ γε πάντων λεγόντων ὡς φιλάνθρωπος εἶ καὶ φιλαθήναιος καὶ φιλόσοφος. οὐκ ἀφρόνως ποιῶν. ἀλλὰ νοῦν ἐχόντως. τῶν τε γὰρ πολιτῶν ἀποδέχεσθαί σε τῶν ἡμετέρων οὐ τοὺς ἠμεληκότας αὐτῶν καὶ πονηρῶν πραγμάτων ἐπιθυμοῦντας, ἀλλ᾽ οἷς συνδιατρίβων, οὐκ ἂν λυπηθείης. συμβάλλων τε καὶ κοινωνῶν πραγμάτων, οὐδὲν ἂν βλαβείης. οὐδ᾽ ἀδικηθείης, ὥσπερ χρὴ πλησιάζειν τοὺς εὖ φρονοῦντας. τῶν τε φιλοσοφιῶν οὐκ ἀποδοκιμάζειν μὲν οὐδὲ τὴν περὶ τὰς ταῖς ἰδίαις διατριβαῖς. οὐ μὴν ἁρμόττειν

οὔτε τοῖς τοῦ πλήθους προεστῶσιν, οὔτε τοῖς τὰς μοναρχίας ἔχουσιν· τούτοις γὰρ συμφέρον οὐδὲ πρέπον τοῖς μεῖζον τῶν ἄλλων φρονοῦσιν, οὔτ' αὐτοῖς ἐρίζειν πρὸς τοὺς συμπολιτευομένους, οὔτε τοῖς ἄλλοις ἐπιτρέπειν πρὸς αὐτοὺς ἀντιλέγειν. ταύτην μὲν οὖν οὐκ ἀγαπᾶν σε τὴν διατριβήν. προαιρεῖσθαι δὲ τὴν παιδείαν τὴν περὶ τοὺς λόγους, οἷς χρώμεθα περὶ τὰς πράξεις τὰς προσπιπτούσας καθ' ἑκάστην τὴν ἡμέραν, καὶ μεθ' ὧν βουλευόμεθα περὶ τῶν κοινῶν. δι' ἣν νῦν τε δοκεῖς περὶ τῶν μελλόντων ἐπιεικῶς τοῖς ἀρχομένοις προστάττειν, καὶ οὐκ ἀσκόπως ἃ δεῖ ποιεῖν ἑκάστους, περί τε τῶν καλῶν καὶ δικαίων καὶ τῶν τούτοις ἐναντίων ὀρθῶς κρίνειν. πρὸς δὲ τούτοις κολάζειν ὡς προσῆκόν ἐστιν ἑκάτερα. Σωφρονεῖς οὖν ταῦτα μελετῶν. ἐλπίδα γὰρ τῷ τε πατρί σου καὶ τοῖς ἄλλοις παρέχεις, ὡς ἂν πρεσβύτερος γενόμενος ἐμμείνῃς τούτοις, τοσοῦτον προέξεις τῇ φρονήσει τῶν ἄλλων, ὅσονπερ ὁ πατήρ σου διενήνοχεν ἁπάντων.

Ἰσοκράτης Φιλίππῳ χαίρειν.

Ἐγὼ καίπερ ἐπικινδύνου παρ' ἡμῖν ὄντος εἰς Μακεδονίαν πέμπειν ἐπιστολήν, οὐ μόνον νῦν ὅτε πολεμοῦμεν πρὸς ὑμᾶς, ἀλλὰ καὶ τῆς εἰρήνης οὔσης, ὅμως γράψαι πρὸς σε εἱλόμην περὶ Διοδότου. δίκαιον εἶναι νομίζων, πάντας μὲν περὶ πολλοῦ ποιεῖσθαι τοὺς ἐμαυτῷ πεπλησιακότας καὶ γεγενημένους ἀξίους ἡμῶν. οὐχ ἥκιστα δὲ τοῦτον, καὶ διὰ τὴν εὔνοιαν τὴν εἰς ἡμᾶς καὶ τὴν ἄλλην ἐπιείκειαν. μάλιστα μὲν οὖν ἐβουλόμην ἂν αὐτὸν συσταθῆναι δι' ἡμῶν. ἐπειδὴ δὲ δι' ἑτέρων ἐντετύχηκέ σοι, λοιπόν ἐστί μοι μαρτυρῆσαι περὶ αὐτοῦ. καὶ βεβαιῶσαι τὴν γεγενημένην αὐτῷ πρὸς σὲ γνῶσιν. Ἐμοὶ γὰρ πολλῶν καὶ παντοδαπῶν συγγεγενημένων ἀνδρῶν καὶ δόξας ἐνίων μεγάλας ἐχόντων, τῶν μὲν ἄλλων ἁπάντων, οἱ μέν τινες περὶ τὸν λόγον, οἱ δὲ περὶ τὸ διανοηθῆναι καὶ πρᾶξαι δεινοὶ γεγόνασιν. οἱ δ' ἐπὶ μὲν τοῦ βίου σώφρονες καὶ χαρίεντες. πρὸς δὲ τὰς ἄλλας χρήσεις καὶ διαγωγάς, ἀφυεῖς παντάπασιν. οὗτος δὲ οὕτως εὐάρμοστον τὴν φύσιν ἔχει, ὥστε ἐν ἅπασι τοῖς εἰρημένοις τελειότατος εἶναι. καὶ ταῦτ' οὐκ ἂν ἐτόλμων λέγειν, εἰ μὴ τὴν ἀκριβεστάτην πεῖραν αὐτός τε εἶχον αὐτοῦ, καὶ σὲ λήψεσθαι προσεδόκων, τὰ μὲν τούτῳ χρώμενον αὐτῷ, τὰ δὲ καὶ παρὰ τῶν ἄλλων τῶν ἐμπείρων αὐτοῦ πυνθανόμενον. ὧν οὐδεὶς ὅστις οὐκ ἂν ὁμολογήσειεν εἰ μὴ λίαν εἴη φθονερός, καὶ εἰπεῖν καὶ βουλεύσασθαι οὐδενὸς ἧττον αὐτὸν δύνασθαι, καὶ δικαιότατον καὶ σωφρονέστατον εἶναι καὶ χρημάτων ἐγκρατέστατον. ἔτι δὲ καὶ συμβιῶναι ἁπάντων ἥδιστον καὶ λιγυρώτατον. πρὸς δὲ τούτοις πλείστην ἔχειν παρρησίαν, οὐχ ἣν οὐ προσῆκεν, ἀλλὰ τὴν εἰκότως ἂν μέγιστον γενομένην σημεῖον τῆς εὐνοίας τῆς πρὸς τοὺς φίλους. ἣν τῶν δυναστῶν, οἱ μὲν ἀξιόχρεων τὸν ὄγκον τῆς ψυχῆς ἔχοντες, τιμῶσιν ὡς χρησίμην οὖσαν. οἱ δ' ἀσθενέστεροι τὰς φύσεις ὄντες ἢ κατὰ τὰς ὑπαρχούσας ἐξουσίας δυσχεραίνουσιν ὥσπερ ἀφαιρουμένης τι ποιεῖν βιαζομένην αὐτούς. οὐκ εἰδότες ὡς οἱ μάλιστα περὶ τοῦ συμφέροντος ἀντιλέγειν τολμῶντες,

neque multitudinis præfectis, neque regnum tractantibus. Non enim vtile, neque decorum eſſe his, qui reliquos anteeunt ſapientia, vel vt ipſi cum ſuis in gerenda repub. adiutoribus contendant, vel vt alios repugnare ſibi patiantur. Hoc igitur ſtudium te non admodum probare: ſed eam inſtitutionem ſequi quæ in ornata prudentique oratione conſumitur, qua quotidie ſolemus in negotiis obuiis & impendentibus vti, & quam ad conſultandum de Repub. adhibemus, cuius inſtinctu videris idonea de rebus agendis mandata tuis ſubditis imponere, & non ſtultè, quæ ad officium ſingulorum pertineant, tum honeſtorum & iuſtorum tum eorum quæ ſunt his contraria iudicare, Ad hæc vtroſque pro dignitate tractare. Sapis igitur, qui in his operam ponas: Nam & aliis & patri tuo ſpem facis, ſi per reliquam ætatem omnem in hiſce permanſeris fore vt tantū prudentia cæteros vincas, quantum pater tuus excellit vniuerſos.

Iſocrates Philippo ſalutem.

QVanquam apud nos minimè tutum eſt literas in Macedoniam mittere, non tantum cum bellum aduerſus vos exiſtit, verùm etiam cum pax intercedit, tamen de Diodoto ad te ſcribere in animum induxi. Nam cum æquum eſſe cenſeo, vt magni ab omnibus fiant, quicunque mea familiaritate ſunt vſi digniq; habiti, tū præſertim hunc magnī faciendum iudico, non tam propter beneuolentiā, qua nobis fuit coniunctus, quàm ob reliquam ipſius probitatem. Quare cuperem inprimis, eum per nos tibi commendatum eſſe: verùm quoniam ex aliis conuerſationibus tibi cognitus eſt, reſtat, vt ſolùm ei teſtimonium tribuam & priſtinam apud te notitiam illi confirmem. Nam cum plurimos nationum omnium viros ſub mea diſciplina habuerim, eorúmque nonnulli magnam laudem conſecuti ſint, cæteri ferè omnes partim arte dicendi, partim in capiendis conſiliis gerendiſque rebus euaſerunt præſtabiles: partim in vita ſapientes & gratioſi: cæterùm ad reliquos vſus & munia, natura prorſus inepti. Hunc verò tam habilem idoneámque indolem natura dedit, vt in omnibus recenſitis eſſet perfectiſſimus. Et hæc affirmare quidem non auderem, niſi & ipſe periculum eius feciſſem, & te ſumpturum conſiderē partim ex eius colloquiis & conuerſatione: partim ex aliorum quibus ipſum experientia natum fuerit, approbatione, quorum nemo eſt, qui niſi prorſus inuidia captus ſit: nō fateatur enim & in dicendo & in conſultando cū ſummis viris comparandum, atque iuſtiſſimum, ſapientiſſimum & pecuniarum abſtinentiſſimum eſſe, itemque familiarem iucundiſſimum ſuauiſſimumque, & in loquendo magnā libertatem adhibere, non illicitam tamen aut contumacem, ſed eā quæ ſignum eſt euidentiſſimum beneuolentiæ inter amicos, quam principes, qui dignum imperio animum poſſident, & vtilem amplectuntur, quorum verò mentes propter imbecillitatem fortunis potentiæque non reſpondent illi eam auerſantur & oderunt, quaſi ad aliquid contra voluntatem, faciendum vi compellentem. Etenim non vident eos, qui maximè de vtilitate, quid audent contradicere, pleniſſi-

niſsimam facultatem ipſis ad ea quæ volunt, perficienda, ſuppeditare: perſpicuum enim eſt per eos, qui ad voluptatem & gratiam loquuntur, non dico regna quæ multa neceſſaria pericula trahunt: ſed ne reſpublicas quidē quæ firmare ſecuritatis præſidio ſunt plerunque munitæ, conſtitui rectè poſſe. Eos verò qui de rebus vtiliſsimis liberè ſententiam dicunt, neceſſe eſt, ſæpenumero ſalutem adferre, & in clariſsimis ampliſsimiſque negotiis non corrumpi aut peruerti. Quare iuſtum eſt, vt apud omnes Monarchas plus poſsint hi, qui veritatem ingenuè profitentur, quàm qui omnia quidem ad gratiam, nihil verò quod operæ precium ſit dicunt. Sed videmus apud nonnullos ipſorum in minori precio fuiſſe. Quód etiam Diodoto malè cecidit apud aliquos Aſiæ principes, quorum rationes cum plurimum iuuiſſet, non ſolum conſilio, verum etiam re & vitæ periculo, quoniam liberè, quæ conſuluiſſet illis profutura ſuaſerat, etiam domeſticis honoribus & omni fere reliqua ſpe ab ipſis eſt ſpoliatus. Et maius pondus habuerunt vitiſsimorum hominum aſſentationes quàm huius bene merita. Quare cum ad vos adire vellet, perſæpe metu eſt prohibitus, non quod omnes exiſtimaret ſimiles, qui in iiſdem dignitatibus eſſent conſtituti, ſed propter calamitatem ab illis acceptam: non fuit ad benè de vobis ſperandum admodum alacris & promptus. Atque meæ quidem ſententia, planè facit idem, quod aliqui ex nauigantibus, qui ſi primum impetiti ſint procellis & turbinibus, non facile magna ſiducia mare rurſus ingrediuntur, tametſi ſciant fœlicem ſæpe lætamque nauigationem incidere poſſe. Verùm cum tu iuſtitiæ & æquitatis rationem apprimè ſoleas habere, credo pulchrè cum eò tibi conuentum iri: partim cum intueor tuam humanitatem in exteris nationibus celebrem peruagatámque partim cum nobis minimè obſcurum aut ignotum eſſe arbitror, quam ſit iucundum, conſultúmque fidelium ſimul & vtilium hominum ſibi amicitias bene merendo conciliare & in eos potiſſimum beneficia conferre, quorum nomine, multi etiam alij gratiam vobis ſint habituri. Nam omnes boni, quos honeſtorum virorum conſortio rectè frui intelligunt, eos tantum laudibus vehere, & colere ſolent quantum ſi ipſi eum familiaritatis fructū perciperent. At enim ipſum Diodotum perfecturum eſſe non dubito vt ſui curam amorémq; tibi ſummoperè commendet. Adhortatus etiam ſum illius filium, vt ſe veſtris rationibus adiungeret, ac vobis tanquā diſcipulum ad faciendos longiores progreſſus traderet. Ille verò, cum hæc dicerem, cupere ſe quidem veſtram amicitiam oſtendit: verùm eiuſdem erga illam ſeſe animum gerere, quem erga coronarios ludos. Hos enim ſuperare quidem in votis eſſe, ſed ad certamen ipſum deſcendere nequaquam audere, quod dignum coronis robur in ſe non inueniret: item honores & dignitates apud vos conſequi optare quidem, at adepturum ſe non ſperare. Nam & ſua inertia, & veſtro ſplendore deterreri: præterea ſui corporis exilitatem non idoneam: ſed in cauſſa eſſe quamobrem ſe à multis negotiis impediri putaret.

πολλῶν αὐτὸν πρὸς τὰ πολλὰ τῶν πραγμάτων.

οὗτοι πλείστην ἐξουσίαν αὐτοῖς τοῦ πράττειν ὅ τι ἂν βούλωνται παρασκευάζουσιν. εἰκὸς μὲν γὰρ διὰ τοὺς ἀεὶ πρὸς ἡδονὴν λέγειν προαιρουμένους, οὐχ ὅπως μοναρχίας δύνασθαι ποιεῖν δυνάμεις αἳ πολλοῖς τοῖς ἀναγκαίοις ἐξέλκονται κινδύνοις, ἀλλ᾽ οὐδὲ τὰς πολιτείας, αἳ μετὰ πλείονος ἀσφαλείας εἰσί. διὰ δὲ τοὺς ἐπὶ τῷ βελτίστῳ παρρησιαζομένους πολλὰ σώζεσθαι δύναται καὶ τῶν ἐπιδόξων διαφθαρήσεσθαι πραγμάτων. ὧν ἕνεκα προσήκει μὲν παρὰ πάσαις ταῖς μοναρχίαις πλέον φέρεσθαι τοὺς τὴν ἀλήθειαν ἀποφαινομένους τῶν ἅπαντα μὲν πρὸς χάριν, μηδὲν δὲ ἄξιον χάριτος λεγόντων. συνέβη δὲ ἔλαττον ἔχειν αὐτοὺς παρ᾽ ἐνίοις αὐτῶν. ὃ καὶ Διοδότῳ παθεῖν συνέπεσε παρά τισι τῶν τὴν Ἀσίαν δυναστευόντων. οἷς πολλὰ μὲν χρήσιμος γενόμενος, οὐ μόνον τῷ συμβουλεύειν, ἀλλὰ καὶ τῷ πράττειν καὶ κινδυνεύειν διὰ τὸ παρρησιάζεσθαι πρὸς αὐτοὺς ὑπὲρ ὧν ἐκείνοις συνέφερε, καὶ τῶν οἴκοι τιμῶν ἀπεστερήθη, καὶ πολλῶν ἄλλων ἐλπίδων. καὶ μεῖζον ἴσχυσαν αἱ τῶν τυχόντων ἀνθρώπων κολακεῖαι, τῶν εὐεργεσιῶν τῶν τούτου. δι᾽ ἃ δὴ καίπερ πρὸς ὑμᾶς ἀεὶ προσιέναι διανοούμενος, ὥσπερ εἶχεν, ὀκνεῖ, οὐχ ὡς ἅπαντας ὁμοίους εἶναι νομίζων τοὺς ὑπ᾽ αὐτῶν ὄντας, ἀλλὰ διὰ τὰς παρ᾽ ἐκείνων γεγενημένας δυστυχίας, καὶ πρὸς τὰς παρ᾽ ὑμῶν ἐλπίδας οὐ προθυμότερος ὤν. παραπλήσιον ἐμοί γε δοκεῖ πεπονθέναι τῶν πλεόντων τισίν. οἳ πρότερον ὅταν χρήσωνται χειμῶσιν, οὐκέτι θαρροῦντες εἰσβαίνουσιν εἰς τὴν θάλασσαν, καίπερ εἰδότες ὅτι καλοῦ πλοῦ πολλάκις ἐπιτυχεῖν ἔστιν. οὐ μὴν ἀλλ᾽ ἐπειδὴ συνέστηκέ σοι καλῶς ποιῶν, λογίζομαι γὰρ αὐτῷ συνοίσειν, μάλιστα μὲν τῇ φιλανθρωπίᾳ τῇ σῇ λογιζόμενος, ἣν ἔχειν ὑπείληφας παρὰ τοῖς ἔξωθεν ἀνθρώποις. ἔπειτα νομίζω οὐκ ἀγνοεῖν ὑμᾶς, ὅτι πάντων ἐστὶν ἥδιστον καὶ λυσιτελὲς τὸ πιστοὺς ἅμα καὶ χρησίμους φίλους κτᾶσθαι ταῖς εὐεργεσίαις. ἐπὶ τοιούτους δ᾽ οὐ πάντας, ὑπὲρ ὧν πολλοὶ καὶ τῶν ἄλλων χάριν ὑμῖν ἕξουσιν. ἅπαντες γὰρ οἱ χαρίεντες τοὺς τοῖς σπουδαίοις τῶν ἀνθρώπων καλῶς ὁμιλοῦντας, ὁμοίως ἐπαινοῦσι καὶ τιμῶσιν, ὥσπερ αὐτοὶ τῆς ὠφελείας ἀπολαύοντες. ἀλλὰ γὰρ Διόδοτον αὐτὸν οἶμαί σε μάλιστα προτρέψασθαι πρὸς τὸ φροντίζειν ἑαυτοῦ. συνέπεισα δὲ καὶ τὸν υἱὸν αὐτοῦ τῶν ὑμετέρων ἀντέχεσθαι πραγμάτων. καὶ παραδοῦναι ὑμῖν ἑαυτόν, ὥσπερ μαθητὴν εἰς τὸ μεῖζον προελθεῖν προελθεῖν. ὁ δὲ ταῦτά μου λέγοντος, ἐπιθυμεῖν μὲν ἔφησε τῆς ὑμετέρας φιλίας. οὐ μὴν ἀλλὰ παραπλήσιόν τι πεπονθέναι πρὸς αὐτὴν καὶ πρὸς τοὺς στεφανίτας ἀγῶνας. ἐκείνοις γὰρ νικᾶν μὲν ἂν βούλεσθαι, καταβῆναι δ᾽ εἰς αὐτοὺς οὐκ ἂν τολμῆσαι διὰ τὸ μὴ κατεγνωκέναι ῥώμης ἀξίας τῶν στεφάνων. τῆς τε παρ᾽ ὑμῶν τιμῆς, δέξασθαι μὲν ἂν τυχεῖν, οὐκ ἐρικῶς δ᾽ αὐτὴν προσδοκᾶν. τότε γὰρ ἀπεικάζει τὴν αὐτοῦ καταπεπλῆχθαι, καὶ τὴν λαμπρότητα τὴν ὑμετέραν. ἔτι δὲ καὶ τὸ σῶμα πρὸς οὐκ ἐπιεικῶς ἂν ἀλλ᾽ ἔχοι πρόφασιν, ἣν νομίζειν ἡμ-

οὗτος μὲν οὖν ὅτι δοκεῖ αὐτῷ συμφέρειν, τοῦτο πράξει. σὺ δὲ ἐάν τε περὶ ἡμᾶς, ἐάν τε ἡσυχίαν ἔχων διατρίβειν περὶ τούτους τοὺς τόπους, ἐπιμελοῦ καὶ τῶν ἄλλων μὲν ἁπάντων ὧν τυγχάνει δεόμενος, μάλιστα δὲ τῆς ἀσφαλείας καὶ τῆς τούτου καὶ τῆς τοῦ πατρὸς αὐτοῦ. νομίσας ὥσπερ παρακαταθήκην ἔχειν τοῦτον, παρά τε τοῦ γήρως ἡμῶν, ὃ προσήκοντως ἂν πολλῆς τυγχάνει προνοίας, καὶ τῆς δόξης τῆς ὑπαρχούσης εἴ τινος ἄρα σπουδῆς ἐστιν ἀξία, καὶ εὐνοίας τῆς περὶ ὑμᾶς ἣν ἔχων ἅπαντα τὸν χρόνον διατετέλεκα. καὶ μὴ θαυμάσῃς μήτ' εἰ μακροτέραν γέγραφα τὴν ἐπιστολὴν, μήτ' εἴ τι περιεργότερον ἢ πρεσβυτικώτερον εἰρήκαμεν ἐν αὐτῇ. πάντων γὰρ τῶν ἄλλων ἀμελήσας, ἑνὸς μόνου ἐφρόντισα τοῦ φανερῶς ἀποδεῖξαι τὸν ἄνδρα φίλον καὶ προσφιλέστατόν μοι γεγενημένον.

Ἰσοκράτης Τιμοθέῳ χαίρειν.

Περὶ μὲν τῆς οἰκειότητος τῆς ὑπαρχούσης ἡμῖν πρὸς ἀλλήλους, οἶμαί σε πολλῶν ἀκηκοέναι. συγχαίρω δέ σοι πυνθανόμενος ὅτι πρᾳότερον μὲν τῇ δυναστείᾳ τῇ παρούσῃ κάλλιον χρῇ τοῦ πατρὸς καὶ φρονιμώτερον. ἐπεὶ θ' ὅτι προαιρῇ δόξαν καλὴν κτήσασθαι μᾶλλον ἢ πλοῦτον μέγαν συναγαγεῖν. σημεῖον γὰρ οὐ μικρὸν ἐκ τῆς ἀρετῆς. ἀλλ' ὡς δυνατὸν, μάλιστα ταύτην ἔχων τὴν γνώμην. ὥστ' ἢν ἐμμείνῃς τοῖς περὶ σοῦ νῦν λεγομένοις, οὐκ ἀπορήσεις τῶν ἐγκωμιασομένων, τήν τε φρόνησιν τὴν σὴν καὶ τὴν προαίρεσιν ταύτην. ἡγοῦμαι δὲ καὶ τὰ διηγήματα περὶ τοῦ σοῦ πατρὸς, συμβάλλεσθαι μεγίστην τινὰ πρὸς τὸ δοκεῖν εὖ φρονεῖν σε καὶ διαφέρειν τῶν ἄλλων. εἰώθασι γὰρ οἱ πλεῖστοι τῶν ἀνθρώπων οὐχ οὕτως ἐπαινεῖν καὶ τιμᾶν τοὺς ἐκ τῶν πατέρων τῶν εὐδοκιμούντων γεγονότας, ὡς τοὺς ἐκ τῶν δυσκόλων καὶ χαλεπῶν, ἤνπερ φαίνωνται μηδὲν ὅμοιοι τοῖς γονεῦσιν ὄντες. μᾶλλον γὰρ ἐπὶ πάντων κεχαρισμένον αὐτοῖς ἐστι τὸ παρὰ λόγον συμβαῖνον ἀγαθὸν, τῶν εἰκότως καὶ προσηκόντως γιγνομένων. ὧν ἐνθυμούμενον χρὴ ζητεῖν καὶ φιλοσοφεῖν, ἐξ ὧν ἂν εὕροις καὶ μεθ' ὧν, καὶ τίσι συμβούλοις χρώμενος, τάς τε τῆς πόλεως ἀτυχίας ἐπανορθώσεις, καὶ τοὺς πολίτας ἐπί τε τὰς εὐεργεσίας καὶ τὴν σωφροσύνην προτρέψεις. καὶ ποιήσεις αὐτοὺς ἥδιον ζῆν καὶ θαρραλεώτερον, ἢ τὸν παρελθόντα χρόνον. ταῦτα γάρ ἐστιν ἔργα τῶν ὀρθῶς καὶ φρονίμως δυναστευόντων, ὧν ἔνιοι καταφρονήσαντες, οὐδὲν ἄλλο σκοποῦσι, πλὴν ὅπως αὐτοί τε ὡς μετὰ πλείστης ἀσελγείας διάξουσι, τῶν τε πολιτῶν τοὺς βελτίστους καὶ φρονιμωτάτους ἀμυνοῦνται καὶ δασμολογήσουσι. κακῶς εἰδότες, ὅτι προσήκει τοὺς εὖ φρονοῦντας καὶ τοὺς τὴν τιμὴν ταύτην ἔχοντας, μὴ τοῖς τῶν ἄλλων κακοῖς ἑαυτοῖς ἡδονὰς παρασκευάζειν, ἀλλὰ ταῖς αὑτῶν ἐπιμελείαις τοὺς πολίτας εὐδαιμονεστέρους ποιεῖν· μηδὲ πικρῶς μὲν καὶ χαλεπῶς διακεῖσθαι πρὸς ἅπαντας, ἀμελεῖν δὲ τῆς αὑτῶν σωτηρίας. ἀλλ' οὕτω πρᾴως καὶ νομίμως ἐπιστατεῖν τῶν πραγμάτων, ὥστε μηδένα αὐτοῖς τολμᾶν ἐπιβουλεύειν. μετὰ τοιαύτης δ' ἀκριβείας τὴν τοῦ σώματος ποιεῖσθαι φυλακὴν, ὡς ἁπάντων αὐτοὺς ἀνελεῖν βουλομένων. ταύτην γὰρ τὴν διάνοιαν ἔχοντες, αὐτοί τ' ἂν εἶεν ἔξω τῶν κινδύνων, καὶ παρὰ τοῖς ἄλλοις Ἕλλησιν εὐδοκιμοῖεν. ὧν ἀγαθὰ μείζω χαλεπόν ἐστιν εὑρεῖν.

Hic igitur, quod libitum fuerit, & è re ſua fore exiſtimauerit, id faciet. Tu ſiue nobiſcum erit, ſiue quietem & otium in his locis quæret, operam dabis, vt cum alia quibus indiget, tum ex omnibus maxime ſecuritatem & hunc & huius parenti præſtes. Sic enim tibi perſuadeas velim, hunc tibi quaſi pignus tum noſtræ ſenectutis commiſſum, quæ magni ponderis, ſummæque exiſtimationis apud te non in uria eſſe debet: ſi meum ſtudium beneuolentiámque erga nos perpetuā conſiderare voles. Nec tibi mirum videatur, aut ſi longiores ad te literas miſi, aut ſi quid ſuperſtitioſius aut ſenilius in iis effutiuimus. Nam reliquis rebus vniuerſis poſthabitis, in hoc vnum totam operam cōtuli, vt tibi planum facerem, magnæ mihi curę viros amicos mihique familiariſſimos eſſe.

Iſocrates Timotheo ſalutem.

De mutua inter nos beneuolentia credo multorum ſermonibus certiorem fieri. Quod audio te rectius & prudentius patre imperium tractare, id verò tibi gratulor. Item quod magis ad parandam inſignem gloriam, quam ad opes comparandas anniteris. Non enim leue virtutis ſpecimen præ te fers, ſed multo maximum, qui ſis hoc animo affectus. Quod ſi pertinaciter, in his, quę iā dicūtur de te præſtiteris, non deerūt crede mihi, qui & prudentiā tuam & hoc conſilium laude proſequantur. Arbitror autem, ſi omnia parentis ſui conſilia vel facta proponantur, ex eorum collatione, dilucidū & perſpicuum omnibus fore, quātum & ſapientia valeas, & reliquos antecellas. Plerique enim homines nō tā commendare & honorare ſolent eos, qui claris parentibus nati ſunt, quàm qui à crudelibus & immanibus parentibus orti, nullo flagitio parentum ſimiles exiſtunt. Sic enim natura comparatum eſt, vt in omnibus gratiora ſint nobis ea bona, quæ contra ſpem & expectationem contingunt, quàm quæ expectata ſperatáque. Quod te animo agitare oportet & inquirere ac perueſtigare, quo pacto, cum quibus & quorū cōſilio Reipublicæ calamitates reſtituas in integrum atque ciues ad benefaciendum modeſtéque viuendum adhorteris, ac eis ſuauiorem ſecurioremque vitam efficias quàm præterito tempore fuit. Hæc pertinent ad officium bene prudenterque imperare volentium, quorum nonnulli reliquis neglectis hoc ſolum ſpectant vt ipſi cum ſummo ſcelere vitam exigant, & præſtantiſſimos ciuium atque ſapientiſſimos partim interficiant, partim exactione tributorum vexent. Non enim vident, decere ſapiētes & in hoc dignitatis gradu poſitos, non aliorum incommodis, voluptatem ſibi conſtituere, ſed ſuis curis fœlicitatem ciuium promouere, neque acerbo duróque in omnes animo eſſe, ſuamque ſalutem negligere, ſed adeò manſuetè iuſtéque rebus præeſſe, vt nemo ipſis audeat inſidias moliri: tanta verò diligentia ſuum corpus præſidio munire quanta ſi omnes in ipſius interitum conſpiraſſent. Nam qui ſic animo ſunt inſtructi & ipſi ſuam vitam extra periculum collocare poſſunt, & apud reliquos Græcos nomen ſibi famámque parare, quibus maiora bona vix inuenire queas.

Inter

Inter ſcribendum mihi venit in mentem, quàm omnia proſperè fortunatéque tibi contigiſſent. Nam opum magnificentiam, quæ ſine Tyrannica vi acquiri nullo modo poteſt, magna violētia multíſque offenſionibus contractam tibi parens reliquit. His verò rectè & liberaliter vti, tuum eſt, cuius inprimis tibi habenda cura eſt. Meam quidem ſententiam, aperiam, de qua ſic accipe. Si te mouent diuitiæ, delectat magna & ampla potentia, iuuant pericula, quib. horum comparatio conſtitit, alios tibi in conſilium adhibendos cenſeo. Sin hæc tibi abundè ſuppetunt, virtutem verò, gloriam honeſtā & multitudinis fauorem expetis, meis tibi ſermonib. auſcultandū eſt, & cum his qui ſuas ciuitates bene gubernant, æmulatione eſt contendendum, conandúmque vt ipſos poſt tergum relinquas. Sed audio Cleommem, qui Methymnæ tenet imperium tum in aliis actionibus bonum honeſtúmque & prudentē ſeſe præſtare, tū tantum abeſſe vel vt aliquos trucidet, vel vt in exilium agat, vel vt facultates eorum populo diripiendas tradat, vel vt quiduis aliud eis mali inferat: vt etiam ſuis in gerenda Rep. adiutoribus ſecuritatem maximā præbeat, & exules reſtituat, & reductis priſtinas poſſeſſiones, è quib. eiecti fuerant, reddat, iis verò qui emerant, quæ ſinguli tenuerunt. Adhæc omnes ſuos ciues armare, perinde ac ſi nemo nouos motus eſſet excitaturus: ſin aliqui auderēt, ſibi ante mortem oppetendam putare, & virtutem eiuſmodi ciuibus oſtendendam, quam longius, cum magno ciuitatis incommodo in vita manendum. plura de his tibi diſſerere, iucundius eſſet, niſi me celeriter literas oportuiſſet conficere. Quamobrem poſtea, niſi ſenium impedimento fuerit, de his copioſius. In præſentia, de priuatis negosiis te certiorem faciemus. Autocrator enim qui literas fert, nobis eſt neceſſitudine coniunctus. Nam & in iiſdem ſtudiis & in eadem cum eo arte ſum verſatus, atq; poſtremo ſæpenumerò perfectionis ad te ſuſcipiendæ ſuaſor extiti. Quare velim eum quàm honorificentiſſimē tractes, quantum vtriuſque noſtrū vtilitas poſtulabit, vt intelligat, meam promiſſionē de tua humanitate non inanem fuiſſe. Neque miteris ſi tibi tam facile ſcribo: Clearchum verò nihil vnquam rogaui Eam omnes propemodū qui à vobis nauigant, te inter optimos & præſtantiſſimos meam aliquando diſcipulorum numerant. Clearchum autē id quidem temporis, dum apud nos fuit, omnes qui cū nouerant, ingenuitate & manſuetudine maximè ferūt excelluiſſe in conſuetudine erga ſodales humaniſſimum extitiſſe: poſtquam verò imperium arripuerit, ſubitò tantam feciſſe commutationē, vt omnes, quibus antea notus fuiſſet, in admirationem adduceret. Ab illo igitur ob has cauſſas ſum abalienatus. At te recipio magnique putarem, ſi beneuola erga nos tua voluntas eſſet. Quare tu quoque breui planum facies, an eodem ſis in nos animo. Nam & Autocrator tibi curæ erit, & literas ad nos mittes ad amicitiā & priſtinum hoſpitij ius renouandum. Vale, & ſi quid eſt aliud, quod nos præſtare velis, ſic me per literas certiorem.

ἐνεθυμήθην δὲ μεταξὺ γράφειν, ὡς εὐτυχῶς ἅπαντά σοι συμβέβηκε. τὴν μὲν γὰρ εὐπορίαν, ἣν αἰσχρῶς κτήσασθαι τυραννικῶς, μετὰ βίας πολλῆς καὶ ἀπεχθείας ὁ πατήρ σοι καταλέλοιπε. τὸ δὲ χρῆσθαι τούτοις καλῶς τε καὶ φιλανθρώπως, ἐπὶ σοὶ γέγονεν. ὧν χρή σε πολλὴν ποιεῖσθαι τὴν ἐπιμέλειαν. Ἃ μὲν οὖν ἐγὼ γινώσκω ταῦτ᾽ ἐστίν. ἔχει δὲ οὕτως. εἰ μὲν ἐρᾷς χρημάτων καὶ πολλῆς δυναστείας καὶ κινδύνων, δι᾽ ὧν αἱ κτήσεις τούτων εἰσίν, ἑτέρους σοι συμβούλους παραληπτέον. εἰ δὲ ταῦτα μὲν ἱκανῶς ἔχεις, ἀρετῆς δὲ καὶ δόξης καλῆς καὶ τῆς παρὰ τῶν πολλῶν εὐνοίας ἐπιθυμεῖς, τοῖς τε λόγοις τοῖς ἐμοῖς προσεκτέον τὸν νοῦν ἐστὶ καὶ τοῖς καλῶς τὰς πόλεις τὰς αὐτῶν διοικοῦσιν ἁμιλλητέον· καὶ πειρατέον αὐτῶν διενεγκεῖν. ἀκούω δὲ καὶ Κλέομμιν τὸν ἐν Μηθύμνῃ ταύτην ἔχοντα τὴν δυναστείαν, περί τε τὰς ἄλλας πράξεις καλόν τε κἀγαθὸν εἶναι καὶ φρόνιμον. καὶ τοσοῦτον ἀπέχειν τοῦ τινας ἀποκτείνειν ἢ φυγαδεύειν ἢ δημεύειν τὰς οὐσίας ἢ ποιεῖν ἄλλο τι κακόν, ὥστε πολλὴν ἀσφάλειαν παρέχειν τοῖς συμπολιτευομένοις. κατάγειν δὲ τοὺς φεύγοντας· ἀποδιδόναι δὲ τοῖς μὲν κατιοῦσι, τὰς κτήσεις ἐξ ὧν ἐξέπεσον· τοῖς δὲ πριαμένοις, τὰς ἑκάστοις γενομένας. πρὸς δὲ τούτοις καθοπλίζειν ἅπαντας τοὺς πολίτας ὡς οὐδενὸς μὲν ἐπιχειρήσοντος περὶ αὐτὸν νεωτερίζειν· ἢν δ᾽ ἄρα τινὲς τολμήσωσιν, ἡγούμενος λυσιτελεῖν αὐτῷ τεθνάναι μᾶλλον τοιαύτην ἀρετὴν ἐνδειξαμένῳ τοῖς πολίταις, ἢ ζῆν πλείω χρόνον τῶν ἄλλων τῇ πόλει τῶν μεγίστων κακῶν αἰτίῳ γενομένῳ. Ἔτι δ᾽ ἂν πλείω σοι περὶ τούτων διελέχθην, ἴσως ἂν καὶ χαριέστερον εἰ μὴ παντάπασιν ἐδέησέ με διὰ ταχέων γράψαι τὴν ἐπιστολήν. νῦν δὲ σοὶ μὲν αὖθις συμβουλεύσομεν, ἂν μὴ κωλύῃ με τὸ γῆρας. ἐν δὲ τῷ παρόντι περὶ τῶν ἰδίων δηλώσομεν. Αὐτοκράτωρ γὰρ ὁ τὰ γράμματα φέρων οἰκείως ἡμῖν ἔχει. περί τε γὰρ τὰς αὐτὰς διατριβὰς γέγονα καὶ τῇ τέχνῃ τῇ αὐτοῦ κέχρημαι, καὶ τὸ τελευταῖον πολλάκις περὶ τῆς ἀποδημίας τῆς ὡς σὲ σύμβουλος ἐγενόμην αὐτῷ. διὰ δὴ ταῦτα πάντα βουλοίμην ἄν σε καλῶς αὐτῷ χρῆσθαι καὶ συμφερόντως ἀμφοτέροις ἡμῖν. καὶ γενέσθαι φανερὸς, ὅτι μέρος τι γίνεται τῶν δι᾽ ἐμὲ αὐτῷ. καὶ μὴ θαυμάσῃς εἰ σοὶ μὲν οὕτως ἐπιστέλλω προθύμως. Κλεάρχου δὲ μηδὲν πώποτε ἐδεήθην. σχεδὸν γὰρ ἅπαντες οἱ παρ᾽ ὑμῶν καταπλέοντες, σὲ μὲν φασὶν ὅμοιον εἶναι τοῖς κρατίστοις τῶν ἐμοὶ πεπλησιακότων. Κλέαρχον δὲ κατὰ μὲν ἐκεῖνον τὸν χρόνον ὅτ᾽ ἦν παρ᾽ ἡμῖν ὁμολογοῦσιν ὅσοι ποτὲ ἐνέτυχον ἐλευθεριώτατον εἶναι καὶ πρᾳότατον καὶ φιλανθρωπότατον τῶν μετεχόντων τῆς διατριβῆς. ἐπειδὴ δὲ δύναμιν ἔλαβε, τοσοῦτον ἔδοξε μεταπεσεῖν, ὥστε πάντας θαυμάζειν τοὺς πρότερον αὐτὸν γνώσκοντας. πρὸς μὲν οὖν ἐκεῖνον διὰ τὰς αἰτίας ταύτας ἀπηλλοτριώθην. σὲ δ᾽ ἀποδέχομαι καὶ περὶ πολλοῦ ποιησαίμην γ᾽ ἂν οἰκείως διατεθῆναι πρὸς ἡμᾶς, δηλώσεις δὲ καὶ σὺ διὰ ταχέων, εἰ τὴν αὐτὴν ἔχεις γνώμην ἡμῖν. Αὐτοκράτορός τε γὰρ ἐπιμελήσῃ. καὶ πέμψεις ἐπιστολὴν εἰς ἡμᾶς, ἀνανεούμενος τὴν φιλίαν καὶ ξενίαν τὴν προϋπάρχουσαν. Ἔρρωσο· καὶ εἴ τι ἄλλο δεῖ παρ᾽ ἡμῶν, ἐπίστελλε.

Τοῖς μυτιληναίων ἄρχουσι.

ΟΙ παῖδες οἱ ἀφαρέως υἱιδεῖς δ' ἐμοὶ, παιδευθέντες ὑπὸ ἀγήνορος τὰ περὶ τὴν μουσικὴν, ἐδεήθησάν μου γράμματα πέμψαι πρὸς ὑμᾶς, ὅπως αὖ ἐπειδὴ καὶ τῶν ἄλλων τινὰς κατηγάγετε φυγάδων, καὶ τούτων καταδέξησθε καὶ τὸν πατέρα καὶ τοὺς ἀδελφούς. λέγοντος δέ μου πρὸς αὐτοὺς, ὅτι δέδοικα μὴ λίαν ἄτοπος δόξω καὶ περίεργος, ζητῶν διαπράξασθαι τηλικαῦτα τὸ μέγεθος παρ' ἀνδρῶν οἷς οὐδὲ πώποτε πρότερον οὔτε διελέχθην οὔτε συνήθης ἐγενόμην, ἀκούσαντες ταῦτα πολὺ μᾶλλον ἐλιπάρησαν. ὡς δ' οὐδὲν αὐτοῖς ἀπέβαινεν ὧν ἤλπιζον, ἅπασιν ἦσαν καταφανεῖς ἀηδῶς διακείμενοι καὶ χαλεπῶς φέροντες. ὁρῶν δ' αὐτοὺς λυπουμένους μᾶλλον τοῦ προσήκοντος, τελευτῶν ὑπεσχόμην γράψειν τὴν ἐπιστολὴν καὶ πέμψειν ὑμῖν. περὶ μὲν οὖν τοῦ μὴ δικαίως ἂν δοκεῖν μωρὸς εἶναι καὶ ὀχληρὸς, ταῦτ' ἔχω λέγειν. Ἡγοῦμαι δὲ καλῶς ἂν ὑμᾶς βεβουλεῦσθαι καὶ διαλλαττομένους τοῖς πολίταις τοῖς ὑμετέροις, καὶ πειρωμένους τοὺς μὲν φεύγοντας ὀλίγους ποιεῖν, τοὺς δὲ συμπολιτευομένους πολλοὺς, καὶ μιμουμένους τὰ περὶ τὴν στάσιν τὴν πόλιν τὴν ἡμετέραν. μάλιστα δ' ἄν τις ὑμᾶς ἐπαινέσειεν, ὅτι τοῖς κατιοῦσιν ἀποδίδοτε τὴν οὐσίαν. ἐπιδείκνυτε γὰρ καὶ ποιεῖτε πᾶσι φανερὸν, ὡς οὐ τῶν χρημάτων ἐπιθυμήσαντες τῶν ἀλλοτρίων, ἀλλ' ὑπὲρ τῆς πόλεως δείσαντες, ἐποιήσασθε τὴν ἐκβολὴν αὐτῶν. οὐ μὴν ἀλλ' εἰ καὶ μηδὲν ὑμῖν ἔδοξε τούτων, μηδὲ προσεδέχεσθε μηδένα τῶν φυγάδων, τούτους γε νομίζω συμφέρειν ὑμῖν καταγαγεῖν. αἰσχρὸν γὰρ τὴν μὲν πόλιν ὑμῶν ὑπὸ πάντων ὁμολογεῖσθαι μουσικωτάτην εἶναι, καὶ τοὺς ὀνομαστοτάτους ἐν ταύτῃ τυγχάνειν παρ' ὑμῖν γεγονότας, τὸν δὲ προέχοντα τῶν νῦν ὄντων περὶ τὴν ἱστορίαν τῆς παιδείας ταύτης φεύγειν ἐκ τῆς τοιαύτης πόλεως. καὶ τοὺς μὲν ἄλλους Ἕλληνας, τοὺς διαφέροντας περί τι τῶν καλῶν ἐπιτηδευμάτων καὶ μηδὲν προσήκοντας, ποιεῖσθαι πολίτας. ὑμᾶς δὲ τοὺς εὐδαιμονοῦντάς τι παρὰ τοῖς ἄλλοις καὶ μετασχόντας τῆς αὐτῆς φύσεως, περιορᾶν παρ' ἑτέροις μετοικοῦντας. Θαυμάζω δ' ὅσαι τῶν πόλεων μειζόνων δωρεῶν ἀξιοῦσι, τοὺς ἐν τοῖς γυμνικοῖς ἀγῶσι κατορθοῦντας μᾶλλον, ἢ τοὺς τῇ φρονήσει καὶ τῇ φιλοπονίᾳ τῶν χρησίμων εὑρίσκοντάς τι. καὶ μὴ συνορῶσιν ὅτι πεφύκασιν αἱ μὲν περὶ τὴν ῥώμην καὶ τὸ τάχος δυνάμεις, συναποθνήσκειν τοῖς σώμασιν. αἱ δ' ἐπιστῆμαι παραμένειν ἅπαντα τὸν χρόνον ὠφελοῦσαι τοὺς χρωμένους αὐταῖς. Ὧν ἐνθυμουμένους χρὴ τοὺς νοῦν ἔχοντας, περὶ πλείστου μὲν ποιεῖσθαι τοὺς καλῶς καὶ δικαίως τῆς αὐτῶν πόλεως ἐπιστατοῦντας. δευτέρους δὲ τοὺς τιμὴν καὶ δόξαν αὐταῖς καλὴν συμβάλλεσθαι δυναμένους. ἅπαντες γὰρ ὥσπερ δείγματι τοῖς τοιούτοις χρώμενοι καὶ τοὺς ἄλλους τοὺς συμπολιτευομένους ὁμοίους εἶναι τοῖς τοιούτοις νομίζουσιν. Ἴσως οὖν εἴποι τις ἂν, προσήκει τοὺς αἱρεῖσθαί τι βουλομένους μὴ τὸ πρᾶγμα μόνον ἐπαινεῖν, ἀλλὰ καὶ σφᾶς αὐτοὺς δικαίους ἂν τυγχάνειν, περὶ ὧν ἂν ποιῶνται τοὺς λόγους· ἔχει δ' οὕτως. Ἐγὼ τοῦ μὲν πολιτεύεσθαι καὶ ῥητορεύειν ἀπέσχον. οὔτε γὰρ φωνὴν ἔσχον ἱκανὴν, οὔτε τόλμαν. οὐ μὴν δέ γε παντάπασιν ἄχρηστος ἔφυν οὐδ' ἀδόκιμος.

ἀλλὰ

Mitylenenſium principibus.

FIlij Apharis, nepotes me., in philoſophiæ præceptis ab Agenore inſtituti, precibus à me flagitarunt, vt literas ad vos darem, quò, ſiquidem alios quoſdam exules reſtituiſtis etiam ipſorum patrem & fratres reduceretis: Cúmque dixiſſem vereri me ne admodum inſulſus & vanus exiſtimarer, qui res magnitudine tam arduas ab eiuſmodi viris, cũ quibus neque locutus eſſem, vti qui neque commerciũ habuiſſem, impetrare ſperarẽ his auditis, magis obſecrare me & obteſtari ceperunt. Cũ verò ſpes illis ad reditum planè cecidiſſet magno dolore affecti ſunt & ægrè tulerunt, quod omnib. erat manifeſtũ. Cùm autem incredibili quadam mœſtitia eos confici viderem, tandem recepi, me literas apparaturũ, & ad vos miſſurum eſſe. Hæc ne quis me ſine iuſta cauſſa ineptire, aut moleſtum eſſe putaret commemorare volui. Ego verò conſilium illud veſtrum vehementer probo, quod & cum ciuibus veſtris in gratiam reditis, & exulum numerum minuere: ciuiũ verò amplificare conamini, & in cõponenda ſeditione noſtram ciuitatẽ imitamini. Sed eam ob cauſſam maximè laudibus vos dignos quis iudicet quod reſtituitis rem familiarem & omnia bona repoſuitis. Nã in eo declaratis & omnibus planum facitis vos non alienarum opum cupiditate, ſed quod Reipub. metueretis eos in exilium egiſſe. At verò ſi etiã nihil horum decreuiſtis, neq; quenquam exulũ recipiatis, tamẽ hos reduci ad veſtrã vtilitatẽ plurimũ intereſſe cenſeo. Turpe etenim, veſtrã ciuitatẽ omnium cõſenſum doctiſſimã iudicari, & maximè celebres in hac vobiſcũ verſari. Eum verò qui omnes huius ætatis homines eruditione doctrináq; ſuperat, ab huiuſmodi Repub. extorrẽ viuere: & aliis quidẽ Græcis in more eſſe florentes honeſtis ſtudiis eóſque peregrinos ciuitate donare. Vos autẽ, fœliciter cũ alienis agentes, & eandem naturã attingentes apud alios exulare pati ac ferre. Atque miror eas ciuitates, quæ maioribus pręmiis eos, qui victoriã in olympiacis ludis adepti ſunt, quam qui prudentia & ſedulitate aliquid vtile inuenere, honorant neque animaduertunt roboris & velocitatis vim natura ſic eſſe conſtitutã, vt vnà cũ corporibus intereant: diſciplinas autẽ & ſcientias perpetuò conſiſtere, ſuíſque cultoribus omni tempore prodeſſe. Quæ nos in recenti memoria conuenit habere, & plurimi facere eos, qui rectè iuſtéque ciuitatibus præſunt. Deinde qui gloriam & honorem ipſi conciliare poſſunt. Omnes enim in hos tanquam iudicia quædam oculis coniectis ipſorum ſimiles etiam reliquos ciues arbitrantur eſſe. Quod ſi mihi quis dicat. Eos qui petitionis compotes fieri cupiunt, neceſſe eſt, nõ ſolùm tem laudibus extollere, verùm etiã ſeipſos dignos oſtendere, qui conſequantur ea de quibus orationẽ inſtituerunt, ſic reſponſum habeat. Ego quidem à gubernaculis Reipublicæ & conſuetudine dicendi me remoui, cùm neque vocis robur haberem neque pro concione verba facere auderem, nec tamen prorſus inutilis aut ignobilis extiti:

ſed qui pro vobis vel reliquis ſociis dicere vellent eos a me & conſilio & auxilio adiutos eſſe conſtat, méque tum ad veſtram libertatem tuendam, tum ad commune omnium Græcorum ius defendendũ plures orationes habuiſſe, omnibus qui ſuggeſtus & tribunalia contriuerunt, pro quibus beneficiis, æquũ eſt, vt immortales mihi gratias habeatis. Nã hunc rerum ſtatum potiſſimum concupiiſtis. Sic enim perſuaſum habeo, ſi Timotheus & Conon in viuis eſſent Diophantéſque ex Aſia aduentaret, ſumma diligentia me requiſituros ad ea, quibus opus haberent conficienda. De quibus nihil eſt neceſſe, plura dicere. Nemo enim veſtrûm tam adoleſcens eſt, aut tam obliuioſus, qui non illorum bene merita recordetur. Sic autem optimè mihi videmini, de tota re iudicaturi, ſi conſiderabitis, quis ſit is, qui petit, & pro quibus hominibus. Inuenietis enim me valdè familiariter vſum his, qui tum veſtras tum aliorum rationes multum iuuerunt. Pro quibus verò eiuſmodi qui neque ſeniores, neque Reipub. præſides lædant, & iunioribus colloquia iucunda, vtilia & huic ætati maximè competentia impertiantur. Nec verò mirum vos habeat, cur tam facilè vobis ſcribam & præ cæteris omnibus etiam amiciſſimis literas mittam. Duo enim mihi ſunt propoſita tum vt veſtris liberis gratum faciam, tum vt oſtendam ſi etiam non in foro publiciſque concionibus verſentur: ſed meum ſolummodo propoſitum ſequantur, tamen in reliquis poſſe nõ poſtremos eſſe. Vnum hoc reſtat, vt ſi vobis viſum ſit hæc agere, ſignificetis Agenori & fratribus eius, me quoque aliqua ex parte præſtitiſſe, vt conſequerentur, quæ in optatis erant.

Finis Iſocratis epiſtolarum.

ἀλλὰ τοῖς προῃρημένοις λέγειν ἀγαθόν τι περὶ ὑμῶν καὶ τῶν ἄλλων συμμάχων, φανείην ἂν καὶ σύμβουλος καὶ ἀγωνιστὴς γεγενημένος. αὐτός τε πλείους λόγους πεποιημένος ὑπὲρ τῆς ἐλευθερίας καὶ τῆς αὐτονομίας τῆς Ἑλλήνων, ἢ σύμπαντες οἱ τὰ βήματα κατατετριφότες. ὑπὲρ ὧν ὑμεῖς ἄν μοι δικαίως πλείστην ἔχοιτε χάριν. μάλιστα γὰρ ἐπιθυμοῦντες διετελεῖτε τῆς τοιαύτης καταστάσεως. οἶμαι δ᾽ εἰ Τιμόθεος καὶ Κόνων ἐτύγχανον ζῶντες, Διόφαντος δ᾽ ἧκεν ἐκ τῆς Ἀσίας, πολλὴν ἂν αὐτοὺς ποιήσασθαι σπουδὴν εὑρέσθαι μοι βουλομένους, ὧν ἐτύγχανον χρείαν ἔχοντες. περὶ ὧν οὐκ οἶδ᾽ ὅτι δεῖ πλείω λέγειν. οὐδεὶς γὰρ ὑμῶν οὕτως ἐστὶ νέος οὐδ᾽ ἐπιλήσμων, ὅστις οὐκ οἶδε τὰς ἐκείνων εὐεργεσίας. οὕτω δ᾽ ἄν μοι δοκοῖτε κάλλιστα βεβουλεῦσθαι περὶ τούτων, εἰ σκέψαισθε τίς ἐστιν ὁ δεόμενος, καὶ ὑπὲρ ποίων τινῶν ἀνθρώπων. εὑρήσετε γὰρ ἐμὲ μὲν οἰκειότατα κεχρημένον τοῖς μεγίστων ἀγαθῶν αἰτίοις γεγενημένοις ὑμῖν τε καὶ τοῖς ἄλλοις. ὑπὲρ ὧν δὲ δέομαι τοιούτους ὄντας, οἵους τοὺς μὲν πρεσβυτέρους καὶ τοὺς περὶ τὴν πολιτείαν ὄντας, μὴ λυπεῖν. τοῖς δὲ νεωτέροις διατριβὴν παρέχειν ἡδίστην καὶ χρησιμωτάτην καὶ πρέπουσαν τοῖς τηλικούτοις. μὴ θαυμάζετε δ᾽ εἰ ῥᾳδίως οὕτω γράφω, καὶ περὶ μὲν τῶν ἄλλων ἁπάντων καὶ τῶν φιλτάτων τὴν ἐπιστολὴν πέπομφα. βούλομαι γὰρ ἀμφότερα τοῖς τε παισὶν ὑμῶν χαρίσασθαι, καὶ ποιῆσαι φανερόν, ὅτι κἂν μὴ δημηγορῶσιν, ἀλλὰ μόνον μιμῶνται τὸν τρόπον τὸν ἐμόν, οὐκ ἠμελημένους ἕξουσιν ἐν τοῖς ἄλλοις. ἓν ἔτι λοιπόν. ἢν ἄρα δόξῃ τι τούτων ὑμῖν πρακτέον, δηλοῦν Ἀγήνορί τε καὶ τοῖς ἀδελφοῖς, ὅτι μέρος τι καὶ δι᾽ ἐμὲ τυγχάνουσιν ὧν αὐτοὶ λίαν ἐπιθυμοῦσι τυγχάνειν.

Τέλος τῶν Ἰσοκράτους ἐπιστολῶν.

ΦΑΛΑΡΙΔΟΣ ΕΠΙΣΤΟΛΑΙ ΤΥΡΑΝΝΟΥ ΑΚΡΑΓΑΝΤΙΝΩΝ.

PHALARIDIS AGRIGENTINORVM TYRANNI EPISTOLÆ.

Phalaris Alciboo.

POLYCLITVS Meſſenius, quem tu apud ciues proditionis arceſſis, meũ grauiſſimum morbum ſanauit. Non autem ſum neſcius hoc nuncio tibi dolorem & lachrymas cieri. Te verò, ne ipſe quidem Aſclepius huius artis præſes cum omnibus Diis curare poſſit. Corporis enim infirmitatem, ars curat. Animi verò morbo, ſola medetur mors, quam iuſtiſſimam pro tuis ſceleribus, nõ animo inuito deſignatis, cuiuſmodi mihi obiicis: ſed à voluntate profectis, cuiuſmodi tu perpetraſti, expecta.

Megarenſibus exprobratoria.

NOn ingratitudinem veſtram accuſo, qui multis beneficiis affecti, contra me cum Aſtygitonibus de finibus diſceptantem, falſum teſtimonium dixeritis. Sed meipſum inertiæ condemno,

Φάλαρις Ἀλκιβόῳ.

Πολύκλειτος ὁ μεσσήνιος, ὃν κατηγορεῖς παρὰ τοῖς πολίταις προδοσίαν, ἰάσατό μου νόσον αἰνικτόν. οὐκ ἀγνοῶ δέ, λύπας ἀγγελιζόμενός σοι καὶ δάκρυα. σὲ γὰρ οὐκ ἂν οὐδ᾽ αὐτὸς ὁ τῆς τέχνης ἡγεμὼν ἀσκληπιὸς, μετὰ πάντων ἰάσαιτο τῶν θεῶν. σώματος μὲν γὰρ ἀρρωστίαν, θεραπεύει τέχνη. ψυχῆς δὲ νόσον, ἰατρὸς ἰᾶται θάνατος. ὃν ἀπεχθέστατον ἀντὶ πολλῶν καὶ μεγάλων ἀδικημάτων, οὐκ ἀκουσίων, ὧν ἐμοὶ προφέρεις, ἀλλ᾽ ἑκουσίων, ὧν αὐτὸς εἴργασαι προσδέχου.

Μεγαρεῦσιν ὀνειδιστική.

ΟΥ μέμφομαι τὴν ἀχαριστίαν ὑμῶν πολλάκις εὐεργετημένων. ὅτι μου κρινομένου περὶ τῶν ὅρων πρὸς τοὺς ἀστυγείτονας, κατ᾽ ἐμοῦ ψευδομαρτυρήκατε. κατηγορῶ δ᾽ ἐμαυτοῦ τῆς ἀναλγησίας,

ὅτι περιπηλακιζόμενος ὑπὸ τῶν αὐτῶν πολλάκις, οὐ σωφρονίζομαι. ὑμεῖς μὲν γὰρ, οὐδέποτε χάριτος ἐμοὶ μεμνῆσθε. ἐγὼ δὲ, ὡς μηδέποτε ἐπιλελησμένοις χαρίζομαι.

Τυρσηνῷ.

Εἰ τοὺς μετ᾽ ἀνάγκης τι παρέξαντας τῶν μὴ νομίμων, χαλεπὰς ἔχειν δεῖ περὶ τοῦ μέλλοντος βίου προσδοκίας, ὡς ὑπέφαινες Αἰγεσταίοις, εἰς τὴν τοῦ δαιμονίου πρόνοιαν ἀναφέρων τὰ περὶ ἐμοῦ, τίνας ἐχρῆν ἐλπίδας ἔχειν σε περὶ σεαυτοῦ τὸν μὴ μετ᾽ ἀνάγκης, μηδὲν ὧν παρηνόμηκας, μετὰ γνώμης δὲ ἅπαν ἠσεβηκότα.

Λυκίνῳ.

Οὐκ ὀρθῶς ἠρώτησας ἐν Λεοντίνοις, ὡς παρόντα με καὶ δυνάμενον ἀποκρίνασθαί σοι, τίς εἰμὶ, καὶ τίνων, καὶ πόθεν. ἐγὼ γὰρ ὡς ἐμαυτὸν οἶδα Φάλαριν Λεωδάμαντος υἱὸν, Ἀστυπαλαιέα τὸ γένος, πατρίδος ἀπεστερημένον, τύραννον Ἀκραγαντίνων, ἔμπειρον πολλῶν, ἀπταίστως μέχρι τοῦ παρόντος, οὕτως οἶδα καὶ Λυκῖνον πόρνον μὲν ἐν παισὶ, λάγνον δὲ ἐν νέοις, μοιχὸν δ᾽ ἐν γυναιξὶν, ἀκόλαστον δ᾽ ἐν νόμοις, ἀσελγῆ δ᾽ ἐν ἡδοναῖς, ἀργὸν δ᾽ ἐν εἰρήνῃ, λιποτάκτην δὲ ἐν πολέμοις. δώσοντά μοι καὶ τῶν δημηγοριῶν καὶ τούτων ὧν ἐλέγχω σε δίκην. ἐὰν μὴ θᾶττον ἁλῷς· ἀλλ᾽ οὖν ὅταν ἔκδοτόν σε παραδῶσι Λεοντῖνοι, βουλόμενοι τοῦ πρὸς ἡμᾶς ἀπαλλαγῆναι πολέμου.

Λεοντίνοις.

Εἰ καταλῦσαί με τὸν πρὸς ὑμᾶς ὀρέγεσθε πόλεμον μηδὲν ἀχθεσθέντες, ἔκδοτέ μοι Λυκῖνον, ἵνα τὴν ὀργὴν ἅπασαν εἰς τοῦτον ἀφεὶς, παύσωμαι τοῦ πρὸς τὴν πόλιν θυμοῦ. χρήσομαι δὲ οὐδ᾽ ἐν αὐτῷ χαλεπώτερον, ἢ πάντας ὑμᾶς ἐπίσταμαι βουλομένους.

Ζευξίππῳ.

Τῷ μὲν υἱῷ σου διὰ τὴν νεότητα συγγινώσκω. σοὶ δὲ διὰ τὸ γῆρας καίπερ ἀσύγγνωστα πεποιηκόσιν. εἰ μέντοι μὴ παύσησθε τῆς αὐθαδείας, οὔτε ἐκεῖνον ἡ νεότης, οὔτε σὲ τὸ γῆρας ἐξαιρήσεται. δι᾽ αὐτὰ δὲ ταῦτα καὶ μᾶλλον κολασθήσεσθε, δι᾽ ἃ νῦν συγγνώμης ἀξιοῦσθε.

Εὐήνῳ.

Γνώμης γενόμενος τὸ πρῶτον ἁλόντα αἰχμάλωτον ἀποκτεῖναί σου τὸν υἱὸν, ἀνθ᾽ ὧν ἠδίκηκέ μου τοὺς ναυάρχους, μετέγνων ὕστερον καὶ σέσωκα. μᾶλλον γὰρ βούλομαι διὰ τῆς ἐκείνου ζωῆς σὲ λυπεῖν, ἢ διὰ τῆς ἀναιρέσεως τὸν ἀποθανόντα. Ἔρρωσο.

Σαμέᾳ.

Εἰδώς σου τὴν χρηστότητα τοῦ τρόπου καὶ τὴν ὑπερφυῆ πρὸς ἅπαντας φιλανθρωπίαν, καὶ ὅτι τὰς τῶν πλησίον εὐτυχίας ἡμέρως καὶ συμπαθῶς ἰδίας ἀλγηδόνας, καὶ συμφορὰς ἡγῇ, γέγραφά σοι συντόμως, ὅτι καὶ τὴν δίκην καὶ τὴν ναυμαχίαν καὶ τὴν παράταξιν, καὶ τὸ τελευταῖον τὸν ἱππικὸν ἀγῶνα νενικήκαμεν, ἵνα ἀκούσας ὡς προσήκει καλῷ κἀγαθῷ, στένῃς ἀδιαλείπτως. λαμβάνων παρὰ τῆς σεαυτοῦ φύσεως τὰς ἀξίας καὶ πρεπούσας τοσαύτῃ κακοηθείᾳ βασάνους.

qui ſæpius ab iiſdem læſus, nõ ſapiam, Vobis enim nunquam benemeritorum in mentem venit. Ego verò quaſi nunquam oblitos, benefactis amplifico.

Tyrſeno.

SI qui neceſſitate coacti leges prætereunt, eos de futura vita ſpem malam habere oportet, quemadmodum Ægeſtenſes ad Dei prouidentiam omnia mea referens, docuiſti, quid tibi de teipſo tandem expectandum eſt, qui non neceſſitate ad ſcelus, impelleris, ſed vltro meditatóque ad omnem impietatem proruis.

Lycino.

NOn rectè apud Leontinos me quaſi præſens eſſem & reſpondere poſſem ita interrogaſti, quis eſſem & à quibus oriundus & cuias. Ego enim ſicuti me ſcio Phalarum eſſe Leodamantis filium, Aſtypalæenſem genere, patria fugatum, Tyrannum Agrigentinorum, multarum rerum peritum, conſtantem vſque in hodiernum diem, ſic te noui ſcortatorem puerorum, laſciuum, inter iuuenes, adulterum fœminarum, legum violatorem, in voluptatibus intemperantem, in pace ſegnem, in bello fugitiuum, qui mihi & concionum, & quorũ te nunc redarguo, pœnas depẽdes, niſi citiùs condemneris: tunc ſaltem, cum Leontini te in meam poteſtatem tradent bellum nobiſcum componere volentes.

Leontinis.

SI vobis placet, vt bellum ſuſceptum deponam, ne vereamini Lycinum mihi tradere, vt omnẽ iram in hunc euomens, deſinam ciuitati iratus eſſe. Neque verò crudelius eum tractabo, quàm omnes vos intelligo velle.

Zeuxippo.

Filio tuo propter adoleſcentiam ignoſco, tibi verò propter ſenectutem, tametſi non merebantur veniam quæ deſignaſtis verum niſi contumaciam iſtam correctam à nobis ſenſero neque illum adoleſcentia, neque te ſenectus crimine liberabit. Sed ob hæc ipſa maius ſupplicium ſubibitis, quorum cauſſa veniam antea fuiſtis conſecuti.

Eueno.

CVm primo captiuum tuum filium morte multare ſtatuiſſem, quod in nautas meos iniurioſus fuiſſet. animum poſtea mutaui, vitámque illi donaui. Malo enim per illius vitam tibi mœrorem luctúmque inferre, quàm per occidionem mortuo. Vale.

Samea.

CVm exploratum mihi ſit de tua morum ſanctimonia incredibili, erga omnes homines, benignitate & quod proſperam amicorum fortunã manſuetè, dolentérque tuam mœſtitiam & calamitatem putes, ſcripſi tibi ſuccinctè, quod & actionẽ iudicij & naualem pugnam & aciem & poſtremo equeſtre quoque certamen ſuperauerim, vt hęc audiens, quod bonum probúmque virum decet, ſine intermiſſione ingemiſceres & tua te natura, dignis conuenientibúſque tantæ nequitiæ tormentis affligeret.

Cleoſtrato.

PRorſus mihi cum riſu videtur admirandum, aliquos tua doctrina ſapientiores fieri. Nam qui conatur alios obiurgare, eum omni vitio carere neceſſe eſt. Tu verò cum & eorũ quos doces, & cæteris omnibus generum flagitiis tenearis, tamen quaſi inculpatus ad omnem malitiam, ita hortaris & mones.

Lacrito.

QVod filij mortem, ægro animo pateris totum id tibi donandum. Atque mihi vehementer dolenti quaſi cuiuſdam neceſſarij caſum, maiori triſtitiæ eſt. At tamen firmior quadam natura me aduerſus hæc obfirmo, quod videam nihil ad rem facere, ſi etiam immodica quiſpiam mœſtitia ſeipſum enecet. Verùm tibi in eius infortunij ſit maximum ſolatium, primò quod pro patria pugnans in bello cum dignitate cecidit. Tum quod victori pulcherrimum finem Dij dederint: poſtremò, quod cum nihil vnquã in vita peccaſſet, virtutem ſuam morte quaſi obſignauit. Qui enim vitam bene inſtituit, is num ſit aliquando in infamiam lapſurus incertum eſt. Nam hominis res plerunque fortuna non conſilio regũtur. Qui verò purus ab omni ſcelere mortem oppetijt is in excellẽtiſſimum gradum exiſtimationis & gloriæ peruehit. Quare ſic ſtatutũ habeto, dignas gratias pro genitura, ſimul & educatione te ab ipſo recepiſſe, quod vſque ad finẽ vitę bonus probuſque permanſerit, & hoc ei viciſſim reddito, vt leuiter & moderatè dolorem ipſius cauſſa ſuſceptum, feras.

Megacli.

ET equos ad certamen inſtructos miſimus, & Teucro, vt pecunias daret præcepimus: Quod ſi qua re alia fuerit opus, ne verearis ſcribere. Nulla enim petitio tanta eſt, quam non petenti ſine recuſatione largituri ſimus.

Aglao.

OMnem diuitiarum opulentiam qua nos Deus opt. maximus auxerat, elocauimus ad fortunæ cõmutationes, non in terræ penetralibus, vt tu monere ſolebas: ſed in amicos, quicunque munera voluiſſent accipere. Tu verò ne tantum quidem te metipſum nobis impertis, vt quod ad vos amicos attinet, cum imperio exuti ſpoliatique fuerimus, ſpem aliquam in extremo caſu retineamus. Verum quamuis ante noluiſti at nũc accepto quaſi pignore in tuam fidem depoſito, fac quod officiũ amórque amice poſtulat. Nullam enim terræ plagam iudicáre tutam poterimus ſi vos omnium amicorum in hunc & optimi, quaſi puluere infideliores præteriti à nobis eritis. Quibus fœlicem curſum tenentibus etiamſi ego in aliam fortunam delapſus fuero: tamen lætus, nihilò minùs proſperè fortunatéque me agere arbitrabor.

Herodico.

ALius fortè, læſus damnóque affectus, nihil apud eum qui intuliſſet, de relatione confiteretur, vt nihil omnino ſuſpicãs minore negotio poſſit illaqueari. At ego hominẽ illiberalẽ iudico, qui imprudentem ignorantémque capiat. Ego verò prius abs te paſſus iniuriam prædico moneóque vt impendentem tibi à nobis vltionem caueas:

Κλεοστράτῳ.

ΠΆνυ μοι δοκεῖ μετὰ γέλωτος ἄξιον εἶναι θαυμάσαι τὸ σωφρονίζεσθαί τινας ὑπὸ σοῦ. τὸν γὰρ ἄλλοις ἐπιτιμᾶν ἐπιβαλλόμενον, αὐτὸν ἀπηλλάχθαι χρὴ πάσης πονηρίας. σὺ δὲ ταῖς τῶν ὑπὸ σοῦ νουθετουμένων κακίαις ἔνοχος ὤν, καὶ ταῖς ἄλλαις ἁπάσαις, ὡς ἀνεπίληπτος εἰς πονηρίαν, οὕτω νουθετεῖς.

Λακρίτῳ.

ἈΧθομένῳ μέν σοι βαρέως ἐπὶ τῇ τοῦ παιδὸς τελευτῇ, πᾶσα συγγνώμη. κἀγὼ δὲ σφόδρα συμπαθῶν, ὡς εἰς τὸν οἰκείων τὸ συμβεβηκὸς ἡγούμενος, μᾶλλον ἄχθομαι. καίτοι στερροτέρα φύσει, πρὸς τὰ τοιαῦτα χρώμενος, διὰ τὸ μηδὲν ὄφελος ὁρᾶν μὴ δὲ τοῖς ἀμέτρως ἀνιωμένοις. παραμυθία δὲ ἔστω σοι μεγάλη τῆς ἐπ᾽ αὐτῷ συμφορᾶς, πρῶτον μὲν ὅτι ὑπὲρ πατρίδος ἀγωνιζόμενος ἐν πολέμῳ, σὺν ἀξιωσίᾳ τέθνηκεν. εἶθ᾽ ὅτι νικῶν, καλλίστου τέλους ὑπὸ τῆς εἱμαρμένης ἠξίωται. τὸ δὲ τελευταῖον, ὅτι μηδὲν ἁμαρτὼν παρὰ τὸν βίον, ὑποσφραγίσαι τὴν ἰδίαν ἀρετὴν θανάτῳ. ὁ μὲν γὰρ ἐν τῷ ζῆν ἀγαθὸς, ἄδηλον εἰ μεταβαλεῖ πρὸς τὸ χεῖρον. αἱ τύχαι γὰρ ἀνθρώπων τὸ πλεῖστον οὐχ αἱ γνῶμαι κρατοῦσιν. ὁ δὲ τελευτήσας ἀκατηγόρητος, ἐν τῷ καλλίστῳ σχήματι τῆς δόξης καθίδρυται. νομίσας οὖν ἀξίας παρ᾽ αὐτοῦ χάριτας ἀπειληφέναι γενέσεως καὶ ἀναστροφῆς, τὸ καλὸν κἀγαθὸν μέχρι τέλους αὐτὸν γεγονέναι, ταύτην αὐτῷ τὴν ἀμοιβὴν ἀντίδος, τὸ πρᾴως καὶ εὐπαρηγορήτως τὴν ἐπ᾽ αὐτῷ λύπην ἐνεγκεῖν.

Μεγακλεῖ.

ΚΑὶ τοὺς ἵππους ἐκπέπομφά σοι κεκοσμημένους ἐπὶ τὸν ἀγῶνα, καὶ τὰ χρήματα δοῦναι τεύκρῳ προστέταχα. κἂν ἄλλου του δέῃ, μὴ κατόκνει γράφειν· οὐδὲν γὰρ οὕτως ἔσται μέγα τῶν αἰτημάτων, ὃ μὴ πάντως αἰτησαμένῳ χαριούμεθα.

Ἀγλαῷ.

ἘΚτεθησαυρίκαμεν τοῦ πλούτου, ὅσον παρέσχεν ὁ θεὸς, εἰς μεταβολὰς τῆς τύχης, οὐκ ἐν τοῖς κόλποις τῆς γῆς, ὡς παρῄνεις, ἀλλ᾽ εἰς τοὺς βουληθέντας τῶν φίλων τὰς δωρεὰς λαμβάνειν. σὺ μὲν, οὐδὲ εἰς τοῦτο πρόθυμον ἡμῖν σεαυτὸν ἐχαρίσω, τὸ κατά γε ἡμᾶς τοὺς φίλους, κἂν ἀποσφαλῶμεν τῆς ἀρχῆς, ἔχεσθαι τῶν ἐλπίδων. οὐ μήν. ἀλλ᾽ εἰ καὶ μὴ πρότερον, νῦν γε λαβὼν ὡς παρακαταθήκην ἐμοὶ φυλαχθησομένην, φίλου τι ποίησον ἔργον. πιστὸν γὰρ οὐδὲν ἡγησόμεθα γῆς μέρος, παρελθόντες ὡς κόνιος ἀπιστοτέρους τοὺς ἐξ ὑμῶν τῶν ἑταίρων κρατίστους. οἷς εὐτυχοῦσιν, κἂν αὐτὸς ἑτέρῳ συμπλακῶ δαίμονι, ἡττηθεὶς οὐδὲν ἧττον εὐτυχεῖν δόξω.

Ἡροδίκῳ.

ἌΛλου μὲν ἦν κακῶς πεπονθότος, μηδὲν ὁμολογῆσαι πρὸς τὸν δεδρακότα περὶ ἀμύνης, ἵν᾽ ὡς ἥκιστα πρὸς αὐτὸν ὕποπτος, ἁλῷ. ἐγὼ δὲ τοῦτο μὲν ἀγεννοῦς ἀνδρὸς ἔργον ἡγοῦμαι τὸ, τὸν ἀγνοοῦντα χειρώσασθαι. προειδηπαμένος δὲ ὑπὸ σοῦ, μελλούσῃ φυλάττου τῇ ἐπιούσῃ ἐξ ἡμῶν ἀμυ-

ναι, ἵνα πρὸ τοῦ μὲν παθεῖν, ἡ προσδοκία κολάζῃ σε, μετὰ δὲ τὴν προσδοκίαν, αὐτὸ τὸ παθεῖν.

Εὐμήλῳ.

ΟΤι δοκοῦντος οὔτε ὄντος ἀδίκου τὸν κατάρξαντα πλημμελεῖν, ἀμύνεσθαι, τοῦ προτέρου γεγονότος ὑπὸ σοῦ, τὸ δεύτερον ἀφ᾽ ἡμῶν ἔσεσθαι προσδέχου.

Τεύκρῳ.

ΤΑυρομενίταις τὰ λύτρα τῶν αἰχμαλώτων ἅπερ ἔλαβον ἀπόδος, μὴ ποιούμενος ἐμὴν τὴν χάριν, ἀλλὰ Στησιχόρου. ζῇ γὰρ ἐκεῖνος εἰς τὴν τῶν ληψομένων εὐεργεσίαν, ὁ παρ᾽ ἐμοῦ ταύτην ᾐτημένος. τέθνηκε μέντοι, ἡ περὶ τούτων αὐτοῦ χάρις, εἰς ἀμνήμονας ἀνθρώπους διδομένη.

Ἀριφοίτῃ.

ΤΑ μὲν σὰ, καὶ τούτων ὧν πεπόμφαμεν καὶ πλειόνων ἔτι καὶ μειζόνων ἀγαθῶν, ἄξια. τὰ δ᾽ ἐμὰ μὴ βούλου μαθεῖν. οὐδὲν γὰρ ἐπ᾽ αὐτοῖς ἔχομεν σιγῆς κρεῖττον.

Ἀμφινόμῳ.

ΟΥ διδόναι χάριτας οἴομαι δωρούμενος ἀγαθοῖς ἀνδράσιν, ἀλλὰ πολὺ μᾶλλον παρ᾽ αὐτῶν λαμβάνειν. ὅθεν ἀξιῶ μὴ ὡς προδεδωκότα με χάριν, ἀλλ᾽ ὡς προσοφείλοντα σοι, διὰ τὸ βουληθῆναί σε λαβεῖν ἃ ἐπέμψαμεν, γράφε. Ἔρρωσο.

Ἐρυθίᾳ.

ΚΑὶ περὶ μὲν ἐμαυτοῦ πλείστην οἶδά σοι χάριν, καὶ περὶ τοῦ κοινοῦ παιδὸς, ὃν ἐπὶ σοὶ κατέλιπον Ἐρυθία. περὶ μὲν ἐμαυτοῦ, ὅτι φεύγοντός μου, χηρεύειν ὑπέμεινας μᾶλλον ἢ γήμασθαί τινι, πλείστων ἐγγυᾶσθαι βουλομένων. περὶ δὲ τοῦ παιδὸς, ὅτι σὺ ἀμφότερα καὶ μήτηρ αὐτοῦ καὶ τροφὸς καὶ πατὴρ ἐγένου, οὔτε ἄνδρα ἔπαγεν αὐτῇ Φαλάριδος, οὔθ᾽ υἱὸν αὐτῇ Παυρόλας προτιμήσασα. ἀλλ᾽ αὐτὴ μὲν ἀνδρὸς δευτέρου, τὴν ἐπὶ τῷ προτέρῳ μένουσαν ἑλομένη. αὐτὴ δὲ παιδὸς ἄλλου, τὸν ὑπὸ τοῦ προτέρου σπαρέντα σώζουσα. πλείστην οὖν ἀνδρὶ καὶ υἱῷ τὴν ἀπὸ σεαυτῆς αὐτοῖς διδομένην χάριν, ἄχρις ἂν φρονήσας τὰ ἁρμόζοντα τοῖς χρόνοις, μήτε πατρὸς ἔτι, μήτε μητρὸς προσδέηται. λιπαρῶ δέ σε μετὰ τοσαύτης τῆς δεήσεως, οὐχ ὡς ἀπιστῶν μητρὶ περὶ τέκνου καὶ ταῦτα τοιαύτῃ, ἀλλ᾽ ὡς πατὴρ ὑπὲρ ἑνὸς υἱοῦ φοβούμενος. δύναιο δ᾽ ἂν ἀπὸ τῶν ἑαυτῆς παθῶν, καὶ τὸ τῶν πατέρων ἐπὶ τέκνοις ἐνθυμηθεῖσα δέος, συγγνώμης ἀξιοῦν τὸν οὕτως ἐπιστέλλοντά με. Ἔρρωσο.

Παυρόλᾳ.

ΜΑλιστα μὲν ἀμφοτέρους τοὺς γονέας ὦ παῖ στέργειν σοὶ προσήκει καὶ περὶ πλείστου ποιεῖσθαι. τοῦτο γὰρ καὶ σεμνὸν καὶ ἄλλως εὐσεβὲς υἱῷ μεμνῆσθαι τῆς τῶν γεγεννηκότων καὶ τοσαῦτ᾽ εὐεργετησάντων χάριτος. εἰ δ᾽ οὖν, πατρὸς ἀμέλησον μᾶλλον ἢ μητρός. οὐ γὰρ ἀπὸ τοῦ ἴσου καὶ ὁμοίαν τοῖς πατράσιν ἐν δίκημα πρὸς τέκνων αὔξησιν, καὶ ταῖς μητράσιν. ἀλλ᾽ ἡ μὲν σὺν τῷ κυῆσαι καὶ γεννῆσαι καὶ τιθηνῆσαι, μυρίοις ἄλλοις ἀνέτλησε πόνοις. ὁ δ᾽ ἐκ σπαρέντος ὑπὸ τῆς τεκούσης καὶ τελειωθέντος, ἀπολαύσεως μετέχειν ἀξιοῖ, δυσκόλου πειραθεὶς οὐδενός. ἰδίᾳ γὰρ

ſic enim & ante ſupplicium, te periculi metus puniet, & poſt metum, ipſa pœna & ſupplicium.

Eumelo.

CVm neque opinione neque re ſit iniquū, eum qui prior ad malefaciendum acceſſit, plectere, quoniam prius à te perfectum eſt, alterum à nobis futurum expectabis.

Teucro.

TAuromenitis, prædam quam à captiuis extorſi, reſtitui curabo, & hoc beneficium non mihi, ſed Steſichoro aſcribes. Nam ille ad benemerendum de ſuis viuit ſpiratque, qui hanc à me petiuit. Omnia verò benefacta in hos ab illo profecta, mortua ſunt ei, quippe in ingratos homines collocata.

Ariphetæ.

TVa quidem & his quę mittimus & pluribus adhuc maioribúſque bonis ſunt digna. Mea verò, ne velis perdiſcere. Nihil enim ad ea nobis eſt ſilentio præſtantius.

Amphinomo.

NOn dare me beneficium exiſtimo, cum bonos honeſtóſque viros muneribus orno: ſed potius ab ipſis accipere iudico. Quamobrem peto, ne me beneficium ante præſtitiſſe, ſed maiora tibi debere, quoniam quæ miſimus, admittere non dedignatus es, cenſeas. Vale.

Erythiæ.

TVm quod ad meipſum pertinet, maximā habeo tibi gratiam, tum quod ad filium communem, quē apud te reliqui Erythia. De meipſo, quod me in exilium eiecto, viduā agere potius, quàm in magna procorum copia nubere alij decreueris. De filio quod vtrunque & matrē ipſi atque nutricem & patrem te præſtitiſti, ac neque virum vllum Phalaridis, neque filium Paurolæ præpoſuiſti. Sed pro altero marito, prioris orbitatē, & pro filio alio, genitum è primo conſeruaſti. Quare perge iſtuc beneficium marito filióque vltrò ac ſponte conferre, tantiſper, donec ætate iuſtam prudentiam adeptus, neque patrem, neque matrē amplius deſideret. Neque verò tam obnixè blandiſque precibus hoc à te contendo, quod matris eiúſque talis in filium animo curę diffidam, ſed quod patrum more de vnico filio, metuam. Atqui ex tuis affectibus, facilè quantum patrum de liberis ſoleat eſſe ſollicitudo, coniecturam ſumere, & mihi, qui in hunc modum ſcribam, veniam tribuere poteris. Vale.

Paurolæ.

IN primis tuum eſt ô fili, vtrumque parentē, & amore proſequi & maximi æſtimare. Hoc enim honeſtum piúmque filio eſt, parentum & tam bene meritorū beneficia ſemper in recenti memoria habere. Sin minus, patris ſaltem minorem quā matris rationē ducas. Nō enim ſimilia pariáq; ad liberorū educationem cōferunt & patres & matres. Sed hæc præter quam quod vterum fert, in lucem edit, obſtetricatur, infinitos alios labores exhaurit. Ille verò poſt-

rò, poſtquam eſt alitus à matre perfectúſque, fructum communem vnà percipit, cum nihil moleſtiæ miſeriarúmque ſit expertus. Plus verò reliquis tua mater laborum in te educando propter meam fugam perpeſſa eſt, quæ ſola vtriuſque noſtri curam habuit. Quare tua illam gratitudinem vtriſque parentibus debitam, in vnam matrem, quæ ſola ſubiuit omnia præſtabis. Nam pietate in matrem, implebis etiam quæ patri debentur officia. Etenim mihimetipſi nihil amplius poſtulabo, ſi huic debitam cultum præſtiteris: imò abundè tua in me conſtitiſſe merita fatebor. Decet enim te, pro multis gratiam matri rependere, & ſummorum in patrem beneficiorum initium ab his facere.

Eidem.

QVæ quidem à patre debuerunt in filium proficiſci, ea tibi ſuppeditata ſunt Paurola. Quæ verò à te in patrem, ſi eam cum datur facultas, referre nolis, peccas. Nam audio te literis, cuius te cauſſa ſæpius obiurgaui, parum diligentem operam nauare. Aliam verò gratiam à te recipere non volam, ſi hæc mihi non contigerit. Sic autem perſuaſum habeas literarum emolumentum, ſi gratificari mihi volueris, magis ad eum qui dat beneficium, quàm qui accipit, peruenturum.

Meſſeniis.

POlycletum vt audio medicum veſtrum, accuſatis quaſi proditorem Agrigentinorũ factum, quòd cùm ægrotantem me accepiſſet, poſſetq; morte afficere, ex grauiſſimo morbo eripuerit: & laudem eius iuſtitiæ, vos in iniuſtitiæ vitio ponitis, atque hoc palàm fateri non erubeſcitis. Ego verò magis adducor ad admirandam eius artis vim & naturam, quod cùm ei moribundum me tradidiſſem, non quaſi Tyrannum interemerit: ſed vt ægrotum ſua cura diligentiáque ſeruauerit. Atque veſtra querimonia & accuſatio nullo ei detrimento fuit. Mea verò gratitudo, ſic eum diuitiis auxit, vt primoribus in Sicilia nihil concedat. Nec verò me latet, propter hanc remunerationem ab animo grato profectam, nullum eſſe veſtrûm, qui nõ malit proditor Agrigentinorum, quàm Tyrannicida Phalaridis appellari.

Androcli.

QVanquam ego diligenter curinſéque ad Steſichorum ſcripſi, ne ſollicitus eſſet de criminatione, quam in ipſum apud me Eubulus intendit: tamen tu mihi hoc dabis, vt ei tua fide ſpondeas, me nihil de ipſo mali crediſſe. Facilius enim perſuadebor inſidias ab illo mihi principio poſitas non eſſe, quod affirmarunt, quàm eius carminibus, non priuata malitia inductum, ad inſidiandum acceſſiſſe.

Pythagoræ.

REgnum Phalaridis & Pythagoræ philoſophia remotiſſimis locorum interuallis à ſe inuicem diſtant: Attamen nihil eſt impedimento quamuis hæc ita ſe habeant, quò minus conueniamus, & veram notitiã vterque alterius capiamus. Nam etiam longiſſimè diſiuncta in idem congregat & conducit ratio. Ego itaque, quantum ex auditu poſſum augurari virum optimum probiſſimúmque te iudico. Tu verò caue ſic de me iudicium facias.

δὲ τὴν ἄλλων ἡ σὴ μήτηρ διὰ τὰς ἐμὰς φυγὰς περὶ τῆς σῆς κακοπαθείας πλειόσιν, τὰς ὑπὲρ ἀμφοῖν μόνη φροντίδας ὑποστᾶσα. ὥστε καὶ σὺ τὰς εἰς ἑκατέρους τοὺς γονέας εὐχαριστίας, μιᾷ μητρὶ τῇ πάντα πονησάσῃ ἀπόδος. πεπληρώσεται γάρ σοι καὶ τὰ πρὸς τὸν πατέρα δίκαια διὰ τὴν εἰς τὴν μητέρα φιλοστοργίαν. οὐδὲν γὰρ ἀπαιτήσω πλεῖον εἰς ἐμαυτὸν, ἂν εἰς ταύτην εὐσεβῆς. μᾶλλον δὲ καὶ προσειληφέναι παρὰ σοῦ πολὺ μέρος εὐεργεσίας ὁμολογήσω. πρέπει γάρ σοι μητρὶ χάριν περὶ πολλῶν ἀποδιδόντι, μεγάλης εὐεργεσίας ἀρχὴν κτήσασθαι πρὸς πατέρα.

Τῷ αὐτῷ.

ΤΑ μὲν παρὰ πατρὸς εἰς υἱὸν ἥκηκας δίκαια παρέσχε. τὰ δὲ, ἐκ σοῦ πατρὶ δυνάμενος, οὐκ ἀντιπαρέχων, ἁμαρτάνεις. πυνθάνομαι γάρ σε παιδείας, ὃ πολλάκις ἐμεμψάμην, οὐκ ἐπιμελῆ εἶναι. ἄλλην δὲ χάριν οὐκ ἐπιζητῶ λαβεῖν παρὰ σοῦ, ταύτης ὑστερήσας. ἴσθι δὲ ὅτι καὶ τὸ παιδείας συμφέρον, ἐὰν χαρίσασθαι βουληθῇς, οὐχ ὁ λημψόμενος τὴν χάριν, ἀλλ' ὁ δώσων μᾶλλον καθέξει.

Μεσσηνίοις.

ΠΟλύκλειτον ὡς πυνθάνομαι τὸν ἰατρὸν ὑμῶν μέμφεσθε ὡς προδότην Ἀκραγαντίνων γεγονότα ὅτι με κάμνοντα λαβὼν, δυνάμενος ἀποκτεῖναι, χαλεπωτάτης ἐξήρπασε νόσου. καὶ τὸν ἔπαινον αὐτοῦ τῆς δικαιοσύνης κατηγορίαν ἀδικίας πεποίησθε. καὶ ταῦθ' ὁμολογοῦντες, οὐκ αἰσχύνεσθε. ἐγὼ δὲ θαυμάζω τῆς τέχνης αὐτοῦ τὸν τρόπον μᾶλλον, ὅτι καὶ θνήσκοντά με τις δοθεὶς οὐχ ὡς τύραννον ἀνῄρηκεν, ἀλλ' ὡς νοσοῦντας πονήσας ἔσωσεν. καὶ διὰ μὲν τὴν ὑμετέραν μέμψιν, οὐδ' ὁποῖον πέπονθε κακόν. διὰ δὲ τὴν ἐμὴν εὐχαριστίαν, ὅμοια τοῖς πρώτοις Σικελιωτῶν πεπλούτηκεν. οἶδα γοῦν ὅτι διὰ τὴν δόσιν τῆς εὐχαριστίας, πάντες εὔχεσθε προδόται μᾶλλον Ἀκραγαντίνων, ἢ τυραννοκτόνοι Φαλάριδος ἀκουσθῆναι.

Ἀνδροκλεῖ.

ΚΑγὼ μὲν ἐσπουδασμένως ἐπέσταλκα Στησιχόρῳ μηδὲν ἀχθεσθῆναι περὶ τῆς διαβολῆς, ἣν καθ' αὐτοῦ πεποίηνται πρός με οἱ περὶ Εὔβουλον. καὶ σὺ δὲ δός μοι ταύτην τὴν χάριν ἀνάδοχος αὐτῷ γενόμενος περὶ τοῦ μηδὲν ἐμὲ πονηρὸν κατ' αὐτοῦ πεπιστευκέναι. μᾶλλον γὰρ ἂν πεισθείην ὡς τὴν ἀρχὴν οὐδ' ἐπιβουλευθείην ὑπ' αὐτῶν, ὅπερ ὡμολογήκασιν, ἢ ὡς διὰ τὰς ἐκείνου ποιήσεις, ἀλλ' οὐ διὰ τὰς ἰδίας κακουργίας εἴποιεν ἐπιβεβουλευκότες.

Πυθαγόρᾳ.

ΗΦαλάριδος τυραννὶς, τῆς Πυθαγόρου φιλοσοφίας πλεῖστον ὅσον δοκεῖ κεχωρίσθαι. κωλύει δὲ ὅμως οὐδὲν καὶ τούτων οὕτως ἐχόντων συγγνωμένους ἡμᾶς, τὴν ἀξίαν διαπειρᾶσθαι ἀλλήλων λαβεῖν. δύναται γὰρ ἂν καὶ τὰ πόρρωθεν διεστῶτα συναγαγεῖν ἡ τοιαύτη ὁμιλία. ἐγὼ μὲν οὖν ἀκοῇ τὰ περὶ σοῦ πυνθανόμενος, ἄριστον ἄνδρα πέπεισμαί σε εἶναι. σὺ δὲ περὶ ἐμοῦ μὴ

κεῖν. ψευδὴς γάρ με δόξα λυπεῖ. οὐ μὴν, ἀλλ' ἐμοὶ μὲν οὐκ ἔστιν ἀσφαλὲς ἀφικέσθαι πρὸς σὲ, δι' ἣν κατηγορεῦμαι τυραννίδα. ἄνευ μὲν γὰρ ὅπλων καὶ δορυφόρων ἐρχόμενος, εὐεπιχείρητος ἔσομαι. μεθ' ὅπλων δὲ καὶ φρουρᾶς, ὕποπτος. σοὶ δὲ πάσης ἀσφαλείας κινδύνων ἀπηλλαγμένῳ καὶ παραγενέσθαι πρός με καὶ μεθ' ἡσυχίας συμβιῶναι. λαμβάνων δέ με διαπειρᾶν, ἐὰν μὲν ὡς τύραννον ἐξετάζῃς, ἰδιώτην εὑρήσεις με μᾶλλον ἢ τύραννον. ἐὰν δὲ ὡς ἰδιώτην, ἔχοντά τι διὰ τὴν ἀνάγκην καὶ τυράννου. κρατεῖν γὰρ οὐχ οἷόν τε τοιαύτης ἀρχῆς ὠμότητι μὴ χρώμενον. εἰ δ' ἔστιν ἐν τυραννίδι χρηστότης ἀκίνδυνος, διά τε τ' ἄλλα καὶ διὰ τοῦτό σοι ποθῶ συγγενέσθαι. πείσομαι γάρ σοι τὴν ἡμερωτέραν ὁδὸν πορευθῆναι, ἐὰν τὸ πιστὸν εἰς σωτηρίαν τοῦ πεισθησομένου, μετὰ τῶν Πυθαγόρου λόγων ἡ ἀλήθεια προσβεβαιώσῃ.

Θώρακι.

ΠΟτερον ἐμαυτὸν ὡς ἀσαφῶς γράφοντα μέμψωμαι, ἢ σὲ ὡς ἑκουσίως μαθεῖν μὴ βουλόμενον αἰτιάσομαι, ἀγνοῶ. δύο γάρ σοι μυριάδες ἐκλογισμῶν λελοίπασιν. εἰ σαφέστερον ἐπιζητεῖς διδαχθῆναι, τοὺς ἄλλῳ σε τρόπῳ διδάξοντας, ἢ σὺ μαθεῖν ἂν ἠθέλησας, ἐν τάχει παρ' ἡμῶν προσδέχου. Ἔρρωσο.

Λεοντιάδῃ.

ΟΥ νῦν ἀλλὰ πολλάκις ἤδη σοι γέγραφα μηδεμίαν ἄλλην εὐχαριστίαν ἢ ταύτην ἡμῖν ἀποδιδόναι περὶ τῆς γυναικὸς εἰ ἄρα νομίζεις ὑφ' ἡμῶν εὖ πεπονθέναι διὰ τὸν γάμον, τὸ στέργειν ἐκείνην, δι' ἣν ἡμῖν οἴει δεῖν χάριτας ἀπονέμειν, ἐξ ἧς ἡ συνάφεια τοῦ πρὸς ἡμᾶς γένους, ἀρχὴν εἰληφέναι σοι φαίνεται. Ἔρρωσο.

Ἀριφράδῃ.

ΑΥθάδεια καὶ νεότητος ἀβουλία, πολλοὺς ἀνθρώπων ἀπώλεσεν. οἷς ἀμφοτέροις πάθεσιν, ἴσθι σου τὸν υἱὸν κεχρημένον. ἀδικούμενος δὲ ὑπ' αὐτοῦ δι' ἃς προείρηκα αἰτίας, τὴν ἄμυναν ἐπέσχηκα, σοὶ βουλόμενος οὐκ ἐκείνῳ χαρίζεσθαι. μαρτυρῇ γὰρ ὑπὸ πολλῶν ἀρίστην ἐπιείκειαν ἔχειν παρὰ σεαυτοῦ. διόπερ οὐκ ἐδοκίμαζον διὰ υἱοῦ πονηρίαν, λυπεῖν γῆρας πατρὸς οὐδὲν ἀδικοῦντος. ἕνα γὰρ ἔχων παῖδα τοῦτον, εἰ καὶ πάντως φαῦλός ἐστι, δι' ἐρημίαν ἄλλου διαδόχου, στέργεις. κακίαν γὰρ υἱοῦ, πατρὸς εὔνοια νικᾷ. ἐὰν μέντοι μὴ παύσηται πλεονάζων, ἀπειθῶν δὲ καὶ τοῖς σοῖς παραγγέλμασι καὶ τοῖς ἐμοῖς λόγοις, μὴ ἀγνοήσῃς, ὅτι καὶ περὶ ἐμαυτοῦ καὶ περὶ σοῦ λήψομαι τὰς προσηκούσας παρ' αὐτοῦ δίκας. ἵνα δὲ ὅταν ἐπ' αὐτοῦ γένηται τοῦ κακοῦ, διατείνων ἐν οἷς ἐστι μὴ προσποιηθῇ, δοκεῖν ἠγνοηκέναι, τὰ ὑπ' ἐμοῦ γεγραμμένα πρὸς σὲ, καὶ πρὸς αὐτὸν ἐκεῖνον περὶ τῶν αὐτῶν ἐπέσταλκα. Ἔρρωσο.

Ἀντιμάχῳ.

ΕΙ μὲν ἔχων οὐκ ἀποδίδως τὸ δάνειον, ἑκὼν εἶ πονηρός. εἰ δ' οὐκ ἔχων, ἀδικεῖς μὲν, τὸ δὲ ἀκούσιον παρὰ τοῖς ἀνθρωπίνως λογιζομένοις, συγγνώμης ἀξιοῦται. ἡ δὲ συγγνώμη γίνωσκε, ὅτι μέλλησίς ἐστιν ἀπολήψεως οὐ παντελὴς χρημάτων ἀπόγνωσις.

Nam opinio falſa, mihi dolori eſt. At verò, mihi ad te accedere, non eſt tutum, propter eam, cuius in ſimulor, Tyrannidem. Si enim ſine armis & ſatellitũ comitatu me itineri commiſero, facilè interficiar. Sin cum armis & pręſidiis, ſuſpicionẽ excitabo. Tibi verò extra periculũ poſito liberum eſt, & omnino tutum, ad me venire, & tranquillam vnà vitam agere. Cùm verò tibi cognitus fuero, tũ ſi me quaſi Tyrannum conſideraueris, magis Idiotam quàm Tyránum eſſe comperies: ſin vt Idiotam, inuenies etiam in me Tyrannicum quoddam ineſſe, quoad neceſſitas poſtulat. Tantum enim imperium ſine crudelitate ſæuitiáque retineri non poteſt. Sin in regno leuitas periculo vacat, cùm ob alia tum etiã ob hoc maximè vti ſua conſuetudine cupio. Tu enim mihi perſuadebis, vt mitiorem viã ingrediar, ſi fidem credenti ſalutarem, præter Pythagoræ ſermones, ipſa quoque veritas comprobabit.

Theraci.

VTrũ me ipſum obſcuritatis in ſcribendo cõdemnẽ an te data opera non intelligere velle accuſem, incertus ſum. Duæ enim myriades cogitationum relictę ſunt. Quòd ſi planius doceri ſtudes, breui venturos, qui alia te ratione docturi ſint, quàm tibi placeat à nobis opperire. Vale.

Leontiadi.

NOn iam primùm: ſed antea perſępe ad te ſcripſi, nullam aliã pro vxore, quàm hác gratiam à te nobis referri poſſe, ſi quidẽ tibi propter nuptias, beneficiũ dediſſe videmur, vt eã ames, per quã nobis reddendam gratiam eſſe putas, ex qua in noſtri generis communionem primum videris introiuiſſe. Vale.

Ariphradi.

COntumacia & adoleſcentiæ temeritas, multis mortalibus exitioſa fuit, quibus vtriſq; vitiis filium tuum ſcito vſum eſſe. Quamuis autem iniuria ab illo mihi illata eſt: propter has, quas commemoraui cauſſas, tamen pœnam diſtuli, quòd tibi nõ illi gratificari vellem. Multorum enim præſtantiſſimorũ teſtimonio tibi ſingularis æquitas tribuitur. Quare nolui ex filio malitiã æſtimare, ne ſenectutẽ patris æquiſſimi, quique nullã iniuriam feciſſet in mœrores conicerem. Nam quoniam vnicus eſt tibi filius tametſi omnibus flagitiis inquinatus, tamẽ propter alterius ſucceſſoris deſtitutionẽ, hunc chariſſimum habes. Etenim filij ſcelera, ſuperantur à paterna beneuolentia. Quòd ſi immoderatus eſſe non deſinet, ſed & tuis præceptis & meis ſermonibus inobedientem ſe præbebit, non te clam ſit, me & meipſius & tuo nomine iuſtas ab illo pœnas repetiturum. Vt autem cùm perſiſtens in propoſito in ipſum malum inciderit, ignorantiam prætexere nõ poſſit, eadem quæ ad te ſcripſi, etiam illi per literas ſignificaui. Vale.

Antimacho.

SI habens non perſoluas es alienum, vltrò malus es. Sin autem non habens, iniuſtè quidem agis: attamen quod ab inuito fit, apud homines rem animo conſiderantibus veniam meretur. Veniam verò ſcito cunctationem in accipiendo, non perpetuam pecuniam deſperationem eſſe.

Ariſtomeni.

Ariſtomeni.

NE te mea vulnera, quæ in bello accepi, perturbent. beneuolentiam enim & dolorem tuum, amplector & amo. Tantum autem abeſt hæc me moleſto animo ferre: tametſi parum abfuit, quin mihi mortem conſciſceret: vt cùm omnibus mortalibus mors deteſtabilis & inuiſa habeatur, mihi ſit in votis, fato citiùs, etiamſi plus ad viuendum ſpacij conceſſurum eſſet, in prælio mortem obire. Quid enim viro generoſo præclarius, quàm de virtute & victoria concertando, vitam tepellere.

Xenoviti.

NOn me ſollicitum habent calumniæ & opiniones, quibus aliqui falſo accuſantes aduerſum nos vtuntur. Et hoc animo ſum nullã ſanè aliã ob cauſſam, quàm quod intelligo cæteris natura malis, mihi verò ob eam quæ Diis plus poteſt, neceſſitatem eiuſmodi, accidere. Hoc autem intereſt, quod ego Tyrannus cùm ſim, poteſtatem ex imperio me poſſidere confiteor. Vos verò, cùm ſitis Idiotæ, legum metu deterriti, verum ingenuè fateri non audetis.

Catanenſibus.

CAptos ex veſtris ciuibus aliquos, cùm nullam omnino ſpem ſalutis haberent, amplius quoniam vobis eorum cedes nõ admodum cordi eſſet, incolumes ſeruaui, non quòd inimicitias, quæ mihi vobiſcum intercedunt, è memoria deleuiſſem. Omnium enim obliuioſiſſimus eſſem, ſi minori ſupplicio, quàm ira me hortatur, vos afficere negligerem. Cùm verò dignas mihi pœnas lueris, tum vobis calamitatis magnitudo, ſcelera perpetrata in mentem reuocabit.

Steſichori filiabus.

TAuromenitæ quidem, pro quibus ad me ſcribitis & ex patris iuſſu cùm vita ceſſerit, id facere confirmatis, non ſanè digni erant, quibus humanitas exhiberetur vlla. Cùm enim nihil in eos deliquiſſem vnquam, neque grauiter neque leuiter, bellum per iniuriam mihi intulerunt. Steſichorus verò non ſolùm vt hoc à me beneficium ferat, dignus eſt, quod per vos flagitat cũ precium, quod eis pro redimendis captiuis imperaui, reddi iubet, verùm etiam ſi quid ſupra vires propemodum poſtulare. Quamuis enim morte abreptus videtur, quod nemò rationis compos facilè dixerit, tamen eiuſmodi vir mea opinione, mortem non ſubiuit. Non enim tantum vim habebit odium Tauromenitarum, vt Steſichorus quod modò petit non ſit impetraturus, dummodo in Phalaridis, id poteſtate ſitum ſit. Nam ab illo omnes homines vinci par eſt, omnium verò maximè me, qui inter tot hominum myriadas, quos cognoui, integriorem viri ac præſtantiorem animum non viderim. Quamobrem iuſſi, vt eis pecuniæ redderentur, & hoc beneficium non dare me veſtro parenti, ſed ab illo capere exiſtimo.

Critophemo.

OFficiũ boni amici, & tu facis & omnes quicunque mihi plus quàm quo de fortitudine teſtificãtes,

Ἀριστομένει.

ΜΗ συνάχθου μοι περὶ τῶν τραυμάτων ὧν τέτρωμαι κατὰ τὸν πόλεμον. τὸ μὲν γὰρ εὔνουν καὶ συμπαθές σου, ἄγαμαι· τοσοῦτον δ᾽ ἀπέχω τοῦ βαρέως φέρειν ἐπὶ τοῖς τοιούτοις εἰ καὶ παρ᾽ ὀλίγον ἦλθον ἐξ αὐτῶν ἀποθανεῖν, ὥστε ἀπευκτοῦ τοῦ θανάτου ὄντος πᾶσιν ἀνθρώποις, δεξαίμην ἂν καὶ τῆς εἱμαρμένης θᾶττον εἰ καὶ πλείονά μοι χρόνον ἐπιτρέποι ζῆν, ἐν πολέμῳ τελευτῆσαι. τί γὰρ ἀνδρὶ γενναίῳ μεῖζον ἀγαθόν, ἢ περὶ ἀρετῆς καὶ νίκης ἀγωνιζομένῳ ἀπερείσασθαι τὸν βίον.

Ξενοπείθει.

ΟΥκ ἄχθομαι ταῖς διαβολαῖς οὔτε ταῖς δόξαις ἃς ἔχουσιν ἐφ᾽ ἡμῖν οἱ μὴ δικαίως κατηγοροῦντες. καὶ τοῦτο δι᾽ οὐδὲν ἕτερον πέπονθα, ἢ διὰ τὸ γινώσκειν, ὅτι τοῖς μὲν ἄλλοις φύσει κακοῖς, ἐμοὶ δὲ διὰ τὴν καὶ θεῶν πλεῖον ἰσχύουσαν ἀνάγκην τοιούτῳ γενέσθαι συνέβη· διαφέρει δὲ καθόσον, ὅτι ἐγὼ μὲν τύραννος ὤν, ἐξουσίαν διὰ τὴν ἀρχὴν ἔχειν ὁμολογῶ· ὑμεῖς δὲ ἰδιῶται γεγονότες, παρ᾽ ὅσον δεδοίκατε τοὺς νόμους, ὁμολογεῖν δέον, ἀρνεῖσθε.

Καταναίοις.

ΑΧθέντας αἰχμαλώτους τῶν ὑμετέρων πολιτῶν, οὐδεμίαν ἐκ τῆς μοίρας ἔχοντας ἐλπίδα σωθῆναι, διὰ τὸ μὴ σφόδρα ὑμῖν αὐτῶν ἀναιρεθέντων μέλειν, σέσωκα, οὐκ ἐπιλελησμένος τῆς πρὸς ὑμᾶς ἔχθρας. ἁπάντων γὰρ ἂν εἴην ἐπιλησμονέστατος, εἰ τοῦ θυμοῦ μικροτέραν δίκην παρ᾽ ὑμῶν λαβεῖν καταφρονήσαιμι. ὅταν δὲ τὴν κατ᾽ ἀξίαν ὑπόσχητέ μοι, τόθ᾽ ὑμᾶς τὸ μέγεθος τῆς συμφορᾶς, ὧν ἐδράσατε κακῶν ἀναμνήσει.

Ταῖς Στησιχόρου θυγατράσι.

ΤΑυρομενῖται μὲν, ὑπὲρ ὧν γράφετε πρός με ἐπιστολὴν ἔχειν λέγουσαι παρὰ τοῦ πατρὸς ὅτε μετήλλαττε τὸν βίον, οὐδεμιᾶς ἦσαν ἐπιτήδειοι τυχεῖν ἐπιεικείας. οὐδὲν γὰρ ὑπ᾽ ἐμοῦ πώποτε πλημμεληθέντες οὔτ᾽ ἔλαττον οὔτε μεῖζον, ἐξήνεγκαν ἀδίκως τὸν κατ᾽ ἐμοῦ πόλεμον. Στησίχορος δὲ οὐ μόνον ταύτης τῆς χάριτος ἄξιός ἐστι παρ᾽ ἐμοῦ τυχεῖν ἣν αἰτεῖται δι᾽ ὑμῶν, τὰ λύτρα τῶν αἰχμαλώτων αὐτοῖς, ἅπερ εἰσεπραξάμην ἀποδοθῆναι προστάξαι, ἀλλ᾽ εἰ καί τι τῶν ἀδυνάτων ἐστὶ μεῖζον. καὶ γὰρ εἰ τεθνάναι δοκεῖ τισιν, ὅπερ οὐδεὶς ἂν εὖ φρονῶν εἴποι, ἐμοὶ γοῦν ὁ τοιοῦτος, οὐ τέθνηκε. μὴ γὰρ τοσοῦτον ἰσχύσειε τὸ κατὰ Ταυρομενιτῶν μῖσος, ὥστε Στησίχορον αἰτησάμενόν τι μὴ λαβεῖν, ὧν Φάλαρις ἔχει τὴν ἐξουσίαν. πάντας μὲν γὰρ ἀνθρώπους ὑπ᾽ ἐκείνου πρέπει νικᾶσθαι. περιττότερον δὲ πάντων ἐμέ, τὸν ἐν τοσαύταις μυριάσιν ἀνθρώπων ὧν ἐπειράθην, ἀνδρὸς ἐπιφανεστέραν ψυχὴν οὐκ ἰδόντα, διό τοι, τὰ χρήματα αὐτοῖς ἀποδοῦναι προστέταχα. καὶ τὴν χάριν ταύτην οὐ δεδωκέναι τῷ πατρὶ ὑμῶν μὰ τοὺς θεούς, ἀλλ᾽ αὐτὸς παρ᾽ ἐκείνου μᾶλλον εἰληφέναι νομίζω.

Κριτοφήμῳ.

ΑΓαθοῦ μὲν ἔργον φίλου καὶ σὺ ποιεῖς καὶ πάντες, ὅσοι πλεῖόν τί μοι τῶν μαρτύρων περὶ ἀνδρείας μαρτυρεῖτε,

πεπισμένοι ταῖς ἐμαῖς βουλαῖς ἢ πράξεσιν ἡττῆσθαι λεοντίνους. ἐγὼ δὲ σαφῶς οἶδα τὴν μὲν ἀναγκαίαν ἄμυναν, ὑπ' ἐμοῦ προηγμένην, τὴν δὲ εὐκταιοτάτην νίκην ὑπὸ τῆς τύχης κατορθουμένην. οὐδὲν γὰρ ἐστὶν ὦ φίλτατε τῶν ἐν ἀνθρώποις, οὔτε μεῖζον οὔτε ἔλαττον, ὃ μὴ ταῖς ἐκείνης ῥοπαῖς βεβαιοῦται.

Κτησίππῳ.

Οὔτε πρῶτον ὁ πηνίκα Ταυρομενῖται ἀδίκως ἐξενήνοχαν τὸν κατ' ἐμοῦ πόλεμον, ἀπολυτρώσας τοὺς αἰχμαλώτους ἐκείνοις ἐχαριζόμην, τῷ κοινῷ δὲ νόμῳ τῶν ἑλλήνων, οὐκ ἠναντιώθην, οὔθ' ὕστερον ἀποδιδοὺς ἃ τότε ἔλαβον εὐεργετῶν τοὺς ἀποδιδοὺς ἃ τότε ἔλαβον εὐεργετῶν τοὺς ἀποληψομένους, ὅπερ ὀνειδίζεις, αὐτοῖς ἀπέδωκα. Στησιχόρῳ δὲ πρεσβευσαμένῳ διὰ τῶν θυγατέρων περὶ αὐτῶν ἐπείσθην. Ταυρομενῖται μὲν οὖν καὶ τεθνηκότι Στησιχόρῳ χάριν εἰδέτωσαν, ὧν ἔτυχον. Στησίχορος δὲ τοῖς ἑαυτοῦ τρόποις. ἐγὼ δὲ περὶ πολλῶν καὶ μεγάλων ἐκείνῳ χάριτας εἰδὼς, οὐδὲν περὶ τῆς πρεσβείας ἐμνημόνησα. γινώσκω γὰρ ὅτι δι' αὐτῆς αἰτησάμενός τι παρ' ἐμοῦ, καὶ τυχὼν, Ταυρομενίτας μὲν, εἰς χρήματα εὐηργέτησε. ἐμὲ δὲ εἰς ἐπίδειξιν ἧς ἔχειν ὑπ' ἀνθρώπων ἀπιστοῦμαι χρηστότητος.

Πολυδεύκει.

Θαυμάζειν διὰ τῆς ἐπιστολῆς ἔοικας τὴν περὶ πολύμου μεταβολὴν τοῦ βίου, ὅτι τὸν ἄλλον χρόνον θρασύτερος ἢ κατὰ τύραννον ἐμφανὴς ὢν, τανῦν οὐδὲ τοῖς ἀναγκαιοτάτοις ὁρῶμαι. ἐγὼ δὲ ἐν δευτέρῳ ἤδη, φεύγω πάντας ἀνθρώπους. πίστιν γὰρ οὔτε παρ' ἄλλοις τισὶν, οὔτ' ἐν φίλοις βεβαίαν εὗρον. διὸ πάντα πολυπόνως ἐπιγνοὺς, τὴν ἀοίκητον ἐρημίαν ἐν λιβύῃ, τοῦ μετ' ἀνθρώπων βίου αἱρετωτέραν ὑπολαμβάνω, καὶ τὰ θηρόβατα νομάδων ἐνδιαιτήματα. μᾶλλον γὰρ ἡμῖν λαθεὶς λέουσιν ἀκινδύνως συναυλισθείην ἂν καὶ συνδιαιτηθείην ἑρπετοῖς πᾶσιν, ἢ τοῖς νῦν οὖσιν ἀνθρώποις. τοσοῦτον ἡμῖν αἱ πολλαὶ καὶ ποικίλαι καὶ συνεχεῖς τύχαι ἐμπειρίας καὶ πονηρίας μετέδωκαν.

Πολυγνώτῳ.

Καὶ τοῦ δωρεῖσθαί τι σοι πρὸς τὸ μέλλον καὶ τοῦ γράφειν πεπαύσομαι πολύγνωτε. πέπαυσο δὲ καὶ σὺ τῶν ὑπὲρ ἐμοῦ πρὸς πολλοὺς ἐπαίνων. τοῖς γὰρ ἔργοις με κατηγορῶν, δι' ὧν οὐδὲν προσδέχῃ τῶν πεμπομένων ὑπ' ἐμοῦ, τοῖς λόγοις μὲ ἐγκωμιάζεις, οὐδὲ τοῦτο συνιεὶς, ὅτι λόγος ἔργου σκιὰ παρὰ τοῖς σωφρονεστέροις πεπίστευται.

Κλεομενίδῃ.

Τῶν δωρεῶν ὅσαι μέν σοι πρὸς τὴν γυμνασιαρχίαν ἀνήκουσι, πεπόμφαμεν ἐλαίου μὲν ξεστὰς διακοσίους καὶ πυρῶν μεδίμνους τετρακοσίους. ὅσαι δὲ νεότητός εἰσι τοῦ υἱοῦ σου, τόν τε οἶνον καὶ τοὺς γραμματεῖς παῖδας καὶ τὰ στησιχόρου ποιήματα, εἰ μὴ καὶ ταῦτά τις τὰ δῶρα συρακουσίων ὑποπτεύσει, νεωτέρων ἕνεκεν πραγμάτων ὑπὸ τυράννου πεπέμφθαι.

Γοργίᾳ.

Τὰ μὲν ἄλλα τῆς ἐπιστολῆς σου πάντα καλῶς ἡγοῦμαι γεγράφθαι, τὴν δὲ παράκλησιν τὴν ἐπὶ

meis conſiliis quàm actionibus magis ſuccubuiſſe Leontinos arbitrantur. Ego verò certum habeo neceſſariam defenſionē à me ſuſceptam eſſe: exoptatam verò victoriam à fortuna gubernatam. Nihil enim ô bone vir eſt in humanis rebus neq; tam grande neque tam exiguum, quod non eius viribus & inclinationibus corroboretur.

Cteſippo.

Neque primùm, cùm iniuſto bello Tauromenitæ me prouocaſſent liberatos captiuos, eis donaui, ſed communem Græcorum legem non violare nolui, neque poſtea cum redderem, quæ tum ceperam, beneficium in eos, ad quos fructus perueniebat, quemadmodum tu exprobras contuli. Sed Steſichoro per filias hæc roganti, morē geſſi. Tauromenitæ igitur etiā defuncto Steſichoro gratiam pro his, quæ ſunt adepti, habeant. Steſichorus verò ſuis ipſius moribus & ingenio. Ego verò quo de ſæpenumero ſplendidè benéque meritus fuerat, hanc ei petitionem denegare nō debui. Video autē eiuſmodi fuiſſe deprecationē quam ſi impetraſſet: Tauromenitis quidem quod ad pecunias attinet, auxilio eſſet, Mihi verò ad præbendum ſpecimen eius moderationis à qua me alieniſſimum homines opinantur eſſe, materiam daret.

Polydeuci.

Mirari videris in tuis literis ſubitò meæ vitæ commutationem factā eſſe, qui cùm antè ſolerem audentius etiam quam Tyranno conduceret, in publicum prodire, nunc ne à familiariſſimis quidem conſpiciar. Ego verò contra iā omniū hominum congreſſum fugio vitóque. Fidem enim nec in cæteris, nec in amicis firmam ac ſolidam inueni. Quare cùm omnia miſeriarum plena eſſe videam quamuis deſertā Lybiæ ſolitudinem, & feris patentes Numidum habitationes, conſuetudini vitęque inter homines, anteponendas cenſeo. Minore enim periculo inter leones, omnéque ſerpētum genus, quàm cum huius ſeculi mortalibus habitare, ſomnúmque carpere poſſem. Tantam ex crebris variiſque & continuis fortunæ telis, experientiam malitiámque accepi.

Polygnoto.

Ego te & donis in poſterum afficere & ſcriptis alloqui Polygnote deſinam. Tu verò laudibus etiam nos apud vulgus extollere deſine. Quid enim hoc eſt aliud, quàm reipſa criminari, cùm quæ tibi mitto non accipis, & tamē verbis mihi laudem tribuis, neque hoc intelligis orationem & verba, reipſius vmbram à ſapientioribus exiſtimari.

Cleomenidæ.

Mvnera quantum ad ludos faciendos requiritur, miſimus ad te cados olei ducētos, & frumenti Medimnos quadringentos. Quæ verò ſunt iuuētutis, ad filium tuum, vinum & ſcribas pueros, & Steſichori poëmata, niſi quis hæc etiā dona Syracuſiorum nouandarum rerum cauſſa abs Tyranno miſſa eſſe, ſuſpicabitur.

Gorgiæ.

Qvod ad reliquā tuarū literarū partē attinet, omnia rectè ſcripſiſſe mihi vis' es, adhortatio-

nè futuri temporis vnà maximè ſuperuacaneã eſſe arbitror. Ego enim neque mortem, neque genus vllum mortis formido, & id me ſapienter facere ſtatuo. Fatum enim non ſub hominum leges ſtatutáque cadit. Et omnino, quicunque vel inquirit hæc diligentius, vel acerbius metuit, eum ego ſtolidiſſimum iudico. Si quis aut præcognoſci futura credit, aut ſi præcognita ſint, caueri poſſe. Sin cognitionem non tollit: ſed cautionem euitationémque remouet, quid in cognoſcendo futura operam ponit, quod & ignorantem, & ſcientem eodem modo tangit? At verò, neminem tam impudentem eſſe puto, qui confirmare audeat, non modò ſciri verùm etiam caueri impendentia ne contingant, & ordinari atque diſpenſari loco præcogniti mali, fortunatiorem alium exitum & euentum poſſe. Hoc enim Dei non hominis eſt opus. Quod ſiquis ab Ioue deſcendentes Æacum, Mino & Rhadamanthum alióſque ſemideos, neque immortales extitiſſe, neque aliter, quàm cuiuſque fatum tulit, mortem obiiſſe conſideret, atque idem parcas, aut mortem ægro animo ferat, aut ſollicitè timeat, ecquid ille tibi rationis compos eſſe videtur. Quare in primis operam dabis, vt in his rebus eiuſdem ſis ſententiæ, nullámque de iis curam ſuſcipias. Nos enim omni ſollicitudine vacare ſcias.

Demoteli.

TVis adhortationibus libenter ſanè veniam tribuo. Cùm enim Tyrannus nunquam fueris Tyranno conſulis, vt Tyrannidem deponat, neque verò Deorum quenquam obſidem aut ſponſorem adhibes, cui fortitan fidem adhiberem: ſed teipſum ſatis grauem in tanta re fideiuſſorem fore exiſtimas; fortè quod ignoras periculoſius eſſe deponere tantum imperium quàm parare. Quemadmodum enim vtilius eſt Idiotæ nõ regnũ gerere quàm gerere, ſic Tyranno nõ deponere, quàm deponere regnũ ſatius eſt. Prorſus autẽ conſimili modo de Tyrãnide, queadmodũ de generatione, vitáq; hominis ſentiendũ eſt. Neque homo audiens de ſui procreatione, ſi qua ratione id fieri poſſet, quibus incommodis maliſque per vitam vſurus eſſet, vnquam procreari gignive cuperet, neque Idiota, regnandi libidine ductus, ſi priorum audiat de miſeriis in Tyrannide inſitis: Tyrannus & non potiùs Idiota vitam agere exoptaret. Sic Demoteles Homini non naſci quàm naſci commodius eſſe video, & vſque ad finem vitæ Idiotam manere, quàm cum Tyrannide viuere. Quod igitur ſi antè Tyrannidem hoc mihi conſilium expoſitis malis dediſſes, planè à regnandi cupiditate me reuocaſſes. Nunc verò cùm Tyrannus ſim, & propter imperij neceſſitatem, plurima multò antè pertulerim, ne Deorum quidem regi ſuadenti relinquendum illud eſſe, morem gererem, ne dum homini. Noui enim, ſi me imperio abdicarem, multis grauibúſque moleſtiis ab his, in quos Tyrannidem exercui, afflicto mihi vitam exigendam fore.

Polyſtrato.

TVm cæteris amicis omnibus ſcripſi, vt velociter Agrigentum aduolent, tum à te

τοῖς μέλλουσι περιττὸν εἶναι μάλιστα λογίζομαι. ἐγὼ γὰρ οὔτε τελευτὴν, οὔτε τελευτῆς εἶδος ὀλίγου συμφερτέον ὑπολαμβανόμενος. εἱμαρμένη γὰρ οὐχ ὑπ' ἀνθρώποις νομοθετεῖται. καὶ καθόλου δὲ τὸν ἐξετάζοντα περὶ τῶν τοιούτων, ἢ δεδιότα περὶ τῶν ἐσομένων κακῶν, λίαν εὐήθη νομίζω, εἴτε ἢ προγνῶναι τὸ μέλλον δύνασθαι πέπεισται, ἢ προγνοὺς φυλάξασθαι, εἰ δέ τις τὸ μὲν γνῶναι δυνατὸν ἡγεῖται, τὸ δὲ φυλάξασθαι ἀδύνατον, τί χρείαν ἑαυτοῦ δοκεῖ εἰδέναι τὸ γινόμενον, ὥσπερ ἀγνοοῦντος καὶ γνώσοντος ἴσον. οὐ μὴν ἀλλ' εἰ καὶ συμβῇ γνῶναι καὶ τὸ φυλάξασθαι τοῦτ' αὐτὸ ἐστὶν ἐπίσταταί τις, ὡς γίνεσθαι καὶ διατάξαι ἢ μεταθεῖναι ἄλλο εἴ τι τοῦ προγνωσθέντος χείρονος ἐπιτηδειότερον ὃ τελευτῆσαι δύναιτ' ἄν, ἐγὼ μὲν οὐκ οἴομαι. θεοῦ γὰρ ἔργον τὸ τοιοῦτον, οὐκ ἀνθρώπου. ἐνθυμηθεὶς δέ τις τοὺς λεγομένους ἀπὸ τοῦ Διὸς Αἰακὸν καὶ Μίνω καὶ Ῥαδάμανθυν, καὶ τοὺς ἄλλους ἡμιθέους, οὔτε ἀθανάτους γενομένους, οὔτε ἄλλως ἀποθανόντας ἢ κατὰ τὴν ἰδίαν ἕκαστον εἱμαρμένην. ἢ περὶ μοίρας τοῦ θανάτου δυσανασχετῶν ἢ φοβούμενος, ἐμοὶ σώφρων εἶναί σοι δοκεῖ; μάλιστα μὲν οὖν πειρῶ καὶ σὺ τοιαύτην διάνοιαν ἐν τοῖς ἰδίοις περὶ τῶν ἀφανῶν ἔχειν, ὡς μηδὲν περὶ αὐτῶν φροντίζειν. ἐπίτοι περὶ ἡμῶν, ὡς μηδὲν μεριμνώντων ἐπίστασο.

Δημοτέλει.

ΣΥγγνώμην ἔχουσι τὴν παραίνεσιν. τύραννος γὰρ οὐ γεγονὼς, τυράννῳ συμβουλεύεις καταθέσθαι τυραννίδα. θεῶν μὲν οὐδένα μοι διδοὺς ἐγγυητὴν τῆς ἀσφαλείας, ᾧ τάχα ἂν καὶ ἐπείσθην, ἀξιόπιστον δὲ σαυτὸν ἡγούμενος ἀνάδοχον καὶ ὑπὲρ τηλικούτου πράγματος. ἴσως δὲ οὐκ εἰδὼς ὅτι τοῦ κτήσασθαι τὴν τοιαύτην ἀρχὴν, ἐπισφαλέστερόν ἐστι τὸ καταθέσθαι. ὥσπερ γὰρ ἰδιώτῃ τοῦ τυραννῆσαι πολλῷ λυσιτελέστερόν ἐστι τὸ μὴ τυραννῆσαι, οὕτω τυράννῳ τοῦ καταθέσθαι τὸ μὴ καταθέσθαι τὴν ἀρχὴν τῆς τυραννίδος. καθόλου δὲ τὸ περὶ τυραννίδος οὕτως ὡς περὶ γενέσεως καὶ ζωῆς ἀνθρώπου φρονητέον. οὔτε γὰρ ἄνθρωπος ἀκούσας περὶ τῆς ἑαυτοῦ γενέσεως, εἴπως γένοιτο δυνατὸν, ὅσοις μέλλει δυσκόλοις ἐγχυρῆσαι παρὰ τὸν βίον, γεννηθῆναι βουληθείη ποτ' ἂν, οὔτ' ἰδιώτης ἐπιθυμήσας τυραννῆσαι, πυθόμενος τὰς ἐν τυραννίδι κακοδαιμονίας, τύραννος ἂν ἀλλ' οὐκ ἰδιώτης ἐθελήσειε καταβιῶναι. οὕτω Δημότελες ἀνθρώπῳ τοῦ μὲν γενέσθαι συμφορώτερον ὁρῶ τὸ μὴ γενέσθαι. τοῦ τυραννῆσαι δὲ, τὸ μένειν μέχρι ζωῆς ἰδιώτην. εἰ μὲν οὖν πρὸ τῆς τυραννίδος τὰ περὶ αὐτῆς μοι διηγησάμενος κακὰ συνεβούλευες, πάντως ἂν ἐπείσθην μὴ τυραννῆσαι. τύραννος δὲ ὢν καὶ διὰ τὴν ἀνάγκην τῆς ἀρχῆς εἰς πολλὰ περιπεσὼν κακὰ, οὐχ ὑπ' ἀνθρώπου τινὸς πεισθείην καταθέσθαι ταύτης ἐξουσίαν, ἀλλ' οὐδὲ θεοῦ τοῦ δυναστεύοντος. καταθέμενοι γὰρ τὴν ἀρχὴν, οἶδ' ὅτι δεῖ πολλὰ καὶ δεινὰ παθεῖν ὑπὸ τῶν τυραννηθέντων, οὕτω καταστρέψαι τὸν βίον.

Πολυστράτῳ.

ΚΑὶ τοῖς ἄλλοις ἅπασι φίλοις ἐπέσταλκα διὰ ταχέως ἐλθεῖν εἰς Ἀκράγαντα.

καὶ σοῦ δέομαι παραγενέσθαι πρὸ Ὀλυμπίων. βούλομαι γὰρ τῶν μάλιστα εὐνοούντων σύλλογον ἀγαγὼν, τὴν πρέπουσαν ἐπιμέλειαν ὥσπερ ἄλλοτε καὶ νῦν ποιήσασθαι. καὶ περὶ πραγμάτων ἐπισφαλῶν καὶ μεγάλων γνώμην λαβεῖν· ἀτόπου μὲν ἢ δυσκόλου μεταδώσων οὐδενός. ἀρκέσει γὰρ τοῖς ἐμαυτοῦ. πεισθησόμενος δὲ οἷς ἂν εἴπητε, ἵνα μενούσης μὲν τῆς ἀρχῆς ἐν οἷς ἐστὶ, πολλάκις ὑμᾶς δεξιώσωμαι. πεσούσης δὲ ταύτης ἐὰν δοκῇ τῷ δαίμονι, τὴν ὑστάτην λαβόντες προσαγόρευσιν μνήμονες εὐσεβεῖς τῶν ἐφιλοτιμήθημεν εἰς ὑμᾶς γένοισθε. ἵκετε οὖν ἀνυπερθέτως, τῇ προτέρᾳ προθυμίᾳ κεχρημένοι πρὸς Φάλαριν, ὃν μάλιστα ὑμεῖς γινώσκετε.

Παυρόλᾳ.

Ἐδεξάμην τὸν ὑπὸ σοῦ πεμφθέντα μοι στέφανον ὁλκῆς χρυσῶν ἑξακοσίων, ὃν τύχης μὲν ἕνεκα καὶ τῆς τοῦ πέμψαντος φιλοτιμίας, εἴληφα. στεφανωσάμενος δὲ, αὐτὸν ἡμέραν μίαν ἐν ᾗ τοῖς πατρῴοις θεοῖς ἐπινίκια τῆς πρὸς Λεοντίνους μάχης ἐβουθύτουν, τὸν αὐτὸν ἀπέσταλκα δῶρον Ἐρυθίᾳ τῇ μητρί σου. οὐδένα γὰρ εὗρον ἀξιώτερον τοιαύτῃ κοσμηθῆναι πολυτελείᾳ, ἢ μητέρα. γένοιο δ' ἂν ἡμῖν καλλίων σὺ καὶ πρεπωδέστερος στέφανος, εἰ τῆς τῶν γονέων εὐχῆς ἄξια φρονῶν εὑρεθείης.

Ἱππολυτίωνι.

Ἐπιτρέπω σοι πρός με παραγενέσθαι καθὼς ἀξιοῖς. ὅρκον δὲ οὐδένα σοι δίδωμι, τοῦ μηδὲν σε πείσεσθαι κακὸν, ἀλλὰ πίστιν. εἰ δέ μου τῇ τῶν λόγων ἀπιστεῖς ὑποσχέσει, νῦν με ταῖς ἀληθείαις ἀδικεῖς, οὐχ ὅτε κατηγορήθης. εἰδὼς γάρ με μηδενὶ πώποτε παραβεβηκότα πίστιν, ὡς καταγνωκὼς, ὅρκον μετέρχῃ; καὶ τί διαφέρει πρὸς εὐσέβειαν, ὅρκον ἢ πίστιν συγχέαι. ἀμφότερα γὰρ ἡ γνώμη βεβαιοῖ. Ἔρρωσο.

Πολυτίμωνι.

Εἰ μὲν ἀπὸ τῶν σεαυτοῦ τρόπων στοχαζόμενος ἀπιστεῖς ἐμοὶ, σύνεσιν ἐμοῦ καταδικάζεις οὐ πονηρίαν. εἰ δὲ ἀπὸ τῶν ἐμῶν, ἀγνοίᾳ μου πολὺ διημάρτηκας. τοσοῦτον γὰρ ἀπέχω τοῦ παραβαίνειν πίστιν, ὥστε ἀπ' ἐμαυτοῦ καὶ τοῖς ἄλλοις πέρα τοῦ δέοντος προσέχων, ὡς βεβαιοτέραν πίστεως ἔχουσιν εὐσέβειαν, πολλάκις ἐσφάλην. ἧκε οὖν ἐμοὶ πεισθεὶς ἄνευ δόλου καὶ ἀπάτης. πεισόμενος ἄδικον μὲν οὐδὲν, μαρτυρήσων δὲ πρὸς ἅπαντας, ὅτι Φάλαρις οὐ ψεύδεται πίστιν.

Τεύκρῳ.

Ἀριστομένει τῷ σῷ, τὸ χωρίον παρεδόθη, καὶ Ἱππολυτίων ἀφείθη τῶν ἐγκλημάτων. σὲ δ' ὡς ἐπαγγέλλῃ, προσδοκῶμεν. ἐγὼ δὲ ἔρρωμαι, εἰ τοῦτ' ἐστὶν ἐρρῶσθαι, τὸ πολλοῖς ἐπιχειρήσαντα καὶ τὸ πλεῖστον περιελόμενον διὰ τὰ χείρω, μεταμελεῖσθαι καὶ περὶ τῶν βελτιόνων.

Νικίᾳ.

Ἐφ' οἷς μισεῖς σου τὸν υἱὸν ὅτι τοὺς σοὺς οὐ μιμεῖται τρόπους, ὑπὸ τῶν ἄλλων πάντων φιλεῖται.

peto, vt ante Olympia præſto ſis. Eſt enim mihi in animo, maxime fauentium meis rationibus amicorum concilium habere, atque ita neceſſariam curam obire, & de rebus periculoſis ac arduis cōſilium capere. Nec verò quicquam faciā, quod aut ſceleratum aut illis moleſtum eſſe poſſit. Contentus enim meis ero: ſed idcirco mihi ſic viſum eſt, vt perſuaſus veſtris conſiliis, ſi quidē manſerit in eo ſtatu regnum, in quo nunc eſt, ſępius vos complectar. Sin ceciderit, & ſic in fatis fuerit, hac poſtrema appellatione ſumpta, cum religione quadam meæ erga vos beneuolentiæ, memoriam conſeruetis. Quamobrem venite, ſine cunctatione moráque & priſtinum animorum fauorem erga Phalaridem declarate, qui vobis potiſſimum cognitus & exploratus eſt.

Paurolæ.

Allata eſt ad me miſſa à te corona pōdere ſexcentorum aureorum, quam fortunæ cauſſa & ob eius qui miſerat, liberalitatē accepi. Qua diem vnum redimitus, quo patriis diis gratulatorum ſacrificium pro pugna contra Leontinos inita, afferebam, eandem Erythreæ matri tuæ rurſus dono miſi. Neminem enim reperi digniorem, quem hoc tā precioſo munere ornarem, præter matrem. Tu verò nobis multò pulchrior decentiáque corona fueris, ſi parentum notis tua ſtudia reſpondere inuenientur.

Hippolytioni.

Facio tibi poteſtatem, vt petis, ad me veniendi. Cæterùm iuramento tibi me nullo obligo, nihil te mali paſſurum, ſed fide. Quòd ſi pollicitationi verborum meorum fidem non habes, iam reuera mihi iniuriam facis, & non cùm accuſabaris. Cùm enim noris cùmque à me fidem datam, violatam eſſe, quaſi huius me criminis condemnans, iuſiurandum requiris. Et quid intereſt quod ad religionem pertinet iuſiurandum confundas an fidem. Nam vtrumque animi ſententia comprobat & confirmat. Vale.

Polytimeni.

SI tuos mores intuens & conſiderans non ſatis mihi credis, prudentiæ me non malitiæ inſimulas: ſin meos, ignoratio mei te in errorem impulit. Tantum enim abeſt, præterire me fidem ſolere, vt ex meo ingenio coniecturam faciens, & plus æquo reliquis confidens, quaſi maioris æſtimantibus fidei religionem, perſæpè deceptus falſúſque ſim. Quamobrem ad me venias & tibi perſuadeas, extra dolum & inſidias te fore. Nam & nihil periculi experieris, & apud omnes poſtea teſtimonium perhibebis, fidem à Phalari contemptam non eſſe.

Teucro.

ARiſtomeni tuo villa data eſt, & Hippolytion eſt iudicio abſolutus. Te verò, vt edicas expectamus. Ego ſanè valeo, ſi eſt id valere, cùm multis vim attuleris, & eos ſp[illegible]traueris propter peiora, etiam meliorum pœnitere.

Niciæ.

QVæ tibi cauſſa eſt, odio tuum filium proſequende, quod tuos mores non imitetur, eadem cæteris omnibus eſt eum diligendi. Quare

Quare ſic ſtatuas, omnibus qui hunc diligunt, te inuiſum, atque exoſum eſſe.

Adimanto.

AVdio tibi cum fratre tuo controuerſiam eſſe, vter veſtrûm ſit deterior cùm tu illum nominas, ille rurſum te. Ego verò in ea ſum opinione, immò rectè perſuaſum habeo, reliquis omnibus eũ antecellere nequitia, te verò neque ab illo, neque ab alio vllo hominum ſuperari. Vale.

AEgeſteis.

DEſiſtite pulſos à me in exilium recipere. Phalarim enim neque beneficiis, neque iniuriis facilè quis vincit: id quod ex Melitẽſium & Leontinorum rebus perſpicere poteſtis. Illis enim libertatis, his ſeruitutis autor extiti, quod Leontini meã triremem demerſerant, Melitenſes verò ſeruare merique voluerant. Valete.

Antiſtheni & Theotimo.

MVnerum à me miſſorum, Antiſthenes quidẽ partem ſuſcepit, Theotimus verò non item. Proinde alteri gratiam habeo, alteri verò non ſuccenſeo. Nam alter, qui admiſit, nihil meas opes diminuit, alter me nullo damno affecit.

Meneeli.

NE te probitatis tuæ pœnitudo ceperit, ſi à patris iniquitate & ſcelere vis alienus videri. Alioquin prioris etiam temporis opinionem & famã apud Camarinenſes perdes. Credent enim te ſimulatione ad tempus, non veritate réque ipſa virtuti operam nauaſſe.

Epiſtrato.

TAnquam ad fortunatũ aliquem, ita ad me literas dediſti. Ego verò mearũ rerũ ſtatũ paucis verbis planũ faciã. Si hoc eſt fœliciter agere, ſimul ac in lucem prodieris, orbitatem expertum eſſe, deinde iuuenem caſu quodam patria priuatum, & maxima facultatum parte mulctatum, atque inter Barbarorum mores verſatum, ab omni terra per vim & iniuriam exulem expelli, nec ſolùm ab inimicis: verùm etiam ab iis, in quos tua magna conſtant merita, inſidiis circumueniri, & cùm Tyrannidem ſis adeptus, illam quoque vitam abominari: ſi illud inquam eſt fœliciter agere: prorſus fortunati ſumus.

Onetori.

TV & omnes amici in hoc maximè gratum mihi feceritis, ſi de me nec inquiratis, nec ſollicitudine aliqua maceremini, niſi cùm mihi placitum ſit. Sic enim nobis vtitur fortuna, vt vberiorem lætandi materiam audientibus inimicis, quàm amicis non ſubodorantibus dolendi præbeat.

Eteonico.

REliquorum ſimultates & inimicitiam, quotquot mihi damnum dederunt, facilè, tua autoritate obliuioni mandauerim. Mortales enim cùm ſimus, ſempiternam, nam vt quidam aiunt, tenere non debemus: at Pythonis odiũ non modò viuus: ſed ne mortuus quidẽ, quod tamen omnibus è vita diſcedẽtibus cõtingere ſolet, è memori adeleuero.

σαφῶς ὢν ὅτι πάντες οἱ τοῦτον φιλοῦντες, σὲ μισοῦσι.

Ἀδειμάντῳ.

ΑΚούω σε διαφέρεσθαι πρὸς τὸν ἀδελφὸν ὁπότερος ὑμῶν ἐστι χείρων, σοῦ μὲν ἐκεῖνον λέγοντος, ἐκείνου δὲ, τοὔμπαλιν σέ. ἐγὼ δ' οἴομαι, μᾶλλον δὲ καλῶς πέπεισμαι, τῶν μὲν ἄλλων πάντων ἐκεῖνον εἶναι κακίω· σοῦ δὲ οὔτε ἐκεῖνον, οὔτε ἄλλον ἀνθρώπων οὐδένα. Ἔρρωσο.

Αἰγεσταίοις.

ΠΑύσασθέ μου τοὺς φυγάδας ὑποδεχόμενοι. Φάλαριν γὰρ οὔτ' εὖ ποιῶν τις, οὔτε κακῶς ἐνίκησε. μάθοιτε δ' ἂν τὸ τοιοῦτον, εἰ τὰ Μελιταίων καὶ Λεοντίνων ἴδοιτε. οἷς μὲν γὰρ ἐλευθερίας, Λεοντίνοις δὲ δουλείας, παραίτιος ἐγενόμην· οἱ μὲν, ὅτι τριήρη μου κατέδυσαν· οἱ Μελιταῖοι δὲ, ὅτι καταδυομένην, ἐβούλοντο σῶσαι. Ἔρρωσθε.

Ἀντισθένει καὶ Θεοτίμῳ.

ΤΩν ὑπ' ἐμοῦ πεμφθεισῶν δωρεῶν, Ἀντισθένης μὲν τὸ μέρος ἐδέξατο· Θεότιμος δὲ, οὔ. διὸ τῷ μὲν, οἶδα χάριν. τὸν δὲ, οὐ μέμφομαι. ὁ μὲν γὰρ οὐδὲν ἠλάττωσέ με λαβών. ὁ δ' οὐδὲν ἐζημίωσε.

Μενεκλεῖ.

ΜΗ μεταμέλου χρηστὸς γινόμενος, εἰ βούλει τῆς τοῦ πατρὸς πονηρίας ἀπολιμπανόμενος νομισθῆναι. ἐπεὶ καὶ τῆς προτέρου χρόνου τὴν πρὸς Καμαριναίους ὑπόληψιν προσαπολεῖς. ὑποκρίνεσθαι γὰρ καιροῦ δόξεις, οὐκ ἀληθείᾳ χρηστὸς γεγονέναι.

Ἐπιστράτῳ.

ΩΣ πρὸς εὐτυχῆ τινα γράφειν ἔοικας. ἐγὼ δέ σοι τὰ περὶ ἐμοῦ συντελῶν ἐν βραχεῖ δηλώσω. εἰ τοῦτ' ἐστὶν εὐτυχεῖν τὸ γεννηθέντα μὲν, ὀρφανίας πειραθῆναι. νέον δὲ ὄντα κατά τινα περίστασιν ἐκπεσεῖν τῆς πατρίδος, ἀπολέσαι δὲ τὰ πλεῖστα τῆς οὐσίας, [illegible] δὲ ἐν βαρβάροις ἔθνεσι, φεύγειν δὲ ἐξ ἁπάσης γῆς ἀδικούμενον, ἐπιβουλεύεσθαι δὲ μὴ μόνον ὑπ' ἐχθρῶν, ἀλλὰ καὶ τῶν εὐεργετουμένων, τυραννήσαντα δὲ, ἀπεύχεσθαι καὶ τὸν ἐν τυραννίδι βίον, εὐτυχοῦμεν.

Ὀνήτορι.

ΚΑὶ σὺ, καὶ πάντες οἱ φίλοι τοῦτ' ἄν μοι χαρίζοισθε, μήτε ἐξετάζοντες περὶ ἐμοῦ μηδὲν, μήτε πολὺ πραγματεύοντες, εἰ μή τι βουλοίμην. τοιαῦτα γάρ ἐστι τὰ κατὰ τύχην περὶ ἡμᾶς, ὡς μᾶλλον ἡσθῆναι τοὺς ἐχθροὺς ἀκούσαντας, ἢ λυπηθῆναι τοὺς φίλους μὴ συνυπακούσαντας.

Ἐτεονίκῳ.

ΤΗς μὲν τῶν ἄλλων ἔχθρας ὅσοι τι κακόν με δεδράκασιν, ὡς παρακαλεῖς, κἂν ἐπιλαθοίμην. θνητοὺς γὰρ ὄντας, ἀθάνατον ὀργὴν ἔχειν ὥς φασί τινες, οὐ προσήκει. τῆς μέντοι Πύθωνος εἰς ἐμαυτὸν δυσμενείας, οὐ μόνον ζῶν, ἀλλ' οὐδ' ἂν ἀποθανὼν, ὃ πᾶσι συμβαίνει τοῖς τετελευτηκόσιν ἐπιλαθοίμην.

ὁ γὰρ τὰ μέγιστά με τῶν κακῶν ἐργασάμενος οὗτός ἐστιν. ὁ μετὰ τὴν ἐμὴν φυγὴν Ἐρυθίας τὴν γυναῖκα βουλομένην ἅμα διώκειν, ἀπαρνουμένην δὲ τούτῳ γήμασθαι φαρμάκῳ διαφθείρας.

Μεγαρεῦσι.

ΟΥκ ἐλπίζων παρ' ὑμῶν ἀπολήψεσθαι χάριν τὰς τριήρεις ὑμῶν ἁλούσας μεθῆκα προφανῶς κατ' ἐμοῦ πλεούσας. εἰ γὰρ ἐμέμνησθέ τινος χάριτος, οὐκ ἂν ἐπελάθεσθε, ὅτι πρότερον τρὶς ὑμᾶς ἀποθνήσκοντας ἐν σιτοδείᾳ σέσωκα.

Λεοντίνοις.

ΛΕωνίδαν ὃν ἐξεπέμψατε κατάσκοπον τῶν ἐμῶν πραγμάτων ἁλόντα, δυνάμενος ἀποκτεῖναι, σέσωκα, οὐχ ὑμῖν χαριζόμενος. ἀλλ' ἵνα μὴ ζητῶ, τίς ὑμῖν σαφῶς ἀπαγγείλῃ τὴν παρασκευὴν τοῦ καθ' ὑμῶν πολέμου. καὶ γὰρ ἐμοὶ πιστῶς αὐτὸς βασανίσας τὰ παρ' ὑμῖν ἐδήλωσεν, ὅτι πάντων ἐνδεεῖς ἐστὲ πλὴν λιμοῦ καὶ φόβου. τούτων δὲ ὑμᾶς φησὶ λίαν εὐπορεῖν.

Ἱμεραίοις.

ΕΓὼ πάντα μὲν ὑπὲρ Στησιχόρου πράττειν ἕτοιμός εἰμι. καὶ, εἰ πρὸς αὐτὴν ἔδει με τὴν μοῖραν ὅπλα ἀράμενον περὶ τοῦ θανάτου διαγωνίσασθαι, οὐκ ἂν ὤκνησα, ἐφ' ᾧ γε τι θεῖον ἄνδρα περὶ κάλλους ὑμνῳδίας ἐπαινούμενον, ὑμῖν τε καὶ τοῖς ἄλλοις ἀνθρώποις περισώσασθαι, ὃν ἐξ ἁπάντων αἱ καθαρώταται θεαὶ μοῦσαι προὐτίμησαν ὑμνοπόλων. δι' οὗ μέλπης χορούς ἐξεμάνθανον λογίσασθε. ἦ, ὡς ὅποι ποτ' ἂν ταφῇ Στησίχορος, Ἱμεραῖός ἐστι. καὶ πάσης μὲν πατρίδος κληθήσεται διὰ τὴν ἀρετήν. μενεῖ δὲ ὑμέτερος. ἅμα δὲ, μὴ δὲ οἴεσθε ἕνα τῶν νεκρῶν Στησίχορον, ἀλλ' ἐν τοῖς ποιήμασιν εἶναι, ἃ κοινὰ πάντων ἀνθρώπων πεποίηται. δείξατε δ' ὦ Ἱμεραῖοι, παρὰ μὲν ὑμῖν γεννηθέντα, τραφῆναι τὸν ἥρωα καὶ παιδευθέντα βιῶναι γηράσκοντα ἐν ὕμνοις καὶ μέλεσι. παρὰ δὲ Καταναίοις τοῦτο βουληθεῖσιν, εἴτε δυνηθεῖσιν, εἰς ἄλλο τι τῆς φύσεως μεταβαλούσης, τελευτῆσαι· καὶ ἐν μὲν Ἱμέρᾳ, νεὼς ἱσάσθω Στησιχόρου, μνημεῖον ἀρετῆς ἀθάνατον. ἐν δὲ Κατάνῃ τὸ σπουδαζόμενον ὑπ' αὐτῶν, τάφος. περὶ μὲν οὖν τούτου ὅπως ἂν ἄμεινον δόξειεν ὑμῖν αὐτοῖς, πράσσετε. μήτε χρημάτων τὸ ἐπ' ἐμοὶ, μήτ' ὅπλων ἐνδεεῖς εἶναι νομίζοντες, μήτ' ἀνδρῶν. ἓν δὲ προνοεῖσθε, ὡς οὔτε ἑλοῦσιν ὑμῖν πόλιν ἐν Σικελίᾳ, Σικελιώταις οὖσιν ἀπρεπές. οὔτε μὴ ἑλοῦσιν ὑμῖν πόλιν ἐν Σικελίᾳ Σικελιώταις οὖσιν εὐπρεπές. οὔτε μὴ ἑλοῦσιν ἀσφαλές. τὸν δὲ ἄνδρα μὴ στένετε μήτ' ὀλοφύρεσθε, κἂν ὕστερός τι τῆς ὑπ' αὐτῷ τύχης· τέθνηκε μὲν γὰρ τὸ σῶμα τὸ Στησιχόρου. τὸ ὄνομα δὲ παραλαβὼν ὁ ἀνήνυτος αἰὼν, εὐκλεὲς μὲν ἐν βίῳ, μακάριον δὲ ἐν μνήμαις ἀναθήσει. τὰ μέν τοι μέλη καὶ ἔπη, καὶ παντοῖα ποιήματα παρ' αὐτοῦ καὶ δημοσίᾳ ἐν πᾶσι τοῖς ἱεροῖς ἀναγράψασθαι. καὶ ἰδίᾳ ἕκαστον ἐν τῷ σφετέρῳ οἴκῳ· τότε γὰρ ἂν ἀφανίζοιτο Στησίχορος, ὅταν τούτων τι μὴ φυλάττηται.

Is enim eſt, qui grauiſſimis omnium iniuriis maliſque me afflixit, qui poſt hanc meam fugam, Erythiæ vxori quod me proſequi, neque illi nubere vellet, veneno mortem obtulit.

Megarenſibus.

CAptas triremes veſtras dimiſi manifeſtò cõtrà me nauigãtes omni excluſa ſpe gratiam à vobis me recepturum aliquam. Si enim reddendi beneficij vobis in mentem veniſſet, non hoc obliti eſſetis, quod ter antea vobis penè mortuis charitate annonæ, ſalutem opémque attuli.

Leontinis.

LEonidam, quem res meas exploratum, miſiſtis, captum cum occidere poſſem, viuum ſeruaui, non quidem id in veſtram gratiam: ſed ne mihi quærendum ſit, quis vobis omnem apparatum belli contra vos ſuſcepti ſignificet & denunciet. Mihi enim fideliter ſine quæſtionibus de veſtrarum rerum ſtatu iudicauit, omnium rerum penuria vos laborare, ſame tamen & metu exceptis. Hæc enim affatim vobis ſuppetere.

Himerenſibus.

EGo pro Steſichoro quiduis agere paratus ſum. Quod ſi aduerſus ipſam etiam parcam arma mihi capienda fuiſſent & de morte dimicandum, nihil timuiſſem: ſaltem vt vobis aliíſque mortalibus diuinum virum florentémque carminum laudibus, conſeruaſſem, quem ſanctiſſimæ Deæ Muſæ lyricis vniuerſis antepoſuerunt, à quo cantus chorósque acceperunt. Hoc vos conſiderare velim, vbicunque terrarum ſepultus ſit Steſichorus, eum Himerenſem eſſe: qui omnis patriæ propter virtutem appellabitur, at veſter permanebit. Tum ne cogitetis, Steſichorum in mortuis numerari. Etenim in poëmatis ſuis quæ communia cunctis hominibus fecit, ſuperſtes eſt atque viuit. Quare prædicate bonis auibus ô Himerenſes, apud vos natum educatúmque Heroem, apud vos eruditum inſtitutúmque vixiſſe, ſeneſcentem in Hymnis & carminibus. Apud Catanenſes verò qui hoc voluerunt ſiue potuerunt, natura in diuerſum commutata mortem obiiſſe. Et Himeræ templum ædificetur Steſichori, ſempiternum virtutis monimentum: Catane verò ſepulchrum, quod ſummo ſtudio ab ipſis obſeruatur & expetitur. De hoc igitur, quod vobis viſum fuerit, ſtatuite, atque me neque pecuniis, neque armis, neque corporibus defuturum vobis putate. Vnum autem illud antè perpendite, neque ſi ceperitis vrbem Siciliæ vobis Siculis inhoneſtum fore. neque ſi non ceperitis vrbem Siciliæ, vobis Siculis honeſtũ fore, aut tutum. Virum autem ne lugeatis, neque deploretis, neque ob eius caſum, quicquam moliamini. Corpus enim Steſichori morte abſumptum eſt. Nomen verò temporis æternitas exceptum in vita nobilitat & in memoria fœlicitati conſecrabit. Carmina verò eius verſus & omnia genera poëmatum publicè per omnia templa, ſcriptis mandata collocare: & quenque veſtrûm in domo ſua priuatim iubeo & adhortor. Tum enim è medio diſcedet & euaneſcet Steſichorus, cùm horum aliquid non diligenter cuſtoditum ſeruatúmque fuerit.

Ad hæc operam inprimis dare, vt in cæteros mortales hæc tranſmittantur & diſpergantur: ſcientes, maiore admiratione ciuitatem, quæ talem hominē tulerit, quam ipſum virum, habitaturi.

Thraſenori.

CAſtellum, quod tu oppugnans depopuláns que reliqueras, à Teucro, incurſione captum oppreſſúmque eſt. Citius autem quàm epiſtola fuerit allata, ſubactum ſcito caſtellum fuiſſe.

Abaridi.

AVdio te ſtudiorū, illuſtriúmque virorū cauſſa, ab Hyperboreis, ad noſtras oras acceſſiſſe, & idcirco cum Pythagora philoſopho, Steſichoro poëta, aliiſque Græcis & eruditis viris commerciū habuiſſe, multúmque ab ipſis eruditionis & ſcientiæ hauſiſſe, quærere autem plurium, adhuc ad cognoſcenda ea, quæ neſcis conuentum atque conſortiū. Qod ſi calumniæ quibus proſcindor ad tuas aures peruenerūt & eiuſmodi quiddam de me perſuaſum habes cuiuſmodi calumniatores obiiciunt, non ſanè facile eſt ab hac te ſententia abducere. Sin veritatem rémque ipſam ſcrutandam & inquirendam cenſes, tum ab omnibus hominibus: tum præſertim à viris ſapientia claris ad me veni, vt noſtro colloquio ſermonéque fruaris, quod alij multi maximè memorabiles & laude digni viri factitarunt. Nam experiundo cognoſces tum alia honeſtius & moderatius, &, ſi dicere non erubeſcendum eſt, humanius habere, quàm per famam traducta ſunt, & eum qui hæc dicit, & pollicetur Phalaridem nihil iis, quorum in his virtutibus: ſumma laus eſt & admiratio inferiorem eſſe.

Abaris Phalaridi Tyranno.

DEclaraſti plenam iniuriis & crudelitate naturam. Neque tu viro & fœmina. Sed Leæna & ſue agreſti procreato mihi videris. Omnia enim per vim & vires agis, praua quadam imperitia & feritate. Ne tu pium hominem Abarim, accerſas in vrbem Agrigentum. Planè enim ab inuidia ſeuitia & tetra inſcitia mihi animus abhorret. Sin omnino ita vis, vt in ædes tuas veniā, Græcorū legibus vtere, ad tuam aram me prouoca, manus mentémque purgatam gere tum erga omnes tuos ciues tum erga peregrinum. Sin minus, valere te Abaris iubet.

Polyſtrato & Daſco.

ACcingimini ſolùm & mihi bellum ſine mora & cunctatione inferte. Illa enim præmia quæ vos in concione Leontinorum, cum criminationibus in me coniectis protuliſtis, neque vobis inuidemus, neque quo minus ad ea conſequenda nitamini diſſuademus.

Nauſicli.

EGo quidem, quod iam tibi ſæpenumerò ſcripſi, quamuis Hermocrates, aut alius quiſpiam vetuerit à me profecta dona ſuſcipere filiam Philodemi nubentem, tamen ea remiſi donóque dedi. Et par mea laus, immò ſplendidior eſt, quod cum eiuſmodi cognatis ego Tyrannus, nulloque cognationis vinculo attingens contendam.

εἴς τε τοὺς ἄλλους ἀνθρώπους διαπέμψασθαι ἐπιμελῶς. εἰδότες, ὅτι μᾶλλον τοῦ γράψαντος ἀνδρὸς, ἡ θρέψασα πόλις τὸν τοιοῦτον, ὑπὸ πάντων θαυμασθήσεται.

Θρασήνορι.

ΤΟ φρούριον ὃ σὺ πορθῶν ἐγκατέλιπες, ὑπὸ τοῦ Τεύκρου ἐξ ἐπιδρομῆς καθῃρέθη. τῆς δὲ περὶ τὴν ἐπιστολὴν τάχους συντομώτερον ἴσθι ληφθὲν τὸ χωρίον.

Ἀβάριδι.

ΠΥνθάνομαί σε χάριν ὁμιλίας ἀνδρῶν ἐπιφανῶν ἐξ ὑπερβορέων εἰς τοὺς καθ' ἡμᾶς ἀφικέσθαι τόπους. Πυθαγόρᾳ μὲν οὖν τῷ φιλοσόφῳ καὶ Στησιχόρῳ τῷ ποιητῇ καί τισιν ἄλλοις τῶν ἐλλογίμων Ἑλλήνων, συμμεμιχέναι, καὶ πολλὰ παρ' αὐτῶν προσμεμαθηκέναι. ζητεῖν δὲ καὶ πλείοσιν ἰδέαις χαίρειν ὧν οὐκ οἶδα, ἐντυχεῖν. εἰ μὲν οὖν προκατέχεσθαι τῶν ἐμαῖς διαβολαῖς, καὶ πεπεῖσθαι τοιοῦτον εἶναί με, ὁποῖον οἱ διαβάλλοντες εἰσάγουσι, μεταπείθειν οὐ ῥᾴδιον, εἰ δὲ τὸ ἀληθὲς ἐξετάζεσθαι δίκαιον, παρὰ πᾶσι μὲν ἀνθρώποις, μάλιστα δὲ παρὰ σοφοῖς ἀνδράσιν, ἐλθὲ πρός με συνεσόμενος, ὥσπερ ἄλλοι πολλοὶ τῶν ἀξίων λόγου. γνώσῃ γὰρ ἐκ πείρας, τά τε ἄλλα ἅπαντα κάλλιον καὶ σεμνότερον, εἰ δὲ δεῖ εἰπεῖν μηδὲν ὀκνήσαντα, καὶ φιλανθρωπότερον, ἢ πρὸς τὴν κατέχουσαν φήμην ἐσχηματισμένα, καὶ τὸν ταῦτα διέποντα καὶ κοσμοῦντα Φάλαριν, οὐδενὸς τῶν σφόδρα ἐπὶ τούτοις θαυμαζομένων ἐνδεέστερον.

Ἄβαρις Φαλάριδι τῷ τυράννῳ.

ΕΔειξας φύσιν οἰκείαν ὕβρεως καὶ ὠμότητος. καί σε ἔτεκεν οὐ γυνὴ καὶ ἀνήρ. ἀλλὰ λέαινα καὶ σῦς ἄγριος. ποιεῖς γὰρ πάντα βίᾳ καὶ προσέτι ἰσχύι δόξῃ κακῇ καὶ ἀγριότητι. μὴ σύ γε κάλει Ἄβαριν εὐσεβῆ ἄνδρα εἰς πόλιν Ἀκράγαντα. ἀλλότρια γὰρ ἐμοὶ φθόνος καὶ χαλεπότης καὶ κακὴ ἄγνοια. εἰ δὲ προθύμως με θέλεις ἐλθεῖν εἰς τὸν οἶκον, νόμοις ἑλληνικοῖς χρώμενος, προσκαλοῦ με εἰς σὴν ἑστίαν, καθαρεύων χερσὶ καὶ ψυχῇ πρὸς πάντα πολίτην σὸν καὶ ξένον, εἰ δὲ μὴ, χαίρειν σοι Ἄβαρις λέγει.

Πολυστράτῳ καὶ Δαίσκῳ.

ΕΓχειρεῖτε καὶ μὴ μέλλετε διὰ τάχους ἐμοὶ πολεμεῖν. ἐπὶ τοιούτοις γὰρ ἄθλοις οἷς δημηγοροῦντες ἐλέγετε διαβάλλοντές με πρὸς Λεοντίνους, οὔτε φθονοῦμεν ὑμῖν, οὔτε ἀποσυμβουλεύομεν φιλοτιμεῖσθαι.

Ναυσικλεῖ.

ΕΓὼ μὲν, ὅπερ ἤδη πολλάκις ἐπεστάλκειν σοι τυγχάνω, κἂν Ἑρμοκράτης ἤ τις ἄλλος εἴρξῃ τὰς παρ' ἐμοῦ δωρεὰς λαβεῖν τὴν Φιλοδήμου θυγατέρα γαμουμένην, ἀποπέμψας δέδωκα. καὶ τὸν ἔπαινον ἴσον μᾶλλον δὲ λαμπρότερον ἔχω. παρ' ὅσον τοιούτοις συγγενέσιν ὁ τύραννος καὶ μηδὲν προσήκων ἀντεξετάζομαι

πρὸς δὲ τοὺς ὀνειδίζοντας ὅτι χαριζόμενοι πείθομεν, ταύτην ἔχειν τὴν ἀπολογίαν, τὸ μὴ δύνασθαι τοὺς εὐεργετουμένους ἀντὶ φιλοφροσύνης, βίᾳ χρήσασθαι.

Ἀριστολόχῳ.

Ἐπιλαθόμενος ἧς ἔχειν ἦν σου πονηρίας, καὶ γενόμενος ἄλλος τις πρὸς ἡμᾶς, ἢ οἷος εἶ, χαλεπὸν καὶ καθ' ἑκάστην μόνον ὑπόλαβε. μὴ τοῦτο μόνον εἰ πολλάκις ὑπ' ἐμοῦ καὶ καθ' ἑκάστην γε κατηγορίαν εὖ παθὼν, οὐ τοῖς ὁμοίοις ἡμᾶς ἀμείβῃ. ἐγὼ μὲν γὰρ οὐκ ἐάσω χρηστότητα τὴν δοκοῦσαν εἶναί τισι, τῆς κατ' ἐμαυτοῦ πονηρίας ἐνίκασθαι δεύτεραν αἰτίαν. ἀλλ' εἰ μὴ δὲ σὺ σεαυτοῦ πρὸς με εὐεργετοῦ βεβλημένου φείδῃ, ἡμῶν γοῦν οὕτως ἐχόντων ἐπὶ τὸ πλεῖστον, τάχα ἂν ἐπιεικέστερος ὀφθείης.

Ἐπιχάρμῳ.

Περὶ τῶν αὐτῶν ὧν σὺ καὶ Δημοτέλης ἡμῖν συνεβουλεύετε ἀποστῆναι τῆς τυραννίδος ταῦτα οὐ δυσνοοῦντες ἀλλ' ἀγνοοῦντες διὰ τὴν ἀπειρίαν, οὕτω συνεβουλεύετε. τὸ μὲν γὰρ ἄρξασθαι τυραννίδος, ὀρεγομένῳ. τὸ παύσασθαι δὲ, οὐκ ἔτι. διὰ τὸ πολλὰ μὴ δέοντας πρᾶξαι. ὥσπερ οὐδὲ τοξότῃ μεθέντι τὸν οἰστὸν, ἀναλαβεῖν τὸ βεβλημένον. ἀλλ' εἰ μὲν δυνατὸν ὑμῖν ἐστιν ἀνελεῖν τὴν ἀρχὴν τῆς τυραννίδος, καὶ δὴ ποιεῖτε· εἰ δὲ τοῦτο, ἐστὶν ἀδύνατον, ἀδυνατωτέραν ἴστε τὴν ὑμετέραν παραίνεσιν ἐμοὶ δόξαι συμφέρειν.

Τιμοσθένει.

Τῶν στρατιωτῶν οἱ μὲν ἡμίσεις εἰς τὸ φρούριον ἐπιμείναντες, ἐκκοψάτωσαν. οἱ δ' ἄλλοι, τὰς ἐπιδρομὰς τῆς θαλάσσης διαχωσάτωσαν. ἵνα τῆς πλημμυρίδος διαψυγείσης, ἐνεργὸν ἀντὶ ἀργοῦ γένηται τὸ πεδίον. ἀνακείσθω δ' ἡ περὶ ἑκατέρων αὐτῶν χάρις, τοῖς πρώτοις τὸ καθ' ἑαυτοὺς ἔργον ἀποτελέσασιν.

Ἀριστολόχῳ.

Εἰ τὸ, Στησίχορον ἀδείας ἀξιωθῆναι παρ' ἡμῖν αἰχμάλωτον ποτὲ γενόμενον, ἐπαίρει σε κατ' ἐμοῦ γράφειν τραγῳδίας, ὡς πᾶσι τοῖς ποιηταῖς ἡμέρως προσοισομένου, πολὺ τῆς ἀληθείας διαμαρτάνεις. οὐ γὰρ ἀποδέχομαι κοινότητι ποιητὰς ἀλλὰ τοὺς ἀγαθοὺς τῶν ποιητῶν. οὐδὲ τοὺς εἰς ἔχθραν ἐμοὶ καταστάντας ἀλλὰ τοὺς γενναιοτάτους τῶν ἐχθρῶν· σὺ δὲ, κακὸς μὲν ποιητής. ἄναλκις δὲ ἐχθρὸς ὢν, καὶ κατὰ ἀνδρείαν καὶ κατὰ δύναμιν ποιητικὴν, Στησιχόρῳ σεαυτὸν προσεικάζεις. γνώσῃ δὲ τὴν ταχίστην τοῦ λεγομένου διαφορὰν, οὐκ εἰς μακράν. οὐ περὶ ὧν εἰς ἐμὲ γράφεις. πάντων γὰρ ἂν εἴην ἀψυχότατος, εἰ καὶ τῶν σῶν ἐπιστραφείην δραμάτων· ἀλλ' ὅτι τοιοῦτος ὢν ἐχθρὸς καὶ ποιητὴς τῆς αὐτῆς σεαυτὸν καὶ Στησιχόρον ἀξιοῖς.

Ἀφιλαίτῃ καὶ Θρασιβούλῳ.

Ὑμεῖς μὲν ἀποδεδωκέναι τὰ χρήματα ἃ ἐδανείσασθε, Τεύκρῳ λέγετε. ὁ δ' οὔ φησιν ἀπειληφέναι. οὐκ ἔχω δὲ μὰ τὸν Ἡρακλέα, οὔθ' ὑμῖν ἀπιστεῖν, οὔτ' ἐκείνῳ μὴ πιστεύειν. ὁ μὲν γὰρ ἐπιζητεῖ βεβαίωσιν

Qui verò, largitionibus me perſuadere per conuitium exprobrant, his ita reſponſum volo, non poſſe eos, qui beneficio deuincti ſunt pro beneuolentia vim reponere.

Ariſtolocho.

Oblitus eius nequitiæ, qua te præditum negabas & alio erga nos animo ſumpto, quam qualē habes, graue & iniquum eſſe quotidie ſaltem cogita: non hoc ſolum, quod ſæpe & in ſingulis accuſationibus, magnis à me beneficiis affectus, non eodem modo gratiam nobis rependis. Non enim ego committam, vt probitas, quæ in ſpeciem quibuſdam eſſe videtur, ſecundò in iudicium de factis mihimetipſi iniuriis vocetur: Verùm quod ne tibi quidem ipſi, erga me qui benefacere tibi voluerim, parcis. Attamen cùm nos eam erga te mentem retineamus, fortaſſis moderatior & probior haberi poſſis.

Epicharmo.

Ea, de quibus tu & Demoteles nobis conſilium dediſtis, de tyrannide relinquenda, non quod malè cuperetis mihi, ſed ignorantia potius atque imperitia ductis ita conſuluiſſe vos arbitror. Etenim capeſſere Tyrannidem, in volentis poteſtate ſitū eſt. Deponere verò nō itē: eo quod multa contra ius & æquitatem patrarit, quemadmodum nec iaculatori licitum eſt, cum ſemel eiaculatus eſt telum, dimiſſum reuocare. Quod ſi vos principium Tyrannidis poteſtis abolere facite quæſo. Sin id effici non poteſt multò minus veſtram adhortationem pondus apud me habere ſcitote.

Timoſtheni.

Militum dimidia pars ad caſtellum maneat & illud euertat. Reliqui maris vias ſuffodiant: vt inundatione penetrante, cultus ex inculto campus reddatur. Præmium verò vtrorúmque his, qui primi ſuum opus perfecerunt, tribuatur.

Ariſtolocho.

Si, quoniam Steſichorus apud nos aliquando captiuus, impunitatem veniámque cōſecutus eſt, hoc te ad ſcribendum aduerſus nos Tragœdias incitat, credíſq; me ſimiliter omnibus poëtis mitem placatúmque fore, plurimum à veritate réque ipſa aberras Non enim omnes ad vnum poëtas: ſed præclaros celebréſque duntaxat amplector, neque qui inimicitias contra me geſſerunt: ſed inimicorum generoſiſſimos. Tu verò cùm malus poëta ſis & inſtrenuus hoſtis, tamē & animi magnitudine, & facultate poëtica te cum Steſichoro comparas. At breui & ſtatim cognoſces, quantum inter te & cōmemoratum interſit, non quod in me talia ſcribis: Omnium enim eſſem ignauiſſimus, ſi tui me dramatis mouerent: verùm quoniam cum ſis eiuſmodi & inimicus & poëta, tamen eodem & temetipſum & Steſichorum honore dignum exiſtimas.

Aphilaiti & Thraſibulo.

Vos quidem, pecunias, quas mutuò accepſatis, Teucro reddidiſſe confirmatis: at ille ſe recepiſſe negat. Non autem Hercules poſſum aut nobis diffidere, aut illi fidem non habere. Nam ille poſtulat vt ſignum aliquod ad confirmandam ſolutionem

ſolutionem proferatis. Vos contra támque amico credidiſſe ei dicitis. Quamobrem anceps animi, ne alterutrius veſtrum ſermoni diffidere videar, quaſi redditæ ſint ita fingo. Quod vtinam in perpetuum veritas ignoretur. neque impoſtor malus, vter vter, tandem ille ſit, in nobis inueniatur. Commodum enim cenſeo, multarum pecuniarum potius, quàm amicorum iacturam facere. Hoc autem neceſſum eſt illuſtrata patefactáque veritate, qui fecerunt iniuriam, & mendacium dixerint, pro amicis, inimici reddantur.

Pelopidæ.

NEque ego, quæ tu petis, ad Steſichorum ſcribere auderem neque ille ſat ſcio, faceret, vt aliquem iam vita defunctum carmine deformaret, etiamſi nos ſcriberemus. Satis autem eſt mihi, hoc ab illo beneficium accepiſſe, quod de Nicoclis vxore poeſin confecit. Sin à nobis aliquid vis rogare, quod non in alterius: ſed in mea voluntate poſitum ſit, manda.

Teleclidæ.

PRoprio quodam vſus animi iudicio cum multis iam meis familiaribus & neceſſariis diſſerui (hoc fortè agens, quod & factum eſt, vt ad me ſermones illi deferrentur.) non oportuiſſe, poſt fabricatorem Tauri perilaum, alios hoc ſupplicij genere occidi. propriam enim laudem ſic ad nihilum à meipſo redigi. Ego verò neque laudem illam quam in puniendo perilao fortè ſum aſſecutus, magni pendo: non enim laudem in eius ſupplicio quæro, neque calumniæ, quibus ob alios punitos, traducor, mihi dolorem adferunt: A fama enim turpi & honeſta talio ſeiuncta eſt. Neque verò te illud clam habeat me idcirco, quod alios etiam in Tauro perire volebant, hunc plexiſſe, nam quod ad apparatum æris & artificium pertinet, munere non exitio dignus erat. Iuſtum eſt igitur huius ſupplicij culpam tum in ipſum tum in omnes ſimilem fortunā ſubeuntes transferre: ſin etiam in nos à nonnullis iniquè iudicantibus deriuabitur, inſque deque ferimus, dummodo poſſimus occiſos eo ſupplicio dignos fuiſſe oſtendere. Initium itaque capientes à primo, quem ſupra omnes homines: immò ſupra ipſam humanitatis naturam flammis peremi, ſimile iudicium in omnibus reliquis adhibete. Si enim punitionem perilai, tamque iuſtam approbatis: de reliquis, à quibus nefandorum ſcelerum pœnas exegi, iure conqueri non poteſtis, neque quos fœderum corruptores, propter intentatam mihi mortem, morte affeci planè enim medius fidius eſſem inops conſilij, ſi cum aliorum qui bene de me meriti ſint, vexatores direptoréſque puniā his qui mihi inſidias ponunt, impunè eſſe ſinerem & ſi iniuſtam terroris aduerſus inſidiantes infamiam ſpectans, mea ipſius pericula negligerem. Audiuimus igitur tuam ſententiam, neque pluribus in ea re moleſtiis eſto, ſed & tibi & mihi negotium faceſſere deſiſtito.

ὑμᾶς ἔχειν τῆς ἀποδόσεως. ὑμεῖς δὲ ὡς φίλῳ πεπιστευκέναι λέγετε. δι᾽ ἃς γε αἰτίας οὐκ ἀπειληφὼς, ἵνα μὴ δόξω ποιεῖν ὑμᾶς ἀπιστεῖν ἐν τοῖς λόγοις, ὡς κεκομισμένος προσποιοῦμαι. εἴη μὲν τοίνυν μηδέποτε ἀγνοεῖσθαι μετ᾽ ἀληθείας, ἢ τὸ πλεῖον ὑμῶν τινὸς δόξης δεῖν, πονηρὸς εὑρεθήσεται. κρεῖττον γὰρ ἡγοῦμαι πολλῶν χρημάτων ἐνεγκεῖν ζημίαν, ἢ φίλων. ἀνάγκη δὲ τῆς ἀληθείας εὑρεθείσης, ἀντὶ φίλων τοὺς ἀδικοῦντας καὶ ψευδομένους ἐχθροὺς γενέσθαι.

Πελοπίδῃ.

Οὔτ᾽ ἂν ἐγὼ γράψαιμι πρὸς Στησίχορον περὶ ὧν ἀξιοῖς, οὔτ᾽ ἂν ἐκεῖνος ἐπιδείξειεν, εἴς τινα τῶν οὐκ ἔτι ζώντων ὀξὺν γενέσθαι μέλος, εἰ καὶ γράψαιμεν ἡμεῖς. ἀπόχρη δέ μοι χάριν εἰληφέναι παρ᾽ αὐτοῦ, τὴν ἐπὶ τῇ Νικοκλέους γυναικὶ ποίησιν. εἰ δέ τι βούλει παρ᾽ ἡμῶν αἰτεῖν, οὗ πρὸς τὴν ἐξουσίαν οὐκ ἐπ᾽ ἀλλοτρίαν, ἀλλ᾽ ἐπὶ τὴν ἐμὴν αὐτοῦ γνώμην, ἐπίστελλε.

Τηλεκλείδῃ.

Ἰδίᾳ τινὶ χρώμενος γνώμῃ, πρὸς πολλούς ἤδη τῶν ἐμῶν ἑταίρων διείλεγμαι. τυχὸν ἴσως διαπραττόμενος, ὃ καὶ γέγονεν, εἰς ἐμὲ κομισθῆναι τοὺς λόγους, ὡς οὐκ ἐχρῆν μετὰ τὸν δημιουργὸν τοῦ ταύρου Περίλαον, ἄλλους κατεργάσασθαι, τῷ τρόπῳ τῆς αὐτῆς κακίας. τὸν γὰρ ἴδιον λύειν ἔπαινον. ἐγὼ δὲ οὐδὲ τῆς ἐπὶ Περιλάῳ τιμωρίας ἐπαινούμενος ἐπιστρέφομαι. τιμωρεῖς γὰρ οὐκ ἐγλιχόμην ἔπαινον χάριν, οὔτε τῆς ἐπὶ τοῖς ἄλλοις κολάσεως διαβαλλόμενος ἄχθομαι. δόξης γὰρ αἰσχρᾶς ἢ καλῆς, ἀμείνων κεχώρισται. ἀλλ᾽ ἔστω σοι καὶ τοῦτο ἴδιον, ὅτι τῷ μέλλειν καὶ ἄλλους τινὰς ἐν τῷ ταύρῳ διαφθείρεσθαι χάριν, ἐκόλασα μὲν αὐτὸν, ἐπεὶ τῆς τοῦ χαλκοῦ κατασκευῆς ἕνεκα, δωρεᾶς, οὐκ ἀπωλείας ἦν ἄξιος. δίκαιον μὲν οὖν ἐκείνῳ τὰς περὶ τούτων αἰτίας, καὶ τοῖς εἰς τοῦτο τύχης ἥκειν βιαζομένοις, ἀνακεῖσθαι. εἰ δὲ καὶ εἰς ἡμᾶς ἀναφέρονται ὑπὸ τῶν ἀγνωμονέστερον κρινόντων, οὐκ ἀχθόμεθα. ἕως ἔχομεν ἀξίους ἀποδεικνύειν τῆς κολάσεως τοὺς ἀνῃρημένους. ἀρξάμενοι γὰρ ἀπὸ τοῦ πρώτου κολασθέντος, ὃν ὑπὲρ ἅπαντας ἀνθρώπους, μᾶλλον δὲ αὐτῆς τῆς ἀνθρωπίνης φύσεως ἐνεπρησα, τὸν αὐτὸν τρόπον τῆς ἐξετάσεως ἐπὶ πάντων ποιεῖσθε. εἰ γὰρ τὴν ἐπὶ Περιλάῳ κόλασιν, ὡς δικαίαν ἐπαινεῖτε, καὶ τῶν ἄλλων ὅσους ὑπὲρ ἀλλοτρίων ἀδικημάτων ἐκόλασα, οὐδέπου μέμφοισθε ἂν προσηκόντως. οὐδὲ ὅσων εἰληφὼς μὲν ἐκ σπονδῶν ἐμοί γε ἠγνωμόνουν, δι᾽ οὓς ἐμηχανήσαντο ὀλέθρους. ἦ που γε σφόδρα ἂν ἄβουλος εἴην, εἰ τοὺς ὑπὲρ ἄλλων κακούργους ἐῶ μὲν καὶ δὴ ποιῶ τιμωρούμενος, τοὺς εἰς ἐμὲ ἐπιβουλεύοντας ἀζημίους ἐάσαιμι. καὶ τὴν δύσκλειαν ὑπὲρ τῶν μὴ προσηκόντων, ἐπὶ τὸ φοβερὸς δοκεῖν εἶναι τοῖς ἐπιβουλεύουσιν ἀναδεχόμενος, ὑπὲρ τῶν ἰδίων κινδύνων ὀκνήσαιμι. πεπύσμεθα δὲ περὶ ὧν ἀξιοῖς σου. καὶ οὐ δεῖ πλείοσιν ἐνοχλεῖν. παῦσαι δὲ καὶ σεαυτῷ καὶ ἐμοὶ πράγματα παρέχων.

Παυρόλᾳ.

Ἀφικόμενος εἰς Ἱμέραν, ἀναγκαίας ἕνεκα πραγματείας, ἤκουσα τῶν Στησιχόρου θυγατέρων ποιήματα λυριζουσῶν. ἃ μὲν αὐτοῦ Στησιχόρου γεγραφότος, ἃ δὲ τῶν παρθένων ἴδια. ἦν δὲ τῶν μὲν Στησιχόρου, τὰ τῶν θυγατέρων ἥττονα. τῶν δὲ ἄλλων εἴ τινα κατὰ σύγκρισιν ἐξετασθείη, κατὰ πολὺ βελτίονα. ὥστε τρισόλβιον ἡγήσασθαι τὸν διδάξαντα. τρισολβίας δὲ καὶ τὰς παρὰ φύσιν ἐπὶ τοσοῦτον βάθος παιδείας ἀχθείσας. εἶεν δὴ παυρόλα. σφόδρα γὰρ καὶ διὰ ταῦτα ἐπιζητῶ μαθεῖν, τίνα δή ποτε γνώμην ἔχων, τὸ μὲν σῶμα γυμνάζεις ὅπλοις τε καὶ κυνηγεσίαις καὶ ταῖς ἄλλαις κακοπαθείαις, τὴν δὲ ψυχὴν ἀγύμναστον ἐᾷς λόγων τε καὶ παιδείας ἑλληνικῆς, ἣν ἐχρῆν πρώτην ἐπὶ τὰ τοιαῦτα συνησκῆσθαι καὶ μόνην. σώματος μὲν γὰρ ἐπιμελητέον, ὑγείας χάριν, ἢ ἰσχύος. εἰ μή τις τῶν ἱερῶν ἀγώνων ἕνεκα ἀθλοίη. ψυχῆς δὲ πάντας τρόπους προνοεῖσθαι χρή, τὸν μέλλοντα μετ' ἀρίστης τιμῆς ἐν δημοκρατουμένῃ ζήσεσθαι πόλει. εἰ γε μὴν σύ, τοῦθ' ὅ κατηγοροῦσί τινες, ὥρμηκας ἐπὶ τὸ ζηλοῦν καὶ μιμεῖσθαι τὸν ἐν τυραννίδι βίον, ὡς προσήκοντά σοι κατὰ νόμους, καὶ διὰ τοῦτο σωματικὴν ἐπασκεῖς ῥώμην, οἰόμενος ἁρμόζουσαν εἶναί σοι τὴν ἰσχὺν, εἰς τοιαύτην δυναστείας κατάστασιν. ὅπερ ἐὰν εὖ φρονῶν τυγχάνῃς, παρὰ τοῦ μεταμελομένου περὶ μοναρχίας, οὐχ ἑκουσίως, ἀλλ' ἐξ ἀνάγκης τοῦτον ἐπανελομένου τὸν βίον, γνώμην λάβε. ὁ γὰρ ἀμφοτέρων πεπειραμένος, τυραννηθῆναι μᾶλλον ἂν δέξαιτο, ἢ τυραννῆσαι. ὁ μὲν γάρ, ἵνα φοβεῖται τῶν ἄλλων χαλεπῶν ἀπηλλαγμένος, τὸν τύραννον. ὁ τύραννος δέ, καὶ τοὺς ἔξωθεν ἐπιβουλεύοντας, καὶ δι' ὧν σώζεται. ἀνάγκη γὰρ αὐτῷ μετὰ τῶν πολλῶν φόβων καὶ ταλαιπωριῶν, πρώτους εὐλαβεῖσθαι τοὺς φυλάττοντας. ὥστε ἐμφρονέστερον δεξάμενος τὴν τοῦ συμβουλεύοντος πατρὸς εὔνοιαν, ἴσος ἀξίου πᾶσιν εἶναι. τὸ δὲ ἐκ φόβων δεσποτικὸν καὶ κινδύνων ἀδιαπαύστων αὐτεξούσιον, ἐχθροῖς καὶ παισὶν ἐχθρῶν πάρες. εἰ δὲ ἀπειρίᾳ καὶ νεότητι τὸν ἐν τυραννίδι βίον οἴει τι τερπνὸν καὶ προσφιλὲς ἔχειν, ἀλλ' οὐ τὰς ἐν αὐτῷ ποτε συμφορὰς καὶ κακοδαιμονίας, παντὸς μὲν ἁμαρτάνεις. καὶ τοῦτο πάσχεις δι' ἄγνοιαν. εὔχου δέ σοι τὸν θεόν, μηδέ ποτε τυραννικῆς πεῖραν παραστῆσαι τύχης.

Τοῦ αὐτοῦ.

Οὐχ ὑπὸ σοῦ πολλὰ νομίζω χρήματα αἰτεῖσθαι μὰ τοὺς θεούς, ἀλλ' ἐμαυτὸν ἐνδεέστερον εὑρίσκω ἤδη χρηστότητι παιδὸς ὑπηρετεῖν. εἶεν μέντοι σὺ εἰς ὅσα φῂς ἀναλίσκειν. καὶ οὐ ποτε δεδοικὼς τῶν ληψομένων φίλων ἀπορήσεις θᾶττον, ἢ παρὰ τοῦ πατρὸς αἰτούμενος. ὅσον γὰρ ἂν προηγῆται τὸ λαμπρῶς χαρίζεσθαι, ἕπεται τὸ μεγαλοφροσύνης ἀξίως κτᾶσθαι. ὅταν δὲ ἅπαξ τὸ δρᾶν προέθυμεν παρῆ πολ,

Paurola.

CVm vrgentis cuiuſdam negotij cauſſa, veniſſem Himeram, Steſichori filias audiui ad Lyram canentes carmina, quæ partim à Steſichoro compoſita, partim ipſarum propria eſſent. Filiarum autem cum à Steſichori carminibus longè vincerentur, reliquorum tamen comparata, plurimum excellebant. Itaque me ter beatum iudicaui, qui docuiſſem: ter beatas verò, quæ præter naturam ad tantum eruditionis faſtigium perueniſſent. Eſto verò paurola. Nam ob eam quoque cauſſam ſcire magnoperè cupio, quo tandem conſilio corpus eſerceas armis venationibus aliiſque laboribus, animum verò non inſtruas oratione græciſque diſciplinis, quem primum & ſolum in his excercitatum eſſe conueniebat, corporis enim eatenus habenda cura eſt, dum valetudinem & robur tuearis, niſi quis ad ſacra certamina, præparet & excerceat Ad animum verò excolendum omnibus neruis incumbere, dum eſt ei, qui cum honore & dignitate in Republ. quæ per Democratiam adminiſtratur, vitam agere velit, niſi tum, quemadmodum aliqui te deferunt, vitam cum imperio & poteſtate quaſi lege tibi debitam ſequi ac imitari ſtatuiſti, & ea de cauſſa vires etiam corporis excerces putans ad tantam acquirendam potentiam, robur tibi aptum & idoneum fore, quod ſi ita habet & ſapis, ab eo quem regni pænitet, non ſponte aut libenter: ſed neceſſariò in eiuſmodi vitæ genere verſantem, conſilium accipe. Cui enim vtriuſque conſtat experientia, is parere, quàm imperare, potius expetit. Alter enim à reliquis periculis omnibus liber & ſolutus, vnum tantummodò metuit Tyrannum. Tyrannus verò tum extraneorum inſidias tum etiam ſatellitum vim pertimeſcit. Neceſſe eſt enim vt inter omnes reliquos honores & miſerias, primùm cuſtodes ſtipatoreſque metuat. Proinde cõſiderata prudenter conſulentis patris in te beneuolentia, a cunctis æqualis vt ſis contende. Dominium verò, quod continuis terroribus & perpetuis periculis conſtat hoſtibus & filiis hoſtium relinque. Sin imperitia & ætatis vitio putas aliquid ſuauitatis, & iucunditatis, in Tyrannica vita ineſſe, neque ærumnarum & calamitatum tibi in mentem venit, tota via aberras Et id tibi propter inſcitiam accidit. Tu verò Deum ſedulò precare, ne quando Tyrannicam vitam tibi experiundam obiiciat.

Eidem.

NOn hercle multas pecunias abs te peti arbitror: ſed me ipſum pauperiorẽ exiſtimo quã vt benignitati filij poſſim inſeruire Tu verò in ea quæ dicis liberè ſum plus facito. Sic enim largiendo citius amici te deficient, qui capiant, quam petitiones apud patrem irritæ fuerint. Quantò enim magis præcedũt magnificæ largitiones: tantò magis ſequitur vt iſta liberalitate dignè præſto ſint & ſuppetant. Quòd ſi ſemel ſtrenuè facere ingreſſus ſis,

euentum

euentum fortuna rectè moderabitur. Neque te pudor detineat: ſed libere ad me ſermone ſic vtitor, vt qui non pauca libenter dem filio, quippe propter quem vniuerſa comparauerim. Tantum enim abeſt, accuſare me tuam in amicos animi promptitudinem, vt etiam incredibile gaudium ex eo percipiam, & moneam vt te tanta beneuolentia & humanitate dignum geras, ne ſolùm in præſenti ſis magnificus: ſed eadem manente fortuna, ſemper hanc voluntatem conſerues. Et quod tibi damus generoſe paurola, id verò libenter facimus & in beneficij loco ponimus ſumptum tam exoptatum & liberalem.

Erythiæ.

SI Tyrannicæ vitæ metu, paurolam Agrigentum mittere non audes, ignoſco tibi & tanquam vxori & tanquã matri quę chariſſimo filio timet. Sin autem quia ſola, & non mecum vnà genuetis, ſemper quoque vis eum retinere peſſimè de parentum iure iudicas. Nam ſi breuiſſimè eſt dicendum, patris magis eſt filius quàm matris: ſin beneuolentius, vtriuſque pariter & ex æquo. Quòd ſi aliquando genitori etiam filium tradere tuam orbitatem exiſtimas: quid ſentis de eo, qui ne ſemel quidem eius fuit particeps. Quamobrem æquabilius & iuſtius ages, ſi cùm ad me miſeris nõ longo tẽporis interuallo reuerſurum ad te: ſed breui & eiuſmodi apparatus, cuiuſmodi phalaridis & Erythiæ filium decet, vt quamuis non mecum, tamen abundantes diuitiis & opibus, ſimul viuatis. In quos enim familiariores, quis diuitias conferre optet: ſi filium & vxorem negligat. Ego verò ſic erga vos affectus vt æquum eſt patrem & maritum: mearum pecuniarum non minimam portionem, in vos amiciſſimos effundere paratus ſum: idque ſtatim expedire cupio: cum propter alia & vel maximè propter imminentem ſenectutem: tum propter morbum, qui nuper mihi contigit, grauiſſimum. Admonet enim me vt præſentem diem, extremum viuendi tempus homini conſtitutum putem. Tutæ verò excreta Agrigẽtum, & hinc rurſus profectionis, fidem ad ſecuritatem patris ei beneuolentia magis quàm matris ſollicitudo præſtabit.

Polycleto.

INcertum habeo in Policlete, vtrum magis vim in te facultatémque medendi, an animi conſtantiã fidémque admirari debeam. Arſenim ſuperauit interfectorem Tyranni morbum. Fides autem honores Tyrannicidæ propoſitos per hæc vtraque decurrens tua iuſtitia, hominem duobus maximis periculis ad perniciem mortémque proiectum incurabilis morbi detrimento & inimicorum honoribus ſeruaſti & ad incolumitatem vitámque reduxiſti. Solus enim tu poteras, aut ſi morbo extinctus fuiſſem, etiamſi nihil ad id ab arte contuliſſes, Tyranno mortem obtuliſſe videri, aut ſi etiam morbus me non ſuſtuliſſet cum quiduis, quod dibatur, vide tanquam ad ſalutem pertinens ſumerem, morte afficere. Et cædis gloria, cum parum præmiorum

τὸ κατορθοῦν ἕτοιμεν αἱ τύχαι παρέχονται. μὴ δὲ καταιδούμενός με τοιούτοις παῤῥησιάζου λόγοις. ὡς οὐκ ἀσμένως ὀλίγα δίδωμι υἱῷ, δι᾽ ὃν τὰ πάντα περιεποιησάμην. τοσοῦτον γὰρ ἀπέχω τοῦ μέμφεσθαί σε τῆς πρὸς τοὺς ἑταίρους ἐκτενείας, ὥσθ᾽ ὑπερφυῶς ἥδομαι, ἄξια παραινῶ σοι διανοεῖσθαι τῆς τοσαύτης φιλανθρωπίας. ἵνα μὴ μόνον πρὸς τὸ παρὸν ῆς μεγαλόφρων. συμπαραμενούσης δὲ σοι τῆς αὐτῆς τύχης, ἴσως ἂν φυλάττοις τὸ βούλημα. ἃ δὲ δίδομεν οὐκ ἀσμένως ὦ γενναῖε παύρολα, καὶ λαμβάνομεν χάριν πρὸς σὲ τὸν τρόπον τῆς δαπάνης. οὕτως εὔελπιν καὶ χρηστὸν ὄντα.

Ερυθίᾳ.

ΕΙ μὲν εὐλαβουμένη τὸν ἐν τυραννίδι βίον, μὴ πολύμνας εἰς ἀκράγαντα πέμψαι παύρολαν, συγγνώμην ἔχω σοι. καὶ ὡς γυναικὶ καὶ ὡς μητρὶ δεδοικυίᾳ περὶ ἀγαπητοῦ παιδός. εἰ δ᾽ ὡς μόνη καὶ μὴ μετ᾽ ἐμοῦ γεγεννηκυῖα, μόνη δικαιοῖς ἔχειν αὐτὸν, ἀγνωμόνως κρίνεις τὰ περὶ γονέων. κατὰ μὲν γὰρ τὸν συντομώτατον λόγον, πατρὸς ἂν εἴη παῖς μᾶλλον, ἢ μητρός. κατὰ δὲ τὸν εὐγνωμονέστερον, ἑκατέρων ἴσος. εἰ δὲ τὸ μεταδοῦναί ποτε καὶ τῷ γεγεννηκότι τὸν υἱὸν, σαυτῆς ἐλάττωσιν ἡγῇ, τί δοκεῖς τὸν μηδὲ μέρους ἀξιούμενον κοινωνῆσαι; ποίησον δὲ τοιοῦτον, πέμψον αὐτὸν ὡς ἐμὲ, οὐ διὰ μακροῦ ἥξοντα πρὸς σὲ, ἀλλὰ θᾶττον καὶ μεθ᾽ ὅσων δεῖ φαλάριδος καὶ ἐρυθίας παῖδα. ἵνα εἰ καὶ μὴ μετ᾽ ἐμοῦ, μετ᾽ ἀλλήλων γοῦν ἐν ἀφθονίᾳ πλούτου βιοτεύητε. εἰς τίνας γὰρ ἄν τις ἀναγκαιοτέρους δέξαιτο περιουσιάζειν, γυναικὸς ἢ παιδὸς οὐκ ἐπιμεληθείς. ἐγὼ δὲ περὶ ὑμᾶς οὕτως διάκειμαι ὡς εἰκὸς ἄνδρα καὶ πατέρα, βούλομαι τῶν παρ᾽ ἐμοὶ χρημάτων, μοῖραν οὐκ ὀλίγην ἐν ὑμῖν τοῖς φιλτάτοις ἐναπερείσασθαι. καὶ τοῦτο σπουδῇ τάχει πρᾶξαι, καὶ διὰ τὰ ἄλλα μὲν, οὐχ ἥκιστα δὲ καὶ διὰ τὸ ἐπὶ τὸ γῆρας. καὶ διὰ τὴν προσφατον συμβεβηκυῖάν μοι χαλεπὴν νόσον. ὑπομιμνήσκει γάρ με τελευταίαν ἡγεῖσθαι τοῦ ζῆν ἀνθρώποις προθεσμίαν, τὴν ἐνεστῶσαν ἡμέραν. τῆς δὲ παρουσίας τῆς ἐκεῖθεν εἰς ἀκράγαντα, καὶ τῆς ἐνθένδε πάλιν ἀφόβου, τὸ πιστὸν αὐτῷ πρὸς ἀσφάλειαν, ἡ τοῦ πατρὸς εὔνοια παρέξεται μᾶλλον, ἢ ὁ τῆς μητρὸς φόβος.

Πολυκλείτῳ.

ΟΥκ οἶδα τί σου μᾶλλον θαυμάσαιμι ὦ πολύκλειτε, τὴν ἰσχὺν τῆς ἰατρικῆς, ἢ τὴν τοῦ τρόπου πίστιν. ὁ μὲν γὰρ ἰσχυσέ τι ἐκ τυραννοκτόνον νενίκηκε πάθος· ὁ δὲ τρόπος, τιμὰς τυραννοκτόνοις· δι᾽ ἀμφοτέρων δὲ τούτων, ἡ σὴ δικαιοσύνη δραμοῦσα, τὸν δυσὶ κινδύνοις ἀναιρεθησόμενον, ἀφύκτου τῇ νόσου προσβολῇ, καὶ τιμαῖς πολεμίων, διέσωσας. μόνος γάρ σοι παρῆν, κτείναντός με τοῦ πάθους, μηδὲν ἀπὸ τῆς τέχνης αὐτῷ προσέξαντι, τὸ τυραννοκτονηκέναι δοκεῖν. καὶ μὴ κτείναντος, πᾶν ἑτοίμως δοῦναι, ὡς ἐπὶ σωτηρίᾳ μου λαμβάνοντος, διαφθεῖραι. τὴν δὲ καὶ τὸ δόξαι διαφθεῖραι,

πρὸς τὸ τυχεῖν τῶν ὁμοίων πειρᾷ. ἀλλ' οὐ γὰρ ἐβουλήθης κέρδος ἄδικον, ἀντὶ δόξης δικαίας ἑλέσθαι. ἴσως γὰρ οὐδὲ εἶχεν ὁ παραδούς σοι καιρὸς εἰς ἐμὲ διὰ τὴν νόσον, τυραννοκτονίας εὐσεβοῦς τύπον. ἐγὼ μὲν οὖν ἐπὶ σοὶ γενόμενος, ὅτι βούλοιό μοι χρῆσθαι, τὰς ἀξίας χάριτας οὐκ ἔχων, τοσαύτης ἀρετῆς ἀποδοῦναι, τὸ θ' ἓν οἶδα. ὅτι τῷ κτίσαντος θεοῦ τὴν τέχνην, ἄξια φρονεῖν ἐπαιδεύθης. ὅμως σὺν τοῖς τῆς ἰατρικῆς καὶ τοῖς τῆς πίστεως ἐπαίνοις, ἀπέσταλκά σοι τῆς ἐμαυτοῦ ψυχῆς χαριστήρια. φιάλας ἀπέφθου χρυσοῦ τέσσαρας. καὶ κρατῆρας ἀργυροῦς οὐ τῆς καθ' ἡμᾶς τέχνης δύο. καὶ ποτηρίων θηρικλείων, ζεύγη δέκα. καὶ παῖδας ἀφθόρους εἴκοσι. καὶ ἀργυρίου μυριάδας ἀττικὰς πέντε. γέγραφα δὲ καὶ Τεύκρῳ τῷ ἐπὶ τῆς διοικήσεως, δίδοσθαί σοι σύνταξιν, ὅσην λαμβάνουσιν, οἵ τε ναύαρχοι καὶ οἱ σωματοφύλακες, καὶ τῶν λοιπῶν οἱ ταξίαρχοι. μικρὰν ἀμοιβὴν, ἀντὶ μεγάλης εὐεργεσίας. προσκείσθω δὲ τῷ καταδεεστέρῳ τῆς εὐχαριστίας, τὸ προσομολογεῖν, ἴσην ἀμοιβὴν οὐκ ἔχειν ἀποδοῦναι, τὸν εὐεργετηθέντα.

Τοῦ αὐτοῦ.

Ἀπέλυσα διὰ σὲ Καλλαίσχρον. οὕτως ἐπιβουλεύσαντά μοι φανερῶς, ὡς μὴ μόνον ὁμολογῆσαι τὴν ἐπίθεσιν, ἀλλὰ καὶ τοὺς συνομότας μηνῦσαι. προσθεῖναι δὲ τῇ μηνύσει, καὶ τὸν τόπον. ἐν ᾧ, καὶ πότε, καὶ πῶς ἔμελλον ἐπιχειρεῖν· ἀλλ' ἦν ἀμνήμονος ὡς ἔοικεν ἀνδρὸς, μὴ χαρίσασθαι σωτηρίας εὐεργέτῃ, παρ' οὗ ταύτην δεδωρημένος. ἅμα δὲ ἐλογιζόμην, ὅτι κἀμοῦ μὲν ἦν, τὸ δοῦναι τοιαύτην χάριν ἰατρῷ σεσωκότι. σοὶ πολλῷ δὲ, σοὶ τὸ λαβεῖν πρεπωδέστερον, τῷ τῆς ἰατρικῆς προεστῶτι, καὶ πάντας σώζοντι τοὺς δεηθέντας. ἴδοιτο μέντοι τὸ παράλογον Καλλαίσχρος. ὅτι ζωῆς παρὰ σοῦ χάριν εἴληφεν, ἑτέρῳ ζωὴν οὐ δικαίως ἀφελόμενος. ἀφῄρηται γὰρ οὐ μελλήσας. ἄλλως δὲ ἠτύχηκεν.

Περισθένει.

Τὴν Εὐβούλου καὶ τὴν Ἀριφάντου γυναῖκα, τῶν ἐπιβουλευσάντων μοι φανερῶς, ἃς ἑλὼν αἰχμαλώτους ἔπεμψας, ὡς ἀπολουμένας πρὸς με, σφόδρα σπουδάσας τὸ πρῶτον ἀνελεῖν, σέσωκα. καὶ πάντως που θαυμάζεις ὅτι ὑφήρηκα τῆς ὀργῆς. εἰ δὲ καὶ πύθοιο τὴν αἰτίαν, ὅτι δι' εὐγενείας ὑπερβαλλούσης ἀπόδειξιν, μᾶλλον αὖ ἔτι θαυμάσειας. ἐρωτώμεναι γὰρ ὑπ' ἐμοῦ τὴν ἐπιβουλὴν εἰ συνῄδεσαν τοῖς ἀνδράσιν, οὐ μόνον ἔφασαν, ἀλλὰ καὶ συνωρμῆσθαι τυραννοκτονεῖν. ἀντὶ ποίας δὲ ἀδικίας εἰπόντος μου μείζονος ἢ ἐλάττονος εἰς ὑμᾶς ἐξ ἐμοῦ γενομένης, ἰδίας μὲν οὐδεμιᾶς, τῆς δὲ κοινῆς ἀπεκρίναντο. κοινὴν γὰρ ἀδικίαν ὑπολαμβάνειν τὸ καταδουλοῦσθαι πόλεις ἐλευθέρας. τί παθοῦσαι τοίγαρ τοι πάλιν ἐπανερομένου μου δίκην ἀποτίσαι τ' ἄν μοι τοῦ μίσους τὴν κατ' ἀξίαν, ἀποθανοῦσαι προσέθηκαν. ζῆν δὲ οὐ τεθνάναι κρίνας.

amplitudine, certabat. Veritus iniuſtam atque iniquam mercedē, iuſtæ famæ atq; opinioni præponere nolebas. fortè enim temporis eius quod ob aduerſam valetudinem tibi me tradiderat, non fuit ea conditio, vt pietatem Tyrannocidium habuiſſet aliquam. Ego itaque qui ſic in tua poteſtate fuerim, vt quicquid in mentem tibi veniret, agere de me licuiſſet, cum pro tanta virtute ſatis dignas gratias referre non poſſim, hoc vnum noui, Deo qui creauit hanc ſcientiam, conſentaneum dignum animum & facultatem te gerere. Attamen vnà cum medicinę & fidei laudibus, miſi ad te gratiſſimi mei animi pignora. phialas auri puri quatuor, Crateres argenteos non operis domeſtici duos & poculorum vitreorum, decem iuga. & pueros imberbes viginti & Argenti quinque myriades atticas. Scripſi etiam Teucro præfecto pecuniarū, vt tantum ſalarium tibi numeret, quantum nauarchis & ſatellitibus, reliquiſque centurionibus datur, exiguam ſanè, pro maximo beneficio remunerationem. Adferat autem hoc etiam aliquid adiumenti, ei qui non eſt par referendæ gratiæ, quod ſimul fatetur parem pro meritis gratiam ſe reponere non poſſe.

Eidem.

CAllæſchrum tui cauſſa dimiſi, ſic manifeſtè mihi inſidiatum, vt non modo conatum faſſus ſit: verùm etiam coniuratores prodiderit: & præter ſignificationem hanc, adiecerit locum, in quo, & quando. & quomodo rem aggreſſuri fuiſſent. At eſt hominis ingrati, vt apparet, non dare ſalutem ei, à quo ipſe donatam eam acceperit. Simul etiam meum eſſe cogitabam, eiuſmodi beneficium dare medico, qui me ſaluaſſet. Multò vero tibi conuenientius fuerit accipere, facultatis medicæ profeſſori & omnes homines, qui petant, curatione ſeruanti. De indignitate rei Callæſchrus viderit, quod cum alteri vitam per iniuriam eripuiſſet, tuo beneficio vitam adeptus ſit. Eripuit enim non cunctando, reliquis verò rebus errauit.

Periſthenes.

EVbuli & Amphanti qui mihi inſidias ſtruxerunt coniuges, quas captas ad me miſiſti, tanquam morte pœnam luituras, cùm primùm omnino vita plectere ſtatuiſſem, poſtea ſeruaui. Et fortaſſe mirum tibi videtur, me ab ira mitigatum eſſe. Quod ſi cauſſam audieris, quod ob ſingularis ingenuitatis ſpecimen, multo vehementius admirabere cùm earum interrogarentur à me, nunquid maritis inſidiarum conſciæ fuiſſent, non ſolùm hoc affirmarūt verùm etiam ſeipſas ad euertendum Tyrannum vnà paratas inſtructáſque cum maritis fuiſſe cúmq; rogarem quam ob iniuriam ſeu magnam ſeu paruam vobis priuatim à me illatam: ob nullam quidem priuatam ſed ob publicam reſpondebant. Se enim in communem iniuria habere, ciuitates liberas in ſeruitutē redigere. Quas verò pœnas, me rurſum quærente, pro iſto odio dignas mihi depēderetis: ſubiecerunt mortis. Vitæ igitur nō morti adiudicās

cum tanta virtute morituras & tanta animorum magnitudine Periſthenes, ego iure mihi videor eis peperciſſe. Tu quoque quæ cum hiſce rapuiſti, cùm caperentur, acceríitis illarum neceſſariis & amicis reſtituito. ne ſibi vel minimam factam iniuriam poſſint conqueri.

Euandro.

ET tibi & vniuerſis Himerenſibus, immo plæriſque Siculis hoc ſimiliter patere arbitror totam contra me inſtitutam Himeræ coniurationem, quod inſidiatoribus multò eſſem iuſtior à me profligatam ac deletam, eſſem. Non enim iniquum iudicem ſuſceptorum in ſuo templo facinorum Iuppiter ſe præbuit: ſic vt eos qui rectum iuſtúmq; facinus aggrederentur, tamen quoniam id in templo ſacrato ac ſancto facerent, quaſi iniurioſos ſceleratóſque in eius poteſtatem, quem illi iure ſuſtuliſſent, tradiderit. Eius verò ſententiæ reliquorum ferè neminem eſſe exiſtimo. Verùm cùm audiam ægrè ferre Steſichorum, in ſua poëmata culpam ab Eubulo deriuari, velim ne id eum moleſtè habeat: quoniam mihi non ſit veriſimile. Si enim huius poematis, vt ipſi dicunt, auſcultatum eſſet, non deſperatæ malitiæ, ſed probitatis maximæ, præmium tuliſſent.

Orſilocho.

SI quòd Pythagoras aliquando venire ad me recuſarit cùm eũ perſæpe vocaſſem, id mihi maximam infamiæ notam vt tu ipſe laudans eum contendiſti, iuſſit, quod meam familiaritatem & conſuetudinem fugeret: prorſus illud in laude ponendum erit, quod aduenerit, & iam quintum menſem ſuauiſſimè mecum vnà degat. Certum enim maniſeſtúmq; eſt, eum ne momento quidem temporis manſurum fuiſſe, niſi me ſuo ingenio ſuíſque moribus perſimilem inueniſſet.

Leontidæ.

IMmodicis orationibus apud Camarinenſes tumultuatus es, eóſque ad bellum contra me ſuſcipiendum, excitaſti. Verùm hoc à nobis ſcito, non aptum te perſuaſorem fuiſſe, quia non inanibus verbis nos te laceſſentem vlciſcemus, ſed factis, quæ qui experti ſunt, non facilè ſunt iterũ vim & inſidias mihi moliti. Id quoniam cognitum eſt & exploratum Camarinenſibus nolunt iratum Phalaridem experiri. Nam amicus eis & benefactor, multò iucundior appareo.

Demarato.

NE mireris Alcini & Dorimenis mortem, quaſi cum acerbitate, Tyrannicáque ſæuitia factam. Multò námque eſt admirabilius, quod cum bis térque fuerint impunitatem à Tyranno adepti, tum demum pœnas perſoluerint.

Hegeſippo.

CRedo ego te, reliquóſq; cognatos, quib^9 exiliũ Cliſthenis dolori eſt, malè cõſultum arbitrari, quod iam è patria ſit expulſus, cùm nullius præterquam pœnitentiæ tẽpus relinquitur. Ego verò quando maximis florebat Reip. gerendæ honoribus & inſignibus, tum eius potiſſimum miſertus ſum, & per litteras hæc ei ſignificaui atque quorſum euaſura eſſent, oſtendi. At ille captus honorum illecebris,

τὰς μετὰ τοιαύτης ἀρετῆς ἀποθνῄσκοντας, φρονήματός τε τοσούτου μετειληφυίας, ἐγώ τε δικαίως ἐφεισάμην. σύ τε πάνθ᾽ ὅσα μετὰ τούτων ἔλαβες ὅτε ἠλίσκοντο, μεταπεμψάμενος αὐτῶν τοὺς ἀναγκαίους ἀπόδος, ἵνα περὶ μηδενὸς ὡς ἠδικημέναι μέμψωνται.

Εὐάνδρῳ.

ΚΑὶ σὲ καὶ πάντας ἱμεραίους, μᾶλλον δὲ τοὺς πλείστους σικελιωτῶν οἴομαι γινώσκειν τοῦτο, ὅτι τῆς ἐν ἱμέρᾳ συντεθείσης κατ᾽ ἐμοῦ ἐπιβουλῆς, δικαιότερος ὢν τῶν ἐγχειρούντων περιεγενόμην. οὐ γὰρ δή τι φαῦλος ὁ κριτὴς τῶν ἐν τῷ σφετέρῳ τεμένει τολμωμένων ὁ ζεὺς ἐγένετο. ὥστε τοὺς δίκαιόν τι πράξοντας, ἐν ἱερῷ ὡς ἀδικοῦντας ὑποχειρίους παραδοῦναι τῷ προεστηκότι ὑπ᾽ αὐτῶν ἐπιβουλευομένῳ· ταῦτα μὲν οὐδ᾽ οὐδεὶς ἂν τῶν ἄλλων ὑπολάβοι. στησίχορον δὲ πυνθανόμενος ἀχθεσθαι, διότι τῆς ἐπιβουλῆς τὴν αἰτίαν, εἰς τὰς ἐκείνου ποιήσεις οἱ περὶ εὔβουλον ἀνέφερον, οὐκ ἂν ἐβουλόμην ὡς ἐμοῦ ταῦτα πεπεισμένου δυσχεραίνειν. εἰ γὰρ τοῖς τούτου ποιήμασι προσεῖχον ὥς φασιν αὐτοί, οὐ πονηρίας ἂν ἀπενεγκαμένης, ἀλλὰ χρηστότητος ὑπερβαλλούσης ἔπαθλον ἤνεγκαντο.

Ὀρσιλόχῳ.

ΕΙ τὸ μὴ ἐθελῆσαί ποτε πυθαγόραν τὸν φιλόσοφον ἀφικέσθαι πρός με, πολλάκις ὑπ᾽ ἐμοῦ καλούμενον, διαβολὴν ἔφερέ μοι καθὼς ἐγκωμιάζων αὐτὸν ἔλεγες, ἐπὶ τῷ φεύγειν αὐτὸν τὴν μετ᾽ ἐμοῦ συμβίωσιν, τὸ παραγεγονέναι καὶ πέμπτον ἤδη μῆνα συνεῖναι μεθ᾽ ἡδονῆς, πάντως ἔπαινός ἐστιν ἐμός. δῆλον γὰρ ὡς οὐκ ἂν ἔμεινεν, οὐδὲ βραχὺ μόριον ἡμέρας, εἰ μὴ τοῖς ἑαυτοῦ τρόποις εὑρήκει με παραπλήσιον.

Λεοντίδῃ.

ΑΜέτροις κέχρησαι λόγοις πρὸς καμαριναίους. ἤγειρας αὐτοὺς εἰς τὸν κατ᾽ ἐμοῦ πόλεμον. εὖ μέντοι καὶ τόδε ἀφ᾽ ἡμῶν ἴσθι, μὴ καλῶς πεπεικὼς αὐτούς, ὅτι οὐ λόγοις ἀπεράντοις ἀμυνούμεθά σε οἷς εἰς ἡμᾶς ἄρχειν δοκεῖς. ἀλλ᾽ ἔργοις, ὧν οἱ πειραθέντες αὖθις οὐκ ἐπεβούλευσαν. τοῦτ᾽ εἰδότες καμαριναῖοι, πεῖραν οὐ βούλονται λαβεῖν, ὀργιζομένου φαλάριδος. χαριζόμενος γάρ, ἡδίων αὐτοῖς ἔδοξα.

Δημαράτῳ.

ΜΗ θαύμαζε τὸν ἀλκίνου καὶ δορυμένους θάνατον, ὡς μετὰ πικρίας καὶ τυραννικῶς ὠμότητος πεπραγμένον. πολλῷ γὰρ ἔτι θαυμασιώτερον δὶς καὶ τρὶς ἀδείας ἀξιωθέντας, ὑπὸ τυράννου τότε κολασθῆναι.

Ἡγησίππῳ.

ΣΥ μὲν ἴσως καὶ ἄλλοι συγγενεῖς, ὅσοις μάλιστα ἀχθομένοις ἐστὶ τὸ φεύγειν κλεισθένην, τὸν ἤδη τι κακῶς βεβουλευμένον ἐπὶ τούτοις, ἐφ᾽ οἷς ἀπεστέρηται τῆς πατρίδος, ὅτ᾽ οὐδενὸς ἑτέρου καιρός, ἢ μεταμελείας· ἐγὼ δέ, ὅτι μάλιστα πολὺς ἐν ταῖς τῶν πολιτειῶν κενοδοξίαις ἦν, τότε μάλιστα ᾤκτειρον αὐτόν, καὶ ἐπέστειλα περὶ τούτων μαρτυρόμενος οἷ τελευτήσοι. ὁ δ᾽ ὑπὸ τῆς ἡδονῆς

τοῦ τιμᾶσθαι γαυριῶν, ἐν πάθεσιν ὤν, λήρους ἡμᾶς ὑπολαμβάνειν γράφειν, οὐκ ὄντας ἐμπείρους δημοκρατουμένης πόλεως, μᾶλλον δὲ οὐδὲ βουλομένους εἰδέναι τὸν ὑπὲρ τῆς πόλεως τὰ ἄριστα πράξαντα διὰ τὴν τυραννίδα. ἕως οὗ λαμπρότερον φυσήσας ἢ συνέφερε, τοῖς ἰδίοις φυσήμασιν ἀνετράπη. καὶ μετὰ ζημίας ἔγνω μεγάλης, οὐ Φάλαριν ἀμαθῆ πόλεως διοικουμένης διὰ τὴν ἀρχήν, ἀλλ᾽ αὐτὸν ἀγνοοῦντα δήμου διὰ τὴν πρόσκαιρον εὐπραγίαν. ἐπαγωγὸν γὰρ ὄχλος εἰς ἀτυχίας, καὶ τὰς ἀρχὰς πρὸς τὰ τέλη διαφερούσας ἔχει. ἐγὼ γ᾽ οὖν καὶ πᾶς ὁ μὴ παραφρονῶν, συρίττεσθαι μᾶλλον ὑπὸ πλήθους ἀκρίτου βουλοίμην ἄν, ἢ τιμᾶσθαι. τὸ μὲν γὰρ ἔχθος αὐτοῦ, τάχιον τοῦ διαφθεῖραι, σβέννυται. καὶ οὐδὲ ἐν οἷς ἀκμάζει καιροῖς ἐπιζήμιόν ἐστιν. ἡ δὲ τῆς εὐνοίας δόκησις φυγὰς ἢ θανάτους ἤδη μεθόδους, ἢ τούτων γε μετριώτερον οὐδὲν, τέτοκεν. νὴ Δία τὸν μέγιστον Ἡγήσιππε ὡς ἴσμεν, οὕτως ἂν εἴποιμεν πρὸς σέ. δῆμος ἅπας ἄτακτος ἄνους, ἄπρακτος, ἑτοιμότατος ἐφ᾽ ὅτι τύχοι μεταχθῆναι. ἄπιστος, ἀβέβαιος, ὀξύς, προδοτικός, ἐψευσμένος, φωνὴ μόνον, ἀνωφελής. καὶ πρὸς ὀργήν, καὶ πρὸς ἔπαινον εὐχερής. τοῦτ᾽ ἔστι τὸ μετ᾽ ἐνδόξου προπηλακισμοῦ φθείρεσθαι, τὸ δήμῳ πολιτευόμενον ζητεῖν ἀρέσκειν. μεμήνασι δὲ ὅμως τινὲς εἰς τοῦτο, ἀνοήτῳ καὶ δυσκαθέκτῳ ὁρμῇ, μᾶλλον δὲ λύσσῃ χρώμενοι. καὶ πολλοὶ παίδων ὄντων ἐρασταί, τοσούτοις πόθοις οὐκ ἔσχον εἰς τέκνα. καὶ χαίροντες γάμοις οὐχ οὕτως εἶδον ἀσμένως γυναῖκας καὶ φιλόπλουτοι φύντες, οὐ παραπλησίως ἔστερξαν χρήματα. καὶ φιλόπολοι καὶ μαχηταὶ καὶ φιλιπποτρόφοι νίκης ἕνεκα τῆς ἐν Ὀλυμπιάσιν ἀγώνων, οὐκ ἐπὶ τοσοῦτον ἥσθησαν ἑκάστοις τούτων, ὡς ἀθλίαν δόξαν καὶ τιμὴν ἀνόητον καὶ κρότον ἐπὶ ζημίᾳ τῇ ἑαυτῶν ἀγρεύοντες. τοῖς δὲ τῶν τοιούτων ἐρασταῖς, οἱ μὲν οἰκεῖοι συναχθεσθεῖεν ἂν ὡς ἔνι μάλιστα. οἱ δὲ ἐχθροί, τὰ μέγιστα πάντων εὐφρανθεῖεν. ὑμεῖς δὲ παραμυθεῖσθε μὲν Κλεισθένην, συγγενεῖς ὄντες, εἰ ἄρα δυσθύμως ἔχοι ὡς ἀνθρώπινόν τι πεπονθότα. ἀποτρέπετε δὲ ἐπὶ τοῖς αὐτοῖς φιλοτιμεῖσθαι ὡς ἀνήκεστα ἡμαρτηκότα.

Στησιχόρῳ.

Νικοκλῆς ὁ Συρακούσιος, οὐκ ἀγνοεῖς δὲ ἴσως ὃν λέγω, διὰ γὰρ ἐπιφάνειαν οἰκείαν, οὐκ ἔστι τῶν ἀγνοηθῆναι δυναμένων ὑπὸ Στησιχόρου, γυναικὸς ἀποθανούσης αὐτῷ, μέγα προσφάτως καὶ ἄπιστον ἐπιτέθειται πένθος, εἰκότως. ἔτυχε γὰρ τὴν αὐτὴν ταύτην ἀδελφιδῆν ἔχων καὶ γυναῖκα. οὗτος ὁ Νικοκλῆς, ᾔδει γὰρ ὡς ἔχομεν ὅπως πρὸς ἀλλήλους κεχρήμεθα πόθοις. πέμψας πρὸς με Κλεΐνικον τὸν ἀδελφὸν αὐτοῦ, ἠξίου ὅπως σου δεηθείην ἔπαινον ἐν ποιήσει διατίθεσθαι περὶ τῆς ἀνθρώπου. καὶ γὰρ ὡς πυνθάνομαι Συρακουσίων, πᾶσάν τε τὴν ἄλλην ἀρετήν, πρὸς δὲ καὶ τὴν ἀκροτάτην σωφροσύνην αὐτῇ προσμαρτυρούντων, οὐκ ἔστιν ἀνάξιος ὑπὸ τοῦ σοῦ στόματος ὑμνηθῆναι. πεφύλαξαι μὲν οὖν

& his delectatus aura populari prorſus intemperanter ſe gerebat & ineptias eſſe ſuſpicabatur, quæ nos ſcriberemus quaſi imperiti libertatis Rerumpublicarum & Democratiæ, immò infeſti omnibus, qui ciuitatum iura bene adminiſtrarent, propter Tyrannidem: donec vltra quàm erat vtile, ſuperbia ſua, propriaque gloria prouectus concideret ac euerteretur, & magno ſuo malo cognoſceret, non rudem aut imperitum eſſe Phalarim, ciuitatis ritè & ſecundum leges adminiſtrandæ propter regnum, ſed ipſum ignarum populi propter fortunam fœlicitatémque temporaneam fuiſſe. Facilis enim & flexibilis eſt turba ad inferendum damnũ, & principium à fine plærumque diſſentiens habet. Atque ego quidem perinde ac omnes ſanæ mentis, exibilari me à promiſcua turba, quàm dignitatibus euehi honorarique mallem. Nam odium eius antè quàm ad ſuum finem perueniat, extinguitur, neque quibus viget temporibus vlla re damnoſum eſt. Beneuolentiæ verò & fauoris opinio, aut turpe exilium aut præſentem mortem, aut præſcriptiones violentas, aut certè nihil his tollerabilius gignit atque adfert. Per Iouem ter maximum Hegeſippe, quemadmodum ſentimus, ita tecum loquimur. Omnis populus incompoſitus, mente carens, vanus propenſiſſimus & facilimus ad quiduis adductu, perfidus, inſtabilis, iracundus, proditor, fallax, vox tantum, inutilis, ad iram laudémque pariter inclinatus. Hoc enim eſt ad exitium cum contumelia feſtinare, populi in Reipub. gubernatione plauſum fauorémque captare. Attamen aliqui eò vecordiæ proceſſerunt, ſtulto & effrenato quodam impetu vel potiùs furore. Et multi liberorum amatores, non tanto deſiderio filiorum ardent, & gaudentes nuptiis non tam cupidè ſpectant fœminas, & auari natura, non ita pecunias deſiderant, non denique bellicoſos, pugnatores atque equorum altores ſtudioſos tantùm olympica certamina delectant: quanta cum lætitia tales miſeram gloriolam, ſtultum honorem, plauſúmque in ſuam perniciem aucupantur. Eos verò, qui harum rerum cupiditate tenentur, amici familiaréſque quantum poſſunt conſolantur & ſuo dolore ſtre[?]creant: inimici verò ſummam voluptatem capiunt. Vos autem Cliſthenem, cum ſitis ei cognatione propinqui ſolatio leuate atque reficite, ſi fortè moleſtius tolerat, humano quodam caſu turbatum, & ſimul eum ab eiuſmodi rerum voluptate dehortamini, vt grauiſſimo errore peccatóque perculſum.

Steſichoro.

Nicocles Syracuſius, fortſitan non te latet quem dicam (: Etenim propter ſplendorem domeſticum ignorari à Steſichoro non poteſt:) vxorem ſuã vita defunctam, maximo nuper & incredibili luctu proſecutus eſt. Nec iniuria. Eandem enim & neptem & vxorem habuit. Is Nicocles: (nouit enim mutuam inter nos familiaritatem & coniunctionem:) miſſo ad me fratre ſuo ſummis precibus contendit, rogarem te, vt carmen aliquod in laudem mulieri faceres. Quantum enim ex Syracuſorum ſermonibus intelligo, qui tum alias virtutes tum cæleſtem ſapientiam ei ſuis teſtimoniis attribuunt, non eſt indigna, quæ tuo ore canatur ac celebretur. Quare tene cautionem iſtam

vt tu

vt ne de tui ſeculi mortalibus ſcribas quicquam ne quis te poëſin queſtui putet habere. Fidelis autem amicitia ne noſtra quidem in deterium eſt conuerſa & mutata. Nec verò, prætendens tuæ ſententiæ conſuetudinem, meas preces auerſeris. Neque enim eſt æquum Phalarim à Steſichoro quippiam orando repulſam pati, non quod aliquo beneficio gratiam hanc à te promeriti ſimus: ſed quod infixam & conceptam opinionem à te confirmari & corroborari velimus conſer itaque manifeſtè mihi tuæ naturæ beneficium affatim, petenti quidem, quæ largiturus es meo nomine, accepturo verò amici. Reliquum eſt autem, cum annueris ad votum vt ſcias eam Clearistam vocari, genere Syracuſiam, patre Echecratide, neptem eius de quo ſcripſimus, iuxta & vxorem, ſedecim annis eius coniugem, triginta verò natam, duorum liberorum matrem, tabe mortuam. Capita quidem argumentorum hæc ſunt, inflatis autem in ſingulas partes verbis & ornamentis ſententiarum per ea quibus deuotus es numina tuum quoque ſanctum & diuinum caput Muſarum cognatio tum aliis laudibus & hymnis tum etiam hac Clearistæ de qua nunc ad te ſcribimus decorabit & illuſtri gloria augebit.

Eidem.

Carminibus in honorem Clearistæ ſcriptis, magnam à nobis mirámque gratiam iniiſti. Etenim & noſtræ rogationi morem geſſiſti, & ſingularum partium artificium incredibili quadam concinnitate temperaſti. Et ipſius ſcripti formam magna gloria fuit non apud me ſolùm, qui ad eundem modum omnia, quæ ſunt à Steſichoro profecta, mirari ſoleo, verumetiam apud reliquos auditores Agrigentinos, quorum ingens fuit copia. Non autem his ſolis, qui præſentes audiuerunt, aut qui nunc in vita ſunt; verùm etiam quotquot ſequens ætas tulerit omninò. A me igitur, vt dixi, pro poeſi hac tibi gratia debetur. Mea quidem petitione non modò nunc exiſtentibus, verùm etiam in poſterum futuris mortalibus hoc carmen donaſti. De me verò meiſque quòd in epiſtola ſignificare videbatis, per Iouem ſocialem, & communes aras, nullibi per poëſim vel vt de peſſimo, vel vt de bono mentionem vnquam feciſti. Exoſum eſt enim meum nomen propter fortunam & calamitates. At commendetur ſaltem Phalaris ſcripta Steſichori; ſiue meliore opinione hominum vulgata ſiue contrà exiſtimas eſſe.

Cleaneta & Theani.

Beneuolentiam veſtram lubenti quidem animo complector, quod tanto ſtudio Phalaris nomen velitis vſurpare. Fortuna verò vt maximè nos aſſentiamur, non concedit. Inuenietis enim irreprehenſum & inculpatum ei nomen à genere contigiſſe. Ego verò, multa magnáque fati acerbiſſima neceſſitate coactus & inuitus patraui, quæ mihi infamiam hanc attulerunt. Nec alia de cauſa meum nomen tam inuiſum eſt, quàm quod ad leges

γράφειν εἰς τοὺς κατὰ σεαυτὸν ἀνθρώπους, ἵνα μὴ δόξῃ σου τις αἰτίαν εἶναι τὴν ποίησιν. ἔστι δὲ ἡ πιστὴ φιλότης, οὐδὲ αὕτη καθ' ἡμᾶς, εἰς τὸ χεῖρον ἀπηλλαγμένη. μὴ δὴ τὸ συνῆθές σου τῆς γνώμης προβαλλόμενος, ἀποστραφῇς μου τὴν δέησιν. οὐδὲ γὰρ εἰκὸς ἀτυχῆσαι παρὰ Στησιχόρου Φάλαριν αἰτησάμενον. οὐχ ὅτι χάριτας ὀφείλεις ὑπό τινος, ἀλλ' ὅτι τὴν πίστιν ἐμμένειν δόξαν, ἀξιοῦμεν ὑπὸ σοῦ βεβαιωθῆναι. δὸς δή μοι προφανῶς χάριν τῆς σαυτοῦ φύσεως ἀφθόνου. αἰτουμένῳ μὲν ἃ δώσεις, εἰς ἐμαυτόν. ληψομένῳ δὲ εἰς φίλον. λοιπὸν δέ γε ἵνα εἰδῇς ἐπὶ τὴν χάριν, Κλεαρίστην καὶ συρακουσίαν τὸ γένος, Ἐχεκρατίδου πατρὸς, ἀδελφιδῆν, ἧς γέγραφα μὲν καὶ γυναῖκα. ἑκκαίδεκα συνεζηκυῖαν ἔτη. τριάκοντα δὲ ζήσασαν. δυεῖν παίδων μητέρα. τεθνηκυῖαν δὲ ἐκ διαφθορᾶς. τὰ μὲν κεφάλαια τῶν ὑποθέσεων ταῦτα. ὑμνηθεῖσα δὲ εἰς τὰ κατὰ μέρος τῆς γραφῆς, ὑφ' ὧν κατέχῃ θεῶν. καὶ σου τὴν ἱερὰν, καὶ ὑμνοπόλον κεφαλὴν, ἡ μουσῶν συγγένεια κοσμήσει, ἄλλαις τε ὑμνῳδίαις, καὶ τῇ νῦν ὑφ' ἡμῶν εἰς κλεινὸν εἶναι ἐπισταλμένῃ.

Τῷ αὐτῷ.

Τῶν μὲν ἐπὶ Κλεαρίστῃ μελῶν, πολλή σοι καὶ μεγάλη χάρις ἀποκείσεται. καὶ γὰρ ἐπέδωκας σαυτὸν, οἷς ἃ παρεκάλουν. καὶ ταῖς κατὰ μέρος οἰκονομίαις ὑπὲρ φυὰς συνηνέχθης· καὶ τὸ σχῆμα τῆς γραφῆς θαυμαστῶς εὐδοκίμησεν, οὐ παρ' ἐμοὶ μόνῳ, ἐγὼ γὰρ ἐπὶ πᾶσιν ὁμοίως ἄγαμαι τοῖς Στησιχόρου, ἀλλὰ καὶ τοῖς συνακούσασιν ἀκραγαντίνοις, πολλοῖς γενομένοις. ἔσονται δὲ οὐχ οἱ τὸ παρὸν ἀκηκοότες, οὐδὲ ὅσοι νῦν εἰσὶν, ἀλλ' ὅσους ὁ μεθ' ἡμᾶς οἴσει βίος. ἡ μὲν οὖν ὑπὲρ ταύτης σοι τῆς ποιήσεως χάρις ὡς ἔφην, ὀφείλεται ὑπ' ἐμοῦ. κεχάρισαι δὲ διὰ τῆς ἐμῆς ἀξιώσεως, τοῖς τε νῦν οὖσι καὶ τοῖς ἐσομένοις ἀνθρώποις. καὶ ταύτην τὴν μελῳδίαν. περὶ δὲ ἐμοῦ καὶ τῶν ἐμῶν, τοιοῦτον γάρ τι διὰ τῆς ἐπιστολῆς ἐδήλου, πρὸς ἑταιρείου Διὸς, καὶ κοινῆς ἑστίας, μηδὲ ἕν ἐν ποιήσει, μήθ' ὡς κάκιστος ἐγενόμην μήθ' ὡς ἀγαθὸς ἐπιμνησθῇς. ἐκμελὲς γάρ ἐστί μου τοὔνομα διὰ τὰς τύχας. γεγράφθω δὲ Φάλαρις ἐν αὐτοῦ Στησιχόρῳ, εἴτε βελτίονος τῆς κατεχούσης ἐν ἀνθρώποις δόξης, εἴτε τῆς ἐναντίας προσειληφθείη.

Κλεανείτῃ καὶ Θεανοῖ.

Τὴν μὲν φιλοφροσύνην ὑμῶν ἀσμένως ἀποδέχομαι, τοσαύτῃ σπουδῇ βουλομέναις ὀνομάσαι Φάλαριν. προσίσταται δ' αἱ τύχαι, καθ' ἡμᾶς συγχωρεῖν μέν. εὑρήσετε γὰρ αὐτὸ ἄληπτον, καὶ ἀκατηγόρητον ἐκ τοῦ γένους ὄνομα αὐτοῦ γεγενημένον. ἐγὼ δὲ πολλὰ καὶ μεγάλα διὰ πικρᾶς εἱμαρμένης ἀνάγκης, ἀκουσίως πραχθέντα μοι κατήγορα. καὶ τὸ ἐμὸν ὄνομα δι' οὐδὲν ἕτερον ἐστὶν ἐκμελὲς, ἢ ὅτι νόμους

οὐ πείθομαι. νόμος δέ εἰμι τοῖς ὑπηκόοις. ἣν δὲ μοι χάριτος ἀμοιβὴν προσφέρεσθε, Φάλαριν ὀνομάζουσαι, ταύτην δωρεὰν ποιήσασθε μὴ τεθεῖσαι τὸ ὄνομα.

Ενναίοις.

ΟΥ μεταμελόμενος ἐπὶ τῇ παρέσει τῶν χρημάτων ἄνδρες Ἐνναῖοι, τὴν ἐπιστολὴν ταύτην ὑμῖν ἐπέσταλκα. ἀλλ᾽ ἵνα βεβαίαν ἔχητε τὴν χάριν, ἐπεξελθόντες τῇ δίκῃ Περίανδρον. τοῦ γὰρ μὴ ἀληθῶς ἔχειν τὴν πόλιν, ἀλλὰ προφάσει ψευδεῖ κατεσχηματισμένην ἀποστερεῖν τοὺς δεδανεικότας, ἀπόδειξις ἔσται μοι, τὸ τούτου τῆς κλοπῆς ὑμᾶς καταψεύσασθαι. οὐ γὰρ ἔχει λόγον ὑγιῆ, τοὺς αὐτούς, τοτὲ μὲν, ὡς πενομένους παρεῖναι, καὶ δεῖσθαι χρημάτων. τοτὲ δὲ, ὡς πλουτοῦντας, πολλὰ τῶν κοινῶν εἰς τοὺς ἁρπάζοντας προΐεσθαι. ἀλλ᾽ ἢ καὶ πρὸς τοὺς δανειστὰς πλουσίους ὑμᾶς εἶναι δεῖ, ἢ καὶ πρὸς τοὺς κλέπτοντας, πένητας. ἐπεὶ δὲ τὰ μὲν τῆς πόλεως χαρίζεσθε τοῖς νοσφιζομένοις, ὡς περιουσιάζοντες, τὰ δὲ τῶν δεδανεικότων ἀποστερεῖτε διὰ τοὺς δημαγωγοὺς ὡς ἀπορούμενοι, πρῶτον μὲν, ὃ καὶ μεῖζόν ἐστιν, ἀδικεῖτε, μηδενὸς ὑμῖν ἀδικεῖν ἐπιτρέψαντος. ἔπειτα, πολλῷ δικαιότερόν ἐστιν, ἀποτῖσαι ὃ ἐδανείσασθε ὑμεῖς, ἔχειν οὐ δυνάμενοι διὰ τοὺς ἀφαιρουμένους καὶ κομίσασθαι τὸν δεδανεικότα, ἢ Φαλάριδος ἐπ᾽ ὀνόματι δωρεᾶς χρεωκοπηθέντος, Περίανδρον ἡδέως κεκερδηκέναι τὰ τῶν παρεικότων. ὥσθ᾽ ὑμῖν πάρεστιν, ἢ σὺν τῷ σῶσαι τὰ ἀφειμένα, κυρίαν ἔχειν καὶ τὴν ἀπ᾽ ἐμοῦ χάριν, ἢ μετὰ τῆς τῶν ἰδίων χρημάτων ἀπωλείας, στερηθῆναι καὶ τὰ παρειμένα.

Τιμάνδρῳ.

ΤΗς ἐν Καμαρίνῃ πολιτείας κατ᾽ ἐμοῦ, μὴ πεπεισμένων Καμαριναίων μέγαν ὑπὲρ μικρᾶς αἰτίας ἐπαρᾶσθαι πόλεμον, νῦν μὲν ἴσως παραμυθίαν ἔχεις, τὸ κατ᾽ ἐμοῦ στρατείαν ἀγείρειν. ὅταν δὲ τὸ κοῦφον ἐπιλείπῃ τῆς τεθείσης ἐλπίδος, τότε κατὰ τὴν ἀξίαν, οὐχ ὧν δέδρακας, ἀλλ᾽ ὧν πέπονθας αἰτιάσῃ. καίτοι τί σοι ὄφελος εἰς παραμυθίαν. εἰ μὲν γὰρ ἐμελλήσαμεν πεῖσαι, ὥσπερ ἐκπεπλῆχθαι σύ, τάχα ἄν τινος εἴχου λόγου διὰ τὸν ἐμὸν φόβον. νῦν δὲ εἰς τὰ ἄλλα μέν, οὐ δι᾽ ὅσον ἡμᾶς ἐλύπησας. σὲ δὲ τί μηκέτι ἐναρμόσαι σεαυτόν, τῷ παρ᾽ ἡμῖν ἀπολέσθαι βασανιστηρίῳ. οὐδὲ μιᾶς γὰρ σοι δεῖ τελευτῆς, ἐπὶ τοιαύταις κολαζομένῳ συμφοραῖς, ἀλλὰ καὶ τῆς κατὰ φύσιν ζωῆς, εἰ οἷόν τε, μακροτέρου βίου.

Μελιταίοις.

ΣΥγκεχρῆσθαι μὲν προσβεβλησμένοις ὑμῖν δανεῖσαι χρήματα καί περ πρὸς τὸ παρόν, οὐκ εὐπόρως ἔχων, διὰ τὸ συνεχῶς εἰς πολέμους ἀναλοῦν. ἀλλὰ προφάσεως οὔ φασι δεῖ πρὸς φίλους. πάθοιτε δ᾽ ἂν οὐδὲν ὅμοιον τοῖς πολλοῖς, οἱ δανειζόμενοι μὲν τοῖς ἡδίστοις ὀνόμασιν ἀποχρῶνται.

reſpectum non habeo. Ego verò ſubditis pro lege ſum. Quam autem mihi gratiam præſtatis, Phalarem nominando, id beneficium non hoc nomen ponendo, conferatis velim.

Ennenſibus.

NOn hanc epiſtolam ideo ad vos miſi viri Ennenſes quod me pœniteat vobis pecuniam remiſiſſe, ſed vt Periandrum iudicio perſequentes, firmum ſolidúmque beneficium habeatis. Etenim ciuitatem rationibus non veris vſam: ſed falſo prætextum oppoſito creditores ſpoliare, mihi argumentum erit quod huius furtum vos fefellit. Non enim eſt veritati conſentaneum, eoſdē aliâs tam egentes eſſe, vt adſint & pecunias rogent aliâs ita diuites vt multa publica, raptoribus permitterent: ſed aut erga creditores diuites ſitis neceſſe eſt, aut erga fures, egenti ſui ciuitatis bona furantibus largimini, tanquam affluentes, & creditores aſſentatorum conſilio ſpoliatis tanquam indigi, primum, quod & grauius eſt iniuriam facitis, nulla re cogente. Deinde multò iuſtius eſt perſoluere, quod mutuum ſumpſeritis quódque propter fures tenere non poteſtis, & creditor ſuum ſolidum reddere, quam Phalaride muneris prætextu, ſuo ære fraudato, Periandrum iis quæ remiſſa ſunt, ſumma cum voluptate perfrui. Quare in vobis eſt, vtrum cum veſtrorum bonorum conſecutatione, ratum etiam quod à me tributum eſt beneficium tenere velitis, an cum propriarum pecuniarum interitum, ea quoque quæ ſunt vobis remiſſa, perdere.

Timandro.

QVod Camarinæ contra me, non conſentientibus Camarinenſibus, maximum exigua de cauſa bellum paras, forſitan te alacriorem confidentioremque exercitus aduerſum me conſcriptio facit: Cùm verò conceptæ ſpei rerum opportunitas nequaquam conſentiet, tum demum vt par eſt, non ex tuis factis ſed damnis capies mœrorem. Atqui quid tandem eſt, quod te conſolari poſſit. Si enim adeò timeremus quàm tu minaris forſitan aliqua ratione propter meum timorem niſi poſſes. Iam verò reliquis rebus nihil omnino nobis noces, ſed tibi potius qui nondum teipſum ad vitam in noſtris tormentis exhauriendam accommodes. Nulla enim morte es afficiendus, cum tantis ærumnis excrucieris, ſed vltra terminum quoque à natura præfinitum, ſi fieri poſſet, vita tibi foret proroganda.

Melitenſibus.

QVanquam in hoc præſenti tempore, non admodum diuitiis abundant quoniam continuis bellorum impenſis abſumptæ ſunt: tamen adduci me paſſus ſum vt vobis rogantibus mutuò pecunias darem. Non enim, vt dici ſolet, excuſatio erga amicos prætendenda eſt. Neque verò faciatis idem, quod vulgò fieri conſueuit, vt mutuum ſumentes blandiſsima oratione vtantur

repetiti

repetiti verò, probroſiſſima difficillimáque rem & à iuſtitia & à gratitudine abhorrentiſſimam agentes. Eum enim qui ceperit, meminiſſe creditorum par eſt & vſque ad perſolutionem de his ſemper eodem modo ſentire, atque ſi bonus ſit, vt bono perſoluere: ſin malus vt malo. Nam & æquo & iniquo creditum reddere conuenit. Ego itaque Melitenſes, & cùm do & cùm repeto ſum idem & mihi ſimilis. Debitores verò & ad tempora & ad ingenia, perinde ac Chamaleontes ad locum colorem, ſe commutant & fingunt atque ſumentes quidem vt beneficium & Deum laudibus extollunt, cùm verò debitum exigitur vt Tyrannum & ſceleratum calumniantur. Adhæc neque illud me præterit, melius eſſe multò ab homine priuata, quàm ab vrbe, mutuata pecunia ſpoliari. Si enim ab vno homine quis fraudatus ſit, vnum ſolummodo poſſidet inimicum eúmque imbecillem. Sin à repub. damnum quidem ſimile facit, hoſtes verò complures non vnum tantùm habet. Verùm nihil eiuſmodi de vobis ſentio: ſed extra ſuſpicionem omnes pecunias concedo. Nam cùm in alijs rebus veſtra mihi gratitudo, tum etiam in contractibus iuſtitia fidéſque cognita eſt. Præſertim verò cùm hoc vos non latere ſciam, maius crimen in iis eſſe, qui multi vni iniuriam inferunt, quàm qui vnus à multis iniuriam patitur. Non enim credibile eſt ab vno multos, ſed vnum à multis contemptui neglectuique haberi, veriſimilius eſt.

Meſſeniis.

NOn ignorabam, cum veſtris diis anathemata tripodas delphicós & coronas aureas aliáque multa, gratificatoriáque magni precij munera pro ſalute mitterẽ ex duobus alterum vos facturos eſſe vt aut pietatis religioniſque colentes hæc diis conſecraretis, aut illis ſpoliatis inter vos ipſos diſtribueretis, quod & euenit Nam me contumeliis lacerantes propter donatorem anathemata non pura eſſe ſimulaſtis deóſque ſacrilegio ſceleratiſſimo deprædati eſtis. Quid enim refert conſecrata ne diis ſuſpenſáque detrahas ad addicta nominatim rapias. Vtraque enim non mittentium amplius, ſed illorum ſunt. Vt enim mea gratitudo erga deos ſic veſtra improbitas impietáſque maxima eſt. Nam & meam largitionem & veſtras rapinas atque furtum nouerunt. Mihi verò ſatis eſt, vos ſceleroſos & execrandos Deorum immortalium quos ſpoliaſtis ira & indignatione factos videre. Nam cum reliquis, quamobrem ea in lucro deputaſtis, ſimul etiam confeſſi eſtis nihil ex miſsis donatis impurum pollutúmque eſſe, niſi iidem Theſauri, ſub ambiguam ſortem conijciantur: ſi quidem vos eos partiremini meliorem ſin diis dono ferrentur, deteriorem. Præterea manifeſtæ vos ipſos impietatis ſceleriſque damnatis. Principes enim cauſſam in plebem transferunt, quamobrem pecuniæ in hoſtilibus cõmuni decreto ſint habitæ

ἀπαιτούμενοι δὲ, τοῖς χαλεπωτάτοις. ἔχοι ἔτι δίκαιον, οὔτε εὐχάριστον ποιοῦντες. δεῖ γὰρ λαβόντα, μεμνῆσθαι τῶν δεδωκότων, καὶ μέχρι τῆς ἀποδόσεως ὁμοίους ἡγεῖσθαι τοὺς δεδανεικότας. καὶ εἴτε χρηστὸς εἴη, ὡς χρηστῷ διαλύεσθαι. εἴτε καὶ φαῦλος, ὡς φαύλῳ. καὶ γὰρ ἐπιεικεῖ καὶ μὴ τοιούτῳ, δίκαιον ἀποδοῦναι τὸ πιστευθὲν μόριον. ἐγὼ μὲν οὖν ὦ Μελιταῖοι, καὶ ὅταν δανείζω, καὶ ὅταν ἀπαιτῶ, ὅς εἰμι, καὶ ἐμαυτῷ παραπλήσιος. οἱ δανειζόμενοι δὲ πρὸς τοὺς καιροὺς καὶ τὸν τρόπον, ὥσπερ φασὶ τοὺς χαμαιλέοντας τὰ χρώματα πρὸς τοὺς τόπους, ἀλλάττουσι. καὶ λαμβάνοντες μὲν, ὡς εὐεργέτην καὶ θεὸν ἐπαινοῦσιν, ἀπαιτούμενοι δὲ, ὡς τύραννον, καὶ οὐ καθαρὸν ἀποκαλοῦσιν. οἶδα δὲ καὶ τοῦτο ὅτι πολλῷ κρεῖττόν ἐστιν ἰδιώτῃ δανείσαντα χρεωκοπηθῆναι ἢ πόλει. ὑπὸ ἰδιώτου μὲν γάρ τις ἀποστερήμενος, ἐχθρὸν ἕνα κέκτηται, καὶ τοῦτον ἀσθενῆ. ὑπὸ δὲ πόλεως, ζημιοῦται μὲν ἴσον ἢ ἧττον. ἐχθροὺς δὲ τοὺς πολλοὺς ἔχει, καὶ οὐχ ἕνα. οὐ μὴν καταγνοίην ὑμῶν τοιοῦτόν τι. ἀλλ' ἀνυπόπτως δίδωμι τὰ χρήματα. τά τε γὰρ ἄλλα μνήμονας ὑμᾶς ἐπίσταμαι, καὶ περὶ τὰ συμβόλαια δικαιοτάτους. καὶ πρὸς τοῖς ἄλλοις οὐδὲ τοῦτο ἀγνοοῦντας, ὅτι κατηγορία μᾶλλόν ἐστι πολλῶν, ἀδικεῖν ἕνα, ἢ ἑνὸς ὑπὸ πολλῶν ἀδικεῖσθαι. ἢ γὰρ εἰκὸς ἕνα πολλῶν, πολλοὺς δ' ἑνὸς καταφρονεῖν, εὐλογώτερον.

Μεσσηνίοις.

ΟΥκ ἠγνόουν, ὅτι πέμψαντός μου τοῖς παρ' ὑμῖν θεοῖς ἀναθήματα, τρίποδάς τε δελφικοὺς, καὶ στεφάνους χρυσοῦς, καὶ ἄλλα πολλὰ, καὶ πολυτελῆ χαριστήρια τῆς σωτηρίας, δυεῖν θάτερον ποιήσετε, ἢ τοῖς θεοῖς εὐσεβοῦντες ἀναθήσετε, ἢ τούτους ἀποστεροῦντες, αὐτὰ διανεμεῖσθε, ὅπερ δεδράκατε. προσποιούμενοι γὰρ ἐμοὶ λοιδορεῖσθαι, ὡς τῶν ἀναθημάτων διὰ τὸν κτησάμενον οὐ καθαρῶν ὄντων, τοὺς θεοὺς ἱεροσυλήκατε. τί γὰρ διαφέρει τὰ καθωσιωμένα περιελάσαντας ἀπενεγκεῖν, ἢ τὰ κατωνομασμένα τοῖς θεοῖς. ἐκείνων γὰρ ἀμφότερα ἱερά. καὶ οὐ τῶν πεπομφότων. ἡ μὲν οὖν παρ' ἐμοῦ χάρις εἰς τοὺς θεοὺς, καὶ ἡ παρ' ὑμῶν ἀσέβεια, παντελής ἐστι. καὶ γὰρ ἐμὲ τὸν δεδωκότα, καὶ τοὺς ἁρπάσαντας ὑμᾶς ἴσασιν. ἀρκεῖ δέ μοι τὸ, τῶν θεῶν οὐ λαβόντων, ἐναγεῖς ὑμᾶς ὁρᾶν γεγονότας, τῇ τῶν ἱεροσυληθέντων ὀργῇ. σὺν γὰρ τοῖς ἄλλοις, δι' ὧν αὐτὰ κέρδος ἡγήσασθε, προσωμολογήκατε μηδὲν εἶναι μυσαρὸν τῶν ἀπεσταλμένων, εἰ μὴ τὰ αὐτὰ κειμήλια, διττὰς ἔχει τύχας. ἂν μὲν ὑμεῖς αὐτὰ διανέμησθε, τὰς ἀμείνους. ἂν δὲ τοῖς θεοῖς κομισθῶσι, τὰς χείρους. πρὸς δὲ τούτοις, ἑαυτοὺς ἐλέγχετε περιφανῶς ἠσεβηκότας. οἱ μὲν γὰρ ἄρχοντες, τῷ ψηφίσασθαι πολέμια εἶναι τὰ χρήματα; τὴν αἰτίαν ἐπὶ τὸν δῆμον ἀναφέρουσιν.

ὑμεῖς δὲ ὁ δῆμος, ἐπὶ τοὺς ἄρχοντας. καὶ τὸ πάντων δεινότατον, τοὺς μὲν θεοὺς ὡς κακοὺς ἀνθρώποις προδόντας αὐτοὺς ζημιάζετε λέγετε, εἰ δῶρα παρὰ τυράννου λάβοιεν. τοὺς δὲ πολιτευομένους ἀγαθοὺς παρ' ὑμῖν, οἳ τρὶς καὶ οὐχ ἅπαξ Μεσσήνην, ὡς Ἀκράγαντά μοι ὑπὸ χεῖρα πεποιήκασιν, εἰ χρήματα αὐτοῖς αἰτοῦσι προσθείην, οὐ κολάζετε. τὸ δ' αἴτιον, ὅτι κοινωνεῖτε τῆς αὐτῆς προαιρέσεως καὶ οὐ δύνασθε τοῖς αἰτίοις ἐλευθέρως ἐπεξελθεῖν. πάντες γὰρ ἔνοχοι δωροδοκίας εὑρεθήσεσθε. οὐ μὴν, ἀλλ' ἴσω μὲν, ἵνα μὴ δοκῶ περὶ τῶν ἀναθημάτων λέγειν, μήτε παρ' ἐμοὶ μεμενηκότων, μήτε τοῖς θεοῖς ἀνατεθειμένων, οὐδεμίαν ποιήσομαι φροντίδα μεταλαβεῖν· οἱ δὲ ὑμᾶς ἀξίως τῶν τετολμημένων, οἱ σεσυλημένοι, καὶ περὶ ἐμὲ, καὶ περὶ ὧν εἰς αὐτοὺς ἠσεβήκατε. ἔρρωσθε. τὸ δὲ ἔρρωσθε διπλῆν παρέμφασιν ἔχον, ἀγαθοῦ καὶ κακοῦ, μὴ ἀγνοεῖτε ὅτι πρὸς τὸ χεῖρον γέγραπται.

Τιμώνακτι.

Νενίκηκα τῷ πολέμῳ Λεοντίνους, ἵνα δὲ τῇ λύπῃ διαρκέσῃς, καὶ μὴ πάντων ἀθρόως ἀκούσας ἀποκαρτερήσῃς, οὐκ ἔγραψά σοι περὶ τῶν ὅλων, ὅτι καὶ Ταυρομενίτας, καὶ Ζαγκλαίους συμμαχήσαντας αὐτοῖς, εἰς τέλος νενίκηκα. ἤδη ὅτι λαβὼν ὑπὲρ τῆς ἀφέσεως τῶν ἑαλωκότων, τάλαντα ἑκατὸν, ἀπελύτρωσα τοὺς αἰχμαλώτους. οὐ γὰρ ἐβουλόμην διὰ τὴν ὑπερβάλλουσαν τῶν εὐτυχημάτων μοι προσαγγελίαν ἀπολωλότος σου, τὸν οὐκ ὀρθῶς ὄντα, δοκεῖν ἄνθρωπον ἀνῃρηκέναι.

Ἱέρωνι.

Πολλὰ λέγειν ἔχων, καὶ κατὰ σοῦ, καὶ περὶ ἧς κατ' ἐμοῦ πεφλυαρήκας ἐν Λεοντίνοις δημοκοπίας, οὐδὲν ἐρῶ περιττότερον, πλὴν ὅτι κώνωπος ἐλέφας ἰνδὸς οὐκ ἀλεγίζει.

Ἀρισταινέτῳ.

Οὔ λυπεῖ με τὸ γῆρας. οὐ γὰρ ἡ τῆς τυραννίδος ἰσχὺς γεγήρακεν, ἀλλὰ Φάλαρις. λυπεῖς δέ με σὺ, λίαν ὑπὲρ φοβούμενός μου. τὸ γὰρ εἱμαρμένον ἥξει, κἂν Ἀρισταίνετος μᾶλλον ἢ δεῖ φοβηθῇ. πολλῷ δὲ κρεῖττόν ἐστι, μὴ δεδοικότα παθεῖν τὸ μέλλον δεινὸν, ἢ δεδοικότα, ἵνα σοι καὶ μετὰ παραδειγμάτων ποιητικῶν ἐπιστέλλω.

Ἱμεραίοις.

Ἡμῖν μὲν ὦ Ἱμεραῖοι, τὴν γνώμην τὴν ἑαυτῶν, καὶ σφόδρα δήλην ἐποιήσατε, ὅτι ὑμῖν οὐδὲν διαφέρειν ἡγεῖσθε, Φάλαριν ἐχθρὸν, ἢ φίλον εἶναι. τὸ θεῖον δὲ καλῶς ἐποίησέ τι, καὶ πείθομαι, ὅτι ἔχω ἰσχυρὸν παρ' αὐτοῦ σύμβολον, τοῦ, ὅτι καὶ τὰ ἄλλα χωρήσει μοι κατὰ νοῦν. ἐγὼ δὲ Κόνωνα μὲν, ὥσπερ καὶ πρότερον ὑμῖν ἐπέστειλα, ἀποσφάξαι ἀιδίως ἐκέλευσα, εἰδὼς πονηρὸν ὄντα, καὶ οὐδὲ τοὺς γονεῖς αὐτοῦ, οὐδὲ συγγενεῖς τῇ πόλει ὄντας. Δρωπίδην δὲ ὑμῖν, ἀπέπεμψα, τιμήσας ὡς ἐνῆν. οὔτε γὰρ πονηρὸς ὑμῖν, οὔτε ἠδικηκὼς ἡμᾶς οὐδέν. περὶ δὲ Στησιχόρου βουλευσόμεθα.

Vos verò populus, in principes & magiſtratum. Et quod omnium grauiſſimum eſt Deos perinde ac homines nequitia perditos, proditores fore affirmatis, ſi à Tyranno munera recepiſſent, gerentes verò apud vos Rempublicam bonos & integros (qui ter & non ſemel duntaxat Meſſanam non aliter quàm Agrigentum in manus poteſtatémque meam tradiderunt:) ſi petentibus eis pecunias concedam, non pœna plectitis. In cauſſa eſt, quod nos eadem voluntate. & eodem crimine obſtricti eſtis, neque reis liberè ſupplicium conſtituere audetis. Omnes enim acceptorum donorum ſontes inueniemini. Attamen ego, nullum poſthac verbum faciam neque de Anathematis quæ ſum à me diſceſſent donata vtriſque nobis erepta vos tenetis, curam vllam ſuſcipiam: Ij verò quos per ſacrilegium ſpoliaſtis, dignam pro veſtra audacia nefandóque ſcelere tum in me, tum in ipſos perpetrato, pœnas expoſcét, Valete. Valete autē cū ancipiti ſignificatione ſumatur tam boni quàm mali, ne ignoretis, me in deteriorem partem vſurpaſſe.

Timonacti.

Leontinos prælio deuici. Verum ne dolore nimio cruciaretis, & non omnibus ſimul auditis, animum deſponderes, nolui tibi iam de re vniuerſa ſcribere, quod Tauromenitas etiam & Zancleos ad extremum vſque profligarim, quodque pro liberatione captiuorum acceptis centum talentis, eos dimiſerim Nolui enim ego, vt propter incredibilis fortunæ ſucceſſus & proſperitatis nuncium is à me confectus ſublatuſque eſſe videatur, qui reuera in viuis numerari non potuiſſet.

Hieroni.

Cvm plurima contra te habeam dicere & de nugatoria tua apud Leontinos ſeditione, nihil amplius dico, quam Culicem Elephanti Indico negotium curámque non faceſſere.

Ariſtaneto.

Non mihi ſenectus moleſta eſt. Non enim Tyrannidis vis & robur conſenuit, ſed Phalaris. Tu verò mihi nimis es moleſtus, qui plus æquo mihi metuis. Fatum enim certò veniet, etiamſi Ariſtænetus, plus quàm par ſit, ſollicitudinis capiat. Multo verò ſatius eſt non metuentem, quàm metuentem venturi periculi procellas ſubire: vt tibi etiam cum exemplis poëticis ſcribam.

Himerenſibus.

Nobis quidem ô Himerenſes, veſtram ſententiam egregiè planam feciſtis, nihil ſcilicet nos intereſſe exiſtimare amicum ne an hoſtem Phalaridem habeatis. Et in hoc benè fecit numen, credóque ſatis euidens ſignum ab illo mihi datum, cætera quoque eodem modo ex animi ſententia proceſſura. Ego verò Cononem, quemadmodum & ab initio ſcripſi, ſtatim interfici tollique de medio iuſſi quod eius prauitas mihi perſpecta eſſet & noſſem, neque parentes eius neque cognatos in vrbe eſſe. Dropidam autem vobis honoratum, quoad fieri potuit remitto quod neque nobis pernicioſus, neque in nos iniurioſus vlla re fuiſſet.. De Steſichoro deliberabimus.

Neolaida.

NIhil mali aut ingrati tibi per me contingere volo. Plura enim bona quàm mala te præſtitiſſe reperio. Proinde ſit hoc etiam vnum in tuis bonis, vt ne crudelior animi metu aduerſus te ſæuire me cogas.

Νεολαΐδᾳ.

ΟΥδὲν ἄχαρι βούλομαί σε παθεῖν ἀπ' ἐμοῦ. πλείω γὰρ εὕρηκά σοι τὰ ἀγαθὰ παρεσχημένα, τῶν χαλεπῶν. διὸ καὶ τοῦτό σε τῶν βελτιόνων ἓν γενέσθω, τὸ μὴ προσαναγκάσαι με, τῷ χαλεπωτέρῳ τῆς ψυχῆς κατὰ σοῦ χρήσασθαι πάθει.

Mneſidi.

FŒlicitatem tuam, ſummo cum gaudio, audiuimus quamuis filium te vehementer optante filia prouenit. Credimus autem eò tibi chariorem fore, quod loco filij nata ſit. Natura enim ſic eſt comparatum, vt filiæ, plus maſculinis liberis parentes colant, atque obſeruent. Noſtra verò dona ſic demum ſuſcipere grata mente videberis, ſi non ſolùm receperis ea quæ mittimus, verùm etiam quibus tibi eſt opus, de his nos ignorantes certiores per literas feceris. Nunc enim & pluribus & magnificentioribus propter filiam opus habebis.

Μνησιλόχῳ.

ΤΗς μὲν εὐτυχίας, ἧς μάλιστα συνήδομαί σοι, ἀκούσαντες, εἰ καὶ σφόδρα σε βουλόμενον υἱὸν ποιήσασθαι, θυγάτηρ ἐγένετο. καὶ νομίζομεν αὐτὴν τοσούτῳ ποθεινοτέραν ἔσεσθαί σοι, καθ' ὅσον ἀντὶ υἱοῦ γέγονεν· πέφυκε γὰρ θυγάτηρ μᾶλλον ἀρρένων παίδων, ἀεὶ πλείστης πειρᾶσθαι χρείας· τὰς δὲ δωρεὰς τὰς παρ' ἡμῶν, τότε ἂν ἀσμένως δέξασθαι κριθείης, ὅταν μὴ μόνον ἃ πέμπομεν προθύμως ἀποδέξῃ, ἀλλὰ καὶ ὧν δεῖ σοι ἀγνοούντων ἡμῶν, ἐπιστείλῃς. δεῖ δέ σοι πλειόνων ἤδη νῦν, καὶ πολυτελεστέρων διὰ τὴν θυγατέρα.

Alcandro.

NEque tu neque alius quiſquam mortalium putet ſe mihi verbis metum incutere poſſe, etiam ſi taceam, neque verò factis ſperet. cum enim & bellãdi ſim peritus & neq; iniuſtè neque vltrà vires glorier, & temporum mutationes inſtabiles dubiáſque nouerim, itémque fortunæ varietatem, cumque de his melius verba facere quàm audire poſſim, tantam in memetipſo ſpem habeo, quãtam nemo hominum. Confido autem numini, nunquam me vlciſcendis iniuriis fore inferiorem. Pignus enim ab ipſo certiſſimum hoc teneo, quod omnes inſidiatores in poteſtatem noſtram coegerit.

Ἀλκάνδρῳ.

ΜΗτε σύ, μήτε ἄλλος ἀνθρώπων μηδείς, ἐμὲ κολάσεσθαι λόγοις μὲν ἴσως οἰέσθω, κἂν μηδὲν εἴπω, ἀλλὰ μὴ δὲ ἔργοις ἐλπιζέτω. καὶ πολέμου γὰρ ἔμπειρος ὤν, καὶ οὔτε ἐπ' ἀδίκοις, οὔτε παρὰ δύναμιν θρασυνόμενος, καὶ τοὺς καιροὺς ῥᾳδίως ἀγχιστρόφους καὶ ἐπισφαλεῖς εἰδὼς ἔχοντας, ἔτι δὲ τὰς τύχας ἀβεβαίους, εἴπερ τι μᾶλλον ἱκανώτερος ποιῆσαι ἢ ἀκοῦσαι, θαρρῶ μὲν ἐπ' ἐμαυτῷ, ὅσον οὐδεὶς τῶν ὄντων. πιστεύω δὲ τῷ δαίμονι, πρὸς μηδένα τῶν ἀδικησάντων ἔλαττον σχήσειν. ἔχω γὰρ παρ' αὐτοῦ πίστιν ἰσχυράν, τὸ πάντας ὑφ' ἡμᾶς πεσεῖσθαι τοὺς ἐπιβουλεύοντας.

Steſichoro.

NVnciatum eſt mihi te & Aluntium veniſſe & Alæſam, atque pecunias colligere, militeſque conſcribere, & in ſingulas ciuitates mittere eóſque contra nos collocare. Quin tandem ô Steſichore relinquis illam væcordiam & ab hoc negotio tam affecta ætate abſtines & Dearum numen reuereris, quarum te propugnatorem & fautorem eſſe profiteris, ipſa verò re atque opere deſtruis ac perdis: qui contra fortiores viros motum excitas quemque filiorum, qui non multum à virili ætate iam abſunt, nihil miſeret: ſed proteruus es vſque adeò vt ſenex iam comparata militum manu, pecuniiſque collectis hoſtem ita durum aggredi & circumuenire non dubites, qui ſit eos in modum arundinis contriturus. Audio quoque te reditum Achiuorum conſcribere, & nonnullis ipſorum Heroibus in crimine temeritatem obiicere. Quemadmodũ verò tu ſaluus ex Alæſã Himeram reuertaris, nihil te ſollicitum habet. Verum Capheridas petras & errantes, itémque charybdim atque Nauphas claſſes te manere animo perpende. Neque enim è manibus noſtris effugies, ne ſi deus quidem aliquis te ſecundum vos poëtas euaneſcere fecerit.

Στησιχόρῳ.

ΑΚούω σε καὶ εἰς Ἀλούντιον παρεληλυθέναι, καὶ εἰς Ἄλαισαν, καὶ χρήματα ἀγείρειν. καὶ στρατιώτας παραλαμβάνειν, πέμποντα κατὰ τὰς πόλεις καὶ ταῦτα συντάττειν ἐφ' ἡμᾶς. οὐκ ἄρα Στησίχορε παύσῃ τῆς ἀκρασίας, τοῦ πολιτεύεσθαι τηλικοῦτος γέρων, οὐδὲ αἰσχυνῇ τὰς θεάς, ὧν ζηλωτὴς μὲν εἶναι προσποιῇ, λυμαίνῃ δ' αὐτάς, ἐν οἷς πολιτεύῃ πρὸς ἄνδρας ἀμείνους, οὐδὲ ἐλεεῖς τοὺς παῖδας, οὐ πολὺ ἀποδέοντας ἄνδρας εἶναι ἤδη, ἀλλὰ προπετὴς εἶ ἀκμήν, γέρων ὢν στρατιώτας ἔχειν καὶ χρήματα ἀγείρειν ἐθέλων, μᾶλλον αὖθις ἐχθρὸν ἐπιτειχίσειν οὕτω βαρύν, ὃς αὐτοὺς κατερείψει πίτυος δίκην. καὶ τοὺς μὲν τῶν Ἀχαιῶν νόστους πυνθάνομαί σε συγγράφειν, καὶ τισὶ τῶν ἡρώων ἐκείνων, ἀβουλίαν ἐπιτιμᾶν ἱκανῶς. ὅπως δὲ αὐτὸς ἀπονοστήσῃς ἀπαθὴς ἐξ Ἀλαίσης εἰς Ἱμέραν, οὐδὲν φροντίζεις. ἀλλ' εὖ ἴσθι, ὅτι μένουσί σε καὶ αἱ Καφηρείδες πέτραι, καὶ πλαγκταί. καὶ χάρυβδις, καὶ ὁ ναύπλιος στόλος. καὶ οὐκ ἂν ἐκφύγῃς ὅλως τὰς ἐμὰς χεῖρας, οὐδ' ἂν εἰ θεός σέ τις καθ' ὑμᾶς τοὺς ποιητὰς ἀϊστώσῃ.

Ἱμεραίοις.

Ἀπελύσαμεν Στησίχορον, ὦ Ἱμεραῖοι, παρέντες αὐτῷ τὴν πολιτείαν μέμψιν πρὸς ἡμᾶς τῆς αἰτίας, ἣν δι' ὑμᾶς ἀξιοῦντας, ὡς ὑμεῖς γε ἐνίκα, κἂν ἀπολαύῃ πολλάκις, οὐχ ἅπαξ, ἀλλὰ ταῖς θεαῖς αὐτὸν ἀφήκαμεν, αἷς ἐπικατάρατος, καὶ ὅσοι ἔχουσι τὴν Ἱμεραίων γῆν, θεοί τε καὶ ἥρωες. οὐδὲν γὰρ ἔχω ἐκείνοις ἐγκαλεῖν, σοὶ καὶ ὑμῖν πάνυ πολλά. καὶ αὐτοὶ δὲ ὑμεῖς ἴστε, οἷα ἐπεχείρησε ποιῆσαι κακά. ἀλλ' ᾐδέσθην ἱερὸν ἄνδρα, καὶ κατὰ σοφίαν ἔνδοξον, καὶ ταῖς μούσαις, ὡς ἀληθῶς καταπεπιστευμένον, συγκαταπρᾶξαι τῷ [illegible], καὶ βδελυρῷ κόνωνι, καὶ βιάσασθαι ἀποθανεῖν, ὡς εἴθε γε καὶ τὴν μοῖραν ἐπέχειν τὴν τοιαύτην ἐδύν. καὶ ὑμᾶς δὲ ἐπισκήπτω λιπαρῶς, ὡς φίλτατοι ὦ Ἱμεραῖοι, μὴ κατασύρειν αὐτόν, εἰς ἐκμελῆ καὶ ἀτοπία τὴν ἐσχάτην αὐτοῦ πολιτευόμενα. καὶ γὰρ οὐδὲ αὐτὸς ἑκὼν ἐστὶ περὶ δὲ ἔρωτα ἑαυτόν, ὡς πυνθάνομαι, περὶ τὴν εἰς ἀλλήλους ἀφικνουμένων, ἀλλ' ἥττων ὢν τῆς ὑμετέρας ἀγνωμοσύνης καὶ βίας. παύσασθε οὖν βιαζόμενοι αὐτόν, καὶ χρῆσθαι τοῖς αὐτοῦ ἐπιτηδείοις. Στησίχορος ἔστω ἤδη καὶ σχολαζέτω πρὸς τῇ λύρᾳ τῇ ἑαυτοῦ, ἀέτω. καὶ μὴ ὁμοίως ἐμοὶ ἐχθροὺς αὐτῷ κατασκευάζετε. οὐχ ὁμοίως ἴσως δυνατοὺς προσποιησομένους. εἰ δ' ἐθέλετε πάντως τὸν προστατευσομένων, προχειρίσασθε τοιούτους ἑτέρους ἐξ ὑμῶν τινάς. οὓς ἐγὼ λαβών, ὡς ἄν μοι φίλον ᾖ, καὶ πρὸς ὑμᾶς τύχω κεχαρισμένος, μετ' οὐδεμιᾶς δεισιδαιμονίας καταχρήσομαι.

Στησιχόρῳ.

Τυραννοῦμεν ὦ Στησίχορε, καὶ οὐχ Ἱμεραίων, ἀλλὰ Ἀκραγαντίνων. ὥστε σοι πολλὴν εἰδέναι χάριν, ὅτι ἀφελόμενος ἡμᾶς ἐλάσσω ἀρχήν, τὴν μείζω δέδωκας. σὺ μέντοι ἴσθι, ὅτι καὶ οἱ ἐν Ἀκράγαντι ἄρχοντες, τοὺς ἐν Ἱμέρᾳ ἐχθρούς, ἀμύνεσθαι δυνησόμεθα.

Αὐτονόῃ.

Ἔπεμψά σοι τὸ ἀργύριον, οὐδ' ὅσον ὑπαναβαλλόμενος, ἐπεὶ τὸ λαβεῖν τὰ γράμματα. νομίζων οὐ χάριτος εἶναι τὸν καιρόν, ἀλλὰ καὶ τάχους. τρία μὲν οὖν τάλαντα ὡς ἠξίους ἀποδεδώκαμεν, ὅπως καταθεμένη τὴν ὑπὲρ τοῦ παιδὸς ζημίαν λύσῃς τὰς φυγὰς αὐτοῦ, καὶ μὴ ἐπὶ πλεῖον ἀλητεύῃ. πείρᾳ γὰρ οἴδαμεν τὴν τοῦ φεύγειν ἀτυχίαν, ὅσον ἐστὶ κακόν. τρία δὲ παρ' ἑαυτοῦ ἀπεστάλκαμεν ἵνα τὰ δημιόπρατα τῆς οὐσίας ἀπολάβῃς. παραινῶ δὲ τῷ Κλεισθένει, πολιτείας ἀπέχεσθαι, καὶ μὴ τοιαύτας ἀνιέναι πραγματείας, ἐν αἷς αἱ μὲν ὠφέλειαι πάσης γίνονται τῆς πόλεως, αἱ βλάβαι δὲ ἴδιαι τῶν προεστηκότων. εἰ δὲ τὰ οἰκεῖα μὴ οἷά τε σωφρονίζειν ἑαυτόν, τοῖς ἐμοῖς παραδείγμασιν ἀνεψιάδου πρὸς μητρὸς ὄντος, χρήσθω. ὅτι κἀγὼ διὰ πολιτείας αἰτίας ἐκπεσὼν τῆς πατρίδος, οὐδὲ τύραννος ὢν ἴσχυκα κατελθεῖν. οὐδὲν δὲ τερπνὸν οὕτως ἐν ὑμῖν τῆς ἀρχῆς, ὡς ἀνιαρὸν τὸ φεύγειν τὴν πατρίδα.

Himerenſibus.

STeſichorum iam liberatum eſſe ſcitote Himerenſes culpamque ſuſceptorum aduerſus me conatuum ei remiſſam, non quidem ob veſtrã petitionem aut veſtri cauſſa: etiamſi ſæpè non ſemel periiſſet: ſed Deabus eum dimiſimus, quibus ſacer deuotúſque eſt, cum omnibus, qui Himerenſium terræ præſident diis & Heroibus. Nam illos nihil habeo quod accuſem: vos autem complura. Atque vobis ipſis notum eſt, quæ ſcelera facere aggreſſus ſit. Sed me puduit hominem ſacrum, & ſapientia illuſtrem, Muſiſque reuera addictum eodem habere loco, quo [illegible], & abominandum Cononem ac morte mulctare. Quod vtinam tales fato quoque eripere liceret. Vos equidem obnixè rogo iterum atque iterum Himerenſes ne inexpectatum & diſſentaneum à primis melioribus euentum, ei in contumeliæ loco exprobretis. Nec enim vltrò accidit, ſeipſum quantum ex his qui Alæſæ fuerunt audiui: ſed veſtra improbitate violentiaque victus. Proinde ceſſate eum indignis modis tractare & æquiores vos ei præbete, Steſichorum verò miſſum facite ſuæque lyræ operam nauare permittite, neque contra me alios hoſtes excitate ſimiles illi, quamuis fortaſſe non ſimili cum illo fortuna vſuros. Quod ſi planè requiritis his rebus gerendis ſucceſſores, eiuſmodi quoſdam alios ex vobis deligite: Quos ego cum cepero prout mihi viſum fuerit & vobis gratum fecero, ſine vllo religionis impedimento morte plectam.

Steſichoro.

REgnum obtinemus quamuis non Himerenſium: at Agrigentinorum. Quare tibi multo maximam habeo gratiam, quod nos imperio viliore ſpoliatos ſplendidiore auxeris. Verùm nec illud te prætereat, etiam Agrigenti imperantibus nobis, vlciſcendi hoſtes Himerenſes poteſtatem eſſe.

Autonoæ.

SImul ac tuas literas accepi, nulla interpoſita mora confeſtim tibi argentum miſi, quod putarem temporis conditione non beneficium duntaxat, verùm etiam celeritatem requiri. Tria igitur talenta tibi conceſſimus, vt perſoluta pro filio mulcta eum ab exilio redimas, neque poſthac amplius oberret. Experientia enim exilij calamitatem & miſerias cognouimus: quantum in eis inſit mali. Tria verò ſeorſim miſimus, quibus publicata proſcriptáque bona recuperes. Cliſthenem verò moneo in poſterum, vt à repub. abſtineat, neque ad eiuſmodi negotiorum tractationem accedat, quorum emolumentum ad vniuerſam ciuitatem pertinent, damna verò & incommoda ad præſides & gubernatores redundant. Quod ſi ex propriis calamitatibus ſapere non poteſt: at meis exemplis, qui ſum eius à matre conſobrinus vtatur: quod ipſe quoque propter inſaniss popularis ciuitate pulſus, Tyrannus: cùm ſim: tamen redire non poſſum. Nihil verò tam in imperio mihi iucundum eſt, quàm eſt acerbum à patria exulem

exulem abeſſe. Hoc autem vobis ſcribo non quod ægrè pecuniam hanc largiar, ſed quòd vicem veſtram inſigniter doleam, neque vt ne aliquando iterùm donem: verùm vt vos non ad mala petatis. ego verò rogatus ad iuuandam amiciſſimorum mihi fortunam, promptiſſimè liberaliſſiméque munera conferam.

Nicophemo.

QVorum interitum apud Leontinos in concione defleuiſti, quaſi miſerrimis cruciatibus euectorum, eos ob paratas inſidias interficimus: neque verò illud ſentis, dum à me punitos recenſendo, non ſolùm ipſe talib° vſus exemplis mihi ſtruis inſidias, verumetiam Leontinos ad bellum ſuſcipiendum cogens, ſegniores tardioréſque reddis, vt eiuſcemodi hoſtem per iniuriam bello prouocent atque laceſſant. Fieri enim non poteſt vt eundem & ob crudelitatem odio, iuxta & ob molliciem con temptui habeant, ſi quod expectarunt, euenerit. Tanta præmia neq; vobis inuidemus, neque noſtro conſilio vos ab horum conſecutione deterremus.

Lyſino.

QVando tandẽ væcordiæ renuncias, imperitiſſime Lyſine, & tibi ipſi trigeſimum nunc annũ agens conſulis: qui grauiores hoſtes, quàm poſſis cũ multis alijs eiuſmodi ferre coneris. Sed carmina & Tragædias contra me ſcribis, quaſi verò mihi ſint hæc cordi. Verùm caue, ne euentus omni tragœdia tibi ſit terribilior.

Epicharmo.

SOlus tu ſatis es qui nos iuſtos putes, etiamſi nemo alius tibi hæc prædicanti fidem habeat. Vnus enim mihi vir eiuſmodi, pro vniuerſa eſt Sicilia. Nam promiſcuum vulgus ſolitudinis arbitramur eſſe ſupplementum, à quo nos ignorari & non tam probatos atque integros videri quàm ſumus, forſitan haud multum ad rem pertinebit. Multos habes tu ſimiles: virtutem enim hominum non copiam ſpectamus, cum quibus nos bonos ac honeſtos exiſtimas. At verò ſi etiam ſolus eſſes, teſtibus abundaremus, neque maiorem laudem deſideraremus.

Cebroni.

CVr non potiùs, qui noſtrum ingenium admirantur, quòd tam crudelibus tormentis vtar, eos qui ex vobis inſidias machinantur, hoc ipſo deterrent. Sed punitorum calamitatem lugetis, non autem, vt ne Phalarim iniuria afficiant ſuadetis. Atque mihi quoque ſatius erat, non ad eiuſmodi puniendi rationem compelli, vobis autem commodius, non vti tam inconſulta omnia temeritate. Deinde ſi pro meo ingenio beneuolentiæ & miſericordior eſſem, quid faceretis niſi tam ſeuerum in puniendo me gererem, cùm ne tolerabilem quidem pœnam ſperantes, etiam audeatis aggredi proinde mihi facilè fuerit à ſæuitia diſcedere, ſi vos priùs ab iniuria diſceſſeritis.

ταῦτα δὲ ὑμῖν ἐπιστέλλω μὰ τοὺς θεοὺς, οὐκ ἐφ' οἷς δέδωκα ἀλγῶν, ἀλλ' ἐφ' οἷς πεπόνθατε αἰσχυνόμενος. οὐδ' ὅπως μὴ πάλιν ποτὲ δῶ, ἀλλ' ἵνα ὑμεῖς μὲν εἰς μηδὲν κακὸν ἀξιώσητε λαβεῖν. ἐγὼ δὲ εἰς τὰς τύχας αἰτούμενος ὑπὸ τῶν οἰκειοτάτων, καὶ προθυμότερον, καὶ πολυτελέστερον χαρίζωμαι.

Νικοφήμῳ.

ΟΥς ἐν Λεοντίνοις κατελέγου δημαγωγῶν, ὡς καταικισθέντας ἀπολέσθαι οἰκτίσας, ἐπιβουλεύσαντας ἀπολέσαμεν. καὶ οὐδὲ τοῦτο αἰσθάνῃ, ὅτι τοὺς ὑπ' ἐμοῦ τιμωρηθέντας παραφέρων, οὐ μόνον αὐτὸς ἐπιβουλεύεις ἐμοὶ, τοιαῦτα ἔχων παραδείγματα, ἀλλὰ καὶ Λεοντίνους πολεμεῖν ἀναγκάζων, ὀκνηροτέρους ποιεῖς. ὅτι πρὸς τοιοῦτον ἐχθρὸν ἀδικοῦντες, πόλεμον αἴρουσιν. ἀμήχανον γὰρ τὸν αὐτὸν καὶ μισεῖσθαι διὰ χαλεπότητα, καὶ καταφρονεῖσθαι ἐπὶ μαλακίᾳ, εἴπερ ἀπέβη τὸ δόξαν. ἐπὶ τοιούτοις ἄθλοις, οὔτε φθονοῦμεν ὑμῖν, οὔτε ἀποσυμβουλεύομεν φιλοτιμεῖσθαι.

Λυσίνῳ.

ΟΥ παύσῃ τῆς ἀβουλίας ἀμαθέστατε Λυσῖνε, οὐδὲ φείσῃ σεαυτοῦ τριάκοντα ἔτη γεγονὼς, βαρυτέρους ἐχθροὺς, ἢ δύνασαι, μετὰ πολλῶν ἄλλων τοιούτων φέρειν πειρώμενος, ἀλλ' ἔπη καὶ τραγῳδίας εἰς ἐμὲ γράφεις, ὡς αἰσθανόμενον, τὰ δὲ ἀποτελέσματά σοι δεινότερα πάσης τραγῳδίας φύλαξαι μὴ γένηται.

Ἐπιχάρμῳ.

ΑΡκεῖς μόνος δικαίους ἡμᾶς νομίζων κἂν μηδεὶς ἄλλος λέγοντί σοι πείθηται. εἷς γὰρ ἀνὴρ ἐμοὶ τοιοῦτος, ἁπάσης ἐστὶ Σικελίας μείζων. τὸ δὲ ἀνεξέταστον πλῆθος, ἐρημίας ὑπειλήφαμεν ἀναπλήρωμα. ὑφ' οὗ καὶ τὸ ἀγνοεῖσθαι, καὶ μὴ χρηστότεροι δοκεῖν οὗ ἐσμὲν, τάχα οὐκ ἀνωφελές. πολλοὺς μὲν ἔχεις ὁμοίους σεαυτοῦ. τὴν γὰρ ἀρετὴν τῶν ὄντων, οὐ τὸν ἀριθμὸν σκοπούμεθα, μεθ' ὧν ἡγεῖ σὺ ἡμᾶς καλοὺς κἀγαθούς. εἰ μέντοι καὶ μόνος ἦσθα, ἐπλουτοῦμεν μαρτύρων. καὶ πλειόνων οὐ προσεδεόμεθα ἐπαίνων.

Κέβρηνι.

ΤΙ δήποτε οἱ θαυμάζοντές μου τὸν τρόπον, ὡς δειναῖς χρώμενον αἰκίαις, τοὺς ἐπιχειροῦντας ἐξ ὑμῶν τῷ τοιούτῳ οὐκ ἀπέπληξαν. ἀλλὰ τὰς μὲν τύχας ὀλοφύρεσθε τῶν τιμωρηθέντων. συμβούλους δ' αὐτοὺς οὐ ποιεῖσθε μὴ ἀδικεῖν Φάλαριν. ἄμεινον μὲν οὖν κἀμοὶ ἦν, μὴ καθίστασθαι εἰς τοιαύτης ἀμύνης ἀνάγκην. λυσιτελέστερον δὲ ὑμῖν, τὸ μὴ χρῆσθαι προπετείᾳ κατὰ πάντα. ἔπειτα τί οἴεσθε, ἐμοὶ ὁ τρόπος ἐπιεικὴς γινομένου τί ποτ' ἂν εἰργάξατε, εἰ μὴ τοιοῦτος ἐχθροῖς ἐγὼ προὔτεινα τὰς τιμωρίας, ὅπου μηδὲν ἐλπίζοντες πρᾳοτέρας μέτεισιν, ἐπιβάλλεσθε αὐτοῖς. ἔστιν οὖν ἐμὲ παύσασθαι τῆς ὠμότητος, ἐὰν αὐτοὶ πρότερον παύσησθε ἀδικίας.

Ευκτήμονι.

ΟΥδὲν ἐψεύσω τὴν ἐπ' ἐμοὶ διαβολήν. καὶ γὰρ αὐτὸς πάνθ' ὡς κατηγορεῖς, ἐν συρακουσίοις, ὁμολογῶ. ἀλλ' εἰ τὸν αὐτὸν τρόπον ἐγώ τε τῷ τιμωρεῖσθαι τοὺς εἰς ἐμαυτὸν ἁμαρτάνοντας, οὐχ ἐφ' οἷς εἰκὸς τὸν παθόντα συγγνῶναι ἐφειδόμην, καὶ ὑμεῖς τῷ προστάτας οὕτως, κἀμοὶ καὶ ἑαυτοῖς εἰς ἀνήκεστα ἐπιβουλεύειν, οὐδεὶς ἂν οὔτε ἐμοῦ κατηγόρησεν, ὡς ἔχθιστα δρῶντος, οὔθ' ὑμᾶς ὡς ἀνίατα πάσχοντας ᾠκτίζετο.

Κλεοβούλῳ.

ΟΥ πείθονταί σοι καμαριναῖοι τὸν πρὸς ἐμὲ πόλεμον ἐξενεγκεῖν, σφόδρα πολλὰ ἑκάστης ἐκκλησίας ποιοῦντι. καλῶς γὰρ ἴσασι πόλεμον ἔργοις οὐ λόγοις δημηγόρων κατορθούμενον. ὥστε εἰ βούλει πολεμεῖν αὐτούς, τὰ ἀποτελέσματα δεῖξον τῇ γνώμῃ συνοίσοντα. ἂν μέντοι μὴ δ' οὕτως ὑπακούσωσι, μεταβαλλόμενος τἀναντία παραίνει. καὶ τάχα ἂν τούτῳ πεισθήσονται τῷ τρόπῳ, ὧν βεβούλησαι. δυεῖν γὰρ θάτερον ἐν τῷ παρόντι, ἢ τὴν γνώμην ἀσύμφορον, ἢ τὸν συμβουλεύοντα, οὐδενὸς ἄξιον ἡγοῦνται. ἐγὼ μὲν γὰρ οἶομαι ἑκάτερα. σὺ μέντοι ἴσθι καὶ τὰ ἐνθάδε, ὡς οὐ λόγοις ἀπρεπέσι ἀμυνούμεθά σε, οἷς εἰς ἡμᾶς ἄρχεις δοκεῖς ἀδικίας, ἀλλ' ἔργοις. ὧν οἱ πειραθέντες, οὐκ ἔτι αὖθις ἐπεβούλευσαν. ταῦτα εἰδότες καμαριναῖοι, οὐ βούλονται πεῖραν λαβεῖν ὀργιζομένου Φαλάριδος. χαριζόμενος γὰρ αὐτοῖς, ἡδίων ἔδοξα.

Κλεοδίκῳ.

ΠΟλὺ δεινὰ βεβούλευσαι κατ' ἐμοῦ κλεόδικε, παρὰ τὴν ὑπάρχουσάν σοι δύναμιν. πόθεν γάρ σοι τὸ ἐλπίσαι, κακῶς ποιῆσαι φάλαριν χαριουμένῳ τῇ τοῦ θρᾳκὸς τοῦ βυρσοδέψου θυγατριδῇ. αὐτάνδρου δὲ γυναικί, τοῦ τὸν δεσπότην ἑαυτοῦ κτείναντος. ἐξ ὧν ἤτοι πλουτῆσαι αὐτῷ συνέβη, καὶ παρὰ τοὺς τῆς φύσεως νόμους ἐνυβρικότι. οὐ μὴν εἰς τοῦτό γε προαχθήσομαι τῆς ὀργῆς, ὥς τι τῶν σοὶ πεπραγμένων λόγῳ διεξελθεῖν. ἐὰν γάρ σε ἄξιον ἀμύνης ἡγησώμεθα, οὐκ ἐν λόγοις βουλησόμεθα μόνον, ἀλλ' ἐν ἔργοις δυνησόμεθα, ἅπερ εἰς ἡμᾶς αἱρέχθης ἐξαμαρτάνειν, εἰς κεφαλὴν σοί τε καὶ τῷ σῷ γένει ῥίψαι.

Τοῖς Στησιχόρου παισίν.

ΤΟῦ μὲν πένθους, τίνα ἄν τις ἄλλην ἱκανωτέραν ὑμῖν παραμυθίαν εἰσενέγκοιτο παῖδες, ἢ τὴν ἀρετὴν τοῦ γονέως, ἐφ' ᾧ γε τὸ πένθος φέρεσθε. οὐ γὰρ δακρύεσθαι τὰ Στησιχόρου πρέπον, ἀλλ' ὑμνεῖσθαι. καὶ καθόλου μὲν, οὐκ ἂν ἐβουλόμην ἡμᾶς, οὔτε θρήνοις, οὔτε αἰκισμοῖς προσίεσθαι σωμάτων, οὐχ ὅτι κοινὰ ταῦτα πάθη καταγκασμένα παρέπεται πᾶσιν, ἀλλ' ὅτι τὰ τοιαῦτα ἀνθρώποις ἐστὶν ἁρμοστὰ δυστήνοις. ὧν οὐχ ἡ τελευτὴ τὰς ὀλοφύρσεις προσηκούσας, ἀλλ' ὁ βίος ἔχει. μᾶλλον δὲ τούτοις ἐστὶ δακρύων ἄξιος ὁ θάνατος, ἢ Στησιχόρου.

Euctemoni.

NIhil prorſus calumniando me mentitus es. Etenim ipſe omnia, ſicuti tu accuſandi cauſſa apud Syracuſios in me contuliſti, ita habere confiteor. Atqui ſi eodem modo tum ego punire eos qui in me deliquerunt, ita vt venia non ſint digni, deſinerem, tum vos adeò promptè tam mihi quàm vobiſmetipſis exitioſa nefandáque moliri ceſſaretis, neque me vt legum violatorem accuſaret, neque vos, vt crudelia perpeſſos quiſquam miſereretur.

Cleobulo.

QVanquam ſingulis concionibus vehementer vrgeas: non tamen Camarinenſes à te perſuadentur, vt bellum contra me moueant. Hoc enim probè nouerant opere, non orationibus concionatorum bellum adminiſtrari. Quamobrem ſi vis, vt bellum ſuſcipiant, oſtende conſilio reſponſurum eſſe euentum: quòd ſi ne ſic quidem te audierint, mutata ſententia contrarium ſuadeto: atque hoc modo fortaſſe quæ voluiſti, conſequeris. Duorum enim iam alterum aut conſilium inutile, aut conſultorem nullius precij putant. Ego quidem vtrumque credo. Verùm nec illud te clam ſit, non vanis orationibus: quibus prior nobis videris iniuriam inferre: ſed reipſa nos à te pœnas repetituros, cuius nemo periculum fecit, qui poſtea ſit iterum inſidias molitus. Hæc cùm in memoria teneant Camarinenſes, nolunt iratum Phalaridem experiri. Largitor enim ſum eis iucundior viſus.

Cleodico.

MVlta nefaria magnáque contra me inſtituiſti Cleodice, idque præter tuas vires & potentiam. Vnde enim tibi ſperare in mentem venit poſſe te Phalari vexationem ac damnum inferre, gratificaturo, Thracis cuiuſdam coriarij nepti, vxori verò Autandri, qui domino ſuo mortem obtulit, & ex parricidio repentè locuples euaſit, atque naturæ leges tranſgreſſo. Non autem ſic incendar iracundia, tua vt facta complecti oratione velim. Si enim relatione te dignum putarimus, non verbis tantummodo volemus, verùm etiam ipſa re poterimus, ea quæ tu in nos peccare animum induxiſti, in caput tuum tuique generis conuertere.

Steſichori liberis.

LVctus huius, quod aliud ſolatíum præſtantius quis vobis ô filij adferat, quàm virtutem parentis propter quem in luctu & ſqualore verſamini. Non enim fletu proſequi Steſichorum: ſed laudibus hymníſque celebrare oportet. Et breuiter, nolim nos, aut lachrymas profundere, aut corpus pulſationibus tundere, quod his affectibus non omnes communiter ſunt deplorandi: ſed eiuſmodi decent homines miſeros & infortunatos, quorũ non mors ſed vita lamentabilis extitit. Horũ potiùs interitus lamentatione dignus eſt, nõ, Steſichori

qui toſ

qui tot iam annos cum ſanctiſſimis Deabus vitam in choris & Muſarum carminibus tranſegit, quique celebrabitur ob honores & coronas planè enim neque apud nos neque apud alios homines quicquam his eſt præſtantius. Immortalis enim Dei vis, quæ in omni re cernitur hæc & non alia mihi quidem videtur. Quare ô liberi magni & admirandi patris, dignè conuenienterque patri ſentiamus. Non enim exiguus vobis labor eſt euincendus, vt ne illo multùm inferiores videamini. Nequaquam verò fortunati herois fatum plangite, quod non vno ſed omni tempore beatam prædicabitur. Neque verò ex honoribus, quos ei diuinos tanquam Deo Himerenſes decernunt, ſplendidiſſimum omnium detrahite nempe gloriam. Non enim ille, quantum vtique nos ſcimus, extremum mortis diem moleſtè tulit, atque cum generoſiſſimos heroas, quod pro gloria mortem oppetiiſſent laude extulerat pulcherrimis poëmatis, quæ vobis quidem omni pecunia precioſiora, cæterum honeſtè viuendi exempla ſunt, ipſe, cùm ad finem iam fatum perueniſſet, imperterritè, mortem obiit. Hoc enim ô filij eius ſcitote, quod cùm in noſtram vt hoſtis poteſtatem eſſet redactus, nullo timore perculſus, neque vt grauia tormenta perpeſſurus animo fractus eſt: ſed multo maior fortiórque animus in ipſo captiuo fuit quàm in hoſte. Victa eſt igitur Tyrannidis immanitas & acerbitas à Sapientia. Neque enim poteram vllo malo eum torquere. Quicquid enim faciebam, gratificabar. Ego verò qui mille labores ad eum capiendum eſſem machinatus, poſteaquam ſuperaui nihil aliud potui, captus ab illo potiùs, quàm gratiam habere & ſi fortè beneficium à nobis aliquod ſuſcipere vellet. Pro quibus ne gratias quidem mihi deberi cenſeo tametſi duodecim annis hoc in eum animo fuerim, Tot enim ſunt, quos ſuperuixit. Ego verò me illi obligatum eſſe arbitror, quod tum in cæteris nos confirmarit, tum etiam ad mortem ſolus mortalium animarit, eámque me mihi putare docuerit.

Catanenſibus.

CRedo equidem videri vobis ſatis ſupérque pœnarum dediſſe pro veſtris in me meóſque ſceleribus, quippe qui pro Triginta viris, quos per nefas & indignè flammis incendiſtis, quingentorũ ciuium pernicie dependeritis & pro ſeptem talentis, quæ ſunt à vobis diſtracta, plurimis reditibus priuati ſitis. Ego verò exordium vobis futuri ſupplicij, quæ hactenus pertuliſtis denuncio: vt per me ſocium veſtris hoſtibus adiunctum detrimento victæ & pecuniarum affecta, fateri quoque erubeſcatis Neque verò meum in vos odium remittam, donec gubernatrix prouidentia, hunc eundem mundi ſtatum ordinémque ſeruarit. Vobis autem bellum inferam non tam pro me quàm pro Diis immortalibus, quorum in manu, eſt omnia cum ſeruare tum ad nihilum redigere. Si quidem diuinæ fortunæ, quemadmodum reliqua naturæ elementa & ignem ex Ætna flagrantem, in eos innocentes ſupplicéſque coniecitis: ſic non Phalarim hoſtem, ſed Solem omnium inſpectorem teſtémque habetis.

Nicaneto.

CRedo frequentibus meis ad patrem tuum miſſis literis vt ab illa ſtoliditate te retraheret,

ζήσαντι μὲν ἔτη τοσαῦτα, σὺν ταῖς ἁγιωτάταις θεαῖς, ἐν χοροῖς, καὶ μάλιστα μουσῶν. ὀνομασθησομένῳ δὲ ἐπὶ τιμαῖς καὶ στεφάνοις. ὁμολογουμένως γὰρ, οὔτε παρ' ἡμῖν, οὔτε παρὰ τοῖς ἄλλοις ἀνθρώποις μεῖζον. ἡ γὰρ ἀθάνατος τοῦ θεοῦ μοῖρα, πρὸς τὸ πᾶν οὖσα, αὕτη, καὶ οὐχ ἑτέρα τις ἔμοιγε εἶναι δοκεῖ. ὥστε ὦ παῖδες μεγάλου καὶ ὑπερφυοῦς πατρὸς, φρονήσαι μὲν ἄξια τοῦ τεκνώσαντος. οὐ γὰρ μικρὸς ὑμῖν ἀγὼν, μὴ πολὺ καταδεεστέρους ἐκείνου ὑμᾶς γενέσθαι. πενθεῖτε δὲ μηδαμῶς δυστυχῆ μοίρᾳ ἥρωα, οὐχ ἑνὶ μακαρισθησόμενον χρόνῳ, παντὶ δὲ αἰῶνι. μὴ δὲ τὴν τιμὴν, αἳ ψηφίζονται ὡς ἐπὶ θεῷ ἱμεραῖοι, τὸ λαμπρότατον ὑφαιρεῖσθε τὴν δόξαν. οὐ γὰρ ἐκεῖνός γε, ὃν ὑμεῖς ἴσμεν, ἤχθετο θανάτου προθεσμίᾳ συναιρούμενος. οὐδὲ τοὺς γενναιοτάτους, ἐπὶ δόξης ἐθνήσκον, ἐν τοῖς καλλίστοις ποιήμασιν ὑμνήσας, ἃ παρ' ὑμῖν χρήματα μὲν τοῦ παντός ἐστιν ἄξια. παραδείγματα δὲ βίου συνεστήσατο αὐτὸς, ὁπότ' ἧκεν ἡ μοῖρα πρὸς τὸ πέρας, ἀπτοήτως τέθνηκεν. ὃ γὰρ ἴστε ὦ παῖδες, οὐ γὰρ ὑφ' ἡμῶν γενόμενος, ἐχθροῖς οὖσιν ἔσω, οὐδὲ ὡς δεινόν τι πείσεσθαι μᾶλλον ἐπεκλάσθη. πολὺ δὲ γενναιότερος αἰχμάλωτος ἡμῖν ἦν, ἢ ἀντίπαλος· ἡττήθη γοῦν τὰ πικρὰ τῆς τυραννίδος ὑπὸ σοφίας, οὐδ' ὅτι οὐκ ἔχοντός μου δρᾶσαι κατ' αὐτοῦ δεινόν. ὃ γὰρ ἔδρων, ἐχαριζόμην. ἐγὼ δὲ μυρίοις πόνοις προθυμηθεὶς ἑλεῖν, ἐπεὶ τούτου περιεγενόμην, οὐδὲν ἔσχον ἕτερον, αἱρεθεὶς ὑπὸ τούτου μᾶλλον, ἢ χάριν εἰδέναι, κἂν εὐεργεσίαν παρ' ἡμῶν θελήσῃ λαμβάνειν. ἐφ' ᾧ οὐδ' ὀφείλεσθαι χάριν ἐμαυτῷ νομίζω, περιποιησάμενος εἰς δώδεκα μάλιστα αὐτῷ ἔτη. τοσαῦτα γάρ ἐστιν, ἃ προσεβίωσεν. ἐγὼ δὲ ὀφείλειν, ὅτι καὶ τὰ ἄλλα προσεπέρρωσεν ἡμᾶς, καὶ θανάτου καταφρονῆσαι μόνος ἀνθρώπων ἔπεισεν.

Καταναίοις.

ΥΜεῖς μὲν ἴσως ἐμαυτοῦ πλεονάζουσας δοκεῖτε ποινὰς τετικέναι, ὧν εἰς ἐμὲ, καὶ τοὺς ἐμοὺς πεπαρῳνήκατε, οὐ τὰ μὲν ἀνδρῶν τριάκοντα, ὧν ἀσεβῶς κατεπυρπολήσατε, πεντακοσίους ὁ πολίτας ἀπολωλεκότες, αὐτὶ δὲ ταλάντων ἑπτὰ, ὧν διηρπάσατε, πλείστας ἀποστερημένοι προσόδους. ἐγὼ δὲ προοίμιον ὑμῖν, ὧν μέλλετε πάσχειν ὑπ' ἐμοῦ, τὰ νῦν γεγονότα καταγγέλλω. ἵνα δὲ ἐμαυτὸν συμμαχήσαντα τοῖς ἐχθροῖς ὑμῶν πεπονθότες. ὁμολογεῖν αἰσχυνθεῖτε. οὐ μὴν ἀνήσω γε τὸ πρὸς ὑμᾶς δυσμενὲς, ἕως ἂν ἡ διοικοῦσα πρόνοια, τὴν αὐτὴν ἁρμονίαν τοῦ κόσμου φυλάττῃ. ἐξοίσω δὲ τὸν πρὸς ὑμᾶς πόλεμον, οὐχ ὑπὲρ ἐμαυτοῦ τοσοῦτον, ὅσον ὑπὲρ θεῶν, τῶν πάντα καὶ σώζειν, καὶ φθείρειν δυναμένων. εἴγε θείας τύχης, ὥσπερ τὰ λοιπὰ τῆς φύσεως στοιχεῖα, καὶ τὸ κατὰ τὴν αἴτνην πῦρ μεμοίραται, εἰς δὲ τοὺς ἱκέτας ἀθῴους βαλόντες, οὐ φάλαριν ἐχθρὸν, ἀλλὰ τὸν πάντων ἐπόπτην ἥλιον ἐπικέκλησθε.

Νικαινέτῳ.

ΤΟ πολλάκις ἴσως ἡμᾶς ἐπεσταλκέναι τῷ σῷ πατρὶ, παῦσαί σε τῆς ἀφροσύνης ἐπιχειρεῖν

ὡς οὐκ ἂν εἰ μὴ ἐδεδοίκειμεν, τὴν ἔχθραν ὑποζέουσαν παρεκαλούμεθα. ἐγὼ δὲ, περὶ μὲν τούτου τὸ μὴ οὕτως ἔχειν, οὐδὲ γράφειν ἀξιῶ. πυνθανόμενος δὲ ἐπιεικῆ τὸν γέροντα εἶναι, καὶ μὴ δὲ ἑτέρους αὐτῷ γεγονέναι παῖδας, ἐκεῖνον μὲν ἐλεῶν, σοῦ δὲ, παρ' ἡλικίαν θρασυνομένου φειδόμενος, πῶς τὸ παρὸν ἀνέσχηκα. σὺ δὲ, οὔτε πατέρα πρεσβύτην οἰκτείρεις, ἐφ' ἑνὶ κινδυνεύοντα παιδὶ, οὔτε σεαυτοῦ φροντίζεις. ἐπιμένεις δὲ τῇ προπετείᾳ, πρῶτον μὲν τάχα, παρ' ὅσον οὐδὲν ὑφ' ὑμῶν πέπονθας, εἶτ' οἰόμενος ἐξεῖναί σοι ὁπόταν βούλῃ πεπαῦσθαι. τοῦτο δὲ, οὐδὲ τοῖς πολὺ σοῦ δυνατωτέροις ἐγένετο. ἕως οὖν σοὶ πάρεστι, τῶν ἑκατέρων ἑλέσθαι τὸ λυσιτελέστερον, μὴ μιμοῦ Τίμανδρον. ἐχθρῷ δὲ μᾶλλον ὠφελίμῳ, ἢ λίαν ἐπιζημίῳ συμβούλῳ χρῆσθαι.

animum tibi additum eſſe, quaſi verò nos, niſi me tueremus, nunquam componere inimicitias voluiſſemus. Ego verò id non hoc modò habere ne ſcribere quidem dignabor. Cùm enim audirem ſenem eſſe iuſtum ac moderatum, neque liberos ei alios eſſe, miſertus illius, tibi verò præter ætatem & vires confidenti parcens, vſque in præſentem diem me continui. At tu neque ſenem parentem miſeraris, de vnico filio periclitantem, neque tui ipſius rationem ducis: Sed in pertinacia ſuſcepta perſeueras, primum fortaſſe quoniam nihil adhuc in te duriuſculè fecimus. Deinde quia putas tibi, cùm libitum erit deſiſtere licere: id verò, ne multò te potentioribus quidem contingere potuit. Dum igitur adhuc penes te eſt, alterutrum vtiliúſque deligere, ne Timandrum imitere: ſed hoſte magis vtili quàm ad modum noxio conſiliario vtaris.

Πολυδεύκει.

Ἐρρωμενέστερον ἀδικοῦμαι τοῦ παντὸς, ἢ τιμωροῦμαι Πολύδευκες, οὐχ ὥσπερ ἔφησθα, καὶ πάσχειν μεθ' ἑτοῖμα, καὶ δρᾶν. ἐγὼ μὲν γὰρ, καὶ δὶς καὶ τρὶς, ἀδείας τοὺς αὐτοὺς τῶν ἐπιβουλευσάντων ἠξίωσα. τῶν δὲ ἀδικούντων οὐδείς ἐστιν, ὅστις ἐπὶ τῷ δεύτερον πονηρὸς ὀφθῆναι, ᾐδέσθη. Ἔρρωσο.

Polydeuci.

OMnino plus iniuriarum in me ſtruitur, quàm ego pœnarum irrogem ô Polydeuces, nō vt tu dixiſti tum ſuſtinere me pericula tum inferre. Ego enim bis aut ter eoſdem inſidiatores impunitate donaui. At nemo eſt iniurioſorum, qui ſecundò quoq; quadruplator nebulóque videri erubeſcat, vale.

Ἐγγυΐνοις.

Ὅτι προφάσεως ἐνδεῖν μοι δοκῶ, δι' ἣν οὐκ ἂν δικαίως ὑμᾶς ἀμυναίμην. οὔτε βουλομένῳ ἐπεξιέναι, δυναμένως. βουλήσομαι δὲ, ἂν μὴ νῦν γέ ποτε αἰσθηθέντες ὑμᾶς, ἀπολύσητε τοὺς ἄνδρας, οὓς οὐδενὶ δικαίῳ, διότι καὶ τῷ κακῶς ἀπολουμένῳ Πασίωνι, προστεθειμένῳ πρὸς ἡμᾶς ἔδοξε, τρίτον ἤδη μῆνα τοῦτον ἐν τῷ δεσμωτηρίῳ κατέχετε.

Engyinis.

NEque excuſatione quamobrem vos non iuſtè vlciſcar, neque ſi perſequi vel in facultate deſtitui videor. Volam autem, niſi iam demum nos reueriti, viros dimittatis quos nullo iure, (quod & Pasioni qui miſerè periit & ad nos ſe applicuit videtur) tertium iam menſem in carcere detinetis.

Ἱμεραίοις.

Στησίχορον ἴστε, καὶ Κόνωνα καὶ Δρωπίδην, περαιουμένους ἀπὸ Παχύνου εἰς Πελοπόννησον, ἐπὶ Κορινθίων, πρὸς οὕς γε ἐπέμφθησαν ὑφ' ὑμῶν, πρὸς ἐμὲ ἀχθέντας. καὶ Δρωπίδην μὲν ἴσως ἀποδώσομεν ὑμῖν. Κόνωνα δὲ εὐθὺς ἀπεσφάξαμεν. Στησίχορος δὲ, σῶός ἐστιν, ἕως ἂν τὸν τρόπον λογισώμεθα, ὃν χρὴ αὐτὸν τιμωρηθέντα ἀποθανεῖν.

Himerenſibus.

STeſichorum, Cononem & Dropidam ſcitote, traiicientes à Pachyno in Peloponneſum, pro Corynthiis ad quos à vobis erant ablegati, ad iure delatos eſſe. Atque Dropidam fortaſſe reſtituemus vobis. Cononem verò ſtatim morte mulctauimus. At Steſichorus in ſaluo eſt, donec inueniamus, quo genere mortis ſupplicium ei ſit conſtituendum.

Στησιχόρῳ.

Πυνθάνομαί σε περιδεῆ σφόδρα εἶναι, ἐννοοῦντα τὴν δύναμιν ἡμῶν, καὶ συνειδότα ἅμα, τοῖς πρὸς ἐμέ σοι πεπολιτευμένοις. θαυμάζω δέ σε εἰ νῦν ἤρξω περιδεὴς εἶναι, ἀλλ' οὐ τότε εὐθέως, ὅτε ἐπολιτεύου πρός με, ἀρχῆς παρανόμου, ὥσπερ σὺ προὔλεγες Ἱμεραίοις συλλαβέσθαι βουλόμενος, ἐλογίζου, ὅτι γένοιτ' ἂν τάχα, ἃ σὺ λέγεις Ἱμεραίοις. εἰ μὲν οὖν ὑπερεφρόνεις θανάτου, ὥσπερ καὶ ἐχρῆν σοφὸν ὄντα, τί νῦν ἐμάτην ἰλιγγιᾷς, ἐξὸν ἃ προσεδόκας ποτὲ, οὐδὲν ἧττον θρασὺς ἦσθα, ταῦτα καὶ πελάζοντα γενναίως ὑπομένειν. εἰ δὲ ὥσπερ δειλὸς εἶ, περιδεῶς εἶχες πρὸς τὴν ἀφ' ἡμῶν

Steſichoro.

AVdio te maximo in metu verſari ſimul noſtram potentiam conſideratione, ſimul verò conſcientia conatuum aduerſus me ſuſceptorum. Miror autem te nunc primum metuere cepiſſe & non tum potiùs ſtatim, cùm hæc contra me intenderes, & ad abrogandum iniquum imperium, vt tute prædicabas, Himerenſibus auxilio eſſe velles: animo agitabas, poſſe hæc fortè quæ tu dicis Himerenſibus accidere. Si igitur parui pendebas mortem quemadmodum oportebat ſapientiæ ſtudioſum, quid nunc væcors æſtuas, cùm liceat, quæ tum expectans nihilominus audacia ferebaris, ea iam accedentem intrepido fortíque animo perpeti. Sin, vt es meticuloſus, dependendā tibi apud nos pœnā, perti-

pertimeſcebas, quid ô petulantiſſime tum vociferabare, tantúmque tibi hoſtem parabas, nunc ſceleratum, nunc proteruum appellando, & tuorum carminum verba pro concione recitando Quid verò cùm Muſicus eſſes & poëta, teipſum in contrarium tuis ſtudiis, vitæ munus & conditionem cóiiciebas, cùm domi deſidens otium agere poſſes, & non turbulentioribus implicari negotiis quàm poëtas decet. Quoniam verò pro poëta concionator & popularis haberi voluiſti, ſubeunda tibi ſunt quæ dico non poëtis, neque eruditis hominibus ſed concionatoribus plus æquo ad audaciam proiectis euenire, poſtquam in hoſtium manus deuenerunt.

Cliſtheni.

NOn idcirco ſcribendum ad te putaui, quod illam vulgarem hominum conſuetudinem cùm in ſermonibus & conſiliis parum fœlices, fortunato tamen rerum ſucceſſu euentúq; vtuntur, ſequi in animo haberem, vt ipſe pars calamitatis, re quod mihi optima conſulenti morem in eo non geſſeris, quod præter opinionem euenit, reprehenderem & obiurgarem. Nihil enim eiuſmodi mihi videntur aliud facere, quàm eos qui ceciderunt, cum magna ſui conſilij prudentiæque laude, accuſare, quòd non prouiderint, quid vtile futurum eſſet, neque prædicentibus fidem habuerint: ſed quemadmodum cùm præſentirent ſic de te futurum, ne vſuueniret familiariſſimè caui ſic cùm iam paſſus ſis indigna, meipſum ſimul erraſſe ſimúlque affligi iudico. Prædicebam, enim, ne contingerent. Iam verò cùm contigerint non magis conſilio quàm fortuna & caſum, ſimul infortunatus ſum, & fortunam nihil reprehendo. Verùm ne ſint hæc diuturna, quanta poſſum diligentia & ſtudio, laboro. Sed hæc ex matre tua, melius cognoſces. Tu verò infœlix, qui cùm è patriis laribus excidiſſes, tamen non voluiſti apud nos, tanquam beneuolentiſſimos à fuga requieſcere ac reſpirare. Quod ſi alia cauſſa impulſus feciſti, nobis iniuriam facere videris. Sin vt ne tibi exprobrarent, timuiſti eos, qui præmonuerant: nec tamen perſuaſerant, penè etiam quòd ita ſapias, delector. Si enim prius dicta tibi pudorem afferunt, non facilè in eiſdem erratum tuum aliquod extabit.

Nicippo.

ACcepiſſe te munera mea, magnam habeo gratiam. Ego verò quod affirmabas te metuere Syracuſios, ne tibi malú aliquod ab illis infligetur, ob recepta à me munera ſignificatione eis data, hoc efficere volebam, vt ſi non accepiſſes, acceptorũ inſimularem, vt ſiue acciperes ſiue nõ ſub fortunã eandem venires: immò ſi illud feciſſes, leniorem, ſin hoc, omnibus modis peiorem. Si enim non accepiſſes, dum ego me dediſſe contenderem, prorſus acceptorum tibi dies diceretur. Sin reuera accepiſſes, cùm ego dediſſe me negarem, non pariter, ſed reuera crimine liberatus eſſes.

δίκην ἐσομένην, τί δ᾽ αὖ προπετέστατα ἐβόας τότε, καὶ τοσοῦτον ἑαυτῷ περιεσκεύαζες ἐχθρόν, ἐναγῆ, καὶ αὐθάδη καλῶν, καὶ τὰς ἐκ τῶν ἐπῶν σου ῥήσεις εἰσφέρων ἐς τὰς ἐκκλησίας. τί δὲ μουσικὸς καὶ μελοποιὸς ὤν, καθίστας σεαυτὸν εἰς ἐναντίον σχῆμα, καὶ προαίρεσιν βίου τοῖς ἐπιτηδεύμασιν, ἐξὸν σχολὴν ἄγειν καθεζόμενον, καὶ μὴ θορυβωδεστέροις ἀπλέκεσθαι πραγμάτων, ἢ ποιητὰς πρέπει. ἐπειδὴ δὲ ἀντὶ ποιητοῦ δημαγωγὸς ὠρέχθης γενέσθαι, μένει σοι οἷα φημὶ, οὐ ποιηταῖς, οὐδὲ μουσικοῖς ἀνδράσιν, ἀλλὰ δημαγωγοῖς ὑπὲρ δύναμιν θρασυνομένοις, χειρωθεῖσιν ὑπ᾽ ἐχθρῶν.

Κλεισθένει.

ΟΥ τὸ τοῖς πολλοῖς εἰθισμένον, ὅταν ἐπὶ τῶν λόγων βλαβέντες, ἐν τοῖς ἀποτελέσμασι τῶν ἔργων εὐδοκιμήσωσι, πρᾶξαι βουλόμενος, ἐπιστεῖλαί σοι δεῖν ᾠήθην. ἵν᾽ ἐν ᾧ παρὰ γνώμην ἐσφάλης, οὐ πεισθεὶς ἐμοὶ τὰ βέλτιστα εἰπόντι, μέρος συμφορᾶς γενόμενος ἐπιτιμοίην. οὐδὲν γὰρ ἕτερόν μοι δοκοῦσιν οἱ τοιοῦτοι, ἀγνοούμενοι ποιεῖν, ἢ πολλὴν ἑαυτῶν ἔπαινον εὐβουλίας ζητούμενοι, κατηγορεῖν τῶν ἐπταικότων. ὅτι οὔτε προέγνωσαν τὸ συμφέρον, οὔτε τοῖς προλέγουσιν ἐπείσθησαν. ἀλλ᾽ ὥσπερ αἰσθανόμενος περὶ σοῦ τὰ μέλλοντα ἔσεσθαι, ἵνα μὴ πάθῃς οἰκειότατος ἐγενόμην, οὕτω πεπονθότος ἂν μή ποτε ὠφελεῖς, αὐτὸς οἶμαι καὶ συναμαρτεῖν, καὶ συνταλαιπωρεῖν. προὔλεγον μὲν γάρ, ἵνα μὴ γένηται. γεγονότων δὲ διὰ τύχην, ἴσως, ἢ γνώμην, συνατυχῶ, καὶ τῇ τύχῃ οὐκ ὀνειδίζω, ἀλλ᾽ ἵνα μὴ μείνῃ τοιαῦτα, ὡς ἔνεστι πεφιλοτίμημαι. Ταῦτα μὲν οὖν παρὰ τῆς σεαυτοῦ μητρὸς ἥκων, ἄμεινον ἂν μάθοις. σὺ δὲ ἄθλιος. ὃς οὐδὲν ἐκπεσὼν τῆς πατρίδος, παρ᾽ ἡμῖν ἐβουλήθης ὡς εὐνουστάτοις τὰς φυγὰς ἀναπαύσασθαι. τοῦτο δὲ, εἰ μὲν ἄλλῃ τινὶ χάριτι εἴλου, δίκαιος οὐκ ἂν εἴης περὶ ἡμᾶς. εἰ δ᾽ ὡς ὀνειδισθησόμενος, ἢ δείσας τοὺς προειπόντας καὶ οὐ πείσαντας, μικροῦ δέω λέγειν, ὅτι καὶ ἥδομαι, οὕτω σοῦ σωφρονοῦντος· αἰσχυνόμενος γὰρ ἐπὶ τοῖς προειρημένοις, οὐκ ἂν ἐπὶ τοῖς αὐτοῖς ἁλίσκοιο ἁμαρτήμασιν.

Ναύιππῳ.

ΤΟῦ μὲν εἰληφέναι σε τὰς παρ᾽ ἐμοῦ δωρεὰς, πλείστη σοι χάρις· ἐγὼ δὲ, ὅπερ ἔλεγες φοβεῖσθαι Συρακουσίους, μή τι σοι χαλεπὸν ἐξ αὐτῶν ἀνάγκῃ δεξαμένῳ τὰ παρ᾽ ἐμοῦ χρήματα, μηνύσεως αὐτοῖς ἀποδοθείσης, τοῦτ᾽ ἔμελλον ποιήσειν. μὴ λαβόντος σου, κατηγορεῖν ὡς εἰληφότος, ἵν᾽ ἤτοι τὸ αὐτὸ δεξαμένῳ, καὶ μή. μᾶλλον δὲ, τὸ μὲν, ἧττον. τὸ δὲ τῷ παντὶ χεῖρον. μὴ λαβὼν μὲν γὰρ, ἐμοῦ κατηγοροῦντος τὸ δεδωκέναι, πάντως ἂν αἰτίαν εἶχες εἰληφέναι· λαβὼν δὲ ταῖς ἀληθείαις, ἐμοῦ μὴ δεδωκέναι λέγοντος, μὴ ἴσως, ἀλλ᾽ ὄντως ἀπηλλάξω τῆς αἰτίας.

Ἱερωνύμῳ.

Ἐπυθάνου πῶς ἀντιτάξαιμι τὸ δύνασθαι, λεοντίνων μοι ἐπεξιόντων κατὰ τὰς χώρας, ἣν ἐμὴν οὖσαν ἀποτέμνονται, περιγίνεσθαι. τὸ μὲν οὖν ὅτι δικαιοτέρου ἐχόμενος, καὶ οὐκ ἄρχων πολέμου, ἀλλ᾽ ἀμυνόμενος, οὐκ ἂν ἐπιστείλαιμι. τούτων γὰρ παρ᾽ ὑμῖν οὐκ ἔστι λόγος. ὃ δέ, κἂν μὴ προσποιῆσθε, ὑμᾶς εἰδέναι ἀνάγκη, τοῦτ᾽ ἂν εἴποιμι. ὅπλοις πολλοῖς, καὶ ἀνδράσι δυνατοῖς, καὶ χρήμασι καὶ ναυσὶ καὶ ἵπποις. ὧν ἁπάντων ἐνδεεῖς ὄντες αὐτοί, μαχοῦνται πολεμίῳ καὶ περὶ ταῦτα, καὶ περὶ τὰς τύχας πεπλουτηκότι.

Λαμάχῳ.

Τοὺς ἑπτὰ καὶ τριάκοντα τούσδε, ὅταν τὸ πλῆθος λάβῃ τῶν καμαριναίων, χαλκοῦσθαι κατὰ φύσεως ἀπανθρωπίαν ἀποφαίνῃς. βούλομαι μὲν ἐν τούτῳ μεῖναι τῷ ἀριθμῷ, καὶ νὴ τὸν δία τὸν μέγιστον εὔχομαι, οὐχ ὁρῶ δὲ ἐσόμενον τοῦτο ὑπόπτων, μέχρι τούτων ὡρίσθαι. σύ γ᾽ οὖν αὐτὸς ἐννέα καὶ τριάκοντα βιάζῃ τούτους γενέσθαι, προστιθεὶς σεαυτόν, καὶ τὸν ἀναίσθητον ἐπιθέρσην. καὶ οὐχ ὅμοιόν ἐστιν, ἢ ἐμὲ διαβάλλεσθαι ὑφ᾽ ὑμῶν ἀπολλυμένων, ἢ ὑμᾶς πονηροτάτους ὄντας ὑπ᾽ ἐμοῦ ἀμυνομένου ἀπόλλυσθαι.

Νικάρχῳ.

Οὐκ ἀναγκάζεις καμαριναίους ἐμοὶ πολεμεῖν, ἀλλ᾽ ὑπ᾽ ἐμοῦ πολεμεῖσθαι. οἱ δέ, σωφρόνων ἀνδρῶν ποιοῦντες πρᾶγμα, καὶ τοῦτο σαφῶς εἰδότες, καὶ πρὸ τῶν λόγων τὰ ἔργα σκοπούμενοι, καὶ πρὸ τῶν ἔργων, ἔτι τάχιον τὰ ἀποτελέσματα, πολλὸν ἤδη χρόνον διαπέμπουσί σου τὰς δημαγωγίας. σὺ δὲ οὐκ αἰσχύνῃ βαρύτερος ὢν ἐκείνοις ἀπὸ τοῦ βήματος καὶ τῶν λόγων, ἢ ἐμοὶ καθ᾽ οὗ πολιτεύῃ.

Νικίᾳ.

Οὐ δοκεῖ σοι πικρὸν βασανιστήριον ὁ ταῦρος. οὐδὲ τῶν παρ᾽ ἡμῖν μηχανημάτων οὐδέν. ἐπεὶ τὸν εἰς ἐκεῖνα ἔλεον, οὐκ ἂν μᾶλλον ἡμῖν μάχεσθαι, προανήλωσας.

Κλεομέδοντι.

Σὺ μὲν ὡς πυνθάνομαι κατηγορῶν ἐμοῦ, τὰς περὶ τὸν κλεόμβροτον τύχας οἰκτρὰς, ὀδύρεσθαι ἐπιχειρεῖς. ἐγὼ δέ σε κλεόμεδον, πολὺ μὲν ἐκείνου τολμῶντα ἀδικώτερα, τῷ παντὶ δὲ ὄντα ἀσθενέστερον, ἐμοὶ ὑποχείριον γενέσθαι.

Μελιταίοις.

Οὐκ ἐκφαυλίζων ὦ μελιταῖοι τὰς τιμὰς ὑμῶν, ἀπέπεμψα τὸν πρεσβευτὴν, κατασεσημασμένας φέροντα αὐτάς. οὐκ ἐᾷ δέ με ἐπαινεῖσθαι τὰ πεπραγμένα. ὑμεῖς μὲν οὖν ἴσως, οἷον αὐτοί με εἶναι δοκεῖν ἐθέλετε, τοιοῦτον οἴεσθε ὑπολαμβάνεσθαι καὶ παρ᾽ ἑτέροις. ἐγὼ δὲ οἶδα, παρὰ μὲν τοῖς ἄλλοις ἅπασι, κακὸς ὑπολαμβανόμενος. παρὰ δ᾽ ὑμῖν, καὶ νομίζομαι ἀγαθός. οὐδὲν ἐκ τούτου δυνάμενος ἐνδιδόναι ἐπὶ τοὺς ἄλλους τὴν φήμην.

Hieronymo.

QVæſiuiſti, quibus rebus opponere me & Leontinos in regionem impreſſionem facientes, quam mihi prorſus deuaſtant, ſuperare poſſim. Atque de eo, quod iuſtiorem cauſſam habeam, & non inferam ſed depellam à me bellum, nihil ſcribam. Horum enim apud vos nullus eſt reſpectus. Quod verò, etiamſi diſſimuleris, tamen ſcire vos neceſſe eſt, id exponam maximo armorum inſtructu, viris bellicoſis & fortibus, pecuniis, nauibus & equis, quorum omnium indigentes deſtitutique illi pugnant aduerſus hoſtem, qui tùm horum, tum etiam fortunæ diues eſt & abundans.

Lamacho.

TRiginta ſeptem illos, vbi multitudinem ceperis Camarinenſium torreri contrà naturã & innumanum eſſe dicis. In hoc numero permanerẽ volo, & per Iouem maximum etiam opto. Video enim quoſdam hanc deſcriptionem, & hunc modum non probare. Tu igitur ipſe triginta nouem hos eſſe cogito, te & dementi Epitherſe addito. Neque ſimile eſt me à vobis pereuntibus, conuitiis proſcindi, & vos omnium deterrimos & iniurioſiſſimos me vltore perire.

Nicarcho.

NOn inferre mihi bellum Camarinenſes, ſed à me bello prouocari cogis. At illi virorum ſapientum facientes officium atque hoc probè ſcientes & rem antè verba perpendentes, & ante rem, citius adhuc euentum, multo iam tempore conciones factionéſque repellunt. Tu verò non erubeſcis durior & pernicioſior illis de ſuggeſtu & orationibus eſſe quàm mihi, in cuius detrimentum omnia machinaris & refers.

Nicia.

NOn videtur tibi ſatis aſperum tormentum eſſe Taurus neque vlla noſtrarum machinarum, quoniam horum commiſerationem, nolens pugnare nobiſcum longè antè conſumpſiſti.

Cleomedonti.

TV quidem vt audio me criminatus Cleombroti miſerabilem caſum deplorare ſuſcipis. Ego verò vt te ô Cleomedon, multo quàm ille illo iniquiora ſceleratioráque audentem, omnibus verò rebus imbecilliorem in meam poteſtatem redigam, laboro.

Melitenſibus.

NOn quod honores, veſtros ô Melitenſes contemnerem, remiſi ad vos legatum obſignatos eos ferentem. Res verò perpetratæ laudari me non patiuntur. Vos autem forſitan, qualem ipſi me videri vultis, talem & à reliquis exiſtimari creditis. Ego verò certum habeo, apud cæteteros omnes me prauum & iniquum haberi. Apud vos autem etiam probus & iuſtus iudicor, neq; ſanè poſſum hinc iſtam famã in alios quoq; diſſeminare

ſed multò magis propter hominum falſas opiniones vobis ero detrimento, quod peſſimum, niſi ipſi quoque tales eſſetis, nunquam laudibus affeciſſetis. Quoniam igitur & vos iniuria in malitiæ vituperationem incurreretis, ego verò nihil memetipſo moderatior aut æquior putarer, ſuſcipiendos mihi honores eſſe non ſum arbitratus.

Camarinenſibus.

CVm & ad Gellenſes & ad Leontinos miſiſſem, ad vos etiam mittendum cenſui, vt in incumbentibus rebus me iuuaretis, non quod aut armis, aut equis indigeam neque viris, quibus vacuam dicitis vrbem eſſe, ſed argento. Nam Leontini repente nobis quinque talenta miſerunt, Gellenſes verò decem ſe daturos promiſerunt. Vos autem neque tardiores Leontinis, neque illiberaliores Gellenſibus fore ſpero.

Aſtypalaenſibus.

NEque moleſtiam vnquam in vita grauiorem, me cepiſſe memini, quamuis variis inopinatiſque caſibus iactatus, neque verò lætitiam vberiorem. Nec enim ſuauitatis & voluptatum omnino expers fui. Angebar igitur animo illa die, qua per iniuriam è patria exturbatus ſum quod etiam iuſtè patientibus, triſtiſſimum acerbiſſimúmque eſſe conſueuit. Lætabar autem cum publicè mentione mei facta, de vrgentibus imminentibuſque rebus mihi ſcriberetis. Ab vno nanque omnium beneuolentiſſimo, veſtrique nominis ſtudioſo petiiſtis, non tam quod aliquid eorum nos accepturos ſperaretis, quàm vt publicè teſtimonium relinqueretis, me non iure fugatum fuiſſe, vóſque eos qui huius autores extiterunt damnare. Neque enim beneficium petere quiſquam à non dilecto, neque accipere à non diligente vellet. Neque iam tempus fert, vos vt amiciſſimos conqueri cùm ſuperiori tempore nihil accuſaueritis, aut in præſenti gratias agere, cùm petatis ea quæ ſi acceperitis vos, abunde réque vera gratiam præſtiteritis Ego verò in gratiarum actionis loco, ipſam petitionem veſtram pono. Non enim cum tanta voluptate magis accepero, quàm collocauero. Quid nanque viro in patriam pio illuſtrius aut magnificentius eſſe poteſt, quàm vt in ſuos ciues munificus & liberalis eſſe videatur: quod mihi quidem per veſtram epiſtolam contigit. Quod autem ſerius ad vos munera peruenerint, neque in me neque in veſtros, legatos culpam reiiciatis: verùm in tempeſtatem & præſentis temporis importunitatem. Nam quantum in nobis fuit, nullam curam nullúmque ſtudium intermiſimus. Neque enim, quod nauigari ceptum eſt, tantis turbinibus & procellis, extremis auſibus caruit. Quod verò ſalua ad vos peruenerunt, ea quæ miſimus, quamuis marinis periculis iactata, id ſine peccato fortunæ referre acceptum poteſtis. At verò legati quidem vobis munera quæque naui vehuntur reddēt, de ſingulis verò, miſſus cum eis epiſtolámq; ferēs certiores vos faciet Eubulus, à quo generib. numeroq; percepto, reliqua ſanè pro libito quacūq; vobis ratione viſum fuerit impēdite, pecunias verò, ſi ad

πολὺ δὲ μᾶλλον εἰς τὰς ψευδοδοξίας τῶν ἀνθρώπων βλέψαντας ὑμᾶς, ὅτι τὸ κάκιστον, οὐκ ἂν εἰ μὴ τοιοῦτοι καθεστήκειτε, ἐπῃνεῖτε. ἐξ ὧν τοίνυν ὑμεῖς μὲν ἀδίκως πονηροί. ἐγὼ δὲ οὐδὲν ἐπιεικέστερος ἐμαυτοῦ ὑπολαμβανοίμην, οὐκ ᾤμην δεῖν ἑαυτὸν τιμᾶσθαι.

Καμαριναίοις.

ΚΑὶ εἰς Γέλλαν ἔπεμψα καὶ εἰς Λεοντίνους, καὶ πρὸς ὑμᾶς πέμψαι δεῖν ᾠήθην, ὅπως μοι συλλάβησθε εἰς τὰ παρόντα, οὐχ ὅπλων, οὐδὲ ἵππων δεόμενος, οὐδὲ ἀνδρῶν, ὧν κενὴν εἶναι λέγετε τὴν πόλιν, ἀλλ' ἀργυρίου. καὶ Λεοντῖνοι μὲν ἡμῖν ἔπεμψαν πέντε τάλαντα εὐθέως. Γελλῷοι δὲ ὑπέσχηνται δέκα δώσειν. ὑμᾶς δὲ, οὔτε βραδυτέρους Λεοντίνων, οὔτε μικροπρεπεστέρους ἔσεσθαι Γελλῴων ὑπολαμβάνω.

Ἀστυπαλαιεῦσιν.

ΟΥτε μᾶλλον ἀνιαθεὶς ἐν τῷ ζῆν ἐμαυτῷ συνοῖδα ἄνδρες πολῖται, καίτοι πολλαῖς καὶ παραδόξοις χρησάμενος μεταβολαῖς, οὔτε πλέον ἡσθείς· ἄμοιρος γὰρ οὐδὲ τῶν τερπνῶν ἐγενόμην. ἠνιάθην μὲν οὖν ἐκείνην τὴν ἡμέραν, ἐν ᾗ τῆς πατρίδος ἐξέπεσον ἀδίκως, ὅπερ ἀλγεινότατόν ἐστι, καὶ τοῖς δικαίως τοῦτο πάσχουσιν. ἥσθην δὲ ὅτε δημοσίᾳ μου μνησθέντες, ἐγράψατέ μοι περὶ ὧν ὁ καιρὸς ὑμᾶς ἤπειγε. ὡς γὰρ παρ' ἑνὸς τῶν μάλιστα εὐνοουμένων, καὶ περὶ ὑμᾶς ἐσπουδακότων ᾐτήσασθε οὐ τοσοῦτον ὡς ἔοικε τοῦ λαβεῖν τι τῶν ἐψηφισμένων, ὅσον τοῦ μαρτυρῆσαι μὲν ἐμοὶ δημοσίᾳ, τὸ μὴ δικαίως ἐξεληλάσθαι. καταγνῶναι δὲ τῶν τοῦτο δρασάντων. οὔτε γὰρ αἰτῆσαι χάριτας παρὰ τοῦ μὴ στεργομένου τις ἂν, οὔτε λαβεῖν παρὰ τοῦ μὴ στέργοντος ὑπομένειε. οὔτε νῦν παραδίδωσιν ὁ καιρὸς, μέμψασθαι μὲν ὑμᾶς ὡς φιλτάτους, τοὺς πρότερον χρόνους μηδὲν αἰτησαμένους. εὐχαριστῆσαι δὲ τοῦ παρόντος ἕνεκα αἰτεῖσθε. ἅπερ ὑμεῖς μὲν οἱ λαβόντες, δώσετε ταῖς ἀληθείαις. δέδεγμαι γὰρ ὑμῶν χάριτι τὴν αἴτησιν. ἐγὼ δὲ, οὐ μετὰ τοσαύτης ἡδονῆς λήψομαι μᾶλλον ἢ δώσω. τί γὰρ ἀνδρὶ φιλοπάτριδι κάλλιον καὶ μεγαλοπρεπέστερον, ἢ δοκεῖν τοὺς ἑαυτοῦ πολίτας εὖ ποιεῖν. ὃ διὰ τῆς ἐπιστολῆς μοι τῆς ὑμετέρας πεπλήρωται. τοῦ μὲν οὖν βραδύτερον ἀφῖχθαι τὰς δωρεὰς, ἢ παρ' ὃν ἐβούλεσθε χρόνον, μήτε ἐμὲ, μήτε τοὺς πρέσβεις ὑμῶν αἰτιᾶσθε. τὸν δὲ χειμῶνα, καὶ τὴν ὥραν τοῦ καθεστῶτος χρόνου. τὸ γὰρ ἐξ ἡμῶν, προθυμίας οὐδὲν ἧς τινος ἀπελείπετο. πλεῖν δὲ διὰ τὴν ὑπερβολὴν τοῦ χειμῶνος, οὐδὲ μετὰ τῶν ἐσχάτων τολμημάτων ἦν. τὸ μέντοι σεσῶσθαι τὰ πεμφθέντα, καίτοι πελαγίῳ παραβληθέντα κινδύνῳ. τῇ τύχῃ χάριν εἰδότες, οὐκ ἂν ἁμαρτάνοιτε. οὐ μὴν ἀλλὰ τῶν κομιζομένων, ἀποδώσουσι μὲν ὑμῖν ὁμολογουμένως οἱ πρέσβεις. δηλώσει δὲ καθέκαστα, καὶ ὁ συναπεσταλμένος αὐτοῖς ἀνὴρ, ὁ καὶ τὴν ἐπιστολὴν φέρων Εὔβουλος. παρ' οὗ τά τε εἴδη, καὶ τὸν ἀριθμὸν λαβόντες, τὰ μὲν ἄλλα διαθήσεσθε, καθ' ὃν ἂν προῄρησθε τρόπον. τὰ χρήματα δὲ περὶ

ἐπισκευὴν τῆς πόλεως, καὶ κόσμον χρησάμενοι, καλῶς ἂν εἴητε πεφρονηκότες, οὐ διὰ τὴν ἐμὴν παραίνεσιν, διὰ δὲ τὴν ὑμετέραν αὐτῶν εὐβουλίαν. οὐδεὶς γὰρ ἀλλοτρίᾳ προαιρέσει, ἀλλὰ τῇ οἰκείᾳ χρηστὸς πέφυκεν. εἰ δ' ὅπερ οὐδὲ λέγεσθαι ἐφ' ὑμῶν ἄξιον, τοῖς εἰς ἕτερον εἶδος δεδωρημένοις, εἰς ἄλλο τι καταχρήσεσθε τῶν οὐκ ἀναγκαίων, δῆλον ὅτι ὑμεῖς μᾶλλον μεμφθείητε τοῦ μὴ δεόντως προσενηνέχθαι τοῖς δωρηθεῖσιν, ἢ ὁ δοὺς εὐλογηθείη τοῦ δεδωκέναι. ὡς γὰρ ἄτοπον τὸν ἐκπεπτωκότα τῆς πατρίδος διὰ τὴν φυγὴν ἐμὲ, τῶν αὐτῆς ἀνακτήσασθαι ζητεῖν τὰ κατερριμμένα, ὑπὸ τοὺς ἐνοικοῦντας τὰ πίπτοντα μέρη περιορᾶν, καὶ μὴ δὲ ἐξ ὧν ἄλλος δίδωσι φιλοτιμεῖσθαι. ἐὰν μέν τι δικαιώσητε, μὴ μόνοις ὑμῖν πεπέμφθαι τὰς δωρεὰς, ἀλλὰ καὶ τοῖς μεθ' ὑμᾶς, καὶ μετ' ἐκείνων τῇ πόλει καὶ τοῖς θεοῖς, τότ' ἂν ὑμεῖς θαυμασθείητε πλέον τῆς εὐβουλίας, ἢ τοῦ δεδωρῆσθαί τι τῶν ἰδίων ὁ δεδωρημένος. τίς γὰρ ἂν ἀγνοήσειεν, ὅτι τὸ μὲν χαρίσασθαι, τῆς τοῦ διδόντος ἐπιμελείας ἔπαινός ἐστι. τὸ δὲ χρήσασθαι τοῖς δοθεῖσιν ὡς προσῆκε, τῆς τοῦ λαβόντος εὐλογιστίας. βουλοίμην δ' ἂν ὑμᾶς, μαρτυρηθῆναι περὶ ἀρετῆς μᾶλλον, ἢ περὶ πλούτου δαψιλείας ἐμαυτόν. τὸ μὲν γὰρ ψυχῆς ἀγαθῆς, τὸ δὲ, τύχης ἐξουσιαζούσης ἐγκώμιον δόξει, ἔρρωσθε.

Ἀξιόχῳ.

Σεμνύνεσθαι μὲν, ὥσπερ ἐπ' ἄλλῳ τινὶ τῶν καλῶν, καὶ ἐπ' εὐγενείᾳ εἰκός ἐστιν. ἐγὼ δὲ μίαν εὐγένειαν, ἀρετὴν οἶδα. τὰ δ' ἄλλα πάντα τύχην. καὶ γένοιτ' ἂν ὁ μὲν ἐκ φαύλων ἀγαθὸς, καὶ βασιλέων καὶ πάντων εὐγενέστατος. ὁ δ' ἐξ ἀγαθῶν, φαῦλος, αὐτός τε ἑαυτοῦ καὶ τῶν ταπεινοτάτων δυσγενέστατος. ὥστε ψυχῆς ἔπαινον αὔχει πρὸς Συρακουσίους, μὴ προγόνων τεθνηκότων ἐν ἀδοξοτέροις διαδόχοις εὐγένειαν.

Ἱμεραίοις.

Ἐκέλευσα ὑμῖν Στησίχορόν μοι ἀποστεῖλαι, καὶ Κόνωνα, καὶ Ἑρμοκράτην διὰ τάχους. ὑμεῖς δὲ, ἀντὶ Ἑρμοκράτους, καὶ Κόνωνος, καὶ Στησιχόρου, Σαμίαν καὶ Νίκαρχον ἐπέμψατε. ἐγὼ δὲ εἰ μὲν οἷον ὑμεῖς με ὑποτίθεσθε εἶναι, τοιοῦτος ἤμην, οὐκ ἠγνόουν ὅτι δι' ἐκείνους με ἀποδοῦναι ὑμῖν τι τῶν ἀνηκέστων ἐχρῆν, καὶ ἧκον ἂν καὶ Στησίχορος, καὶ Κόνων πρός με καὶ Ἑρμοκράτης εὐθέως· οὐ γὰρ Κόνωνος μὲν ὑμῖν πεπορνευκότος ἀνθρώπου, ἔστι τις φροντὶς, Σαμίου δὲ καὶ Νικάρχου ἐπιφανεστάτων ἀνδρῶν, καὶ κάλλιστα ἐξ ἁπάντων ὑμῶν βεβιωκότων, οὐκ ἔστιν. ἀλλ' ὅτι ἐπιεικεῖς ἄνδρας, καὶ μηδέν με ἠδικηκότας, μὴ δὲ τὴν πατρίδα τὴν ἑαυτῶν ἀδικεῖν ἐβουλόμην, οὐδὲ νόμον κοινὸν Ἑλλήνων καταλύειν. καίτοι ὑμεῖς γε, πολλοὺς νόμους Ἑλλήνων κοινοὺς καταλύσαντες, οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις. ἐν οἷς πρός με

teficiendam ornandámque ciuitatem adhibebitis, haud malè conſulueritis, noo propter meam adhortationem: ſed propter veſtri conſilij tectitudinem & bonitatem. Neminem enim alieno, ſed ſuo, quenque inſtituto bonum eſſe conſtat. Sin quod ne dici quidem de vobis debet, quæ in alium vſum donata ſunt, his vos ad diuerſa & non neceſſaria fueritis abuti, manifeſtum eſt, vos potiùs in repræhenſionem incurſuros, qui vos non rectè erga largitores geſſeritis, quàm gratias benefactori habitum iri. Quemadmodum enim abſurdum eſt, me patria pulſum in exilium, delapſas dirutáſque eius partes inſtaurari cupere, ſic inhabitantes vos ruinam minantia negligere, neque ex his, quæ aliis dono dat, reparare velle eſt indecorum. Sin ſtatueritis, nos vobis ſolùm hæc miſſa eſſe munera, ſed etiam poſteris liberiſque veſtris, cûmque his ciuitati & diis immortalibus, tum veſtra ſapientia, & integritas conſilij plus admirationis habebit, quàm liberalitas benefactoris de priuatis poſſeſſionibus. Quis enim ignorat largiri ad datoris curam laudémque pertinere, vti verò datis, quemadmodum oportebat, ad eius qui accepit, prudentiam ac moderationem. Mea verò ea eſt, voluntas, vt vos potius virtutis quàm ego diuitiarum largitionis ac liberalitatis teſtimonium auferam. Illud enim animi benè conſtituti, hoc verò affluentis fortunæ commendationem ac laudem continet, Valete.

Axiocho.

CVm de aliis honeſtatibus & rebus cum virtute coniunctis gloriari rectè poſſumus, tū etiā de nobilitate. Ego verò propter virtutem, nobilitatem nullā prorſus noui. Nā reliqua ſunt omnia fortunæ dona. Et is qui inter malos ipſe bonus eſt, regibus quoque & omnibus nobilitate præſtat. Qui verò inter bonos malus, is & ſemetipſo & abiectiſſimis quibúſque eſt ignobilior. Quamobrem animi laudem aqud Syracuſios iactitato, non maiorum inter mortuam penè in ignobilioribus ſucceſſoribus nobilitatem.

Himerenſibus.

SIc vobis mandaueram, vt Steſichorum ad me celeriter mitteretis item Conooem & Hermocratem. Vos autem pro Hermocrate, Conone, & Steſichoro Sameam & Nicarchum miſiſtis. Ego verò, ſi qualem vos me fingitis, talis eſſem, non ignorabam me ſi illos non reddidiſſem vobis neceſſitatem alicuius, quod minimè velletis impoſiturum fuiſſe, & venturos ſubitò Steſichorum Cononem & Hermocratem ad me. Non enim eſt veriſimile Cononem hominem in ſtupris & ſcortationibus volutatum, alicuius apud vos eſſe ponderis, Sameæ verò & Nicarchi clariſſimorum hominum, qui honeſtiſſimam vitam egerunt, nullam haberi curam neque reſpectum. At viros æquiſſimos, qui neque mihi, neque patriæ damnum dediſſent iniuria afficere nolui, aut communem omnium Græcorum legem violare, quanquam vos multas infinitáſque Græcorum leges, non ſemel: ſed perſæpe perfregeritis, in his quæ contra me

geſſiſtis

geſſiſtis. Verbis autem explicare neceſſe eſſe non arbitror, cùm & ipſe norim & ad ſcientes ſcribam. Verùm nun imitatus ſum vos nec imitabor ego homicida ille, & multis facinoribus criminibúſq; pollutus. Sed remiſi vobis legatos, cùm alterutrum ſine negotio tenere poſſem, aut vt vos cogerem, illos promiſce mittere, aut in eos quæ ſub manibus eſſent, omnem etiam illorum iram euomere. Atqui in eum locum & penè neceſſitatem iniuſte viuendi ſumus adducti, nihil vt hoc deteriores videamur, ſi veſtros legatos morte affecerimus, neque meliores, ſi incolumes ſeruauerimus. Nam ante iam mea ſunt omnia mixta & inquinata atque probè ſcio leue vobis momentum ad hominum aut beneuolentiam aut odium adferre, iuſta vel non iuſta agere. Et in eum ſtatum non minimè vos Himerenſes me protruſiſtis & veſtri illi ciues. Et aliorum malorum, quibus per eos ſum afflictus, nocentibus venia concedi, & obliuioni facta mandari poſſunt verũ, quod iuſticiam colere, iuſtéque agere non dicur quæ poteſt ſatis atrox in autores pœna conſtitui. Quos enim eſt æquius noſtram iniuriam experiri quàm per quos eſt effectum, vt iuſtitiam repudiare rogamur. Attamen ô Himerenſes his rebus omnibus conſideratis, iratus & Tyrannus cùm eſſem atque haberem licet quos non omnino vellem, at certè ex quorum morte par mœror & moleſtia eſſet ad nos peruentura, tamen manus ab eis abſtinui & liberaliter tractatos remiſi. Quòd ſi vobis quod rectum eſt viciſſim facere animis erit, reputate, ſi iram non omnem in duos aut tres viros auerteritis, omnia vos impendentia ciuitati pericula propulſuros ſin Conon, qui hactenus ab vnòquoque veſtrûm ſæpe pulſatus eſt, ſeruatur, ciuitatis extremam eximis ſedibus euerſionem tolerare cogemini. Dabo enim operam, ne vobis æquior placatiórve videar, quàm vos me eſſe putatis.

ἐπολιτεύεσθε. λόγῳ δὲ, οὐδὲν οἶμαι καταλέγειν, αὐτοῖς τε εἰδόσι, καὶ πρὸς εἰδότας γράφων, ἀλλ' οὐκ ἐμιμησάμην ὑμᾶς, οὐδὲ μιμήσομαι, ἐγὼ ὁ ἀνδροφόνος, καὶ ἐναγὴς τοσούτοις ἄγεσιν. ἀλλ' ἀπέπεμψα ὑμῖν τοὺς πρεσβεῖς, παρόν, πολὺ δυοῖν θάτερον ἀπραγμόνως ἔχειν, ἢ ἐκείνους ὑμᾶς ἀναγκάσαι αὐτὶ τούτων πέμψαι, ἢ εἰς τοὺς ἐν χερσὶν ὄντας ἀφεῖναι τὴν πρὸς ἐκείνους ὀργήν. καίτοι, εἰς τοῦτό γε ἤδη καθέστηκε τὰ πράγματα ὑμᾶς, καὶ εἰς ἀνάγκην τοῦ μὴ δικαίως βιοῦν, ὥστε μηδὲν χείρους ἡμᾶς νομισθῆναι ἀποκτείναντας τοὺς πρέσβεις ὑμῶν, ἢ δι' ἀμείνους, σώσαντας. πεφύρται γὰρ ἤδη τὰ ἐμά, καὶ μεμίανται. καὶ οἶδα ὅτι μικρὰ ῥοπὴ ἐπὶ ἡμῖν εἰς εὔνοιάν τε καὶ μῖσος ἀνθρώπων, δίκαιον ἢ μὴ δίκαιόν τι πρᾶξαι. καὶ εἰς τοῦτο οὐχ ἥκιστά με ὑμεῖς γ' ὦ Ἱμεραῖοι τὸ σχῆμα κατεστήσατε, καὶ οἱ ἄνδρες ὑμῶν ἐκεῖνοι. καὶ τῶν μὲν ἄλλων, ὅσα ἔπαθον δι' αὐτοὺς κακά, ἔξεστι καὶ συγγνῶναι τοῖς αἰτίοις. καὶ καταχέαι λήθην τῶν γεγονότων. τοῦ δὲ μὴ ἐξεῖναι δίκαιόν τι πρᾶξαι, τίνα ἄν τις αὐτάρκη δίκην εἰς πρᾶξαιτο παρὰ τῶν αἰτίων. ἐπεὶ τίνας ἦν δικαιότερον ἀπολαῦσαι τῆς ἡμετέρας ἀδικίας, ἢ δι' οὓς ἀνάγκη καὶ ἀδικεῖν ἡμᾶς ἐστιν. ἀλλ' ὅμως ὦ Ἱμεραῖοι ταῦτά γε ἅπαντα σκοπῶν, καὶ ὀργιζόμενος, καὶ τύραννος ὤν, καὶ ἔχων, εἰ καὶ πάνυ οὓς οὐκ ἐβουλόμην, ἀλλ' ὧν γ' ἀναιρεθέντων ἐμέλλομεν ὑμᾶς οὐδὲν ἧττον ἀνιᾶσθαι, ἐφεισάμην αὐτῶν καὶ ἀπέπεμψα ἐάσας. εἰ μὲν οὖν καὶ αὐτοὶ τὰ δίκαια ἐν μέρει ποιεῖν ἐθελήσετε, λογισάμενοι ὅτι εἰ χ' ἅπασαν ὀργήν, ἐὰν εἰς δύο ἄνδρας, ἢ τρεῖς, ἅπαντα ἀποστρέψητε τὰ τῇ πόλει ἐπικρεμάμενα δεινά, εἰ δὲ κίνων ὁ πρὸς ὑφ' ἑκάστου ὑμῶν εἰς τὸ σῶμα παροινούμενος σώζεται, αὐτοῖς βάθροις ἀπολουμένης, ἀνάστατον ἅπασαν γενέσθαι τὴν πόλιν. πειράσομαι γὰρ ὑμῖν, μηδὲν ἐπιεικέστερος φανῆναι, ἢ ὑμεῖς νομίζετε.

Athenienſibus.

Venit ad nos Perilaus figulus veſter ô Athenienſes opera quædam apparatu prorſus induſtria ferens, propter quæ lubenter eum ſuſcepimus, & dignis muneribus tum ob artem, tum ob patriam non minimè affecimus. At ille, paulò poſt, Taurum æneum, inuſitata magnitudine fabricatus, Agrigentum attulit. Magna igitur cum voluptate fictitium & aſſuetum humano conſortio animal recepimus. Et prorſus Tyrannicum illud ſpectaculum nobis alicuius precij & honoris eſſe videbatur. Nondum enim occultam in eo mortem atque perniciem demonſtrauerat. Poſteaquàm verò aperto latere, declarauit nobis plenam omni crudelitate cædem & omni morte miſerabilius exitium: artem quidem & induſtriam eius collaudauimus: animi verò malitiam ac prauitatem ſupplicio perſecuti ſumus: & vt priuatæ ſollertiæ ſpecimen pro alijs (quia neminem ſceleratiorem

Ἀθηναίοις.

Ἀφίκετο εἰς ἡμᾶς Πέριλαος ὁ πλάστης ὑμῶν ὦ Ἀθηναῖοι, δημιουργήματα πάνυ τὴν κατασκευὴν ἀποχρῶντα κομίζων. ἐφ' οἷς ἀσμένως τε αὐτὸν ἐδεξάμεθα, καὶ δωρεαῖς ἀξίοις, διά τε τὴν τέχνην, καὶ οὐχ ἥκιστα διὰ τὴν πατρίδα, ἠμειψάμεθα. ὁ δὲ, ἐντὸς οὐ πολλοῦ χρόνου χαλκοῦν ταῦρον, μεγέθει πλείονα τοῦ κατὰ φύσιν εἰς Ἀκράγαντα ἤνεγκεν. ἡσθέντες δ' ἐν ζῶον ἐργαστικόν, ἀνθρώποις συνέτροφον εἰς δεξάμενοι. καὶ σφόδρα ἡμῖν τὸ θέαμα τυραννικὸν κατεφαίνετο χρῆμα, κόσμου ἄξιον. οὐ γάρ πω τὸν ἐν αὐτῷ λελοχισμένον ὑπεδέδεικτο μόρον. ἐπεὶ δὲ ἀναπτύξας τὸ πλευρὸν ἐγύμνωσε, πάσης μὲν ὠμότητος ἀνάπλεων φόνον, παντὸς δὲ θανάτου δυσποτμότερον μόρον, τοῦτο δὴ τῆς τέχνης αὐτὸν ἐπαινέσαντες, τῆς γνώμης ἐτιμωρήσαμεν. καὶ τῆς ἰδίας ἐπινοίας τὴν ἀπόδειξιν, αὐτὸν πρὸ τῶν ἄλλων, ἐπεὶ κακοῦργότερον οὐδένα

Xanthij cùm noſtrum beneficium contempſiſſent, ſepulchrum ſuæ inertiæ & ſtoliditatis patriam effecerunt. Patarenſes verò, cùm ſemetipſos in noſtram fidẽ contuliſſent, nihilo deteriùs omnia quæ pertinent ad libertatem, tuentur & conſeruant. In vobis igitur poſitum eſt, vt vel iudicium Patarẽſium, vel Xanthiorum calamitatem eligatis.

Lyciorum ad hæc reſponſio.

Xanthiorum calamitas nobis dolori eſt, quàm pro ſua vecordia patiuntur, eò quòd ne pœnitere quidem eos potuerit. Patarẽſium verò prudentia & fœlicitas, voluptati eſt, quod rem ſibi vtilitem & commodam fecerint. Nos verò non ea ſumus amentia, vt cùm in amicis numerari, fœliciterque agere detur, illorum qui inimicitiarum pœnas dederunt, inſtitutum ſequi malimus.

Brutus Lyciis.

Qvi ex vobis perfugas & fugitiuos Xanthios receperunt, non leuiori ſupplicio, quàm ipſi Xãthi afficientur. Patarenſibus verò, Myrenſibus, Coryciis & Phaſelitis: ſi quod etiam aliud officium receptis exhibere velint, permitto, vt rectè ſe conſuluiſſe, qui noſtram amicitiam potiùs quàm inimicitias ceperint, reipſa ſentiant, cùm eos ob oculos viderint.

Lycio-

Lyciorum ad hæc reſponſio.

NEque nos recipere Xanthios vnquam ſtatuiſſemus, ſi potiùs in malorum ſocietatem venire, quàm infortunium illorum leuare nos putaſſemus. Nam & illi relictis nobis qui nihil adiumenti ferremus ad Patarenſes, Myrenſes, Phaſelitas & Corycios, tanquam auxiliarores multò præſentiores cõfugerunt. Manifeſtum enim Brute feciſti, te non iracundia commotum exules è Lycia expuliſſe, ſed docuiſti, pro tua benignitate, quibus eos libentius traderes.

Brutus Cois.

QVi miſſi ſunt à vobis in auxilium, nunciauerunt mihi naues veſtras modò parari. Quòd ſi ad belli tẽpora paratis & inſtruitis, quid opus ſit apparatu nõ ſanè video. Quid enim prodeſt, robur intẽpeſtiuũ, in quo præter imbecillitatem nihil ineſt, quoniam ad vſum adhiberi non poteſt.

Coorum ad hæc reſponſio.

IN noſtris quidem temporibus & occaſione, non ignoramus ante vſum longo tempore paranda fuiſſe. In ſociorum verò rebus, non facilè eſt perſpicere, niſi multò antè denuncietur. Apparatum verò non inanem eſſe putabo, tametſi non in præſentia, at aliquando certè. Proinde quicquid id eſt, ad futura ſaluum & integrum ſeruatur.

Brutus Caunijs.

TAmetſi Coorum officia, videantur in ſpeciem magis ab aſſentatione & metu proficiſci: tamẽ quod expediti promptique mandata quęcunque iubeo, faciunt: id verò ſummæ firmitudinis argumentum eſt. Vos igitur de his quæ ſcripſimus etiam iudicate, vtrum alia quoque veſtra officia neceſſitatis magis quàm beneuolentiæ cauſſa ſint probanda. veriſſimum enim pignus ſtabilitatis ſemper erit: ſi continenter ad veſtros vſus parati promptique fueritis.

Caunniorum ad hæc reſponſio.

PIgnus beneuolentiæ, non eſt aſſiduè inſeruire. Hoc enim ſolarum virium eſt opus: verum non negligere, cùm occaſio poteſtáſque obuenerit. Nobis verò ſi ex intermiſſione, priſtinum quoque ſtudium non ſatis fidele iudicaretur, fruſtrà nos antea labores ſubiiſſe putaremus. Neque enim veriſimile eſt tum nos amicitiam erga te ſimulare, quam metus etiam non exiſtentem omnino ambiret, aſſentatio verò exiſtentem etiam perderet.

Damæ Brutus.

ARmis & pecuniis opus eſt. Aut mitte aut nega.

Damas Bruto.

ABundantium eſt mittere. Inopum verò negare.

Brutus Cyzicenis.

ARma mihi à Bithenia, vſque in Helleſpontũ tranſmittite, ſiue per terram ferentes, ſiue mari. Ipſi verò ponderis eorum leuitatem experiemini. Si verò tardiùs quàm oportet ad nos peruenerint, non aliter quàm ſi vel prorſus interiiſſent vel hoſtibus tradita eſſent, iniuriam à vobis accepiſſe putabimus.

Λύκιοι πρὸς ταῦτα.

ΟΥ δὲ αὐτοὶ ξανθίους ὑποδέξασθαι ἐγνώκειμεν, εἰ κοινωνεῖν τῆς συμφορᾶς μᾶλλον ἢ ἐπικουφίζειν μέλλομεν αὐτοῖς τὸ ἀτύχημα. ἐοίκασι γὰρ κἀκεῖνοι καταλιπόντες, πρὸς μηδὲν ὀνήσοντας ἡμᾶς, πρὸς παταρεῦσι καὶ μυρεῦσι καὶ φασηλίταις καὶ κωρυκίοις, ὡς βεβαιοτέροις προσφεύξεσθαι βοηθοῖς. δῆλον γὰρ πεποίηκας ὦ Βροῦτε, μὴ δι' ὀργὴν ἐλαύνων τοὺς φυγάδας ἐκ λυκίας. ὑπὸ δὲ χρηστότητος διδάσκων, πόσῳ ἥδιον αὐτοὺς χαρίσῃ.

Βροῦτος κῴοις.

ΟΙ πεμφθέντες παρ' ὑμῶν ἐπὶ τὴν συμμαχίαν, ἀπήγγελλόν μοι τὰς ναῦς ὑμῶν ἄρτι κατασκευάζεσθαι. εἰ δὲ εἰς τὸν τοῦ πολέμου καιρὸν παρασκευάζεσθε, τί χρήσεσθε ταῖς παρασκευαῖς, οὐκ οἶδα. τί γὰρ πλεῖον ὄφελος ἰσχύος ἀκαίρου, ἧς παντελὲς ἀσθενὲς τὸ ἄχρηστον.

Κῷοι πρὸς ταῦτα.

ΤΟὺς μὲν ἰδίους ἐπιστάμεθα καιρούς, ὅτι μακρόθεν τῆς χρείας προευτρεπίζεσθαι δεῖ. τοὺς δὲ τῶν συμμάχων, οὐ ῥᾴδιον συνιδεῖν, εἰ μὴ πρὸ πολλοῦ τις καταγγέλλοι. τὴν μέντοι παρασκευὴν μὴ νόμιζε ἄχρηστον εἶναι εἰς τὸ βραδύ. κἂν εἰς τὸ παρὸν ἐλλείπῃ. σώζεται γοῦν τοῦτο ἀκραιφνὲς εἰς τὰ μέλλοντα.

Βροῦτος καυνίοις.

ΑΙ μὲν κατ' ὄψιν ὑπουργίαι τῶν κῴων, κολακείας καὶ φόβου τὸ πλέον μεμοίρανται. τὸ δὲ προθύμως εἰς ἃ ἂν ἐπιστέλλωμεν ὑπακούειν, πολλὴν ἐνδείκνυται βεβαιότητα. καὶ ὑμεῖς οὖν ὑπὲρ ὧν ἐγράψαμεν διασκέψασθε. πότερον ὑμῶν καὶ τὰς ἄλλας ὑπουργίας δι' ἀνάγκην ἀποίσας ἢ δι' εὔνοιαν χρὴ δέχεσθαι. πίστις γὰρ αὐτάρκης τῆς βεβαιότητος ἀεὶ φανεῖται, τὸ διηνεκὲς ὑμῶν εἰς τὰς χρείας ἕτοιμον.

Καύνιοι πρὸς ταῦτα.

ΠΙστις εὐνοίας, οὐ τὸ συνεχῶς ὑπουργεῖν. τοῦτο γὰρ μόνης ἰσχύος ἔργον. ἀλλὰ τὸ μὴ ὀκνεῖν, ἐν οἷς ἄν τις δυνατὸς ᾖ καιροῖς. ἡμεῖς δ' εἰ ἐμέλλομεν ἐκ τῶν ἐλλειμμάτων τὴν παλαιὰν σπουδὴν ἀπιστεῖσθαι, μάτην ἂν ἡγησαίμεθα καὶ τὰ πρότερα μεμοχθηκέναι. οὐδὲ γὰρ εἰκὸς τότε ἡμᾶς πεπλάσθαι τὴν πρὸς σὲ φιλίαν. ἣν φόβος μὲν καὶ ἀποῦσαν πάντως ἂν ἐκολάκευσε. κολακεία δὲ καὶ παροῦσαν ἂν διεψεύσατο.

Δαμᾷ Βροῦτος.

ΟΠλων καὶ χρημάτων χρεία. ἢ πέμπε, ἢ ἀπόφαινε.

Δαμᾶς Βρούτῳ.

ΕΥπορούντων ἔργον, τὸ πέμψαι, πενομένων δὲ, τὸ ἀποφαίνεσθαι.

Βροῦτος κυζικηνοῖς.

ΤΑ ἀπὸ βιθυνίας ὅπλα παραπέμψατε μέχρις ἑλλησπόντου, ἢ κατὰ γῆν ἐπιθέμενοι, ἢ κατὰ θάλατταν. αἰσθήσεσθε δὲ ἂν αὐτοὶ, τὸ ῥᾷστον αὐτῶν κομιδῆς. εἰ μέντοι βραδύτερον ἢ δεῖ, ἡμῖν ἔλθοι, ὡς ἂν εἰ καὶ παραφθαρείη, ἢ καὶ ὑπὸ πολεμίοις γένηται, ὑφ' ὑμῶν ἀδικεῖσθαι δοξόμεθα.

Κυζικηνοὶ Βρύτῳ.

ΠΑραπέμψαι τὰ ὅπλα, καὶ κατὰ γῆν, διὰ τοὺς πολεμίους, καὶ κατὰ θάλατταν διὰ τοὺς χειμῶνας, χαλεπόν. μάλιστα σοῦ τὰ ἐναντιώτατα συνάψαντος, τάχος καὶ ἀσφάλειαν. ὅμως δὲ σπουδῆς οὐδεμιᾶς λελείψομεθα, ἐὰν τὰ ἐκ τῆς τύχης συμβησόμενα, μὴ τοῖς ἀόκνως ὑπηρετήσασι προστεθῇ.

Κυζικηνοῖς Βροῦτος.

ΕΚομίσθη τὰ ὅπλα, καὶ εἰς ὃν ἐβουλόμεθα καιρόν. τῆς οὖν λειτουργίας ταύτης ἐνδέοντι γενομένης, ἀντιδίδομεν ὑμῖν τὴν Προικόννησον, σὺν ταῖς ἐν αὐτῇ λιτουργίαις.

Κυζικηνοὶ Βρύτῳ.

ΟΥτι κέρδους ἐλπίδι ἐσπουδάσαμεν ὀξεῖς εἶναι, οὔτε εἰς τὰ λοιπὰ ὀκνηρότεροι ἐμέλλομεν ἕξειν, ἐπαινεθέντες ἀμισθί. ὅμως ἀξιούμενοι δωρεᾶς, ἡδόμεθα τῇ σῇ μαρτυρίᾳ πλέον, ἢ ταῖς Προικοννησίων λατομίαις.

Κυζικηνοῖς Βροῦτος.

ΟΙ πρέσβεις ὑμῶν συνέτυχόν μοι ἀπιόντι ἐπὶ τὸν πόλεμον. καὶ παραιτεῖσθαι τῆς συμμαχίας ἱκέτευον, ἀσθένειαν αἰτιώμενοι, καὶ τὸ ἀπορεῖν τὰ κοινά. δίκαιον μὲν οὖν ἦν, πλησίον ἤδη τῆς χρείας οὕτως ἐπειγούσης, καὶ εἰ πρότερον οὐκ ἔδοτε. κἂν νῦν ἐπιπέμψαι. πλέον γὰρ ἂν ἐτίμα τὴν λειτουργίαν ὑμῶν ὁ καιρός. ἐπεὶ δὲ ἐοίκατε τὰ χείρω τοῦ πολέμου προλαβεῖν ἐλπίδι, τῇ μὲν ἀσθενείᾳ ὑμῶν, ἣν αἰτιᾶσθε, ἥδομαι. τοὐναντίον γὰρ ἠχθέσθην ἄν, ἀκούων ἰσχύειν ὑμᾶς κακοὺς ὄντας. τοὺς δὲ ἄνδρας ὑμῶν, συμμάχους μὲν οὐκέτι, ὑπουργοὺς δὲ καὶ ἄκοντας ἕξω. λέληθε δὲ ὑμᾶς οὐδαμῶς, ὡς δεινὸν τῆς ἐκ τοῦ πολέμου μετασχεῖν νίκης, εἰ γένοιτο, τοὺς τὸ ἐφ' ἑαυτοῖς, εἰς πᾶσαν ἡμᾶς ἀσθένειαν προδόντας.

Κυζικηνοὶ Βρύτῳ.

ΤΟ σπουδαῖον ἡμῶν, οὐκ ἐξ ὧν πολλάκις ὑπουργήσαμεν μόνον, ἀλλὰ καὶ ταῖς παρὰ σοῦ δωρεαῖς μαρτυρηθὲν, ἐδόκει πιστεύεσθαι. ἐπεὶ δὲ τοῖς κατὰ προαίρεσιν οὐχ ἅπαντες ὁμονοοῦσιν, οἱ καιροί, τί δεῖ μέρος ἔχθρας ἀριθμῆσαι, τὴν ποτὲ ἀσθένειαν. πᾶν γὰρ αὖ τοὐναντίον, μιᾶς ὑποληπτίον μεγαλοψυχίας, τὸ πολυωρεῖν τοὺς ὀρθῶς διακονήσαντας. καὶ συγγνώμην ὑποτιμήσει χαρίζεσθαι. σὺ δὲ καὶ προσεφήδεσθαι τῆς ἀδυναμίας ἔφης ἡμῶν. ὥσπερ οὐχὶ σοὶ ἐλλείπειν μέλλοντος, ὅσον ἂν ἡμῖν ἐνδέῃ. τοὺς μὲν οὖν ἄνδρας, εἴτε συμμάχους, εἴτε ὑπουργοὺς θέλεις, οὐ διοισόμεθα γὰρ περὶ τῶν ὀνομάτων, ἄπαγε. ἡμεῖς δὲ εἰ ἀπεγνώκειμεν σου τὰς εἰς τὸν πόλεμον ἐλπίδας, οὐκ ἂν ἐθεραπεύομεν αὐτὰς ἐπιπρεσβευόμενοι. νῦν δὲ τὰ βέλτιστα εὐχόμενοι περὶ σοῦ καὶ νὴ Δία προσδοκῶντες, εἰ καὶ τῶν ἐπινικίων ἀπελαθησόμεθα ὡς ἐχθροί, τῆς γοῦν χαρᾶς μεθέξομεν ὡς φίλοι.

Cyziceni Bruto.

ARma tranſmittere, per terram, propter inſidias hoſtium, per mare propter tempeſtates, arduum eſt & difficile: Præſertim verò cùm tu duo maximè diſſidentia coniunxeris, celeritatem & ſecuritatem. Attamen nullum ſtudium diligentiámve prætermittemus, ſi fortunæ euētus, rem impigrè facientibus, adiungatur.

Cizicenis Brutus.

ALlata ſunt arma, & eo tempore, quo maximè voluimus. Cùm igitur hanc operam ritè præſtiteritis. vobis Præconeſum, vnà cum fodinis metallorum quæ ſunt in ea rependimus.

Cyziceni Bruto.

NEque ſpe lucri ſummam in mittendo properationem adhibuimus, neque ſegniores ad reliqua fuiſſemus, etiam ſine precio, ſaltem laudari. Attamen tanto munere ornati, plus gaudemus tuo teſtimonio, quàm Præconeſiorum fodinis.

Cyzicenis Brutus.

LEgati veſtri, me accinctum & diſcedentem ad bellum conuenerunt. Et ſuppliciter militiæ vacationem & auxilij petierunt, cauſſáſque infirmitatem & quod Respub. laboraret inopia, protulerunt. Iuſtum igitur erat, cùm res tam propè imminens vrgeret, etiamſi priùs non præbuiſſetis: tamen hoc tempore mittere. Plùs enim dignitatis ipſo tempore ad officium veſtrum acceſſiſſet. Quoniam verò peiorem de belli euentu ſpem antè concepiſſe videmini de veſtra quidem imbecillitate quam prætenditis, lætor. Nam ſi vos cum mali ſitis, viribus audirem pollere, contrà dolerem. Ciuibus autem veſtris non ampliùs vt ſociis: verùm vt miniſtris etiam refragantibus vtar. Neque falſos vos habuit, indignum eſſe, vt ij belli victoriæque: ſi contingeret: participes fierent, qui quantum in ipſis fuerat, in omnem imbecillitatem & roboris deſtitutionem nos coniecissent.

Cyziceni Bruto.

NOſtrum erga te ſtudium, nō ſolùm obſequiis, quæ multa, in te conſtant, verùm etiam tuorum numerum teſtificatione comprobatum, videbatur iam ratum & conſtans haberi. Quoniam verò non omnia tempora cum voluntate conueniunt, quid in odio & inimicitia ponendum eſt, ſi viribus aliquando caruimus. Sed contrà, eiuſdem eſt virtutis ac magnificentiæ putandum & cùm aliqui benè inſeruierint, eos non deſpicere, & negligentiæ nonnunquam concedere. Tu verò noſtram debilitatem tibi gaudio dicis eſſe: quoniã tibi non defuturum eſt, cuius nos indigemus. Viros autem ſiue ſocios ſiue miniſtros vis appellare. Non enim de vocabulis laboramus, accipe. Nos verò ſi tuam in gerendis bellis virtutem & fortunam deſperaſſemus, non medius fidius harum ſpem legationibus nos fouеremus. Nunc autem de te non ſolùm beneprecamur, ſed per Deum immortalem ſperamus etiam, & quamuis à victoriæ præmiis vt hoſtes, abigemur, aut lætitiæ tanquam amici non expertes erimus.

Smyrnenſi-

Smyrnenſibus Brutus.

SVbditorum in obſequendo alacritas. ſi continuata ſit & diuturna ſtabilem firmámq; beneuolentiam erga principes declarat, omiſſa verò neglectáque tum etiam cùm ſtrenuè & libentibus animis eſt inſeruitum, id magis ob imbecillitatem propriá quàm ex ſententia factum eſſe coarguit. Quare curã adhibere, vt, quæcunque vobis ad bellum imperaui, perficiatis: quoniam ſi iam rebelles & inobedientes videbimini, teſtimonium etiam illud, quod antè conſecuti eſtis, amittetis. Non enim iiſdem rebus ornatos videri decet, qui non omni tempore ſibi conſtantes inueniuntur.

Smyrnenſium reſponſio.

VOta quidem facere licet, vt poſſis continenter. Verùm tempus aliquando fert, vt par eſſe nequeas. Miniſteria verò non ſolùm eorum qui iubentur, infirmitas, verùm etiam mãdatorum crebritas & multitudo perſæpe impedit & retardat. Nos autem ſi olim metu & timore commoti ad obeunda munera fuiſſemus ne iam quidem recuſare & renuere auderemus. Sed longè quàm videtur alia res eſt. Tunc enim propenſus erat & proclinis animus. Iam verò impotentia in crimine ponitur. Turpe eſt igitur ſi potiùs intermiſſione in repræhenſionem incurrent officia, quàm intermiſſio propter officia boni conſuletur.

Brutus Myrenſibus.

XAntij capti ſubactique miſericordiam noſtrã ſupplices implorauerunt. Verùm erat indignum, vt qui ſpe bellique conſortes fuiſſent, ij detrimentum & calamitatem effugerent, & qui victoriæ fructum affectaſſent, ſimili ad dolorem infortunio atque fruſtratione vterentur. Qua de cauſſa, dignam his perniciem ſuppliciúmque irrogauimus, aliíſque denunciamus, niſi confeſtim nos admiſerint & receperint, nulli clementiorem noſtram ſententiam fore, quàm in illorum calamitate & clade fuerit.

Myrenſium ad hæc reſponſio.

XAnthij quidem indigni erant, qui ſalutem non impetrarent, quam forſitan, ſi penes illos victoria ſtetiſſet, aduerſariis & hoſtibus tribuiſſent. Quemadmodum enim vincendi ſpes æqualiter vtrámque partem ad ineundum bellum inſtigat. ſic etiam victoriam miſeriæ & ærumnæ, communiter miſericordiam ex ipſa humanitate, prouocant & eliciunt. Et apud reliquos fauoris & beneuolentiæ cõciliatricẽ ipſam benignitatem eſſe ſcito. Nã truculentiæ minæque etiam in domeſticis & priuatis rebus odium pariunt. In cauſſa eſt deſperatio, quæ naſcitur ex metu. Spes verò diſſidentes etiam animis ad concordiam firmámque amicitiam lenitate quadam reuocat & adducit.

Brutus Myrenſibus.

AVxiliares veſtræ copiæ, parta iam victoria, ſuperuenerunt. Et quidem ſatiùs eſt tardè ſeróque quàm omnino non veniſſe: verùm quod ad auxilium belli pertinet, eodem modo eſtis inutiles. Nam cunctatio in bellis, perinde inanis reputatur éſtque ac ſi prorſus nihil fieret.

Myrenſium ad hæc reſponſio.

GRatulamur equidem tibi, quòd citiùs quàm noſter excercitus licèt ſumma

Σμυρναίοις Βροῦτος.

ΤΟ πρόθυμον τῆς ὑπηκόου διάθεσιν μὲν ὄν, βεβαιότητα δηλοῖ πρὸς τοὺς ἡγεμόνας. ἐλλειπὸν δὲ, καὶ τὸν ὅτι ἑτοίμως ὑπούργει χρόνον, δι' ἀσθένειαν ἐλέγχεται τὴν ἑαυτοῦ μᾶλλον, ἢ γνώμην ὑπουργεῖν. σπουδάσατε οὖν ἐκπληρῶσαι, ὅσα ὑμῖν ἐπέστειλα πρὸς τὸν πόλεμον. ὡς εἰ νῦν καὶ πρόσθεν φανεῖσθε, μὴ δι' ἣν πρόσθεν ἐποιεῖσθε μαρτυρίαν, ἐποιούμεθα. οὐ γὰρ χρὴ δικαίως ἔξειν τὰ ἴσα, μὴ ὁμοίως ἀεὶ φανέντας.

Σμυρναῖοι πρὸς ταῦτα.

ΕΥχῆς ἔργον, τὸ δύνασθαι διαπράττειν. κυρίου δὲ, τὸ ἐνίοτε μὴ ἀρκεῖν. τὰς δ' ὑπουργίας, οὐ μόνον αἱ ἀσθένειαι τῶν κελευσθέντων, ἀλλὰ καὶ ἡ συνέχεια τῶν ἐπιζητῶν ἐλλιπεῖς ποιεῖ ἡμᾶς. ἢ εἰ πάλαι διὰ φόβον ἐλειτουργοῦμεν, οὐδ' ἂν νῦν ἐτολμῶμεν ἀρνεῖσθαι. ἀλλὰ πᾶν τοὐναντίον ἢ δοκεῖ συμβέβηκεν. ἐσπούδασε μὲν γὰρ ἡ γνώμη τότε. ὑποτιμᾶται δὲ νῦν ἡ ἀσθένεια. ὥστε ἄτοπον εἰ τοῖς ἐλλείμμασιν, αἱ ὑπουργίαι διαβληθήσονται μᾶλλον, ἢ ταῖς ὑπουργίαις παρηγορηθήσεται τὸ ἐλλεῖπον.

Βροῦτος Μυρεῦσιν.

ΞΑνθιοι ἁλόντες, ἐλεεῖσθαι ὑφ' ἡμῶν ἱκέτευον. ἦν δὲ οἶμαι χαλεπὸν, τοὺς τῆς ἐλπίδος τοῦ πολέμου κεκοινωνηκότας, φεύγειν τὰ πάθη. καὶ τὴν ἐκ τῆς νίκης ἡδονὴν θηρωμένους, ἴσον χρῆσθαι τῇ διαμαρτίᾳ πρὸς τὸ ἄλυπον. καὶ τούτοις οὖν, ἐπιτηδείους παντελοῦς ἀπωλείας ἐθέμεθα, καὶ τοῖς ἄλλοις ἀποκηρύττομεν εἰ μὴ δεξιῶς ἡμᾶς δέχοιντο, μηδενὶ τὴν ἡμετέραν γνώμην ἐπιξενώσασι, τῆς ἐκείνων τύχης ἔσεσθαι.

Μυρεῖς πρὸς ταῦτα.

ΟΤι δὲ Ξάνθιοι μὲν ἴδιοι σωτηρίας ἀποτυχεῖν, οὓς τάχα ἂν καὶ αὐτοὶ μετέδωκαν τοῖς ἐναντίοις εἰ ἐκράτησαν. ὡς γὰρ ἡ τοῦ νικᾶν ἴσον τοὺς πολεμοῦντας ἐλπὶς διαιρεῖ, οὕτω καὶ τὸ τῆς ἥττης πάθος, εἰς κοινὸν ἔλεον ἔρχεται διὰ τὸ ἀνθρώπινον. καὶ πρὸς τοὺς λοιποὺς δὲ ἐπισπαστικὴν εὐνοίας ἴσθι τὴν χρηστότητα. ἀπειλὴ μὲν γὰρ, ἔχθραν ποιεῖ, καὶ πρὸς τὰ οἰκεῖα, διὰ τὴν ἐκ τῶν φόβων ἀπόγνωσιν. ἐλπὶς δὲ καὶ τοὺς διαφόρους εἰς εὔνοιαν πίστις εὐμενῶν ἤθει προσάγεται.

Βροῦτος Μυρεῦσι.

Η Συμμαχία ὑμῶν ἥκει, ἤδη νενικηκόσιν ἡμῖν. τοῦ μὲν οὖν μηδόλως, τὸ βράδιον ἀφικέσθαι ἄμεινον. πρὸς μέντοι τὴν τοῦ πολέμου ὑπουργίαν, ὁμοίως ἐστὲ ἄχρηστοι. ἡ γὰρ ἐν πολέμῳ βραδυτὴς, ἴσον ἔχει τῷ μηδόλως γινομένῳ τὸ ἄπρακτον.

Μυρεῖς πρὸς ταῦτα.

ΣΥνήχθη μέν σοι τὸν πόλεμον νικήσαντι θᾶττον, ἢ τὴν παρ' ἡμῶν συμμαχίαν, καίπερ μάλα

σπουδῆς ἐκπεμφθεῖσαν, παραγγελθῆναι. πρὸς μέντοι τὴν εὔνοιαν οὐδ᾽ ἡμεῖς ἄπρακτοι ἤλθομεν. οὐδὲ γὰρ ἴσον τῷ μηδόλως κινηθῆναι, τὸ κἂν πρὸς ὑστερήσῃ, πρὸς τὰ λοιπὰ ἕτοιμον.

cum feſtinatione miſſus aduenerit, bellum victoriámque confeceris. Verùm ad beneuolentiam non prorſus inutiles ne nos quidem venimus. Non enim perinde eſt ac ſi planè non mouearis, quamuis in vna re non ſucceſſerit, at in reliquis promptitudinem oſtendere ac conſpicienda præbere.

Βροῦτος Μιλησίοις.

ΟΥτε χρημάτων πένεσθαι πόλει συγγνωστόν, ἐκ πολλοῦ γὰρ ὀφείλει φυλάττεσθαι τὸ ἄπορον. τὸ δὲ ἐν τοσούτῳ πλήθει, μὴ δι᾽ ἄνδρας ὑμᾶς ἔχειν γενναίως ἀγωνιουμένους, παντελῶς ἐστὶν οὐ τύχης ἐνδεεῖς, ἀλλὰ τῆς σωτηρίου γνώμης ἐλεγχόμενοι. εἰ δὲ μήτε τὰ εἰς ἀρετὴν ἀσκεῖτε, μήτε ὅσα πρὸς ἰσχὺν παρασκευάζεσθε, ἀδίκως ἐστὲ πόλις λεγόμενοι.

Brutus Mileſiis.

NOn eſt in ciuitate ferendum, vt pecuniis egeat. Paupertatis enim longè antè cautio & proſpectio eſſe debet. Quod autem in tanta multitudine, non reperiuntur viri, qui ſe fortiter in pugnam periculúmque offerant, id verò non ſolùm fortunam, ſed etiam ſalutarem iuſtámque ſententiam abeſſe, iudicio eſt. Sin verò, neque virtutem colitis, neque quæ requiruntur ad robur, comparatis, iniuria ciuitatis nomine venire vos ſcitote.

Μιλήσιοι πρὸς ταῦτα.

ΚΑὶ χρημάτων, καὶ στρατιωτῶν ἐνδεῖν αἰσχρόν, οὐ τοῖς μὲν ἐν ἰδίᾳ καθεστῶσι χρείᾳ. πολὺ δὲ μᾶλλον τοῖς εἰ καὶ οἴκοθεν εὐποροῦσιν, διὰ γοῦν τὸ μὴ ἐπαρκεῖν, ἄλλων προσδεομένοις. ἡμεῖς δὲ, καὶ γνώμης ἕνεκα, καὶ τῆς εἰς τὸ δεῦρο τύχης, ἀρκοῦμεν πόλις εἶναι μέχρι τοῦ, εἰ καὶ μὴ ἑτέροις ἐπαρκεῖν, ἀλλ᾽ οὖν μηδὲ τῶν πέλας χρῄζειν.

Mileſiorum ad hæc reſponſio.

ET opibus & pugnatoribus carere turpe eſt & ignominioſum, non quidem ijs, quibus priuatim non eſt opus, verùm iis potiùs, qui quamuis domi affluunt, tamen quoniam nihil ſatis eſt, aliena concupiſcunt. Nos autem & animorum cauſſa, & fortunæ in hoc vſque tempus, ciuitatis nomen tueri ſatis poſſumus, donec licet non aliis ſuppeditamus, at ne alienis quidem indigemus.

Βροῦτος Μιλησίοις.

ΕΙ μὲν ἔστιν ὑμῖν ὅπλα ἐν κοινῷ, μὴ χρώμενοι τούτοις, ἁμαρτάνετε. μία γὰρ ἰσχὺς ὅπλων, τὸ χρῆσθαι. εἰ δὲ καὶ τῆς κατασκευῆς αὐτῶν ἀμελεῖτε, μεμφθέντες ἂν εἰ καὶ ἔχοντες μὴ ἐχρῆσθε, πόσῳ μεμπτότεροι μὴ δὲ ἔχοντες.

Brutus Mileſiis.

SI vobis in Repub. ſunt arma repoſita peccatis, qui non hæc in vſum proferatis. Vnum enim hoc eſt armorum robur, vti. Sin in his parandis fabricandíſque negligentiores eſtis, cùm ſi poſſidentes non vteremini, id ignominiam afferret, quantò eſt ignominioſius omnino non habere?

Μιλήσιοι πρὸς ταῦτα.

ΟΥ τὰ ὅπλα ἰσχὺς ἀνδρῶν, ἀλλὰ τῶν ὅπλων οἱ ἄνδρες. ἐκεῖνα μὲν γὰρ δίχα τῶνδε, ἄπρακτα. οἱ δὲ, καὶ πορίσαι αὐτά, καὶ χρήσασθαι αὐτοῖς δύνανται. οὔτε οὖν ἄπεστιν ὅπλα ἐν δέει τοῖς πορίσαι αὐτὰ δυναμένοις, οὔτε χρήσιμα τυγχάνει τοῖς κἂν ἔχωσι, χρῆσθαι μὴ δυναμένοις.

Mileſiorum ad hæc reſponſio.

NOn arma viris, ſed armis viri robur vímque addunt. Nam illa ſiue his, nihil operis efficiũt. Hi verò non ſolùm illa parare, ſed etiam ad vſum adhibere poſſunt. Neque igitur ſi deſunt arma, magnopere his egent, quibus ea parandi facultas eſt, neque ſunt vtilia quamuis poſſidentibus, ſi ea tractare pro ratione nequeant.

Βροῦτος Τραλλιανοῖς.

ΕΙ μὲν ἐν τῇ ὑμετέρᾳ στρατοπεδεύειν Δολοβέλλαν ἀνεχόμενοι, οἴεσθε μηδὲν ἀδικεῖν με, οὐκ ὀρθῶς φρονεῖτε. εἰ δὲ νομίζετε ὧν ἂν τοὺς πολεμίους ἀφελώμεθα, τούτων ὑμῖν ὡς ὄντων οἰκείων παραχωρήσειν, αὐτίκα πλανᾶσθαί μοι δοκεῖτε. ἢ εἴργετε οὖν αὐτὸν τῆς σφετέρας, ἢ ὅλως μὴ δ᾽ ὑφ᾽ ἡμῶν ἀδικεῖσθαι φάσκετε, ὧν ἂν ἔχειν αὐτοὶ Δολοβέλλαν ἀφελόμενοι, ἀλλὰ μὴ ὑμῖν παραχωρεῖν ἀξιῶμεν.

Brutus Trallianis.

SI quod in veſtra regione Dolobellam ponere caſtra patimini, nihil in eo putatis iniuriarum inferre mihi non rectè ſentitis: ſin à quibus hoſtes etiam abſtraximus, horum conſuetudinem & amicitiam vobis permiſſuros arbitramini, rurſus errare mihi videmini. Quare aut à veſtris eum finibus repellite, aut nullam iniuriam à nobis accepiſſe quibus ereptum & ademptum Dolobellam nos tenere potiùs, quàm vobis permittere voluerimus.

Τραλλιανοὶ πρὸς ταῦτα.

ΚΑὶ Δολοβέλλας ἐν τῇ ἡμετέρᾳ στρατοπεδεύει, καὶ πᾶς ὁ μετ᾽ ἐκεῖνον βιαζόμενος, ἴστω μὴ ἕξων αὐτὴν δορύκτητον. οὐ γὰρ εἰ στρατηγὸν ῥωμαίων σύμμαχοι ὄντες, μὴ διείργομεν τῆς ἑαυτῶν, ἤδη καὶ τοῖς πρὸς ἐκεῖνον διαφερομένοις, ἆθλον αὐτὴν πολέμου κατηγγείλαμεν. ἀλλ᾽ ὅς ἂν ἀκόντων ἡμῶν εἰς βιάζηται, δείξομεν ἔργῳ. καὶ Δολοβέλλᾳ μὴ ἂν ἄλλως, εἰ μὴ ἑκόντων στρατοπεδεύεσθαι.

Trallianorum ad hæc reſponſio.

ET in noſtra terra Dolobella caſtra metatur, & omnis qui poſt hunc vel vi egerit, non facilè ſat ſcias illam peruiam captámque aget. Non enim ſi ducem Romanorum pro iure ſocietatis, non à noſtris finibus prohibemus, idcirco ſtatim eius hoſtibus & aduerſariis eam præmium belli & mercedem promulgamus. Verùm quicunque nobis inuitis per vim inuadere conabitur, opere réque planum faciemus, non ſecus quàm concedentibus nobis Dolobellam caſtra metari.

Brutus

Brutus Trallianis.

ET antea vobis per literas ſignificaui, peccare vos, qui Dolobellam in veſtris oris caſtra metari permittatis: & nūc ſcitote ſiquaſi de ꝓpria poſſeſſione illi ceditis, neq; ſi à vobis vindicati fueritis, de quibus illi vt alieni ceſſiſtis, ea nobis vt propria cōceſſum iri. Sin illi tàquam amico poteſtatem in veſtra regiooe caſtra metandi facitis cùm belli fortunam ſimul experiri cum illo ceperitis, oeque nobis inuitos inimicos & hoſtes fore.

Trallianorum ad hæc reſponſio.

DE Dolobella certiorem antea quoque te fecimus. Et iam ſcias, neque illum in ſua regione caſtra locare. noſtra eſt enim: Neque ſi quis à tuis hāc eripiat, nos paſſuros, vt nobis inuitis teneat, quoniā quæ ſunt à nobis permiſſa, violaret. Sin videmur belli communionem ſocietatémque cum illo ſuſcepiſſe, ſatiùs eſt iniuriarum autoribus reluctari, quàm homine ſocio reiecto repulsóſque volentes Romanis hoſtes videri.

Brutus iiſdem.

ALlatum eſt ad me, Menodorum ciuem veſtrū, hoſpitij iure & amicitiæ cum Dolobella noſtro hoſte coniunctum & antea vobis, ne caſtra metari illum in veſtra regione prohiberetis, perſuaſiſſe, & ounc vt tum ipſum, tum ipſius excercitum vrbe recipiatis, efficere conari. Ego verò nihil profuturum Dolobellæ, etiamſi hæc aliáque facere à Menodoro adducamini, aut ſi quis alius perſuaſerit: ooo ignoro. Neque verò Menodorum amicitia, hoſpitiúmque Dolobellæ iuuabit. At verò non vt aliquos puniam ſpectans, ſingulorum criminibus aduigilandum cenſeo, verùm ne quid pœna dignum perpetrare aut committere cogamini. Atque nunc iubeo Menedorum vt in exitium pellatis, priuati emolumenti cauſſa: ſi quidem illi patriam vendere commodo bonóque fuit. Dolobellam verò non ſolùm intra muros non recipere, verùm etiam ex terra depellere: ſin vim obiiciat, propulſare: ſin in his non mihi morem geſſeritis, non à Menodoro vos ad hæc patranda adductos fuiſſe putabo, ſed vos vltrò ac voluntarios occaſionem Menodoro obtuliſſe.

Trallianorum ad hæc reſponſio.

NOn Menodorus, vt Dolobellam & excercitum eius in vrbē reciperemus nos impulit: quemadmodum nec antea, vt caſtra metari pateremur, autor aut ſuaſor nobis extitit. Sed neq; cùm hæc facta ſint putamus nos occaſionem tam ſalubris, & vtilis conſilij Menodoro dediſſe videri. Citius enim ſocietatem quæ nobis cum Romanis eſt fatebimur, quàm tu noſtris hoſpitium Dolobellæ exprobres: Quibus etiam ſi mutua conſpiratio conſenſúſque nullo commodo fuerit, at certè magni eſt, coostans & fide fundata cooſcientia. Armis autem & exilio nihil ad rem opus eſt. Menodorus enim vnà cum Dolobella diſceſſit, non hercle quòd proditionis patriæ ſit reus factus: ſed oon iniuſtè ſe ſtatim ab initio facturum putans,

Βροῦτος Τραλλιανοῖς.

ΚΑὶ πρότερον ὑμῖν ἐπέστειλα, ὅτι ἁμαρτάνετε, Δολοβέλλαν ἐν τῇ ὑμετέρᾳ στρατοπεδεύειν περιορῶντες. καὶ τὸ παρὸν ἴστε. εἰ μὲν ὡς οἰκείας αὐτῷ παραχωρεῖτε, οὐδ᾽ ἂν εἰ πρὸς ἡμῶν ἀφαιρεθείη τι, ὧν ἐκείνῳ ὡς ἀλλοτρίων ἐξέστητε, ἡμῖν ὡς ἰδίαν ἀντιποιησόμενοι. εἰ δὲ ὡς φίλῳ ἐν τῇ ὑμετέρᾳ στρατοπεδεύειν δίδοτε, κοινωνεῖν αὐτῷ τῆς τοῦ πολέμου τύχης ἀρξάμενοι, οὐδὲ ἡμῖν ἀκούσιοι πολέμιοι φανεῖσθε.

Τραλλιανοὶ πρὸς ταῦτα.

ΕΔηλώσαμέν σοι καὶ πρότερον περὶ Δολοβέλλα. καὶ νῦν ἴσθι, ὅτι οὔτε ἐν ἰδίᾳ στρατοπεδεύει γῇ. ἔστι γὰρ ἡμετέρα. οὔτε εἴ τις αὐτὴν ἀφέλοιτο ἄλλος, συγχωρήσομεν ἀκόντων ἔχειν. ὅτι τὰ παρ᾽ ἡμῶν ἐπιτραπέντα βιάσαιτο. εἰ δὲ δοκοῦμεν τῆς ἐπὶ τοῦ πολέμου τύχης αὐτῷ κοινωνεῖν, αἱρετώτερον ἄρχουσι χειρῶν ἀντιπαρατάξαι, ἢ σύμμαχον ἄνδρα ἐξείργοντας ἀκουσίως Ῥωμαίοις ἐχθροὺς φανῆναι.

Βροῦτος τοῖς αὐτοῖς.

ΗΓγέλθη μοι Μηνόδωρον ὑμέτερον πολίτην, ξένον καὶ φίλον Δολοβέλλα τοῦ ἡμετέρου πολεμίου, καὶ πρότερον ὑμᾶς μὴ εἴργειν αὐτὸν ἐν τῇ ὑμετέρᾳ στρατοπεδεύειν πεῖσαι. καὶ νῦν ὅπως καὶ αὐτὸν, καὶ τὴν στρατιὰν αὐτοῦ, τῇ πόλει δέξησθε συμβουλεύειν. ἐγὼ δὲ ὡς μὲν οὐδὲν ὀνήσει Δολοβέλλαν, εἰ καὶ ταῦτα, καὶ ἔτι πλείω προσαχθείητέ τι τούτων ποιῆσαι ὑπὸ Μηνοδώρου, ἢ καὶ εἴ τις ἄλλος πείσειεν, οὐκ ἀγνοῶ, οὐδὲ μὴν οὔτε Μηνόδωρον, ἡ Δολοβέλλα φιλία καὶ ξενία. οὐ μὴν, ἀλλ᾽ οὐχ ὅπως κολάσαιμί τινας σκοπῶν, ἐφεδρεύειν οἴομαι τοῖς ἑνὸς ἑκάστου ἁμαρτήμασιν. ἵνα μηδένα μηδὲν κολάσεως ἄξιον ἁμαρτεῖν ἀναγκασθῆτε. καὶ νῦν κελεύω ὑμᾶς Μηνόδωρον φυγαδεῦσαι τῆς πατρίδος, τοῦ ἰδίου λυσιτελοῦς ἕνεκα. εἰ δὴ λυσιτελεῖν ἔμελλεν αὐτῷ τὴν πατρίδα πωλοῦντι. Δολοβέλλαν δὲ, μήτε τῇ πόλει δέξασθαι, τῆς τε γῆς ἐξελάσαι. βιαζόμενον δὲ, ὅπλοις ἀμύνεσθαι. ἢ ἀπειθοῦντας, οὐχ ὑπὸ Μηνοδώρου, ταῦθ᾽ ὑμᾶς εἴποιμι προσαχθέντας πεισθῆναι, ἀλλ᾽ αὐτοὺς Μηνοδώρῳ ταύτην ἀφορμὴν δοῦναι ἐθελοντάς.

Τραλλιανοὶ πρὸς ταῦτα.

ΟΥ Μηνόδωρος ὑποδέξασθαι τῇ πόλει Δολοβέλλαν, καὶ τὴν στρατιὰν αὐτοῦ, προσηνάγκαζεν ἡμᾶς, ὥσπερ οὐδὲ πάλαι στρατοπεδεύοντα περιορᾶν ἔπεισεν. ἀλλ᾽ οὐδὲ εἰ ταῦτα ἐπέπρακτο, ἠξιώσαμεν δοκεῖν αὐτῷ Μηνοδώρῳ, τοιαύτης εὐβουλίας ἀφορμὴν παρεσχῆσθαι. τάχιον γὰρ τὴν πρὸς Ῥωμαίους ὁμολογήσομεν συμμαχίαν, ἡμᾶς ἢ σὺ τοῖς παρ᾽ ἡμῶν τὴν Δολοβέλλα ξενίαν ἐπιβαλεῖς. οἷς εἰ καὶ μηδὲν ὡς λόγος ὄφελος οἴσεται ἡ πρὸς ἀλλήλους ὁμόνοια, μέγα γοῦν περιγίνεται τὸ ἐκ τῆς πίστεως συνειδέναι. ὅπλων μέντοι καὶ φυγαδείας, οὐδέν τι τοῖς πράγμασι προσδεῖ. Μηνόδωρος γὰρ συναπῆρε Δολοβέλλᾳ. μὰ δί᾽ οὐχ ὡς προδώσων τὴν πατρίδα κεκωλυμένος, ἀλλὰ τὴν ἀρχὴν οὐδὲ νομίζων ἀδικημα

τὸν φίλον συγκατασκευάσασθαι τὰ ἐπιτήδεια. σὺ δ᾽ εἰ καλὸν ὑπολαμβάνεις, ὥσπερ καὶ ἔστι καλὸν, τὸ μὴ περιμένειν ποτὲ ἁμαρτάνοντας ἀμύνεσθαι, πολλῷ μᾶλλον οἰήθητι δεῖν μὴ προεξανίστασθαι τὴν διαβολὴν, ἀλλ᾽ ἐπὶ τοῦ συμβησομένου τὴν κρίσιν τηρεῖν. ἐπεὶ δόξεις, οὐκ ἐφ᾽ οἷς ἂν μέμφῃ τοὺς πέλας, δυσμενῶς διατεθεῖσθαι. πρὸς οὓς δ᾽ ἂν ἔχθραν ἔχῃς, αἰτίας τούτοις ἐπιφέρειν.

Βροῦτος τοῖς αὐτοῖς.

Χρήματα ὅσα Δολοβέλλας κατέθετο παρὰ Μηνοδώρῳ τῷ ἑαυτοῦ ξένῳ, εἴ τέ τινας ἄλλας παρακαταθήκας παρὰ τῶν τέκνων αὐτοῦ κομισάμενοι, τῶν διαδεξαμένων αὐτοῦ τὴν οὐσίαν μετὰ τὴν ἐκείνου φυγὴν, ἀναπέμψατε πρός με. εἰ δέ γε μὴ ἔστι φατὲ, αὐτοὺς τοὺς ἄνδρας πανοικὶ, μετὰ τέκνων, καὶ γυναικῶν. οὐ γὰρ ἂν δίκαιον εἴη τοῖς τῶν ἐμῶν πολεμίων φίλοις καὶ ξένοις, περαιτέρω τοῦ μηδὲν αὐτοὺς παθεῖν, λυσιτελῆσαι τὴν ἡμετέραν ἐπιείκειαν.

Τραλλιανοὶ πρὸς ταῦτα.

Οὔτε Δολοβέλλαν ἐν τοῖς δαπανηροτάτοις τοῦ πολέμου καιροῖς, ἀποθήσασθαι εἴσω παρακαταθήκας εἰκὸς, οὔτε Μητρόδωρον ἀπαλλαττόμενον ἐκ τῆς πατρίδος, οἷόν τε καταλιπεῖν οἴκοι, τὰ τῆς φυγῆς ἐφόδια. τὸ μέντοι γε ἀναπέμπειν πρὸς σὲ, ἢ τὰ μὴ ὄντα χρήματα, ἢ τοὺς ἀναιτίους ἀνθρώπους τῇ μὲν, ἀδύνατον. τῇ δὲ, ἄδικον. οὐ γὰρ ἄξιον τοῖς ἡμετέροις πολίταις διὰ τοὺς σοὺς πολεμίους, μέχρι συμφορᾶς ἀλυσιτελῆσαι τὴν παρ᾽ ἡμῶν ἐὰν πειθώμεθα προσδοσίαν.

Βροῦτος Βιθυνοῖς.

Μηδενὶ δοκείτω χαλεπὸν, εἰ πολλὰ εἰσπραττόμεθα, πολλῶν δεόμενοι. τούτων γὰρ ἡμεῖς ἔργα ἀποδίδομεν. εἰ δὲ τὸ τῶν εἰσφορῶν πλῆθος βαρύνεσθε, μεμνῆσθαι χρὴ πόσοι πόνοι σὺν τοῖς διδομένοις ὑφ᾽ ὑμῶν ἀναλίσκονται. παντὶ γὰρ δῆλον, ὡς τοῦ παρασκευαζομένου, ὁ ταῖς παρασκευαῖς τοῦ πολέμου χρώμενος, πλεῖον κάμνει. ἄλλως τε καὶ ὑμῶν μὲν τῆς οἰκείας φροντίδος ἑκάστου. ἡμῖν δὲ τῆς ἁπάντων προνοεῖν ἀνάγκη.

Βιθυνοὶ πρὸς ταῦτα.

Οὐχ ὅσων δεῖσθαι σοι συμβέβηκεν ἤδη καὶ ἡμῖν τοσούτων εὐπορεῖν περίεστι. γνοίης δ᾽ ἂν δι᾽ ὅσων ἀθροίζεται τὰ παρασκευαζόμενα καμάτων, ἐξ ὧν αὐτὸς ἀναλίσκων αὐτὰ κοπιᾷς. καίτοι τὸ μὲν ὑπὲρ ἄλλων συνεισφέρειν μετὰ πόνου, καὶ ἀλυσιτελὲς φαίνεται. τὸ δὲ ταῖς ἑτέρων παρασκευαῖς χρῆσθαι μετ᾽ ὠφελείας, ἐστὶ ῥᾷστον. εἰ δὲ ὑπὲρ πολλῶν φὴς κακοπαθεῖν, καὶ ἀπὸ πλειόνων σοι ποριστέον. οὐ γὰρ οἷόν τε ἡμᾶς δυνάσθαι τοὺς περὶ μόνων ἑαυτῶν φροντίζοντας, ταῖς ὑπὲρ ἁπάντων φοραῖς ἐξαρκεῖν.

Βροῦτος τοῖς αὐτοῖς.

Ἀκύλαν τὸν ἐμὸν φίλον ἔπεμψα πρὸς ὑμᾶς παρασκευάζοντά μοι ναῦς στρογγύλας πεντήκοντα, καὶ μακρὰς διακοσίας. τοσαύτας δὲ πυνθάνομαι καὶ Δολοβέλλᾳ ὑμᾶς παρεσχῆσθαι. ὀρθῶς ἂν ποιήσετε, ναύτας καὶ ἐρέτας εἰς ταῦτα τὰ πλοῖα, ἄχρις ἂν

ſi amicum in comparandis rebus neceſſariis adiuuaret: Tu verò ſi putas egregium & laudabile eſſe quemadmodum eſt, non differre pœnam & vltionem, donec vis tibi & iniuria fiat, multò magis id cogita non eſſe nimis maturè rem aggrediendam, ob calumnias hominum, ſed de euentu quod ſit futurum iudicium, conſiderandũ. Nõ enim quibus de cauſſis quibuſuis crimẽ intendis, his te prouocatũ de ad offenſionem odiúmque, ſed erga quos odium geris, his te crimina putabunt intendere.

Brutus iiſdem.

Omnes pecunias, quotquot Dolobella apud Hermodorum hoſpitem ſuum aut etiam ſi quid aliud depoſitum reliquit, adempta filijs eius, qui facultates poſt fugam eius poſſederunt, ad mittenda curate. Sin horum nihil ſupereſſe dicitis, omnes viros totius familiæ, cum liberis & vxoribus. Non enim iuſtum foret, meorum hoſtium amicis & hoſpitibus, non ſolùm nihil detrimenti, ſed etiam emolumenti plurimum mea benignitate accedere.

Trallianorum ad hæc reſponſio.

Neque Dolobellam iis temporibus quæ maximos & ampliſſimos ſumptus ad bellum poſtularent, depoſitum alibi reliquiſſe veritati conſentaneum eſt, neque Metrodorum eſt veriſimile, viaticis & leuaminibus exilij domi relictis, è patria diſceſſiſſe. Remittere igitur ad te vel pecunias quæ nullæ ſunt, vel homines innocentes, partim eſt contra naturam & fieri non poteſt, partim eſt iniurioſum & contra leges. Non enim eſt pulchrum, vt noſtris ciuibus, propter tuos hoſtes vſque ad extremam etiam calamitatem officiat & obſit, noſtra, ſi obſecundemus, deditio.

Brutus Bithynis.

Nemini videatur intolerandum, quòd magnā pecuniam impetramus, cùm plurimis opus habeamus. Pro his enim nos remipſam reponimus. ſin vobis exactionum multitudo moleſta & grauis eſt, meminiſſe debetis, quot labores præter datas pecunias exhauriẽdi vobis ſint. Manifeſtũ enim eſt omnibus quouis apparante multò plus eum laborare, qui rebus apparatis vtitur: præſertim verò cùm vnuſquiſque veſtrûm ſui duntaxat ipſius curam gerat, nobis verò pro omnibus curandum prouidendúmque ſit.

Bithynorum ad hæc reſponſio.

Non quantum tibi nunc opus eſt, tantum nobis etiam præbere ſuppetit. Facile verò iudices quanto labore nobis conſtent, quæ tanto negotio tu vix impendis & erogas. Verùm pro aliis cum moleſtia contribuere, damnoſum apparet. At aliorum apparatibus vti cum vtilitate, faciliùs eſt. Si tibi pro multis curam moleſtiáſque perferendas affirmas, à pluribus etiam erat exigendum. Non enim fieri poteſt, vt nos qui de ſolis nobis ſolliciti ſumus, pro omnibus ac vniuerſis tributa conferamus.

Brutus iiſdem.

Aquilam amicum meum ad vos miſi, vt quinquaginta mihi turbinatas naues pararet, & lõgas ducentas. Totidem enim à vobis Dolobellæ datas præſtitáſq; audio. Rectè igitur gratúmq; mihi feceritis. Si nautas atq; remiges in has naues donec

ad me

ad me peruehantur, Aquilæ dederitis: & his quatuor menſium commeatum. Nam quod ad ligna pertinet, quæ requiruntur ad nauium confectionẽ ac fabricationem tũ etiã harum in mare deductionem, & opifices, ſat ſcio, nihil per incuriam negligetis, eum neque Dolobellæ prætermiſeritis.

Bithynorum ad hæc reſponſio.

NOn ſi quid per vim & rapinas aliquid abſtulit Dolobella, iam illud à nobis tu facilè potes impetrare. Cùm igitur illi centum & quinquaginta naues, quippe cùm plures non haberemus, præbere coacti ſimus, quomodo fieri poſſit, vt pares numero tibi nunc ad inopiam redacti queamus conficere, maximè verò cum remigibus, lignis, & fabricatoribus, quæ vel ſemel inſtituere, difficilè eſt, bis aut etiã impoſſibile. Commeatũ enim ne Dolobella quidem (quoniam tametſi iuſſiſſet, tamen præſtare non potuiſſemus) imperauit. Quare veniam nobis da, ſi tibi denegamus, quæ illi præbere & parata dare nequiuimus.

Brutus iiſdem.

Aquilas ad me literas miſit, quibus maximam veſtram ſegnitiem & tarditatem in parandis inſtruendiſque nauibus reprehendit. Ego contra lenitatem in illo ac nimiam clementiam accuſo qui literis mihi perſuadeat, quas de vobis ſine intermiſſione frequentéſque mittit, cùm opus magis ſit quàm nauibus, etiam legationis ei ſint aduerſariæ pertimeſcendæ. Fieri enim non poteſt vt ſine his illæ comparentur, & ad finem opus perducatur. Vos autem libenter admonuerim, & nunc & poſtea me inuiti & repugnantes, ſed vltrò libentéſque tum ad hæc tum ad alia ſimiliter mihi veſtram operam opémq; accõmodetis, & potiùs eſſe libẽter inſeruire, quàm inuitum. Ex præſentibus enim, de illis quoq; coniectura ſumi poteſt.

Bythinorum ad hæc reſponſio.

AQuilas non magis accuſator negligentiæ noſtræ, quàm teſtis imbecillitatis apparet eſſe. Quod ſi igitur reuera nos ſocordes & incurios cognouiſſet, non vtique, cum ei liceret vim adhibere ſegnitiæ, tibi per literas certiorem facere conſtituiſſet. præſertim verò cum nos legationem nullam contra miniſtrum ad eum à quo miſſus eſſet, ſuſcipere auderemus: Nunc autem Aquilas quidem fieri rem non poſſe non ignorat. Tu vero dum arbitraris minando re inopiam ſoluere, iniuſtè ſimul & inutiliter indignaris. Neque enim ſpes neque metus rem efficit, ſed ipſum poſſe & facultas.

Bithynis Brutus.

QVi nobis inuiti dolentéſq; ſeruiũt, nõ id quod ſubminiſtrare renuunt, in lucro habent. Hoc enim illis optandum eſſet: ſed gratiam, quoq; quàm ob hæc eis deberemus, amittunt. Proinde naues quemadmodum iuſſimus parate, eáſque cum remigibus & commeatu debito, mittite: aut cogemini non equidem dolere & damnum ob hæc accipere: ſed, quam gratiam relinquemus horum videre.

Bithynorum ad hæc reſponſio.

QVi vim adhibent obſequi non valentibus, nullum mandati fructum percipiunt: dulce etenim foret, nõ ſuueniunt, irẽ nunis adigũt: ſed id dãni faciũt, quod moroſitatis opinionẽ incurrũt. Cõcedet

εἰς ἐμὲ ἀνακομισθῇ. παρέχοντες τῷ ἀκύλᾳ καὶ σιτηρέσιον τούτοις μηνῶν τεσσάρων. τὰ γὰρ εἰς τὴν ναυπηγίαν δεόντων ξύλων, καὶ τῆς τούτων παρακομιδῆς ἐπὶ θάλασσαν, καὶ τεχνιτῶν, οἶδα, ὅτι οὐδὲν ἀμελήσοντε, μηδὲ δολοβέλλᾳ ἐλλείποντες.

Βιθυνοὶ πρὸς ταῦτα.

ΟΥκ εἴ τι δολοβέλλας ἔφθασεν ἁρπάσας, τοῦτο ἤδη καὶ σοὶ λαβεῖν εὔπορον καταλέλοιπεν. οἱ γὰρ ἐκείνῳ πεντήκοντα καὶ ἑκατὸν ναῦς, ὡς οὐ πλείονας δυνάμενοι παρέχειν βιασθέντες, πῶς ἡμεῖς τι αὖ εὑρήσομεν σοὶ τὰς ἴσας ἐξ ἀπόρου ναυπηγῆσαι, καὶ μάλιστα σὺν ἐρέταις καὶ ξύλοις καὶ ναυπηγοῖς, ἃ καὶ ἅπαξ ἐκπορίσαι χαλεπὸν, δὶς δὲ καὶ ἀδύνατον. σιτηρέσιον μὲν γὰρ οὐδὲ δολοβέλλας ἡμῖν, ὅτι μὴ δ' εἶχε κελεύων παρέχειν ἀδυνατοῦσιν, ἐπέταξε. συγγνωσθείη ἡμῖν καὶ πρὸς σὲ ἀρνουμένοις, τοῖς καὶ πρὸς ἐκεῖνον ὑπουργῆσαι μὴ δυνηθεῖσιν.

Βροῦτος τοῖς αὐτοῖς.

ΕΓραψέ μοι ἀκύλας, πολλήν τινα ὑμῖν ῥαθυμίαν ἐλέγχεσθαι, τῆς εἰς τὰ πλοῖα ὑπουργίας. ἐγὼ δὲ ἐκεῖνον σφόδρα ἐμεμψάμην τῆς ἀνεξικακίας, πειθόμενον ἐπιστολαῖς μοι ταῖς καθ' ἡμῶν, ἃς καθ' ἕκαστα πέμπειν οἴεται, δέον μᾶλλον ἢ νεῶν, καὶ εἰ σὺν ταῖς κατ' αὐτοῦ πρεσβείαις δέοι. οὐ γὰρ οἷόν τε δίχα τούτων ἐκείνας κατασκευάσασθαι. ὑμᾶς δὲ ὑπομνῆσαι μὲν ἂν ἡδέως, καὶ νῦν, καὶ ἔπειτα, τὸ μὴ ἄκοντας ἡμῖν, ἀλλ' ἑκόντας, καὶ εἰς ταῦτα καὶ εἰς τὰ ἄλλα πάντα ὁμοίως συναγωνίζεσθαι. καὶ ὅτι τοῦ ἄκοντας ὑπηρετεῖν, ἄμεινόν ἐστι τὸ ἑκόντας. ἐκ τῶν παρόντων γὰρ, καὶ περὶ ἐκείνων ῥᾴδιον τεκμήρασθαι.

Βιθυνοὶ πρὸς ταῦτα.

ΑΚύλας οὐ κατήγορος ἡμῶν τῆς ὀλιγωρίας μᾶλλον, ἢ μάρτυς φαίνεται τῆς ἀσθενείας. εἰ γοῦν ἀμελοῦντας ἀληθῶς ἐγίγνωσκεν, οὐκ ἂν παρὸν βιάσασθαι τῆς ὀλιγωρίας, περὶ αὐτῆς σοι ἐπέστελλεν. ἄλλως τε μὴ δὲ ἡμῶν πρεσβεύεσθαι μελλόντων, κατὰ τοῦ διακονοῦντος πρὸς τὸν πέμψαντα. νυνὶ δὲ ἀκύλας μὲν συνοῖδε τὸ τῆς χρείας ἀδύνατον. σὺ δὲ δι' ἀπειλῆς λύσειν νομίζων τὸ ἄπορον, ἀδίκως ἅμα καὶ ἀνωφελῶς χαλεπαίνεις. οὔτε γὰρ ἐλπὶς οὔτε φόβος χρείας αἴτιον, ἀλλὰ τὸ δύνασθαι.

Βιθυνοῖς βροῦτος.

ΟΙ ἄκοντες ἡμῖν ὑπηρετοῦντες, οὐχ ἃ μὴ βούλονται παρέχειν κερδαίνουσι. ἀγαπητὸν γὰρ ἦν αὐτοῖς τοῦτο. ἀλλὰ τὴν ἐπ' ἐκείνοις χάριν, ἥτις ἂν αὐτοῖς ὠφείλετο ὑφ' ἡμῶν, ἀποβάλλουσι. κατασκευάσαντες οὖν τὰς ναῦς, ὥσπερ ἔφθην ἐπεσταλμένην σὺν ταῖς ἐρέταις, καὶ τῷ ὀφειλομένῳ σιτηρεσίῳ, πέμψατε, ἢ ἀναγκασθήσεσθε οὐκ ἐπὶ τούτοις ἄχθεσθαι, ἀλλ' ἣν ἀπολείπομεν χάριν ἡμῖν εἰδέναι.

Βιθυνοὶ πρὸς ταῦτα.

ΟΙ βιαζόμενοι τοὺς ὑπουργεῖν μὴ ἰσχύοντας, οὐχ ἃ προστάττουσιν, ὠφελοῦνται. ἡδὺ γὰρ ἂν ἦν μὴ γενέσθαι χρείας, καὶ οἱ ἐν ἀπειλῇ. ἀλλὰ τὸ δοκεῖν μὴ εὐγνώμονες εἶναι ζημιοῦνται. εἴξουσι

γὰρ τῇ ἀνάγκῃ πρὸς τὸ ἄπορον· καὶ εἰ μὴ διὰ φιλανθρωπίαν τῇ ἐν ἐνδείᾳ συνέγνωσαν. ἡμεῖς μὲν οὖν τάχιον ἂν διαπορήσαιμεν, καὶ ὑπὲρ ἰσχὺν ἢ ἀρνησόμεθα χορηγεῖν ἔχοντες. σὺ δὲ, εἰ πλεῖον οἴει πορίσειν ἀφ᾽ ἡμῶν διὰ βίας, ἴσθι μὴ ὧν ἂν παραλίπῃς, ἀλλ᾽ ὧν ἂν χρήσασθαι δυνηθῇς χάριν ἡμᾶς παρέξειν.

Βροῦτος τοῖς αὐτοῖς.

ΤΑ πλοῖα εἰσὶ πάντα, ὅσων μοι ἔδει ἐν θαλάσσῃ ἔχω, παρασχόντων μοι Μακεδόνων, καὶ Λεσβίων, καὶ Φοινίκων. ὑμεῖς μὲν οὖν ἐπεὶ παρὰ τοὺς χειμῶνας αἰφνιδίως ἐπιπεσόντας ὑστερήσατε, τριακόσιά μοι τάλαντα εἰς τὸ ἐπιβατικὸν αὐτῶν συγκομίσατε. νομίζω γὰρ εἰς μηδὲν ὑμῖν τούτων, αἴτιον τὸν χειμῶνα γεγονέναι. ἐθελησάντων δὲ ὑμῶν, ἐνοχλῆσαι.

Βιθυνοὶ πρὸς ταῦτα.

Ο Μὲν χειμὼν διεκώλυσε τὴν ναυτικὴν ἡμῶν συμμαχίαν. ἡ δὲ ναυτικὴ παρασκευὴ, ἐξανάλωσε τὰ χρήματα. ὥστε ὑμᾶς εἰ καὶ μὴ σοὶ, ἀλλ᾽ οὖν αὐτοῖς γε δαπανηρῶς μεμοχθηκέναι. τὸ οὖν χρείας ὑπ᾽ ἄλλων πεπληρωμένης, αἰτούμεθα συγγνώμην βραδυνάντες μὲν διὰ τύχην. ἀπορηθέντες δὲ διὰ τὸ ἀνάλωμα. οὐ γὰρ δυνατὸν ἡμῖν τὰς ναῦς ποιῆσαι χρήματα, ὡς ἐκ τῶν χρημάτων ναῦς.

Βροῦτος τοῖς αὐτοῖς.

ΑΙ βουλαὶ ὑμῶν ὀλίγωροι· αἱ ὑπουργίαι βραδεῖαι τί τὸ τέλος τούτων, ἐννοεῖσθε.

Βιθυνοὶ πρὸς ταῦτα.

ΒΟυλεύεσθαι μὲν ὀκνηρῶς, ἀσφάλεια. ὑπουργεῖν δὲ βραδέως, ἀσθένεια. τούτων ἀμφοτέρων ἓν τέλος, συγγνώμη.

Τέλος τῶν Βρούτου ἐπιστολῶν.

enim neceſſitati, quàm inopia ſecum trahit: etiamſi non humanitate ducti paupertati veniam dederint. Nos igitur citius annitemur, etiam vt ſupra vires efficiamus, quàm vt cùm poſſumus obſequi recuſemus. Tu verò ſi plus à nobis vi putas extorqueri poſſe: perſuaſum habeas, te non pro neglectis ac deſertis: ſed pro his, quorum eſt aliquis vſus & vtilitas, gratiam nobis præſtiturum.

Brutus iiſdem.

EGo naues omnes, quotquot indigebam, beneficio. Macedonum & Lesbiorum & Phœnicum in mari promptas & paratas habeo. Vos igitur quoniam à tempeſtatibus repentinis impediti ac retardati eſtis, trecenta mihi talenta ad harum ſupplementum conferte. Nam arbitror nihil harum procellarum ac turbinum ſæuitia niſi quid vobis volentibus perturbatum fuerit.

Bithynorum ad hæc reſponſio.

TEmpeſtas quidem nauale auxilium noſtrum impediuit. Nauium autem apparatus, omnes pecunias abſumpſit & deuorauit: ſic vt quanquam non tibi, at certè nobis magnis impenſis ille labor conſtiterit. Quare cùm ab aliis ſubuentum ſit & impletum officium, veniam poſcimus: moram quidem afferente fortuna, egeſtatem verò ſumptibus. Non enim in noſtra manu poſitum eſt, vt ex nauibus pecuniam faciamus: quemadmodum ex pecunia naues.

Brutus iiſdem.

COnſilia veſtra negligentiæ, miniſteria tarditatis plena ſunt. Quem igitur hæc finem ſint habitura, cum animis veſtris conſiderate.

Bithynorum ad hæc reſponſio.

TArdis quidem & timidis conſultationibus ſecuritas: obſequiis verò ſeris imbecillitas ineſt. Horum vtrorumque finis eſt vnus, venia & indulgentia.

Finis epiſtolarum Bruti.

ΕΠΙΣΤΟΛΑΙ ΑΠΟΛΛΩΝΙΟΥ ΤΟΥ ΤΥΑΝΕΩΣ.

EPISTOLAE APOLLONII TYANENSIS.

APOLLONIVS EVPHRATÆ.

Ἀπολλώνιος Εὐφράτῃ.

ΕΜοὶ πρὸς φιλοσόφους ἐστὶ φιλία. πρὸς μέντοι σοφιστὰς, ἢ γραμματιστὰς, ἤ τι τοιοῦτο γένος ἕτερον, ἀνθρώπων κακοδαιμόνων, οὔτε νῦν ἐστὶ φιλία, μήτε ὕστερόν ποτε γένοιτο.

Apollonius Euphratæ.

EGo quidem philoſophis amicus ſum, cum ſophiſtis verò Grammatiſtis, & ſi quod eſt aliud genus eiuſmodi miſerorum & infœlicium hominum, neque nunc intercedit amicitia, neque in poſterum vnquam futura eſt.

Alterum-

Alterum igitur nihil ad te niſi tu quoque vnus es ex horum numero. Alterum verò totum ad te. Moderare tuis affectibus, & in ſapientiæ ſtudium incumbe, neque verò ſapientes atque philoſophos inuidia proſequere. Quoniam & ſenectus iam & mors proximè tibi imminent.

Eidem.

VIrtus conſiſtit in natura, doctrina, poſſeſſione & vſu: propter quam ſingula prædicta laudē merentur, Conſiderandum itaque numqnid horū teneas, aut abſtinendum in poſterum à Sophiſtia aut vtendum ea fruſtrà in congreſſu & conuentu hominum. Si quidem iam etiam tibi Megabyzi.

Eidem.

GEntes inter Italiam poſitas, à Syria profectus adiiſti, videndumque, in regis diplis, vt vocantur, te præbuiſti. Præter verò Pallium tibi & barbā candidam promiſſamque nihil erat & quo tandem pacto iam per mare reuerteris, ducéſque nauem oneratam argento auro, varia ſuppellectile, diuerſis veſtimentis, & ornatu reliquo, faſtu videlicet & ſuperbia, itémque infœlicitate. Quod illud agendum onus eſt, aut quis ille modus nouæ mercaturæ. Nam Zeno bellariorum mercator erat.

Eidem.

PAucis indigent tui liberi, ſi Philoſopho nati ſunt. Non igitur erat laborandum tanto ſtudio vt plus quàm ſatis eſt accederet: præſertim cùm id ignominia non careret. Poſtquam verò ſemel factum eſt, proximum fuerit vt propenſiſsimo animo quibuſdam de tuis facultatibus impertias. Habes autem in quam id conferas & patriam & amicos.

Eidem.

EX Epicuri ſermonibus, ille qui de voluptate eſt, non ampliùs habet opus aſſertore vel ex horto, vel ex eius diſciplina profecto. Nam & in ſtoa veriſſimus eſſe confirmatur. Quòd ſi ad reſellendū protuleris lucubrationes & dogmata Chryſippi: ſcriptum eſt etiam eiuſmodi quiddam in regiis literis. Euphrates accepit & rurſus, accepit. At Epicurus non accepiſſet.

Eidem.

INterrogabam diuites quoſdam ecquid explerentur aliquando. Qui reſponderunt Nequaquam. cùm autem cauſſam huius neceſſitatis inquirerem diuitias accuſabant. Te verò miſerum qui recens diues ſis factus.

Eidem.

QVamprimum ad Ægas perueneris, & ibi nauem euacuaris redeundum tibi quamprimum erit in Italiam, & ſimiliter adulari oportebat ægrotantibus, ſenibus anibus, pupillis, diuitibus, ſuperbis, Midis, Getis. Omnis enim rudens vt aiunt mercatori quatiendus eſt. Mihi verò in domo Themidis ſalinum terere detur.

Eidem.

ECquid etiam tu ſcribas: & fortè tam ſis ſtrenuus? Etenim poſſes hæc conſueta referre & prochiria. Apollonius balneum in vniuerſum fugit, neque ex ædibus prodit vnquam, & tamen pedes habet ſaluos, neque conſpicitur vllam partem

πάντα μὲν ὧν ἂν πρὸς σέ, πλὴν εἰ μὴ καὶ σὺ τούτων εἷς. ἐκεῖνο δὲ καὶ πάνυ πρὸς σέ. διάκρινέ σου τὰ πάθη. καὶ πειρῶ φιλόσοφος εἶναι, καὶ μὴ φθονεῖν τοῖς ὄντως φιλοσοφοῦσιν. ἔπεισι καὶ γῆρας ἤδη πλησίον, καὶ θάνατος.

Τῷ αὐτῷ.

ΗΑρετή, φύσει, μαθήσει, κτήσει, χρήσει. δι' ὧν ἕκαστον αὐτῶν τῶν προειρημένων ἀποδοχῆς ἄξιον. σκεπτέον εἶτα σοι τούτων ὁτιοῦν, ἢ σοφιστείας παυστέον λοιπόν, ἢ πρακτικά γε χρηστέον αὐτῇ πρὸς τοὺς ἐντυγχάνοντας. ἐπείπερ ἤδη σοι καὶ τὰ μεγαβύζου.

Τῷ αὐτῷ.

ΕΠῆλθες ἔθνη τὰ μεταξὺ τῆς ἰταλίας, ἀπὸ συρίας ἀρξάμενος, ἐπιδεικνὺς σεαυτόν, ἐν ταῖς τοῦ βασιλέως λεγομέναις διπλαῖς. τρίβων δ' ἦν σοι τότε καὶ πώγων, λευκός, καὶ μέγας. πλέον δ' οὐδέν. εἶτα πῶς διὰ θαλάττης νυνὶ ἐπιστρέφεις. ἄγων φορτίδα μεστὴν ἀργύρου, χρυσοῦ, σκευῶν παντοδαπῶν, ἐσθήτων ποικίλων, κόσμου τοῦ λοιποῦ. τύφου, καὶ ἀλαζονείας, καὶ κακοδαιμονίας. τίς ὁ φόρτος καὶ ὁ τρόπος τῆς καινῆς ἐμπορείας; Ζήνων τραγημάτων ἦν ἔμπορος.

Τῷ αὐτῷ.

ΟΛίγων δεῖ σου τοῖς παισίν, εἰ φιλοσόφου παῖδές εἰσιν. ἔδει μὲν οὖν μηδὲ φροντίσαι πλείοσι γενέσθαι τῆς ἱκανῆς, ἄλλως τε καὶ μετ' ἀδοξίας τινός. ἐπεὶ δὲ ἅπαξ ἐγένετο, δεύτερον ἂν εἴη, μεγάλῃ σπουδῇ νείμασθαι πᾶσιν ἔνια τῶν ὄντων. ἔχεις δὲ καὶ πατρίδα, καὶ φίλους.

Τῷ αὐτῷ.

ΤΩν ἐπικούρου λόγων ὁ περὶ ἡδονῆς, οὐδενὸς ἔτι συνηγόρου δεῖται τῶν ἐκ τοῦ κήπου, καὶ τῆς ἐκείνου διατριβῆς. πέφηνε γὰρ ὤν, καὶ κατὰ τὴν στοὰν ἀληθέστατος. εἰ δὲ ἀντιλέγων προσκομιεῖς τὰς χρυσίππου σχολὰς καὶ δόγματα, γέγραπταί τι καὶ ἐν τοῖς βασιλικοῖς γράμμασιν. ὃ εὐφράτης ἔλαβε, καὶ πάλιν ἔλαβεν. ἐπίκουρος δέ, οὐκ ἂν ἔλαβεν.

Τῷ αὐτῷ.

ΗΡόμην πλουσίους τινὰς εἰ περαίνονται. τί δ' οὐ μέλλομεν ἔφασαν. ἠρόμην οὖν καὶ τὴν αἰτίαν τῆς ἀνάγκης. ᾐτιῶντο τὸν πλοῦτον. σὺ δ' ὦ τάλαν νεόπλουτος.

Τῷ αὐτῷ.

ΕΑν ὅτι τάχος εἰς αἰγὰς ἀφίκῃ, καὶ κενώσῃς ἐκεῖ τὴν ναῦν, ἰτέον ἐστί σοι πάλιν, ὅτι τάχιστα εἰς τὴν ἰταλίαν, καὶ κολακευτέον ὁμοίως νοσοῦντας, γέροντας, γραῦς, ὀρφανούς, πλουσίους, θρυπτομένους, μίδας, γέτας. πάντα φασὶ δεῖν τὸν ἔμπορον κάλων σείειν. ἐμοὶ δ' εἴη τὴν ἁλίαν τρίβειν ἐν θέμιδος οἴκῳ.

Τῷ αὐτῷ.

ΑΡά τι καὶ σὺ γράψαις ἄν. εἰ γὰρ οὕτω γενναῖος. καὶ ἔχοις δ' ἂν εἰπεῖν τὰ συνήθη ταῦτα καὶ πρόχειρα. λουτρὸν ἅπαν ἀπολλώνιος παραιτεῖται. καὶ τῆς οἰκίας οὐδέποτε πρόεισι. καὶ σωζομένους ἔχει τοὺς πόδας. οὐδὲν ὁρᾶται τῶν τοῦ

σώματος κινεῖ. διʼ ὅλου γὰρ τὴν ψυχὴν κινεῖ. κομᾷ τὴν κεφαλήν. καὶ γὰρ ὁ Ἕλλην, ὅτι Ἕλλην, καὶ οὐ βάρβαρος. ἐσθῆτα φορεῖ λινῆν. καὶ τὴν ἱερῶν τὴν καθαρωτάτην. μαντικῇ χρῆται. πλεῖστα γὰρ τὰ ἄδηλα. καὶ ἄλλως ἀμήχανον, προγνῶναί τι τῶν ἐσομένων. ἀλλʼ οὐ πρέπον φιλοσόφῳ τὸ τοιοῦτον, ὃ πρέπει καὶ θεῷ. καὶ σωμάτων δὲ ὀδύνας ἀφαιρεῖ, καὶ πάθη παύει τοῦ τόπου, καὶ πρὸς τὸν Ἀσκληπιὸν κοινὸν τὸ ἔγκλημα ποιεῖται. μόνος, οἱ δὲ λοιποὶ ἐσθίουσι. βραχέα λέγει καὶ ἐπὶ βραχύ. σιγῆσαι γάρ ἐστιν ἀδύνατος. σαρκῶν ἀπέχεται πασῶν. καὶ θηρείων πάντων, διὰ τοῦτο αἰθέριός ἐστιν. εἰ ταῦτα ἐρεῖς Εὐφράτα γεγράφθαι, ἴσως ἐκεῖνο προσθήσεις. εἴπερ ἦν, ἔλαβεν ἂν ἀργύριον, ὡς ἐγὼ δωρεὰς πολιτείας. εἴπερ ἦν, οὐκ ἂν ἔλαβεν, ἀλλὰ τῇ πατρίδι μὲν ἔλαβεν ἄν, ἡ πατρὶς δὲ, ἣ μὴ οἶδεν ὃ ἔχει.

Ἀπολλώνιος Δίωνι.

Αὐλοῖς καὶ λύρᾳ κρεῖττόν ἐστι τέρπειν, ἢ λόγῳ. τὰ μὲν γὰρ ἡδονῆς ὄργανα. καὶ μουσικὴ ὄνομα τῇ τέχνῃ. λόγος δὲ τἀληθὲς εὑρίσκει. τοῦτό σοι πρακτέον. τοῦτο γραπτέον σοί, ῥητέον. ἢν καὶ περὶ τούτου φιλοσοφῇς.

Τῷ αὐτῷ.

Ζητοῦσί τινες τὴν αἰτίαν, διʼ ἣν πέπαυμαι διαλεγόμενος ἐν πολλοῖς. εἰδέτωσαν οὖν οἷς ἂν εἰδέναι μέλῃ τὸ τοιοῦτον. ἀδύνατος ὠφελῆσαι λόγος ἅπας, ὃς ἂν εἷς ὢν, μὴ καὶ πρὸς ἕνα λέγηται. ὁ τοίνυν ἄλλως διαλεγόμενος, δόξης ἥττων ἂν διαλέγοιτʼ ἄν.

Ἀπολλώνιος Καισαρέων προβούλοις.

Πρῶτοι εἰς πάντα, θεῶν ἄνθρωποι δέονται, καὶ περὶ παντός. ἔπειτα πόλεων. τιμητέον γὰρ δεύτερον πόλεις μετὰ θεούς. καὶ τὰ πόλεως προκριτέον παντὶ νοῦν ἔχοντι. εἰ δὲ μὴ πόλις μόνον εἴη, ἀλλὰ καὶ μεγίστη τῆς Παλαιστίνης, ἀρίστη τῶν αὐτόθι, μεγέθει, καὶ νόμοις, καὶ ἐπιτηδεύμασι, καὶ προγόνων κατὰ πόλεμον ἀρεταῖς, ἔτι τοῖς ἤθεσι κατʼ εἰρήνην, καθάπερ ἡ ὑμετέρα πόλις, μάλιστα πασῶν τῶν ἄλλων ἐμοί γε θαυμαστέα, τιμητέα τε, καὶ ἄλλῳ δὲ ὁμοίως παντὶ νοῦν ἔχοντι. τοῦτο μὲν οὖν ἐκ λόγου κοινοῦ τὸ προκριτικὸν ἂν ἢ τὸ κατὰ σύγκρισιν τῶν πολλῶν. ὅταν δὲ καὶ ἄρχῃ πόλις ποτέ τις, πρὸς ἕνα τιμῆς ἄνδρα πόλις οὖσα, καὶ τοῦτον ἑαυτῆς ξένον καὶ ἄποθεν, τί ἂν τούτῳ τῷ ἀνδρὶ πρὸς ἀμοιβὴν ἢ ὑμῖν ἀλλήλοις ποιῶν ἄξιον εἴη. τοῦτο μόνον ἴσως εἰ θεοφιλής τις ἂν τύχοι, διά τινα φύσεως ἐπιτηδειότητα, τὸ εὔχεσθαι τῇ πόλει τὰ ἀγαθά, τυγχάνειν τε τῆς εὐχῆς. ὅπερ ἂν διατελέσαιμι κἀγὼ περὶ τῶν ὑμῶν. ἐπείπερ ἥσθην ἤθεσιν Ἑλληνικοῖς, φαίνουσι τὸ ἴδιον ἀγαθὸν, καὶ διὰ γραμμάτων κοινῶν. Ἀπολλωνίδην δὲ τὸν Ἀφροδισίου, νεανίαν ἐρρωμενεστάτης φύσεως, ἀξίας τε τοῦ ὑμετέρου ὀνόματος, πειράσομαι χρήσιμον ὑμῖν παρασκευάζειν εἰς ἕκαστα μετὰ καὶ τύχης τινὸς ἀγαθῆς.

Σελευκέων τοῖς προβούλοις.

Πόλις, ἥ τις ἂν οὕτω πρός τε θεοὺς ἔχῃ, καὶ ἀνθρώπων πρὸς τοὺς ἀξίους ἀποδοχῆς, αὐτή τε

corporis mouere quoniam ſemper animam mouet, comam in capite nutrit. Græcus enim, Græcus & non Barbarus. Veſtimento lineo induitur & Sacrorum ſanctiſſimam viam ingreſſus, vaticinandi ſcientiam profitetur. Plurima ſunt enim ignota atque latentia, tum etiam difficile eſt, aliquid futurum præſentire. Verùm non decet Philoſophum, quod idem Deum. Et corporum dolores ſanat, & loci infectionem corrigit atque tollit, & commune tributúmque illud in Aſclepium. Solus *σιτεῖται* reliqui autem [illegible]. Pauca loquitur & paucis. Nam tacere non poteſt. A carnibus & feris omnibus abſtinet: & idcirco homo eſt, cùm hæc in ſcriptis dixeris Euphrata, fortitan illud adiicies, Si quid eſſet, acciperet argentum, quemadmodum ego munera cepi in Republica. Si quid eſſet non acciperet: ſed patriæ quidem caperet. Non autem patria quæ quid habeat, non ignorat.

Apollonius Dioni.

Tibiis Lyráque melius eſt oblectare, quàm diſputatione. Nam illa ſunt voluptatis inſtrumenta, & Muſica nomen eſt arti. Diſputatio verò inuenit verum. Hoc tibi faciendum, hoc ſcribendum, hoc dicendum, ſi & in hac philoſopharis.

Eidem.

Requirunt aliqui quid in cauſſa ſit, quamobrem in vulgo & multitudine diſſerere ceſſarim. Sciant igitur, quibus id ſcire curæ eſt. Non enim poteſt vtilitatem aliquam adferre ſermo, qui cùm vnus ſit, non etiam ad vnum habetur. Qui igitur aliter diſſerit, opinione minor & inferior apparet.

Apollonius Cæſarenſium optimatibus.

Primùm ad omnia deorum ope mortales indigent & in omnibus. Deinde ciuitatum. Secundo enim loco poſt deos colendæ ſunt ciuitates. Et ciuitatis commoda præponenda ſunt ab omni ſapienti. Sin verò non ciuitas tantum ſit: ſed etiam maxima Palæſtinæ, atque excellentiſſima in illis locis, magnitudine, legibus, ſtudiis. & maiorum in rebus bellicis virtute, præterea moribus in pace: quemadmodum veſtra ciuitas, maximè quidem ex omnibus mihi cæteris admiranda eſt, colenda, itémque omni recta ratione prædito. Hoc igitur ex communi ſenſu conficitur, etiam comparatione vulgi anteferenda ſit. Quòd ſi ciuitas hæc, vnum aliquem virum cùm ipſa ſit ciuitas, eúmque peregrinum & magno locorum interuallo diſiunctum afficiat honore, quid vel hic homo ſatis dignum ad compenſandum adferre poſſit vel vos inuicem rectè deceat. Hoc fortitan ſolum ſi quis ſit pius & religioſus naturæ quadam dote, vt precetur ciuitati bona, votíque compos fiat. Quod ego quoque de vobis fecero: ſiquidem magnam voluptatem capio ex Græcorum humanitate quæ publicis etiam literis priuatam vniuſcuiúſque virtutem declarat. Apollonidem verò filium Aphroditij, adoleſcentem indole firmiſſima, dignáque veſtro nomine, conabor vtilem vobis ciuem reddere, fauente fortuna.

Seleucenſium optimatibus.

Ciuitas, quæ hoc pacto eſt affecta erga deos, homines laude & memoria dignos, tùm ipſa fœlix

eſt &

& beata: tum aliorum virtutem auget atque illuſtrat. Beneficium igitur inchoare, res eſt neque difficilis, & omnium inter homines præclariſſima. Remunerationem verò atque gratiam non ſolùm facile: ſed prorſus etiam parem rependere, ſupra vires humanas eſt poſitum. Quod enim ordine ſecundũ locum obtinet, id natura primum tenere nunquam poteſt. Itaque dij ſunt inuocandi vt gratiam referant his qui non facultate ſolùm, verùm etiam re atque opere præſtiterunt. Hominum enim nemo tanta conſequi & efficere poteſt. Quòd verò me vobiſcum eſſe cupitis, id quoque veſtræ in me munificentiæ eſt attribuendum, quemadmodum & ego eſſe vobiſcum optarim. Legati veſtri tantò gratiores & honorabiliores, quod etiam ſunt amici. Hieronymus & Zeno.

Eiſdem.

STrato quidem, quicquid ei mortale fuit relinquens in terra deceſſit ex hominibus. Operæpretium eſt igitur, vt nos qui punimur adhuc, nomine quidẽ hîc viuimus curã aliquã de negotiis ac rebus illius ſuſcipiamus. Aliis igitur alia cura meritò iuréque delegatur, nunc aut etiam poſtea: partim vt familiaribus, partim vt amicis tantum hominibus, qui non alio tempore cognoſci poterunt, fuerit ne verum eiuſmodi nomen etiam antea. Ego verò, cùm ſic quoque præ cæteris veſter eſſe velim, filium è Seleucide natum illi Alexandrum, meæ diſciplinæ participem faciam. Omnino verò pecunias etiam largior: qui ampliora do, quàm poſsidere propemodum fas ſit.

Euphratæ.

MVlti ſæpenumerò me rogarunt, quid in cauſſa ſit, quamobrem non in Italiam ſim acceſſitus, aut acceſſitus non venerim, quemadmodũ tu & ſi quis alius. Ego verò de priore quidem nihil reſpondebo, ne fortè me putent aliqui cauſſam ſcire, cùm eam ſcire nihil laborem. De ſecundo verò quid attinet me plura dicere, quàm quod magis vocatum eſſe me quàm veniſſe.

Eidem.

VIrtutem liberam eſſe & extra dominium poſitam, Plato memoriæ prodidit. Sin quis hoc non obſeruat, neque gaudium in eo ſtatuit: ſed & venalem pecuniis ſe præbet, multos ſibi ipſius dominos efficit.

Eidem.

MAgos cenſes appellãdos eſſe, qui è Pythagoræ ſchola demanarunt Philoſophi: ſic etiam, qui ab Orpheo deſcendunt. Ego verò Iouis quoque poſteros Magorum nomine nuncupãdos iudico, ſi modò diuinè iuſtéque ſeſe gerant.

Eidem.

MAgos appellare Deos Perſæ conſueuerunt. Magus igitur adminiſter cultórque deorum, eſt aut qui natura proximè ad diuinitatem accedit. Tu verò non Magus: ſed impius & ſceleroſus.

Eidem.

HEraclitus Phyſicus, inconcinnum eſſe ſecũdum naturam & proportione carere hominẽ affirmauit. Quòd ſi hoc eſt vero conſentaneum, quemadmodum eſt verum obſcurandus deiiciẽdúſque eſt omnis, qui inani gloria floret & extollitur.

εὐδαίμων· καὶ εἰς ἀρετὴν ὠφέλησε τοὺς μαρτυρηθέντας. ἄρξασθαι μὲν οὖν χάριτος οὐ δυσχερές. ἀλλὰ καὶ τὸ ἐν ἀνθρώποις τὸ κάλλιστον. ἀμοιβὴν δὲ οὐ μόνον ῥᾴδιον, ἀλλὰ καὶ παντελῶς ὁμοίαν εὑρεῖν, ἀδύνατον. τὸ γάρ που τῇ τάξει δεύτερον, οὐδέποτε τῇ φύσει πρῶτον. ὥστε θεοὺς ἀνάγκη παρακαλεῖν ὑπὲρ ὑμῶν, ἀμείψασθαι τοὺς οὐ τῇ δυνάμει μόνον, ἀλλὰ καὶ τοῖς ἔργοις κρείττους γενομένους. ἀνθρώπων γὰρ οὐδεὶς, τηλικαῦτα δυνατός. καὶ τὸ ἐθελῆσαι δὲ ἄν με παρ᾽ ὑμῖν γενέσθαι, τῆς ὑμετέρας ἂν εἴη χάριτος καὶ αὐτὸς εἰς ὑμᾶς· ὡς ἔγωγ᾽ ἂν δεξαίμην παρ᾽ ὑμῖν καὶ γεγενῆσθαι, οἱ πρέσβεις ὑμῶν τιμιώτεροι. διότι καὶ φίλοι. ἱερώνυμος καὶ ζήνων.

Τοῖς αὐτοῖς.

ΣΤράτων μὲν οὖν, ἀνθρώπων οἴχεται. πᾶν ὅσον ἦν αὐτῷ θνητὸν, ἐπὶ γῆς καταλιπών. χρὴ δὲ τοὺς ἔτι κολαζομένους ἡμᾶς ἐνθάδε ζῆν ἄλλως λεγομένους, ἔχειν τινὰ τῶν ἐκείνου πραγμάτων ἐπιμέλειαν. ἄλλοις μὲν οὖν ἄλλό τι ἔργον δικαίως γένοιτο. νῦν ἢ καὶ ὕστερον. οἷς μὲν, ὡς οἰκείοις, οἷς δὲ ὡς αὐτὸ μόνον ἀνδράσι φίλοις οὐκ ἐν ἑτέρῳ γνωσθησομένοις χρόνῳ. τούτων εἴπερ ἦν τῶν ὀνομάτων ἀληθές τι καὶ πρόσθεν. ἐγὼ μέντοι, καὶ ταύτῃ βουλόμενος ἐξαιρέτως ὑμέτερος εἶναι, τὸν ἐκ Σελευκίδος υἱὸν αὐτῷ γενόμενον ἀλέξανδρον, καὶ μεταδώσω παιδείας τῆς ἐμῆς· πάντως δὲ ἂν μετέδωκα καὶ χρημάτων ὁ τὰ μείζονα δοὺς, εἴπερ ἔχειν ἦν ἄξιον.

Εὐφράτῃ.

ΠΥνθάνονταί μου πολλοὶ πολλάκις, τίνος ἕνεκεν οὐ μετεπέμφθην εἰς ἰταλίαν, ἢ οὐ μεταπεμφθεὶς, ἀφικόμην. ὥσπερ σὺ καὶ εἴ τις ἕτερος. ἐγὼ δὲ περὶ τοῦ προτέρου μὲν οὐκ ἀποκρινοῦμαι, μὴ καὶ δόξω ποιεῖν εἰδέναι τὴν αἰτίαν· οὐδὲ εἰδέναι μοι μέλει. περὶ δὲ τοῦ δευτέρου. τί ἂν καὶ δεοίμην ἕτερον λέγειν, ἢ ὅτι ἂν μᾶλλον μετεπέμφθην; ἢ ἀφικόμην:

Τῷ αὐτῷ.

ΤΗν ἀρετὴν ἀδέσποτον εἶναι πλάτων ἔφησεν. εἰ δὲ μὴ τιμᾷ τοῦτό τις, καὶ γέγηθεν ἐπ᾽ αὐτῷ, ἀλλὰ καὶ ὤνιος γίνεται χρημάτων, πολλοὺς δεσπότας ἑαυτοῦ ποιεῖ.

Τῷ αὐτῷ.

ΜΑγους οἴει δεῖν ὀνομάζειν τοὺς ἀπὸ πυθαγόρου φιλοσόφους, ὡς δήπου καὶ τοὺς ἀπὸ ὀρφέως. ἐγὼ δὲ, καὶ τοὺς ἀπὸ διὸς, οἶμαι δεῖν ὀνομάζεσθαι μάγους, εἰ μέλλουσιν εἶναι θεῖοί τε καὶ δίκαιοι.

Τῷ αὐτῷ.

ΜΑγους ὀνομάζουσι τοὺς θεοὺς οἱ πέρσαι, μάγος οὖν ὁ θεραπευτὴς τῶν θεῶν, ἢ ὁ τὴν φύσιν θεῖος· σὺ δὲ οὐ Μάγος, ἀλλ᾽ ἄθεος.

Τῷ αὐτῷ.

ΗΡάκλειτος ὁ φυσικὸς, ἄλογον εἶναι κατὰ φύσιν ἔφησε τὸν ἄνθρωπον. εἰ δὲ τοῦτ᾽ ἀληθὲς, ὥσπερ ἐστὶν ἀληθὲς, ἐγκαλυπτέος ἕκαστος ὁ ματαίως ἐνδόξῃ γενόμενος:

Σκοπελιανῷ σοφιστῇ.

Πέντε εἰσὶ σύμπαντες οἱ τοῦ λόγου χαρακτῆρες. ὁ φιλόσοφος. ὁ ἱστορικός. ὁ δικανικός. ὁ ἐπιστολικός. ὁ ὑπομνηματικός. ἐγκειμένων δὲ τῶν γενικῶν χαρακτήρων τῇ τάξει, πάλιν γίνεται πρῶτος μὲν ὁ κατὰ τὴν ἑκάστου δύναμιν, ἢ φύσιν, ἴδιος ὤν. ὁ δεύτερος δὲ ὁ ἐν μιμήσει τοῦ ἀρίστου, τῶν ἐκφύσεως, εἴτις ἐνδεὴς εἴη. τὸ δὲ ἄριστον, δυσδιαίρετόν τε, καὶ δυσεπίκριτον, ὥστε οἰκειότερος ἑκάστῳ, χαρακτὴρ ὁ ἴδιος, ὥσπερ καὶ βεβαιότερος.

Τοῦ αὐτοῦ.

Εἰ σοὶ δύναμις, ἔστιν ὥσπερ ἔστι, καὶ φρόνησις ἂν εἴη σοι κτητέα. καὶ γὰρ εἰ φρόνησις εἴη, δύναμις δὲ ἀπείη, ὁμοίως ἔδει σοι δυνάμεως. δεῖται γὰρ ἀεὶ τὸ ἕτερον τοῦ ἑτέρου, ὥσπερ ὄψις φωτός, καὶ φῶς ὄψεως.

Τοῦ αὐτοῦ.

Βαρβάρων ἀφεκτέον, καὶ οὐκ ἀρκτέον αὐτῶν. οὐ γὰρ θέμις βαρβάρους αὐτοὺς ὄντας εὖ πάσχειν.

Λεσβώνακτι.

Δεῖ πένεσθαι μὲν ὡς ἄνδρα. πλουτεῖν δὲ ὡς ἄνθρωπον.

Κρίτωνι.

Τὸ θειότατον Πυθαγόρας ἰατρικὴν ἔφασκεν. εἰ δὲ ἰατρικὴ τὸ θειότατον, καὶ ψυχῆς ἐπιμελητέον μετὰ σώματος. ἢ τὸ ζῷον οὐκ ἂν ὑγιαίνοι τῷ κρείττονι νοσοῦν.

Ἑλλανοδίκαις, καὶ Ἠλείοις.

Ἀξιοῦτέ με τῷ ἀγῶνι τῶν Ὀλυμπίων παραγενέσθαι, καὶ διὰ τοῦτο ἐπέμψατε πρέσβεις. ἐγὼ δὲ παρεγενόμην ἄν, ἐπὶ σωμάτων θέαν, καὶ ἅμιλλαν, εἰ μὴ τὸν μείζονα τὸν ἀρετῆς ἀγῶνα, καταλείψειν ἔμελλον.

Πελοποννησίοις.

Ὀλύμπια τὸ δεύτερον. καὶ τὸ μὲν πρῶτον ἐγένεσθε πολέμιοι. τὸ δεύτερον δέ, οὐ φίλοι.

Τοῖς ἐν Ὀλυμπίᾳ θεηκόροις.

Θεοὶ θυσιῶν οὐ δέονται. τί οὖν ἄν τις πράττων, χαρίζοιτο αὐτοῖς; φρόνησιν ὡς ἐμοὶ δοκεῖ κτώμενος. ἀνθρώπους τε τοὺς ἀξίους εἰς δύναμιν εὖ ποιῶν. ταῦτα φίλα θεοῖς. ἐκεῖνα δὲ ἀθέων.

Τοῖς ἐν Δελφοῖς ἱερεῦσιν.

Αἵματι βωμοὺς μιαίνουσιν ἱερεῖς. εἶτα θαυμάζουσί τινες πόθεν αἱ πόλεις ἀτυχοῦσιν, ὅταν μεγάλα δυστυχῶσιν. ὢ τῆς ἀμαθίας. Ἡράκλειτος δὲ ἦν σοφός. ἀλλ' οὐδὲ ἐκεῖνος Ἐφεσίοις ἔπεισε, μὴ πηλῷ, πηλὸν καθαίρεσθαι.

Βασιλεῖ Σκυθῶν.

Ζάμολξις, ἀνὴρ ἀγαθὸς ἦν, καὶ φιλόσοφος, εἴγε μαθητὴς Πυθαγόρου ἐγένετο. καὶ εἰ κατ' ἐκεῖνον τὸν χρόνον τοιοῦτος ἦν ὁ Ῥωμαῖος, ἑκὼν ἂν ἐγένετο φίλος. εἰ δὲ ὑπὲρ ἐλευθερίας οἴει δεῖν, ἀγῶνα καὶ πόνον ἔχειν, ἄκουε φιλόσοφος, τουτέστιν ἐλεύθερος.

Νομοθέτῃ.

Αἱ ἑορταὶ νόσων αἴτιαι. τοὺς μὲν γὰρ πόνους ἀνιᾶσι. τὸ ἐμπίπλασθαι δὲ αὔξουσι.

Scopeliano Sophiſtæ.

QVinque ſunt in vniuerſum orationis characteres. Philoſophicus Hiſtoricus, Forenſis, Epiſtolaris, Commentatorius. Cùm igitur generales characteres in ordinem ſunt redacti, rurſus fit primus qui vniuſcuiuſque facultate aut natura, proprius eſt. Secundus verò qui conſiſtit in imitatione optimi eorum, qui in natura inſunt, ſi quis deficiat. Optimum autem inuentu iudicatúque difficilimum eſt. Itaque familiarior vnicuique ſtilus proprius, quemadmodum & firmior.

Eidem.

SI tibi potentia ſuppetit, vt equidem ſuppetit, prudentia quoque eſt acquirenda. Nam ſi prudentiam haberes, deeſſétque potentia, ſimiliter opus tibi foret potentia. Semper enim alterum alterius indiget, perinde ac viſus luminis, luménque viſus.

Eidem.

A Barbaris abſtinendum, nec eſt eis imperandū. Non enim fas eſt, vt Barbari cùm ſint, beneficio iuuentur.

Lesbonacti.

IN paupertate quidem vt virum: In diuitiis verò vt hominem verſari oportet.

Critoni.

MAximè cæleſtem ex omnibus Pythagoras medicinam dicebat. Quòd ſi medendi facultas maximè cœleſtis eſt, animæ cum corpore ſimul habenda ratio eſt: aut animal laborans præſtantiſſima parte, non ſatis valeret.

Hellanodicis & Eleis.

PEtitis à me, vt ad certamen Olympiorum præſto ſim, & eam ob cauſſam legatos miſiſtis. Ego verò venirem equidem ad corporum ſpectaculum & luctam, niſi inſignius certamen virtutis mihi relinquendum eſſet.

Peloponneſiis.

OLympia ſecundò. Atque primo quidem hoſtes fuiſtis: ſecundo autem amici.

Olympiis Theecoris.

DIJ ſacrificiis non opus habent. Quid igitur eſt, quo placati propitiíque fieri poſsint? Mea quidem ea eſt opinio, ſi quis ad conſequendam ſapientiam incumbat, & de hominibus dignis quantū poteſt, bene mereatur. Hæc diis grata ſunt: illa verò ſunt impiorum.

Sacerdotibus Delphicis.

SAnguine ſacerdotes altaria polluunt. Deinde mirantur aliqui, cur infortunatè ciuitates agant, cùm in calamitates & diſcrimina maxima coniiciuntur. O imperitiam. Heraclitus verò ſapiens erat: ſed ne ille quidem Epheſiis perſuaſit, ne luto lutum mundarent.

Regi Scytharum.

ZAmolxis vir bonus erat & philoſophus, ſi quidem diſcipulum Pythagoræ fuiſſe conſtat: & ſi illo tempore talis Romanus fuiſſet, procul dubio, ſua ſponte feciſſet amicitiam. Quòd ſi pro libertate certamen & laborem ſuſtinendum putas, Philoſophus audi, hoc eſt liber.

Nomothetæ.

FEſta morbos pariunt. Labores enim remittūt, & ingurgitationem augent.

Quæſtori-

Quæſtoribus Romanorum.

MAgiſtratum primarium geritis. Quod igitur ſi imperare noſtis, quomodo fit, vt veſtri cauſſa, ciuitates deterius habeant ſin neſcitis, primùm oportebat diſcere, deinde imperare.

Moderatoribus Aſiæ.

QVid prodeſt, agreſtium arborum, quarum damnoſa eſt pullulatio, ramos quidem incidere, radices verò relinquere.

Scribis Epheſiorum.

LApidum in vrbe atque picturarum variarum. Item Peripatorum ac Theatrorum, nullus eſt vſus, niſi mens inſit & lex. Mens autem ac lex, nõ hęc ſed ab his ſunt.

Mileſiis.

LIberi veſtri patribus indigent, iuuenes ſenibus, mulieres viris, viri principibus, principes legibus leges philoſophis, philoſophi diis, dij fide. Ex bonis maioribus eſtis progeniti, præſentia ſpernite, odióque habetote.

Sapientibus qui verſantur in Muſæo.

VEni Argum, in Phocidem, Locridem, Sicyonem & Megaros, atque cum priori tempore diſſerere ſolitus eſſem, ibi deſtiti finémque feci. Quod igitur ſi quis cauſſam rogauerit, ego Muſis aut vobis reſponſum dedero? Barbarus factus ſum, non equidem diuturnus, abſens à Græcia: ſed diuturnus in Græcia præſens.

Heſtiæo.

VIrtus & pecuniæ apud nos magnam habent diuerſitatem & repugnantiam. Nam ſemper alterius diminutione fit acceſſio ad alterum, & auctione deceſſio. Quonam igitur modo fieri poteſt, vt ab eodem vtrũque ſimul poſſideatur, niſi fortè imperitorum & rudium opinione, qui virtutem in diuitiis ac opibus ponunt. Ne permittas vt qui ſunt in eo loco, ſic de nobis hallucinentur atque errent, neque concedas, vt potiùs nos in opulentorũ quàm in Philoſophorũ numero habeãt. Turpiſſimũ eſt enim vos pecuniarum cauſſa peregrinationes ſuſcipere, cùm aliqui, vt ſui memoriam ad poſteros propagarent, ne ſalutarint quidem virtutem.

Corinthio Baſſo.

PRaxiteles Chalcidenſis erat homo furioſus. Is venit aliquando gladio cinctus ad meam ianuã, miſſus à te Philoſopho & Iſthmiorum agonotheta. Cædis autem propoſita dataque merces erat, vxoris tuæ communicatio. Et ſceleſtiſſime Baſſe ego magna multáque beneficia in te collocaui.

Eidem.

SI quis interrogaret Corinthios, quo genere mortis Baſſi pater è viuis diſceſſerit, omnes ciues & inquilini dicent veneno. quo dante, reſpondebunt etiam propinqui: Philoſopho. Et impurus, huius parentis ſecutus, lachrymauit.

Sardianis.

VIrtutis quidem palma vobis nulla eſt. Cuius enim virtutis. Malitiæ verò ſi primas fertis, omnes eodem modo fertis. Quinam hoc de Sardianis loquentur? Qui ſunt Sardis. Nemo enim

Ταμίαις ῥωμαίων.

ΑΡχὴν ἄρχετε πρώτην. εἰ μὲν οὖν ἄρχειν ἐπίστασθε, διὰ τί τὸ παρ' ὑμᾶς χεῖρον ἑαυτῶν αἱ πόλεις ἔχουσιν. εἰ δὲ οὐκ ἐπίστασθε, μαθεῖν ἔδει πρότερον, εἶτα ἄρχειν.

Διοικηταῖς ἀσίας.

ΤΙ ὄφελος ἀγρίων δένδρων φυομένων ἐπὶ βλάβῃ, τοὺς κλάδους κόπτειν, ἐᾶν δὲ τὰς ῥίζας.

Ἐφεσίων γραμματεῦσι.

ΛΙθων ἐν πόλει, καὶ γραφῶν ποικίλων, καὶ περιπάτων, καὶ θεάτρων, οὐδὲν ὄφελος, εἰ μὴ νοῦς ἐνείη καὶ νόμος. νοῦς δὲ καὶ νόμος ἐπέκεινα τούτων ἐστὶν, οὐ ταῦτα.

Μιλησίοις.

ΟΙ παῖδες ὑμῶν, πατέρων δέονται. οἱ νέοι, γερόντων. αἱ γυναῖκες, ἀνδρῶν. οἱ ἄνδρες, ἀρχόντων. οἱ ἄρχοντες, νόμων. οἱ νόμοι, φιλοσόφων. οἱ φιλόσοφοι, θεῶν. οἱ θεοὶ, πίστεως. προγόνων ἀγαθῶν ἐστὶ, τὰ παρόντα μισεῖτε.

Τοῖς ἐν μουσείῳ σοφοῖς.

ΕΓενόμην ἐν ἄργει, καὶ φωκίδι, καὶ ἐν λοκρίδι, καὶ ἐν σικυῶνι, καὶ ἐν μεγάροις, καὶ διαλεγόμενος τοῖς ἔμπροσθεν χρόνοις, ἐπαυσάμην ἐκεῖ. τί οὖν εἴ τις ἔροιτο τὸ αἴτιον, ἐγὼ φράσαιμ' ἂν ὑμῖν τε καὶ μούσαις. ἐβαρβαρώθην, οὐ χρόνιος, ὢν ἀφ' ἑλλάδος, ἀλλὰ χρόνιος ὢν ἐν ἑλλάδι.

Ἑστιαίῳ.

ΑΡετῆς χρήματα, παρ' ἡμῖν, ἀλλήλοις ἐναντιώτατα. μειουμένου γὰρ τοῦ ἑτέρου, αὔξει τὸ ἕτερον. αὐξανόμενον δὲ μειοῖ. πῶς οὖν δυνατὸν ἀμφότερα περὶ τὸν αὐτὸν γενέσθαι. πλὴν εἰ μὴ παρὰ τοῖς ἀνοήτοις λέγω, παρ' οἷς καὶ ὁ πλοῦτος ἀρετή. μὴ δὴ τοσοῦτον ἡμῶν ἀναισθητεῖν, ἐπίτρεπε τοῖς αὐτόθι. μὴ δὲ ἵνα πλουσίους ἡμᾶς ὑπολαμβάνειεν μᾶλλον, ἢ φιλοσόφους. καὶ γὰρ αἴσχιστον ἀποδημεῖν ὑμᾶς διὰ χρήματα δικαίων ἴσως. ἵνα μνήμην ἑαυτῶν καταλίπωσι, μὴ δὲ ἀρετὴν ἀσπασαμένων.

Κορινθίῳ βάσσῳ.

ΗΝ πραξιτέλης χαλκιδεὺς, μαινόμενος ἄνθρωπος. οὗτος ἦλθέ ποτε ξιφήρης ἐπὶ θύρας τὰς ἐμὰς, ὑπὸ σοῦ σταλεὶς τοῦ φιλοσόφου, καὶ ἀγωνοθέτου τῶν ἰσθμίων. τοῦ φόνου δ' ἦν μισθὸς διδόμενος, ἡ τῆς γυναικὸς σοῦ κοινωνία. καὶ μιαρὲ βάσσε, πολλάκις εὐεργέτης ἐγενόμην σου.

Τοῦ αὐτοῦ.

ΕΙ πυνθάνοιτο κορινθίων τίς, πῶς ὁ βάσσου πατὴρ ἀπέθανεν, ἐροῦσιν ἅπαντες ἀστοὶ, καὶ οἱ μέτοικοι, φαρμάκου τινὸς δόντος, ἐροῦσι καὶ οἱ ὅμοροι, τοῦ φιλοσόφου. καὶ ὁ μιαρὸς τῷ πτώματι τοῦ πατρὸς ἑπόμενος ἔκλαιεν.

Τοῖς ἐν σάρδεσιν.

ΑΡετῆς μὲν ὑμῖν πρωτεῖον οὐκ ἔστι. ποίας γὰρ ἀρετῆς. εἰ δὲ κακίας φέρεσθε τὰ πρωτεῖα, πάντες ὑφ' ἓν φέρεσθε. τίνες τοῦτο φήσουσι περὶ τῶν ἐν σάρδεσιν, οἱ ἐν σάρδεσιν. οὐδεὶς γὰρ οὐ-

δεῖ τῶν αὐτόθι φίλος, ὥστ' ἀρνεῖσθαί τι τῶν ἀτόπων δι' εὔνοιαν.

Τοῖς αὐτοῖς.

Αἰσχρὰ καὶ τὰ ὀνόματα τῶν ταγμάτων ὑμῶν, Κοδδαροὶ, Ξυρισίταυροι. ταῦτα τοῖς τέκνοις τίθεσθε τὰ πρῶτα, καὶ δυστυχεῖτε γενέσθαι τούτων ἄξιοι.

Τοῖς αὐτοῖς.

Κοδδαροὶ καὶ Ξυρισίταυροι. τὰς δὲ θυγατέρας ὑμῶν, καὶ τὰς γυναῖκας, πῶς ἂν προσαγορεύοιτε. τῶν γὰρ αὐτῶν ταγμάτων εἰσὶ καὶ αὗται, καὶ θρασύτεραι.

Τοῖς αὐτοῖς.

Οὐδὲ τοὺς οἰκέτας ὑμῶν εὐνοεῖν εἰκός. πρῶτον μὲν ὅτι οἰκέται, εἶθ' ὅτι τῶν ἐναντίων ταγμάτων οἱ πλεῖστοι. κἀκεῖνοι γὰρ ὁμοίως ὑμῖν ἀπὸ γένους.

Πλατωνικοῖς.

Ἐάν τις Ἀπολλωνίῳ χρήματα διδῷ, καὶ ὁ διδοὺς ἄξιος νομίζηται, λήψεται δεόμενος. φιλοσοφίας δὲ μισθὸν, οὐ λήψεται, κἂν δέηται.

Ἐφόροις.

Ἀνδρῶν μὲν, τὸ μὴ ἁμαρτάνειν. γενναίων δὲ, τὸ ἁμαρτάνοντας αἰσθάνεσθαι. Λακεδαιμονίων δὲ, καὶ τὸ διορθοῦσθαι.

Ἀπολλώνιος Μουσωνίῳ.

Βούλομαι παρὰ σὲ ἀφικόμενος, κοινωνῆσαί σοι λόγου καὶ στέγης, ὥστε τι ὀνῆσαί σε, εἴγε μὴ ἀπιστεῖς, ὡς Ἡρακλῆς ποτὲ Θησέα ἐξ ᾅδου ἔλυσε. γράφε τί βούλει. ἔρρωσο.

Μουσώνιος Ἀπολλωνίῳ.

Ὧν μὲν διενοήθης, ἀποκείσεταί σοι ἔπαινος. ἀνὴρ δὲ ὑπομείνας ἀπολογίαν, καὶ ὡς οὐδὲν ἀδικεῖ δείξας, ἑαυτὸν λύει.

Ἀπολλώνιος Μουσωνίῳ.

Σωκράτης ὁ Ἀθηναῖος ὑπὸ τῶν ἑαυτοῦ φίλων λυθῆναι μὴ βουληθεὶς, παρῆλθε μὲν εἰς τὸ δικαστήριον. ἀπέθανε δέ.

Μουσώνιος Ἀπολλωνίῳ.

Σωκράτης ἀπέθανεν, ἐπεὶ μὴ παρεσκεύασεν ἑαυτὸν εἰς ἀπολογίαν. ἐγὼ δὲ ἀπολογήσομαι.

Ἀπολλώνιος Οὐεσπασιανῷ.

Ἐδουλώσω τὴν Ἑλλάδα, ὥς φασι. καὶ πλέον μὲν οἴει ἔχειν Ξέρξου. λέληθας δὲ, ἔλαττον ἔχων Νέρωνος. Νέρων γὰρ ἔχων αὐτὸ παρῃτήσατο.

Τῷ αὐτῷ.

Διαβεβλημένος οὕτω πρὸς Ἕλληνας, ὡς δουλοῦσθαι αὐτοὺς ἐλευθέρους ὄντας, τί ἐμοῦ συνόντος δέῃ.

Τῷ αὐτῷ.

Νέρων τοὺς Ἕλληνας παίζων ἠλευθέρωσε. σὺ δὲ αὐτοὺς σπουδάζων ἐδουλώσω.

Τοῖς οἰησόφοις.

Εἰ λέγει τις εἶναι γνώριμος ἐμὸς, λεγέτω, καὶ μένειν ἔνδον. ἀπέχεσθαι λουτροῦ παντὸς, ζῷα μὴ

tam eſt amicus ibi cuiquam, vt ob beneuolentiam & amorem neget turpitudinem aut ignominiam occultet.

Eiſdem.

IGnominioſa ſunt etiã nomina legionũ veſtrarum Coddari, Xyriſitauri. Hæc liberis primùm imponite, & efficite bonis auibus, vt his digni euadant.

Eiſdem.

COddari & Xyriſitauri. Filias autem veſtras & vxores, quo nomine tandem vocatis. Nam ad eaſdem legiones etiam illæ pertinent, & ſuperant audacia.

Eiſdem.

NE ſeruos quidem vobis bene velle veriſimile eſt. Primò quia ſerui. Deinde quia plurimi ſunt ex contrariis legionibus. Nam illi quoque ab eodem vobiſcum genere ſunt.

Platonicis.

SI quis Apollonio pecunias dederit, & is qui dat habeatur dignus accipiet, cùm opus fuerit. At Philoſophiæ mercedem, non accipiet, ne quidem ſi neceſſitas vſúſque poſtulet.

Ephoris.

VIrorum quidem eſt, non delinquere. Generoſorum verò delictum intelligere. At Lacedæmoniorum etiam corrigere & caſtigare.

Apollonius Muſonio.

CVpio ad te venire, diſſertationéſque & tectum tecum communicare, vt tibi auxilium adferã ſi non diffidis quemadmodum Hercules aliquando Theſeum ex orco eripuit. Scribe quod lubitum erit. Vale.

Muſonius Apollonio.

COnatus tui laudem certiſſimam habebis. At homo, qui defenſionem ſuſcipit, & ab omni iniuria ſeſe rationibus ac argumentis purgat is liberat ſeipſum.

Apollonius Muſonio.

SOcrates Athenienſis, cùm ab amicis liberari non vellet, in iudicium quidem eſt adductus: at vita multatus eſt.

Muſonius Apollonio.

SOcrates mortem obiit, quia ſe non ad defendendum, ac depellenda crimina parauit. Ego verò me defendam.

Apollonius Veſpaſiano.

GRæciam (vt aiunt) ſub poteſtatem tuam redegiſti, téque plura putas habere Xerxe. At neſcis te minùs habere Nerone. Etenim Nero cùm haberet, recuſauit ac reiecit.

Eidem.

QVi iam ea fama es apud Græcos, quòd eis libertatem eripias & ſeruitutis iugum imponas, quid mea conſuetudine aut familiaritate opus habes?

Eidem,

NEro ludens in libertatem Græcos vindicauit. Tu ſeriò magnóque ſtudio ſub iugum miſiſti.

Oeſophis.

SI quis meum diſcipulum ſe profitetur, dicat etiã ſe domi ſemetipſum continere, ab omni balneo prorſus abſtinere, necem animalibus non

adferre

adferre, neque carnes comeſſe, intactum & vacuum eſſe ab inuidia, maleuolentia, odio, calumniis inimicitia, ex liberorum genere ſe nominari: aut plaſmata fictámque ſpeciem fert morum & ingenij doctrinæque falſæ, ad confirmandam alienæ vitæ fidem.

Eſtiæo Fratri.

QVid mirum, ſi cùm cæteri mortales diis me ſimillimum nonnulli deum etiam putent, hoc ſola patria neſcit, propter quam inprimis laboraui, vt celebris euaderem. Hoc enim ne vobis quidem fratribus vt video cognitum perſpectúmque eſt, me ſermonibus & vita, multis præſtantiorem & excellentiorem eſſe. Etenim quomodo me tam amantem putaſſetis, vt etiam admonitionis ab initio me crederetis indigere, de quibus ſolis, ne rudiſſimi quidem & imperitiſſimi doceri ſe patiuntur, nempe patria ac fratribus. Verùm non me clam eſt, quam præclarum ſit omnem terram pro patria ducere, & omnes homines pro fratribus & amicis putare, quippe cùm genus à Deo ſimul ducamus & eadem natura ſumus prædìti, & cùm eadem ſit tum ſermonum tum affectuum omnibus communio, quocunque quis veniat terrarum, aut vbicunque exiſtat, ſiue ſit Barbarus, ſiue ſit Græcus, ſaltem homo. Sed enim infallibilis eſt quodammodo cognatio, & omne quod ad ſe reuocat id proprium eſt. Sic Homericus Vlyſſes ne immortalitatem quidem à dea ſibi datam Ithacæ præfert. Et hanc legem in animantibus, brutis quoque video vim ſuam excercere. Nõ enim auis vlla extra ſuum nidum quietem & ſomnum capit: item piſcis omnis, ſi tranſuerſum agatur ab aliquo, neque tamen ſuccumbat, reuertitur. Nam feram nulla ſaturitas perſuaſerit vt maneat extra latibulum. Natura tulit hominem, tali conditione vt ſapiens appelletur, cui quanquam omnia reliqua quæuis terra ſuppeditat: at monumenta parentum oſtendere non quæuis poteſt.

Apollonius Fratri.

SI rerùm omnium præſtantiſſima ac precioſiſſima eſt Philoſophia, & omnino nos bonáque cũ fide in Philoſophia verſamur, non ſanè fratrum oſorem idque ob cauſſam illiberalem & turpem iure me quis appellarit. Pecuniarum enim cauſſa nata ſuſpicio eſt. Eas verò prius etiam, quàm ad ſtudium Philoſophiæ nos retuliſſemus cõtemnere cepimus: ſic vt ſatius & conuenientius fuiſſet, aliam cauſſam intermiſſionis literarum proferre. Cauendum enim ne ſi vera ſcripſiſſem in arrogantiæ opinionem incurrerem, ſin falſa, in odium & contemptum abirem, quorũ æquè vtrumq; celeſtum eſt tũ in fratre, tum etiã in quolibet amico. Nunc verò id etiã oſtẽdo. Fortaſſis enim hoc mihi fortuna conceſſerit, vt cũm ad amicos in Rhodum me contulero, paulò pòſt illinc ad vos exeunte verè reuortar.

Gordio.

EStiæum iniuria abs te affectum eſſe perhibent, idq; cùm in amiciticia cum eo eſſes: ſi tibi poſt intercedere cum aliquo amicitia. vide Gordi, ne periculum facias in homine, qui non putatur quidem, at eſt reuera. Saluta filiũ Ariſtoclidem pro quo vota facio, te tui ſimilis nobis euadat. Nam tu quoque iuuenis omni vitio reprehenſionéque carebas.

κτείνειν. μὴ δὲ ἔδειν σάρκας. ἀπαθὴς εἶναι, φθόνου, κακοηθείας, μίσους, διαβολαῖς, ἔχθρας, τοῦ δὲ ἐλευθέρων ὀνομάζεσθαι γένους. ἢ φυλακτέος τὰ πλάσματα φέρων, τρόπου τε καὶ ἤθους καὶ λόγων ψευδῶν, ἀλλοτρίου βίου πίστιν.

Εστιαίῳ τῷ ἀδελφῷ.

ΤΙ θαυμαστὸν, εἴμε τῶν ἄλλων ἀνθρώπων ἰσόθεον ἡγουμένων, τινῶν δὲ καὶ θεὸν, μόνη μέχρι νῦν ἡ πατρὶς ἀγνοεῖ. δι᾽ ἣν διαφερόντως ἐσπούδασα λαμπρὸς εἶναι. τουτὶ γὰρ οὐδ᾽ ὑμῖν τοῖς ἀδελφοῖς ὡς ὁρῶ γέγονε φανερὸν, ὡς εἴην πολλῶν ἀμείνων, λόγοις τε καὶ ἤθει. ἐπεὶ πῶς ἄν μου κατεγνώκατε τὸ χαλεπὴν κατάγνωσιν, ὑπομνήσεως τὴν ἀρχὴν δεομένων. περὶ ὧν μόνων, οὐδὲ τῶν ἀμαθεστάτων τις περιμένειν διδαχθῆναι. λέγω δὲ πατρίδος τε καὶ ἀδελφῶν. καίτοι οὐ λέληθεν ἡμᾶς, ὡς καλῶς ἔχον ἐστὶ, πᾶσάν τε γῆν πατρίδα νομίζειν, καὶ πάντας ἀνθρώπους ἀδελφοὺς καὶ φίλους, ὡς ἂν γένος μὲν ὄντας θεοῦ. μιᾶς δὲ φύσεως. κοινωνίας δ᾽ οὔσης λόγῳ τε παντὶ καὶ πᾶσι παθῶν τῆς αὐτῆς· ὅπηγε, καὶ ὅπως ἄν τις τύχῃ γενόμενος, εἴτε δὲ βάρβαρος, εἴτε καὶ ἕλλην. ἄλλως τε καὶ ἄνθρωπος. ἀλλ᾽ ἔστι γάρ πως τὸ συγγενὲς ἀκαταστόφιστον, καὶ πᾶν ἀνακλητικὸν αὑτῷ τὸ οἰκεῖον. οὕτως ὁ ὁμηρικὸς ὀδυσσεὺς ὥς φασιν, οὐδ᾽ ἀθανασίαν ὑπὸ θεᾶς διδομένην, ἰθάκης προὐτίμησεν. ὁρῶ δ᾽ ἔγωγε τὸν νόμον τοῦτον, καὶ διὰ τῶν ἀλόγων ζώων πεφοιτηκότα. οὐ γὰρ ὁπόσον πτηνὸν καλλιᾶν ἀπόκοιτον ἰδίαν. πᾶν τὸ βύθιον, παρασύρεται μὲν ὑπὸ τοῦ φέροντος, ἐπανέισι δὲ μὴ νικηθέν. θηρία μὲν γὰρ, οὔτε κόρος ἔπεισεν, ἔξω φωλεῶν μεῖναί τινα τόπων. ἡ φύσις ἤνεγκεν ἄνθρωπον καὶ ταῦτα σοφὸν λεγόμενον. ᾧ κἂν πάντα τὰ λοιπὰ γῆ πᾶσα παρέχῃ, μνήματα μὲν οὐκ ἔχει δεῖξαι τὰ πατέρων.

Απολλώνιος ἀδελφῷ.

ΕΙ τῶν ὄντων τὸ τιμιώτατον φιλοσοφία, πεπιστεύμεθα δ᾽ ἡμᾶς φιλοσοφεῖν, οὐκ ἂν ὀρθῶς ὑπολαμβανοίμεθα μισάδελφοι, καὶ ταῦτα δι᾽ αἰτίαν, ἀγεννῆ τε ἅμα καὶ ἀνελεύθερον. χρημάτων γὰρ δήπου χάριν ἡ ὑποψία, τούτων δὲ καὶ πρὶν ἢ φιλοσοφεῖν, ἐπειρώμεθα καταφρονεῖν. ὡς τό τε μὴ γράφειν, εὐλογώτερον ἂν εἴη πρόφασιν ἑτέραν ὑπονοεῖν. ἐφυλαττόμην γὰρ, ἀληθῆ μὲν γράφων, ἀλαζὼν δοκεῖν, ψευδῆ δὲ, ταπεινὸς. ὧν ἑκάτερον ἐχθίστης αἰσθὸν, ἀδελφοῖς τε, καὶ φίλῳ παντί. νυνὶ μέντοι καὶ τοῦτο δηλῶ. συγχωροίη γὰρ ἂν ἴσως τὸ δαιμόνιον, ὅτι συμβαλὼν τοῖς ἐν ῥόδῳ φίλοις, μετ᾽ ὀλίγον ἐκεῖθεν ἐπάνειμι πρὸς ὑμᾶς λήγοντος ἔαρος.

Γορδίῳ.

ΗΔικῆσθαι φασὶν ἑστίαιον ὑπὸ σοῦ. καὶ ταῦτα φίλου γεγονότος. εἴγε σὺ πρὸς φίλος. ὅρα δὴ γόρδιε, μὴ πεῖραν λάβῃς ἀνδρὸς, οὐ δοκοῦντος, ἀλλὰ ὄντος. ἄσπασαι τὸν υἱὸν ἀριστοκλείδην. ὃν εὔχομαι μὴ παραπλήσιόν σοι γενέσθαι. καὶ σὺ δ᾽ ἦς νέος ἄμεμπτος.

Τυανέων τῇ βουλῇ, καὶ τῷ δήμῳ.

Προστάττουσιν ὑμῖν ἐπανιέναι, πείθομαι. τοῦτο γὰρ δὴ πρὸς ἕνα πόλει πρεπωδέστατον εἶναι ἕνεκα τιμῆς, μεταπέμπεσθαι τὸν πολίτην ἑαυτῆς. καὶ ὃν ἀποδεδήμηκα δὲ χρόνον, ἀποδεδήμηκα, περιποιῶν ὑμῖν, εἰ καὶ ἐπαχθὲς εἰπεῖν, εὔκλειαν τε καὶ ὄνομα, καὶ φιλίας πόλεων ἐπιφανῶν. ὁμοίως δὲ καὶ ἀνδρῶν. εἰ δὲ καὶ μείζονος ἔτι, καὶ κρείττονος ὑμεῖς ὑπολήψεως ἄξιοι, τό γε ἐμόν, καὶ τὸ παρὰ τῆς ἐμῆς φύσεως ἐπὶ τοσοῦτον ἐξήρκει μόνον, δυνάμεώς τε καὶ σπουδῆς.

Διοτίμῳ.

Ἐπλανήθης, οἰηθεὶς δεῖσθαί με τινος, ἢ παρ' αὐτοῦ σοῦ, πρὸς ὃν οὐδὲν ἦν μοι ποτὲ κοινὸν γεγονός, ἢ παρ' ἄλλου τινός, ὁμοίου τε, καὶ ὁμοίως ἦν δέ, οὐδὲ τὸ ἀναλωθὲν εἴς τι τῶν σοι συντηρείων, πολύ τι χάριν δή μοι παθών. οὐ δίχ' ἀναλώματος. τηρεῖσθαι γάρ μοι τὸ ἔθος μόνως οὕτως. ὅτι δὲ τοῦτον ἔχω τὸν τρόπον, καὶ ταύτην τὴν διάθεσιν πρὸς ἅπαντας μου τοὺς πολίτας, ἐῶ γὰρ λέγειν ὡς καὶ πρὸς πάντας ἀνθρώπους, ἔξεστι μαθεῖν παρὰ τῶν ἄλλων πολιτῶν. εὖ παθόντων μὲν ὁσάκις ἐδεήθησάν τινος, ἀμοιβὴν δὲ αἰτηθέντων μηδεμίαν. μὴ δὴ δυσχεράνῃς, εἰ διά τινος ἐπιτιμηθεὶς ὁ ἐμός, ὑπὲρ τοῦ προσέσθαι τι τὴν ἀρχήν, ἀπέδωκεν εὐθύς, ὃ ἔλαβε Λυσίᾳ τῷ φίλῳ σοῦ, φίλῳ δὲ καὶ ἐμῷ. ἐπεὶ μηδένα ἠπίστατο τῶν καταλελειμμένων σοῦ παίδων. εἰ δὲ δύο λόγοι περὶ ἐμοῦ λέγονται, λεχθήσονται δὲ καὶ εἰσαῦθις, τί θαυμαστόν. ἀνάγκη γὰρ περὶ παντὸς ἄκρως δοκοῦντος καθ' ὁτιοῦν, ἐναντίοις λέγεσθαι λόγοις. οὕτως περὶ Πυθαγόρου, περὶ Ὀρφέως, περὶ Πλάτωνος, περὶ Σωκράτους, οὐκ ἐλέχθη μόνον, ἀλλὰ καὶ ἐγράφη τὰ ἐναντία. ὅπη γε τὰ ὅμοια, καὶ περὶ αὐτοῦ τοῦ θεοῦ. ἀλλ' οἱ μὲν ἀγαθοί, δέχονται τὸν ἀληθῆ λόγον, ὡς ἂν ἔχοντές τι συγγενές. οἱ δὲ φαῦλοι τὸν ἐναντίον. καὶ ἔστι τοῦ τοιούτου γένους καταγελᾶν. λέγω δὲ τοῦ χείρονος. τοσοῦτο μόνον δίκαιον ὑπομνῆσαι περὶ ἐμαυτοῦ σε νῦν, ὅτι περὶ ἐμοῦ, καὶ θεοῖς εἴρηται, ὡς περὶ θείου ἀνδρός, οὐ μόνον ἰδίᾳ τισὶ πολλάκις, ἀλλὰ καὶ δημοσίᾳ. ἐπαχθὲς λέγειν τι περὶ αὐτοῦ πλεῖον, ἢ μεῖζον. ὑγιαίνειν σε εὔχομαι.

Φρουριανῷ.

Πάνυ τοῖς πεμφθεῖσιν ὑπὸ σοῦ γράμμασιν ἥσθην. πολλὴν γὰρ οἰκειότητα, καὶ γένους ἀνάμνησιν εἶχε. καὶ πέπεισμαι, δι' ἐπιθυμίας εἶναί σοι θεάσασθαί με, καὶ ὑπ' ἐμοῦ θεαθῆναι. αὐτὸς οὖν ἀφίξομαι πρὸς ὑμᾶς, ὅτι τάχιστα. ὅθεν ἔχου τῶν αὐτόθι. συμμίξεις δέ μοι πλησίον γενομένῳ, πρὸ τῶν ἄλλων οἰκείων τε καὶ φίλων. ἐπεὶ καὶ προσήκει σοι τὸ τοιοῦτο.

Εὐφράτῃ.

Ἐν γένει δαιμόνων ὁ σοφώτατος Πυθαγόρας ἦν. σὺ δ' ἔτι μοι δοκεῖς πορρωτάτω φιλοσοφίας εἶναι, καὶ ἀληθοῦς ἐπιστήμης, ἢ οὐκ ἂν οὔτε ἐκεῖνον κακῶς ἔλεγες, οὔτε τινὰς τῶν ζηλούντων αὐτὸν μισῶν διετέλεις. ἄλλό τι σοι νῦν περατέον.

Senatui populóque Tyanenſium.

Iubentibus vobis, vt redeam, gerendum morem eſſe ſum arbitratus. Hoc enim Reipublicæ maiori eſt ornamento erga vnum, ſi honoris cauſſa proprium quem acceſſat. Et id tempus equidem, quod abſum ipſi peregrinando, vobis certè quanquam ſit inuidioſum dicere, gloriam & nomen, amicitiámque ciuitatum illuſtrium comparaui, itémque virorum. Sin vos maiore melioréque fama digni eſtis, quantum in me fuit, & quantum natura mea potuit efficere, tum facultate tum ſtudio, tantum ſufficit.

Diotimo.

Erraſti, qui mihi putas opus eſſe aliqua vel tua opera atque auxilio cum quo mihi nullla fuit vnquam familiaritas, vel alicuius alterius, ſimilis, atque ſimiliter. Verùm, cùm tui emolumenti cauſſa ſumptus erunt faciendi, is qui in quem infinita mea officia conſtant, non erit abſque ſumptu. Solùm enim hoc modo meam conſuetudinem & morem imitabitur atque exprimet. Quod autem hoc animo, ſim in omnes meos ciues. Omitto enim dicere cunctos homines, ab aliis ciuibus eſt cognoſcere, qui quotieſcunque rogarent, à me beneficium acceperunt, neque flagitati ſunt vnquam gratiam aut redditionem vllam. Nec verò tu moleſtè feras, ſi meus iure repræhenſus & obiurgatus, quòd admiſiſſet ab initio, confeſtim reddidit, quod acceperat Lyſiæ amico tuo & eidem meo, quia neminem ex liberis tuis ſupereſſe norat. Quòd ſi duplex de me fama iactatur, & in poſterũ permanebit, quid verò id mirum? Neceſſe eſt enim, vt de omni qui viuit in oculis hominum & in excellentiore, faſtigio dignitatis cuiuſquemodi videatur, contrarij ſermones exeant atque ſpargantur. Sic accepimus de Pythagora, de Orpheo, de Platone, de Socrate, non ſolùm dicta verùm etiam ſcripta diuerſa & repugnantia fuiſſe: quandoquidem re de Deo quidem eodem, vno ab omnibus ore pronunciatum eſt. Sed boni & honeſti, veritatem in oratione probant, propterea, quod aliquid cognationis & affinitatis habent, mali verò & improbi contrarium. Atque hoc genus hominum rideri rectè poteſt, nempe prauorum. Tantum in præſenti tempore iuſtum eſſe putaui de memetipſo tibi in mentem redigere, quoniam de me tanquam diuino viro deorum etiam extát teſtimonium non modò priuatim apud quoſdam. verùm etiã publicè coram omnibus promulgatum dictum. Odioſum eſt igitur plura maiorá ve de memetipſo commemorare. Quare, tibi valetudinem proſperam & incolumem precor.

Phruriano.

Magna voluptate miſſæ abs te litteræ me affecerũt. Plenæ enim erãt familiaritatis, & generis recordationem atque memoriam continebant, fidémque mihi fecerunt. tibi in optatis eſſe me videre, atq; à me videri. Proinde veniam ad vos quàm celerrimè id fieri poterit. Manebis igitur illic. Mecũ autem, ſi ad te acceſſero, præ cæteris amicis & familiaribus, ſermones colloquiáque miſcebis, quoniã id te maximè decet.

Euphratæ.

In doctorũ genere: primus erat & præſtantiſſimus ſapiẽtia. Tu verò multis adhuc paſſibus à philoſophia abeſſe & vera ſciẽtia mihi videris. Sin minùs: certè neq; ipsũ malũ diceres: neq; æmulatores eius ꝑpetuo ꝓſequereris odio. Aliud tibi nũc aggrediũdũ

erit

erit. A philoſophia enim aberraſti, neque magis eam conſecutus es, quàm Menelaum Pandarus in iuſiurandi violatione.

Eidem.

EXprobrant aliqui & in criminis loco tibi obiiciunt, quòd pecunias à rege ceperis. Quòd non tam vitioſum eſſet & indignum, ſi non philoſophiæ mercedem videreris accepiſſe & toties tantúmque, item ab eo qui te philoſophum eſſe crederet.

Eidem.

SI Pythagorio cuidam ſe quiſpiam in diſciplinam tradat, quæ ab illo ſit accepturus & quanta, ego recenſere poſſum, ſcientiam ponendarum legum, Geometriam, Aſtronomiam, Arithmeticam, Harmonicam, Muſicam, Medendi artem, omnem cœleſtem diuinandi & vaticinandi facultatem. & quæ ſunt his anguſtiora, magnitudinem animi, fortitudinem, magnificentiam, conſtantiam, laudem, cognitionem deorum, non ſuperſtitionem, ſcientiam dæmonum non opinionem, fauorem vtrorumque frugalitatem, perſeuerantiam, tenuitatem, paucitatem rerum ad vitæ ſuſtentationem pertinentium, ſentiendi poteſtatem exquiſitam, mouendi commodum rationem, ſpirandi vim habilem, coloris bonitatem, valetudinem, lætitiam, immortalitatem. A te verò quid habent quod acceperint, qui te viderunt, quàm ſcilicet illã virtutem quam poſſides.

Claudius Senatui Tyranenſium.

APollonium veſtrum ciuem, Philoſophum Pythagorium, qui Græciam magna cum laude peragrauit, & iuuenibus noſtris plurimum contulit, dignis honorib. & donis ornauimus, quib. decet afficere viros honeſtos, & verós ſapientiæ doctores ac præſides. Beneuolentiam itaque noſtram vobis declarare planámque facere per literas volumus.

Apollonius iudicibus Romanorum.

SVnt aliqui veſtrûm, qui magnam curam diligentiámq; ad portus ædificia, circuitus & de ambulacra procuranda afferunt: puerorum verò qui ſunt in vrbibus adoleſcentũ atque mulierũ neq; vos neque leges rationem habent. Alioquin pulchrũ eſſet & iucundum obedire.

Fratri Apollonio.

NAtura ſic comparatum eſt, vt vnumquodque poſtquam ſuam maturitatem eſt conſecutum, euaneſcat, & aboleatur. Idque omnino ſenectus eſt: poſtquam nemo permanet ampliùs. Ne verò te triſtem & anxium habeat coniugis in ipſo ætatis flore amiſſio, neque cùm mors aliquid dicatur, vitam illa præſtabiliorem exiſtima cùm ſapientes eã omnibus partibus deteriorem iudicent. Fratrem itaque te præſtã communiter quidem philoſophis præcipuè verò Pythagorij & Apollonij familiam tuam ſimilem effice. Nam ſi priorem accuſaremus, fortitan eſſet, cur iure refugere videremur. Sin ea ſemper nobis extitit caſta & amans mariti atque idcirco laude digna quid impediat, quo minus eandem expectationem atque ſpem de futura concipiamus, quam veriſimile eſt anniſſuram, vt ſe meliorem, præbeat, cùm prior nulla vnquam negligentia elanguerit aut defatigata ſit. Commoueant etiam te res fratrum quæ hactenus in eiuſmodi ſtatu poſitæ fuerunt, vt maximus natu nullas vnquam nuptias expertus ſit. Minimus verò

αὖ εἴη. φιλοσοφίας γὰρ ἥμαρτες, οὐδ' ἔτυχες μᾶλλον, ἢ Μενελάου Πάνδαρος ἐν τῇ τῶν ὅρκων συγχύσει.

Τοῦ αὐτοῦ.

ΕΠιτιμῶσί σοι τινές, ὡς εἰληφότι χρήματα παρὰ τοῦ βασιλέως. ὅπερ οὐκ ἄτοπον, εἰ μὴ φαίνοιο φιλοσοφίας εἰληφέναι μισθὸν, καὶ τοσαυτάκις, καὶ ἐπὶ τοσοῦτον, καὶ παρὰ τοῦ πεπιστευκότος εἶναί σε φιλόσοφον.

Τοῦ αὐτοῦ.

ΕΆν τις ἀνδρὶ πυθαγορείῳ συγγένηται, τίνα παρ' αὐτοῦ λήψεται καὶ ὁπόσα, φαίην ἂν ἔγωγε· νομοθετικὴν, γεωμετρίαν, ἀστρονομίαν, ἀριθμητικὴν, ἁρμονικὴν, μουσικὴν, ἰατρικὴν, πᾶσαν θείαν μαντικήν. τὰ δὲ καλλίω, μεγαλοφροσύνην, μεγαλοψυχίαν, μεγαλοπρέπειαν, εὐστάθειαν, εὐφημίαν, γνῶσιν θεῶν, οὐ δόξαν, εἴδησιν δαιμόνων οὐχὶ πίστιν, φιλίαν ἑκατέρων, αὐτάρκειαν, ἐκτένειαν, λιτότητα, βραχύτητα τῶν ἀναγκαίων, εὐαισθησίαν, εὐκινησίαν, εὔπνοιαν, εὔχροιαν, ὑγείαν, εὐψυχίαν, ἀθανασίαν. παρὰ σοῦ δὲ τί λαβόντες ἔχουσιν οἱ ἰδόντες, ἢ δηλονότι τὴν ἀρετὴν, ἣν ἔχεις.

Κλαύδιος τυανέων τῇ βουλῇ.

ΑΠολλώνιον τὸν ὑμέτερον πολίτην, πυθαγόρειον φιλόσοφον, καλῶς ἐπιδημήσαντα τῇ ἑλλάδι καὶ τοὺς νέους ἡμῶν ὠφελήσαντα, τιμήσαντες ἀξίαις τιμαῖς, αἷς πρέπει τοὺς ἀγαθοὺς ἄνδρας, καὶ ἀληθῶς προεστημένους φιλοσοφίας, τὴν εὔνοιαν ἡμῶν ἠθελήσαμεν ὑμῖν δι' ἐπιστολῆς φανερὰν γενέσθαι.

Ἀπολλώνιος δικασταῖς ῥωμαίων.

ΛΙμένων, καὶ οἰκοδομημάτων, καὶ περιβόλων, καὶ τῶν περιπάτων, ἐνίοις ὑμῶν πρόνοια. παίδων δὲ τῶν ἐν ταῖς πόλεσιν ἢ νέων, ἢ γυναικῶν, οὔθ' ὑμῖν, οὔτε τοῖς νόμοις φροντίς. ἦ καλὸν ἂν ἦν τὸ ἄρχεσθαι.

Τοῦ ἀδελφοῦ Ἀπολλωνίῳ.

ΦΎσιν ἔχει τῶν τελειωθέντων ἕκαστον ἀπιέναι, καὶ τοῦτο παντὶ γῆράς ἐστι· μεθ' ὃ μηκέτι μένει. μὴ δή σε λυπείτω τῆς γυναικὸς ἡ ἐν ἀκμῇ τῆς ἡλικίας ἀποβολή· μηδ' ἐπεὶ θάνατός τι λέγεται, κρεῖττον αὐτοῦ τὸ ζῆν ὑπολάμβανε, χεῖρον ὂν τῷ παντὶ τοῖς νοῦν ἔχουσι. γενοῦ δὴ ἀδελφὸς, τὸ μὲν κοινότατον φιλοσόφου. τὸ δ' ἐξαίρετον πυθαγορείου, καὶ Ἀπολλωνίου. καὶ σὺ τὴν οἰκίαν τὴν αὐτὴν ποίησον. εἰ μὲν γὰρ ἐνεκαλοῦμέν τι τῇ προτέρᾳ, κἂν εἰκότως ἐδόξαμεν ἀποδιδράσκειν. εἰ δ' ἡμῖν συμμένουσα διετέλεσεν οὖσα καὶ φίλανδρος, καὶ διὰ τοῦτο ἐπιζητήσεως ἀξία. τί καὶ διανοηθέντες, οὐκ ἂν ὅμοια καὶ περὶ τῆς μελλούσης προσδοκῷμεν; ἣν εἰκὸς ἂν ἐθελῆσαι καὶ ἀμείνονα γενέσθαι, μηδαμῶς τῆς προτέρας ἀμελείᾳ κατακαμφθείσης. δυσωπείτω δέ σε τὰ τῶν ἀδελφῶν, ὅπου μέχρι νῦν ἔχοντα. τοῦ πρεσβυτάτου μὲν γὰρ οὐδὲ γάμος οὐδέπω· τοῦ νεωτάτου δὲ

ἐλπὶς μὲν ἔτι παιδοποιΐας. ἐν προκοπῇ δέ γε τοῦ χρόνου. καὶ ἡμεῖς μὲν ἑνὶ τρεῖς γεγόναμεν. τρισὶ δὲ ἡμῖν, οὐδὲ εἷς. ἴσος δὲ καὶ ὁ κίνδυνος τῇ πατρίδι, καὶ τῷ βίῳ τῷ μεθ' ἡμᾶς. εἰ γὰρ ἡμεῖς ἀμείνους τοῦ πατρός, ἄλλως δὲ καθὸ πατὴρ χείρους, πῶς οὐκ ἂν βελτίους ἐξ ἡμῶν εἰκὸς ἂν ὑπάρξαι. γενέσθωσαν οὖν τινές, οἷς περιθησόμεθα γονῶν ὀνόματα, ὡς ἡμῖν οἱ πρόγονοι συνύφηναν. ὑπὸ δακρύων οὐχ οἷός τ' ἐγενόμην, πλείονα γράψαι, καὶ οὐκ εἶχον ἀναγκαιότερα τούτων.

Σαρδιανοῖς.

Κροῖσος ἀπέβαλε τὴν Λυδῶν ἀρχήν, Ἅλυν διαβάς. ἐλήφθη ζῶν. ἐδέθη πέδαις. ἐπὶ πῦρ ἀνεβιβάσθη. τὸ πῦρ εἶδεν, ἡμμένον αἰρόμενον εἰς ὕψος. ἔζησεν. ἐδόκει γὰρ τῷ θεῷ τετιμημένος. τί οὖν ὕστερον ἐκεῖ, ὁ πρόγονος ὑμῶν ἅμα καὶ βασιλεύς. ὁ τοσαῦτα παθὼν παρὰ τὴν ἀξίαν, τραπέζης ἐκοινώνησε τοῦ πολεμίου σύμβουλος ἦν αὐτοῖς, πιστὸς φίλος. ὑμῖν δὲ ἄσπονδα καὶ ἀκήρυκτα, καὶ ἀμείλικτα. ἔτι τε ἀνίερα, καὶ ἄθεα. τὰ πρὸς γονεῖς, πρὸς τέκνα. τὰ πρὸς φίλους, συγγενεῖς, φυλέτας. ἐχθροὶ γεγόνατε, μήτε τὸν Ἅλυν διαβαίνοντες, μήτε δεξάμενοί τινα ἀλλότριον ἔξωθεν. καὶ ἡ γῆ φέρει καρπὸν ὑμῖν, ἄδικος ἡ γῆ.

Συγγραφεῦσι λογίοις.

Φῶς παρουσία πυρός. ἢ οὐκ ἂν ἄλλως γένοιτο. πῦρ μὲν οὖν αὐτὸ τὸ πάθος, καὶ ᾧ γίνεται. καίεται γάρ. φῶς δὲ ταῖς ὄψεσι μόνον, αὐγὴν ἑαυτοῦ παρέχεται, μὴ βιαζόμενον αὐτάς, ἀλλὰ πεῖθον. τοίνυν καὶ λόγος, ὁ μέν, ὥσπερ πῦρ, καὶ πάθος, ὁ δέ, ὥσπερ αὐγή, καὶ φῶς ἐστιν. ὃ κρεῖττον ὄν, εἰ μὴ μεῖζον εὐχῆς τὸ ῥηθησόμενον, εἴη μοι.

Οὐαλερίῳ.

Θάνατος οὐδεὶς οὐδενός, ἢ μόνον ἐμφάσει. καθάπερ οὐδὲ γένεσις οὐδενός, ἢ μόνον ἐμφάσει. τὸ μὲν γὰρ ἐξ οὐσίας τραπὲν εἰς φύσιν, ἔδοξε γένεσις. τὸ δὲ ἐκ φύσεως εἰς οὐσίαν, κατὰ ταὐτὰ θάνατος, οὔτε γινομένου κατ' ἀλήθειαν τινός, οὔτε φθειρομένου ποτέ. μόνον δὲ ἐμφανοῦς ὄντος ἀοράτου τε ὕστερον. τοῦ μὲν διὰ παχύτητα τῆς ὕλης, τοῦ δὲ διὰ λεπτότητα τῆς οὐσίας. οὔσης μὲν ἀεὶ τῆς αὐτῆς, κινήσει δὲ διαφερούσης, καὶ στάσει. τοῦτο γάρ που τὸ ἴδιον ἀνάγκη, τῆς μεταβολῆς οὐκ ἔξωθεν γινομένης ποθέν. ἀλλὰ τοῦ μὲν ὅλου μεταβάλλοντος εἰς τὰ μέρη. τῶν μερῶν δέ, εἰς τὸ ὅλον τρεπομένων, ἑνότητι τοῦ παντός. εἰ δὲ ἐρήσεταί τις, τί τοῦτό ἐστι τὸ ποτὲ μὲν ὁρατόν, ποτὲ δὲ ἀόρατον, ἢ τοῖς αὐτοῖς γινόμενον, ἢ ἄλλοις, φαίη τις ἄν, ὡς ἔθος ἑκάστου ἐστὶ τῶν ἐνθάδε γενῶν. ὃ πληρωθὲν μὲν ἐφάνη, διὰ τὴν τῆς παχύτητος ἀντιτυπίαν. ἀόρατον δέ ἐστι κενωθὲν διὰ λεπτότητα, τῆς ὕλης βίᾳ περιχυθείσης, ἐκρυείσης τε τοῦ περιέχοντος αὐτὴν ἀιδίου μέτρου. γεννητοῦ δ' οὐδαμῶς, οὐδὲ φθαρτοῦ. τί δὲ καὶ τὸ πρὸς τὴν πλάνης ἐστὶ τοσοῦτον ἀνέλεγκτον. οἴονται γάρ τινες, ὃ πεπόνθασιν αὐτοί, τοῦτο πεποιηκέναι. μὴ εἰδότες ὡς ὁ γεννηθεὶς διὰ γονέων γεγέννηται, οὐχ ὑπὸ γονέων,

ſpem foueat ſobolis adhuc procreandæ: verùm proceſſum temporis. Et nos quidem vni tres nati ſumus, Tribus verò nobis ne vnus quidem. Idem autem periculum & patriæ impendet, & ætati venturæ. Si enim nos patre meliores euaſimus, cùm alioquin ferè patre ſint deteriores: qui non ex nobis conſentaneum ſit meliores etiam prouenturos eſſe? oriantur igitur, quibus imponamus noſtra nomina, quemadmodum maiores noſtri fecerunt. Præ lachrymis plura ſcribere non potui, neque quæ magis in hoc tempus eſſent neceſſaria quàm hæc habui.

Sardianis.

CRæſus, prætergreſſus Halyn, Lydorum imperium amiſit, viuus captus eſt, in vincula coniectus, ad ignem attractus flammam incenſam ob oculos vidit atque in altum aſſurgẽtem: viuus tamẽ permanſit. Videbatur enim à Deo punitus eſſe. Quid igitur poſtea, veſter ſimul atauus ille & idem rex? qui tanta paſſus erat indignè, hoſtis etiam menſæ particeps eſt factus. Conſiliarium ſe geſſit beneuolum, & fidelem amicum. Vobis autem ſunt omnia fœdifraga, illegitima, crudelia. Item ſceleroſa atque impia, erga parentes, erga liberos. Amicis, cognatis, tribulibus: inimici facti eſtis, nec Halyn tranſgreſſi, nec extraneo quopiam recepto. Attamẽ vobis terra fructum producit, iniuſta ſanè tellus.

Scriptoribus doctis.

LVmen eſt ignis præſentia: fieri enim aliter non poteſt. Ignis igitur eſt & affectio ipſa & quo fit. Adurit enim. Lumen verò ſaltem oculis ſplendorem ſuum præbet, non quidem vi ſed perſuaſione. Sermonum igitur alius etiam eſt vt ignis & affectio, alius vt ſplẽdor & lumen, quod cùm ſit præſtantius, ſi non optatu nimium ſit, mihi contingere optarim.

Valerio.

MOrs nulla eſt, cuiuſcunque tandem ſit, niſi ſpecie & apparitione: tantùm: quemadmodũ neque generatio cuiuſquam eſt, niſi duntaxat apparitione. Nam ipſa conuerſio ex ſubſtantia in naturam generatio videtur eſſe. Rurſum in iiſdem conuerſio naturæ in ſubſtantiam, mors, cùm neque generetur quicquam reuera, neque intereat vnquam, ſolúmque ſub oculorum ſenſum cadat, & poſtea rurſus euaneſcat, quorum illud quidem fit ob materiæ denſitatem: hoc autem ob ſubſtantiæ tenuitatem, quæ cùm perpetuò maneat eadem motu ſolùm differt & poſitione. Hæc enim proprietas neceſſariò requiritur ad mutationẽ quæ extrinſecus accedere nullo modo poteſt. Sed totum commutetur in partes, atque rurſum partes in totum vertuntur, vnitate cõuenientiáque ipſius integri. Sin quiſpiam interrogarit quid hoc eſt, quod aliquando quidem videri poteſt, aliquando verò non: aut iiſdem aut aliis, reſpondendum, eſt de ſingulorum huiuſmodi generum ratione. Quod enim impletũ refertúmque eſt, apparet, propter craſſitudinis reuerberationem. Non apparet autem cùm euacuatum eſt, propter tenuitatem, materia violenter diffuſa poſtquam effluxit è continente ipſam æterna menſuratione, neque generationi, neq; corruptioni obnoxia. Quid autẽ omnino nõ redarguitur neq; caſtigatur error, qui iã eouſq; progreſſus eſt, vt aliqui quod ipſi patiũtur id agere ſeſe credãt, neſciẽtes eũ qui genitus eſt, p parẽtes & nõ à parẽtib. genitũ eſſe:

queniadmodum id quod per terram enatum eſt, non è terra naſcitur, nec apparentium vlla eſt affectio ſeu paſſio circa ſingula, ſed magis de vnoquoque ipſorum. Id verò quo nomine quis rectiùs appellarit quàm primam eſſentiam, quæ ſola agit & patitur, quæ fit omnibus omnia, per omnia Deus ſempiternus, quæ nominibus & perſonis de ſua ſede pellitur & iniutia afficitur, idque minus. Tum autem defletur aliquis cùm Deus ex homine fit, loci tranſmutatione, non naturæ. Si autem veritatem ſequi volumus, non legenda tibi, ſed honoranda colendáque mors eſt. Honor autem optimus eſt & conuenientiſſimus, ſi Deo legem ſuam relinquas & tu ſi lei tuæ commiſſis populis imperes, quemadmodum antè feciſti. Turpe eſt tempore non ratione meliorem fieri: ſiquidem etiam malis temporis diuturnitas finem moleſtiarum ac dolorũ adfert. Maxima res eſt, imperium ſufficiens & de maximis. Princeps optimus qui ſibi ipſi priùs imperat. Quomodo verò ſanctum eſſe queat quæ volũtate Dei fiunt, ea deprecari? Si certus in rebus ordo ſeruatur: ſeruatur autem, & eum gubernat ac tegit Deus: qui iuſtus eſt, non volet bona? Id enim libidinis eſt, & ordini repugnat: ea tamen quæ fiunt putabit prodeſſe? Prodi & medere iudica ſimul & conſolare reos. A planctu verò lachrymiſque ſic auocabis. Non priuatæ res, publicis, ſed publicæ priuatis anteponendæ ſunt. Quale verò genus eſt illud conſolationis. Cùm vniuerſo populo filium luxiſti. Refer illis gratiam, qui communem tecum dolorem ſuſceperunt. Referes autem ſi ſtatim à mærore deſtiteris. Si non prodeas, amicos non habes. Filium autem quamuis mortuum, etiamnum te ſapiens habere dicet. Quod enim exiſtit, non perit, cùm idcirco exiſtat, quod ſemper futurum ſit: aut certè quod non eſt, illud fit. Quomodò verò non alio quopiam quod ſit pereunte fiat. Fortè alius diceret, quam impietatem & iniuriam excerces. Impius es in Deum, iniurioſus in filium, immò in hunc etiam es impius. Quod ſi ius diſcere, qualis ſit mors mitte poſt hanc vocem qui me interficiat, quam niſi mordicus tenebis, confeſtim me teipſo meliorem efficies. Habes ætatem, habes vxorem prudentem, amantem viri, omnibus rebus abundas. A teipſo quod deeſt ſume. Romanus quidam ex veteribus, vt conſeruaret imperij legem atque decus, proprium filium morte affecit, & coronatum occidit. Ciuitatibus quingentis imperas Romanorum nobiliſsimus, ſic es animo affectus, vt quis domum aut familiam conſtanter hoc modo gubernare non poſſet, taceo ciuitates & populos. Appollonius ſi coram adeſſet perſuaderet, ne Fabullam lugeres.

καθάπερ τὸ διὰ γῆς φυὲν, οὐκ ἐκ γῆς φύεται. πάθος τε οὐδὲν τῶν φαινομένων περὶ ἕκαστον, ἀλλὰ μᾶλλον περὶ ἓν ἕκαστον. τοῦτο δὲ τί ἂν ἄλλο τις εἴποι, ἢ τὴν πρώτην οὐσίαν, ὀρθῶς ἂν ὀνομάσειεν. ἣ δὴ μόνη ποιεῖ τε καὶ πάσχει πᾶσι γινομένη πάντα. διὰ πάντων θεὸς ἀΐδιος. ὀνόμασι καὶ προσώποις ἀφαιρουμένη τὸ ἴδιον. ἀδικουμένη τε, καὶ τοῦτο μὲν ἔλαττον. πενθεῖται δὲ κλαίεταί τις, ὅταν θεὸς ἐξ ἀνθρώπου γένηται, τόπου μεταβάσει καὶ οὐχὶ φύσεως. ὡς δὲ ἔχει τὸ ἀληθὲς, οὐ πενθητέον σοι θάνατον, ἀλλὰ τιμητέον καὶ σεβαστέον. τιμὴ δὲ, ἡ ἀρίστη τε καὶ πρέπουσα, εἰ ἀφεὶς θεῷ τὸν ἐκεῖ γενόμενον, ἀνθρώπων τῶν πεπιστευμένων ἄρχοις, ὥσπερ ἦρχες. αἰσχρὸν, εἰ χρόνῳ μὴ λογισμῷ γένοιο βελτίων. εἰ χρόνος καὶ τοῖς κακοῖς λύπης ἔπαυσε. μέγιστον, ἀρχὴ ἱκανὴ καὶ περὶ μεγίστων. ἄρχων ἄριστος, ὃς ἑαυτοῦ πρότερον ἄρχει. πῶς δὲ καὶ ὅσιον ἀπεύχεσθαι τὸ βουλήσει θεοῦ γινόμενον; εἰ τάξις ἐστὶ τῶν ὄντων, ἔστι δὲ, καὶ θεὸς ἐπιστατεῖ ταύτης, ὁ δίκαιος, οὐ βουλήσεται τὰ ἀγαθὰ, πλεονεκτικὸν γὰρ καὶ παρὰ τάξιν τὸ τοιοῦτον, ἡγήσεται δὲ τὰ γινόμενα συμφέρειν. προέλθε καὶ θεράπευσαι, δίκασον, καὶ παρηγόρησον τοὺς ἀθλίους. τῶν δὲ δακρύων οὕτως ἀποσπάσεις. οὐ τὰ ἴδια, τῶν κοινῶν, ἀλλὰ τὰ κοινὰ τῶν ἰδίων προτιμητέον. οἷον δέ σοι καὶ τὸ τῆς παραμυθίας εἶδος. σὺν ὅλῳ τὸν υἱὸν ἔθνει πεπένθηκας. ἀμείψαι τοὺς μετὰ σοῦ λελυπημένους. ἀμείψῃ δὲ, ἐὰν λειπόμενος παύσῃ τάχιον. ἐὰν μὴ προέλθῃς, φίλους οὐκ ἔχεις, υἱὸν δὲ ἔχεις καὶ νῦν τὸν τεθνηκότα, φήσει τις τῶν νοῦν ἐχόντων. τὸ γὰρ ὂν, οὐκ ἀπόλλυται. διὰ τί; τὸ ὂν, ὅτι ἔσται διαπαντός. ἢ καὶ τὸ μὴ ὂν γίνεται. πῶς δ' ἂν γένοιτο μὴ ἀπολλυμένου τοῦ ὄντος; εἴποι ἂν ἕτερός τις, ὡς ἀσεβεῖς τι καὶ ἀδικεῖς. ἀσεβεῖς μὲν τὸν θεὸν, ἀδικεῖς δὲ τὸν υἱόν. μᾶλλον δὲ κἀκεῖνον ἀσεβεῖς. βούλει δὲ μαθεῖν, τί ἐστι θάνατος; αὐτός με πέμψας μετὰ ταύτην τὴν φωνήν. ἣν ἐὰν μὴ μεταμφιάσῃς, παραχρῆμα κρείττονά με σεαυτοῦ πεποίηκας. ἔχεις χρόνον. ἔχεις γυναῖκα, ἔμφρονα, φίλανδρον. ὁλόκληρος εἶ. παρὰ σεαυτοῦ λάβε τὸ λεῖπον. ῥωμαῖός τις τῶν πάλαι γενναιότατος, ἵνα σώσῃ τὸν τῆς ἀρχῆς νόμον τε καὶ κόσμον, υἱὸν ἴδιον ἀπέκτεινε. καὶ στεφανώσας ἀπέκτεινε. πόλεων ἄρχεις πεντακοσίων ῥωμαίων ὁ εὐγενέστατος. ταῦτα σαυτὸν διατίθης. ἐξ ὧν οὐδ' οἰκίας τις ἂν ἀσφαλῶς ἄρξειε. μή τι γε πόλεών τε καὶ ἐθνῶν. ἀπολλώνιος εἰ παρὼν, Φαβούλλαν ἂν μὴ πενθεῖν ἔπεισεν.

Rex Babyloniorum Garmus Indorum regi Neogyndæ.

NIſi vanus eſſes, in alienis negotiis iuſtitiam non oſtenderes: neque enim Indorum imperio præeſſes, apud Babylonios iudicium excerceres. Nam vnde tibi noſter carnifex notus eſt. Iam verò meum imperium tentas & ſollicitas, blandiens epiſtolis & eiuſmodi iacis fundamenta, itémque diſſimulata cupiditate, benignitatem quandam & humanitatem præ te fer.. At nihil proficies, neque enim latere poteris.

Βασιλεὺς βαβυλωνίων Γάρμος, Νεογύνδῃ ἰνδῶν βασιλεῖ.

ΕΙ μὴ πονηρὸς ἦς, οὐκ ἂν ἦς ἐν τοῖς ἀλλοτρίοις πράγμασι δίκαιος. οὐδ' ἂν ἄρχων ἐν ἰνδοῖς, ἐδίκαζες βαβυλωνίοις. πόθεν γάρ σοι γνώριμος ἦν ὁ ἡμέτερος δήμιος. νῦν δὲ ἐπιχειρήσας ἀρχὴν τὴν ἐμὴν, ὑποκορίζόμενος ἐπιστολαῖς, καὶ τοιαύτας ἀρχὰς καθιείς. καὶ πρόσχημα ποιούμενος τῆς πλεονεξίας τὴν φιλανθρωπίαν. περανεῖς δὲ οὐδέν. οὐ γὰρ λαθεῖν δύνασαι.

Ἀπολλώνιος Εὐφράτῃ.

Ἦν Πραξιτέλης χαλκιδεὺς μαινόμενος ἄνθρωπος. οὗτος ὤφθη παρὰ ταῖς θύραις ταῖς ἐμαῖς, ξίφος ἔχων ἐν κορίνθῳ, μετὰ σῆς γνώμης. τίς οὖν ἡ τῆς ἐπιβουλῆς αἰτία. οὐ γὰρ πώποτε σοὺς βοῦς ἤλασα. ἐπεὶ μάλα πολλὰ μεταξὺ οὔρεά τε σκιόεντα, θάλασσά τε ἠχήεσσα, τῆς τε ἐμῆς φιλοσοφίας, καὶ τῆς σῆς.

Λεσβώνακτι.

Ἀνάχαρσις ὁ σκύθης ἦν σοφός. εἰ δὲ σκύθης, ἔτι καὶ σκύθης.

Λακεδαιμόνιοι Ἀπολλωνίῳ.

Τὰς δεδομένας τιμάς σοι ἀπεστάλκαμεν τόδε ἀντίγραφον, σημηνάμενοι τῇ δημοσίᾳ σφραγῖδι ἵνα ἴδῃς.

Ἀπολλώνιος ἐφόροις καὶ λακεδαιμονίοις.

Ἄνδρας ὑμετέρους ἐθεασάμην ὑπήνην μὴ ἔχοντας. τοὺς μηροὺς καὶ τὰ σκέλη, λείους τε καὶ λευκούς. μαλακὰς χλανίδας ἠμφιεσμένους λεπτάς. δακτυλίους πολλοὺς καὶ καλοὺς περικειμένους. ὑποδεδεμένους ὑπόδημα τὸ ἰωνικόν. οὐκ ἐπέγνων οὖν τοὺς λεγομένους πρέσβεις. ἡ δὲ ἐπιστολὴ, λακεδαιμονίους ἔφασκεν.

Τοῖς αὐτοῖς.

Καλεῖτέ με πολλάκις βοηθὸν ὑμῖν τῶν νόμων, καὶ τῶν νέων ἐσόμενον. ἡ σόλωνος δὲ πόλις, οὐ καλεῖ με. λυκοῦργον αἰδεῖσθε.

Ἐφεσίων τοῖς ἐν ἀρτέμιδι.

Ἔθος ὑμῖν ἅπαν ἁγιστείας. ἔθος δὲ βασιλικῆς τιμῆς. ἀλλ' ὑμεῖς, ἑστιάτορες μὲν καὶ δαιτυμόνες οὐ μεμπτοί. μεμπτοὶ δὲ σύνοικοι τῇ θεῷ, νύκτας τε καὶ ἡμέρας, ἢ οὐκ ἂν ὁ κλέπτης τε καὶ λῃστὴς, καὶ ἀνδραποδιστὴς, καὶ πᾶς εἴ τις ἄδικος. ἢ ἱερόσυλος ἦν ὁρμώμενος αὐτόθεν, τὸ γὰρ τῶν ἀποστερούντων, τύχης ἐστίν.

Τοῖς αὐτοῖς.

Ἦλθεν ἐκ τῆς ἑλλάδος ἀνὴρ ἕλλην τὴν φύσιν, οὐκ ἀθηναῖος, οὐδὲ μεγαρεύς. γελοῖον ὄνομα, παροικήσων ὑμῶν τῇ θεῷ. δότε μοι τόπον, ἔνθα μὴ καθαρσίων δεήσει μοι, καίπερ ἔνδον ἀεὶ μένοντι.

Τοῖς αὐτοῖς.

Ἀνεῖται θύουσι τὸ ἱερὸν, εὐχομένοις, ὑμνοῦσιν. ἱκέταις, ἕλλησι, βαρβάροις, ἐλευθέροις, δούλοις. ὑπερφυῶς θεῖος ὁ νόμος. ἐπιγινώσκω τὰ σύμβολα, τοῦ διός τε καὶ λητοῦς, ἐὰν μόνα ταῦτα.

Μιλησίοις.

Σεισμὸς ὑμῶν τὴν γῆν ἔσεισε. καὶ γὰρ ἄλλων πολλῶν πολλάκις. ἀλλ' ἔπασχον μὲν, ἃ ἐτύγχανεν ἐξ ἀνάγκης ἐλεοῦντες δὲ, οὐ μισοῦντες ἀλλήλους ἐφαίνοντο. μόνοι δὲ ὑμεῖς, καὶ θεοῖς ὅπλα, καὶ πῦρ ἐπηνέγκατε, καὶ θεοῖς τοιούτοις, ὧν καὶ οἱ ἑτέρωθεν δέονται, καὶ μετὰ κινδύνους, καὶ πρὸ κινδύνων. ἀλλὰ καὶ φιλόσοφον ἄνδρα. . . . . ὑμεῖς ἐλαύνετε δύο, δημόσια τὸ πάθημα ξυνεῦντα. πολλάκις καὶ προαγορεύοντα γινομένους τοὺς σεισμοὺς αὐτὸν, ὅτε ἔσεισεν ὁ θεὸς, ποιεῖν ἐλέγετε καθ' ἑκάστην ἡμέραν. ὦ τῆς δημοσίας ἀμαθίας. καὶ πατὴρ ὑμῶν λέγεται θαλῆς.

Apollonius Euphratæ.

ERat Praxiteles Calcidenſis homo furioſus. Is viſus eſt ad meam ianuam cum telo Corinthi, ſimulque tuus diſcipulus. Quæ enim inſidiarum cauſſa, quæ ratio? Non enim vnquam tuos boues abegi. Quoniam complures interiacent montes opaci, maréque multi ſtrepunt, inter meam ſcilicet philoſophiam & tuam.

Lesbonacti.

ANacharſis Scytha ſapiens erat. Sin Scytha, ferit etiam Scytha.

Lacedæmonij Apollonio.

AD honorem tibi tributum confirmandum, has literas miſimus obſignatas publico ſigillo, vt certum videre poſſes.

Apollonius Ephoris & Lacedæmonijs.

VIros equidem veſtros vidi, barba nulla præditos tenuit candidiſque brachiis & cruribus, mollibus, ſubtilibúſque veſtimentis indutos annulis compluribus & pulcherrimis ornatos, calceamentis Ionicis. Quare legatorum nomen cognoſcere non potui. Literæ verò Lacedæmonios dicebant eſſe.

Eiſdem.

VOs me perſæpe vocatis ad legum, iuuenúmque moderationem, & defenſionem. At Solonis ciuitas, non me vocat. Reueremini Lycurgum.

Epheſiorum Sacerdotibus in templo Dianæ.

NVnc vobis litationum genus in vſu eſt, omniſque regalis honor: ſed vos conuiuatores, epulatoréſque non eſtis reprehendendi. Reprehendendi verò ſunt qui in eodem cum Dea contubernio viuunt. Alioquin enim non fur, non latro, non furcifer, aut omnis etiam iniurioſus homo, vel ſacrilegus illinc proficiſceretur. Quod enim rapinis conſequuntur id eſt fortuna.

Eiſdem.

VEnit è Græcia, vir natura Græcus, non Athenientis neque Megarenſis ridiculo oomine, contuberoium apud veſtram Deam habiturus. Date mihi locum, vbi non opus ſit Catharſiis, & nihilominus tamē intus me continere ſemper poſſim.

Eiſdem.

PAtet rem diuinam facientibus templum, precantibus, laudes canentibus, ſupplicibus, Græcis, Barbaris, liberis, ſeruis. Pulcherrima diuináque hæc lex eſt. Agnoſco ſymbola Iouis & Latonæ, 'cúm ad hæc ſolum reſpicio.

Mileſiis.

TErræ motus ſolum veſtrum concuſſit. Etenim aliorum quoque permultorum ſæpenumerò: verùm hi ſubierunt ſuum infortunium quadam neceſſitate, miſericordiáque ſe mutuò proſequi, non odiis, diſſidere videbantur. Vos autem ſoli diis arma facéſque intuliſtis, & diis eiuſmodi, quorum vtrinque eſt opus auxilio tam poſt, quàm ante pericula. Sed & hominem philoſophū. . . . . ſæpius etiam prænunciantem ipſum, terræmotus, qui Deo concutiente, euenerunt, quotidie facere dicebaris. O publicam imperitiam. Et tamen parens veſter dicitur Thalles.

Trallianis.

Permulti ex compluribus locis, alij ob alias cauſſas, tam iuuenes quàm ſenes ad me accedunt. Naturam igitur vniuſcuiuſque diligenter cõſidero moréſque ſumma cum prudentia obſeruo. Item ſingulorum erga ſuam ciuitatem animos iuſtos aut contrarios. In hunc vſque diem non poſſum vobis Trallianis anteferre, Lydos, non Achiuos, non Ionas: ſed ne veteris quidem Græciæ Thurios, Crotonas, Tarantinos, aut alios quoſpiam, qui ſunt mihi ex beatis Italis reliqui ſve. Quid igitur ſit in cauſſa, quamobrem vos quidem probem, non autem habitationem familiamque meam in eiuſmodi hominibus collocem, quáquam ſim è vobis oriundus in alium locum dicendum reſeruabo. Nunc autem ſolùm videtur tempus dari laudandi vos, eóſque qui vobis præſunt, vt multò præſtantiores virtute & verbis, quàm qui cæteris imperant, immò iis quoque quorum ſeculo nati ſunt.

Saitis.

Atheníenſium eſtis poſteri, quemadmodum in Timæo Plato inquit. Illi verò communem veſtram deam. Nam quidem apud vos, apud ipſos verò Mineruam appellatam, exterminát ex Attica, neque permanent Græci. Quo autem pacto non permaneant ego declarabo. Senex & ſapiens nemo eſt Athenis. Non enim omnis mulier cuilibet nata eſt, quia nulla nemini. Adulator ad portas eſt. Ante portas Sycophanta, Leno quoque ante longa mœnia, Paraſitus ante Munychiam & Peiræum, dea verò, ne Sunium quidem obtinet.

Ionibus.

GRæcos vos appellandos eſſe putatis propter genus, & priſtinam coloniam. At Græcis quemadmodum conſuetudo legéſque certæ ſunt, & lingua vitáque propria: ſic etiam forma ſpeciéſque hominum. Vobis autem ne nomina quidem compluribus manent: ſed hac noua fœlicitate incitati, maiorum ſymbola perdidiſtis. Rectè illi ne ſepulchris quidem vos reciperent, quippe qui ſitis ipſis ignoti. Nam priùs Heroum erant nomina, naumachorum & legiſlatorum. Nunc verò Lucullorum Fabriciorum, Leucaniorum beatorum. Mihi verò potiùs Mimnermo nomen eſſe velim.

Eſtiæo.

PArens noſter Apollonius tribus ordine Meniodoti erat natus. Tu verò ſemel appellari vis Lucretius aut Lupercus. Cuius horum in filiis aut poſteris es. Turpe eſt, alicuius nomen tibi vſurpare cuius nihil habeas ſimile.

Eidem.

A Patriis laribus optima cum fortuna quàm lõgiſſimè abſumus. Adhuc tamẽ Reipubl. res ſtatúmque mente ac memoria teneo. Fatum ad finem hominum properat, qui primum honorem ſunt cõſecuti. Nam initium fit à pueris, & paulò poſt hos ſunt adoleſcentes. Hic iam periculum eſt me perniciem &, exitiũ rebus adoleſcentũ gubernatio cõciliet. Tibi verò nihil eſt periculi, quoniam viximus.

Τραλλιανοῖς.

Πολλοὶ πολλαχόθεν, ἄλλοι κατ' ἄλλας αἰτίας, νεώτεροί τε καὶ πρεσβύτεροι φοιτῶσι παρ' ἐμέ. τὰς φύσεις οὖν ἑνὸς ἑκάστου σκέπτομαι, καὶ τοὺς τρόπους, ὡς ἔνι μάλιστα συνεστηκότα. τό, τε πρὸς τὴν ἑαυτοῦ πόλιν ἑκάστου διακείμενον ἦθος, ἢ τοὐναντίον. οὐδένας δὲ ἡμετέρων οὐκ ἂν ἔχοιμι προκρῖναι, Τραλλιανῶν ὑμῶν, οὐ Λυδούς, οὐκ Ἀχαιούς, οὐκ Ἴωνας, ἀλλ' οὐδὲ τοὺς τῆς ἀρχαίας Ἑλλάδος Θουρίους, Κρότωνας, Ταραντίνους, ἤ τινας ἄλλους τῶν ἐκεῖ λεγομένων εὐδαιμόνων Ἰταλιωτῶν, ἢ ἑτέρων τινῶν. τίς οὖν ἡ αἰτία τοῦ δὴ ἀποδέχομαι μὲν ὑμᾶς, οὐ γίνομαι δὲ τοιούτοις ἀνδράσι σύνοικος, καίπερ ὢν γένος ὑμέτερος; ἄλλοτέ ποτ' ἂν εἴποιμι. νῦν δὲ μόνον ὑμᾶς ἐπαινετέον καιρός, ἄνδρας τε τοὺς ἡγουμένους ὑμῶν ὡς πολὺ κρείττους τῶν παρ' ἑτέροις ἀρετῇ, καὶ λόγῳ, καὶ μᾶλλον παρ' οἷς γεγόνασι.

Σαΐταις.

Ἀθηναίων ἀπόγονοί ἐστε, καθάπερ ἐν Τιμαίῳ Πλάτων φησίν. οἱ δὲ, τὴν κοινὴν ὑμῶν θεὸν ἐξελαύνουσι τῆς Ἀττικῆς, ἣν μὲν τὴν ὑφ' ὑμῶν, Ἀθηνᾶν δὲ τὴν ὑπ' αὐτῶν ὀνομαζομένην, οὐ μένοντες Ἕλληνες. ὅπως δὲ οὐ μένοντες ἐγὼ φράσω. γέρων σοφὸς οὐδεὶς Ἀθηναῖος. οὐ γὰρ ἐστι γυνὴ πάντα παντός, ὅτι μηδεμία μηδενός. ὁ κόλαξ πρὸς ταῖς πύλαις, ὁ συκοφάντης πρὸ τῶν πυλῶν. ὁ μαστροπὸς, καὶ πρὸ τῶν μακρῶν τειχῶν. ὁ παράσιτος, πρὸ τῆς Μουνυχίας, καὶ πρὸ τοῦ Πειραιῶς. ἡ θεὸς δὲ, οὐδὲ Σούνιον ἔχει.

Ἴωσιν.

Ἕλληνες οἴεσθε δεῖν ὀνομάζεσθαι διὰ τὸ γένος καὶ τὴν ἔμπροσθεν ἀποικίαν. Ἕλλησι δὲ, ὥσπερ ἔθη καὶ νόμοι, καὶ γλῶττα, καὶ βίος ἴδιος, οὕτω καὶ σχῆμα, καὶ εἶδος ἀνθρώπων. ἀλλ' ὑμῶν γε οὐδὲ τὰ ὀνόματα μένει τοῖς πολλοῖς, ἀλλ' ὑπὸ τῆς νέας ταύτης εὐδαιμονίας ἀπολωλέκατε τὰ τῶν προγόνων σύμβολα. καλῶς οὐδὲ τοῖς τάφοις ἐκεῖνοι δέχοιντ' ἄν, ἅτε ἀγνῶτας αὐτοῖς γινομένους. εἴ γε πρότερον ἡρώων ἦν ὀνόματα, καὶ ναυμάχων, καὶ νομοθετῶν, νυνὶ δὲ Λουκούλλων τε, καὶ Φαβρικίων, καὶ Λευκανίων τῶν μακαρίων. ἐμοὶ μὲν εἴη μᾶλλον ὄνομα Μίμνερμος.

Ἑστιαίῳ.

Ὁ πατὴρ ἡμῶν Ἀπολλώνιος ἦν τρίς τοῦ Μηνοδότου. σὺ δὲ ἅπαξ ἐθέλεις ὀνομάζεσθαι Λουκρίτιος, ἢ Λούπερκος. τίνος σὺ τούτων ἀπόγονος; αἰσχρὸν εἰ ὄνομα μὲν ἔχοις τινὸς, τὸ δὲ εἶδος αὐτοῦ μὴ ἔχοις.

Τῷ αὐτῷ.

Πατρίδος ἐσμὲν πορρωτέρω σὺν δαίμονι. ἤδη δὲ τὰ τῆς πόλεως πράγματα οἶδα ἐβαλόμην. ὁ δ' ἤδη μοῖρα πρὸς τέλος ἀνδρῶν. οἱ τὰς πρώτας λελόγχασι τιμάς. ἄρξει δὲ τὸ λοιπὸν παιδάρια, καὶ μικρὸν ἐπάνω τούτων μειράκια; ἐνταῦθά που δέος, μὴ σφαλῇ τὰ ὑπὸ νέων κυβερνώμενα. σοὶ δὲ οὐ δέος, ἐπεὶ βεβιώκαμεν.

Τοῖς σιωικοῖς.

ΩΡα καὶ λιμὸς ἦν Βάσσῳ, καίπερ ὄντι τοῦ πατρὸς εὐτυχοῦς χρημάτων. πρῶτον μὲν οὖν ἔφυγε Μεγαράδε, σὺν ἑνὶ τῶν λεγομένων ἐραστῶν. ἅμα δὲ καὶ μαστροπῶν. τροφῆς γὰρ ἀμφοτέροις ἔδει, καὶ ἐφοδίων. ἔπειτα ἐκεῖθεν εἰς συρίαν. ὑπεδέχετο δὲ τὸν ὡραῖον εὐφράτης, καὶ εἴ τις ὁμοίως ἐδεῖτο τούτου τι καλοῦ, ὥς τι αἱρεῖσθαί τι τῶν ἀτόπων δι' εὔνοιαν.

Τοῖς ἐν σάρδεσιν.

Ο Παῖς ἀλυάττου σῶσαι τὴν ἑαυτοῦ πόλιν ἀδύνατος ἐγένετο καὶ ἀμήχανος. καίπερ ὢν βασιλεύς τε καὶ κροῖσος. ὑμεῖς δὲ ποίῳ τῳ πεποιθότες ἄρα λέοντι, πόλεμον ἄσπονδον ἤρασθε. παῖδες, νέοι, πάντες, ἄνδρες γέροντες, ἀλλὰ καὶ παρθένοι, καὶ γυναῖκες. ἐριννύων νομίσαι ἄν τις τὴν πόλιν εἶναι, καὶ οὐχὶ δήμητρος. ἡ δὲ θεὰ, φιλάνθρωπος. ὑμῖν δὲ τίς ἐστὶν ὁ χόλος.

Τοῖς αὐτοῖς.

ΕΙκὸς εἰς πόλιν ἀρχαίαν τε καὶ μεγάλην, ἐθελῆσαι φιλόσοφον ἀρχαῖον παραγενέσθαι. καὶ παρεγενόμην ἂν αὐτὸς ἑκὼν, κληθῆναι μὴ περιμείνας, ὡς ὑφ' ἑτέρων πολλῶν, εἰ ποιήσειν μίαν ὑμῶν τὴν πόλιν ἔμελλον, ἤθει, καὶ φύσει, καὶ νόμῳ, καὶ θεῷ. καὶ τὸ ὅσον ἐπ' ἐμοὶ, πάντως ἂν ἐποίησα. στάσις δὲ ὡς ἔφη τις, πολέμου χαλεπώτερον.

Φοιτηταῖς.

ΔΙὰ φιλοσοφίαν εἴρηται τῶν εἰρημένων ἕκαστον, οὐ δι' εὐφράτην. μὴ τὸ πραξιτέλους ξίφος, ἢ τὸ λυσίου φάρμακον προσδοκᾶσθαι μή τις δόξῃ. καὶ τοῦτο γάρ ἐστιν εὐφράτου.

Σιτοκαπήλοις.

Η γῆ πάντων μήτηρ. δικαία γάρ. ὑμεῖς δὲ ἄδικοι ὄντες, πεποίηκατε αὐτὴν ἑαυτῶν μόνων μητέρα. καὶ εἰ μὴ παύσησθε, οὐκ ἐάσω ὑμᾶς ἐν αὐτῇ ἑστάναι.

Βασιλεὺς φραώτης ἰάρχᾳ διδασκάλῳ, καὶ τοῖς περὶ αὐτὸν σοφοῖς.

ΑΠολλώνιος ἀνὴρ σοφώτατος, σοφωτέρους ὑμᾶς ἑαυτοῦ ἡγεῖται. καὶ μαθησόμενος ἥκει τὰ ὑμέτερα, πέμπετε οὖν αὐτὸν εἰδότα, ὁπόσα ἴστε. ὡς οὐκ ἀπολεῖταί οὐδὲν τῶν μαθημάτων ὑμῶν. καὶ γὰρ λέγει ἄριστα ἀνθρώπων, καὶ μέμνηται. ἰδέτω καὶ τὸν θρόνον, ἐφ' οὗ καθίσαντί μοι, τὴν βασιλείαν ἔδωκας ἰάρχα πάτερ. καὶ οἱ ἑπόμενοι δὲ αὐτῷ ἄξιοι ἐπαίνου, ὅτι τοιοῦδε ἀνδρὸς ἥττηνται.

Απολλώνιος τοῖς αὐτοῖς.

ΑΦικομένῳ μοι πεζῇ πρὸς ὑμᾶς, ἐδώκατε τὴν θάλασσαν. ἀλλὰ καὶ σοφίας τῆς ἐν ὑμῖν κοινωνήσαντες, δεδώκατε καὶ διὰ τοῦ οὐρανοῦ πορεύεσθαι. μεμνήσομαι τούτων, καὶ πρὸς ἕλληνας. κοινωνήσω τε ὡς παροῦσι λόγων, εἰ μὴ μάτην ἔπιον τοῦ ταντάλου.

Τίτῳ βασιλεῖ.

ΜΗ βουληθέντι σοι ἐπ' αἰχμῇ κηρύττεσθαι, μηδ' ἐπὶ δηΐων αἵματι, δίδωμι ἐγὼ τὸν σωφρο-

Siuicis.

VEnuſtas & fames erat Baſſo; quamquam pater multis abundaret pecuniis: primùm igitur aufugit Megaram, cum vno ex iis quos appellant amatores, nonnunquam etiam lenones, victu enim & viatico vterque carebat. Poſt inde in Syriam. ſuſcepit autem formoſum illum Euphrates, & ſi quis ſimiliter eo qui tunc elegantia præcellebat, opus haberet, vt turpitudinis aliquid amore beneuolentiáque inflammatus admitteret.

Sardianis.

FIlius Alyathæ ciuitatem ſuam nulla ratione, nullóque conſilio potuit ſeruare, quamuis & rex eſſet & Crœſus. Vos autem neſcio quo freti Leone, bellum inexpiabile ſuſcepiſtis pueri, iuuenes imbelles vniuerſi, ſenes deliri: ſed & virgines & mulieres. Furiis aliquis ciuitatem ſacram deuotámque potiùs quàm Cereri exiſtimaret. Nam illa dea benigna humanáque eſt. vobis autem quæ tandem illa bilis venit.

Eiſdem.

COnſentaneum eſt ad antiquam vrbem & magnam, philoſophum antiquum accedere voluiſſe. Et ſanè veniſſem mea ſponte ac libenter non expectata vocatione veſtra, quemadmodum complurium aliorum, ſi ciuitatem veſtram ad concordiam animorum, naturæ, legum & religionis adducere potuiſſem, idque quantum in meis viribus eſſet, feciſſem planè. Verùm ſeditio, quemadmodum quidam dixit, longè grauior & pernicioſior bello.

Diſcipulis.

PHiloſophiæ, non Euphratæ cauſa, ſunt quælibet dicta, ne quis Praxitelis enſem à me formidatum aut Lyſiæ venenum putet. Hoc enim eſt Euphratæ.

Frumentariis.

TErra mater eſt omnium. Iuſta enim eſt. At vos eùm iniuſti ſitis, veſtram duntaxat matrem eam effeciſtis, & niſi deſtiteritis, perficiam vt vobis in ea conſiſtere non liceat.

Rex Phraotas Iarchæ præceptori, ſapientibúſque qui cum eo ſunt.

APollonius vir ſapientiſſimus, ſibimetipſi vos præcellere putat ſapientia, venítque cognitum veſtram doctrinam. Quare, quicunque ſcitis, his eum imbutum inſtructúmque dimittite. Nihil etenim eruditionis, quod in eum contuleritis, ad irritum cadet. Nam cùm eloquentia tum verò memoria vincit omnes mortales. Contempletur etiam ſellam in qua mihi ſedenti, coronam regiam imperiúmque dediſti Iarche pater. Qui verò ſequuntur eum laude digniſſimi ſunt, quòd tanto viro ſeſe ſubmiſerint.

Apollonius iiſdem.

PEditi mihi ad vos venienti, maris copiam poteſtatémque feciſtis, ſed & veſtræ ſapiêtiæ mihi participi facto, per cœlum veſtigia ferre dediſtis. Horum igitur apud Græcos etiam mentionem faciam, & quibuſuis obuiis diſputationes communicabo, ſi non fruſtrà Tantalum biberint.

Tito Regi.

SApientiæ tibi coronam tribuo, qui non haſta, nec hoſtium ſanguine volueris innoteſcere.

Nam

Nam animum geris coronatione & laurea dignum.

Demetrio Sunienſi.

DO te Tito regi præceptorem, moderatorémque regni bene rectéque gerendi. Tu verò eum, vt ego vera ſim illi locutus permittáſque ei preter iram omnia.

Imperator Veſpaſianus Apollonio Philoſopho ſalutem.

SI cunctis Apolloni Philoſophiam eodem modo tecum excercere animus eſſet, ſummam ad fœlicitatem peruenirent philoſophia & paupertas, illa, quod à decimis & mercede liberaretur hęc quod ſponte ab omnibus expeteretur.

FINIS.

στεφάνης στέφανον. ἐπειδὴ ἐφ' οἷς δεῖ στεφανοῦσθαι, γινώσκεις.

Δημητρίῳ σουνιεῖ.

ΔΙδωμί σοι βασιλεῖ τίτῳ διδάσκαλον τοῦ τῆς βασιλείας ἤθους. σὺ δὲ, ἀληθεῦσαί τέ με πρὸς αὐτὸν δίδου· καὶ γίνου αὐτῷ, πλὴν ὀργῆς, πάντα.

Αὐτοκράτωρ οὐεσπεσιανὸς ἀπολλωνίῳ φιλοσόφῳ χαίρειν.

ΕΙ πάντες ἀπολλώνιε, κατὰ ταυτά σοι φιλοσοφεῖν ἤθελον, σφόδρα ἂν εὐδαιμόνως ἐπράττον, φιλοσοφία τε καὶ πενία. φιλοσοφία μὲν ἀδεκάστως ἔχουσα. πενία δὲ αὐθαιρέτως. Ἔῤῥωσο.

Τέλος.

ΙΟΥΛΙΑΝΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ ΕΠΙΣΤΟΛΑΙ.

IVLIANI IMPERATORIS EPISTOLÆ.

EGo te iamdudum Nilum tenere putabā ſæpiúſque mihi veniebat in mentē viſitatū illud, vt fœlices Ægyptiorū pueros prædicarē qui iam olim Nilum omnium rerum procuratorē largitorémque habuiſſent, quaſcunque ferre vel vehere poſſet. Nunc verò tuam inſuper Muſam eſſent habituri, nihil equidem Nilo inutiliorem indigniorémve, meo verò iudicio precioſiorem etiam forſitan. Nam ille regionem perfluens opum diuitiarúmque vim adfert. Tu verò linguam locutionémq; tuam in animos iuuenū immittēs, ad ſcientiæ diuitias deducis, non minus quàm olim Pythagoras, cùm inter ipſos verſaretur, poſtquam hunc Plato: Hæc quidem animo agitaui. Tu verò paruo locorum interuallo disiunctus latuiſti. Cùm autem veniſſet, qui literas mihi reddidit primùm miratus, dolum in re ineſſe ſuſpicabar, nec oculis fidem ſatis habebam. Poſteaquam verò reſignatis literis non ab alio profecta munera cognouiſſem, ſenſi quid velles. Etenim quòd eſſent è vicinioribus locis miſſa putabam id mihi ſpem tui rurſum videndi confirmare debere, & gaudio ſimul maximo ſum elatus, quòd tam breui tempore famam noménque patriæ ſempiternum peperiſſes. At tu mihi videris eam ludens reprehendere. Nam aërem ſupra caput eiuſmodi, qualem tu dixiſti, ferri, & aquæ potionem in maris memoriam recordationémque bibentes inducere, itemque panem ex hordeo miſtum ad vos adferri non inficias iuerim. Et profectò minùs multa ſunt à te, fortè vt patriæ parceres, enumerata. Sed tamen ô bone vir gratias habere te patriæ oportebat, quæ mentem tuam philoſophiæ præceptis imbuiſſet, vt aliquando luxum Ægypti pro nihilo diſceres habere. Vlyſſem verò ſapientia ſumma præditum, exiguámque & aſperam inſulam habitantem (quid enim aliud præter Ithácam.) neque Calypſo allicere aut perſuadere potuit, neque naturæ in melius commutatio quo minus his Ithácam anteponendam cenſeret.

ἘΓὼ μὲν ᾤμην σε τὸν νεῖλον πάλαι κατειληφέναι. καὶ πολλάκις εἰς μνήμην λαμβάνων τοῦτο δὴ τὸ εἰωθὸς ἐμοὶ ὡς εὐδαίμονες ἔλεγον τῶν αἰγυπτίων οἱ παῖδες, πάλαι μὲν τὸν νεῖλον ἔχοντες χορηγὸν, τῶν ὅσα φέρειν οἶδεν ἐκεῖνος. νυνὶ δὲ καὶ τὴν σὴν μοῦσαν προσειληφότες οὐδὲν ἀτιμοτέραν τοῦ νείλου. παρ' ἐμοὶ δὲ κριτῇ τάχα καὶ μείζω. ὁ μὲν γὰρ τὴν χώραν αὐτῶν ἐπιῤῥέων πλουτεῖν ἐπιτρέπει. σὺ δὲ ταῖς νέων ψυχαῖς τὴν γλῶτταν ἐπαφιεὶς ἐπὶ τὸν τῆς ἐπιστήμης πλοῦτον ἰθύνεις. οὐδὲν ἔλαττον ἢ πάλαι πυθαγόρας αὐτοῖς ἐπιδημῶν καὶ μετ' ἐκεῖνον πλάτων· ταῦτα μὲν ἐλογιζόμην· σὺ δὲ οὐ μακρὰν ἀπέχων, ἐλάνθανες. ὡς δὲ ἧκεν ὁ τὴν ἐπιστολὴν ἐπιδοὺς, τὸ μὲν πρῶτον θαυμάζων, ἀπάτην ἡγούμην τὸ πρᾶγμα καὶ οὐκ ἐπειθόμην τοῖς ὀφθαλμοῖς. ὡς δὲ τοῖς γεγραμμένοις ἐντυχὼν ἐπείσθην, μὴ ἂν ἄλλου τὰς χάριτας, ᾔσθην πῶς δοκεῖς. ἐγγυτέρας γὰρ αὐτὰς ἐμοὶ τὰς δὲ πάλιν ἰδεῖν ἡγούμην ἐλπίδας καὶ συνεχαιρον εἰκότως εἰ τὴν σὴν πατρίδα ζηλοῦν τὴν μικρὰν γοῦν ἀπὸ χρόνου. σὺ δέ μοι δοκεῖς παίζων αὐτῆς κατηγορεῖν. ὅτι μὲν γὰρ τὸν ὑπὲρ κεφαλῆς ἀέρα οἷον ἔφης εἶναι συμβαίνει καὶ ὡς τὸ ὕδωρ πίνοντας εἰς μνήμην ἄγει θαλάττης, καὶ ἄρτος ὑμῖν ἐκ κριθῆς ἥκει μεμιγμένος, οὐκ ἀρνηθείην. καὶ ἔλαττον ἐξηγόρευται σοι ταῦτα φειδοῖ τῆς πατρίδος. ἀλλ' ὅμως ὦ βέλτιστε χάριν ἐχρῆν εἰδέναι ταύτῃ πρὸς φιλοσοφίαν ἀσκούσῃ τὴν γνώμην. ὥστε ἂν εἰδείης ποτὲ τρυφῆς αἰγυπτίας ὑπερορᾶν. ὀδυσσέα δὲ τὸν σοφὸν νῆσον οἰκοῦντα μικρὰν ὁμοῦ καὶ τραχεῖαν, καὶ τί γὰρ ἄλλ' ἢ τὴν ἰθάκην, οὔτε καλυψὼ πέπεικεν. οὔτε φύσεως ἐπὶ τὸ κρεῖττον μεταβολὴ, τὸ μὴ τὴν ἰθάκην ἀντὶ τούτων αἱρεῖσθαι.

ἀλλ' οὐδὲ Σπαρτιάτης οἶμαι τὴν οἴκοι δίαιταν ἐν νοῷ τὴν Σπάρτην ἐμέμψατο. ἀλλ' οἶδα πόθεν ποτὲ κατηγορεῖν ἐπήρθης· φιλοχρηματίας ἔχεις ὦ λῷστε. εἶτα βραχὺ ὅτι τοῦ λήμματος ἀποστὰς ἰοῦ ἰοῦ βοᾷς· καὶ τὸν Νεῖλον πολλάκις καὶ τὸν ἐκεῖθεν πλοῦτον ἀνακαλῇ. τοῦτό που σε ξένον ὡς αὐτὸς ἔφης ποιεῖ. καὶ τὸ σῶμα, τοῦ Χαιρεφῶντος οὐδὲν ἀστειότερον ἔχειν. οἶμαι δὲ σε καὶ νύμφης ἐρωτικῆς περιέχεσθαι. καὶ πειρᾶσθαι μόλις ὁπόσα δύναται πόθος. ἀλλὰ γιγνέσθω ταῦθ' οὕτως ὅπως ἀφροδίτῃ φίλον.

Ἔρρωσο καὶ ἔρρωσο καί σε θᾶττον προσείποιμι καὶ παίδων πατέρα.

Sed ne Spartiata quidem, vt arbitror, domeſtica viuendi ratione conſiderata, Spartam reprehenderet. At ſcio, quibus cauſſis adductus eam accuſes cupiditate pecuniæ laboras vir optime. Deinde, cùm paulùm à lucro deſtitiſti, heu heu vociferaris, Niliúnque & eius diuitias reuocas. Hoc te peregrinum vt ipſe dicis, efficit, ſimúlque vt corpus non minùs elegans Chærephonte habeas. Inſuper à puella amoribus dedita te detineri arbitror, vixque experiri, quæ fert deſiderium. verùm hæc ita cadãt, vt veneri libitum erit. valebis & valetudinem tuã cura & fac, vt ſtatim te liberorum etiam patrẽ appellemus.

Προαιρεσίῳ.

Τί δὲ οὐκ ἔμελλον ἐγὼ Προαιρέσιον τὸν καλὸν προσαγορεύειν, ἄνδρα ἐπιχέοντα τοὺς λόγους ὥσπερ οἱ ποταμοὶ τοῖς πεδίοις ἐφ' ἅπασι τὰ ῥεύματα, καὶ ζηλοῦντα τὸν Περικλέα κατὰ τοὺς λόγους ἔξω τοῦ συνταράττειν καὶ συγκυκᾶν τὴν Ἑλλάδα. θαυμάζειν δὲ οὐ χρή, τὴν λακωνικὴν εἰ πρὸς σὲ βραχυλογίαν μιμησαίμην. ὑμῖν γὰρ πρέπει τοῖς σοφοῖς μακροὺς καὶ μεγάλους ποιεῖσθαι λόγους ἡμῖν δὲ ἀρκεῖ καὶ τὰ βραχέα πρὸς ὑμᾶς· ἴσθι δὴ τὰ μὲν πολλὰ πανταχόθεν κύκλῳ πράγματα ἐπιρρέοντα. τὰς αἰτίας εἰ μὲν ἱστορίαν γράφεις, ἀκριβέστατα ἀπαγγελλῶ σοι. δοὺς τὰς ἐπιστολὰς ὑποδείξεις ἐγγράφους. εἰ δὲ ἔγνωκας ταῖς μελέταις καὶ τοῖς γυμνάσμασιν εἰς τέλος ἄχρι γήρως προσκαρτερεῖν, οὐδὲν ἴσως μου τὴν σιωπὴν μέμψῃ.

Proæreſio.

QVid ego Proæreſium nõ egregium appellarẽ, hominem, quemadmodum fluuij campos, fluctibus ita verba perfundentem, æmulatorémque Periclis in dicendo, extra Græciæ perturbationem atque colluſionem. Nec verò mirandum eſt, ſi Laconicam erga te breuiloquentiam imitatus fuero. Vos enim ſapientes decet, longis & prolixis orationibus vti. Nobis verò vel pauca ſufficiunt erga vos. Sic tibi perſuaſum habeto, multa mihi vndequaque negotia imminere. Cauſſas verò ſi ſcribis hiſtoriam exactiſſimè tibi nunciabo per literas quaſi ſcripta teſtimonia. Sin in his exercitiis & docendo perpetuò ad ſenectutem vſque perſeuerare certum eſt, nihil fortaſſe meum ſilentium accuſabis.

Λιβανίῳ.

Ἐπειδὴ τῆς ὑποσχέσεως ἐπελάθου. τρίτη γοῦν ἐστὶ σήμερον. καὶ ὁ φιλόσοφος Πρίσκος αὐτὸς μὲν οὐχ ἧκε. γράμματα δὲ ἀπέστειλεν ὡς ἔτι χρονίσων, ὑπομιμνήσκω σε τὸ χρέος ἀπαιτῶν. ὄφλημα δέ ἐστιν ὡς οἶσθα σοὶ μὲν ἀποδοῦναι ῥᾴδιον. ἐμοὶ δὲ ἥδιστον πάνυ κομίσασθαι. πέμπε δὴ τὸν λόγον καὶ τὴν ἱερὰν συμβουλὴν ἀλλὰ πρὸς Ἑρμοῦ καὶ Μουσῶν, ταχέως. ἀλλὰ καὶ τούτων μετὰ τριῶν ἡμερῶν ἴσθι συντρίψας. εἴπερ ἀληθῆ φησιν ὁ Σικελιώτης ποιητής, ἐν ἤματι φάσκων τοὺς ποθοῦντας γηράσκειν. εἰ δὲ ταῦτά ἐστιν ὥσπερ οὖν ἐστι, τὸ γῆρας ἡμῖν ἐτριπλασίασας ὦ γενναῖε. ταῦτα μεταξὺ τῆς πράξεως ὑπηγόρευσά σοι. γράφειν γὰρ οὐχ οἷός τε ἦμην, ἀργοτέραν ἔχων τῆς γλώττης τὴν χεῖρα. καί μοι καὶ τὴν γλῶτταν εἶναι συμβέβηκεν ὑπὸ τῆς ἀγυμνασίας ἀργοτέραν καὶ ἀδιάρθρωτον. ἔρρωσό μοι ἀδελφὲ ποθεινότατε καὶ προσφιλέστατε.

Libanio.

QVoniam promiſſi te cepit obliuio. Nam hodierna dies eſt tertia, neque Philoſophus Priſcus ipſe venit, ſed literas miſit, vnde certum ſit eum morá rebus iniecturum, in memoriam tibi redigo, debitúmque repoſco. Eſt autem vt ſcis tibi perfacile debitum ſoluere, mihi verò gratiſſimum recipere. Proinde fac vt mittas orationem, ſanctúmque conſilium. Sed per Mercurium & Muſas celeriter. Nam hoc etiam triduo me propemodum euectum à te ſcito, ſi credimus Siculo vati, qui dicit vno die cupientes ſeneſcere. Quòd ſi hæc ita ſunt, vt certè ſunt, triplicaſti nobis ſenectutem, ô Generoſe. Hæc inter agendum tibi prædixi. Nam ſcribere non poteram, cùm manus linguam nequaquam aſſequeretur. Et mihi ſanè lingua quoque propter omiſſam exercitationem tardior atque implicatior erat. Vale frater exoptatiſſimè, & chariſſimè.

Ἀριστομένει Φιλοσόφῳ.

Ἄρά γε χρὴ περιμένειν κλῆσιν καὶ τὰ ἀεὶ προσημᾶν μηδαμοῦ; ἀλλ' ὅρα μὴ χαλεπὴν ταύτην εἰσαγάγωμεν τὴν νομοθεσίαν, εἰ ταῦτα χρὴ παρὰ τῶν φίλων περιμένειν, ὅσα καὶ παρὰ τῶν ἄλλων καὶ ὡς ἔτυχε γνωρίμων. ἀπορήσει τις ἐν τούτῳ. πῶς δὲ οὐκ εἰδότες ἀλλήλους ἐσμὲν φίλοι, πῶς δὲ τοῖς πρὸ χιλίων ἐτῶν γεγονόσι, καὶ ναὶ μὰ Δία δισχιλίων. ὅτι σπουδαῖοι πάντες ἦσαν. καὶ τὸν τρόπον καλοί τε κἀγαθοί. ἐπιθυμοῦμεν δὲ καὶ ἡμεῖς εἶναι τοιοῦτοι. εἰ καὶ τοῦ εἶναι τό γε εἰς ἐμὲ παμπληθὲς ἀπολειπόμεθα. πλὴν, ἀλλ' ἥ γε ἐπιθυμία, τάττει πως ἡμᾶς εἰς τὴν αὐτὴν ἐκείνοις μερίδα.

Ariſtomeni Philoſopho.

ERgon' expectanda vocatio ſemper eſt, non autem fauor & iudicium? Sed vide, quàm difficilem ferendarum legum rationem introducamus, ſi ſunt ab amicis eadem expectanda, quæ à ſimplicibus & vulgariter notis: Hic addubitarit aliquis. Quid verò ſit impedimento, cùm ſimus inuicem ſatis noti, quò minùs inter nos ſit amicitia? Quamobrem iis, qui mille vel etiam bis mille annis antè atauorum memoria vixerunt, amici ſumus? Quoniam omnes fuerunt virtute præditi, & ingenio bono atque honeſto. Nos verò quoque tales eſſe cupimus: quamuis quod ad me quidem pertinet, abeſt plurimũ, vt ſim. At volũtas & deſideriũ ipſum, quodãmodo nos in eodem cum illis numero ponit.

Et quid

Et quid ego pluribus verbis in hoc ineptus ſum? Siue enim non accerſito veniendum eſt, venies profectò, ſiue vocationem expectandam putas, ecce præſtò eſt tibi miſſa à nobis vocatio. Quamobrem obſecro te obteſtórque per Iouem hoſpitalem, vt venias. Oſtende nobis virum inter Cappadoces verè & genuinè Græcum. Hactenus enim partim nolentes, partim volentes quidem nonnullos eóſque paucos, ſed ignorantes modum ac rationem, rem diuinam obire conſpicio.

Iulianus Theodoræ pudiciſsimæ.

MIſſos abs te libellos & epiſtolas omnes libentiſſimè accepi ab optimo viro Mygdonio: víxque agens otium, quòd Dij norunt, in diſputando diſſerédóque indefeſſum hęc ad te reſcripſi. Tu bene valeas, & nunquam non eiuſmodi ſcribas.

Ecdicio Ægyptiorum principi.

QVanquam de alijs nullas ad nos literas mittis: at de Dijs infeſto Athanaſio, tibi ſcribendum erat, præſertim cùm exploratum haberes, quæ nos longo tempore antè pulcherrima decreta edidiſſemus. Iuro per magnum Sarapim niſi ante Calendas Decembris Dijs iniquus Athanaſius egreſſus fuerit ex illa, immò vniuerſa Ægypto, decem auri libras in excercitum me erogaturum, qui mihi dicto ſit audiens. Scis, quàm tardus ſim in condemnando, multò autem tardior in remittendo, poſtquam damnatio conſtituta ſemel eſt. Et hoc mihi moleſtum eſt, ab eius manu Deos omnes deſpicatui haberi. Nihil ſic video at ne audio quidem à te geſtum, vt Athanaſium, ex omnibus Ægypti locis fugatum expuleris, hominem omni ſcelere coopertum, qui ſit auſus illuſtres Græcas apud me fœminas, ad Baptiſmum vocare.

Artabio.

EGo per Deos immortales, neque morte neque verberibus, neque quouis alio malo Galilæos, præter ius & æquitatem affici volo: verùm pios in honore maximo habendos edico prorſus. Etenim propter ſtoliditatem Galilæorum, ferè ſunt euerſa perditáque omnia. Propter Deorum vero beneuolentiam & fauorem, conſeruamur omnes. Vnde cultus Dijs eſt præſtandus, tum etiam honor pijs viris & ciuitatibus.

Georgio.

VEniſti Telemache inquit carmen. Ego verò etiam te vidi literis & effigiem animi tui ſanctiſſimi, quaſi in paruo quodam ſigillo magni characteris typum expreſſum animaduerti. Etenim in paucis demonſtrari per multa poſſunt: ſiquidem & Phidias ſapiens, non ex ea ſolùm ſtatua, quę Olympiis aut Athenis erat poſita, cognoſcebatur, ſed exiguæ quoque ſculpturæ, artis maximæ ſignum atque opus poterat includere: cuiuſmodi dicunt eius cicadam & apem eſſe. Quibus ſi vis, adde muſcam etiam, quę quamuis ærata ſint natura, tamen ab arte quaſi quandam animam acceperunt. Verùm in illis fortaſſe, paruitas animalium etiam illi ad artis concinnitatem, adiumentum attulit. Atqui tu Alexandrū in equo venationibus intentū cōſidera, cuius tota meſura, inſtar vnguis in digito man⁹ eſt, nec vltrà. Sic verò ſingula ſūt admirationis & induſtriæ

καὶ τὰ τοιαῦτα ἐγὼ λῆρον μακρὸν ἡγοῦμαι. εἴτε γὰρ ἄκλητον ἰέναι χρὴ, ἥξεις δήπουθεν. εἴτε καὶ κλῆσιν περιμένεις, ἰδοὺ σοι καὶ ἡ παράκλησις ἥκει παρ' ἡμῶν· ἔντυχε οὖν ἡμῖν περὶ τὰ τοιαῦτα πρὸς Διὸς ξενίου. δεῖξον ἡμῖν ἄνδρα ἐν Καππαδόκαις καθαρῶς Ἕλληνα. τέως γὰρ τοὺς μὲν οὐ βουλομένους. ὀλίγους δέ τινας ἐθέλοντας μὲν, οὐκ εἰδότας δὲ, θύειν ὁρῶ.

Ἰουλιανὸς Θεοδώρᾳ τῇ αἰδεσιμωτάτῃ.

ΤΑ πεμφθέντα παρὰ σοῦ βιβλία πάντα ὑπεδεξάμην καὶ τὰς ἐπιστολὰς ἀσμένως διὰ τοῦ βελτίστου Μυγδονίου· καὶ μόγις ἄγων σχολὴν, ὡς ἴσασιν οἱ θεοὶ, οὐ κακιζομένην λόγῳ, ταῦτα ἀντέγραψα πρὸς σέ. σὺ δὲ εὖ πράττοις. καὶ γράφοις ἀεὶ τοιαῦτα.

Ἐκδικίῳ ἐπάρχῳ αἰγυπτίων.

ΕΙ καὶ τῶν ἄλλων ἕνεκα μὴ γράφεις ἡμῖν, ἀλλ' ὑπέρ γε τοῦ τοῖς θεοῖς ἐχθροῦ ἐχρῆν σε γράφειν Ἀθανασίου. καὶ ταῦτα περὶ πλείονος ἤδη χρόνου τὰ καλῶς ἡμῖν ἐγνωσμένα πεπυσμένον. ἐπόμνυμι δὲ τὸν μέγαν Σάραπιν, ὡς εἰ μὴ πρὸ τῶν δεκεμβρίων καλανδῶν ὁ θεοῖσιν ἐχθρὸς Ἀθανάσιος ἐξέλθοι, ἐκείνης μᾶλλον δὲ πάσης τῆς Αἰγύπτου, τῇ ὑπακουούσῃ τάξει προστιμήσαιμι χρυσοῦ λίτρας ἑκατόν. οἶσθα δὲ πῶς εἰμὶ βραδὺς μὲν εἰς τὸ καταγνῶναι. πολλῷ δὲ ἔτι βραδύτερος εἰς τὸ ἅπαξ καταγνοὺς ἀνεῖναι. καὶ τῇ αὐτῇ χειρί. πάνυ με λυπεῖ τὸ καταφρονεῖσθαι τοὺς θεοὺς πάντας· οὐδὲν οὕτως ἴδοιμι μᾶλλον δὲ ἀκούσαιμι μηδενὸς παρὰ σοῦ πραχθέντος, ὡς Ἀθανάσιον ἐξεληλαμένον τῶν τῆς Αἰγύπτου τόπων, τὸν μιαρόν. ὃς ἐτόλμησεν ἑλληνίδας ἐπ' ἐμοῦ γυναῖκας τῶν ἐπισήμων, βαπτίσαι διώκεσθαι.

Ἀρταβίῳ.

ΕΓὼ νὴ τοὺς θεοὺς, οὔτε κτείνεσθαι τοὺς Γαλιλαίους οὔτε τύπτεσθαι παρὰ τὸ δίκαιον οὔτε ἄλλο τι πάσχειν κακὸν βούλομαι. προτιμᾶσθαι μέντοι τοὺς θεοσεβεῖς, καὶ πάνυ φημὶ δεῖν. διὰ γὰρ τὴν Γαλιλαίων μωρίαν, ὀλίγου δεῖν ἅπαντα ἀνετράπη. διὰ δὲ τὴν τῶν θεῶν εὐμένειαν, σωζόμεθα πάντες. ὅθεν χρὴ τιμᾶν τοὺς θεούς. καὶ τοὺς θεοσεβεῖς ἄνδρας τε καὶ πόλεις.

Γεωργίῳ.

ΗΛυθες Τηλέμαχε φησὶ τὸ ἔπος. ἐγὼ δέ σε καὶ εἶδον ἤδη τοῖς γράμμασι καὶ τῆς ἱερᾶς σου ψυχῆς τὴν εἰκόνα, καθάπερ ὀλίγῃ σφραγῖδι μεγάλου χαρακτῆρος τύπον ἀπεμαξάμην. ἔστι γὰρ ἐν ὀλίγῳ πολλὰ δειχθῆναι. ἐπεὶ καὶ Φειδίας ὁ σοφὸς οὐκ ἐκ τῆς Ὀλυμπίασι μόνον ἢ Ἀθήνησιν εἰκόνος ἐγνωρίζετο. ἀλλ' ἤδη καὶ μικρῷ γλύμματι μεγάλης τέχνης ἔργον ἐγκλεῖσαι. οἷον δὴ τὸν τέττιγά φασιν αὐτοῦ καὶ τὴν μέλιτταν, εἰ δὲ βούλει καὶ τὴν μυῖαν, εἶναι. ὧν ἕκαστον εἰ καὶ τῇ φύσει κεχάλκευται, τῇ τέχνῃ ἐμψύχωται. ἀλλ' ἐν ἐκείνοις μὲν ἴσως αὐτῷ καὶ ἡ σμικρότης τῶν ζώων, εἰς τὴν κατὰ λόγον τέχνην, τὸ εἰκὸς ἐχαρίζετο· σὺ δὲ ἀλλὰ τὸν ἐφ' ἵππου θηρεύοντα Ἀλέξανδρον εἰ δοκεῖ, σκόπει· οὗ τὸ μέτρον ἐστὶ πᾶν, ὄνυχος δακτύλου χειρὸς, οὐ μεῖζον. οὕτω δὲ ἐφ' ἑκάστου τὸ θαῦμα τῆς τέχνης

δείκνυται, ὥσπερ εἰ μὲν Ἀλέξανδρος τὸ θηρίον βάλλει, καὶ τὸν θεατὴν φοβεῖ, δι' ὅλου δυσωπῶν τῷ σχήματος· ὁ δὲ ἵππος ἐν ἄκρα τῶν ποδῶν τῇ βάσει, τὴν στάσιν φεύγων, ἐν τῇ τῆς ἐνεργείας κλοπῇ, τῇ τέχνῃ κινεῖ). ὃ δὴ καὶ αὐτὸς ἡμῖν διηγημένος ἐποίεις· ὥσπερ γὰρ ἐν Ἑρμοῦ λογίου σταδίοις δι' ὅλου πολλάκις τοῦ δρόμου στεφανωθεὶς ἤδη, δι' ὧν ἐν ὀλίγοις γράφεις, τῆς ἀρετῆς τὸ ἄκρον ἐμφαίνεις· καὶ τὸν ὄντως τὸν Ὀδυσσέα τὸν Ὁμήρου ζηλοῖς. ὅς γε καὶ μόνον εἰπὼν ἤρκει τοὺς Φαίακας ἐκπλῆξαι. εἰ δή τι καὶ παρ' ἡμῶν τυχεῖν σε φιλικοῦ δεῖν, φθόνος οὐδείς. πάντως που καὶ παρὰ τῶν ἡττόνων εἶναί τι χρηστόν, ὁ μῦς τὸν λέοντα τοῖς μύθοις σώσας, ἀρκούντως δείκνυσι.

Ἐκδικίῳ ὑπάρχῳ Αἰγύπτου.

Ἄλλοι μὲν ἵππων. ἄλλοι δὲ ὀρνέων. ἄλλοι θηρίων ἐρῶσιν. ἐμοὶ δὲ βιβλίων κτήσεως ἐκ παιδαρίου δεινὸς ἐντέτηκε πόθος· ἄτοπον οὖν εἰ ταῦτα περιίδοιμι σφετερισαμένους ἀνθρώπους, οἷς οὐκ ἀρκεῖ τὸ χρυσίον ἀναπλῆσαι τὸν πολὺν ἔρωτα τοῦ πλούτου. πρὸς δὲ καὶ ταῦτα ὑφαιρεῖσθαι ῥᾴδιον ὑπὸ διανοούμενος. ταύτην οὖν μοι ἰδίαν τινὰ δὸς χάριν. ὅπως ἂν εὑρεθείη πάντα τὰ Γεωργίου βιβλία. πολλὰ μὲν γὰρ ἦν φιλόσοφα παρ' αὐτῷ. πολλὰ δὲ ῥητορικά. πολλὰ δὲ ἦν καὶ τῶν τῆς τῶν Γαλιλαίων διδασκαλίας. ἃ βουλοίμην μὲν ἠφανίσθαι πάντη. τὸ δὲ μὴ σὺν τούτοις ἀφαιρεθῆναι τὰ χρησιμώτερα, ζητείσθω κἀκεῖνα μετ' ἀκριβείας ἅπαντα. ἡγεμὼν δὲ σοι τῆς ζητήσεως ἔστω οὗτος, ὁ νοτάριος Γεωργίου· ὃς μετὰ πίστεως ἀνιχνεύσας αὐτὰ γέρας ἴστω τευξόμενος ἐλευθερίας. εἰ δ' ἄλλως γένοιτο κακοῦργος περὶ τὸ πρᾶγμα, βασάνων εἰς πεῖραν ἥξων. μετέδωκε γάρ μοι περὶ τὴν Καππαδοκίαν ὄντι πρὸς μεταγραφὴν τινά. καὶ ταῦτα ἔλαβεν πάλιν.

Ἰουλιανὸς Βυζαντίοις.

Τοὺς βουλευτὰς πάντας ὑμῖν ἀποδεδώκαμεν καὶ τοὺς πατροβούλους, εἴτε τῇ Γαλιλαίων ἑαυτοὺς ἔδοσαν θρησκείᾳ, εἴτε ὅπως ἄλλως πραγματεύσαιντο, διαδρᾶναι τὸ βουλευτήριον, ἔξω τῶν ἐν τῇ μητροπόλει λελειτουργηκότων.

Βασιλείῳ.

Ἡ μὲν παροιμία φησίν, οὐ πόλεμον ἀγγέλλεις. ἐγὼ δὲ προσθείην ἐκ τῆς κωμῳδίας, ὦ χρυσὸν ἀγγείλας ἔπη. ἴθι δὴ τοῖς ἔργοις αὐτὸ δεῖξον. καὶ σπεῦδε παρ' ἡμᾶς. ἀφίξῃ γὰρ φίλος παρὰ φίλον. ἡ δὲ περὶ τὰ πράγματα κοινὴ καὶ συνεχὴς ἀσχολία, δοκεῖ μὲν εἶναί πως τοῖς μὴ πάρεργον αὐτὸ ποιοῦσιν ἐπαχθής. οἱ δὲ τῆς ἐπιμελείας κοινωνοῦντες, εἰσὶν ἐπιεικεῖς ὡς ἐμαυτὸν πείθω καὶ συνετοί. καὶ πάντες ἱκανοὶ πρὸς πάντα. δίδωσι οὖν μοι ῥαστώνας ὥστε ἐξεῖναι μηδὲν ὀλιγωροῦντι καὶ ἀναπαύεσθαι. σύνεσμεν γὰρ ἀλλήλοις μετὰ τῆς αὐλικῆς ὑποκρίσεως μόνης, ἧς οἶμαί σε μέχρι τοῦ δεῦρο πεπειρᾶσθαι, καθ' ἣν ἐπαινοῦντες, μισοῦσι τηλικοῦτον μῖσος ἡλίκον οὐδὲ τοὺς πολεμιωτάτους, ἀλλὰ μετὰ τῆς προσηκούσης ἀλλήλοις ἐλευθερίας ἐξελέγχοντές τε ὅταν δέῃ, καὶ ἐπιτιμῶντες, οὐκ ἔλαττον φιλοῦμεν ἀλλήλους τῶν σφόδρα ἑταίρων. ἔνθεν ἔξεστιν ἡμῖν, ἀπείη δὲ φθόνος ἀνειμένοις τε σπουδάζειν, καὶ σπουδάζουσι μὴ ταλαιπωρεῖσθαι.

plena, vt cùm feram Alexander petit, ſpectatorem etiam vultus toruitate prætereat. Equus autẽ ſummis pedibus fugiens concertationem latente quadam agitatione atque arte mouetur. Quòd idem tu nobis ô generoſe feciſti. Tanqoam enim in Mercurij ſapientis & facundi ſtadiis perſæpe iam vniuerſo curſu lauream promeritus: ita in his paucis quæ ſcribis, virtutis ſummam & caput ob oculos ponis. Et reuera Vlyſſem Homericum imitaris, cui ſatis erat verbo ſolùm Pheacis metum inucere. Quòd ſi quid à nobis etiam amicitiæ cauſſa requiritur, nihil repugnamus. Nam omninò poſſe etiam ab inferioribus aliquid commodi proficiſci, mus Leonem precio ſeruãs, manifeſtò ſatis comprobat.

Eudicio principi Ægypti.

ALios equi, multos aues, Nonnullos etiam feræ ad ſui ſtudium quadam oblectatione ducunt. Mihi verò comparandorum librorum incredibile deſiderium inſitum à prima pueritia fuit. Turpe foret igitur, ſi raptores horum homines negligerem, quibus nullum aurum, diuitiarum amorem & cupiditatem explere poteſt, præſertim cùm eos nullo negotio ſurripi poſſe intelligam. Hanc itaque mihi vilem ac priuatam gratiam præſta, vt omnes Georgij libri reperiantur. Multos enim ſecum habuit de philoſophia præclariſſimè conſcriptos, multos de ratione dicendi. Non paucos etiam de Galilæorum doctrina & ſuperſtitione: quos quidem ego in vniuerſum ſublatos & deletos velim. Verùm ne cùm his etiam vtiliores auferantur, quærendi ſunt omnes quoque illi ſummo cum ſtudio ſummáque diligentia. Huius autem inqoiſitionis dux eſto tibi, notarius Georgij qui ſi bona fide eos inueſtigarit & conquiſierit, præmij loco ſe libertatem adepturum ſciat. Sin ſecus in ea re ſe perfidum & fallacem oſtenderit: in quæſtiones tractum iri. Nam cùm eſſem in Cappadocia, nonnullos mihi tranſcribendos impertiuit. eóſque rurſus recepit.

Iulianus Byzantiis.

SEnatores omnes vobis reddidimus & patricidas: ſiue Galilæorum religioni ſe dediderunt: ſiue quomodolibet curiam effugere ſtuduerint: exceptis iis qui in Metropoli munera publica obierunt.

Baſilio.

PRouerbium habet. Non bellum nuncias. Ego verò addiderim è comœdia. O aurea verba nũcians. Quare fac vt rebus id exprimas, & ad nos propera: venies enim amicus ad amicum. Communis autem & diuturna in negotiis occupatio, videtur quidem illis, qui non id obiter ac remiſsè faciunt moleſta & grauis. At qui communicant operas his mea quidem opinione manſuetudinis & prudentiæ laus tribuenda eſt. Nam omnes omnia poſſunt. Quare mihi relaxationẽm do vt liceat etiam nihil negligenti, quietem agere. Conſuetudinem enim ac familiaritatem exercemus, non quidem aulica ſimulatione, quam hactenus te expertum arbitror: qua qui laudant, grauius inimicis oderunt, ſed iuſta quadam & conueniente libertate reprehendimus mutuò cùm eſt opus atque obiurgamus, nec minus tamẽ amore ſumus cõiuncti quàm qui ſunt cõiũctiſſimi. Vnde licet nobis: (abſit inuidia:)

& cum animi remiſſione ſeria tractare, & ſeria tractando nō defatigari: itémque ſine metu ſomnum capere, ſiquidem qui vigilat, nō tam ſuipſius quam omnium cauſſa excubias agit, vt videtur. Hæc forſitan apud te ſtolidius nugatus ſū & ineptiui. Memetipſum enim laudaui, quemadmodū Aſtydamas. Verùm vt tibi perſuaderem, magis nobis vtilem tuum aduentum & præſentiam fore, tâquam hominis ſapientis, quàm temporis aliquid iacturam importaturū hæc ſcribere inſtitui. Proinde feſtinabis vt dixi publico curſu, mora autē apud nos quàm diu voles, facta quocunque deinceps viſum fuerit, à vobis dimiſſus vt par eſt proficiſceris.

καθεύδει δὲ ἀδεῶς. ἐπεὶ καὶ ἐγρηγορὼς οὐχ ὑπὲρ ἑαυτοῦ μᾶλλον ἢ καὶ ὑπὲρ τῶν ἄλλων ἁπάντων ὡς εἰκὸς ἐγρήγορε. ταῦτα ἴσως κατηδολέσχησά σου καὶ κατελήρησα. παθών τι βλακῶδες· ἐπῄνεσα γὰρ ἐμαυτὸν ὥσπερ Ἀστυδάμας. ἀλλ᾽ ἵνα σε πείσω ὅτι προὐργιαίτερον μᾶλλον ἡμῖν τὴν σὴν παρουσίαν ἅτε ἀνδρὸς ἔμφρονος ποιήσειν ἢ παραιρήσεσθαί τι τοῦ καιροῦ, ταῦτα ἐπέστειλα. σπεῦδε οὖν ὅπερ ἔφην δημοσίῳ χρησάμενος δρόμῳ. συνδιατρίψας δὲ ἡμῖν ἐφ᾽ ὅσον σοι φίλον, ὅπη περ ἂν ἐθέλῃς ὑφ᾽ ἡμῶν πεμπόμενος, ὡς προσήκει ἔξει βαδίζειν.

Iulianus Iuliano patruo ſuo.

HOra tertia ſub initiū noctis, cùm neq; qui deſcriberet haberem, quòd omnes erāt negotiis diſtricti, vix hæc ad te ſcribere potui. Viuimus deorū beneficio iam liberi ne quid indignū patiamur, aut perpetremus ipſi. Teſtē ſolē facio, quē maximè ſum precatus, vt opē mihi ferret, & Iouē regē, nunquā in animū me induxiſſe Cōſtantiū morte afficere: immò deprecatū eſſe. Quid igitur veni? Quoniā apertè mihi mādatū hoc Dij dederūt, ſalutē in præmiū mihi pollicētes: ſi audiēs dicto eſſē: ſin manerē quòd Dij omnes auertāt: maximè verò quòd etiam me declaratum dūtaxat hoſtem illi terrorem incuſſurum arbitrarer, & rem ad æqua & iuſta colloquia perductū iri. Sin pugna decernere ſtatuerit, omnibus rebus in fortunæ Deorúmque fidem cōmiſſis, expectaturum me, quem illorum beneuolentia euentum daret.

Ἰουλ. πρὸς Ἰουλιανὸν θεῖον.

ΤΡίτης ὥρας νυκτὸς ἀρχομένης, οὐκ ἔχων οὐδὲ τὸν ὑπογράφοντα διὰ τὸ πάντας ἀσχολεῖσθαι, μόλις ἴσχυσα πρὸς σὲ ταῦτα γράψαι. ζῶμεν διὰ τοὺς θεοὺς ἐλευθερωθέντες τοῦ παθεῖν ἢ δρᾶσαι τὰ ἀνήκεστα· μάρτυς δὲ ὁ ἥλιος ὃν μάλιστα πάντων ἱκέτευσα συναίρεσθαί μοι. καὶ ὁ βασιλεὺς Ζεύς, ὡς οὐ πώποτε ηὐξάμην ἀποκτεῖναι Κωνστάντιον. μᾶλλον δὲ ἀπηυξάμην. τί οὖν ἦλθον; ἐπειδή μοι οἱ θεοὶ διαρρήδην ἐκέλευσαν σωτηρίαν μὲν ὑπισχνούμενοι πειθομένῳ· μένοντι δὲ ὃ μηδεὶς θεῶν ποιήσειεν· ἄλλως τε ὅτι καὶ πολέμιος ἀποδειχθεὶς ᾤμην φοβῆσαι μόνον. καὶ εἰς ὁμιλίας ἥξειν ἐπιεικεστέρας τὰ πράγματα. εἰ δὲ μάχῃ κριθείη, τῇ τύχῃ ἅπαντα καὶ τοῖς θεοῖς ἐπιτρέψας, περιμένειν ὅπερ ἂν αὐτῶν τῇ φιλανθρωπίᾳ δόξῃ.

Iulianus Libanio.

ORationem ante prandium heſterno die propemodū totā legi. Finito prandio, priuſquā quieti me darē, reliquū lectionis adieci. Beatus es, qui iſto modo dicere, immò ſapere tantùm poſſis. O facundiam, ô ſapientiā, ô prudentiā ô ſollertiā, in diſcernēdo ô Epichiremata, ô ordinē, ô aptitudinē, ô dictionem, ô coherentiam, ô compoſitionem.

Ἰουλιανὸς Λιβανίῳ.

ΑΝέγνων χθὲς τὸν λόγον πρὸ ἀρίστου σχεδόν. ἀριστήσας δέ, πρὶν ἀναπαύσασθαι, τὸ λοιπὸν προσαπέδωκα τῆς ἀναγνώσεως. μακάριος εἶ λέγειν οὕτω, μᾶλλον δὲ φρονεῖν οὕτω δυνάμενος. ὢ λόγος· ὢ φρένες· ὢ σύνεσις· ὢ διαίρεσις· ὢ ἐπιχειρήματα· ὢ τάξις. ὢ ἀφορμαί. ὢ λέξις· ὢ ἁρμονία· ὢ συνθήκη.

Iulianus Maximino philoſopho.

ALexandrum Macedoniæ regem ſuper Homeri carminibus dormire ſolitū fama eſt: vt nocte dieque bellicas res ab illo conſcriptas verſaret. Nos verò tuis epiſtolis, tanquam medicis quibuſdā pharmacis indormimus neque deſinimus vnquam volutare & percurrere, quaſi nouas adhuc & recens in manus veniētes. Quamobrem ſi vis nobis effigiem tuæ præſentiæ, literarum tuarum colloquia conciliare, ſcribe, neque ceſſa frequēter id facere: immò venias ipſe bonis auſpiciis. Sic enim tibi perſuaſum habe, non poſſe nos dum tu abes, quod vitam agamus, affirmare, niſi tunc ſolum cùm tuas literas legendi datur facultas.

Ἰουλιανὸς Μαξίμῳ φιλοσόφῳ.

ΑΛέξανδρον μὲν τὸν Μακεδόνα τοῖς Ὁμήρου ποιήμασιν ἐφυπνοῦν ἔχει λόγος· ἵνα δὴ καὶ νύκτα καὶ μεθ᾽ ἡμέραν αὐτοῦ τοῖς πολεμικοῖς ὁμιλῇ συνθήμασιν. ἡμεῖς δέ σου ταῖς ἐπιστολαῖς ὥσπερ παιωνίοις τισὶ φαρμάκοις συγκαθεύδομεν. καὶ οὐ διαλείπομεν ἐντυγχάνοντες ἀεί, καθάπερ νεαραῖς ἔτι, καὶ πρῶτον εἰς χεῖρας ἡκούσαις· εἴπερ οὖν ἐθέλεις ἡμῖν εἰκόνα τῆς σῆς παρουσίας τὴν ἐν τοῖς γράμμασιν ὁμιλίαν προξενεῖν, γράφε καὶ μὴ λῆγε συνεχῶς τοῦτο πράττων. μᾶλλον δὲ ἧκε σὺν θεοῖς. ἐνθυμούμενος, ὡς ἡμῖν γ᾽ ἕως ἂν ἀπῇς, οὐδὲ ὅτι ζῶμεν, εἰπεῖν ἔστιν. ἢ ὅτι μόνον τοῖς παρὰ σοῦ γραφομένοις ἐντυχεῖν ἔξεστιν.

Iulianus eidem.

Ἰουλιανὸς τῷ αὐτῷ.

AQuilam ferunt, cùm genuinos fœtus examinat & probat, implumes adhuc ad Æthera ferre, atque ad Solis radios admouere, vt Deo teſte reuera pulli genitor eſſe comprobetur, & adulterina ſobole prorſus liberetur. Non verò tanquam eloquentiſſimo ſapientiſſimóque Mercurio, tibi noſtras orationes tradimus. Qui ſi tuas aures ſuſtinuerint atque euaſerint, tibi iudicium de his ferendi poteſtas erit, quanquam reliquorum quidem iudicio iam plumati ſunt aptique ad volandum:

ΟΜὲν μῦθος ποιεῖ τὸν ἀετόν, ἐπειδὰν τὰ γνήσια τῶν κυημάτων βασανίζῃ, φέρειν ἄπτιλα πρὸς τὸν αἰθέρα. καὶ τῷ ἡλίῳ προσάγειν ἀκτῖσιν. ὥσπερ ὑπὸ μάρτυρι τῷ θεῷ, πατέρα τὸ ἀληθῶς νεοττῶν γραφόμενον καὶ νόθου γονῆς ἀλλοτριούμενον. ἡμεῖς δέ σοι καθάπερ Ἑρμῇ λογίῳ, τοὺς ἡμετέρους λόγους ἐγχειρίζομεν· κἂν μὲν ὑπομείνωσι τὴν ἀκοὴν τὴν σήν, ἐπὶ σοὶ τὸ κρῖναι περὶ αὐτῶν. εἰ καὶ πρὸς τοὺς ἄλλους εἰσὶ πτήσιμοι:

εἰ δὲ μὴ, ῥῖψον ἐκεῖ καθάπερ μουσῶν ἀλλοτρίους ἢ ποταμῷ κλύσον ὡς νόθους. πάντως οὐδὲ ὁ ῥῆνος ἀδικεῖ τοὺς κέλτους. ὃς τὰ μὲν νόθα τῶν βρεφῶν ὑποβρύχια ταῖς δίναις πέμπει, καθάπερ ἀκολάστου λέχους τιμωρὸς ἀρέσκων. ὅσα δ' αὖ ἐπιγνοίη καθαροῦ σπέρματος, ὑπεραίρων τοῦ ὕδατος αἰωρεῖ, καὶ τῇ μητρὶ τρεμούσῃ πάλιν εἰς χεῖρας δίδωσιν, ὥσπερ ἀδέκαστόν τινα μαρτυρίαν αὐτῇ καθαροῦ καὶ ἀμέμπτου γάμου τὴν τοῦ παιδὸς σωτηρίαν ἀποδιδούμενος.

Ἰουλιανὸς ὀρειβασίῳ.

TΩν ὀνειράτων δύο πύλας εἶναι φησὶν ὁ θεῖος ὅμηρος. καὶ διάφορον εἶναι αὐτοῖς καὶ τὴν ὑπὲρ τῶν ἀποβησομένων πίστιν. ἐγὼ δὲ νομίζω σε νῦν, εἴπερ ποτὲ καὶ ἄλλοτε, σαφῶς ἑωρακέναι περὶ τῶν μελλόντων. ἐθεασάμην γὰρ καὶ αὐτὸς τοιοῦτον σήμερον. δένδρον γὰρ ᾠόμην ὑψηλὸν ἔν τινι τρικλίνῳ σφόδρα μεγάλῳ πεφυτευμένον εἰς ἔδαφος ῥέπον. ἐν τῇ ῥίζῃ παραπεφυκότος ἕτερον μικρὸν καὶ νεοφυὲς ἀνθηρὸν λίαν. ἐγὼ δὲ περὶ τοῦ μικροῦ σφόδρα ἠγωνίων, μή τις αὐτὸ μετὰ τοῦ μεγάλου συναποσπάσῃ. καὶ τοίνυν ἐπειδὴ πλησίον ἐγενόμην, ὁρῶ τὸ μέγα μὲν ἐπὶ τῆς γῆς ἐκτεταμένον. τὸ μικρὸν δὲ ὀρθὸν μὲν, μετέωρον δὲ ἀπὸ γῆς. ὡς οὖν εἶδον, ἀγωνιάσας ἔφην. οἵου δένδρου κίνδυνός ἐστι μηδὲ τὴν παραφυάδα σωθῆναι. καί τις ἀγνὼς ἐμοὶ παντελῶς, ὅρα ἔφησεν ἀκριβῶς. καὶ θάρρει. τῆς ῥίζης γὰρ ἐν τῇ γῇ μενούσης, τὸ μικρότερον ἀβλαβὲς διαμενεῖ καὶ βεβαιότερον ἱδρυνθήσεται. τὰ μὲν δὴ τῶν ὀνειράτων τοιαῦτα. θεὸς δὲ οἶδεν εἰς ὅ, τι φέρει. περὶ δὲ τοῦ μιαροῦ, ἀνδρογύνου μάθοιμ' ἂν ἡδέως ἐκεῖνο, πότε διελέχθη περὶ ἐμοῦ ταῦτα. πότερον πρὶν ἢ συντυχεῖν ἐμοὶ, ἢ μετὰ τοῦτο. δήλωσον οὖν ἡμῖν ὅ, τι ἂν οἷός τε ᾖς. ὑπὲρ δὲ τῶν πρὸς αὐτὸν, ἴσασιν ὅτι πολλάκις αὐτοῦ τοὺς ἐπαρχιώτας ἀδικήσαντος, ἐσιώπησα παρὰ τὸ πρέπον ἐμαυτῷ, τὰ μὲν οὐκ ἀκούων, τὰ δὲ οὐ προσιέμενος. ἄλλοις δὲ ἀπιστῶν, ἔνια δὲ εἰς τοὺς συνόντας αὐτῷ φέρων. ὅτι δέ μοι μεταδοῦναι τῆς τοιαύτης ἠξίωσεν αἰσχύνης, ἀποστείλας τὰ μιαρὰ καὶ πάσης αἰσχύνης ἄξια ὑπομνήματα, τί με πράττειν ἐχρῆν; ἆρα σιωπᾶν ἢ μάχεσθαι; τὸ μὲν οὖν πρῶτον, εὔηθες καὶ δουλοπρεπὲς καὶ θεομίσητον. τὸ δεύτερον δὲ, δίκαιον μὲν καὶ ἀνδρεῖον καὶ ἐλευθέριον, ὑπὸ δὲ τῶν ἐχόντων ἡμᾶς πραγμάτων οὐ συγχωρούμενον. τί τοίνυν ἐποίησα. πολλῶν παρόντων, οὓς ᾔδειν ἀπαγγελοῦντας αὐτῷ, πάντη καὶ πάντως εἶπον διορθώσει τὰ ὑπομνήματα οὕτως ὁ δεῖνα. ἐπεὶ δεινῶς ἀσχημονεῖ. τοῦτο ἐκεῖνος ἀκούσας, τοσοῦτον ἐδέησε τοῦ σωφρονῆσαί τι προσάξαι, ὥστε πεποιηκέναι, ὅσα νὴ τὸν θεὸν οὐδὲ εἷς μέτριος τύραννος. ἤ που μου πλησίον ὄντος, ἐνταῦθα τί πράττειν ἐχρῆν ἄνδρα τῶν Πλάτωνος καὶ Ἀριστοτέλους ζηλωτὴν δογμάτων, ἆρα περιορᾶν ἀνθρώπους ἀθλίους τοῖς κλέπταις ἐκδιδομένους, ἢ κατὰ δύναμιν αὐτοῖς ἀμύνειν; οἶμαι ὡς ἤδη τὸ κύκνειον ἐξᾴδουσι διὰ τὸ θεομισὲς ἐργαστήριον τῶν τοιούτων. ἐμοὶ μὲν οὖν αἰσχρὸν εἶναι δοκεῖ τοὺς μὲν χιλιάρχους,

ſin minus,abijce cõtinuò , velut à Muſis abhorrentes,aut fluuio tanquam ſpurios demerge. Omninò enim neque Celtos iniuria Rhenus afficit, qui ſpurios infantes humectatos,in vortigines tranſmittit, vt polluti lecti iuſtus vindex atque vltor.Quotquot verò ex puro ſemine prognatos cognorit,ſupra fluminis vndas extollit,matriq; tacitæ rurſum in manus tradit,quaſi incorruptum ei ſincerúmque teſtimonium , puri & immaculati coniugij pueri vitam reſtituens atque reddens.

Iulianus Oribaſio.

SOmniorum duas portas diuinus Homerus eſſe confirmat , & his quoque diſcrepantem futurorum & euentuum fidem exiſtere. Ego verò te nũc potiſſimum arbitror, maniſeſtò atque perſpicuè de futuris præuidiſſe. Nam ipſe quoque tale quid hodie vidi. Arborem enim procerã in Triclinio quodam admodum magno inſitam cernere mihi videbar, ad terram declinantem , ſubnata de radice alia parua nouáque & ſupra modum florida. Ego verò magnoperè de parua ſollicitus eram,ne quis eã fortè cum maiore ſimul dirueret ac demeret. Poſteaquã igitur acceſſi propius. Video magnã ſupra terram expanſam , minorem verò rectam & à terra in ſublime tendentem. Quòd quum vidiſſem, anxius dicebam. Ab eiuſmodi arbore periculũ eſſe, ne ſurculus enatus quoque ſeruari non poſſet. Quidã verò mihi prorſus ignotus,videas inquit,diligẽter bonóque animo ſis. Etenim dum radix intra terrã incolumis manet, minor etiã illæſa permanebit,& firmiùs ſtabilietur. Inſomniũ quidẽ eiuſmodi ſe mihi obtulit,quid portendat aut afferat. Deus nouit. De ſcelerato verò ſemiuiro iſto,vix eſt credibile quàm cupiam ſcire, quo tempore hæc de me dixerit,verũ antequam me conueniſſet,an poſtea. Quare planũ nobis fac,quoad poteris.Nam de meo erga illum animo,nouerũt omnes, me perſæpè cùm prouincialibus iniuriam intuliſſet tacuiſſe, contra quam officium meum poſtularet , cùm partim ad aures meas non perueniret, partim non admitterem, quibuſdam etiam non crederem , nonnullorum denique culpam eius familiaribus tribuerem atque aſſignarem. Quòd verò tãtam ignominiæ notam inurere mihi voluit,& omnis ſceleris atq; conuitij plena monumenta miſit, quid hac de re faciendum fuit. Aut enim tacendum aut depugnandum. Prius igitur ſtultum, ſeruile & impium. Alterum verò iuſtum, magni animi,& liberi videbatur at eius propter incumbentia nobis negotia, copia non fiebat. Quid igitur feci? Cùm adeſſent per multi, quos ad illum perlaturos exiſtimarem. Omnibus ioquam rebus & omninò corriget monumenta ſic ille. Magnam enim ſibimetipſi turpitudinem & dedecus infligit. Hæc ille cùm audiſſet, ita non moderatè ſe geſſit , vt eiuſmodi patrarit , quæ ne mediocris quidem Tyrannus committeret,cùm ego tam propè adeſſem. Hic quid requirebat officium ab homine Platonis atque Ariſtotelis dogmatum æmulatore , verum miſeros homines furum poteſtati traditos ac proditos deſtituere, an pro virili parte ſuccurrere opémque adferre, iam vt arbitros Cygniam melodiam canentibus, propter ſcelerata eiuſmodi hominum tormenta. Mihi equidem turpe videtur centuriones,

cum

cùm aciem deſeruerũt, morti adiudicare, cùm mors atrox repentè fuerit adeunda, nulla præſertim ſepulturæ ſpe propoſita: in defendendis verò miſerorum hominum fortunis eum impunè dimittere, qui ordines reliquerit, vbi cum eiuſmodi furibus dimicandum fuit, idque cùm Deus auxilio ſuo præſtò ſit, quemadmodùm conſtituit: ſin aliquid accipiatur detrimenti, non exigua conſolatio futura ſit, bona rectáque conſcientia profectum eſſe. Dij bonũ Saluſtium mihi largiantur. Et ſi quid ob hoc contigerit eiuſmodi, vt me depulſo alius in regnum ſuccedat, nullum id mihi dolorem obtrudet. Satiùs enim eſt exiguo tempore bene, quàm longo malè agere. Non ſunt, vt aliqui dicunt Peripatethicorum ſtatuta inferiora quàm Stoicorum. Hoc ſolùm à ſe mutuò, vt ego quidem iudico diſtant, quòd altera ſemper ferueutiora ſunt & inconſultiora: altera verò prudentiæ conſentanea, in inſtituto perſeuerantia.

ὅταν λείπωσι τὴν τάξιν καταδικάζειν. καίτοι χρὴ ἱκανὰ τεθνάναι παραχρῆμα καὶ μὴ δὲ ταφῆς ἀξιοῦσθαι. τὴν δὲ ὑπὸ ἀθλίων ἀνθρώπων ἀπολείπουσι τάξιν, ὅταν δέῃ πρὸς κλέπτας ἀγωνίζεσθαι τοιούτους· καὶ ταῦτα τοῦ θεοῦ συμμαχοῦντος ἡμῖν ὥσπερ οὖν ἔταξεν. εἰ δὲ καὶ παθεῖν τι συμβαίη, μετὰ καλοῦ τοῦ συνειδότος οὐ μικρὰ παραμυθία πρόκειται. τὸν δὲ χρηστὸν σαλούστιον θεοὶ μέν μοι χαρίσαιντο. κἂν συμβαίη δέ τι διὰ τοῦτο τυγχάνειν διαδόχου, λυπήσει τυχὸν οὐδέν. ἄμεινον γὰρ ὀλίγον ὀρθῶς, ἢ πολὺν κακῶς πρᾶξαι χρόνον. οὐκ ἔστιν ὡς λέγουσί τινες τὰ περιπατητικὰ δόγματα τῶν στωικῶν ἀγεννέστερα. τοσοῦτο δὲ μόνον ἀλλήλων, ὡς ἐγὼ κρίνω, διαφέρει. τὰ μὲν γάρ ἐστιν ἀεὶ θερμότερα καὶ ἀβουλότερα. τὰ δὲ φρονήσεως ἄξια, τοῖς ἐγνωσμένοις ἐμμένον.

Iulianus Eugenio Philoſopho.

DÆdalum aiunt Icario fictis & compactis alis cera, naturam arti ſubiicere auſum fuiſſe. Ego verò illum, quanquam ob induſtriam & artem laudandum puto, tamen ſententiam eius ac voluntatem minimè probo. Solus enim fluidæ ceræ filij ſalutem atque vitam credere non veritus eſt. Verùm ſi mihi fas eſſet, iuxta Teium Vatem, auium vim ac naturam optare, non ſanè ad Olympum, neque pro conqueſtione amatoria: ſed ad ipſas veſtrorum montium eminentias aduolarem, vt te mea cura complecterer quẽadmodum inquit Sappho. Quoniam autem natura quæ humani córporis vinculo me conſtrinxit, non patitur orationem in ſublime expandere, quibus poſſum alis te circumuolo, ſcribóque & vnà ſum quo vno modo datur. Protſus non ob aliam cauſſam, quàm hanc Homerus verba nominat alata πτερόεντα, quod poſſint per omnia loca penetrare, quemadmodum aues velociſſimæ quæ quocunque libitum eſt, peruadunt. At velim amice te quoque ſcribere. Par enim tibi, ſi non maior exiſtit verborum alatura, qua potes amicos mouere, & quauis de cauſſa, tanquam præſens ad lætitiam traducere.

Ἰουλιανὸς Εὐγενίῳ φιλοσόφῳ.

ΔΑίδαλον μὲν ἰκάρῳ φασὶν ἐκ κηροῦ πτερὰ συμπλάσαντα, τολμῆσαι τὴν φύσιν βιάσασθαι τῇ τέχνῃ. ἐγὼ δὲ ἐκεῖνον μὲν εἰ καὶ τῆς τέχνης ἐπαινῶ, τῆς γνώμης οὐκ ἄγαμαι. μόνος γὰρ κηρῷ λυσίμῳ τοῦ παιδὸς ὑπέμεινε τὴν σωτηρίαν πιστεῦσαι. εἰ δέ μοι θέμις ἦν κατὰ τὸν τήιον ἐκεῖνον μελοποιὸν εὐχῇ τὴν ὀρνίθων ἀλλάξασθαι φύσιν, οὐκ ἂν δήπου πρὸς ὄλυμπον. οὐ δὲ ὑπὲρ μέμψεως ἐρωτικῆς, ἀλλ᾽ εἰς αὐτοὺς ἂν τῶν ὑμετέρων ὀρῶν τοὺς πρόποδας ἔπτην. ἵνα σὲ τὸ μέλημα τοὐμὸν, ὥς φησιν ἡ σαπφὼ, περιπτύξωμαι. ἐπειδὴ δέ με ἀνθρωπίνου σώματος δεσμῷ κατακλείσασα ἡ φύσις, οὐκ ἐθέλει πρὸς τὸ μετέωρον ἀπλῶσαι τῶν λόγων, οἷς ἔχω πτεροῖς σε μετέρχομαι, καὶ γράφω καὶ σύνειμι τὸν δυνατὸν τρόπον. πάντως που καὶ ὅμηρος αὐτοὺς οὐκ ἄλλου τοῦ χάριν, ἢ τούτου πτερόεντας ὀνομάζει, διότι δύνανται πανταχοῦ φοιτᾶν ὥσπερ οἱ τάχιστοι τῶν ὀρνίθων ᾗ ἂν ἐθέλωσιν, ἀΐσσοντες. γράφε δὲ καὶ αὐτὸς ὦ φίλος. ἴση γὰρ δήπου σοι τῶν λόγων, εἰ μὴ καὶ μείζων ὑπάρχει πτέρωσις. ᾗ τοὺς ἑταίρους μεταθεῖναι δύνασαι, καὶ πανταχόθεν ὡς παρὼν εὐφραίνειν.

Iulianus Hecabolō.

PIndaro argenteæ videntur eſſe Muſæ, quippe qui magnificentiam ipſarum & ſplendorem artis, ad materiæ præſtantiam confert. Homerus verò argentum lucidum dicit, & aquam argenteam nominat, tanquam puris ſolis radiis, ita imaginis & effigiei fulgore ſplendentem. Sappho præſtantiſſima Lunam argenteam dicit, & ob eam cauſſam, aliarum ſtellarum lumen obſcurare. Atque ſic Deos etiam argentum potiùs, quàm aurum decere, coniectura colligi poteſt. Hominibus enim argentum ad vſum precioſius ac antiquius eſſe, & frequentius inter mortales verſari, non quemadmodum aurum, quod ſub terra latet abſtruſum eorúmque aſpectum fugit, ſed & viſu pulchrius & ad monumenta præſtabilius non ego mea priuatáque opinione, ſed veterum etiam autoritate confirmo. Quamobrem ſi tibi pro moneta aurea, rependimus aliã eiuſdẽ quidem precij ſed argenteã, nõ minus aut inferius hoc beneficiũ exiſtimare debes. Neq; putes vt Glauco minorẽ viliorẽq; remunerationẽ armorũ obtigiſſe:

Ἰουλιανὸς Ἐκηβόλῳ.

ΠΙνδάρῳ μὲν ἀργυρέας εἶναι δοκεῖ τὰς μούσας, οἱονεὶ τὸ ἔκδηλον αὐτῶν καὶ περιφανὲς τῆς τέχνης, εἰς τὸ τῆς ὕλης λαμπρότερον ἀπεικάζοντι. ὅμηρος δὲ ὁ σοφὸς τόν τε ἄργυρον αἰγλήεντα λέγει, καὶ τὸ ὕδωρ ἀργύρεον ὀνομάζει, καθάπερ ἡλίου καθαρᾶς ἀκτῖσιν αὐτὸ πρὸς τὴν τῆς εἰκόνος φαιδρὸν μαρμαρυσσόν. σαπφὼ ἡ καλὴ τὴν σελήνην ἀργυρέαν φησί. καὶ διὰ τοῦτο τῶν ἄλλων ἀστέρων ἀποκρύπτειν τὴν ὄψιν. οὕτω καὶ θεοῖς τὸν ἄργυρον μᾶλλον ἢ τὸν χρυσὸν εἰκάσειεν, εἴς σε πρέπειν ἀνθρώποις χρησιμώτερον, ὅτι πρὸς τὴν χρείαν ἐστὶν ὁ ἄργυρος τοῦ χρυσοῦ τιμιώτερος, καὶ σύνεστι μᾶλλον αὐτοῖς οὐχ ὥσπερ ὁ χρυσὸς ὑπὸ γῆς κρυπτόμενος, ἢ φεύγων αὐτῶν τὴν ὄψιν, ἀλλὰ καὶ ὀφθῆναι καλός. καὶ ἐν διαιτήμασι κρείττων. οὐκ ἐμὸς ἴδιος, ἀλλὰ παλαιῶν ἀνδρῶν ὁ λόγος ἐστίν. εἰ δὲ καὶ σοὶ τοῦ πεμφθέντος ὑπὸ σοῦ χρυσοῦ νομίσματος εἰς τὸ ἴσον τῆς τιμῆς ἔπεμψα ἀργύρεον ἀντίδομον, μὴ κρίνῃς ἥττω τὴν χάριν. μὴ δὲ ὥσπερ τῷ γλαύκῳ πρὸς τὸ ἔλαττον οἰηθῇς εἶναι τὴν ὅπλων τὴν ἀντίδοσιν.

ἐπεὶ μὴ δὲ ὁ Διομήδης ἴσως ἀργυρᾶ χρυσῶν ἀντέδωκεν ἅτε δὴ πολλῷ τῶν ἑτέρων ὄντα χρησιμώτερα. καὶ τὰς αἰχμὰς οἱονεὶ μολίβδου δίκην ἐκκρούειν εἰδότα. ταῦτά σοι προσπαίζομεν, ἐφ' ὧν αὐτὸς γράφεις, τὸ ἐνδόσιμον εἰς τὸ τῆς παρρησίας λαμβάνοντες. σὺ δὲ εἰ τῷ ὄντι χρυσοῦ τιμιώτερα ἡμῖν δῶρα ἐθέλεις ἐκπέμπειν, γράφε. καὶ μὴ λῆγε συνεχῶς τοῦτο πράττων. ἐμοὶ γὰρ καὶ γράμμα παρὰ σοῦ μικρὸν ὅτουπερ ἂν εἴποις ἀγαθοῦ κάλλιον ἂν εἶναι κρίνεται.

ſiquidem neque Diomedes æqualiter argentea pro aureis reponebat, quæ reliquis multò forent vtiliora, & haſtas in morem plumbi, reiicere ac repellere nouiſſent. Hæc tecum iocamur, ex tuis literis, occaſione liberè loquendi ſumpta. Tu verò ſi auro præſtantiora nobis munera vis mittere, mitte, literas neque ceſſa continenter id facere. Nam apud me quoduis ſcriptum à te profectum quamlibet exiguum, in maiore precio eſt & honore, quàm vllum bonum fingi aut excogitari poſſit.

Ἰουλιανὸς Εὐστοχίῳ.

Ἡσιόδῳ μὲν δοκεῖ τῷ σοφῷ καλεῖν ἐπὶ τὰς ἑορτὰς τοὺς γείτονας, ὡς συνησθησομένους. ἐπειδὴ καὶ συναλγοῦσι καὶ συναγωνιῶσιν ὅταν τις ἀπροσδόκητος ἐμπέσῃ ταραχή. φημὶ δὲ τοὺς φίλους δεῖν καλεῖν, οὐ τοὺς γείτονας. τὸ αἴτιον δὲ ὅτι γείτονα μὲν ἔνεστιν ἐχθρὸν ἔχειν. φίλον δὲ οὐ μᾶλλον, ἢ τὸ λευκὸν μέλαν εἶναι. καὶ τὸ θερμὸν ψυχρόν. ὅτι δὲ ἡμῖν οὐ μόνον νῦν, ἀλλὰ καὶ πάλαι φίλος εἶ, καὶ διετέλεσας εὐνοϊκῶς ἔχων, εἰ καὶ μηδὲν ὑπῆρχεν ἄλλο τεκμήριον, ἀλλὰ τό γε ἡμᾶς οὕτω διατεθεῖσθαι καὶ διακεῖσθαι περὶ σέ, μέγα ἂν εἴη τούτου σημεῖον. ἧκε τοίνυν μεθέξων τῆς ὑπατείας αὐτός. ἄξει δέ σε ὁ δημόσιος δρόμος, ὀχήματι χρώμενον ἑνὶ καὶ παρίππῳ. εἰ δὲ χρή τι καὶ ἐπεύξασθαι, τὴν Ἐνοδίαν εὐμενῆ σοι καὶ τὸν Ἐνόδιον παρακεκλήκαμεν.

Iulianus Euſtochio.

HEſiodo conſultum videtur propinquos ad epulas conuiuiaque vocare, vt communi gaudio perfruantur, quoniam dolorem etiam atque curam vnà ſuſcipiunt, cùm aliqua ſubitò perturbatio incidit. Ego verò amicos non propinquos vocandos eſſe dico. In cauſſa eſt, quod cùm propinquo ſimultates intercedere poſſunt, amicitia non magis, quàm album nigrum eſſe, & calidum, frigidum. Quod autem nobis non iam ſolum, verumetiam olim amicitia coniunctus fueris, animúmque erga nos beneuolum geſſeris, ſi etiam nullum aliud extaret argumentum: at, quòd nos ita ſumus erga te affecti, ſatis huius rei firmum iudicium præbet. Quamobrem venias ipſe ad conſulatum ſuſcipiendum. Ducet autem te publicus curſus, vectum vno curru & equitatu. Quòd ſi optandum aliquid eſt, Dianam tibi propitiam, & Mercurium precamur.

Ἰουλιανὸς Καλλιξείνῃ.

Χρόνος δίκαιον ἄνδρα δείκνυσι μόνος, ὡς παρὰ τοῖς ἔμπροσθεν ἐγνώσθη. ἐγὼ δὲ φαίην ἂν ὅτι καὶ τὸν εὐσεβῆ, καὶ τὸν φιλόθεον. ἀλλ' ἐμαρτυρήθη φησὶ καὶ ἡ Πηνελόπη φίλανδρος. εἶτα μετὰ τὸ φίλανδρον τὸ φιλόθεον τίς ἐν γυναικὶ δεύτερον τίθησι, καὶ οὐ φανεῖται πολλὴν πάνυ τὴν μανδραγόραν ἐκπεπωκώς. εἰ δὲ καὶ τοὺς καιρούς τις ἐν νῷ λάβοι, καὶ τὴν Πηνελόπην ἐπαινουμένην σχεδὸν ὑπὸ πάντων ἐπὶ τῇ φιλανδρίᾳ, κινδυνευούσας δὲ τὰς εὐσεβεῖς ὀλίγῳ πρότερον γυναῖκας. καὶ προσθήκη δὲ τῶν κακῶν, ὅτι καὶ διπλάσιος ὁ χρόνος, ἆρ' ἔτι σοι τὴν Πηνελόπην ἀξίως παραβάλλειν. ἀλλὰ μὴ μικροὺς ποιοῦ τοὺς ἐπαίνους. ἀνθ' ὧν ἀμείψονται μέν σε πάντες οἱ θεοί. καὶ τὰ παρ' ἡμῶν διπλῆ σε τιμήσομεν τῇ ἱερωσύνῃ πρὸς ᾗ πρότερον εἶχες τῆς αἰτιωτάτης θεοῦ Δήμητρος, καὶ τῆς μεγίστης μητρὸς θεᾶς τῆς Φρυγίας ἐν τῇ θεοφιλεῖ Πεσσινοῦντι τὴν ἱερωσύνην ἐπιτρέπομέν σοι.

Iulianus Callixenæ.

TEmpus ſolum hominem iuſtum declarat, quéadmodum in veterum exemplis cernimus. Ego verò dicere auſim, pium etiam & amantẽ deorum. Sed & Penelope viri amans comprobata repertáq; eſt. Hîc iam ad amorem viri pietatem in deos quiſpiam etiam ſecundam adiungat, neque videbitur multùm omnino Mandragoræ bibiſſe. Quòd ſi quis tempora ſecum animo reputet, & Penelopen propemodum ab omnibus ob pietatem in virum laudatam, tum etiam fœminas pias, quæ paulò antè in periculum ſunt adductæ, & acceſſionem malorum, quod duplicatum tempus eſt, poteſt-ne rectè tibi Penelopen comparare. verùm non exiguas laudes cumulaſti: pro quo tibi dij omnes dignum munus rependent, & quòd ad nos attinet, duplum honorem tibi deferemus. Ad ſacerdotium enim illud quod antea tenebas: deæ meritiſſimæ Cereris, & maximæ matris deæ Phrygiæ in peſſinunte ſacerdotium tibi concedimus.

Ἰουλιανὸς Λεοντίῳ.

Ὁ λόγος ποῖος ὁ θρύλλος ὦτα εἶπεν ἀνθρώποις ὀφθαλμῶν ἀπιστότερα. τούτου ἐπὶ σοῦ ἐναντίαν ἔχω γνώμην ἐγώ. πιστότερα γάρ ἐστί μοι τὰ ὦτα τῶν ὀφθαλμῶν. οὐ γὰρ εἴ ποτε εἶδόν σε δεκάκις, οὕτως ἂν ἐπίστευσα τοῖς ὀφθαλμοῖς, ὡς νῦν ταῖς ἀκοαῖς πιστεύω ταῖς ἐμαυτοῦ, παρ' ἀνδρὸς οὐδαμῶς οἵου τε ψεύδεσθαι δεδιδαγμένος, ὅτι πάντα ἀνὴρ ὢν, αὐτὸς ἑαυτοῦ κρείττων εἶ περὶ τὸ ῥέξαι, φησὶν Ὅμηρος, χερσί τε καὶ ποσίν. ἐπιτρέψαντες οὖν σοι τὴν τῶν ὅπλων χρῆσιν, ἀπεστείλαμέν τε πανοπλίαν, ἣ τέως τοῖς πεζοῖς ἁρμόττει. κουφοτέρα δέ ἐστιν αὕτη τῆς τῶν ἱππέων. ἐγκατελέξαμεν δέ σε τῷ τῶν οἰκείων συντάγματι. γίνονται δὲ ἀπὸ τῶν ἀποπληρωσάντων ἤτοι καὶ στρατευσαμένων.

Iulianus Leontio.

PRouerbium quoddam tumultuarium aures hominibus incertiores eſſe oculis aſſerit. Ego quod ad te pertinet, planè ſum in contraria ſententia quoniam certiores oculis mihi ſunt aures. Non enim ſi te decies vidiſſem: tantam fidem oculis adhibuiſſem, quantum nunc auribus meis credo, doctus ab homine, qui non poteſt mentiri, quòd cùm in omnibus rebus te virum præbeas temetipſum in perpetrandis fortibus facinoribus omni tempore ſuperes, vt inquit Homerus, manibus pedibúſque. Quamobrem vſum tibi armorum damus & armaturam miſimus, quæ peditibus congruit, & equeſtri leuior eſt. Delegimus autem te in familiarum cohortes, qui conſtant ex veteranis & bellicoſis viris.

Hermo-

Hermogeni præfecto Ægypti.

DAmihi, vt ſecundum poëtas loquar. O ſalutem præter ſpem mihi oblatam, ô vocem inſperatam. Quod autem fugi, id verò non accidit propter multicipitem Hydram fratrem meum Conſtantium, ſed propter belluas quæ circum ipſum vagantur ac ſerpunt omnibus infeſtas, quæ fecerũt ipſum etiam moroſiorem, & ne, quantum poſſet, omnibus mitem & facilem ſeſe impertiret, quanquam multis talis eſſe videbatur. Illi certè poſtea quàm è vita ceſſit, leuis eſt terra, tanquam oratio. Hos verò non velim per iniuriam vexari: norit Iuppiter. Cùm autem multi ſint, qui crimina & accuſationem eis intendunt, iudicium exerceto. Magnum enim me tui videndi deſiderium habebat, ita me dij bene ament: & hoc tempore potiſſimum, cum te ſaluum & incolumem euaſiſſe audiam: ſumma cum beneuolentia vt venias hortor.

Iulianus Sarapioni ſplendidiſſimo.

ALij quidem aliis rebus nundinas metiuntur. Ego verò ſuaue tibi iucundæ feſtiuitatis ſignũ centum ficus maioribus ſtimulis domeſticáſque mitto, muneris quidem magnitudine exiguam, at ſpecie ac pulchritudine ſatis fortè magnam voluptatem præſtans. Ariſtophani ſanè videtur excepto melle reliquis omnibus dulciore ficus anteire. Sed hoc quidem obtinere non poteſt, vt dulcius exiſtat ficubus, quemadmodum ille ſuo iudicio pronũciat. Herodoto verò ſcriptori hiſtoriarum, ad demonſtrandam veram ſolitudinem & vaſtitatem ſatis fuit dicere: Apud quos neque ficus ſunt neq; quicquam aliud boni: quaſi neque ſit in fructibus alia ſpecies ficubus præſtantior, neque bonum vllum deſit illis, apud quos ficus naſcuntur. Homerus autẽ magna ſapientia vates, in alios fructus aut à magnitudine aut à colore, aut à pulchritudine, laudes mutuatur. Soli verò ficui dulcedinis cognomen tribuit: & mel pallidũ appellat, ne fortè ſeipsũ falleret, ſi dulce dixiſſet, quod ſæpenumerò acerbũ eſſe cõtingit. Ficui autẽ vni quaſi ſuam propriámque laudem aſſignat, nõ aliter quàm nectari, quoniã ſolùm etiam ex aliis dulce eſt. Mel etiam Hippocrates dicit dulce quidem eſſe ſenſu: digeſtu verò acerbiſſimum. Neque ego huic ſententiæ repugno. Mel enim eiuſmodi naturam habere: vt bilem efficiat, omnes vno ore fatẽtur, & vt ſapores in contrarium guſtum conuertat. Quod ſanè magis etiam naturalem eius acerbitatem & ingenitam coarguit. Non enim in id mutaretur, quod eſt acerbum niſi prorſus ab initio vim eiuſmodi tenuiſſet, à qua ad aliam reciderit. Ficus contrà non ſolùm guſtatu ſuauis, verumetiam digeſtu melior eſt. Ita verò commoda mortalibus exiſtit & vtilis, vt ipſam etiam Alexipharmacum, hoc eſt omnis contagionis pharmacũ Ariſtoteles eſſe ſcribat, & ob nullam aliam quàm hanc cauſſam poſt cœnas apponi, atque in bellariis numerari: vt quaſi ſacra quædam medicina, purgandis eiiciendiſque ciborum incommodis adhibeatur. Atqui quod diis conſecrata ficus ſit, & in omnibus ſacrificiis vſitata, quódque omni Thure ad ſuffitum faciendum præſtantior ſit, non ego id quidem de mea ſententia dico, verùm qui cognouit eius vſum, is non ignorat, quàm ſapientis & diuini propemodum viri ſententia ſit.

Ἑρμογένει ὑπάρχῳ Αἰγύπτου.

ΔΌς μοι κτ̀ τοὺς μελικτὰς εἰπεῖν. ὦ παρ' ἐλπίδα σεσωσμένος ἐγώ. ὦ παρ' ἐλπίδας ἀκηκοὼς ὅτι δ' ἀπέφυγεν, οὐ μὰ Δία τὴν πολυκέφαλον ὕδραν τὸν ἀδελφόν μου Κωνστάντιον. ἐκεῖνος μὲν ἦν οἷος ἦν. ἀλλὰ τὰ περὶ αὐτὸν θηρία, πᾶσιν ἐποφθαλμιῶντα, ἃ κἀκεῖνον ἐποίει χαλεπώτερον, οὐδὲ τὰ καθ' ἑαυτὸν ὄντα πάνυ πρᾷον, εἰ καὶ ἐδόκει πολλοῖς τοιοῦτος. ἐκείνῳ μὲν δὴ ἐπειδὴ μακαρίτης ἐγένετο, κούφη γῆ καθάπερ λόγος. τούτους δὲ ἀδικεῖν τι παθεῖν οὐκ ἂν ἐθέλοιμι. ἴστω Ζεύς. ἐπειδὴ δὲ αὐτοῖς ἐπανίστανται πολλοὶ κατήγοροι, εἰς δικαστήριον ἐπείχθητι. θεάσασθαι γάρ σε ηὐχόμην νὴ τοὺς θεούς. καὶ νῦν δὲ μάλιστα ὅτι διασωθέντα ἀκήκοα, ἥκειν παρακελεύομαι.

Ἰουλιανὸς Σαραπίωνι τῷ λαμπροτάτῳ.

ΑΛλοι μὲν ἄλλοις τὰς πανηγύρεις νομίζουσιν. ἐγὼ δέ σοι ἡδύσου γλυκείας ἑορτῆς σύνθημα τὴν ἐπιχώριον ἰσχάδων ταῖς μακροκέντροις ἑκατὸν ἐκπέμπω. τῷ μὲν τοῦ δώρου μεγέθει μικρόν. τῷ κάλλει δὲ ἴσως ἀρκοῦσαν ἡδονὴν μηνύων. ἀριστοφάνει μὲν οὖν δοκεῖ εἶναι πλὴν μέλιτος τῶν ἄλλων γλυκύτερον τὰς ἰσχάδας. καὶ οὐδὲ τοῦτ' αὔχει τῶν ἰσχάδων εἶναι γλυκύτερον, ὡς αὐτὸς ἐπικρίνας λέγει. ἡροδότῳ δὲ ἄρα τῷ συγγραφεῖ, πρὸς ἐπίδειξιν ἐρημίας ἀληθοῦς ἤρκεσεν εἰπεῖν. παρ' οἷς οὔτε σῦκα ἐστιν, οὔτε ἄλλο ἀγαθὸν οὐδέν. ὥσπερ οὔτε ἄλλου τινὸς ἐν καρποῖς ἀγαθοῦ, προτέρου τῶν σύκων ὄντος, οὔτε ἔτι πάντως ἀγαθοῦ δέοντος, παρ' οἷς αὖ τὸ σῦκον. Ὅμηρος δὲ ὁ σοφός, τὰ μὲν ἄλλα τῶν καρπῶν εἰς μέγεθος ἢ χρόαν ἢ κάλλος ἐπαινεῖ. μόνῳ δὲ τῷ σύκῳ τὴν τῆς γλυκύτητος ἐπωνυμίαν συγχωρεῖ. καὶ τὸ μὲν μέλι χλωρὸν καλεῖ, δεδιώς, μὴ λάθῃ γλυκὺ προσειπών, ὃ καὶ πικρόν ἐστι πολλαχοῦ συμβαῖνον. τῷ σύκῳ δὲ ἄρα μόνῳ ἀποδίδωσι τὴν οἰκείαν εὐφημίαν, ὥσπερ τῷ νέκταρι. διότι καὶ μόνον γλυκὺ τῶν ἄλλων ἐστί. καὶ μέλι μὲν Ἱπποκράτης φησὶ καὶ γλυκὺ τῇ αἰσθήσει, καὶ πικρὸν εἶναι πάντως τῇ ἀναδόσει. καὶ οὐκ ἀπιστῶ τῷ λόγῳ. χολῆς γὰρ αὐτὸ ποιητικὸν εἶναι σύμπαντες ὁμολογοῦσι. καὶ τρέπειν τοὺς χυμοὺς εἰς τοὐναντίον τῆς γεύσεως. ὃ δὴ καὶ μᾶλλον τῆς ἐκ φύσεως αὐτοῦ πικρότητος κατηγορεῖ τὴν γένεσιν. οὐ γὰρ ἂν εἰς τοῦτο μετέβαλλεν ὃ πικρόν ἐστιν, εἰ μὴ καὶ πάντως αὐτῷ προσῆν ἐξ ἀρχῆς τοῦτο, ἀφ' οὗ πρὸς τὸ ἕτερον μετέπιπτε. σῦκον δὲ οὐκ αἰσθήσει μόνον ἡδύ, ἀλλὰ καὶ ἀναδόσει κρεῖττόν ἐστιν. οὕτω δέ ἐστιν ἀνθρώποις ὠφέλιμον, ὥστε καὶ ἀλεξιφάρμακον αὐτὸ παντὸς ὀλεθρίου φαρμάκου φησὶν ἀριστοτέλης εἶναι. καὶ τοῖς δείπνοις οὐκ ἄλλου τινὸς ἢ τούτου χάριν προστίθεσθαί τε καὶ ἐπιτραγηματίζεσθαι, καθάπερ ἀντ' ἄλλης τινὸς ἀλεξήσεως ἱερᾶς ταῖς τῶν βρωμάτων ἀδικίαις ἀντιπροσδιδόμενον. καὶ μὴν ὅτι θεοῖς τὸ σῦκον ἀνάκειται, καὶ θυσίας ἐστὶν ἁπάσης ἐμβώμιον, καὶ ὅτι παντὸς λιβανωτοῦ κρεῖττον εἰς θυμιάματος σκευασίαν ἐστίν, οὐκ ἐμὸς ἴδιος ἐστὶν ὁ λόγος. ἀλλ' ὅστις τὴν χρείαν αὐτοῦ ἔμαθεν, οἶδεν ὡς ἀνδρὸς σοφοῦ καὶ ἱεροφάντου λόγος ἐστί.

Θεόφραστος δὲ ὁ καλὸς ἐν γεωργίας παραγγέλμασι τοῖς τῶν ἐμπεφυτευμένων δένδρων γένεσιν ἐντιθεὶς, καὶ ὅσα ἀλληλούχοις ἐγκεντρίσεσιν εἴκουσι, πάντων οἶμαι τῶν φυτῶν μᾶλλον ἐπαινεῖ τῆς συκῆς τὸ δένδρον ὡς ἂν ποικίλης καὶ διαφόρου γενέσεως δεκτικόν. καὶ μόνον τῶν ἄλλων εὐκολώτερον παντοίου γένους ἐνεγκεῖν βλάστην· εἴ τις ἑκάστῳ τῶν κλάδων ἐντεμὼν ἕκαστον, ἔπειτα ἐναρμόσας ἄλλην ἐς ἄλλον τῶν ἀφαιρεθέντων ἐμφυῆ γονὴν ἐναρμόσειεν, ὡς ἀρκεῖν ἤδη πολλάκις αὐτῷ καὶ καθ' ὁλοκλήρου κήπου τὴν ὄψιν, οἷον ἐν λειμῶνι χαριεστάτῳ ποικίλην τινὰ καὶ πολυειδῆ τῶν καρπῶν ἀφ' ἑαυτοῦ τὴν ἀγλαΐαν ἀντιπέμποντος. καὶ τὰ μὲν ἄλλα τῶν ἀκροδρύων, ἐστὶν ὀλιγοχρόνια, καὶ τὴν μονὴν οὐκ ἀνέχονται. μόνῳ δὲ τῷ σύκῳ καὶ ὑπερενιαυτίζειν ἔξεστι, καὶ τῇ τοῦ μέλλοντος καρποῦ γενέσει συνεπιτεθῆναι. ὥστε φησὶ καὶ Ὅμηρος ἐν Ἀλκινόου κήπῳ, τοὺς καρποὺς ἀλλήλοις ἐπιγηράσκειν. ἐπὶ μὲν οὖν τῶν ἄλλων ἴσως ὁ μῦθος ποιητικὸς εἶναι δόξειε. μόνῳ δὲ τῷ σύκῳ πρὸς τὸ τῆς ἀληθείας ἐναργὲς ὁ συμφορεῖται· διό τι καὶ μόνον τῶν ἄλλων καρπῶν ἐστι νομιμώτερον. τοιαύτην δὲ ἔχον οἶμαι τὸ σῦκον τὴν φύσιν, πολλῷ κρείττων ἐστὶ παρ' ἡμῖν τὴν γένεσιν. ὡς εἶναι τῶν μὲν ἄλλων φυτῶν αὐτὸ τιμιώτερον· αὐτοῦ δὲ τοῦ σύκου τὸ παρ' ἡμῖν θαυμασιώτερον· καὶ νικᾶν μὲν αὐτὸ τῶν ἄλλων τὴν γένεσιν αὖθις δὲ ὑπ' αὐτοῦ τοῦ παρ' ἡμῖν ἡττᾶσθαι. καὶ τῇ πρὸς ἑκάτερον ἐγκρίσει. πάλιν σώζεσθαι, κρατοῦν μὲν ὡς εἰκός. οἷς δὲ ἀκρατεῖσθαι δοκεῖ, πάλιν ἐς τὸ καθόλου νικᾶν. καὶ τοῦτο οὐκ ἀπεικότερον παρ' ἡμῖν μόνοις συμβαίνει. ἔδει γὰρ οἶμαι τὴν Διὸς πόλιν ἀληθῶς καὶ τὸν τῆς ἑῴας ἁπάσης ὀφθαλμόν. τὴν ἱερὰν καὶ μεγίστην Δαμασκὸν λέγω, τοῖς τε ἄλλοις σύμπασιν, οἷον ἱερῶν κάλλει, καὶ νεῶν μεγέθει, καὶ ὡρῶν εὐκαιρίᾳ, καὶ πηγῶν ἀγλαΐᾳ, καὶ ποταμῶν πλήθει καὶ γῆς εὐφορίᾳ νικῶσαν, μόνην ἄρα καὶ τῷ τοιούτῳ φυτῷ πρὸς τὴν τοῦ θαύματος ὑπεροχὴν ἀρκέσαι. οὐδὲν οὖν ἀνέχεται τῆς μεταβολῆς τὸ δένδρον. οὐδὲ ὑπερβαίνει τοὺς ἐπιχωρίους ὅρους τῆς βλάστης. ἀλλ' ὥσπερ αὐτόχθονος φυτοῦ νόμῳ τὴν ἀποικίας γένεσιν ἀρνεῖται. καὶ χρυσὸς μὲν, οἶμαι καὶ ἄργυρος ὁ αὐτὸς πολλαχοῦ φύεται. μόνη δὲ ἡ παρ' ἡμῖν χώρα, τὸ τοι φυτὸν ἀλλαχοῦ φῦναι μὴ δυνάμενον. ὥσπερ τὰ ἐξ Ἰνδῶν ἀγώγιμα. καὶ οἱ Περσικοὶ Σῆρες. ἢ ὅσα ἐν τῇ Αἰθιόπων γῇ τίκτεται μὲν καὶ λέγεται, τῷ δὲ τῆς ἐμπορίας νόμῳ πανταχοῦ διαβαίνει. οὕτω δὴ καὶ τὸ παρ' ἡμῖν σῦκον ἀλλαχοῦ τῆς γῆς οὐ γινόμενον, πανταχοῦ παρ' ἡμῶν στέλλεται. καὶ οὔτε πόλις, οὔτε νῆσος ἐστὶν, ἣν οὐκ ἐπέρχεται τῷ τῆς ἡδονῆς θαύματι. ἀλλὰ καὶ τράπεζαν βασιλικὴν κοσμεῖ. καὶ παντὸς δείπνου σεμνὸν ἐστὶν ἐγκαλλώπισμα. καὶ οὔτε ἔνθρυπτον, οὔτε σπιλὰν, οὔτε πέλανον, οὔτε ἄλλο καρυκείας γένος οὐδὲν, ἔσται ἥδυσμα ἴσον, ἢ ἀφοίκοιτο. τοσοῦτον αὐτῷ τῶν τε ἄλλων ἐδεσμάτων καὶ δὴ καὶ τῶν ἑκασταχοῦ περίεστι τοῦ θαύματος. καὶ τὰ μὲν ἄλλα τῶν σύκων ἢ ἐπικαιρον ἔχει τὴν βρῶσιν ἢ προσαγόμενα ἐς τὸ ὅμοιον ἔρχεται. τὸ δὲ παρ' ἡμῖν μόνον ἀμφοτερίζει τῇ χρείᾳ. καὶ καλὸν μὲν ἐστιν ἐπιδένδριον, πολλῷ δὲ

Theophraſtus etiam ſpectatus vir in Agriculturæ præceptis, arborum etiam diuerſæ naturæ ortus & originem complexus, quotquot implicatis & mutuis inſitionibus cohærent præ plantis omnibus ficulneam arborem laudibus vehit, tãquam variæ diuerſæque genituræ capacem, vt quæ ſola ex reliquis omnis generis fœtus facilè proferat: ſi quis ſingulis eius ramis exectis, poſt aliam defractam, in alium ſtipitem, fœturam innatam ſubiungat. Itaque ſæpè iam eius aſpectus pro toto perfectoq; horto eſt, qui non aliter quàm pratum aliquod iucundiſſimum, vberem ac diuerſam fructuum voluptatẽ edit. Atq; cætera quidem acrodrya ſunt momentanea, neque ſuſtinent diuturnitatem. Ficus autem ſola vltra annum durare poteſt. & futuræ fructuũ genituræ conferre. Itaque dicit Homerus in Alcinoi horto, fructus ordine conſeneſcere. In aliis igitur hoc fortè poeticum commentum ſit: ficum certè ad veritatis cõfirmationẽ iuuerit. Eam ob cauſsã etiã magis in vſu ac conſuetudine verſatur, quàm reliqui fructus. Cùm igitur tali natura ſit ficus, multò melior apud nos eſt fœtura, vt alias plãtas dignitate excellat, ipſo verò fico, ſit apud nos præſtantior ficus, ſic alios fœtura longè ſuperat, & rurſum à noſtro ſuperatur, & vtroque certamine rurſus non ſuccumbit omnino. Nam ab altera parte victoriã obtinet, ab altera quibus rebus ſuperari videtur bis iterũ generatim vincit. Nec verò eſt indignum hoc apud nos potiſſimũ contingere. Oportebat enim mea quidem ſentẽtia Iouis vrbem reuera, & totius orientis lumen (ſacroſanctam & maximam Damaſcũ nomino:) cum cæteris rebus omnibus templorum magnificẽtia, magnitudine nauium, temporum opportunitate, ſcaturigine fontiũ, fluuiorũ copia & vbertate terræ excelleret: ſolã hoc etiã fructus genere, ad ſummũ & extremũ miraculũ præditã eſſe. Nullam igitur trãſplantationẽ arbor hæc capit aut admittit, neq; domeſticos terminos atque fines germinando tranſit: ſed quaſi certa quadã lege plantæ naturæ ac genuinæ, cõſtricta, fœturam in aliena terra reſpuit & recuſat. Aurum vt exiſtimo & argentũ eiuſdẽ generis in locis omnibus naſcitur. Sola verò noſtra tellus, producit arborem, quæ alibi naſci nullo modo poteſt: quemadmodũ, quę adoehũtur ex India: & Perſici Seres: aut quæ in Æthiopum regione gignũtur ac dicuntur, mercandi verò ratione in omnia loca perueniunt. Sic etiam noſtri fici, cùm nullibi terrarum naſcantur, in omnes terræ partes à nobis mittuntur. Neque enim ciuitas eſt aut inſula, quam nõ dulcedinis & ſuauitatis miraculo contingant: ſed & ad regiam menſam ornamenti cauſſa adhibetur, omnique conuiuio decus pulcherrimum adferunt. Neque placentæ, vel ſubcinericei panis, vel mellis farina ſubacti, vel condimenti genus vllum eſt, quod ſuauitate poſſit huius dulcedinem æquare aut aſſequi, neque fingi aut excogitari tale quid poterit. Tantùm reliqua fercula condimentáque ratione ſuperat. Et reliqui fici aut vernam comeſtionem, ſingula, ſui admiſtionem deſiderant, aut vt ſimilem conditionem adipiſcantur, exiccationem requirunt. Noſtrates verò ſoli in vtrumque vſum ſunt idonei, & elegantes ac boni quidem dum natiuam formam conſeruant, multò verò meliores

liotes & elegantiores: ſi premantur. Quòd ſi pulchritudinem eorum in arbore, oculis aſpiceres: quemadmodum à ſingulis ramis, in calicis morem longis ſtimulis dependent, & quemadmodum circum circà quaſi circuitu quodam ambiens fructum arbor multiplicem ordine venuſtatẽ iucunditatémq; effici diceres, idem quod in portu pelles expanſæ, his arborum complexum præſtare. Atque inuentio illa quæ pertinet ad durationem eorum diuturnam, eadem non minùs ad voluptatis vſum ponderis habet. Non enim quemadmodum reliqui fici ſimul & vnà deueiuntur, neque cumulatim & temerè ſole exuruntur: ſed primò manibus ſenſim eos ab arboribus deſtringunt: dein ramis aut virgis etiam ſpinoſis ex parietibus ſuſpendunt, vt attactu puri ſolis albeſcant, & ab animalibus: & auibus, ſtimulorum ſpinarúmque auxilio defenſi illæſi & inuiolati permaneant. Atque de fœtura illorum, dulcedine, venuſtate, confectione atque vſu, ſic per literas tecum iocari libuit. Centenarium verò numerum, reliquis præſtabiliorem eſſe, atque perfectionem quandam in ſe numerorum circumſcribere, facilè intelliget, qui ſic animo verſabit. Neque me fugit, antiquos & ſapientes imparem numerum pari præponere ſolitos eſſe: atque principium incrementi dicere τὸ μὴ συνδυάζον quod non condiuidit. Quòd enim alteri ſimile ſit, id manere eiuſmodi, quale ſit alterum. Inter duo verò, tertium impar exiſtere. Ego verò, quanquam audaciùs dictum videri poteſt, dicerem tamen principij numeros eſſe coniunctos omnino & incrementi continentiam omnino ſemper importare. Quare multò iuſtius pari, quàm impari numero cauſſam incrementi aſſignari. Vnitatis enim numerus non eſt περιττὸς impar, excedens, cùm non habeat quem excedat. Binarij verò coniunctio, duplam imparitatem parit & ex duobus numeris, tertius rectè ad incrementum procedit. Rurſus in alterius dualitatis mixtione, quaternarij numeri aſſumit exceſſum. Et omnino mutua communicatio, quæ vtriuſque imparitatem declarat, in dualitatis numerum concluditur. Hoc ſi datum ſit, dicerem cùm primus denarius in ſui ipſius circumferentiam reuoluitur, totius ſummam ad centenarium numerum peruenturam. Sic vt vno ſurgat incrementum in decem. Rurſus cùm denarius in ſe reducitur, in centenario numero perficiatur. Atque inde iterum ex Hecatontadibus, vniuerſam numerorum vim ac poteſtatem dependere ac defluere, cùm neque quieſcat vnitas, niſi dualitas in mixtione ſemper aliquid impar gignat, & rurſus in ſeipſum reuocetur, donec alia Hecatontade numerorum collectionem includat & circumſcribat, & cùm finem illi perfectionémque dederit, rurſum ex illa ſerpet in aliam. Hecatontadum appellationibus, totum ſemper, vſque in infinitũ referens. Mihique videtur non temerè neque ſine cauſſa Ioui Ægidã ἑκατόντα θύσανον centũ Fimbriis circũueſtitam Homerus tribuiſſe, ſed meliore quodam & abſcõdito quaſi ſermone rẽ adumbrat, cùm id reuera dicit: ſe perfectiſſimo potentiſſimóq; Deo, abſolutiſſimum etiam numerorum aſcribere, quoque ſolo

κάλλιον, εἰ ἐς περσίαν ἔλθοι. εἰ δὲ καὶ τὴν θέαν αὐτῶν τὴν ἐν τοῖς δένδροις ὀφθαλμοῖς λάβοις, καὶ ὅπως ἑκάστου τῶν κρεμαμένων ἐπιμήκεσι τοῖς κέντροις οἱονεὶ καλύκων δίκην ἀπήρτηνται, ἢ ὅπως ἐν κύκλῳ περιθεῖ τοῦ καρποῦ τὸ δένδρον ἄλλας μετ' ἄλλας ἐν στίχῳ περιφερεῖ πολυειδεῖς ἀγλαΐας μηχανώμενον, φαίης ἂν αὐτοὺς καθάπερ ἐν ὅρμῳ δέρρεις τὰς τῶν δένδρων ἐξαιρέτους αὐτῶν. καὶ ἡ περὶ χρονίαν μόνον ἐπιτέχνησις, οὐκ ἐλάττονα τῆς εἰς τὴν χρείαν ἡδονῆς ἔχει φιλοτιμίαν. οὐ γὰρ ὥσπερ τὰ ἄλλα τῶν σύκων ὁμοῦ καὶ κατὰ ταυτὸν ἐρρίπται. οὐδὲ καθάπερ σωρηδὸν ἢ χύδην ἡλίῳ προσαίρεται. ἀλλὰ πρῶτον μὲν ἠρέμα τῶν δένδρων αὐτὰ ταῖς χερσὶν ἀποδρέπουσιν. ἔπειτα ὄρπηξιν, ἢ ῥάβδοις ἀκανθώδεσι τῶν τοίχων ἀπαρτῶσιν. ἵνα λευκαίνηται μὲν ἡλίῳ καθαρῷ προσομιλοῦντα. μένῃ δὲ αἱ ἐπιβουλαί τε, τῶν ζώων τε καὶ ὀρνιθίων οἱονεὶ τῷ κέντρῳ τῇ ἀλεξιτηρίᾳ δορυφορούμενα. καὶ ταῦτα μὲν γενέσεως αὐτῶν καὶ γλυκύτητος καὶ ὥρας καὶ ποιήσεως καὶ χρείας, ταῦτά σοι παρ' ἡμῶν ἡ ἐπιστολὴ προσπαίζει. ὅτι μὲν τῶν ἑκατὸν ἀριθμός, ὡς ἔστι τῶν ἄλλων τιμιώτερος, καὶ τὸ τέλειον ἐν αὐτῷ τῶν ἀριθμῶν περιγράφων, μάθοι ἄν τις θεωρῶν τῇδε. καὶ οὐκ ἀγνοῶ μέν, ὡς παλαιῶν καὶ σοφῶν ἀνδρῶν ὁ λόγος, τῷ ἀρτίῳ τὸν περιττὸν προτιθέναι. οὐδὲ ὡς ἀρχὴν φασὶν αὐξήσεως εἶναι τὸ μὴ συνδυάζον. τὸ γὰρ ὅμοιον θατέρῳ, μένειν ὁποῖον καὶ τὸ ἕτερον. δυεῖν δὲ γινομένοιν, τὸν τρίτον εἶναι τὸ περιττόντα. ἐγὼ δέ, εἰ καὶ τολμηρότερος ὁ λόγος ἐστί, φαίην ὅμως. ἀρχῆς μὲν εἰσὶν οἱ ἀριθμοὶ πάντως ἐξηρτημένοι. καὶ τὸ προσεχὲς τῆς αὐξήσεως διὰ παντὸς κομίζοντο. πολλῷ γε μὴν εἶναι δικαιότερον τῷ ἀρτίῳ μᾶλλον ἢ τῷ περιττῷ τὴν τῆς αὐξήσεως αἰτίαν προσοικειοῦσθαι. ὁ μὲν γὰρ εἷς ἀριθμός, οὐκ ἂν εἴη περιττός, οὐχ ἔχων ὅτῳ περιττὸς γένοιτο. ἡ δὲ τῆς δυάδος συζυγία, τίκτει διπλῆν τὴν περιττότητα. κἀκ τῶν δυοῖν ἀριθμῶν, ὁ τρίτος εἰκότως, εἰς αὔξησιν ἔρχεται. πάλιν δ' ἐν τῇ τῆς ἑτέρας δυάδος μίξει, τῆς τετράδος τὴν ὑπεροχὴν λαμβάνει. καὶ ὅλως ἡ πρὸς ἄλληλα κοινωνία, τὴν ἐξ ἑκατέρου περιττότητα φαίνουσα, εἰς τὸν τῆς δυάδος ἀριθμὸν περικλείεται. διδομένου δὴ τούτου, φαίην ἂν οἶμαι τῆς πρώτης δεκάδος τὴν εἰς αὐτὸ περιφέρειαν ἀνακυκλούσης, εἰς τὸν τῆς ἑκατοντάδος ἀριθμὸν τὸ ὅλον διαβαίνειν. ὡς τῷ μὲν ἑνὶ τὴν αὔξησιν εἰς δέκα συντείνειν. πάλιν δὲ αὖ τὴν δεκάδα δι' αὐτῆς ἀνιοῦσαν εἰς τὸν ἑκατὸν ἀριθμὸν συμπληροῦσθαι. κἀντεῦθεν αὖ πάλιν ἐξ ἑκατοντάδων τὸ ὅλον τῶν ἀριθμῶν τὴν δύναμιν καρποῦσθαι. μήτε τοῦ ἑνὸς ἠρεμοῦντος εἰ μή τι τῆς δυάδος ἐν τῇ μίξει τὸ περιττὸν ἀεὶ τικτούσης τε καὶ εἰς ἑαυτὴν αὖθις ἀνακαλουμένης, ἄχρις ἂν ἑτέρᾳ πάλιν ἑκατοντάδι τῶν ἀριθμῶν τὸ συναγόμενον κατακλείσῃ. καὶ τὸ τέλειον αὐτῷ προσαπτοῦσα πάλιν ἐξ αὐτῆς εἰς τὸ ἕτερον ἑρπύσῃ. ταῖς τῶν ἑκατοντάδων ἐπηγορίαις ἀεὶ τὸ ὅλον εἰς τὸ τῆς καταλήψεως ἄπειρον ἀναφέρουσα. δοκεῖ δέ μοι καὶ Ὅμηρος οὐχ ἁπλῶς οὐδὲ ἀργῶς ἐν τοῖς ἔπεσι τὴν ἑκατὸν θυσάνων αἰγίδα τῷ Διὶ περιθεῖναι. ἀλλά τινι κρείττονι καὶ ἀπορρήτῳ λόγῳ τοῦτο αἰνίττεσθαι λέγων, ὡς ἄρα τῷ τελεωτάτῳ θεῷ, τὸ τέλειον τῶν ἀριθμῶν περιάψει. καὶ ᾧ μόνῳ

παρὰ τοὺς ἄλλους ἀεὶ διηγήσατο ἐν κοσμεῖσθαι. ἢ ὅτι τὸν ξύμπαντα κόσμον, ὃν εἰς αἰγίδος σχῆμα τῷ τῆς εἰκόνος περιφερεῖ ξυνείληφεν, οὐκ ἄλλος πως, ἢ ὁ τῆς ἑκατὸν ἀριθμὸς περιγράφει τῇ κατὰ κύκλον ἑκατοντάδι, τὴν ἐς τὸ ὅλον τῶν νοητῶν κατανόησιν ἐφαρμόττων. ὁ δ' αὐτὸς λόγος ἐστὶ, καὶ τὸν ἑκατοντάχειρα τὸν Βριάρεω καθίζει πάρεδρον τῷ Διΐ. καὶ πρὸς τὴν τοῦ πατρὸς ἁμιλλᾶσθαι συγχωρεῖ δύναμιν. οἷον ἐν τῷ τοῦ ἀριθμοῦ τελέῳ τὸ τέλεον αὐτῷ τῆς ἰσχύος ἀποδιδούς. καὶ μὴν καὶ Πίνδαρος ὁ Θηβαῖος, τὴν ἀναίρεσιν τοῦ Τυφῶνος ἐν ἐπινικίοις κηρύττων, καὶ τοῦ μεγίστου τούτου γίγαντος κράτος τῷ μεγίστῳ βασιλεῖ τῶν θεῶν περιτιθεὶς, οὐχ ἑτέρωθεν αὐτῷ τῆς εὐφημίας κρατύνει τὴν ὑπερβολὴν, ἢ ὅτι τὸν γίγαντα τὸν ἑκατοντακέφαλον ἑνὶ βλήματι καθελεῖν ἤρκεσεν. ὡς οὔ τινος ἄλλου εἰς χεῖρας τοῦ Διὸς ἐλθεῖν ἀντιμάχου γίγαντος νομισθέντος, ὃν ἡ μήτηρ μόνον τῶν ἄλλων ἑκατὸν κεφαλαῖς ὥπλισεν, οὔτε ἑτέρου τινὸς θεῶν, ἢ μόνου Διὸς ἀξιονικοτέρου πρὸς ταύτην τοσούτου γίγαντος καθαίρεσιν ὄντος. Σιμωνίδῃ δὲ ἄρα τῷ μελικῷ πρὸς τὴν τοῦ Ἀπόλλωνος εὐφημίαν ἀρκεῖ τὸν θεὸν Ἕκατον προσειπόντι. καὶ καθάπερ ἀντ' ἄλλου τινὸς ἱεροῦ γνωρίσματος αὐτοῦ τῆς ἐπωνυμίας κοσμῆσαι. διότι τὸν Πύθωνα τὸν δράκοντα βέλεσιν ἑκατὸν, ὥς φησιν, ἐχειρώσατο. καὶ μᾶλλον αὐτὸν Ἕκατον ἢ Πύθιον χαίρειν προσαγορευόμενον, οἷον κλήρῳ τινὸς ἐπωνυμίας συμβόλῳ προσφωνούμενον. ἥ γε μὴν τοῦ Διὸς θρεψαμένη νῆσος ἡ Κρήτη, καθάπερ τροφεῖα τῆς Διὸς ὑποδοχῆς ἀντιλαβοῦσα, τῷ ἑκατὸν πόλεων ἀριθμῷ τετίμηται. καὶ Θήβας δὲ ἄρα τὰς ἑκατονταπύλους, οὐκ ἄλλῃ τινὶ ἢ ταύτῃ χάριτι ἐπῄνεσεν Ὅμηρος, διότι ταῖς πύλαις ταῖς ἑκατὸν κάλλος ἦν θαυμαστόν. καὶ σιωπῶ θεῶν ἑκατόμβας καὶ νεὼς ἑκατοντάποδας, καὶ βωμοὺς ἑκατοντακρηπῖδας, καὶ τοὺς ἑκατονταδόχους ἀνδρῶνας. καὶ τὰς ἀρούρας δὲ τὰς ἑκατονταπλέθρους. καὶ ὅσα ἄλλα θεῖά τε καὶ ἀνθρώπινα τῇ ἀριθμοῦ τοῦδε προσηγορίᾳ συνείληπται. ὅ γε μὴν ἀριθμὸς ἐστὶν οὗτος καὶ στρατιωτικὴν ὁμοῦ καὶ εἰρηνικὴν τάξιν κοσμῆσαι. καὶ φαιδρύνει τὴν ἑκατοντάνδρων λοχαγίαν. τιμᾷ δὲ ἡ δικαστῶν ἐς τὸ ἴσον ἥκουσαν ἐπωνυμίαν. καί μοι καὶ πλείω τούτων ἔχοντα λέγειν, ὁ τῆς ἐπιστολῆς ἐπιστρέφει νόμος. σὺ δὲ ἀλλὰ συγγνώμην ἔχειν τῷ λόγῳ, διότι καὶ ταῦτα πλείω τῶν ἱκανῶν εἴρηται. καὶ εἰ μὲν ἔχει μέτριον ὑπὸ σοὶ κριτῇ, καλὸν ἂν γε χείρημα, πάντως καὶ πρὸς τοὺς ἄλλους ἔκφορον ἔσται, τὸ παρὰ σοῦ ψῆφον τὴν μαρτυρίαν δεξάμενον. εἰ δὲ χειρὸς ἑτέρας προσδεῖται πρὸς τὸ τοῦ σκοποῦ συμπλήρωμα, τίς ἂν σοῦ κάλλιον εἴη τὰ γραφέντα εἰς κάλλος ἀκριβώσαντος πρὸς τὴν τῆς θέας ἡδονὴν ἀπολαῦσαι.

Ἰουλιανὸς Ἰουδαίων τῷ κοινῷ εὐγενέσιος.

ΠΆνυ ὑμῖν φορτικώτερον γεγένηται ἐπὶ τῶν παρῳχηκότων καιρῶν τὸ τῆς ζυγὸν τῆς δουλείας, τὸ διαγραφαῖς ἀκηρύκτοις ὑποτάττεσθαι ὑμᾶς. καὶ χρυσίου πλῆθος ἄφατον εἰσκομίζειν τοῖς τοῦ ταμείου λόγοις. ὧν πολλὰ μὲν αὐτοψεὶ ἐθεώρουν. πλείονα δὲ τούτων ἔμαθον διευρὼν τὰ βρέβια καθ' ὑμῶν

præ cæteris ornari dignus ſit: aut quòd totum mundum, quem in Ægidis figuram, propter circumferentiæ imaginem conieciт, non alius quàm centenatius numerus, circulari hecatontade complectitur, intellectum rerum intelligibilium ſolidum ac abſolutam intelligens. Idem in ſuis carminibus centimano Briareo prope Iouem, ſedem collocat, & potentiæ parentis obluctari atque repugnare permittit, oſtendens ſe numeri perfectione, virium quoque & roboris in ea ſoliditatem ponere ob oculos voluiſſe. Verùm & Pindarus Thebanus in Epiniciis vbi Tiphoentis cędem prædicat, maximique Gigantis huius vires potentiſſimo deorum tegi tribuit, non aliam ob cauſſam tot tantiſque laudibus eum vehit, quàm quòd vno ictu Gigantem centum capitibus præditum neci dare valuit, quaſi non credibile ſit, alium Gygantem manus cum Ioue conſerturum fuiſſe, quàm quem centum capitibus mater armarit, neque quiſquam deorũ alius præter ſolum Iouem dignus ſit, qui victoriam & laudem ex hac tanti Gigantis cæde reportarit Simonidi verò Poëtæ, ad præconium Apollinis ſufficit eum Hecatij cognomine appellare, & quaſi alia quadam diuina nota cognomentum eius ornare: propterea, quòd Pythonẽ ſerpentem centum telis, vt inquit, confixum occiderit, eúmque maiorem voluptatem ex Hecatij, quàm ex Pythij appellatione capere, eóque quaſi hæreditario cognomine nuncupari velle. Creta verò quæ Iouem educauit, quaſi altrix particeps laudum Iouis opt. maximi, centenario vrbium numero decorata eſt, Thebáſque centiportas non alia de cauſſa, laudibus Homerus affecit, quàm quòd centum portis eſſet ſpectabilis & admiranda. ſilentio nunc prætereo deorum Hecatombas & fana centipeda, aráſque centicrepidas, & Andronas Hecatondochos, terráſque centiplethras, quæcunque denique vel diuina vel humana ſub appellationem huius numeri cadunt. Hic quidem numerus, belli paciſque ordinem ac ſtatum ornat, atque cohortem centumuirûm decoram & abſolutam efficit: tum etiam numerandis iudicibus, qui hac ferè circumſcriptione continentur, decus & ornamentum importat. Me verò, cùm in hanc ſententiam dicere complura poſſim, prohibet Epiſtolæ modus. Tu verò concedas huic orationi meæ velim, quoniam hæc etiam latiùs quàm res poſtulabat diſputata ſunt. Quòd ſi ſunt mediodiocris, tuo iudicio, prorſus etiam reliquis pulcherrima optimáque viſum iri ſcio cùm tui ſuffragij calculo teſtimonium atque fidem acceperint Sin altera manus deſideratur, ad aſſecutionem ſcopi: quis te meliùs & rectiùs, ſi ſcripta ad venuſtatem & elegantiam reuoces, vt quaſi ſpectaculum voluptatem afferant expoliet, & elimabit.

Iulianus Iudæorum Reipublicæ.

ET vobis oneroſiùs fuit, præteritis temporibus, cùm in ſeruitutis vinculis teneremini, quibuſuis temerè ſcriptis, neque confirmatis publicè mandatis obedientiam præſtare, & auri vim tantam, quanta verbis exprimi vix poteſt, in ærarij rationes inferre: quorum permulta egomet ipſe vidi: pluráq; bis cognoui ſchedas inueniſſem, quæ cõtra vos ſeruaban-

fermabantur. Præterea futuram iterum exactionẽ vobis denunciari prohibui, tantúmque contumeliæ piaculum vt hic finem acciperet, effeci, atque igni literas omnes quæ contra vos in ſcriniis meis erant repoſitæ tradidi, ne quis poſthac amplius poſſet, eiuſmodi impietatis famam in vos eiaculari. Eorum omniúm non tam vobis extitit cauſſa Conſtantius frater, memorabilis, quàm qui ad menſam huius accubuerunt, ſententiis barbari, animo ſceleſti ac nefarij, quos ego meis manibus arreptos, deiectóſque in puteum morte affeci, ne in poſterum aliqua memoria, de ipſorum interitu circumferretur aut extaret. verùm vt vberius atque plenius gaudium vobis impertirem, Fratrem Iulum venerabilem patriarcham hortatus ſum, vt eum quem dicunt apoſtolatum apud vos arceret & comprimeret, curámque adhiberet ne quis populum veſtrum, tantis exactionibus premere per iniuriam amplius poſſet, vt in meo regno prorſus ſitis liberi ſolutique curis, hócque accepto beneficio maiores ſupplicationes decernatis omnium potentiſſimo, & cõditori Deo, qui ſanctiſſima ſua dextra coronam mihi tradere dignatus eſt. Plærumque enim fieri ſolet, vt qui curis & anxietatibus torquentur, animo ſint cõſtricto vinctóque neque tantùm audeant ad precationem faciendam palmas tollere. contrà qui ſunt prorſus vacui curis & moleſtiis carent, tota mente in gaudium elati cultu ſupplici Deum venerentur atque inuocent, in cuius manu eſt regnum optimè moderari, & ad optima quæque prouehere: quemadmodum cupimus. Id vos facere æquum eſt vt cùm ego Perſicum bellum ex animi ſententia confecero ciuitatem veſtram Sanctam Hieruſalem, quàm multos ab hinc annos videre cupij, meis laboribus inſtauratam ædificem, inque ipſa vnà vobiſcum gloriam Deo tribuam.

Iuliani decretum de medicis.

MEdicæ rei ſcientiam, hominibus exiſtere ſalutarem, teſtatur vſus perſpicuus ac manifeſtus. Quamobrem non iniuria factum eſt, vt eam Philoſophorum pueri cælitùs veniſſe prædicarint. Imbecillitas enim naturæ noſtræ, morbique quotidiani ac ſubiti, huius ope corriguntur ac ſedantur. Proinde, iuris & æquitatis habita ratione, conuenientem ſuperis regibus legem ponimus, ac pro noſtra benignitate iubemus, vt in poſterum ſecuram à publicis muneribus obeundis ac vacuam vitam degatis.

Alexandrinis Mandatum.

OPortebat equidem eum, qui multis regiis atq; imperatorũ cõpluriũ iuſſis, pulſus eſſet fugatúſq;, ſi vnũ ſaltem regiũ decretum accepiſſet, confeſtim in ſuam terram, reuerti, neque fretum audacia, ac deſperatione, quaſi nullæ eſſent, ita legibus iniuriam ac contumeliam inferre. Atque iam nos, Galilæis, qui ſunt à beato Cõſtantio in exilium eiecti, non reditum ad conciones: ſed in patriam conceſſimus. At Athanaſium audio ſolita confidentia elatum, ſedem etiam epiſcopatus, vt vocant ſibi vindicare cepiſſe. Id verò pientiſſimo Alexandrinorum populo ſatis moleſtum ac graue videri. Quare prædicimus ac edicimus vt quo

φυλαττόμενα. ἔτι δὲ καὶ μέλλουσαν πάλιν εἰσφορὰν καθ' ὑμῶν προστάττεσθαι εἶρξα. καὶ τὸ τοιαύτης δυσφημίας ἀσέβημα, ἐνταῦθα ἐβιασάμην στῆσαι. καὶ πυρὶ παρέδωκα τὰ βρέβια τὰ καθ' ὑμῶν ἐν τοῖς ἐμοῖς σκρινίοις ἀποκείμενα. ὡς μηκέτι δύνασθαι καθ' ὑμῶν τινα τοιαύτην ἀκοντίζειν ἀσεβείας φήμην. καὶ τούτων μὲν ὑμῖν οὐ τοσοῦτον αἴτιος κατέστη ὁ τῆς μνήμης ἄξιος κωνστάντιος ὁ ἀδελφός, ὅσον οἱ τὴν γνώμην βάρβαροι καὶ τὴν ψυχὴν ἄθεοι οἱ τὴν τούτου τράπεζαν ἑστιώμενοι. οὓς μὲν ἐγὼ ἐν χερσὶν ἐμαῖς λαβόμενος εἰς βόθρον ὤσας ἀπώλεσα. ὡς μήτε μνήμην ἔτι φέρεσθαι, ἥ ἐστι παρ' ἡμῖν τῆς αὐτῶν ἀπωλείας. ἐπὶ πλέον δὲ ὑμᾶς εὐωχεῖσθαι βουλόμενος τὸν ἀδελφὸν ἴουλον τὸν αἰδεσιμώτατον πατριάρχην παρῄνεσα, καὶ τὴν λεγομένην εἶναι παρ' ὑμῖν ἀποστολὴν κωλυθῆναι. καὶ μηκέτι δύνασθαι τὰ πλήθη ὑμῶν, τινὰ ἀδικεῖν τοιαύταις φόρων εἰσπράξεσιν. ὡς πανταχόθεν ὑμῖν ἀμέριμνον ὑπάρχειν τῆς ἐμῆς βασιλείας. ἵνα ἀπολαύοντες, ἔτι μείζονας εὐχὰς ποιῆτε τῆς ἐμῆς βασιλείας τῷ πάντων κρείττονι καὶ δημιουργῷ θεῷ τῷ καταξιώσαντι στέψαι με τῇ ἀχράντῳ αὐτοῦ δεξιᾷ. πέφυκε γὰρ τοὺς ἔν τινι μερίμνῃ ἐξεταζομένους περιδεεῖς εἶναι τὴν διάνοιαν καὶ μὴ τοσοῦτον εἰς τὴν προσευχὴν τὰς χεῖρας ἀνατείνειν τολμᾶν. τοὺς δὲ πανταχόθεν ἔχοντας τὸ ἀμέριμνον, ὁλοκλήρῳ ψυχῇ χαίροντας ὑπὲρ τῆς βασιλείας, ἱκετηρίας ποιεῖσθαι τῷ μείζονι. τῷ δυναμένῳ κατευθῦναι τὴν βασιλείαν ἐπὶ τὰ κάλλιστα, καθάπερ προαιρούμεθα. ὅπερ χρὴ ποιεῖν ὑμᾶς. ἵνα κἀγὼ τὸν περσῶν πόλεμον διορθωσάμενος, τὴν ἐκ πολλῶν ἐτῶν ἐπιθυμουμένην παρ' ὑμῶν ἰδεῖν οἰκουμένην πόλιν ἁγίαν ἱερουσαλὴμ ἐμοῖς καμάτοις ἀνοικοδομήσας οἰκήσω, καὶ ἐν αὐτῇ δόξαν δώσω μεθ' ὑμῶν τῷ κρείττονι.

Ἰουλιανοῦ νόμος περὶ τῶν ἰατρῶν.

ΤΗν ἰατρικὴν ἐπιστήμην σωτήριον εἶναι τοῖς ἀνθρώποις τυγχάνειν, τὸ ἐναργὲς τῆς χρείας μαρτυρεῖ. διὸ καὶ ταύτην ἐξ οὐρανοῦ πεφοιτηκέναι δικαίως φιλοσόφων παῖδες κηρύττουσι. τὸ γὰρ ἀσθενὲς τῆς ἡμετέρας φύσεως, καὶ τὰ τῶν ἐπισυμβαινόντων ἀρρωστημάτων ἐπανορθοῦται διὰ ταύτης. καὶ γὰρ κατὰ τὸν τοῦ δικαίου λογισμὸν, συνῳδὰ τοῖς εἰωθόσι βασιλεῦσι θεσπίζοντες, ἡμετέρᾳ φιλανθρωπίᾳ κελεύομεν τῶν βουλευτικῶν λειτουργημάτων ἀνοχλήτους ὑμᾶς τοῖς λοιποῖς χρόνοις διάγειν.

Ἀλεξανδρεῦσι διάταγμα.

ΕΧρῆν τὸν ἐξελαθέντα βασιλικοῖς πολλοῖς πάνυ καὶ πολλῶν αὐτοκρατόρων προστάγμασιν, ἓν γοῦν ἐπίταγμα περιμεῖναι βασιλικόν, εἶθ' οὕτως εἰς τὴν ἑαυτοῦ κατιέναι. ἀλλὰ μὴ τόλμῃ μηδὲ ἀπονοίᾳ χρησάμενον, ὥσπερ οὐκ οὖσιν ἐνυβρίζειν τοῖς νόμοις. ἐπεὶ καὶ τὸ νῦν ὑφ' ἡμῶν τοῖς γαλιλαίοις, τοῖς φυγαδευθεῖσιν ὑπὸ τοῦ μακαρίτου κωνσταντίου, οὐ κάθοδον εἰς τὰς ἐκκλησίας αὐτοῖς, ἀλλ' εἰς τὰς πατρίδας συνεχωρήσαμεν. Ἀθανάσιον δὲ πυνθάνομαι τὸν τολμηρότατον ὑπὸ τοῦ συνήθους ἐπαρθέντα θράσους, ἀντιλαβέσθαι τοῦ λεγομένου παρ' αὐτοῖς ἐπισκοπῆς θρόνου. τοῦτο δὲ εἶναι καὶ τῷ θεοσεβεῖ τῷ ἀλεξανδρέων δήμῳ μετρίως ἀηδές. ὅθεν αὐτῷ προαγορεύομεν

ἀπιέναι τῆς πόλεως ἐξ ἧς ἂν ἡμέρας τὰ τῆς ἡμετέρας ἡμερότητος γράμματα δέξηται παραχρῆμα. μένοντι δὲ αὐτῷ τῆς πόλεως εἴσω, μείζους πολὺ καὶ χαλεπωτέρας προαγορεύομεν τιμωρίας.

Ἰουλιανὸς Λιβανίῳ σοφιστῇ καὶ κοιαίστωρι.

Μέχρι τῶν Λιτάρβων ἦλθον. ἔστι δὲ ἡ κώμη Χαλκίδος. καὶ ἐνέτυχον ὁδῷ λείψανα ἐχούσῃ χειμαδίων ἀντιοχικῶν, ἦν δὲ αὐτῆς, οἶμαι, τὸ μὲν τέλμα, τὸ δὲ ὄρος. τραχεῖα δὲ πᾶσα. καὶ ἐνέκειτο τῷ τέλματι λίθοι ὥσπερ ἐπίτηδες ἐρριμμένοι, ἐοικότες ὑπ' οὐδεμιᾷ τέχνῃ συγκείμενοι, ὃν τρόπον εἰώθασιν ἐν ταῖς ἄλλαις πόλεσι τὰς λεωφόρους οἱ ἐξοικοδομοῦντες ποιεῖν. ἀντὶ μὲν τῆς κονίας πολλὴν τὴν χοῦν ἐποικοδομοῦντες. πυκνοὺς δὲ ὥσπερ ἐν τοίχῳ τιθέντες τοὺς λίθους. ἐπεὶ δὲ διαβὰς μόλις ἦλθον εἰς τὸν πρῶτον σταθμὸν, ἐννέα που σχεδὸν ἦσαν ὧραι. καὶ ἐδεξάμην εἴσω τῆς αὐλῆς τὸ πλεῖστον τῆς παρ' ὑμῖν βουλῆς. ἃ δὲ διελέχθημεν πρὸς ἀλλήλους, ἴσως ἐπύθου· μάθοις δ' ἂν καὶ ἡμῶν ἀκούσας, εἰ θεοὶ θέλοιεν. ἀπὸ τῶν Λιτάρβων εἰς τὴν Βέρροιαν ἐπορευόμην. καὶ ὁ Ζεὺς αἴσια πάντα ἐσήμηνεν, ἐναργῆ δείξας τὴν διοσημίαν. ἐπιμείνας δὲ ἡμέραν ἐκεῖ, τὴν ἀκρόπολιν εἶδον. καὶ ἔθυσα τῷ Διὶ βασιλικῶς ταῦρον λευκόν. διελέχθην δὲ ὀλίγα τῇ βουλῇ περὶ θεοσεβείας. ἀλλὰ τοὺς λόγους ἐπῄνουν μὲν ἅπαντες, ἐπείσθησαν δὲ αὐτοῖς ὀλίγοι πάνυ. καὶ οὗτοι οἳ καὶ πρὸ τῶν ἐμῶν λόγων ἐδόκουν ἔχειν ὑγιῶς. ἐλάβοντο δὲ ὥσπερ παρρησίας ἀποτρίψασθαι τὴν αἰδῶ καὶ ἀποθέσθαι. περίεστι γὰρ ὦ θεοὶ τοῖς ἀνθρώποις ἐπὶ μὲν τοῖς καλοῖς ἐρυθριᾶν ἀνδρείᾳ ψυχῆς καὶ εὐσεβείᾳ. καλλωπίζεσθαι δὲ ὥσπερ τοῖς χειρίστοις ἱεροσυλίᾳ καὶ μαλακίᾳ γνώμης καὶ σώματος. ἔνθεν ὑπεδέξαντό με Βάτναι χωρίον οἷον οὐκ εἶδον παρ' ὑμῖν ἔξω τῆς Δάφνης, ἣ νῦν ἔοικε ταῖς Βάτναις. ὡς τά γε πρὸ μικροῦ σωζομένου τοῦ νεὼ καὶ τοῦ ἀγάλματος, Ὄσσῃ καὶ Πηλίῳ καὶ ταῖς Ὀλύμπου κορυφαῖς καὶ τοῖς Θετταλικοῖς Τέμπεσιν ἄγειν ἐπίσης, ἢ καὶ προτιμᾶν ἁπάντων ὁμοῦ τὴν Δάφνην οὐκ αἰσχυνοίμην. ἱερὸν Διὸς Ὀλυμπίου καὶ Ἀπόλλωνος Πυθίου τὸ χωρίον. ἀλλ' ἐπὶ μὲν τῇ Δάφνῃ γέγραπταί σοι λόγος. ὁ ποῖον ἄλλος οὐδεὶς τῶν οἷοι νῦν βροτοί εἰσι καὶ μάλα ἐπιχειρήσας ἂν καμὼν ἐργάσαιτο. νομίζω δὲ καὶ τῶν ἔμπροσθεν οὐ πολλοὺς πάνυ. τί οὖν ἐγὼ νῦν ἐπιχειρῶ περὶ αὐτῆς γράφειν οὕτω λαμπρῶς ἐπ' αὐτῇ συγγεγραμμένης; ὡς μή ποτε ὤφελε τοιοῦτον. αἵ γε μὴν Βάτναι βαρβαρικὸν ὄνομα τοῦτο, χωρίον ἐστὶν ἑλληνικόν. πρῶτον μὲν ὅτι διὰ πάσης τῆς πέριξ χώρας ἀτμοὶ λιβανωτοῦ πανταχόθεν ἦσαν ἱερεῖά τε ἐβλέπομεν εὐπρεπῆ πανταχοῦ. τοῦτο μὲν οὖν εἰ καὶ λίαν εὔφρανέ με, θερμότερον ὅμως ἐδόκει καὶ τῆς εἰς τοὺς θεοὺς εὐσεβείας ἀλλότριον. ἐκτὸς πάτου γὰρ εἶναι χρὴ καὶ δρᾶσθαι καθ' ἡσυχίαν. ἐπ' αὐτὸ τοῦτο πορευομένων οὐκ ἐπ' ἄλλο τι βαδιζόντων τὰ πρὸς τοὺς θεοὺς ἱερεῖά τε καὶ ὅσια. τοῦτο μὲν οὖν ἴσως τεύξεται τῆς ἁρμοζούσης ἐπιμελείας αὐτίκα. τὰς Βάτνας δὲ εἶδον πεδίον λάσιον ἄλσει κυπαρίττων ἔχον νέων. καὶ ἐν ταύταις οὐδὲν γεράνδρυον οὐδὲ σαπρόν. ἀλλὰ ἐξίσης ἅπαντα θάλλοντα τῇ κόμῃ. καὶ τὰ βασίλεια πολυτελῆ μὲν ἥκιστα. πηλοῦ γὰρ ἦν μόνον καὶ ξύλων. οὐδὲν ποικίλον ἔχον-

die noſtræ clementiæ literas acceperit, quàm primùm ex vrbe diſcedat. Sin intra ciuitatem moram fecerit, maiores ei, grauioréſque multò pœnas denunciamus.

Iulianus Libanio Sophiſtæ & Quæſtori.

Vſque ad Litharba perueni, qui eſt vicus Chalcidis, & in viam incidi, quæ reliquias adhuc hybernationum Antiochicarum habebat. Erat autem partim lutulenta partim montana, vniuerſum autem aſpera atque dura. Atque paſſim in agris & planicie lapides iacebant quaſi de induſtria iacti, nulla tamen arte compoſiti, quemadmodum in reliquis vrbibus vias publicas exædificare ac facere conſueuerunt: vt pro calce puluerem multum ſubſtruant, lapides verò tanquam in muro frequentes & condenſatos ponant. Poſteaquam verò magno labore vix transgreſſus ad prima ſtatiua penetraui, nouem circiter horæ fuerant elapſæ, veſtrúmque ſenatum, magna ex parte intra locum accepi. Quem verò ſermonem mutuum habuerimus, credo te audiuiſſe, volentibúſque diis à nobis etiam fortaſſis audies. A Litharbis ad Berrhæam iter direxi. Iupitérque manifeſto quodam & euidenti ſigno demonſtrato, fœlicia cuncta ſignificabat. Ibi commoratus diem vnum, arcem ſum contemplatus, ac regia conſuetudine Ioui candidum taurum immolaui. Pauca verò cum ſenatu de religione ſum locutus. Verùm orationem quidem omnes laudare, pauciſſimi ſuffragium ſuum addere, & ferè nemo præter eos qui videbantur ante meum colloquium etiam eſſe in ſana rectáque ſententia. Sumpſerunt autem quaſi licentiam, abſtergendi pudoris atque deponendi. Superuacaneum enim eſt ô dij immortales, hominibus, affici pudore in rebus honeſtis animi videlicet magnitudine & pietate, contrà in peſſimis gloriari ſacrilegio, ac peruerſitate animi & corporis. Inde me ſuſceperunt Batnæ caſtellũ eiuſmodi, qualem non vidi apud vos, excepta Daphne, quę iam Batnas refert. Etenim non multò antè, dum adhuc templum atque ſimulachrum incolume, maneret, Oſſæ, & Pelio atque olympi cacuminibus. Tempibúſque Theſſalicis æqualem ponere, aut etiam ſimul omnibus anteferre Daphnem non dubitaſſem, ſacrum Iouis Olympij & Apollinis Pythij caſtellum, ſed in Daphnes laudem extat à te ſcripta oratio, qualem nemo omnium huius ætatis hominum, vel maximo conatu ac diligentia, elaborare potuiſſet, ſuperioris etiam ſeculi non planè multos arbitror. Quid igitur nunc ego de illa ſcribere conabor, cùm tam perſpicuè & ornatè iam antea deſcripta ſit? Batnæ verò barbarũ hoc nomen, caſeolũ Græcũ ſignificat, Primũ equidẽ, quòd per vniuerſam circũ circa regionem eſſent vapores odoréſq; thuris ex omnibus vndiq; locis, item hoſtias etiã, vidimus vndiq; ſplendidas ac decoras eſſe. Id quanquã ſumma voluptate me affecit: tamen feruẽtius & à pietate in deos alienũ viſum eſt eſſe. Id enim extra viã oportet fieri, & celebrari in loco quieto. vt ad hoc ſolũ veniant non ad aliud quiddã, afferántque Diis immortalibus ſacrificia & victimas. Hoc igitur fortaſſe ſtatim vt par eſt emendabitur atque corrigetur. In

Batnis

In Batnis verò campum vidi hirſutum, recentium cupreſſorum hortis plenum. Non erat in hoc aut annoſum, aut patre quicquam, ſed omnia pariter florẽtia ac vigentia folijs. Regia quidem non minùs magnifica. Solùm enim ex luto, atque lignis erat conſtructa, neque quicquã in ea quòd varietatẽ aliquã referret. Hortũ autem Alcinoi quidem inferiorem, ſimiléma; Laertæ, inque eo paruus admodũ locus, cupreſſis refertus, multæque ſunt capillatim ordine eiuſmodi arbores adplantatæ. Inde mediũ tenent areæ, quædam in eiſque ſunt olera, & arbores omne fructuũ genus ferentes. Quid igitur hic? Rẽ diuinã ſub crepuſculo Regi. Inde ſummo mane, quòd mihi rectè quotidie facere moris erat. Cùm verò fauſta omnia portenderẽtur, ad ciuitatẽ porreximus. Ibi ciues obuiam nobis erunt, & hoſpitio me quidã excepit, tum quidem primum viſus, iã olim verò mihi ſupra modum amatus. Cauſſam verò non ignoro te quoque poſſe dicere, mihi verò iucundum alioquin eſt explicare. Semper enim de iis audire ac verba facere, nectaris loco mihi eſt. Iamblichi diuini hominis alumnus Sopater, ex quo huius eſt gener. Mihi námque nullum crimen nullúmque ſcelus ita prauum videtur, vt in his viris non omnia complecti & exoſculari. Hac alia maior cauſſa ſubeſt. Sæpenumerò enim conſobrinum & germanũ fratrem meũ ſuſcepit, ab iiſque non ſemel admonitus, vt veriſimile eſt, vt à cultu deorum atque pietate ſe prorſus abdicaret, quod ſanè difficile eſt, non venit in iſtum morbum. Hæc habui, quæ de meis rebus, à ſancta ciuitate ad te ſcriberem. Militares verò, ſeu ciuiles adminiſtrationes, ipſum te præſente intueri, & in cura habere par erat. Maius enim medius fidius hoc eſt, quàm vt in epiſtolam cogi poſſit, tantúmque vt qui penitus apud animum ſuum cogitat, non queat triplò plura quàm hæc ſunt conferre. Alioquin te certiorem omninò facerem. Hæc verò etiam paucis dicam. Ad Saracenos miſi legationẽ, quæ iuberet eos venire, ſi vellent vnũ quidem eiuſmodi. Alterũ verò, quàm potui vigilantiſſimos ſpeculatores emiſi, qui curam adhiberent, ne cui ex eo loco clam ad hoſtes trãſeundi poteſtas eſſet, & nos in armis eſſe ſignificandi. Inde victoriam bellicã, vt quidem mihi perſuadeo, manſuetiſſimè & iuſtiſſimè ordinaui. Equos ſuperfluos & mulos cõparaui, exercitúmque in vnas copias contraxi. Naues fluuiatiles implentur frumento, magiſque panibus arefactis & aceto. Hæc autem ſingula, quemadmodum, facta ſunt, & quibus verbis rationibúſque tractata quàm longum ſit literis compræhendere intelligis. Epiſtolæ verò quibus ea quæ proſperè mihi contigere mandaui, circumferuntur ac extant vbiq;. Proinde quid eſt opus laborem in his recenſendis inſumere.

Iulianus Gregorio Duci.

Mihi quidẽ etiam per breues à te miſſæ literæ, ſufficiunt ad magnæ voluptatis occaſionẽ dãda. Itaq;, cùm ſummoperè me delectarint ea quę ſcripſiſti, parem ipſe quoque remitto, nõ tam epiſtolarum longitudine quàm beneuolentiæ magnitudine. Sic enim ſtatuo, literas amicorum adæquari oportere.

Iulianus Alypio fratri Cæſarii.

Syloſo reuerſus eſt ad Darium, eúmque Chlanidis admonuit & pro ea Samum ab illo petiit. In hoc Darius ſeſe efferebat, quòd magna pro paruis ſe rependiſſe putaret. Syloſo verò moleſtũ ſanè be-

τα. κῆπον δὲ τὸν μὲν Ἀλκινόου καταδεᾶ, παρισούμενον δὲ τῷ Λαέρτου. καὶ ἐν αὐτῷ μικρὸν ἄλσος πάνυ κυπαρίττων μεστὸν καὶ τῷ ἑρκίῳ δὲ ἀλλὰ τοιαῦτα παραπεφυτευμένα δένδρα στοίχῳ. καὶ ἐφεξῆς. εἶτα τὸ μέσον πρασιαί. καὶ ἐν ταύταις λάχανα, καὶ δένδρα παντοίας ὀπώρας φέροντα. τί οὖν ἐνταῦθα ἔθυσα δείλης. εἶτ' ὄρθρου βαθέος. ὅπερ εἰώθειν ποιεῖν ἐπιεικῶς ἑκάστης ἡμέρας. ἐπεὶ δὲ ἦν καλὰ τὰ ἱερὰ, τῆς πόλεως εἰχόμεθα καὶ ὑπαντῶσιν ἡμῖν οἱ πολῖται καὶ ὑποδέχεταί με ξένος, ὀφθεὶς μὲν ἄρτι. φιλούμενος δὲ ὑπ' ἐμοῦ πάλαι. τὴν δὲ αἰτίαν, αὐτὸς μὲν οἶδ' ὅτι συνείρξεις. ἐμοὶ δὲ ἡδὺ καὶ ἄλλως φράσαι. τὸ γὰρ ἀεὶ περὶ αὐτῶν ἀκούειν καὶ λέγειν, ἐστί μοι νέκταρ. Ἰαμβλίχου τοῦ θειοτάτου τὸ θρέμμα Σώπατρος, τούτου κηδεστής ἐστιν. ἐμοὶ γὰρ τὸ μὴ πάντα ἐκείνων τῶν ἀνδρῶν ἀγαπᾶν, ἀδικίας μάλιστα οὐδενὸς οὕτω φαυλότατον εἶναι δοκεῖ. πρόσεστι ταύτης αἰτία μείζων· ὑποδεξάμενος γὰρ πολλάκις, τόν τε ἀνεψιὸν τὸν ἐμὸν καὶ τὸν ὁμοπάτριον ἀδελφόν, προτραπεὶς ὑπ' αὐτῶν οἷα εἰκὸς πολλάκις ἀποστῆναι τῆς εἰς θεοὺς εὐσεβείας, ὃ χαλεπόν ἐστιν, οὐκ ἐλήφθη τῇ νόσῳ. Ταῦτα εἶχον ἀπὸ τῆς ἱερᾶς πόλεώς σοι γράφειν ὑπὲρ τῶν ἐμαυτοῦ. τὰς δὲ στρατιωτικὰς ἢ πολιτικὰς οἰκονομίας, αὐτὸν ἐχρῆν οἶμαι παρόντα ἐφορᾶν καὶ ἐπιμελεῖσθαι. μεῖζον γάρ ἐστιν ἢ κατ' ἐπιστολὴν διδάσκειν τοσοῦτον ὥστε οὐ ῥᾴδιον οὐδὲ τριπλάσια τούτων περιλαβεῖν συγγράφοντι τοῖς ἐπιμελέσι. ἐπεὶ καὶ φαίην ἄν σοι, καὶ ταῦτα φράσω δι' ὀλίγων. πρὸς τοὺς Σαρακηνοὺς ἔπεμψα πρέσβεις ὑπομιμνήσκων αὐτοὺς ἥκειν εἰ βούλοιντο. ἓν μὲν δὴ τοιοῦτο. ἕτερον δὲ, λίαν ἐγρηγορότας ὡς ἐνεδέχετο τοὺς παραφυλάξοντας ἐξέπεμψα, μή τις ἐνθένδε πρὸς τοὺς πολεμίους ἐξέλθοι λαθὼν, ἐσόμενος αὐτοῖς ὡς κεκινήμεθα μηνυτής. ἐπειδὴ ἐδίκασα δίκην στρατιωτικὴν, ὡς ἐμαυτὸν πείθω, πρᾳότατα καὶ δικαιότατα. ἵππους περιττοὺς καὶ ἡμιόνους παρεσκεύασα, τὸ στρατόπεδον εἰς ταυτὸ συναγαγών. ταῖς πληροῦνται ποτάμια πυροῦ, μᾶλλον δὲ ἄρτων ξηρῶν καὶ ὄξους. καὶ τούτων ἕκαστον ὅπως ἐπράχθη, καὶ τίνες ἐφ' ἑκάστῳ γεγόνασι λόγοι, πόσου μήκους ἐστὶ συγγράψαι, ἐννοεῖς. ἐπιστολαῖς δὲ ὅσαις ὑπέγραψα καὶ βιβλίοις ἑπόμενα, ὥσπερ σκιά μοι, καὶ ταῦτα συμπεριφέρεσθαι πανταχοῦ, τί δεῖ νῦν περιέργως ταῦτα ἀπαριθμούμενον.

Ἰουλιανὸς Γρηγορίῳ ἡγεμόνι.

Ἐμοὶ καὶ γράμμα παρὰ σοῦ μικρὸν, ἀρκεῖ μεγάλης ἡδονῆς πρόφασιν μηνῦσαι. καὶ τοίνυν οἷς ἔγραψας λίαν ἡσθεὶς, ἀντιδίδωμι καὶ αὐτὸς τὴν ἴσην, οὐ τῷ τῶν ἐπιστολῶν μήκει μᾶλλον, ἢ τῷ τῆς εὐνοίας μεγέθει τὰς τῶν ἑταίρων φιλίας ἐκτίνεσθαι δεῖν κρίνων.

Ἰουλιανὸς Ἀλυπίῳ ἀδελφῷ Καισαρίου.

Ὁ Συλοσῶν ἀπῆλθε φασὶ παρὰ τὸν Δαρεῖον, καὶ ὑπέμνησεν αὐτὸν τῆς χλανίδος, καὶ ᾔτησεν ἀντ' ἐκείνης παρ' αὐτοῦ τὴν Σάμον. εἶτα ἐπὶ τούτῳ Δαρεῖος μὲν ἐμεγαλοφρονεῖτο, μεγάλα ἀντὶ μικρῶν νομίζων ἀποδεδωκέναι. Συλοσῶν δὲ λυπηρὰν ἐλάμβανεν

χαίρειν. σκόπει δὴ τὰ ὑμέτερα νῦν πρὸς ἐκεῖνα. ἓν μὲν δὴ τὸ πρῶτον οἶμαι κρεῖσσον ἔργον ὑμέτερον. οὐ γὰρ ὑπεμείναμεν ὑπομνησθῆναι παρ' ἄλλου. τοσούτῳ δὲ χρόνῳ τὴν μνήμην τῆς σῆς φιλίας διαφυλάξαντες ἀκέραιον, ἐπειδὴ πρῶτον ἡμῖν ἔδωκεν ὁ θεὸς οὐκ ἐν δευτέροις, ἀλλ' ἐν τοῖς πρώτοις ἐμέ τι καλέσαι. τὰ μὲν οὖν πρῶτα τοιαῦτα. περὶ δὲ τῶν μελλόντων ἆρά μοι δώσεις τι, καὶ γάρ εἰμι μαντικός. προαγορεῦσαι, μακρῷ νομίζω κρεῖττον ἐκείνων. ἀδράςεια δὲ εὐμενὴς εἴη. σύ τε γὰρ οὐδὲν δέῃ συγκαταστρεφομένου τὴν πόλιν βασιλέως. ἐγώ τε πολλῶν δέομαι τῶν συνεπανορθουμένων μοι τὰ πεπτωκότα κακῶς. ταῦτά σοι γαλλικὴ καὶ βάρβαρος μοῦσα προσπαίζει. σὺ δὲ ὑπὸ τῇ τῶν θεῶν πομπῇ χαίρων ἀφίκοιο. καὶ τῇ αὐτοῦ χειρὶ λὶς ἐρίφων, καὶ τῶν ἐν τοῖς χειμαδίοις θρέμμα τῶν προβατίων ἧκε πρὸς τὸν φίλον. ὅς σε τότε καίπερ οὔπω γινώσκων ὅσος εἶ δυνάμενος, ὅμως περιεῖπον.

Ἰουλιανὸς τῷ αὐτῷ.

Ἤδη μὲν ἐτύγχανον ἐξ ἀθρόας τῆς νόσου, τὴν γεωγραφίαν ὅτε ἀπέστειλας. οὐ μὴν ἔλαττον διὰ τοῦτο ἡδέως ἐδεξάμην τὸ παρὰ σοῦ πινάκιον ἀποσταλέν. ἔχει γὰρ καὶ τὰ διαγράμματα τῶν πρόσθεν βέλτιον. καὶ κατεμούσωσας αὐτό, προσθεὶς τοὺς ἰάμβους οὐ μάχην ἀείδοντας τὴν Βουπάλειον κατὰ τὸν κυρηναῖον ποιητήν. ἀλλ' οἵους ἡ καλὴ Σαπφὼ βούλεται τοῖς ὕμνοις ἁρμόττειν. καὶ τὸ μὲν δῶρον τοιοῦτόν ἐστιν, ὁποῖον ἴσως σοί τε ἔπρεπε δοῦναι, ἐμοί τε ἥδιστον δέξασθαι. περὶ δὲ τὴν διοίκησιν τῶν πραγμάτων, ὅτι δραστηρίως ἅμα καὶ πράως ἅπαντα πράττειν προθυμῇ, συνηδόμεθα. μῖξαι γὰρ πραότητα καὶ σωφροσύνην ἀνδρείᾳ καὶ ῥώμῃ, καὶ τῇ μὲν χρῆσθαι πρὸς τοὺς ἐπιεικεστέρους, τῇ δὲ ἐπὶ τῶν πονηρῶν ἀπαραιτήτως πρὸς ἐπανόρθωσιν, οὐ μικρᾶς ἐστι φύσεως, οὐδὲ ἀρετῆς ἔργον, ὡς ἐμαυτὸν πείθω. τούτων εὐχόμεθά σε τῶν σκοπῶν ἐχόμενον ἄμφω πρὸς ἓν τὸ καλὸν αὐτοὺς συναρμόσαι. τοῦτο γὰρ ἁπάσαις προκεῖσθαι ταῖς ἀρεταῖς τέλος, οὐκ εἰκῇ τῶν παλαιῶν ἐπίστευον οἱ λογιώτατοι. ἐρρωμένος καὶ εὐδαιμονῶν διατελοίης ἐπὶ μήκιστον ἀδελφὲ ποθεινότατε καὶ φιλικώτατε.

Ἰουλιανὸς ἀετίῳ ἐπισκόπῳ.

Λοιποῖς μὲν ἅπασι τοῖς ὁπωσοῦν ὑπὸ τοῦ μακαρίτου κωνσταντίου πεφυγαδευμένοις, ἕνεκεν τῆς τῶν γαλιλαίων ἀπονοίας λέλυκα τὴν φυγήν. σοὶ δὲ οὐκ ἀνίημι μόνον. ἀλλὰ γὰρ καὶ παλαιᾶς γνώσεως τῆς καὶ συνηθείας μεμνημένος, ἀφικέσθαι προστάττω μέχρις ἡμῶν. χρήσῃ δὲ ὀχήματι δημοσίῳ μέχρι τοῦ στρατοπέδου τοῦ ἐμοῦ καὶ ἑνὶ παρίππῳ.

Ἰουλιανὸς Λουκιανῷ σοφιστῇ.

Γράφω καὶ ἀντιτυχεῖν ἀξιῶ τῆς ἴσης. εἰ δὲ ἀδικῶ συνεχῶς ἐπιστέλλων, ἀνταδικηθῆναι δέομαι τῶν ὁμοίων παθῶν.

neſic ũ acceperat. Confer noſtra iam officia cum illis. Vnum arbitror & primum noſtrum excellere. Non enim expectauimus tantiſper, donec moneremur ab alio. cùm verò tanto tempore, conſeruata nobis integra ſit amicitiæ tuæ memoria, quando primùm Deus nobis dedit, non in ſecundis. Verùm io primis me quoque voca. Prima igitur ſic ſe habent. De futuris autem; certè dabis, ſum enim peritus vaticinandi longè opinor illis melius aliquid prædicere. Nemeſis enim propitia fuerit. Etenim non indiges aliquo rege, qui ad expugnandam vrbem opem ferat & ego multis opus habeo, qui collapſum rerum ſtatum mecum vnà corrigant & in integrum reſtituant. Hæc tecum Gallica atq; Barbara Muſa ludit. At tu deorum ductu lætus abeas, propriáque manu paruum ex hædorum ac ouicularum quam paſcunt in hybernis, lana confectum ad amicum adfer, qui tunc, cùm etiam quantũ poſſes, nondum ſcirem, tamen ſum te complexus.

Iulianus eidem.

IAm eram liberatus morbo, cùm tu Geographiã mitteres: nihilo tamen minùs, magno cum gaudio tabellam à te miſſam accepi. Continet enim priorum etiam deſcriptiones exactiores, ipſamque erudiiſti, Iambis additis, non qui pugnam canant aſininam, iuxta Cyrenenſem vatem, ſed quales erudita Sappho vult hymnis quadrare. Donum autem eſt eiuſmodi, quale fortaſsis tibi dare fuit decorum, mihi verò iucundum accipere. De gubernatione rerum, quod ſtrenuè ſimul & benignè omnia conficere paratus es; ſummæ lætitiæ nobis eſt. Etenim miſcere benignitatem & modeſtiam, fortitudini, atque viribus, & illis erga æquiſsimos vti, his verò ad emendationem eorum, qui vi & violentia mali ſunt, non eſt humilis naturæ & virtutis opus, vt mea fert ſententia. His vtriſque ſcopis intentum te optamus, ad vnam honeſtatem & virtutem eos aptare. Hunc enim virtutibus in vniuerſum omnibus propoſitum finem eſſe, non temerè ſapientiſsimi veterum crediderunt. Precor vt ſanus, fœlixque quàm maximè diuturnam vitam agas, frater optatiſsime ſimul & chariſsime.

Iulianus Aetio Epiſcopo.

OMnibus qui reliqui ſunt ex iis, qui quacunque de cauſſa ſunt à beato Conſtantio in exilium acti, propter Galilæorum contumaciam, fugam remiſi. Te verò non modò liberum dimitto, verùm etiam recordatione veteris notitiæ & conſuetudinis, vſque ad nos progrediundi tibi poteſtatem facio. Vteris autem vehiculo publico, donec ad exercitum meum venias & equitatu vno.

Iulianus Luciano Sophiſtæ.

SCribo, & vt pari gratia mihi referatur peto. Sin iniuriam facio qui tam crebrò litteras mittam, ſimili me iniuria & moleſtia rurſus affici volo.

Iulianus Doſitheo.

PArum abfuit, quin lachrymas profunderem. Atqui par erat, nos tuo nomine appellari. Veniebat enim mihi in mentem generoſi, & omnim ex parte admirandi viri patris noſtri, quem ſi tibi ad imitandum ſumes, beatus eris, &

Ἰουλιανὸς δοσιθέῳ.

Μικροῦ μοι ἐπῆλθε δακρῦσαι. καίτοι γε ἐχρῆν ἐφ' ἡμῖν τοὔνομα τὸ σὸν φθεγγόμενον. ἀνεμνήσθην γὰρ τοῦ γενναίου καὶ πάντα θαυμασίου πατρὸς ἡμῶν. ὃν εἰ μὲν ζηλώσεις, καὶ αὐτός τι εὐδαίμων ἔσῃ.

exemplar

exemplar in hominum vita relinques quemadmodum ille, vt ſe conſpicuum efficeret. Sin ad ignauiã & ſocordiam te tranſtuleris, mihi quidem non exiguum adferes dolorem. Teipſum verò, quòd nihil emolumenti tibi pepereris, accuſabis.

Iulianus Iamblicho Philoſopho.

VLyſſi ſatis erat filij de ſe conceptam opinionem his verbis refutare.

Non Deus ipſe ego ſum. quid me immortalibus æquas? Ego verò ne in hominum quidem numero me eſſe arbitrabor vt dicitur, dum Iamblicho non conuerſor: ſed amatorem eſſe confiteor, quemadmodum ille Telemachi pater. Etiamſi enim quis me dixerit indignum, tamen ne ſic quidem à deſiderio me abſtrahet. Quoniam Simulachorum quoque elegantium amatores audio extitiſſe, eóſque non ſolum artificis artem nullo incommodo læſiſſe, verùm etiam ſuo in ſtatuas affectu, animalem quandam voluptatem effeciſſe operi tribuiſſe. priſcis autem & ſapientibus viris, in quorum communione nos tu ludens connumeras, tãtùm diſtare me dixerim, quantum in eiuſmodi cognoſcendis operæ laborisque conſumere arbitror. Verùm tu non modò Pindarum, Democritum aut vetuſtiſſimum Orpheum, ſed omnia ſimul Græcorum quæcunq; perfectionem extremam Philoſophiæ attigiſſe memorantur, tanquam in Lyræ concinna coniunctione, variorum ſonorum, ad abſolutam Muſicæ perfectionem ac ſoliditatem, habes. Et quemadmodũ Argum cuſtodem ius, Fabulæ Iouis Amaſiæ curam agere, inquieta vndiquaque luminum circumlatione fingunt: ſic etiam te genuinum virtutis cuſtodem puriſſimis doctrinæ luminibus ſapientia illuſtrat. Proteum Ægyptium aiunt, in varias formas ſemetipſum commutaſſe, & quaſi verentem, ne ignotaretur, à quibus minimè vellet, ſapientiæ ſuæ ſpecimen edidiſſe. Ego verò ſi Proteus verã ſapientiam adeptus multáque de rebus naturę cognitione complexus fuit, vt inquit Homerus, eam quidem indolem, in qua tanta ſcientia inerat, laudo, mentem verò animúmque eius non in admiratione habendum arbitror. Quoniam non humanè, ſed doloſè fecit in eo, quod ſeipſum abdidit, ne motalibus vtilitatem aliquam ferret. Te verò, ô generoſè, quis non iure miretur, qui certè ſapienti Proteo nihil concedis, neq; tamen virtutem, ſummúmque crimen bonorum, quæ poſſides, hominibus inuides: ſed inſtar ſolis fulgentiſſimi, radios tuos lucidiſſimos in omnes conijcis. Non enim ſolùm præſentibus ita vteris vt par eſt, verùm etiam abſentes, quantum fieri poteſt, tuis ornamentis ornas. Viceris autem vel pulchrum Orphea, talibus factis: Nam ille ſuam Muſicam, ad pellicendas feras contulit. Tu verò quaſi ad communem ſalutem humani generis natus, & Aſclepij manum imitatus vbique, omnia ſapienti quodam & ſalutari nutu circumluſtras. Proinde mihi videtur, ſi rediret in vitã Ariſtoteles, multò iuſtius in te carmen illud dicere potuiſſet. εἷς δ' ἔτι ζωὸς ἐὼν κατερύκεται εὐρέϊ πόντῳ. Ignis enim vetuſtatis nobis quaſi ſcintilla quædam ſancta, veræ ac genitalis doctrinæ ſub te ſolo reſuſcitatur ac reuiuiſcit. Precor autem te Iuppiter ſaluator téque Mercuri ſancte,

καὶ τοῦ βίου δώσεις, ὥσπερ ἐκεῖνος, ἐφ' ὅσῳ φιλοτιμήσῃ. ῥᾳθυμήσας δὲ, λυπήσεις ἐμέ. σαυτῷ δ' ὅτι μηδὲν ὄφελος, μέμψῃ.

Ἰουλιανὸς ἰαμβλίχῳ φιλοσόφῳ.

ΟΔυσσεῖ μὲν ἐξήρκει τὴν τοῦ παιδὸς τὴν ἐφ' αὑτῷ φαντασίαν ἀποστῆσαι λέγοντι οὔτις τοι θεός εἰμι. τί μ' ἀθανάτοισιν ἐΐσκεις, ἐγὼ δὲ οὐδ' ἂν ἀνθρώπων εἶναι φαίην ἂν ὡς ὁ λόγος. ἕως ἂν ἰαμβλίχῳ μὴ συνῶ. ἀλλ' ἐραστὴς μὲν εἶναι ὁμολογῶ, καθάπερ ἐκεῖνος τοῦ τηλεμάχου πατήρ. κἂν γὰρ ἀνάξιόν με λέγῃ τις, οὐδὲ οὕτω τοῦ ποθεῖν ἀφαιρήσεται. ἐπεὶ καὶ ἀγαλμάτων καλῶν ἀκούω πολλοὺς ἐραστὰς γενέσθαι, μὴ μόνον τοῦ δημιουργοῦ τὴν τέχνην, μὴ βλάπτοντας, ἀλλὰ καὶ τῷ περὶ αὐτὰ πάθει τὴν ἔμψυχον ἡδονὴν τῷ ἔργῳ προστιθέντας. τῶν γε μὴν παλαιῶν καὶ σοφῶν ἀνδρῶν, οἷς ἡμᾶς ἐγκρίνειν ἐθέλεις παίζων, τοσοῦτον ἀπέχειν φαίην, ὁπόσον αὐτῷ φροντίζων ἀριθμῷ μετεῖναι τις δίον. καίτοι σύ γε οὐ πίνδαρον μόνον, οὐδὲ δημόκριτον, ἢ ὀρφέα τὸν παλαιότατον, ἀλλὰ καὶ ξύμπαν ὁμοῦ τὸ ἑλληνικὸν ὅπερ εἰς ἄκρον φιλοσοφίας ἐλθεῖν μνημονεύεται, καθάπερ ἐν λύρας ποικίλων φθόγγων ἐναρμονίῳ συστάσει πρὸς τὸ ἐντελὲς τῆς μουσικῆς πέρας ἔχεις. καὶ ὥσπερ ἄργον τὸν φύλακα τῆς ἰοῦς, οἱ μῦθοι περιέσιαν ἔχοντα τῆς διὸς παιδικῶν ἀκοιμήτοις πάντοθεν ὀφθαλμῶν βολαῖς περιφρουροῦντα, οὕτω καὶ σὲ γνήσιον ἀρετῆς φύλακα καθαροῖς παιδεύσεως ὀφθαλμοῖς ὁ λόγος φωτίζει. πρωτέα μὲν δὴ τὸν αἰγύπτιόν φασι ποικίλαις μορφαῖς ἑαυτὸν ἐξαλλάττειν, ὥσπερ δεδιότα, μὴ λάθῃ τοῖς δεομένοις. ὡς ἦν σοφὸς ἐνφήνας. ἐγὼ δὲ εἴπερ ἦν ὄντως σοφὸς πρωτεὺς, καὶ οἷος πολλὰ τῶν ὄντων γινώσκειν, ὃς ὅμηρος λέγει, τῆς μὲν ἂν ἤδη φύσεως αὐτὸν ἐπαινῶ. τῆς γνώμης δὲ οὐκ ἄγαμαι. διότι μὴ φιλανθρώπου τινὸς, ἀλλὰ ἀπατεῶνος ἔργον ἐποίει κρύπτων ἑαυτὸν. ἵνα μὴ χρήσιμος ἀνθρώποις ᾖ. σὲ δὲ ὦ γενναῖε τίς οὐκ ἂν ἀληθῶς θαυμάσειεν ὡς οὐδέν τι τοῦ πρωτέως τοῦ σοφοῦ μεῖον εἶ. καὶ μὴ μᾶλλον εἰς ἀρετὴν ἄκραν τι κορυφὴν ὧν ἔχεις καλῶν, οὐ φθονεῖς ἀνθρώποις. ἀλλ' ὥσπερ ἡλίου καθαροῦ δίκην ἀκτῖνας σου ἀκραιφνεῖς ἐπὶ πάντας ἄγεις. οὐ μόνον τοῖς παροῦσι τὰ εἰκότα ξυνών. ἀλλὰ καὶ ἀπόντας, ἐφ' ὅσον ἔξεστι τοῖς παρὰ σαυτοῦ σεμνύνων. νικᾷς δ' ἂν οὕτω καὶ τὸν ὀρφέα τὸν καλὸν οἷς πράττεις. εἴγε ὁ μὲν τὴν οἰκείαν μουσικὴν εἰς τὰς τῶν θηρίων ἀγωγὰς κατανάλισκε. σὺ δὲ ὥσπερ ἐπὶ σωτηρίᾳ τοῦ κοινοῦ τῶν ἀνθρώπων γένους ταχθεὶς, ἀσκληπιοῦ χεῖρα πανταχοῦ ζηλῶν, ἅπαντα ἐπέρχῃ λογίῳ τε καὶ σωτηρίῳ νεύματι. ὥς τ' ἔμοιγε δοκεῖ καὶ ὅμηρος εἰ ἀνεβίω πολλῷ δικαιότερον δύνασθαι τὸ ἐπὶ σοὶ ἐκεῖνο τὸ ἔπος αἰνίξασθαι, τὸ, εἷς δέ τι που ζωὸς κατερύκεται εὐρέϊ κόσμῳ. τὸ γὰρ πῦρ τοῦ παλαιοῦ κόμματος ἡμῖν οἱονεὶ σπινθὴρ τις ἱερὸς ἀληθοῦς καὶ γονίμου παιδεύσεως ὑπὸ σοὶ μόνῳ ζωπυρεῖσθαι. καὶ εἴη γε ζεῦ σῶτερ καὶ ἑρμῆ ἄγα

τὸ κοινὸν ἁπάσης τῆς οἰκουμένης ὄφελος Ἰάμβλιχον τὸν καλὸν ἐπὶ μήκιστον χρόνου περιέσθαι. πάντως που καὶ ἐφ' Ὁμήρῳ καὶ Πλάτωνι καὶ Σωκράτει, καὶ εἴτις ἄλλος ἄξιος τοῦ χοροῦ τούτου, δικαίας εὐχῆς ἐπίτευγμα τοῖς προτέροις εὐτυχηθὲν, οὕτω τοὺς ἐκείνων καιροὺς ἐπὶ μεῖζον ηὔξησεν. οὐδὲν δὴ κωλύει καὶ ἐφ' ἡμῶν ἄνδρα καὶ λόγῳ καὶ βίῳ τῶν ἀνδρῶν ἐκείνων ἀντάξιον, ὑφ' ὁμοίαις εὐχαῖς ἐς τὸ ἀκρότατον βίου γῆρας ἐπ' εὐδαιμονίᾳ τῶν ὅλων παραπεμφθῆναι.

Ἀνεπίγραφος ὑπὲρ Ἀργείων.

Ὑπὲρ τῆς Ἀργείων πόλεως πολλὰ μὲν αὐτῆς εἰπεῖν ἔχοι, σεμνυνεῖσα αὐτῆς ἐθέλων παλαιὰ καὶ νέα πράγματα. τὰ τε γὰρ Τρωϊκὰ καθάπερ ὕστερον Ἀθηναίοις καὶ Λακεδαιμονίοις τοῦ τε προσήκει τὸ πλεῖον ἐκείνοις ἔργου. δοκεῖ μὲν γὰρ ἄμφω κοινῇ πραχθῆναι παρὰ τῆς Ἑλλάδος. ἄξιον δὲ ὥσπερ τῶν ἔργων καὶ τῶν φροντίδος, οὕτως καὶ τῶν ἐπαίνων τοὺς ἡγεμόνας τὸ πλεῖον μετέχειν. ἀλλὰ ταῦτα μὲν ἀρχαῖά πως εἶναι δοκεῖ. τὰ δὲ ἐπὶ τούτοις ἡ Ἡρακλειδῶν κάθοδος. καὶ ὡς τῷ πρεσβυτάτῳ γέρας ἐξῃρέθη, ἥ τε εἰς Μακεδονίαν ἐκεῖθεν ἀποικία, καὶ τὸ Λακεδαιμονίοις ὅπω πλησίον παροικοῦντας, ἀδούλωτον ἀεὶ καὶ ἐλευθέραν φυλάξαι τὴν πόλιν, οὐ μικρᾶς οὐδὲ τῆς τυχούσης ἀνδρείας ἦν. ἀλλὰ δὴ καὶ τὰ τοιαῦτα περὶ τοὺς Πέρσας ὑπὸ τῶν Μακεδόνων γενόμενα ταύτῃ προσήκειν τῇ πόλει δικαίως ἄν τις ὑπολάβοι. Φιλίππῳ τε γὰρ καὶ Ἀλεξάνδρῳ τῶν πάνυ προγόνων πατρὶς ἦν αὕτη. Ῥωμαίοις δὲ ὕστερον οὐχ ἁλοῦσα μᾶλλον ἢ κατὰ ξυμμαχίαν ὑπήκουσε. καὶ ὥσπερ οἶμαι, μετέσχε καὶ αὐτὴ, καθάπερ αἱ λοιπαὶ τῆς ἐλευθερίας καὶ τῶν ἄλλων δικαίων, ὅσα νέμουσι ταῖς περὶ τὴν Ἑλλάδα πόλεσιν οἱ κρατοῦντες ἀεί. Κορίνθιοι δὲ νῦν αὐτὴν προσγενομένην αὐτοῖς, οὕτω γὰρ εἰπεῖν εὐπρεπέστερον, ὑπὸ τῆς βασιλευούσης πόλεως, εἰς κακίαν ἐπαρθέντες συντελεῖν αὐτοῖς ἀναγκάζουσι. καὶ ταύτης ἦρξαν, ὥς φασι, τῆς καινοτομίας, ἕβδομος οὗτος ἐνιαυτός. οὔτε τὴν Δελφῶν οὔτε τὴν Ἠλείων συντέλειαν, ἧς ἠξιώθησαν, ἐπὶ τῷ διατιθέναι τοὺς παρὰ σφίσιν ἱεροὺς ἀγῶνας αἰδεσθέντες. τεττάρων γὰρ ὄντων, ὡς ἴσμεν, τῶν μεγίστων καὶ λαμπροτάτων ἀγώνων περὶ τὴν Ἑλλάδα, Ἠλεῖοι μὲν Ὀλύμπια, Δελφοὶ δὲ Πύθια, καὶ τὰ ἐν Ἰσθμῷ Κορίνθιοι, Ἀργεῖοι δὲ τὴν τῶν Νεμέων συγκροτοῦσι πανήγυριν. πῶς οὖν εὔλογον ἐκείνοις μὲν ὑπάρχειν τὴν ἀτέλειαν τὴν πάλαι δοθεῖσαν. τοὺς δὲ ἐπὶ ὁμοίοις δαπανήμασιν ἀφεθέντας πάλαι, τυχὸν δὲ οὐδὲ τὴν ἀρχὴν ὑπαχθέντας νῦν ἀφαιρεῖσθαι τῆς προνομίας, ἧς ἠξιώθησαν, πρὸς δὲ τούτοις Ἠλεῖοι μὲν καὶ Δελφοὶ διὰ τῆς πολυθρυλλήτου πενταετηρίδος ἅπαξ ἐπιτελεῖν εἰώθασι. διττὰ δέ ἐστι Νέμεα παρὰ τοῖς Ἀργείοις καθάπερ Ἴσθμια παρὰ Κορινθίοις. ἐν μέντοι τούτῳ τῷ χρόνῳ καὶ δύο προσετέθη(ν) παρὰ τοῖς Ἀργείοις ἀγῶνες ἕτεροι εἰσὶ, ὥς τε εἶναι τέσσαρας πάντας ἐν ἐνιαυτοῖς τέσσαρσι. πῶς οὖν εἰκὸς ἐκείνους μὲν ἀπηλλάχθαι λειτουργιῶν ἅπαξ. τούτους δὲ ὑπάγεσθαι καὶ πρὸς ἑτέρων συντέλειαν, ἐπὶ τετραπλασίοις τοῖς οἴκοι λειτουργήμασι. ἄλλως τε οὐδὲ πρὸς Ἑλληνικὸν οὐδὲ παλαιὸν

vt, quòd vniuerſo terrarum orbi, fauſtũ ac fœlix ſit, in tempus quàm longiſſimum Iamblichi vita prorogetur. Omninò enim ſub Homero, Platone & Socrate, & ſi quis alius hoc Choro dignus eſt, cum iuſto voto lucrum prioribus fortunatum acceſſit, ſic illorum tempora magis magiſque auxerunt. Quid igitur eſt impedimento, quò minùs noſtris etiam temporibus vir verbis & vita prorſus illis comparandus, ſimilibus etiam votis ad extremam vitæ ſenectam, comitante omnium rerum proſperitate propagetur.

Carens inſcriptione epiſtola de Argiuis.

DE ciuitate Argiuorum, multa commemorare poſſet, qui vetuſta, recentiaque eius facta laudibus ornare inſtitueret. Etenim Troiani belli, quemadmodum pòſt Athenienſibus & Lacedæmonijs, maxima pars illis tribuenda eſt. Videntur enim ambo communiter à Græcia facta eſſe. Æquum eſt autem vt labores & curas ita quòd laudes maxima ex parte peruenire. Verùm hæc iam inueterata quodammodo videntur. Poſt hæc verò reditus Heraclidarum in patriam, & quòd maximo natu præmium hoc decretum datúmque eſt, vt in Macedoniam, ex eo loco coloniam deduceret, atque quòd cùm adeò propinqui eſſent: Lacedæmonijs tamen liberam conſeruare ciuitatem, ac ſeruitutem, ab ea prohibere potuerunt, id verò non exiguæ, neque vulgaris erat fortitudinis. Verùm illorum quoque laudem quæ Perſis eiuſmodi contigerunt à Macedonibus, ad hanc vrbem pertinere maximè non iniuria quis arbitrabitur. Philippi enim & Alexandri maiorum hæc fuerat patria. Romanis verò poſtmodum, non tam capta, quàm iure ſocietatis obtemperauit. Et vt opinor, ipſa quoque non aliter quàm cæteræ libertatis particeps fuit, & omnis iuris, quo in Græcis ciuitatibus principes illarum ſemper vtuntur. Corinthij verò nunc eam, poſteaquàm ipſorum ditioni adiecta eſt: Sic enim dicere decentius eſt, à regnante ciuitate, in malitiam elati, tributum ſibi cogunt pendere. Et à quo motus hos nouos vt aiunt inceperunt, ſeptimus eſt hic annus. Et neque Delphorũ, neque Elienſium ſolennitatem, in cuius partes aſſumpti ſunt, vt ſacros ludos inter ipſos conſtituere liceret, reueriti ſunt. Cùm enim ſint quatuor (vt omnes ſcimus) maximi ſplendidiſſimique ludi per vniuerſam Græciam Elienſes Olympios, Delphi Pythios & Iſthmios Corinthij. Argiui verò Nemerſium congregationem conuentúmque celebrant. Quomodo conſentaneum igitur eſt, adhuc illis eã immunitatẽ ſupereſſe, quæ olim data eſt. dimiſſos autem olim iiſdem ſumptibus, fortè verò ne ſubiectos quidem à principio iam hoc priuilegio ſpoliari, quod antè illis cõceſſum fuerat? Adhæc Elienſes quidẽ & Delphi per famoſum illud quinquẽniũ, ſemel tãtummodò celebritatem obire conſueuerunt. Duplices verò ſunt Nemenſes ludi apud Argiuos ſicut apud Corinthios Iſthmia. In hoc verò tempore duo etiam propoſiti ſunt apud Argiuos alij ludi, vt in vniuerſum per quadrienniũ, quatuor ſint. Qui itaq; iuſtum eſt, illos ſine negotio liberóſque eſſe, qui ſemel duntaxat faciant. Hos verò etiam ad reliquorũ munus fungendum cogi, quibus domi quadruplices ludi ſunt exhibendi, præſertim verò cùm illud neque ad Græcum, neque ad veterem cætum pertineat

pertineat. Neque enim ad Gymnicorum aut Muſicorum adminiſtrationem, Corinthij multis pecuniis opus habent, cùm ad venationes in quibuſdam Theatris exhibendas. vrſos etiam perſæpe & Pardales emant, quæ quidem illi meritò ferunt, propter diuitias & impenſarum magnitudinem, præcipuè vero cum multis ciuitatibus vt videtur, ad hoc eis opem adferentibus, oblectationem animorum emant. Argiui verò cùm pecuniarum ſint egentiſſimi, tum ſpectaculo peregrino: tum quod aliis inſeruire coguntur, an non iniuſta ac nefanda, priſtinæque vrbis potentia gloriáque indigna patientur? Eſtis enim iiſdem etiam vicini ipſi, quos maiore apud vos in amore oportebat eſſe, ſi modò rectè dictum hoc eſſet. Ne bouem quidem interiturum, niſi vicinorum malitia. Argiui autem videntur nõ de vno ſolùm agentes boue, Corinthiis hanc accuſationem intendere, ſed de multis magniſque ſumptibus, quibus non æquum eſt eos obnoxios teneri. Verùm aduerſus Corinthios non immeritò quis hoc inſuper adiecerit vtrum videatur ipſis pulchrũ, veteris Græciæ iura ſequi: aut potiùs, quæ videntur nuper à regnante ciuitate accepiſſe. Si enim priſci iuris æquitatem ac cenſuram amplectuntur, æquius erat Argiuis ab Olynthiis vectigal pẽdi, quã Olynthiis ab Argiuis. Sin his factis, quæ nũc perpetrãt, ciuitatẽ ſua, ſubacta per vim Romanorũ colonia, volunt excellentẽ efficere, rogamꝰ, vt ſeſe modeſtè habeat, nec altiora maioribꝰ ſuis ſpectẽt, & nec quàm illi conſuetudinẽ iudicio nõ aſpernãdo erga Græciæ ciuitates tenuerũt, hãc temerè labefactẽt, aut nouãs res moliantur, quæ ſint detrimento exitióque vicinis vrbibus idque ob eam cauſſam maximè obteſtamur, quòd nouitiis quibuſdam ſententiis ac decretis ad hoc feruntur, & id cupiditatis lucrum habituri ſunt, vt ſuos conatus pro Argiuorum ciuitate in iudiciũ atque crimen trahatur. Certè enim ſi iudicium extra Græciam transferretur, Corinthij cauſſa caderent, iúſque examinatum atque perpenſum coràm multis his & egregiis patronis rectè ſimpliciterque pronunciaretur. à quibus qui iudex conſtitutus eſſet veriſimile eſt eum vrbis autoritate commotum, pedibus in hanc ſententiam iturum. Sed ſi ius quod pro ciuitate facit ex oratoribus duntaxat audire velis & dicendi poteſtas ipſis permittatur, iudicium ab initio cognoſces, & ex iis quæ dicentur, rectè de tota cauſſa iudicabitur. Morem autem gerendum his eſſe, qui petitionem hanc nobis fauentibus afferunt, reſtare videtur, vt paucis verbis demonſtrem. Diogenes & Lamprias omnium philoſophorum noſtro tempore ſunt excellentiſſimi atque diligentiſſimi. Reipublicæ verò partem eam quæ legibus conceditur & ſimul fructuoſa eſt, fugerunt, ad opem autem patriæ ferendã pro viribus ſemper parati cùm in aliqua permagna neceſſitate conſtituta eſt, tum in medium conſulunt, verba faciunt, Rempub. gubernandam ſuſcipiunt, legationibus funguntur, & largè de ſuis facultatibus patriæ cauſſa ſumptus faciunt, réque ipſa propulſant probra in philoſophiam coniecta, eámque opinionem, vt inutiles in Republica philoſophi putentur, falſam eſſe conuincunt. vtitur enim illorum ad hęc opera, ipſa patria, qui iam iuri iuſtitiæq; nobis adiuuantib. ſuccurrere conãtur,

πανήγυριν. οὐδὲ γὰρ εἰς χορηγίαν ἀγώνων γυμνικῶν ἢ μουσικῶν, οἱ κορίνθιοι τῆς πόλεως δέονται χρημάτων. ἐπὶ δὲ τὰ κυνηγέσια τὰ πολλάκις ἐν τοῖς θεάτροις ἐπιτελούμενα, ἄρκτους καὶ παρδάλεις ὠνοῦνται· ἅπερ αὐτοὶ μὲν εἰκότως φέρουσι διὰ τὸν πλοῦτον καὶ τῶν ἀναλωμάτων τὸ μέγεθος. ἄλλως τε καὶ πολλῶν πόλεων ὡς εἰκὸς αὐτοῖς εἰς τοῦτο συναιρομένων, ὠνοῦνται τὴν τέρψιν τοῦ θεάματος. ἀργεῖοι δὲ χρημάτων τε ἔχοντες ἐνδεέστερον, καὶ ξενικῇ θέᾳ καὶ παρ᾽ ἄλλοις ἐπιδουλεύειν ἀναγκαζόμενοι, πῶς οὐκ ἄδικα μὲν καὶ παράνομα, τῇ τε πόλει ἀρχαίας δυνάμεώς τε καὶ δόξης ἀνάξια πείσονται. οὕτως γὰρ αὐτοῖς καὶ αὐτοὶ γείτονες, οὓς προσῆκον ἦν ἀγαπᾶσθαι μᾶλλον. εἴπερ ὀρθῶς εἶχε, τὸ οὐδ᾽ ἂν βοῦς ἀπόλοιτο εἰ μὴ διὰ κακίαν γειτόνων. ἀργεῖοι δὲ ἐοίκασιν οὐχ ὑπὲρ ἑνὸς πολιτευόμενοι βοϊδίου ταῦτα τοὺς κορινθίους αἰτιᾶσθαι. ἀλλ᾽ ὑπὲρ πολλῶν καὶ μεγάλων ἀναλωμάτων οἷς οὐ δικαίως εἰσὶν ὑπεύθυνοι. καίτοι πρὸς τοὺς κορινθίους εἰκότως ἄν τις καὶ τοῦτο προσθείη. πότερον αὐτοῖς δοκεῖ καλῶς ἔχειν τοῖς τῆς παλαιᾶς ἑλλάδος ἕπεσθαι νομίμοις, ἢ μᾶλλον οἷς ἔναγχος δοκοῦσι παρὰ τῆς βασιλευούσης προσειληφέναι πόλεως. εἰ μὲν γὰρ τοῖς τῶν παλαιῶν νομίμοις ἀγαπῶσι συμμένοντες, ἀργείοις μᾶλλον εἰς κόρινθον, ἢ κορινθίοις εἰς ἄργος συντελεῖν προσήκει. εἰ δὲ τοῖς νῦν ὑπάρξασι τῇ πόλει, ἐπειδὴ τὴν ῥωμαϊκὴν ἀποικίαν ἐδέξαντο ἰσχυριζόμενοι, πλέον ἔχειν ἀξιοῦσι, παραινέσομεν μετρίως αὐτοὺς μὴ τῶν πατέρων φρονεῖν μείζονα, μηδὲ ὅσα καλῶς ἐκεῖνοι κρίναντες, ταῖς περὶ τὴν ἑλλάδα διεφύλαξαν πόλεσιν ἔθιμα, ταῦτα καταλύειν καὶ καινοτομεῖν ἐπὶ βλάβῃ καὶ λύμῃ τῶν ἀστυγειτόνων, ἄλλως τε καὶ νεωτέρα χρωμένους τῇ ψήφῳ, καὶ τὴν ἀπορρηγνυμένην ὑπὲρ τῆς ἀρχαίας πόλεως τὴν δίκην εἰσελθεῖν, ἔρημον ἔχοντας τῆς πλεονεξίας. ἢ γὰρ ἂν ἐφοβοῦντο ἔξω τῆς ἑλλάδος ἀπάγειν τὴν δίκην. οἱ κορίνθιοι ἔλαττόν τι ἰσχύειν ἔμελλον. καὶ τὸ δίκαιον ἐξεταζόμενον καλῶς φαίνεσθαι πρὸς τῶν πολλῶν καὶ γενναίων τούτων συνηγόρων. ὑφ᾽ ὧν εἰκός ἐστι τὸν δικαστὴν προσηθέμενον, καὶ περὶ τοῦ κατὰ τὴν πόλιν ἀξιώματος δυσωπούμενον, ταύτην τὴν ψῆφον ἐξενεγκεῖν. ἀλλὰ τὰ μὲν ὑπὲρ τῆς πόλεως δίκαια καὶ τῶν ῥητόρων, εἰ μὲν δὴ ἀκούειν ἐθέλοις, καὶ λέγειν αὐτοῖς ἐπιτραπείη, τὴν δίκην ἀπ᾽ ἀρχῆς πεύσῃ, καὶ τὸ παράστασιν ἐκ τῶν λεγομένων, ὀρθῶς κριθήσεται. ὅτι δὲ χρὴ καὶ τοῖς πρεσβείαν ταύτην προστᾶσι δι᾽ ὑμῶν πεισθῆναι, μικρὰ προσθεῖναι χρή. διογένης μέντοι καὶ λαμπρίας φιλοσοφοῦσι μὲν εἴπερ τις ἄλλος τῶν καθ᾽ ἡμᾶς. τῆς πολιτείας δὲ τὰ μὲν ἔννομα καὶ κερδαλέα διαπεφεύγασι τῇ πατρίδι δὲ ἐπαρκεῖν ἀεὶ κατὰ δύναμιν προθυμούμενοι, ὅταν ἡ πόλις ἐν χρείᾳ μεγάλῃ γένηται, τότε ῥητορεύουσι καὶ πολιτεύονται, καὶ πρεσβεύουσι, καὶ δαπανῶσιν ἐκ τῶν ὑπαρχόντων προθύμως ἔργοις ἀπολογούμενοι τὰ φιλοσοφίας ὀνείδη, καὶ τὸ δοκεῖν ἀχρήστους εἶναι ταῖς πόλεσι τοὺς μετιόντας φιλοσοφίαν, ψευδὲς ἐλέγχοντες. χρῆται γὰρ αὐτοῖς ἡ πατρὶς εἰς ταῦτα. καὶ πειρῶνται βοηθεῖν αὐτῇ τοῦ δικαίου δι᾽ ἡμῶν

ἡμεῖς δὲ αὖθις διὰ σοῦ. τοῦτο γὰρ καὶ μόνον λείπεται τοῖς ἀδικουμένοις εἰς τὸ σωθῆναι, τὸ τυχεῖν δικαστοῦ κρίνειν τε ἐθέλοντος καὶ δυναμένου καλῶς, ὁπότερον γὰρ ἂν ἀπῇ τούτων, ἐξαπατηθέντος ἢ καταπροδόντος αὐτοῦ, τὸ δίκαιον οἴχεται πάντως ἀναιρεθέν. ἀλλ᾽ ἐπειδὴ νῦν ἡμῖν τὰ μὲν τῶν δικαστῶν ὑπάρχει κατ᾽ εὐχάς, λέγειν δὲ οὐκ ἔστι μὴ τότε ἐφέντας, ἀξιοῦσι τοῦτο πρῶτον αὐτοῖς ἀνεθῆναι. καὶ μὴ τὴν ἀπραγμοσύνην αὐτοῦ τότε συνειπόντος τῇ πόλει καὶ τὴν δίκην ἐπισκοπήσαντος αἰτίαν αὐτῇ γενέσθαι εἰς τὸν ἔπειτα αἰῶνα βλάβης τοσαύτης. ἄτοπον δὲ οὐ χρὴ νομίζειν, τὸ, τὴν δίκην αὖθις ἀνάδικον ποιεῖν. τοῖς μὲν γὰρ ἰδιώταις συμφέρει τὸ κρεῖττον καὶ λυσιτελέστερον ὀλίγον παριδεῖν τὴν εἰς τὸν ἔπειτα χρόνον ἀσφάλειαν ὠνουμένοις. ὄντος γὰρ αὐτοῖς ὀλίγου βίου, ἡδὺ μὲν καὶ τὸ μετ᾽ ὀλίγον ἡσυχίαν ἀπολαῦσαι. φοβερὸν δὲ καὶ τὸ πρὸ τῆς δικαστηρίων ἀπολέσθαι κρινόμενον. καὶ παραπέμψαι τὴν δίκην ἀτελῆ. ὥς τε κινδυνεύειν κρεῖσσον εἶναι τὸ καλὸν ὁπωσοῦν προσλαβεῖν ἥμισυ, ἢ περὶ τοῦ παντὸς ἀγωνιζόμενον ἀποθανεῖν. ταῖς πόλεσι δὲ ἀθανάτοις οὔσαις, εἰ μή τις δικαίως κρίνας, τῆς πρὸς ἀλλήλας φιλονεικίας ἀπαλλάξῃ, ἀθάνατον ἔχειν τὴν δύσνοιαν πάντως ἀναγκαῖον. καὶ τὸ μῖσος δὲ ἰσχυρὸν τῷ χρόνῳ κρατυνόμενον. εἴρηται, φασὶν οἱ ῥήτορες, ὅ γ᾽ ἐμὸς λόγος. κρίνοις δ᾽ αὐτὸς τὰ δέοντα.

Ιουλιανὸς αὐτοκράτωρ πορφυρίῳ χαίρειν.

ΠΟλλή τις ἦν πάνυ καὶ μεγάλη βιβλιοθήκη γεωργίῳ παντοδαπῶν μὲν φιλοσόφων. πολλῶν δὲ ὑπομνηματογράφων. οὐκ ἐλάχιστα δὲ ἐν αὐτοῖς καὶ τὰ τῶν γαλιλαίων, πολλὰ καὶ παντοδαπὰ βιβλία. πᾶσαν οὖν ἀθρόως τὴν βιβλιοθήκην ἀναζητήσας, φρόντισον εἰς ἀντιόχειαν ἀποστεῖλαι. γίνωσκε ὅτι μεγίστῃ δὴ καὶ αὐτὸς περιβληθήσῃ ζημίᾳ, εἰ μὴ μετὰ πάσης ἐπιμελείας ἀνιχνεύσειας καὶ τοὺς ὁπωσοῦν ὑπόνοιαν ἔχοντας ὑφῃρῆσθαι τῶν βιβλίων. πᾶσι μὲν ἐλέγχοις παντοδαποῖς δὲ ὅρκοις, πλείοσι δὲ τῶν οἰκετῶν βασάνοις, πείθων εἰ μὴ δύναιο καταναγκάσειας εἰς μέσον πάντα προκομίσαι.

Ἀμερίῳ.

ΟΥκ ἀδακρυτὶ τὴν ἐπιστολὴν ἀνέγνων, ἣν ἐπὶ τῷ τῆς συνοικούσης θανάτῳ πεποίησαι, τὸ πάθος τῆς ὑπερβολῆς ἀγγέλλας. πρὸς γὰρ τῷ καὶ καθ᾽ ἑαυτὸ λύπης τὸ ξυμβὰν ἄξιον εἶναι, γυναῖκα νέαν καὶ σώφρονα καὶ θυμήρη τῷ γήμαντι, πρὸς δὲ καὶ παίδων ἱερῶν μητέρα, πρὸ ὥρας ἀναρπασθῆναι καθάπερ δᾷδα ἡμμένην, εἶτα ἐν ὀλίγῳ καταβαλοῦσαν τὴν φλόγα, ἔτι καὶ τὸ τοῦ πάθους εἰς σὲ τεῖνον, οὐχ ἧττόν μοι δοκεῖ λυπηρὸν εἶναι. ἥκιστα γὰρ δὴ πάντων ἄξιος ἦν ὁ καλὸς ἡμῶν ἀμέριος, ἀλγεινοῦ τινος εἰς πεῖραν ἐλθεῖν. ἀνὴρ καὶ λόγῳ χρηστὸς καὶ ἡμῖν εἰς τὰ μάλιστα τῶν φίλων ὁ ποθεινότατος. εἰ μὴ ἀλλ᾽ εἰ μὲν ἕτερος ἦν ὁ γράφων ἐπὶ τούτοις ἐχρῆν, πάντως ἂν ἴσως ἔδει μοι πλειόνων εἰς τοῦτο λόγων. τὸ, τε συμβάν, ὡς ἀνθρώπινον καὶ τὸ φέρειν, ὡς ἀναγκαῖον, καὶ τὸ μηδὲν ἐκ τοῦ μᾶλλον ἀλγεῖν, ἔχειν πλέον δρᾶν, καὶ πάντα ὅσα ἐδόκει πρὸς τὴν τοῦ πάθους παραμυθίαν ἁρμόττειν, ὡς ἀγνοοῦντα διδάσκοντα. ἐπεὶ δὲ αἴσχιον εἶναι μὲν πρὸς ἄνδρα τοὺς ἄλλους νουθετοῦντα

nos verò rurſus te auxilium præbente. Hoc enim vnicum ad ſalutem iis, qui patiuntur iniuriam, reliquum eſt, vt eiuſmodi iudicem adipiſcantur, qui rectè iudicare & velit & poſſit. Verum vtrum enim ex his defecerit, ſi aut circumueniatur aut cauſſam prodat ipſe ius è medio tolli neceſſe eſt. At quoniam iam ex animi ſententia iudices nobis obtigerunt, dicendi verò poteſtas non datur, cùm tunc non conceſſerint, hoc primum ſibi concedi poſtulant, neque qui tunc ciuitatis patrocinium egit & iudicio præfuit, ſua negligentia tantum damnum & in omnia ſecula duraturum illi conciliet. Etenim non turpe putandum eſt aut iniuſtum, habitum iudicium reuocare, & irritum efficere. Vtile eſt enim priuatis hominibus, vtilitatem atque commodum paucorum negligere, vt in poſterum ipſi tranquilliorem ac tutiorem vitam degant. Cùm enim ſit eis vita breuis, breui etiam frui cum ſecuritate iucundū eſt ac ſuaue. At horrendū eſt ante iudiciū etiā orti adiudicari & actionem imperfectā relinquere, vt ſatius videatur quomodocunque dimidio recti contentū eſſe, quàm de toto iudiciū ſubire & morte multari. Ciuitatum verò cùm ſint immortales, niſi quis iuſto iudicio controuerſias componat eum immortale odium ſibi conciliari neceſſe eſt, atque maleuolentiæ vires maximas habet, quæ temporis diuturnitate confirmata eſt. Habes, vt ſolent oratores dicere, mea verba. Tu verò quid rectum & bonum ſit iudica.

Iulianus Imperator Porphyrio ſalutem.

COpioſa fuit & ingens Bibliotheca Georgij, refertáque omnis generis philoſophis & Hiſtoricis. Non autem pauciſſimi fuerunt inter ipſos Galilæorum libri, multi variique. da igitur operam vt totam Bibliothecā in vnum cumulum collectam, Antiochiā mittas. Sic enī ſtatue, maximo tibimetipſi detrimento fore niſi omni cura perquiſieris, & eos de quibus vel minima ſuſpicio eſt, quod aliquid librorum ſubduxerint, omnibus argumentis, omni iuſiurandi genere, & pluribus ſeruorum tormentis, ſi perſuadere non poſſis, coegeris in medium omnes libros proferre.

Amerio.

LIteras tuas nō ſine lachrymis legi, quas de morte coniugis & incredibili mortis dolore miſeras. Præterquàm enim, quòd ipſa per ſe res luctu digna eſſet vxorem iuuenem, modeſtam, gratam marito, præterea ſanctorum liberorum matrē ante tempus abreptam eſſe, quaſi facem accenſam, & confeſtim rurſus extinctam, tum calamitas ad te pertinet, nō minùs mihi dolēda eſſe videbatur. Etenim omnium minimè commeruerat optimus noſter Amerius, vt aliquam moleſtiam dolorémve experiretur, vir & doctrina præſtans, & nobis ex omnibus amicis maximè charus. At verò, ſi quiſpiā eſſet alius cùm mihi de his ſcribendum foret, multò pluribus verbis agendum putarem, euentum humanum eſſe, & tolerationem neceſſariam, neque plus quicquā reportare, quo magis quis doleat, & omnia quæcunq; ad huius incōmodi conſolationē facere videretur, tāquā, ignarū docēdū arbitrarer. Nūc autē cū abſurdū ſit ad virū, qui alios hortari conſueuit

verba

verba facere. quibus ij qui neſciunt, ad ſapientiam & doctrinam erudiendi, ſunt age cæteris omiſsis, viri ſapientis dicam tibi ſiue fictum, ſiue verum ſermonem, tibi fortè non ignotum, vulgo verò vt apparet incognitum, quo ſolo vſus, tanquam Pharmaco Nepenthe, liberari dolore poſſis, non minus poculo, quòd Lacena Telemacho ad ſimilem vſum porrexiſſe creditur. Aiunt enim Democritum Abderitam, cùm non traheret quibus verbis Dariũ vxoris venuſtiſſimæ mortem lugentem, conſolari ſatis poſſet, promiſiſſe ſe morte defunctam vitæ reſtituturum, ſi vellet ea, quæ ad hanc rem requirerentur, ſuppeditare. Cúmque iuſſiſſet ille ne quid parceret, ſumerétque quibuſcunque ſe promiſsioni ſatisfacturum ſperaret, poſt aliquantulum temporis dixiſſe. Reliqua omnia ſibi ad rem conficiendam parata eſſe, vnum tantummodo deficere, quod ipſe quidem acquirere non poſſet, Darium verò vt regem totius Aſiæ fortè non difficulter inuenire poſſe. Cùm ille rogaret, quidnam eſſet, tantum, quod ſoli regi cognitum eſſe poſſet, ferunt reſpondiſſe Democritum ac dixiſſe, Si trium luctus expertium nomina ſepulchro coniugis inſcripſiſſet, eam continuò ad hanc lucem reuerſuram, mortis conditionem moleſtè ferentem. Hic dubitante Dario, cùm inueniri nemo poſſet, cui non aliquis luctuoſus caſus eueniſſet, ſuo more riſiſſe Democritũ ac dixiſſe. Etiam-ne adhuc omnium peſſime, luges impudenter, quaſi ſolus in tantam calamitatem incideris, qui ex omnium ætatum hominibus, ne vnum quidem qui non priuatum aliquod damnum perpeſſus ſit reperire poſſis? Sed his ſanè opus habebat Darius quæ audiret, homo Barbarus & indoctus, obnoxius voluptati & calamitati. Te autem virum Græcum & veram doctrinam profitentem, à teipſo credibile eſt habere, quo tibi imperes. Alioquin enim cogitationi ac rationi contumelia fieret, ſi non idem poſſent efficere, quod tempus.

Maximo Philoſopho.

Omnia mihi confertim in mentem veniunt, ſic vt vocem etiam intercludant, dum aliam cogitationem alia procedere non ſinit, ſiue frigiditate affectionum, ſiue alio quocunque nomine eiuſmodi placet appellare. Sed demus eis, eum locum atque ordinem quem tempus dedit, gratiáſque diis optimis agamus, qui hactenus ſcribendi mihi facultatem dedere, forſitan etiam videndi nos mutuò daturi ſunt. Primùm quidem inuitum me imperatorem factum eſſe dij nouerunt, & hoc ipſis quo modo licuit, planum feci, bello cum Barbaris geſto, quam expeditionem tribus menſibus expediui, reuerſus ad Galaticos inſpectionem feci, eóſque qui veniebant inde rogabam ecquem philoſophũ, ecquem ſcolaſticum, attrita vel tenui veſte indutũ appellere vidiſſent poſteaquam verò propè Bicentionem. Ea nunc inſtaurata oppidulum eſt. Olim ingens ciuitas erat, & magnificis templis ornata, muro valido, & ipſa loci natura munita. Circumfluit enim Danubius flumen, at illa quaſi ſcopulus eminens in mari cõſtituta eſt, ipſis etiã propemodũ auibus in via, niſi quoniã fluuius eã circumit, quaſi quibuſdam porrectis littoribus prædita eſt. Ad hæc

ποιήσασθαι λόγους, οἷς χρὴ τοὺς μὴ εἰδότας σωφρονίζειν καὶ παιδεύειν, φέρε σοι τὰ ἄλλα παρείς, ἀνδρὸς εἴπω σοφοῦ μῦθον εἴτε δὴ λόγον ἀληθῆ. σοὶ μὲν ἴσως οὐ ξένον. τοῖς πλείοσι δὲ ὡς εἰκὸς ἄγνωστον. ᾧ δὴ καὶ μόνῳ χρησάμενος, ὥσπερ φαρμάκῳ τινὶ νηπενθεῖ. λύσιν ἂν εὕροις τοῦ πάθους οὐκ ἐλάττω τῆς κύλικος ἣν ἡ Λάκαινα Τηλεμάχῳ πρὸς τὸ ἴσον τῆς χρείας ὀρέξαι λέγεται. φασὶ γὰρ Δημόκριτον τὸν Ἀβδηρίτην, ἐπειδὴ Δαρείῳ γυναικὸς καλῆς ἀλγοῦντι θάνατον, οὐκ εἶχεν ὅ, τι ἂν εἰπὼν εἰς παραμυθίαν ἀρκέσειεν, ὑποσχέσθαι οἱ τὴν ἀπελθοῦσαν εἰς φῶς ἀνάξειν, ἂν ἐθελήσῃ τῶν εἰς τὴν χρείαν ἡκόντων, ὑποστῆναι τὴν χορηγίαν. κελεύσαντος δὲ ἐκείνου μὴ φείσασθαι, ὅτι ἂν ἔχῃ λαβόντα, τὴν ὑπόσχεσιν ἐμπεδῶσαι, μικρὸν ἐπισχόντα χρόνον, εἰπεῖν. ὅτι τὰ μὲν ἄλλα αὐτῷ πρὸς τὴν τοῦ ἔργου πρᾶξιν συμπεπορισμένα εἴη. μόνου δὲ ἑνὸς προσδέοιτο. ὃ δὴ αὐτὸς μὲν οὐκ ἔχειν ὅπως ἂν λάβοι. Δαρεῖον δὲ ὡς βασιλέα τῆς ὅλης Ἀσίας οὐ χαλεπῶς ἂν ἴσως εὑρεῖν. ἐρομένου δ' ἐκείνου, τί ἂν εἴη τοσοῦτον ὃ μόνῳ βασιλεῖ γνωσθῆναι συγχωρεῖται, ὑπολαβόντα φασὶ τὸν Δημόκριτον, εἰ τριῶν ἀπενθήτων ὀνόματα τῷ τάφῳ τῆς γυναικὸς ἐπιγράψειεν, εὐθὺς αὐτὴν ἀναβιώσεσθαι, τῷ τῆς τελετῆς νόμῳ δυσωπουμένην. ἀπορήσαντος δὲ τοῦ Δαρείου, καὶ μηδένα ἄνδρα δυνηθέντος εὑρεῖν ὅτῳ μὴ ἐπαθέ τι λυπηρὸν συνηνέχθη, γελάσαντά φασι συνήθως τὸν Δημόκριτον, εἰπεῖν. τί ὦ πάντων ἀτοπώτατε θρηνεῖς ἀναίδην, ὡς μόνος ἀλγεινῷ τοσούτῳ συμπλακείς, ὃ μηδὲ ἕνα τῶν πώποτε γεγονότων ἄμοιρον οἰκείου πάθους ἔχεις εὑρεῖν, ἀλλὰ ταῦτα μὲν ἀκούειν ἐδεῖτο Δαρεῖος ἀνὴρ βάρβαρος καὶ ἀπαίδευτος. ἔκδοτος ἡδονῇ καὶ πάθει. σὲ δὲ ἄνδρα Ἕλληνα καὶ παιδείας ἀληθοῦς πρεσβεύοντα, καὶ παρὰ σαυτοῦ τὸ εἰκὸς ἔχειν ἀρχήν. ἐπεὶ καὶ ἄλλως αἰσχύνη τοῦ λογισμοῦ γένοιτ' ἄν, εἰ μὴ ταυτὸν δυνήσεται τῷ χρόνῳ.

Μαξίμῳ φιλοσόφῳ.

Πάντα ἀθρόα ἐπεισί μοι. καὶ ἀποκλείει τὴν φωνὴν ἄλλο ἄλλῳ προελθεῖν οὐ συγχωροῦν τῶν ἐμῶν ἐννοημάτων. εἴτε ψυχρὸν τῶν παθῶν, εἴτε ὅπως φίλον κατονομάζειν τὰ τοιαῦτα. ἀλλ' ἀποδῶμεν αὐτοῖς ἣν ὁ χρόνος ἀποδίδωσι τάξιν, εὐχαριστήσαντες τοῖς πάντα ἀγαθοῖς θεοῖς. οἳ τέως μὲν γράφειν ἐμοὶ συνεχώρησαν. ἴσως δὲ ἡμῖν καὶ ἀλλήλους ἰδεῖν συγχωρήσουσιν. ὡς πρῶτον αὐτοκράτωρ ἄκων ἐγενόμην ὡς ἴσασιν οἱ θεοί. καὶ τοῦτο αὐτοῖς καταφανὲς ὃν ἐνεδέχετο τρόπον ἐποίησα. στρατεύσας ἐπὶ τοὺς βαρβάρους ἐκείνης μοι γενομένης τριμηνιαίας τῆς στρατείας. ἐπανιὼν εἰς τοὺς Γαλατικοὺς ἐπεσκόπουν. καὶ τῶν ἐκεῖθεν ἡκόντων ἀνεπυνθανόμην, μή τις φιλόσοφος, μή τις σχολαστικὸς ἢ τριβώνιον ἢ χλανίδιον φορῶν κατῆρεν. ἐπεὶ δὲ περὶ τὴν Βισεντίωνα, πολίχνιον δὲ νῦν ἐστιν ἀνειλημμένον, πάλαι δὲ μεγάλη τε ἦν, καὶ πολυτελέσιν ἱεροῖς ἐκεκόσμητο, τείχει καρτερῷ, καὶ προσέτι τῇ φύσει τοῦ χωρίου, περιθεῖ γὰρ αὐτὸ ὁ Δοῦβις ποταμός, ἡ δὲ ὥσπερ ἐν θαλάττῃ πετρώδης ἄκρα ἀνέστηκεν, ἄβατος ὀλίγου δέω φάναι καὶ αὐτοῖς ὄρνισι. πλὴν ὅσα ὁ ποταμὸς αὐτὴν περιρρέων, ὥσπερ τινὰς αἰγιαλοὺς ἔχει προκειμένους. ταύτης

πλησίον τῆς πόλεως, ἀπήντησε κυνικός τις ἀνήρ, ἔχων τρίβωνα καὶ βακτηρίαν. τοῦτον πόρρωθεν θεασάμενος, οὐδὲν ἄλλο ὑπέλαβον ἢ σέ. πλησίον δὲ ἤδη περιιόντα, παρὰ σοῦ πάντως ἥκειν αὐτὸν ἐνόμιζον. οὗτος δ᾽ ἀνὴρ φίλος μὲν, ἧττον δὲ τῆς προσδοκωμένης ἐλπίδος. ἓν μὲν δὴ τοιοῦτον ὄναρ ἐγένετό μοι. μετὰ τοῦτο δὲ ᾤμην σε πολυπραγμονήσαντα τὰ κατ᾽ ἐμὲ τῆς Ἑλλάδος ἐκτὸς οὐδαμῶς εὑρεθῆναι. ἴστω Ζεὺς, ἴστω μέγας ἥλιος, ἴστω Ἀθηνᾶς κράτος, καὶ πάντες θεοὶ καὶ πᾶσαι, πῶς κατιὼν ἐπὶ τοὺς Ἰλλυριοὺς ἀπὸ τῶν Κελτῶν ἔτρεμον ὑπὲρ σοῦ. καὶ ἐπυνθανόμην τῶν θεῶν, αὐτὸς μὲν οὐ τολμῶν. οὐ γὰρ ὑπέμενον οὔτε ἰδεῖν τοιοῦτον, οὔτε ἀκοῦσαι οὐδὲν, οἷον ἄν τις ὑπέλαβε δύνασθαι τηνικαῦτα περὶ σὲ γίνεσθαι, ἐπιτρέπων δὲ ἄλλοις. οἱ θεοὶ δὲ ταραχὰς μέν τινας ἔσεσθαι περὶ σὲ περιφανῶς ἐδήλουν. οὐδὲν μέντοι δεινόν. οὐδὲ εἰς ἔργον τῶν ἀθέσμων βουλευμάτων. ἀλλ᾽ ὁρᾷς ὅτι μεγάλα καὶ πολλὰ παρέδραμον. μάλιστά σε πυθέσθαι ἄξιον. πῶς μὲν ἀθρόως τῆς ἐπιφανείας ᾐσθόμεθα τῶν θεῶν. τίνα δὲ τρόπον τὸ τοσοῦτον τῶν ἐπιβούλων πλῆθος διεπεφεύγαμεν, κτείναντες οὐδένα, χρήματα οὐδενὸς ἀφελόμενοι. φυλαξάμενοι δὲ μόνον, οὓς ἐλαμβανόμεν ἐπ᾽ αὐτοφώρῳ. ταῦτα μὲν οὖν ἴσως οὐ γράφειν, ἀλλὰ φράζειν χρή. οἶμαι δέ σε καὶ μάλα ἡδέως πυθέσθαι. θρησκεύομεν τοὺς θεοὺς ἀναφανδόν. καὶ τὸ πλῆθος τοῦ συγκατελθόντος μοι στρατοπέδου θεοσεβές ἐστιν. ἡμεῖς φανερῶς βουθυτοῦμεν. ἀποδώκαμεν τοῖς θεοῖς χαριστήρια, ἑκατόμβας πολλάς. ἐμὲ κελεύουσιν οἱ θεοὶ τὰ πάντα ἁγνεύειν εἰς δύναμιν. καὶ πείθομαί γε προθύμως αὐτοῖς. μεγάλους καρποὺς τῶν πόνων ἀποδώσειν φασὶν, ἢν μὴ ῥᾳθυμῶμεν. ἦλθε πρὸς ἡμᾶς Εὐάγριος.

Χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν ὅμηρος ὁ σοφὸς ἐνομοθέτησεν. ἡμῖν δὲ ὑπάρχει πρὸς ἀλλήλους ξενικῆς φιλίας ἀμείνων, ἥ, τε διὰ τῆς ἐνδεχομένης παιδείας, καὶ τῆς περὶ τοὺς θεοὺς εὐσεβείας. ὥστε οὐκ ἄν μέ τις ἐγκαλέσαιτο δικαίως τὸν ὁμήρου παραβαίνοντα νόμον, εἰ καὶ ἐπὶ πλεῖόν σε μένειν παρ᾽ ἡμῖν ἀξιώσαιμι. ἀλλά σοι τὸ σωμάτιον ἰδὼν ἐπιμελείας πλείονος δεόμενον, ἐπέτρεψα βαδίζειν εἰς τὴν πατρίδα. καὶ ῥᾳστώνης ἐπεμελήθην τῆς πορείας. ὀχήματι γοῦν ἔξεστί σοι δημοσίῳ χρήσασθαι. παροδεύοιεν δέ σε σὺν Ἀσκληπιῷ πάντες οἱ θεοί. καὶ πάλιν ἡμῖν συντυχεῖν δοῖεν.

Ἰαμβλίχῳ.

Αἰσθάνομαί σου τῆς ἐν τῇ μέμψει γλυκύτητος. καὶ ὡς ἑκάτερον ἐξ ἴσου περαίνεις, καὶ οἷς γράφεις τιμῶν, καὶ οἷς ἐγκαλεῖς παιδεύων. ἐγὼ δὲ εἰ μέν τι συνῄδειν ἐμαυτῷ τῶν πρὸς σὲ γιγνομένων καὶ κατὰ μικρὸν ἐλλείψαντι, πάντως ἂν ἢ τὰς προφάσεις εὐλόγως εἰπὼν, ἐπειρώμην ὡς εἰπεῖν τὴν μέμψιν ἐκκλίνειν, ἢ συγγνώμην ὁμολογῶν αἰτεῖν οὐκ ἠρνούμην. ἐπεὶ μὴ δὲ ἄλλως ἀσυγγνώμονα οἶδά σε πρὸς τοὺς σοὺς, ἔστι τῶν πρὸς σὲ φιλικῶν ἐξημαρτόντας ἄκοντας. νυνὶ δὲ, οὐ γὰρ ἦν οὔτε προφθῆναι θέμις, οὔτε ἡμᾶς ἀμελεῖν, ἵνα

cùm appropinquatum eſſet. obuiam cynicus quidã homo venit, cum lacera veſte ac bacillo. Eum cùm à longo conſpexiſſem, neminem alium eſſe, quàm te arbitrabar, vbi verò. Propiùs ad hominem acceſſiſſem, à te venire putabam omnino. At ille vir quidem amicus erat, minùs tamen quàm is quem expectaram. Vna igitur eiuſmodi res mihi contigit. Deinde exiſtimabam, te mea cauſſa occupatum nuſquam extra Græciam inueniri. Teſtis ſit Iuppiter, teſtis magnus Sol, teſtis Mineruæ potentia, omnes denique dij deæque, quanto cum metu à Celtis ad Illyrios tui cauſſa redierim, & à dijs perſcrutatus ſim cùm ipſe per me non auderem. Non enim potuiſſem aut oculis aſpicere tanta, aut auribus circumſonantia ferre, quanta tunc obtingere tibi poſſe aliquis putaſſet. Cæteris igitur dij permiſerunt, te verò in quibuſdam perturbationibus ac caſibus fore manifeſto ſigno declarabam: verùm nihil periculi, neque in opus ſcelerata conſilia eruptura. Sed vides me multa magnáq; ſilentio prætermittere, quæ te potiſſimum audire oportebat; quemadmodum ſtatim deorum apparitionem intellexerimus, & quo pacto tantam inſidiatorum copiam effugerimus, nullo morte affecto, nullis pecunijs ereptis: ſed cauerimus tantum, vt quemque inſtructum deprehenderamus. Hæc igitur fortè non literis mandanda, ſed verbis coram narranda ſunt, téque libenter admodum opinor auditurum. dijs manifeſtos cultus & honores habemus, & turba ex qua meus excercitus conſtat pia eſt & amans numinis. Nos apertè rem diuinam bouibus immolandis, ſacrificijſque ſtatuendis facimus. Multas Hecatombas, dijs pro gratiarum actione præſtitimus. Me verò dij quantũ fieri poſsit expiari iubẽt, libentérq; & promptè mandatis illorum morem gero. pollicentur autem nos magnum laborum fructum percepturos, ſi ſtrenuè quæ volunt, fecerimus. Hoc etiam te nolo ignorare Euagrium ad nos veniſſe.

Χρὴ ξεῖνον παρεόντα φιλεῖν ἐθέλοντα δὲ πέμπειν: Oportet hoſpitem, dum præſto eſt complecti, cùmque volet rurſus dimittere. Homerus ſapientiſſimus hanc legem nobis præſcripſit. Nobis autem maior quædã coniunctio, quam hoſpitalis intercedit, profectò ex doctrinarum ſtudio pietatéque in deos immortales. Ob quàm cauſſam nemo me iure in crimen vocabit, vt violatorem Homericæ legis, etiam ſi te diutiùs apud nos hîc retinere voluero. Sed cùm videam tuum corpuſculum cura diligentiore ſeruandum eſſe, permiſi tibi in patriam iter facere. & vt leuior ſit faciliórque profectio, publico vehiculo tibi vt licet. Comitentur Aſclepium omnes dij, déntque vt iterum nos conuenire poſſit.

Iamblicho.

SEntio tuam in obiurgatione ſuauitatem, at vtrumque pariter te facere intelligo, & in ſcribẽdo repræhendere, & in repræhendendo erudire. Ego verò ſi mihi conſcius eſſem alicuius in te vel minimi peccati, confeſtim aut veriſimiles excuſationes adferrem, & crimen depellere conarer, aut ſi culpam admiſiſſem veniam deprecari me fateter, quoniam aliter te veniam tuis impertiri non ſolẽre, ſcio, ſi quid in amicitia contra te imprudentes & inuiti peccarint. Nunc verò (etenim relinquere crimen fas non erat, aut nos negligentiùs agere) vt

conſequa-

conſequamur, quæ ſummo ſtudio ſemper expetiuimus, age quaſi ad accuſationis modum, me defendam ac demonſtrabo, me non modò nullum vnquam officium in te prætermiſiſſe: ſed ne tardiùs quidē præſtare auſum fuiſſe. Tertius hic agitur annus, à quo vix liberatus iis quæ ſcis periculis ac moleſtiis è Pannonia veni. Cùm autem Calcedonenſem ſinum tranſuectus eſſem, & iam vrbi Nicomedis imminerem, tibi primo, tanquam alicui Deo patrio, primitias conſeruatæ ſalutis reddidi, ſignum profectionis meæ, pro ſancto anathemate, tui appellationem emittens. Qui autem ferebat litteras, de regiis ſatellitibus vnus erat. Iulianus nomine, filius Bachyli, Apamenſis genere, cui ob eam potiſſimum cauſſam literas commiſi, quòd & ad vos iturum ſe & tui notitiam optimam habere promitteret. Poſt hæc, tanquam ab Apolline ſacrum à te ſcriptum mihi veniebat, quod noſtrum aduentum tibi ſummæ voluptati eſſe ſignificabat. dextrum mihi omen erat & lætæ ſpei principium. Iamblichus ſapiens & Iamblichi literæ. Quid attinet me dicere, quanto gaudio fuerim elatus, aut exponere, quemadmodum tuæ literæ me affecerint. Etenim ſi quæ hac de re fuerant à nobis miſſa ſcripta accepiſti (Miſeram autem ad te per tabellarium quendam qui inde venerat) prorſus, quantam ex iis lætitiam perceperim, ex his quæ ſcripſeram, nouiſti. Rurſus cùm quidam ex nutritiis meis filiis domum reuerteretur, alias ad te apparaui literas, ſimúlque & pro præteritis tibi gratias egi, & in poſterum æqualem abs te compenſationē petij. Poſt hæc legatus ad nos venit optimus Sopater. Id cùm cognouiſſem, continuò exiliens hominem acceſſi, complexúſque eum præ gaudio lachrymas effudi, quòd nihil aliud quàm te tuáſque ad nos literas cogitarem. Cùm autem accepiſſem, exoſculabar & oculis admouebam, mordicúſque tenebam, tanquam metuens ne quod inter legendum imaginis tuæ ſimulacrum, clam nobis auolaret. Confeſtim etiam ac ſine mora reſcripſi, non ſolùm ad te verùm etiam ad ſanctum Sopatrum illius filium, quaſi glorìabundus, quòd communem amicum ex Apamea tanquam Arrhabonem abſentiæ veſtræ ab illo accepiſſemus. Poſtquam hanc ad te iàm ſcripſiſſem, ipſe quidem nullam aliam, quàm illam, quæ repræhenſionē continere videbatur accepi. Quòd ſi nos ob eam cauſſam accuſas, vt criminis prætextu frequentiùs ſcribendi nobis occaſionem præbeas, ſanè pergrata mihi tua repræhenſio eſt, & quatenus gratiam mihi refers, me obſtringo. Sin me verò neglecti alicuius in te officij accuſas, quis me eſt infœlicior, qui propter tabellariorum aut perfidiam aut negligentiam, hoc minimè omnium aſſequor? Verùm ego, etiamſi non ſæpiùs ſcribam, tamen dignus ſum, qui veniam impetret, non tam propter negotiorum multitudinem quæ præ manibus ſunt. Non enim tam malè fecero vt non omni negotio ſicut inquit Pindarus tuam rem præponendam exiſtimem: quàm quòd ad tantum virum ſcribendum eſt, cuius etiam

τύχοιμεν ὧν ἀεὶ ζητοῦντες ποθοῦμεν, φέρε σοι καθάπερ ἐν ὅρῳ γραφῆς ἀπολογήσομαι καὶ δείξω μηδὲν ἡμαρτηκὼς ὧν ἐχρῆν εἰς σὲ παρελθεῖν, ἀλλὰ μηδὲ μελλῆσαι τολμήσαντα. ἦλθον ἐκ Παιονίας ἤδη τρίτον ἔτος τουτὶ, μόλις ἀφ' ὧν οἶσθα κινδύνων καὶ πόνων σωθείς. ὑπερβαὶς δὲ τὸν Καλχηδόνιον πορθμὸν καὶ ἐπιστὰς τῇ Νικομήδους πόλει, σοὶ πρώτῳ καθάπερ πατρῴῳ θεῷ, τὰ πρόπλεια τῆς ἐμαυτοῦ σωτηρίας ἀπέδωκα, σύμβολον τῆς ἀφίξεως τῆς ἐμῆς, οἷον ἀντ' ἀναθήματος ἱεροῦ τὴν εἰς σὲ πρόσρησιν ἐκπέμπων. καὶ ἦν ὁ κομίζων τὰ γράμματα τῶν βασιλείων ὑπασπιστῶν εἷς. Ἰουλιανὸς ὄνομα. Βακχύλου παῖς. Ἀπαμεὺς τὸ γένος. ᾧ δὴ τί τὸ μάλιστα τὴν ἐπιστολὴν ἐνεχείριζον, ὅτι καὶ πρὸς ὑμᾶς ἥξειν καὶ σὲ ἀκριβῶς εἰδέναι καθυπισχνεῖτο. Μετὰ ταῦτά μοι καθάπερ ἐξ Ἀπόλλωνος ἱερὸν ἐφοίτα παρὰ σοῦ γράμμα, τὴν ἄφιξιν τὴν ἡμετέραν ἀσμένως ἀκηκοέναι δεικνύντος. ἦν τε τοῦτο ἐμοὶ δεξιὸν οἰώνισμα καὶ χρηστῶν ἐλπίδων ἀρχή. Ἰάμβλιχος ὁ σοφὸς καὶ τὰ Ἰαμβλίχου γράμματα. τί με δεῖ λέγειν ὅπως ηὐφράνθην. ἢ ἃ περὶ τὴν ἐπιστολὴν ἔπαθον σημαίνειν. εἰ γὰρ ἐδέξω τὰ παρ' ἡμῶν ἕνεκα τούτου γραφέντα· ἦν δὲ δι' ἡμεροδρόμου τῶν ἐκεῖθεν ἡκόντων ὡς σὲ πεμφθέντα, πάντως ὁπόσην ἐπ' αὐτοῖς ἡδονὴν ἔσχον, ἀφ' ὧν ἐδήλουν γνώσεις. πάλιν ἐπανιόντος οἴκαδε τοῦ τροφέως τῶν ἐμαυτοῦ παιδίων, ἑτέρων ἦρχον πρὸς σὲ γραμμάτων. οἷς καὶ τὴν ἐπὶ τοῖς φθάνουσι χάριν ὁμολογῶν, καὶ πρὸς τὸ ἑξῆς, ἐν ἴσῳ παρὰ σοῦ τὴν ἀντίδοσιν ᾔτουν. μετὰ ταῦτα ἐπρέσβευσεν ὡς ἡμᾶς ὁ καλὸς Σώπατρος. ἐγὼ δὲ ὡς ἔγνων, εὐθὺς ἀναπηδήσας ᾖξα. καὶ περιπλακεὶς, ἐδάκρυον ὑφ' ἡδονῆς. οὐδὲν ἄλλο ἢ σὲ καὶ τὰ παρὰ σοῦ πρὸς ἡμᾶς ὀνειροπολῶν γράμματα. ὡς δὲ ἔλαβον, ἐφίλουν, καὶ τοῖς ὀφθαλμοῖς προσῆγον καὶ ἀπρὶξ εἰχόμην, ὥσπερ δεδιὼς, μὴ λάθῃ με ἀποπτὰν ἐν τῇ τῶν γραμμάτων ἀναγνώσει τὸ τῆς σῆς εἰκόνος ἴνδαλμα. καὶ δὴ καὶ ἀντέγραφον εὐθύς. οὐ πρὸς σὲ μόνον, ἀλλὰ καὶ πρὸς τὸν ἱερὸν Σώπατρον τὸν ἐκείνου παῖδα, καθάπερ θρυπτόμενος ὅτι τὸν κοινὸν ἑταῖρον ἐκ τῆς Ἀπαμείας οἷον ἐνέχυρον τῆς ὑμετέρας ἀπουσίας ἀντειληφότες εἴημεν ἐξ ἐκείνου. ταύτην ἤδη πρὸς σὲ γεγραφὼς, αὐτὸς οὐδὲ μίαν ἄλλην, ἢ τὴν ἐν ᾗ μέμφεσθαι δοκεῖς ἐπιστολὴν ἐδεξάμην. εἰ μὲν δὴ διὰ τοῦτο ἐγκαλεῖς, ἵνα τῷ τῆς αἰτίας σχήματι, πλείονας ἡμῖν ἀφορμὰς τοῦ γράφειν προξενῇς, δέχομαι τὴν μέμψιν ἀσμενέστατα πάντων. καὶ ἐν οἷς λαμβάνω τὸ πᾶν τῆς χάριτος εἰς ἐμαυτὸν οἰκειοῦμαι. εἰ δὲ ὡς ἀληθῶς ἐλλελεῖφθαί τι τοῦ πρὸς σὲ καθήκοντος αἰτιᾷ, τίς ἂν ἐμοῦ γένοιτ' ἂν ἀθλιώτερος, διὰ γραμματοφόρων ἀδικίαν ἢ ῥᾳθυμίαν, πάντων ἥκιστα τούτου τυγχάνοντος. καίτοι ἐγὼ μὲν κἂν μὴ πλεονάκις γράφω, δίκαιός εἰμι συγγνώμης παρὰ σοῦ τυγχάνειν. οὐ τῆς ἀσχολίας ἣν ἐν χερσὶν ἔχω, φαίην ἄν. μὴ γὰρ οὕτω πράξαιμι κακῶς, ὡς μὴ καὶ ἀσχολίας ἁπάσης καθάπερ φησὶ Πίνδαρος τὸ κατὰ σὲ κρεῖττον ἡγεῖσθαι. ἀλλ' ὅτι πρὸς ἄνδρα τηλικοῦτον, οὗ καὶ

μεμνῆσθαι ἡμῶν φόβος, ὃ καὶ γράφειν κατοκνεῖ, τοῦ πλέον ἢ προσήκει θαρροῦντός ἐστι σωφρονέστερος. ὥσπερ γὰρ οἱ ταῖς ἡλίου μαρμαρυγαῖς ἀντιβλέπειν συνεχῶς τολμῶντες ἂν μὴ θεῖοί τινες ὦσι καὶ τὴν ἀκτῖνα αὐτοῦ καθάπερ οἱ τῶν ἀετῶν γνήσιοι καθορῶσιν, οὔτε ἃ μὴ θέμις ὀφθῆναι, θεωρεῖν ἔχουσι καὶ ὅσωπερ μᾶλλον φιλονεικοῦσι, τοσούτῳ πλέον, ὅτι μὴ δύνανται τυχεῖν ἐμφαίνουσι. τοῦτο καὶ ὁ πρὸς σὲ γράφειν τολμῶν, ὅσωπερ ἂν ἐθέλῃ θαρρεῖν, τοσούτῳ μᾶλλον, ὅτι χρὴ δεδιέναι, καθαρῶς δείκνυσι. σοί γε μὴν ὦ γενναῖε παντὸς ὡς εἰπεῖν τοῦ ἑλληνικοῦ σωτῆρι καθεστῶτι, πρέπον ἦν ἀφθόνως τὸ ἡμῖν γράφειν καὶ τὸν παρ' ἡμῶν ὄκνον, ἐφ' ὅσον ἐξῆν καταστέλλειν. ὥσπερ γὰρ ὁ ἥλιος, ἵνα δὴ πάλιν ἐκ τοῦ θεοῦ πρὸς σὲ τὴν εἰκόνα λάβῃ ὁ λόγος, ὁ δ' οἶμαι ἥλιος, ὥσπερ ὅταν ἀκτῖσι καθαρθεὶς ὅλος λάμπῃ, οὐ διαποκείνη τοῦ πρὸς τὴν αἴγλην ἐλθόντος, ἢ μὴ τὸ οἰκεῖον ἐργάζεται, οὕτω δὴ καὶ σὲ χρῆν ἀφθόνως τῶν παρὰ σοῦ καλῶν, οἷον φωτὸς, τὸ ἑλληνικὸν ἐπαρδεύοντα μὴ ἀποκνεῖν, εἴτις ἢ αἰδοῖ ἢ δέους ἕνεκα τοῦ πρὸς σὲ, τὴν ἀντίδοσιν δυσωπεῖται. οὐδὲ γὰρ ὁ ἀσκληπιὸς ἐπ' ἀμοιβῆς ἐλπίδι τοὺς ἀνθρώπους ἰᾶται. ἀλλὰ τὸ οἰκεῖον αὐτοῦ φιλανθρώπευμα καθάπερ μάθημα πανταχοῦ πληροῖ. ὃ δὴ καὶ σὲ χρῆν ὡς περὶ ψυχῶν ἐλλογίμων ἰατρὸν ὄντα ποιεῖν. καὶ τὸ τῆς ἀρετῆς παράγγελμα διὰ παντὸς σώζειν. οἷον ἀγαθὸν τοξότην. ὃς κἂν μὴ τὸν ἀντίπαλον ἔχῃ, πάντως ἐς τὸ καίριον ἀεὶ τὴν χεῖρα γυμνάζει. ἐπεὶ μὴ ὁ σκοπὸς ἑκατέροις ὁ αὐτὸς, ἡμῖν τε τῶν παρὰ σοῦ δεξιῶν τυχεῖν, καὶ σοὶ τοῖς παρ' ἡμῶν διδομένοις ἐντυχεῖν. ἀλλ' ἡμεῖς μὲν, κἂν μυριάκις γράφωμεν, ἴσα τοῖς ὁμηρικοῖς παισὶ παίζομεν. οἱ παρὰ τὰς θῖνας, ὅπερ ἂν ἐκ πηλοῦ πλάσωσιν, ἀφιᾶσιν αἰγιαλῷ κλύζεσθαι. παρὰ σοῦ δὲ καὶ μικρὸν γράμμα, παντός ἐστι γονίμου ῥεύματος κρεῖττον. καὶ δεξαίμην ἂν ἔγωγε ἰαμβλίχου μᾶλλον ἐπιστολὴν μίαν, ἢ τὸν ἐκ λυδίας χρυσὸν κεκτῆσθαι. εἰ δὲ μέλει τί σοι τῶν ἐραστῶν τῶν σῶν, μέλει δὲ εἰ μὴ σφάλλομαι, μὴ περιίδῃς ὥσπερ νεοττοὺς ἡμᾶς ἀεὶ τῶν παρὰ σοῦ τροφῶν ἐν χρείᾳ τυγχάνοντας. ἀλλὰ καὶ γράφε συνεχῶς, καὶ τοῖς παρὰ σαυτοῦ καλοῖς ἑστιῶν μὴ κατόκνει. κἂν ἐλλίπωμεν, αὐτὸς ἑκατέρου τὴν χρείαν οἰκείου. καὶ ὧν δίδως καὶ ὧν ἀνθ' ἡμῶν τὸ ἴσον προσβάλεις. πρέπει δὲ ἑρμοῦ λογίου μαθητὴν εἰ δὲ βούλει τρόφιμον, ὄντα σὲ μαθητὴν ἐκείνου, ῥάβδον οὐκ ἐν τῷ καθεύδειν ποιεῖν, ἀλλ' ἐν τῷ κινεῖν καὶ διεγείρειν μᾶλλον ἐθέλειν μιμεῖσθαι.

Τῷ αὐτῷ.

Ἐχρῆν μὲν ἡμᾶς τῷ γράμματι πειθομένους τῷ δελφικῷ γινώσκειν ἑαυτοὺς, καὶ μὴ τολμᾶν ἀνδρὸς ἀκοαῖς τοσούτου καταθαρσεῖν. ᾧ καὶ ὀφθέντι μόνον ἀντιβλέψαι δυσχερὲς, ἤπου τὴν πάνσοφον ἁρμονίαν κινοῦντι πρὸς τὸ ἴσον ἐλθεῖν. ἐπεὶ καὶ πανὶ μέλος λιγυρὸν ἠχοῦντι, πᾶς ὅστις ἐξίσταται, κἂν ἀρισταῖος ᾖ, καὶ ἀπόλλωνι πρὸς κιθάραν ψάλλοντι,

mentionem facere religio ſit. Etenim qui ſcribere veretur, ſapientior eſt eo qui plus ſatis confidit. Quemadmodum enim qui ſolis ſplendorem obtutu continuo non ceſſant aſpicere niſi diuini ſint & radios eius tanquam aquilarum genuini pulli intueantur, neque ea, quæ fas eſt cernere poſſunt, & quò vehementiùs contendunt, eò magis ſe conſequi, quod volunt, non poſſe declarant, eodem modo qui literas ad te dare nō erubeſcit, quantò plus vult audere: tantò magis, vtendum metu eſſe, perſpicuè demonſtrat. Te verò ô generoſe, cùm totius penè Græciæ ſis defenſor ac vindex, decebat omni data occaſione ad nos ſcribere, nobiſque metum hunc, quantum fieri poſſet, eximere. Quemadmodum enim ſol: (vt iterum à Deo ſimilitudinem ad te transferat oratio:) Sol igitur quemadmodum cùm hebetatis radiis totus lucet, neque reiicit quæ ſplendori obuiam tendunt, tum non proprium ſolitúmque munus præſtat: ſic etiam te tuis bonis quaſi lumine quodam affatim vniuerſam Græciam oportebat irrigatam reddere, neque defatigari ſi quis verecundia metuere impeditus erga te, reddere, parem gratiam non auderet. Nec enim Aſclepius remunerationis ſpe ſanat mortales, ſed munificam ſuam libertatem, quaſi diſciplinam omnibus in locis perficit. Quod idem tibi quoque non aliter, quàm doctorum animorum medico, faciundum erat, virtutiſque doctrinam perpetuis operis oportebat excercere velut peritum iaculatorem, qui quamuis aduerſarium non habeat, manum tamen ſedulò ad id tempus, quod vſum poſtulaturum eſt, excercet: præſertim cùm nec ſcopus vtriſque ſit idem propoſitus & nobis tuis bonis frui, & tibi noſtris muneribus potiri. Sed nos etiamſi innumerabiles literas mittamus, nihil aliud quàm cum Homericis pueris ludimus, qui iuxta littora quicquid ex luto finxerint, in vndam proiiciunt. Scriptum verò etiam exiguum à te miſſum, omni genitali flumine eſt præſtantius atque ego Iamblichi vnam epiſtolam pluris fecerim, quàm omne aurum Lydicum. Quòd ſi tibi cordi ſunt tui amatores (ſunt autem cordi, ni fallor) ne deſtituas nos quaſi pullos, quibus ſemper à te nutrimento opus eſt. Sed & ſcribe continenter & tuis bonis oblectare nos atque cibare non deſine. Sin defecerimus nos, tu vtrumque munus præſta & nobis largiendi, & pro nobis paris beneficij referendi. Maximè verò decet doctiſſimi Mercurij diſcipulum, ſeu mauis alumnum, vt cùm ſis eius diſcipulus, virgam non in immittendo ſomno, ſed in mouendo excitandóque potiùs imitari velis.

Eidem.

IVſtum erat equidem, nos ſcriptóque Delphico morem gerere, noſque metipſos noſcere, neque rumore ſolo ad inſurgendum contra tantum virum impelli, cui etiam tantummodò viſo obtueri periculoſum eſſet, nedum omni ſapientia refertam Harmoniam concitanti, obuiam ire. Siquidem Pani ſtridulum carmen reſonanti, nemo non cedit, etiamſi ſit peritiſſimus, & Apolline ad Citharam pſallente, ſilent omnes, etiamſi

Orpheum

Orpheum arte Muſica æquent. Inferius enim ſuperiori: quibus rebus inferius eſt iure cedit: modò velit ſuum & quod non peius eſt quid ſit cognoſcere. Qui verò mortalis certis legibus conſtitutæ Muſicæ, carmen aptare ſperat, is nondum fortè nouit Marſyæ Phrygis calamitatem, neque cognominem illi fluuium, qui furioſi tibicinis ſupplicium eius fluentis trahit: ſed neque Thamyridis Thracis mortem audiuit, qui cum Muſis parum fœliciter certauit. Quid enim Sirenas opus eſt dicere, quarum adhuc alam victrices in fronte circumgeſtant. Sed illorum quilibet, imperitæ confidentiæ, ſatis magnas etiam nunc poſteritati ipſa memoria pœnas dependit. Nos autem vt dixi oportebat, intra proprios terminos conſiſtere, tuáque Muſica frui ac quieſcere, quemadmodum qui Apollinis oraculum è ſanctis penetralibus egreſſum, ſummo cum ſilentio excipiunt. At verò cùm tu nobis ipſe præbeas anſam carminis quaſique Mercurij virga nos tangis & ſuſcitas dormientes, age, ſicut qui Bacho Thyaſum pulſanti, ſine mente ac ratione ad ſaltationem feruntur, ita nos quoque tuo plectro quantum poſſumus, aſſonemus, quemadmodum qui Choroſtatam ad moderationem Rythmi ſequuntur. Et primùm eas orationes quas regi iubenti, in freti iunctionem, pontiſque confectionem, nuper elaborauimus, quoniã quidem id ita videtur, tanquam primitias offeramus, & exigua pro magnis tuis, reque verò æs pro auro reddentes, verùm quibus poſſumus donis Mercurium noſtrum afficientes. Omninò enim nec Hecalæ cenam, quamuis tenuem & parum opiparam Theſeus detrectauit: ſed norat paucis etiam pro re atque tempore contentus eſſe. Pan verò paſtoralis pueri bubulci fiſtulam ſuis labris admouere, nullum dedecus exiſtimauit. Proinde tu quoque beneuolo nutu noſtram orationem accipe, neque te pigeat ad paruum carmen, aures longas adhibere. Quòd ſi quid rectum habeat tum oratio ipſa fœlix eſt, tum etiam autor, cùm Mineruæ calculo teſtimonióque fuerit comprobatus. Quòd ſi ad extremã perfectionem manu adhuc indiget, ne dedigneris tu id quod deſit apponere. Nempe ſagittario vocatus Deus adfuerit, iaculúmque temperarit, & Citharœdo carmen orthium modulanti, ad chordæ defectionem ſub cicada Pythius quod decebat aſſonuerit.

VEram eruditionem atque doctrinam, non verborum neque linguæ ſplendida concinnitate metuimur, ſed bona rectáque ſapientis animi conſtitutione, & variis opinionibus de rebus bonis & malis, honeſtis & turpibus. Quicunque igitur alia ſentit, alia docet audientes, is tantùm ab eruditi viri nomine abeſt, quantùm à boni ac iuſti. Quòd ſi cùm in paruis rebus ſpectatur illa diſſidentia mentis & linguæ, tamen tantùm in ea mali ineſt*: cùm in maximis rebus contingit, vt quis aliud ſentiat, & aliud quàm in animo habet, doceat: quomodo non id ſordi-

πῶς ὅστις ἠρεμεῖν, κἂν τὴν ὀρθίαν μουσικὴν εἰδείη. τὸ γὰρ ἧττον τῷ κρείττονι καθιέναι ἧττόν ἐστιν, εἴκοι ἂν δικαίως. εἰ μέλλοι τό, τι οἰκεῖον καὶ τὸ οὐ χεῖρον, τί ἐστι γνώσεσθαι. ὅστις δὲ ἐν θεσμῷ μουσικῇ θνητοῦ, ἐναρμόσαι μέλος ἤλπισεν, οὐκ ἔμαθέ που τὸ Μαρσύου τοῦ Φρυγὸς πάθος. οὐδὲ τὸν ὁμώνυμον ἐκείνῳ ποταμὸν, ὃς μανέντος αὐλητοῦ τιμωρίας ῥεῖ. ἀλλ' οὐδὲ τὴν Θαμύριδος τοῦ Θρᾳκὸς τελευτὴν ἤκουσεν, ὃς ταῖς Μούσαις οὐκ εὐτυχῶς ἀντεξηρίξατο. τί γὰρ δεῖ τὰς Σειρῆνας λέγειν. ὧν ἔτι τὸ πτερὸν ἐπὶ τοῦ μετώπου φέρουσιν αἱ νικήσασαι. ἀλλ' ἐκεῖναι μὲν ἕκαστος ἀμουσίας τόλμης, ἀρκοῦσαν ἔτι καὶ νῦν ἐκτίνει τῇ μνήμῃ δίκην. ἡμᾶς δὲ, ἔδει μὲν ὡς ἔφην, εἴσω τῶν οἰκείων ὅρων ἑστάναι, καὶ τῆς ὑπὸ σοῦ μουσικῆς ἐμφορουμένους ἠρεμεῖν. ὥσπερ οἱ τὴν ἀπόλλωνος μαντείαν ἐξ ἀδύτων ἱερῶν προσιοῦσαν ἡσυχῇ δέχονται. ἐπεὶ δὲ αὐτὸς ἡμῖν τοῦ μέλους τὸ ἐνδόσιμον μνηστεύεις, καὶ οἷον ἑρμοῦ ῥάβδῳ κινεῖς καὶ διεγείρεις καθεύδοντας, φέρε σοι καθάπερ οἱ τῷ Διονύσῳ τὸν θίασον κροτοῦντι πρὸς τὴν χορείαν αὐτοὶ φέρονται, οὕτω καὶ ἡμεῖς ὑπὸ τῷ σῷ πλήκτρῳ τὸ εἰκὸς ἀντηχήσωμεν, ὥσπερ οἱ τῷ χορεστάτῃ πρὸς τὸ ἀνάκλημα τοῦ ῥυθμοῦ συνομαρτοῦντες. καὶ πρῶτόν σοι τὸν λόγον ὃν βασιλεῖ κελεύσαντι πρὸς τὴν ἀοίδιμον τοῦ πορθμοῦ ζεῦξιν ἔναγχος ἐξειργασάμεθα, ἐπειδὴ τοῦτο ἐστι δοκοῦν ἀπαρξώμεθα, μικρὰ μὲν ἀντὶ μεγάλων τῶν παρὰ σοῦ καὶ τῷ ὄντι χαλκὸν χρυσοῦ ἀποδιδόντες. οἷς δὲ ἔχομεν ξενίοις τὸν ἑρμῆν τὸν ἡμέτερον ἑστιῶντες. πάντως οὐδὲ τῆς ἑκάλης ὁ Θησεὺς τοῦ δείπνου τὸ λιτὸν ἀπηξίωσεν. ἀλλ' ᾔδει καὶ μικροῖς ἐς τὸ ἀναγκαῖον ἀρκεῖσθαι. ὁ Πὰν δὲ ὁ νόμιος τοῦ παιδὸς τοῦ βουκόλου τὴν σύριγγα προσαρμόσαι τοῖς χείλεσιν οὐκ ἠτίμασεν. πρόσευ δὴ καὶ αὐτὸς τὸν λόγον εὐμενεῖ νεύματι καὶ μὴ ἀποκνήσῃς ὀλίγῳ μέλει μεγάλην ἀκοὴν ἐνδοῦναι. ἀλλ' ἐὰν μὲν ἔχῃ τι δεξιὸν, αὐτός τε ὁ λόγος εὐτυχεῖ καὶ ὁ ποιητὴς αὐτοῦ τῆς παρὰ τῆς ἀθηνᾶς ψήφου τὴν μαρτυρίαν προσέλαβεν. εἰ δὲ ἔτι χειρὸς ἐντελοῦς εἰς τὸ τοῦ ὅλου πλήρωμα προσδεῖται, μὴ ἀπαξιώσῃς αὐτὸς τὸ ἐνδέον προσθεῖναι. ἤδη που καὶ ἀνδρὶ τοξότῃ κληθεὶς ὁ θεὸς παρέστη καὶ συνεφήψατο τοῦ βέλους, καὶ κιθαρῳδῷ τὸν ὄρθιον ᾄδοντι πρὸς τὸ ἐλλεῖπον τῆς χορδῆς ὑπὸ τῷ τέττιγι, τὸ ἴσον ὁ Πύθιος ἀντεφθέγξατο.

ΠΑιδείαν ὀρθὴν εἶναι νομίζομεν, οὐ τὴν ἐν τοῖς ῥήμασιν οὐδὲ τῇ γλώττῃ πολυτελῆ εὐρυθμίαν. ἀλλὰ διάθεσιν ὑγιῆ νοῦν ἐχούσης διανοίας. καὶ ἀληθεῖς δόξας ὑπέρ τε ἀγαθῶν τε καὶ κακῶν, καλῶν τε καὶ αἰσχρῶν. ὅστις οὖν ἕτερα μὲν φρονεῖ, διδάσκει δὲ ἕτερα τοὺς πλησιάζοντας, αὐτὸς ἀπολελεῖφθαι δοκεῖ τοσούτῳ παιδείας ὅσῳ καὶ τοῦ χρηστὸς ἀνὴρ εἶναι. εἰ μὲν ἐπὶ σμικροῖς εἴη τὸ διάφορον τῆς γνώμης πρὸς τὴν γλῶτταν, κακὸν μὲν εἰς τόδε, ὅμως καὶ ποσῶς γίνεται. εἰ δὲ ἐν τοῖς μεγίστοις, ἄλλο μὲν φρονοίη τις, ἐναντίον δὲ ὧν φρονεῖ διδάσκοι. πῶς οὐ τοῦτο

ἐκείνο καπήλων ἐστίν. οὔτι χρηστῶν, ἀλλὰ παμπονήρων ἀνθρώπων. οἳ μάλιστα παιδεύουσιν, ὅσα μάλιστα φαῦλα νομίζουσιν ἐξαπατῶντες καὶ δελεάζοντες τοῖς ἐπαίνοις. εἰς οὓς μεταθεῖναι τὰ σφέτερα ἐθέλουσιν εἶναι κακά. πάντας μὲν οὖν χρὴ τοὺς καὶ ὁτιοῦν διδάσκειν ἐπαγγελλομένους, εἶναι τὸν τρόπον ἐπιεικεῖς. καὶ μὴ μαχόμενα τοῖς δημοσίᾳ, μεταχαρακτηρίζοντα τὰ ἐν τῇ ψυχῇ φέρειν δοξάσματα. πολὺ δὲ πλέον ἁπάντων οἶμαι δεῖν εἶναι τοιούτους, ὅσοι ἐπὶ νέοις τοῖς λόγοις συγγίνονται, τῶν παλαιῶν ἐξηγηταὶ γινόμενοι συγγραμμάτων. εἴτε ῥήτορες εἴτε γραμματικοὶ καὶ ἔτι πλέον οἱ σοφισταί. βούλονται γὰρ πρὸς τοῖς ἄλλοις οὐ λέξεων μόνον, ἠθῶν δὲ εἶναι διδάσκαλοι. καὶ τὸ κατὰ σφᾶς εἶναί φασι τὴν πολιτικὴν φιλοσοφίαν. εἰ μὲν οὖν ἀληθὲς ἢ μὴ, τοῦτο ἀφείσθω νῦν. ἐπαινῶν δὲ αὐτοὺς οὕτως ἐπαγγελμάτων καλῶν ὀρεγομένους, ἐπαινέσαιμ' ἂν ἔτι πλέον εἰ μὴ ψεύδοιντο μηδὲ ἐξελέγχοιεν αὐτοὺς, ἕτερα μὲν φρονοῦντας, διδάσκοντας δὲ τοὺς πλησιάζοντας ἕτερα. τί οὖν. ὁμήρῳ μέν τοι καὶ ἡσιόδῳ. καὶ δημοσθένει μέν τοι καὶ ἡροδότῳ καὶ θουκυδίδῃ καὶ ἰσοκράτει καὶ λυσίᾳ θεοὶ πάσης ἡγοῦνται παιδείας. οὐχ οἱ μὲν ἑρμοῦ σφᾶς ἱερούς, οἱ δὲ, μουσῶν ἐνόμιζον. ἄτοπον μὲν οἶμαι τοὺς ἐξηγουμένους τὰ τούτων, ἀτιμάζειν τοὺς ὑπ' αὐτῶν τιμηθέντας θεούς. οὐ μὴν ἐπειδὴ τοῦτο ἄτοπον οἶμαι φημὶ δεῖν αὐτοὺς μεταθεμένους τοῖς νέοις, συνδίδωμι δὲ αἵρεσιν, μὴ διδάσκειν ἃ μὴ νομίζουσι σπουδαῖα, βουλομένοις διδάσκειν ἔργῳ πρότερον. καὶ πείθειν τοὺς μαθητὰς, ὡς οὔτε ὅμηρος οὔτε ἡσίοδος, οὔτε τούτων οὓς ἐξηγοῦνται καὶ κατεγνωκότες ἀσέβειαν, ἄνοιάν τε καὶ πλάνην εἰς τοὺς θεούς. ἔπειτ' ἐκεῖνοι ἐξ ὧν γεγράφασι παρατρέφονται, μισθαρνοῦντες, εἶναι ὁμολογοῦσιν αἰσχροκερδέστατοι καὶ δραχμῶν ὀλίγων ἕνεκα πάντας ὑπομένειν. ἕως μὲν οὖν τούτου, πολλὰ ἦν τὰ αἴτια τοῦ μὴ φοιτᾶν εἰς τὰ ἱερά. καὶ ὁ πανταχόθεν ἐπικρεμάμενος φόβος, ἐδίδου συγγνώμην ἀποκρύπτεσθαι τὰς ἀληθεστάτας ὑπὸ τῶν θεῶν δόξας. ἐπειδὴ δὲ ἡμῖν οἱ θεοὶ τὴν ἐλευθερίαν ἔδοσαν, ἄτοπον εἶναί μοι φαίνεται διδάσκειν ἐκεῖνα τοὺς ἀνθρώπους, ὅσα μὴ νομίζουσιν εὖ ἔχειν. ἀλλ' εἰ μὲν οἴονται σοφία ὧν εἰσιν ἐξηγηταὶ, καὶ ὧν ὥσπερ προφῆται κάθηνται, ζηλούτωσαν αὐτῶν πρῶτον τὴν εἰς τοὺς θεοὺς εὐσέβειαν. εἰ δὲ εἰς τοὺς τιμιωτάτους ὑπολαμβάνουσι πεπλανῆσθαι, βαδιζόντων εἰς τὰς τῶν γαλιλαίων ἐκκλησίας ἐξηγησόμενοι ματθαῖον καὶ λουκᾶν. οἷς πειθόντες, ἱερείων ὑμεῖς ἀπέχεσθαι νομοθετεῖτε. βούλομαι ὑμῶν ἐγὼ καὶ τὰς ἀκοὰς ὡς ἂν ὑμεῖς εἴποιτε καὶ τὴν γλῶτταν ἐξαναγεννηθῆναι τούτων ὧν ἔμοιγε εἴη μετέχειν ἀεὶ καὶ ὅστις ἐμοὶ φίλα νοεῖ τε καὶ πράττει. τοῖς μὲν καθηγεμόσι καὶ διδασκάλοις. οὑτωσὶ κοινὸς κεῖται νόμος. ὁ βουλόμενος γὰρ τῶν νέων φοιτᾶν, οὐκ ἀποκέκλεισται

dum putandum eſt:& magis ad peſſimorum, quàm bonorum vitam moréſque pertinere: qui animos hominum iis maximè rebus imbuunt, quas ipſi omnium peſſimas eſſe iudicant deceptos ac ineſcatos laudibus quas ad ſua quoque vitia referri volũt. Omnes itaque, qui docent, quicquid id tandem ſit, ſumma probitate iuſtitiáque præditos oportebat eſſe, neque pugnantes opiniones cum iis quas mente concepiſſent vulgo proponere ac docere: maximè vero omnium tales eſſe debere cenſeo, qui pueros & iuuentutem ad erudiendum ſuſceperunt, & ſcripta veterum interpretationibus explanant, ſiue ſint ij Rhetores, ſiue Grammatici multóque magis ſophiſtæ. Volunt enim præter cætera non ſolùm dicendi, ſed viuendi ſe magiſtros haberi, & ſe ciuilẽ philoſophiã docere profitẽtur. Hoc igitur ſeu verè ſeu minus, miſſum in præſẽtia faciamus. Laudo verò eos qui promiſſionẽ honeſtatis tantùm ament, laudarémq; multò vberiùs, ſi non mendacium dicerent, neque ſeipſos redarguerent, alia ſentire, alia ſuos docere. Quid igitur? Homero, quidem & Heſiodo, Demoſthenι & Herodoto & Thucididi & Iſocrati & Lyſiæ Dij eruditionis duces & autores extiterunt. An non hi ſe Mercurio, illi verò ſe Muſis deuotos ac ſacros eſſe putabant? Turpe equidem cenſeo, qui horum ſcripta interpretantur, iis Diis qui ſunt ab illis honoribus affecti, contumeliam & ignominiam inferre. Non tamen quoniam turpe iudico, propterea ſtatim dico, mutationem eiuſmodi faciendam (ſed optionem tãtummodò do) vt non doceant adoleſcentes ea, quæ non cum virtute & veritate putant eſſe coniuncta, volentes reprimùm docere, & perſuadere diſcipulis quæ nec Homerus, nec Heſiodus, nec horum quiſquam, quos interpretandos ſuſceperunt, quóſque cùm accuſent impietatis, ignorãtiæ & erroris in cognitione numinis, tamen ex his quæ ſcripſerunt, victum ſibi quærunt, ſéque mercedem accipientes, turpiſſimè lucro deditos eſſe, paucarum etiam drachmarum cauſſa fatentur. Hactenus igitur multæ cauſſæ fuerunt, quamobrem ad ſacra non accederetur, & metus impendentis vndequaque periculi, veniam dedit quamobrem opiniones de diis veriſſimas occuluerint. Poſtquam verò Dij nobis libertatem conceſſerunt, ſceleratum mihi videtur, ijs doctrinis hominum mentes inficere, quas non rectas neque iuſtas arbitrentur eſſe. Sed ſi in iis ſapientiam ineſſe putant, quorum ſunt interpretes, & quorum quaſi prophetæ ſedent: æmulentur primùm illorum in Deos pietatem: ſin eos iis præſtantiſſimos peccaſſe arbitrantur, abeant ad Galilæorum conciones & Matthæum Lucámque interpretentur, quibus vos aſſentientes à Sacrificiis abſtinendum eſſe promulgatis. Volo ego auditus veſtros, vt vos dicere ſoletis, & linguam regenerari eorum quorum mihi ſemper liceat eſſe participi, & quicunque animo factiſque nobis beneuolus eſt. Doctoribus quidem & ludimagiſtris hæc communionis lex ponitur. Qui volet ex adoleſcentibus, eos diſcendi cauſſa adire, non excluditur.

Nec enim iuſtum eſt ignaros adhuc pueros, quò ſeſe vertant, ab optima via ſcindere, metu, ne inuiti quoque ad paterna trahantur. Verùm par erat, quemadmodum qui phreneſi laborant: ſic his inuitis etiam medicina adhiberetur: tametſi huius etiam morbi omnibus venia danda eſt. Docendos enim non plectendos eſſe imperitos & ſtolidos iudico.

Hecabolo.

EGo quidem Galilæis omnibus, adeò benignam propitiámque ſententiam tuli, vt vbicunque locorum eſſent nemini vis afferretur, neque ad templa pertraheretur, neque ad quicquam tale per contumeliam & iniuriam contra voluntatem ſuam animique ſententiam adigeretur. Verùm qui ſunt de Arianica ſecta, opib. & diuitiis freti, manus Valētinianis iniecerunt, & eiuſmodi in Edeſſa perpetrare veriti non ſunt, qualia nunquam in ciuitate iuſtis legibus conſtituta fieri debeant. Proinde quoniam egregia ipſorum lege conſtitutum eſt, quò in regnum cælorum quaſi compendio quodam perueniant præcepimus iis qui ſectam illorum, ſequuntur, omni conatu opibus reſiſtere atque vniuerſam pecuniam Edeſſenorum ſocietatis in vnam ſummam colligere, vt militibus in ſtipendium cedant, poſſeſſionéſque noſtris priuatis adiicere: vt in paupertate politi, ſint continentes & moderati, neve ſpe regni cæleſtis fruſtrentur. Iis verò qui Edeſſam habitant, ab omni ſeditione & contentione vacare, ne benignitate noſtra contra voſmetipſos irritata, publici tumultus pœnas ferro, fuga atque igni luatis.

Libanio.

CVm iam graui omninò & celeri morbo prouidentia numinis omnia videntis liberatus eſſem, literæ veſtræ mihi redditæ ſunt eo die quo primùm lauare ceperam. Eas cùm ſub veſperam legiſſem, verbis exprimi vix poteſt, quantùm fuerim confirmatus, perſpecta ſincera miniméque dubia tua erga me beneuolentia, qua vtinam me dignum præſtare poſſem, ne dedecori tuæ amicitiæ forem. Veſtras itaque literas continuò legi, quanquam parum eſſet ad hoc otij. Antonij verò ad Alexandrum, poſtero die curaui, Abhinc ſeptimo die hæc ſcripſi, cùm valetudo rectè mihi prouidentia Dei opt. max. procedere Dij te mihi optatiſſime, chariſſiméque frater incolumen ſeruent.

Zenoni.

CVm alia permulta teſtantur te & in arte medendi facilè primas tenere & animi indole, atque æquitate præcellere, & arti conuenientem temperantia vitam degere, tum caput teſtimonij nunc acceſſit. Alexandrinorum ciuitatem abſens etiam ad te conuertis. Talem in ea ſtimulum quaſi apis reliquiſti nec immeritò. Rectè enim dictum ab Homero videtur ἰητρὸς ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων; Vir medicus plurimis aliis antecellit. Tu verò non ſimpliciter medicus, verùm etiam eius rei præceptor diſcere volentibus, vt propemodum, quod vulgò ſunt medici, hoc tu

οὐδὲ γὰρ οὐδὲ εὔλογον ἀγνοοῦντας ἔτι τοὺς παῖδας ἐφ᾽ ὅ,τι τρέψονται, τῆς βελτίστης ἀποκλείειν ὁδοῦ, φόβῳ τε καὶ ἄκοντας ἄγειν ἐπὶ τὰ πάτρια, καίτοι δίκαιον ἦν ὥσπερ τοὺς φρενιτίζοντας οὕτω καὶ τούτους ἄκοντας ἰᾶσθαι. πλὴν ἀλλὰ συγγνώμην ὑπάρχειν ἅπασι τῆς τοιαύτης νόσου. καὶ γὰρ οἶμαι διδάσκειν, ἀλλ᾽ οὐχὶ κολάζειν χρὴ τοὺς ἀνοήτους.

Ἐκηβόλῳ.

ΕΓὼ μὲν κέκρικα τοῖς Γαλιλαίοις ἅπασιν οὕτω πρᾴως καὶ φιλανθρώπως, ὥς τε μηδένα μηδαμοῦ βίαν ὑπομένειν μὴ δὲ εἰς ἱερὸν ἕλκεσθαι, μὴ δὲ εἰς ἄλλο τι τοιοῦτον ἐπηρεάζεσθαι παρὰ τὴν οἰκείαν προαίρεσιν. οἱ δὲ τῆς ἀρειανικῆς ἐκκλησίας ὑπὸ τοῦ πλούτου βρυάζοντες, ἐπεχείρησαν τοῖς ἀπὸ τοῦ οὐαλεντίνου καὶ τετολμήκασι τοσαῦτα κατὰ τὴν Ἔδεσσαν, ὅσα οὐδέποτε ἐν εὐνομουμένῃ πόλει γένοιτ᾽ ἄν. οὐκοῦν ἐπειδὴ αὐτοῖς ὑπὸ τοῦ θαυμασιωτάτου νόμου προσείρηται, ἵν᾽ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν εὐοδώτερον πορευθῶσι πρὸς τοῦτο συναγωνιζόμενοι τοῖς ἀνδράσιν αὐτῶν τὰ χρήματα τῆς Ἐδεσσηνῶν ἐκκλησίας, ἅπαντα ἐκελεύσαμεν ἀναληφθῆναι, δοθησόμενα τοῖς στρατιώταις, καὶ τὰ κτήματα τοῖς ἡμετέροις προστεθῆναι πριβάτοις. ἵνα πενόμενοι σωφρονῶσι, καὶ μὴ στερηθῶσιν ἧς ἔτι ἐλπίζουσιν οὐρανίου βασιλείας. τοῖς οἰκοῦσι δὲ τὴν Ἔδεσσαν προαγορεύομεν, ἀπέχεσθαι πάσης στάσεως καὶ φιλονεικίας. ἵνα μὴ τὴν ἡμετέραν φιλανθρωπίαν κινήσαντες, καθ᾽ ὑμῶν αὐτῶν ὑπὲρ τῆς κοινῆς ἀταξίας δίκην τίσητε, ξίφει καὶ φυγῇ καὶ πυρὶ ζημιωθέντες.

Λιβανίῳ.

ΑΡτι μοι παυσαμένῳ τῆς χαλεπῆς πάνυ καὶ ταχείας νόσου τῇ τοῦ πάντα ἐφορῶντος προνοίᾳ, γράμματα εἰς χεῖρας ἦλθεν ὑμέτερα καθ᾽ ἣν ἡμέραν πρῶτον ἐλουσάμην. δείλης ἤδη ταῦτα ἀναγνούς, οὐκ ἂν εἴποις ῥᾳδίως ὅπως ἐρρωννύμην, αἰσθανόμενος τῆς σῆς ἀπαραγράφου καὶ καθαρᾶς εὐνοίας. ἧς εἴθε γενοίμην ἄξιος, ὡς ἂν μὴ καταισχύναιμι τὴν σὴν φιλίαν. τὰς μὲν οὖν ὑμετέρας ἐπιστολάς, εὐθὺς ἀνέγνων, καίπερ οὐ σφόδρα τοῦτο ποιεῖν δυνάμενος. τὰς δὲ τοῦ Ἀντωνίου πρὸς τὸν Ἀλέξανδρον, εἰς τὴν ὑστεραίαν ἐπεμψάμην. ἐντεῦθεν ἑβδόμην σοι ταῦτα ἔγραφον ἡμέραν. κατὰ λόγον μοι τῆς ῥώσεως προχωρούσης, διὰ τὴν τοῦ θεοῦ προμήθειαν. σώζοιό μοι ποθεινότατε καὶ φιλικώτατε ἀδελφέ.

Ζήνωνι.

ΠΟλλὰ μὲν καὶ ἄλλα σοι μαρτυρεῖ καὶ τῆς ἰατρικῆς τέχνης εἰς τὰ πρῶτα ἀνήκειν καὶ ἤθους καὶ ἐπιεικείας. καὶ βίου σωφροσύνης συμφώνως πρὸς τὴν τέχνην ἔχειν. νῦν δὲ προσῆλθε τὸ κεφάλαιον τῆς μαρτυρίας. τὴν τῶν ἀλεξανδρέων πόλιν ἀπὼν, ἐπιστρέψας εἰς σεαυτόν. τοσοῦτον αὐτῇ κέντρον ὥσπερ μέλιττα καταλέλοιπας. εἰκότως. καλῶς γὰρ εἰρῆσθαι καὶ ὁμήρῳ δοκεῖ. ἰητρὸς ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων. σὺ δὲ οὐκ ἰατρὸς ἁπλῶς, ἀλλὰ καὶ διδάσκαλος τοῖς βουλομένοις τῆς τέχνης, ὥστε σχεδὸν, ὃ πρὸς τοὺς πολλοὺς εἰσὶν οἱ ἰατροί,

τοῦτο ἐκείνοις σύ. λύει δέ σοι τὴν φυγὴν καὶ ἡ πρόφασις αὐτὴ μάλα λαμπρῶς. εἰ γὰρ διὰ γεωργίας μετέστης τῆς ἀλεξανδρείας, οὐ δικαίως μετέστης. καὶ δικαιότατα αὖ ὀπίσω κατέλθοις. κάτιθι τοίνυν ἐπίτιμος καὶ τὸ πρότερον ἔχων ἀξίωμα. ἐφ' ἡμῖν κοινὴ πρὸς ἀμφοτέρους χάρις ἀποκείσθω, ἀλεξανδρεῦσι μὲν ζήνωνα, σοὶ δὲ ἀποδοῦσα τὴν ἀλεξάνδρειαν.

ſis illis. Hæc verò eadem cauſſa, magna cum dignitate tibi remittit atque diſſoluit exilium. Etenim ſi propter agriculturam ab Alexandria relegatus eſſes, non equidem iure fuiſſes relegatus & iuſtiſſimis de cauſſis domum reuerteris. Quamobrem redi integer rebus omnibus, & dignitate præſtantiſſimus. nobiſque commune beneficium vtrioque intercedat, quod Alexandrinis Zeno, tibi verò Alexandria reſtituatur.

Συγκτησείδιον μικρὸν ἀγρῶν τεττάρων δοκούμενον λαβὼν παρὰ τῆς τήθης ἐν τῇ βιθυνίᾳ τῇ σῇ διαθέσει δῶρον δίδωμι. ἔλαττον μὲν ἢ ὥστε ἄνδρα εἰς πλουσίαν ἐνεγκεῖν τι μέγα καὶ ἀποφῆναι ὄλβιον. ἔχον δὲ ὡς οὐ παντάπασιν ἀτερπῆ τὴν δόσιν, εἴ σοι τὰ καθ' ἕκαστα περὶ αὐτοῦ διέλθοιμι. παίζειν δὲ οὐδὲν κωλύει πρὸς σέ, χαρίτων γέμοντα καὶ εὐμουσίας. ἀπῴκισται μὲν τῆς θαλάττης σταδίοις οὐ πλέον εἴκοσι. καὶ οὔτε ἔμπορος οὔτε ναύτης ἐνοχλεῖ λάλος καὶ ὑβριστὴς τῷ χωρίῳ. οὐ μὴν ἀφῄρηται τὰς παρὰ νηρέως χάριτας παντελῶς. ἔχει δὲ ἰχθὺν πρόσφατον ἀεὶ καὶ ἀσπαίροντα. καὶ ἐπί τινος ἀπὸ τῶν δωμάτων προελθὼν γηλόφου, ὄψει τὴν θάλασσαν τὴν προποντίδα καὶ τὰς νήσους. τήν τε ἐπώνυμον πόλιν τοῦ γενναίου βασιλέως, οὐ φυκίοις ἐφεστὼς καὶ βρύοις, οὐδὲ ἐνοχλούμενος ὑπὸ τῶν ἐκβαλλομένων εἰς τοὺς αἰγιαλοὺς καὶ εἰς τὰς ψάμμους ἀτερπῶν πάνυ καὶ οὐδὲ ὀνομαζομένων ἐπὶ μακρόν. ἀλλ' ἐπὶ σμίλακος καὶ θύμου. καὶ πόας εὐώδους. ἡσυχία δὲ πολλὴ καταλινομένῳ εἰς τὸ βιβλίον ἀφορῶντι, εἶτα διαναπαύοντι τὴν ὄψιν, ἥδιστον ἐπιδεῖν εἰς τὰς ναῦς καὶ τὴν θάλατταν. τοῦτο ἐμοὶ μειρακίῳ κομιδῇ νέῳ θερείδιον ἐδόκει φίλτατον. ἔχει γὰρ καὶ πηγὰς οὐ φαύλας. καὶ λουτρὸν οὐκ ἀναφρόδιτον. καὶ κῆπον, καὶ δένδρα. ἀνὴρ δὲ ὢν ἤδη τὴν παλαιὰν ἐκείνην ἐπόθουν δίαιταν. καὶ ἦλθον πολλάκις καὶ γέγονεν ἡμῖν οὐκ ἔξω λόγων ἡ σύνοδος. ἔστι δὲ ἐν ταῦθα καὶ γεωργίας ἐμῆς μικρὸν ὑπόμνημα, φυταλιὰ βραχεῖα, φέρουσα οἶνον εὐώδη καὶ ἡδύν. οὐκ ἀναμένοντά τι παρὰ τοῦ χρόνου προσλαβεῖν τὸ διόνυσον. ὄψει ταῖς χάριτας. ὁ βότρυς δὲ ἐπὶ τῆς ἀμπέλου καὶ ἐπὶ τῆς ληνοῦ θλιβόμενος, ἀπόζει τῶν ῥόδων. τὸ γλεῦκος δὲ ἐν τοῖς πίθοις ἤδη τοῦ νέκταρός ἐστιν ἀπορρὼξ ὁμήρῳ τις δίοιτο. τί δῆτα οὐ πολὺ γέγονεν. οὐδὲ ἐπὶ πλέθρα πάνυ πολλὰ τοιοῦτον ἀμπέλων. τυχὸν δὲ οὐδ' ἐγὼ γεωργὸς γέγονα πρόθυμος. ἀλλ' ἐπεὶ ἐμοὶ νηφάλιος ὁ τοῦ διονύσου κρατήρ, καὶ ἐπὶ πολὺ τῶν νυμφῶν δέεται, ὅσον εἰς ἐμαυτὸν καὶ τοὺς φίλους, ὀλίγοι δὲ εἰσὶ, τὸ χρῆμα τῶν ἀνδρῶν παρεσκευασάμην. νῦν δέ σοι δῶρον ὦ φίλη κεφαλὴ δίδωμι, μικρὸν μὲν ὅπερ ἐστί. χάριεν δὲ φίλῳ παρὰ φίλου. οἴκοθεν οἴκαδε κατὰ τὸν σοφὸν ποιητὴν πίνδαρον. τὴν ἐπιστολὴν ἐπισύρων πρὸς λύχνον γέγραφα, ὥστε εἴ τι ἡμάρτηται μὴ πικρῶς ἐξέταζε μηδὲ ὡς ῥήτωρ ῥήτορα.

PRædiolum exiguum quatuor agrorum, quod à Tetha mihi datum in Bithynia eſt, tuæ ſapientiæ beneuolentięque dono, do, vilius mehercule in unus, quàm quòd opibus celebrem & beatum exiſtimatione & ſermonibus hominum efficere poſſit: verùm non vſque adeò iucundum nec inſuaue, ſi tibi ſingulis partibus & circumſtantiis illud deſcriptum ob oculos ponam. Nihil verò obſtat quo minus tecum iocemur, homine abundante gratiis atque eruditione. Diſſitum eſt à mari ſtadiis non plus viginti & neque mercator neque nauta nugator aut iniurioſus huic loco moleſtus eſt. Neque tamen prorſus Nerei gratiis deſtituitur. Sed piſcem ſemper habet recentem & palpitantem. Progreſſus autem ab ædibus in collem quendam in eo propõtidem inſuláſque oculis perluſtrare, poteris, itémque vrbem à generoſo ac ſtrenuo rege cognominatam, non algis muſcóque inſiſtens, neque vbi periculum ſit ab eiectis in littus & arenam immitibus omnino feréque non nominatis, ſed in hedera, cepiſque & herba fragrante. Ibi amœniſſimum eſt recubantem cùm librum inſpexeris deinde viſum recreare atque in naues & mare ſumma cum voluptate tranſmittere. Ea mihi adoleſcenti prorſus tenero habitatio videbatur iucundiſsima. Nam & fontibus non malis prædita eſt & balneis non inamœnis, hortóque & arboribus. poſteaquam verò eam ad virilem conſtantémque ætatem peruentum eſſet, veteris illius viuendi conſuetudinis me deſiderium cepit, veníque perſæpè, neque indoctus aut inutilis ille nobis conuentus fuit. Et ibidem agriculturæ meæ paruum quoddam monumentum, vinea breuis, quæ vinũ ſuauiter fragrans, atque dulce gignit, non expectans, donec à tempore Bacchum accipiat. Videbis gratias Botrus tum in vite tum ſub torculari preſſus, roſas olet. Muſtum iam in cadis contentum ita eſt quaſi è nectare hauſtum ſit, ſi Homero credimus. Qui factum eſt igitur, vt non magna copia ſit eiuſmodi vitium neque in complura iugera ſint transfuſæ? Fortè quoniam ego negligentius inſitionem curaui, ſed cùm ſobrius Bacchi crater mihi ſit, & frequentior Nympharum tantum paraui quantum ad meum meorúmque neceſſariorum, qui pauci ſunt, vſum pertineret. Nunc verò tibi charum caput, dono, re quidem ipſa paruum, gratum tamen amico ab amico perfectum, domo domum iuxta ſapientiſſimum vatem Pindarum. Literas ad lucernam hiulcè tractimque ſcripſi. Quamobrem ſi quid peccatum eſt, velim id non accuratius examines, vt Rhetor Rhetorem. a

REgi quæſtum lucrúmque ſpectanti difficilis veſtra petitio viſa fuiſſet. Neque potaſſem

Βασιλεῖ μὲν πρὸς κέρδος ὁρῶντι, χαλεπὸν ἂν ὑμῶν ἐφάνη τὸ αἴτημα. καὶ οὐκ ἂν ᾠήθην δεῖν

opes publicas minuendas ob eam cauſſam eſſe, vt priuatim in aliquos beneficium collocarem. Quoniam verò nobis is finis propoſitus eſt, non vt quàm plurimas pecunias à ſubditis cogamus, ſed vt bene quantùm poſſumus de ipſis mereamur, id etiam diſſoluet veſtra debita. Diſſoluet autem non ſimpliciter omnia, ſed diuidetur res partim in vos partim in militum vſum ex quo non minimè vobis etiam pace & ſecuritate frui licet. Proinde vſque ad tertiam diſtributionem omnia vobis remittimus, quæcunque deſiderantur etiam ex præterito tempore. Poſtea verò vt moris eſt contribuetis vobis enim ea quæ remiſſa ſunt, ſatis magnum beneficium eſſe debent, nobiſque publicum commodum non eſt negligendum. De hoc ipſo literas etiam ad præfectos dedi, vt beneficium vobis ipſa re præſtetur.

τὴν δημοσίαν δ' εὐπορίαν ἐλαττοῦν τῇ πρὸς τινας ἰδίᾳ χάριτι. ἐπεὶ δὲ ἡμεῖς οὐκ ἐπὶ πλεῖστα παρὰ τῶν ὑπηκόων ἀθροίζειν πεποιήμεθα σκοπὸν, ἀλλ' ἐπὶ πλείστων ἀγαθῶν αὐτοῖς αἴτιοι γίγνεσθαι, τοῦτο καὶ ὑμῖν ἀπολύσει τὰ ὀφλήματα. ἀπολύσει δὲ οὐχ ἁπλῶς ἅπαντα. ἀλλὰ μεριεῖται τὸ πρᾶγμα τὸ μὲν εἰς ὑμᾶς. τὸ δ' εἰς τὴν τῶν στρατιωτῶν χρείαν. ἐξ ἧς οὐχ ἥκιστα καὶ αὐτοὶ δήπου φέρεσθε τὴν εἰρήνην καὶ τὴν ἀσφάλειαν. τὸ γοῦν μέχρι μὲν τῆς τρίτης ἐπινεμήσεως, ἀφίεμεν ὑμῖν πάντα, ὅσα ἐκ τοῦ ἔμπροσθεν ἐλλείπει χρόνου. μετὰ ταῦτα δὲ εἰσοίσετε κατὰ τὸ ἔθος. ὑμῖν τε γὰρ ἀφειμένα, χάρις ἱκανή. καὶ ἡμῖν τῶν κοινῶν οὐκ ἀμελητέον. περὶ τούτου καὶ τοῖς ὑπάρχοις ἐπέσταλκα. ἵν' ἡ χάρις ὑμῖν εἰς ἔργον προχωρήσῃ.

Omnibus rebus benè mihi affectum corpus eſt, ſed & animus benefit. Hoc ego nõ exiſtimo melius exordiũ inueniri poſſe Literis quæ amico ab amico mittantur. Cuius igitur rei exordiũ eſt? petitionis opinor. Quæ verò petitio? mutuorum ſcriptorum, quæ vtinam ſenſu meis conueniant, & hanc eandẽ fœlicitatem à te nobis nuncient.

Πάντων μὲν ἕνεκά μοι τὸ σῶμα διάκειται μετρίως. ἡ ψυχὴ δὲ πολλῷ μᾶλλον καὶ τὰ σὰ γράμματα ἔχει καλῶς. οἶμαι δὲ ἴσως τοῦτο πρέπον εἶναι μηδὲν τὸ προοίμιον ἐπιστολῇ φίλῳ παρὰ φίλου πεμπομένῃ. τίνος οὖν ἕξει τὸ προοίμιον αἰτήσεως οἶμαι. τίς δὲ ἡ αἴτησις. ἐπιστολῶν ἀμοιβαῖον. ἃς εἴθε γε καὶ κατὰ διάνοιαν ὁμολογούσας ταῖς ἐμαῖς, ὥστε παρὰ σοῦ ταῦτα πρὸς ἡμᾶς ἐξαγγελλούσας.

Finis epiſtolarum Iuliani.

Τέλος τῶν Ἰουλιανοῦ ἐπιστολῶν.

Epiſtolæ diuerſorum philoſophorum, oratorum, Rhetorum ſex & viginti. Quorum nomina in ſequenti inuenies Pagina.

Ἐπιστολαὶ διαφόρων φιλοσόφων, ῥητόρων, σοφιστῶν ἓξ πρὸς ταῖς εἴκοσι. ὧν τὰ ὀνόματα ἐν τῇ ἑξῆς ὁρᾶσθε σελίδι.

Epiſtolares ſtyli & nomina eorum qui compoſuerunt quas hoc volumen continet epiſtolas.

Synesius,	Diogenes.	Theophylactus.
Demoſthenes.	Crates.	Ælianus.
Plato.	Anacharſis.	Æneas.
Ariſtoteles.	Euripides.	Procopius.
Philippus.	Theano.	Dionyſius.
Alexander.	Meliſſa.	Lyſis.
Hippocrates.	Mya.	Amaſis.
Democritus.	Alciphron.	Muſonius.
Heraclitus.	Philoſtratus.	

Ἐπιστολικοὶ τύποι καὶ ὀνόματα τῶν συνταξαμένων τὰς ἐν τῇδε τῇ βίβλῳ περιεχομένας ἐπιστολάς.

Συνέσιος.	Διογένης.	Θεοφύλακτος.
Δημοσθένης.	Κράτης.	Αἰλιανός.
Πλάτων.	Ἀνάχαρσις.	Αἰνείας.
Ἀριστοτέλης.	Εὐριπίδης.	Προκόπιος.
Φίλιππος.	Θεανώ.	Διονύσιος.
Ἀλέξανδρος.	Μέλισσα.	Λύσις.
Ἱπποκράτης.	Μυῖα.	Ἄμασις.
Δημόκριτος.	Ἀλκίφρων.	Μουσώνιος.
Ἡράκλειτος.	Φιλόστρατος.	τέλος.

Epiſtolarum congregatio virorum doctorum.
Quos priſcum produxit ceu roſas tempus.
Quarum & ſi defluit flos, at vnguenti elegantia.
Permanet ſatis ad flatum boni odoris.
Sic & doctorum & ſi viridis ætas vitæ.
Velociter tranſacta eſt, at lucubrationum elegãtia,
Permanet abundè ad ſempiternam gloriam.

¶ Ἐπιστολῶν ἄθροισις ἀνδρῶν πανσόφων,
Οὓς ὁ πρὶν ἐβλάστησεν ὡς ῥόδα χρόνος,
Ὧν ἔρρει μὲν ἄνθος, ἡ δὲ τοῦ μύρου χάρις,
Μένει διηνεκῶς εἰς πνοὴν εὐωδίας.
Καὶ τῶν σοφῶν γὰρ, ἡ μὲν ἀκμὴ τοῦ βίου
Πτηνῶς παρῆλθεν. ἡ δὲ τῶν λόγων χάρις
Μένει διηνεκῶς εἰς ἀείμνηστον κλέος.

ΕΠΙΣΤΟΛΙΚΟΙ ΤΥΠΟΙ.

EPISTOLARES STYLI.

Τῶν ἐπιστολικῶν τύπων ὦ Ἡρακλείδη ἐχόντων τὴν θεωρίαν, συνεστάναι μὲν ἀπὸ πλειόνων εἰδῶν, ἀεὶ λαμβάνεσθαι δὲ ἀπὸ τῶν ἀεὶ πρὸς τὸ παρὸν ἁρμοζόντων, καὶ καθηκόντων μὲν ὡς τεχνικώτατα γράφεσθαι, γραφομένων δὲ ὡς ἔτυχεν ὑπὸ τῶν τὰς τοιαύτας τοῖς ἐπὶ πραγμάτων τεταγμένοις ὑπουργίας ἀναδεχομένων, θεωρῶν σε φιλοτίμως ἔχοντα πρὸς φιλομαθίαν, ἐπραγματευσάμην δι᾽ ὧν τινων σύνεστιν ἰδεῶν. καὶ πόσας καὶ ἃς ἔχουσι διαφοράς. καὶ καθάπερ δεῖγμα τῆς ἑκάστου γένους τάξεως ὑποδέδειχα. προεκθέμενος μερικῶς τὸν περὶ ἑκάστου λόγον. ἅμα μὲν ὑπολαμβάνων ἔσεσθαί σοι τοῦτο κεχαρισμένον ὑπάρχειν, εἴγε τῶν ἄλλων περιοσότερον εἰδείης, τὸ λαμπρὸν τοῦ βίου τιθέμενος οὐκ ἐν τοῖς βρώμασιν, ἀλλ᾽ ἐν ταῖς ἐπιστήμαις. ἅμα δὲ καὶ πέρα νομίζων τοῦ προσήκοντος ἐπαίνου μεθέξειν.

¶ Γένη μὲν οὖν ἐστὶν ἐπὶ τοῦ παρόντος οἷς ἐντετυχήκαμεν, ἓν καὶ εἴκοσι. τάχα δ᾽ ἂν ἐνέγκαι πολλαπλάσια τούτων ὁ χρόνος. εὐφυὴς γὰρ εὑρετής ἐστι τεχνῶν καὶ θεωρημάτων ἐστί. ἄλλος δὲ τῶν καθ᾽ ἡμᾶς οὐδεὶς ἐπικείρεις οἷς ἐπιστολικὸν τρόπον ἀνήκων τύπος. Ἐπονομάζεται δὲ ἕκαστος αὐτῶν ἀφ᾽ ἧς ἐστιν ἰδέας οὕτως.

Φιλικός, Συστατικός, Μεμπτικός, Ὀνειδιστικός, Παραμυθητικός, Ἐπιτιμητικός, Νουθετητικός, Ἀπειλητικός, Ψεκτικός, Ἐπαινετικός, Συμβουλευτικός, Ἀξιωματικός, Ἐρωτηματικός, Ἀποφαντικός, Ἀλληγορικός, Αἰτιολογικός, Κατηγορικός, Ἀπολογητικός, Συγχαρητικός, Εἰρωνικός, Ἀπευχαριστικός.

Ὁ μὲν οὖν Φιλικός ἐστιν ὁ δοκῶν ὑπὸ φίλου γράφεσθαι πρὸς φίλον. γράφουσι δὲ οὐχ οἱ πάντως φίλοι. πολλάκις γὰρ ἐν ὑπεροχαῖς κείμενοι πρὸς ὑποδεεστέρους ὑπό τινων ἀξιοῦνται φιλικὰ γράψαι. καὶ πρὸς ἀλλήλους ἴσους στρατηγούς. διοικητὰς ἔστιν ὅτε καὶ προσγράφουσι τοὺς ἀγνοουμένους. οὐ γὰρ διὰ τὸ συγκεκρᾶσθαι καὶ μὴ ἔχειν αἵρεσιν τοῦτο πεποιήκασι. ἀλλ᾽ οὐδένα νομίζοντες ἀντερεῖν αὐτοῖς φιλικὰ γράφουσιν. ὅ, τε τύπος τῆς ἐπιστολῆς καλεῖται φιλικὸς ὡς πρὸς φίλον γραφόμενος. ἔστι δὲ οὕτως.

Εἰ καὶ πολύ σου διέστηκα τῇ χώρᾳ κεχωρισμένος, τῷ σώματι μόνον τοῦτο πάσχω. οὐ γὰρ οὐδέποτε δυνατὸν ἐπιλαθέσθαι με. οὐδὲ τῆς γεγονυίας ἡμῖν ἐκ παίδων ἀνεγκλήτου συναναστροφῆς. εἰδὼς δὲ ἐμαυτὸν τὰ πρὸς σὲ γνησίως διακείμενον, καὶ πάντοτε τὸ σοὶ συμφέρον ἀπροφασίστως ὑπηρετήσαντα, τὸ αὐτὸ ὑπείληφα καὶ σὲ περὶ ἐμοῦ ἔχοντα γνώμην, κατὰ μηδὲν ἀντερεῖν πρός με. καλῶς οὖν ποιήσεις πυκνότερον ἐπισκοπῶν τοὺς ἐν οἴκῳ, μή τινος ἔχωσι χρείαν. καὶ συμπαριστάμενος ἐν οἷς ἂν δέωνται καὶ γράφων ἡμῖν περὶ ὧν αἱρῇ.

CVm viderem Heraclida te Stylorum epiſtolariũ, quorũ conſideratio cõſtat ex variis diuerſiſque formis & ſemper ab iis petitur, quæ ad rem præſentem maximè congruunt, cúmque ſcribi quidem quàm artificioſiſsimè deberent, temerè plærumque ac ſine diligenti circumſpectione ſcribuntur ab iis quorum opera ad hoc vtuntur qui rebus negotiíſque præſunt: cognoſcendi ſtudio teneri, dedi operam vt quæ in aliquibus formis eſſet tenenda via ac ratio, & quot quæque inter ipſas haberentur diſcrimina ſcriptis mandarem. Et quaſi ſpecimen ordinis ac modi in vno quoque genere, expoſita prius ſingulorum doctrina particulatim ſubieci, partim quòd tibi me gratum hac re facturum putarem, qui plus aliis videas & vitæ voluptatem non in epulis ſed in cognitione ſententiáque ponas, partim quòd maiorem laudem quàm merui me conſecuturum exiſtimarem.

Genera ſunt igitur in præſenti, quæ quidem nos cognouimus vnum & viginti. Fortè plura temporis curſus his addiderit. Is enim eſt inuentor artium, ac ſpeculationum moderator optimus. Noſtro verò tempore, præter hos non ferè eſt alius ſtylus idoneus, qui in epiſtolarum rationem cadere poſſit. Nomen autem ſinguli ex re formáque inuenerunt.

Amicorum Commendationis, Querendi, Exprobrandi, Conſolãdi, Increpandi, Adhortotionis, Minatorius, Vituperandi, Laudatiuus, Conſulendi, Deprecatorius, Percontandi, Reſpondendi, Allegoricus, Ætiologicus, Accuſandi, Defendendi, Gratulatorius, Simulatiuus & Gratiarum actionis.

AMicorum itaque eſt, qui videtur ad amicum ab amico ſcribi. Non autem omnes qui ſic ſcribunt amici ſunt. Sæpè enim qui ſunt in aliquo faſtigio dignitatis & potentiæ collocati rogantur vt ad humiliori conditioni homines amicè ſcribant. Et ad ſe mutuò duces ac Diœcetas, nonnunquam etiam ignotos ſcribere contingit. Non enim propter neceſſitudinem & quòd optio non ſit, hoc faciunt ſed quòd ſibi amicè ſcribentibus neminem repugnaturum putent, typúſque epiſtolæ nominatur Amicorum, quaſi ad amicum ſcriptus. Is eſt cujuſmodi.

Quanquam locorum interuallo ſum à te ſeiunctus: tamen hoc damno corpus duntaxat afficitur. Nam fieri non poteſt, vt vnquam tui memoria ex animo meo diuellatur, & inculpatæ conſuetudinis, qua ſumus à pueris educati. Cùm autem mihi conſcius ſim me ſincero erga te animo affectum eſſe, ſempérque tuis commodis promptiſſimè ſeruire paratum, eandem arbitratus ſum te de me ſententiam habere, neque quicquã denegaturũ. Facies igitur perbenè ſi frequẽtiùs meos familiares inuiſeris ſi qua re opus habeant, & auxilio fueris in iis quibus indigent, atque nos de tua voluntate animóque ſententia certiores feceris.

Commen-

Commendationis eſt,cùm ad alium pro alio ſcribimus,laudibus vtroſque vehentes ſimul & eos qui priùs fuerāt ignoti,in notitiam inſinuantes. Exempli cauſſa ponatur hoc.

Eum qui haſce literas tibi reddit, hominem & apud nos probatum & ob fidem qua eſt omnibus charum,rectè facies, ſi hoſpitis dignatus fueris, & mei & ipſius cauſſa,tum etiam tui. Non pœnitebit te voluntatis, ſi vel arcanum ſermonem vel factum ei commiſeris.Sed tu quoque præconiis apud alios virtutem eius efferes,cùm expertus fueris quantum in omni re negocióque efficere poſſit.

Conquerendi cùm non ſperatum quicquam mali ab eo cum quo agitur,dicimus.

Si nunquam occaſio tibi oblata eſt,pro beneficiis gratiam rependendi: etiámne hoc ab officio tuo alienum eſſe cenſuiſti? quæ collata in te officia, ſemper in recenti memoria habere. Sed & ſermones in nos graues obtrectatorióſque contuliſti. Te igitur non accuſo, qui tali ſis ingenio,ſed noſmetipſos, quoniam in te eiuſmodi malitiam perſpicere non potuimus.

Exprobrandi:cùm eius, qui beneficio à nobis affectus eſt, factum, cum accuſatione inſectamur. Oportebat te Noſſe teipſum, primùm diſcere, atque deinde reliquis moroſum, difficilémque te præbere. Nunc vero cùm ſis à nobis educatus, & noſtra opera ſpiritum hunc ducas, altiora ſpectas, quàm æquum ſit. Verùm hæc noſtra culpa eſt. Tibi enim libertas concedenda non erat. Et iam tametſi manumiſſus es, tamen ingenium conditionémque ſeruilem obtines. Malè ſolùm loquere. Nam bene loqui non didiciſti.

Conſolatorius eſt cum iis, qui in dolore propter aliquam calamitatem caſúmve verſantur ſcribimus.Is hoc ferè modo conficitur,

Cùm ad me de iis caſibus in quos ab ingrata fortuna coniectus es,allatum eſſet, incredibilem animo dolorem cepi, neque magis ad te quàm ad me calamitatem iſtam iudicaui pertinere.

Eum itaque diem in contemplatione totius humanæ vitę conſumpſi. Cùm autem apud animum meum cogitarem omnibus eiuſmodi natura parari quæ nec tempus nec ætatem conſtitutam haberet qua ſit aliquod damnū ſubeundum,ſed incerta via cum quadam importunitate ſeſe obuiam præberet,quoniam ipſe coram facere non poſſem, per literas adhortari te & conſolari ſtatui. Velim igitur, quàm leuiſſimè poſſis, infortuniū feras, & quā in alienis malis conſolationem adhibuiſti, ea nunc in tuis vtaris. Scis enim mærorē,quem tempus plærúmque mitigare ſolet,faciliùs ratione ſedari poſſe.

Increpandi, cùm ad delicta præterita cum quadam interminatione ſcribitur.Hoc pacto.

Peccatorum alia ſponte fiunt & voluntariè: Alia inuitò & contra voluntatem,rurſus alia magna ſunt alia parua.Iterum alia ſunt peccantibus ſolis noxia, alia verò aliis. In tuo verò quaſi data opera ac ſtudio,vniuerſa concurrerunt. Tu enim magna multáque & pernicioſa ſcelera patraſti. Quamobrē par eſt,vt grauiore quoque increpatione taxeris, quoniam quidem præſenti tempore ſimul etiam in aliis iniuriis contingit. Verùm adhuc peccato poteſt remedium inueniri. Nam ſi ad emendationem acceſſeris,tu in cauſſa eris, quamobrem non factum ſit quemadmodum ego cur factum ſit.

Ὁ δὲ συστατικὸς ἐν ᾧ ἄλλον πρὸς ἄλλον γράφομεν ἐπαίνους συγκαταπλέκοντες, ἅμα καὶ τοὺς πρότερον ἀγνοουμένους ἄγοντες εἰς γνῶσιν. Οἷον οὕτως.

Τὸν δεῖνα τὸν παρακομίζοντά σοι τὴν ἐπιστολὴν, καὶ παρ' ἡμῖν κεκριμένον, καὶ διὰ ἣν ἔχει πίστιν ἀγαπώμενον, καλῶς ποιήσεις ἀποδεξάμενος. ἀξιώσας καὶ δι' ἐμὲ καὶ δι' αὐτὸν. ἔτι δὲ καὶ διὰ σαυτόν. οὐ μεταμελήσῃ γὰρ ἐν οἷς θέλεις εἴτε λόγον ἀπόρρητον, πρᾶξίν τι εἰπεῖν. ἀλλὰ καὶ σὺ πρὸς ἑτέρους ἐπαινέσεις αὐτὸν αἰσθόμενος ἣν ἐν παντὶ δυνατὸς χρείαν ἐστὶ παρασχέσθαι.

Μεμπτικός ἐστιν ὁ μὴ νομίζεσθαι βαρέα προσδεχόμενος.

Εἰ μὴ παραδέδωκέ σοι καιρὸς μηδέπω ἂν εὖ πεπονθὼς ἀποτῖσαι χάριτας, ἤδη αὐτὸ τοῦτό γε καλῶς ἔχειν ὑπείληφας τὸ μνημονεύειν ὧν ἔπαθες. ἀλλὰ καὶ διαφορεῖς καθ' ἡμῶν λόγους προσέθου σὺ μὲν οὖν οὐ μέμφομαι τρόπον ἔχοντα τοιοῦτον. ἑαυτοὺς δὲ ὅτι σε τοιοῦτον ὄντα ἠγνοοῦμεν.

Ὀνειδιστικὸς δέ ἐστιν ὅταν τὸν ὑφ' ἡμῶν προευεργετηθέντα ἐφ' οἷς ἔπραξε μετ' ἐγκλημάτων ὀνειδίζωμεν. Ἔδει σε τὸ γνῶθι σαυτὸν μαθόντα, πρὸς τὰ καὶ ἑτέροις προσφέρεσθαι δυσκόλως. νῦν γε μὴν ὑφ' ἡμῶν τρεφόμενος καὶ δι' ἡμᾶς ἔχων τὸ πνεῦμα, μεῖζον φρονεῖς τοῦ δέοντος. ἡμεῖς δὲ τούτου αἴτιοι. σε γὰρ ἔδει μὴ τυχεῖν ἐλευθέρου χρήματος. καὶ εἴπερ δὲ νῦν ἐλεύθερος γέγονας, ὅμως ἔχεις γνώμας δουλοπρεπεῖς. λέγε δὲ κακῶς. ἐπεὶ καλῶς λέγειν οὐκ ἔμαθες.

Παραμυθητικὸς δέ ἐστιν ὁ γραφόμενος τοῖς ἐπὶ λύπαις καθεστηκόσι διὰ χειρῶν τινὸς γεγονότος. ἔχει δὲ οὕτως. Ἀκούσας τὰ δεινὰ τὰ ἀχαρίστου σε τύχης ἀπηντηκότα, καθ' ὑπερβολὴν ἤλγησα νομίσας οὐ σοὶ μᾶλλον ἢ ἐμοὶ συμβεβηκέναι τὸ γεγονός. ἐκείνην μὲν οὖν τὴν ἡμέραν ἅπαντα ἰδὼν τὰ πρὸς τὸν βίον ἐστῶτα συνεφρόντιζον. ἐννοηθεὶς δὲ ὅτι τὰ τοιαῦτα πᾶσιν ἐστὶν ὑποκείμενα τῆς φύσεως, οὔτε χρόνον οὔτε ἡλικίαν ὑφισταμένης καθ' ἣν δεῖ τι πάσχειν, ἀλλ' ἀδήλως μετὰ σκαιότητος οὐκ ἀξίως πολλάκις ἀπαντώσης, ἐπεὶ μὴ παρὼν τετύχηκα, προσκαλεῖν σε δι' ἐπιστολῆς ἐκεῖνα τοῦτο πεποίηκα. φέρε γοῦν τὸ γεγονὸς ὡς δυνατὸν κουφότατα. καὶ καθὼς ἄλλοις παρῄνεσας, σαυτῷ παραίνεσον. ἐπίστασαι γὰρ ὅτι τὸ μέλλον χρόνῳ κουφιεῖν σε, τοῦτο ὁ λόγος [illegible].

Ἐπιτιμητικὸς δέ ἐστιν ὁ ἐφ' ἁμαρτήμασι προγεγονόσι μετ' ἐπιπλήξεως γραφόμενος, οὕτως.

Τῶν ἁμαρτημάτων τὰ μὲν ἑκουσίως γίνεται, τὰ δὲ ἀκουσίως. καὶ τὰ μὲν μεγάλα καθέστηκε τὰ δὲ μικρά· καὶ τὰ μὲν μόνοις βλαβερὰ τοῖς ἁμαρτάνουσι, τὰ δὲ ἑτέροις. σοὶ δὲ καθάπερ ἐπίτηδες ἅμα συμβέβηκεν ἅπαντα. καὶ γὰρ σὺ κακῶν μεγάλα καὶ πολλὰ βλαβερὰ διαπέπραξαι. προσήκει μὲν οὖν σε μείζονος ἐπιτυχεῖν ἐπιπλήξεως. εἰ δὴ κατὰ τὸ παρὸν συντετύχηκε καὶ ἐπὶ ἑτέρων τῶν ἀδικηθέντων. ἀλλ' ἔτι γε δυνατόν ἐστιν ἰάσεως τυχεῖν γεγονὸς πλημμέλημα. πρὸς διόρθωσιν γὰρ ἀγαγὼν αὐτὸς αἴτιος γενήσῃ τοῦ μὴ γεγενῆσθαι καθάπερ ἐγὼ τοῦ γεγονέναι.

Νουθετικὸς δέ ἐστιν ὃς καὶ διὰ τῆς ὀνομασίας ὁποῖός ἐστι δηλοῖ. τὸ γὰρ νουθετεῖν ἐστιν νοῦν ἐντιθέναι τῷ νουθετουμένῳ, καὶ διδάσκειν τί πρακτέον καὶ μή.

Κακῶς ἐποίησας οὕτω χρησάμενος ἀνδρὶ καλῶς ἀνεστραμμένῳ καὶ κατὰ λόγον βεβιωκότι, καὶ τὸ ὅλον μηδὲν ἄτοπον εἰς σὲ πεποιηκότι. παραιτήσεως οὖν ἄξιον τὸ πρᾶγμα. καὶ γὰρ σὺ πάλιν ὑπ᾽ ἄλλου παθὼν, ῥᾳδίως ἂν ἐνήνεγκας. τὸ δὲ ἐπὶ σαυτὸν δικάζων. μὴ δόκει οὖν μήτε γονέων μήτε ἀγωγῆς τετυχηκέναι, μήτε τὸ πάντων ἔσχατον συγγενῆ τινα ἢ φίλον ἔχειν τὸν ἐπιτιμήσοντά σε τοῖς ἁμαρτήμασι.

Ἀπειλητικὸς δέ ἐστιν ὅταν μετ᾽ ἐπιτάσεως φόβον τισὶν ἐμποιῶμεν ἐπὶ πεπραγμένοις ἢ πραχθησομένοις. οὕτως.

Εἰ μὲν ὑπολαμβάνεις μηδεμίαν ὑφέξειν δίκην ἐφ᾽ οἷς διαπέπραξαι, πρᾶττε. ἴσθι δὲ ἀκριβῶς ὡς οὔτε ἀποδρασόμενος, οὔτε καταδυσόμενος οὐδενὶ τρόπῳ χρόνον ἐπιλαθέσθαι καιρόν. οὐδὲν γὰρ ἐκ ἂν εὕροις δι᾽ ἧς ὑποφύγοις ἅ σε δεῖ παθεῖν.

Ψεκτικὸς δέ ἐστιν ὅταν τρόπου κακίαν ἢ δυσχέρειαν πράξεως κατά τινος ἐξαγγέλλωμεν. οὕτως.

Ὁ δεῖνα πῶς κέχρηται τοῖς ἐγκεχειρισμένοις ἀνελευθέρως τε καὶ προαιρέσεως ἀναξίως, κἂν ἐγὼ σιωπῶ, παρ᾽ ἄλλων ἀκούσῃ. γράφειν γὰρ προσήκει περὶ ὧν ἂν μή τινες ἐπίστωνται. περὶ δὲ τῶν ἅπασι φανερῶν καὶ ὑπ᾽ αὐτῆς τῆς φήμης ἀναγγελλομένων, περιττὸν ὄντι καὶ τὸ μηνύειν ἃ δι᾽ αὐτῶν ἐλέγχεται σιωπώμενα.

Ἐπαινετικὸς δέ ἐστιν ὅταν ἐφ᾽ οἷς ἂν πράξῃ τις ἢ προείλετο παρακαλῶμεν ἀποδεχόμενοι τὸν τρόπον τοῦτον. Ἐγὼ εἰ καὶ πρότερον ἐγεγράφεις, γράμμασι μετειλήφειν τῆς σῆς φιλοκαλίας, καὶ νῦν ἐφ᾽ οἷς πέπραχας, ἀποδέχομαί τε καὶ παρακαλῶ. συνοίσει γὰρ ἡμῖν ἀμφοτέροις.

Συμβουλευτικὸς δέ ἐστιν, ὅταν τὴν ἰδίαν γνώμην προφερόμενοι προτρέπωμεν ἐπί τινα ἢ ἀποτρέπωμεν ἀπό τινος. οἷον οὕτως.

Ἐξ ὧν εὐδοκίμησα, διὰ τῶν ἀρχομένων, κεφαλαιωδῶς ὑποδέδειχά σοι. γινώσκω μὲν οὖν ὅτι καὶ οὕτω τῷ τρόπῳ δυνατὸς εἶ τὴν παρὰ τῶν ὑποτεταγμένων εὔνοιαν περιποιεῖσθαι τὴν ὑπήκοον. ἔτι δὲ φίλους πλείστους μὲν οὐ ποιεῖν. πρὸς ἅπαντας δὲ μετρίως ἔχειν καὶ φιλανθρώπως. τοιοῦτος γὰρ ὤν, παρὰ τῶν ὄχλων τὴν εὐφημίαν καὶ τὴν ἀρχὴν ἀσάλευτον ἕξεις.

Ὁ δὲ ἀξιωματικὸς ἐν δεήσει κείμενος καὶ ταῖς αἰτίαις καὶ ταῖς καλουμέναις λιτανείαις. κεῖται δὲ μετὰ παραιτήσεως ἐνίοτε. οὕτως.

Ἐπιτετίμηκα τῷ δεῖνι περὶ ὧν εἰς σὲ διαπέπραχε· καὶ πικρότερον ἢ προσῆκεν αὐτῷ διελέχθην. καὶ σχεδὸν μᾶλλον ὑπὲρ πάντων ἢ ἂν αὐτὸς ὑπὲρ σαυτοῦ διελέχθης. ἀλλ᾽ ἐμοὶ τὴν ἀδικίαν ἀνάθες εἰς τὸ πάλιν συνάξαι. οἶδα δέ σε καὶ χρήσιμον ὄντα καὶ τοῖς φίλοις χαριζόμενον. ὁλοσχερῶς οὖν ἀξιώθητι κατὰ τὸ Ὁμηρικόν, δάμασον δὲ θυμὸν μέγαν. οὐδέ τις ἔχειν Νηλεὲς ἦτορ ἔχειν. στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί.

Adhortationis ſeu Nutheticus eſt, qui ipſo quoque nomine, cuioſmodi ſit demonſtrat. νουθετεῖν enim nihil eſt aliud quàm νοῦν ἐντιθέναι; mentem imponere τῷ νουθετουμένῳ: ei qui admonetur, & docere quid faciendum ſit, quid non.

Malè feciſti, qui ſic vſus ſis, viro benè honeſtéque verſato, qui integrè vitam egit, neque omninò te vlla iniuria læſit. Quamobrem deprecare culpã. Sic enim tu, cùm rurſus ab alio tibi idẽ euenerit, facilius & moderatius feres, ſi iam teipſum iudicaris. Non igitur putes, neque patentes tibi eſſe, neque diſciplinam: neque deniqoe quod eſt omnium extremum, cognatũ aliquem aut amicum habere, qui peccata ſit reprehenſurus.

Minatorius quando cùm intentione metum quẽdam iniicimus, ob facta vel futura. Sic.

Si te nullas pœnas tuorum ſcelerum daturum exiſtimas, patra ſaltem. Hoc verò mente memoriáque teneas, nec fugiendo nec occultando tempus te fallere vlla ratione poſſe. Viam enim non reperies, qua declines ea quæ tibi patienda ſuſtinendáque ſunt.

Vituperandi cùm ingenij ſeu morum prauitatem, aut facti importunitatem in aliquo nunciamus. Hoc pacto.

Quemadmodum ille ſubactos illiberaliter & indignè tractarit, vel ſi ego taceam, à reliquis audies. Nam in eum vſum literarum ratio adhiberi debet, vt certiores alios faciamus de his rebus, quas ignorant. De his verò quæ propoſitæ ſunt & perſpicuè omnibus quæque perferuntur ab ipſo rumore & ſcribere ſuperuacaneũ eſt & ſignificare, quæ ipſa taciturnitate redarguuntur.

Laudatious eſt, cùm aut ea quæ fecit quiſpiam laudibus efferimus, aut ad ea quæ ſuſcepit perficienda cum laude adhortamur. Hoc ferè pacto. Ego & ſi antea ſcripſiſſes, elegantiæ tuæ fructum ex literis percepiſſem, & nunc quod facere inſtituiſti, probo hortórque. Nam id vtrique noſtrûm emolumento fore certum eſt.

Conſulendi eſt, cùm noſtra propoſita ſententia, ad aliquid adhortamur aut deterremus ab alio. Hoc pacto.

Quibus rebus apud ſubditos clarus & celebris euexerim ſummatim tibi expoſui. Sic igitur ſtatuo te quoque tuis moribus beneuolentiam ſubditam gratiámque populi conciliare poſſe, ſi non quæ plurimos in amicitiam aſciſcas, omnibus verò te moderatum benignúmque impertians. Etenim ſi hoc modo te geſſeris à multitudine laudem conſequere & inconcuſſum imperium tenebis.

Deprecandi qui poſitus eſt in precibus, criminibus & ſupplicationibus. Sumitur interdum cum excuſatione. Sic

Obiurgatum illum à me ſcias, quod talia ſit auſus in te patrare grauiúſq; quàm par fuit in illũ inuectus ſum & ferè plus egi, quàm tu ipſe tui cauſſa locutus eſſes, ſed mihi crimen attribue, vt vos in gratiam redeatis. Noui ego te virum vtilem & amicis condonare ſolere. Proinde prorſus, illud Homericum apud te locum habeat. δάμασον δὲ θυμὸν μέγαν· οὐδέ τί σε χρὴ Νηλεὲς ἦτορ ἔχειν, στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί; Doma magnum furorem. Nec enim poſthac te oportet dura præcordia habere. Nam & ipſi dij flexibiles ſunt.

Percontandi cum interrogatis quibuſdam reſponſum flagitamus.

Audio Philoſophum illum ad te profectum eſſe. Proinde velim, certiorem me facias, vtrum adſit, adhuc an diſceſſerit.

Reſpondendi, cùm ad interrogatum, qualicunqoe modo reſpondemus.

Quæſiuiſti per literas à me, num eſſet nobiſcum quem ſuſpicareris. Ille verò etiamnom vt audis præſtò eſt, & ſe tuum aduentum expectaturum confirmat.

Allegoricus cùm eum ad quem ſcribimus ſolum ſcire volumus, & alterius rei imaginem ſignificamus.

Audio pugilem illum, qui contra te certamen iniit, nudum extra portas in obſcura domo habitare. Victoriam obtinebis omninò. Non enim apertè ſignificauit, ſe exiſtimare, eius aduerſarium periiſſe, & quaſi aliis interminans ſcripſit. Nolite deſiſtere donec videatis cicadas in glebis canere. Aliam rem per aliam ſignificauit. Vult enim dicere, donec videatis euerſam, & exciſam regionem veſtram. non enim aliter locuſtæ canerent in glebis, niſi neque arbores neque muros haberent.

Ætiologicus cùm cauſſas, quamobrem non factum aut factum ſit, oſtendimus quoquomodo: velut.

Scribis vt quàm celerrimè ad te trajiciamus. Mihiq; id curæ eſt. At quemadmodum faciẽdum ſit, non reperimus eò quòd omnia nobis ad nauigationem ſint aduerſa. Nec enim nauem inuenire poſſumus, cùm omnes ad publica obeunda munia ſint deſtinatæ, Non enim inoenerimus, contrariis ventis ſpirantibus. Intereà verò temporis etiam iudicio ſumus implicati, & neq; qui principium conſtituat, neque qui exitum oſtendat habemus. Ad hæc corpus in morbo fuit. Si hæc omnia fuerint in melius commutata, nos expectato.

Accuſandi qui poſitus eſt in eorum accuſatione, quæ facta ſunt contra officium.

Non ſanè iucunda mihi fuerunt quæ contra te dico apud ducem audiebam. Erant enim extremæ turpitudinis ac infamiæ. Malè verò cũ eo, q̃ diceret, hæc aduerſus me illum aggreſſus es, cùm ſcires eum calũniatorem, ac mẽdacem eſſe. Non enim ignotus eſt mihi de quo tibi ſcribo. Prorſus verò cùm eius vtaris amicitia, quem omnibus infeſtũ & inimicum eſſe nooiſti, ne illud quidem cogitas qui conuitium alij dicat apud te, eundem apud alios tibi dicturum. Illum igitur accuſo, quòd eiuſmodi facere non vereatur, te verò, quòd cùm habeas opinionem ſapientiæ, diſcrimen inter amicos habere non poſſis.

Defendendi, cùm ad accuſatoris orationem, innocentiam certis argumentis ac rationibus probamus.

Scripſiſſe ad te mecum aliquem & te ad ducem à me miſſum eſſe, rectè quidem id fortuna temperauit, multúmque ad probationem mihi contulit, & qoo tempore feciſſe illud dicunt immò ante tres menſes Alexandriam naui veniſſe. Proinde neque ducem ego vidi, neque me ille. Literis verò ne ipſi quidem aliquid contra te ſcriptum affirmant. Etenim

Ερωτηματικὸς δέ ἐστιν ὅταν περί τινων πυνθανόμενοι παρακαλῶμεν ἡμῖν ἀντιφωνεῖν.

Ἀκούω τὸν δεῖνα τὸν φιλόσοφον ἐπιδεδημηκέναι πρὸς σέ. διασάφησον οὖν μοι πότερον πάρεστιν ἢ κεχώρηκεν.

Ἀποφαντικὸς δέ ἐστιν ὅταν πρὸς τὸν πυνθανόμενον ὁ δήποτε οὖν ἀποφαινόμεθα.

Ἔγραψάς μοι πυνθανόμενος εἰ παρ' ἡμῖν ἐστιν ὃν ὑπείληφας. ἴσθι δὲ καὶ νῦν ὡς ἀκριβῶς καὶ πάρεστιν ἔτι καὶ σὲ προσδεχόμενος ἐπιμένειν φησί.

Ἀλληγορικὸς δέ ἐστιν ὅταν πρὸς ὃν γράφομεν, αὐτὸν εἰδέναι βουλόμεθα μόνον. καὶ ἑτέρου πράγματος εἰκόνα σημαίνομεν.

Ἀκούω τὸν πρὸς σὲ ἀγωνισάμενον ἀθλητὴν, γυμνὸν ἔξω τῶν πυλῶν ἐν σκοτεινῷ κατοικεῖν οἰκήματι. κρατήσεις δὴ πάντως. οὐ γὰρ ἐσήμαινεν ὅτι ὑπείληφεν αὐτὸν τὸν ἀντίδικον ἀπολωλέναι, καὶ ὡς ἰσχυρὰς ἀπειλὰς ἔγραψεν. οὐ βούλεσθε παύσασθαι ἕως ἂν ἴδητε τοὺς τέττιγας ἐπὶ τῶν βώλων ᾄδοντας. δι' ἄλλου γὰρ πράγματος ἄλλο πρᾶγμα σεσήμαγκε. βούλεται γὰρ εἰπεῖν, οὐ βούλεσθε παύσασθαι ἕως ἂν ἴδητε τὴν χώραν ὑμῶν κατεσκαμμένην καὶ δενδροκοπημένην. οὐ γὰρ ἂν ἄλλως οἱ τέττιγες ἐπὶ τῶν βώλων ᾄδοιεν, εἰ μήτε δένδρα μήτε τοίχους ἔχοιεν.

Αἰτιολογικός ἐστιν ὅταν τὰς αἰτίας δι' ἃς οὐκ ἐγεγόνει ὃ ἠλπίσετο σημαίνομεν ὅτι δήποτε οὖν. οἷον

Ἔγραψάς μοι διὰ τάχους πρὸς σὲ διακομίζεσθαι. καί μοι δὲ τοῦτο μέλει. ἄπορον μέντοι τὸ πάντα ἡμῖν τὰ πρὸς τὸν πλοῦν ἀντιπεπτωκέναι. οὔτε γὰρ πλοῖόν ἐστιν εὑρεῖν, πρὸς τὰς λειτουργίας ἑλκυσμένων ἁπάντων. οὐ γὰρ εὕροιμεν ἀνέμων ὄντων ἐναντίων. ἐν καιρῷ δὲ τῷ μεταξὺ καὶ εἰς κρίσιν ἐμπεπλέγμεθα. τὸν δὲ συστησόμενον οὐκ ἔχομεν καὶ δικάζοντα. πρὸς δὲ τούτοις ἠσθένηκα τῷ σώματι. εἰ ἅπαντα μεταπέσοι ταῦτα, ἐνδέχου.

Κατηγορικός ἐστιν ἐν κατασκευῇ τινῶν κείμενος παρὰ τὸ δέον ἐνηργημένων.

Οὐχ ἡδέως μὲν ἤκουσα ἀκοὴν τὰ κατὰ σοῦ λεγόμενα πρὸς τὸν στρατηγόν. ἦν γὰρ τῆς ἀξίας ἀγωγῆς. κακῶς δὲ καὶ σοῦ τῷ κατ' ἐμοῦ ταῦτα λέγοντι αὐτὸν ἐπιχειρήσας. ἐπιστάμενος αὐτὸν καὶ διάβολον καὶ ψευδολόγον, οἶδα γὰρ ὑπὲρ οὗ γράφω σοι, τὸ καθόλου δὲ φίλον ἔχειν, ὃν ᾔδεις ἅπαντων ἐχθρόν. οὐδὲ τοῦτο δοκιμάσεις. διότι καὶ ἄλλον πρός σε κατηγορήσαντα, καὶ πρὸς ἄλλους εἰκὸς ἦν ἐρεῖν τι κατὰ σοῦ. μέμφομαι οὖν ἐκείνῳ μὲν, ὅτι ταῦτα πεπράττει, σοὶ δὲ ὅτι δοκῶν φρονεῖν, οὐκ ἔχεις κρεῖσσον ὑπὲρ φίλων.

Ἀπολογητικὸς δέ ἐστιν ὁ πρὸς κατηγοροῦντα, τοὺς ἐναντίους λόγους μετὰ ἀποδείξεως εἰσφέρειν.

Γεγραφέναι πρὸς σὲ μετ' ἐμοῦ τινα, καὶ πεπέμφθαι σὲ πρὸς τὸν στρατηγὸν ὑπ' ἐμοῦ. καλῶς δὲ πεποίηκεν ἡ τύχη. μεγάλα μοι πρὸς τὴν ἀπόδειξιν ποιήσασα. κατὰ γὰρ τοὺς χρόνους φασὶ τοῦτο πεποιηκέναι. μᾶλλον δὲ καὶ πρὸ τριῶν μηνῶν καταπλεῦσαι εἰς Ἀλεξάνδρειαν. οὔτε μὴν τὸν στρατηγὸν ἑώρακα, οὔτε ἐκεῖνος ἐμέ. διὰ γραμμάτων δὲ οὐδὲ αὐτοὶ λέγουσί τι πεπέμφθαι κατὰ σοῦ. καὶ γὰρ

ἦν ἄλογον, οὐδὲ μιᾶς μοι γεγονυίας πρὸς σὲ διαφορᾶς, ἀξιοῦν κατηγορεῖν τοῦ μηδὲν ἀδικοῦντος, ἀλλὰ φαίνονται αὐτοὶ πράξαντες ἄτοπον εἰ ἔτι ὑπ' ὄψιν γενηθέντες, μὴ τινές σοι προσαποσόντες κατ' αὐτῶν προδιαβεβλήκασιν. οὐδὲ εἰ εἶπον καὶ ἣν φασιν εἰ πεπὶς δίκας εἶναι. εἰ διαμείνεις οἷον δεῖ, πρὸς ἐμοῦ παραγενομένου μαθήσῃ πάντα. καὶ γὰρ εἰ μὲν κατ' ἄλλον πρὸς σὲ πώποτε εἴρηκα, πιστὸν ἦν καὶ κατὰ σοῦ πρὸς ἄλλους ἐρεῖν. προσδέχου με συντόμως καὶ πάντα πρὸς ἔλεγχον ἄξομεν. ἵνα σὺ μὲν γνώσῃ ὡς καλῶς με κέκρικας φίλον. ἐγὼ δὲ σοῦ πεῖραν ἔργῳ λάβω. σχεδὸν γὰρ οἱ διαβάλλοντες, ἡμᾶς μὲν συνάξουσιν. ἑαυτοὺς δὲ ἀποπνίξουσιν.

Συγχαιρετικὸς δέ ἐστιν ὅταν ἐπὶ μεγάλοις πράγμασιν ἢ παραδόξοις γεγονόσι περί τινα συνηδόμενοι γράφωμεν.

Οὐχ ὑπείληφα περὶ σὲ τὸν τοῦ πράγματος κύριον γεγονέναι τοσαύτην χαράν, ὅσην οἶδα περὶ ἐμὲ πυθόμενον τὰ σοι συμβεβηκότα. πέποιθα δὲ ἐθελήσεις τῆς τύχης σε μείζονα γενέσθαι. τὸ σὸν γὰρ ἦθος οὐδὲ παρὰ τοῖς μείζοσιν ἀπαρασήμαντον. δι' ἣν ἔχεις πρὸς μὲν τοὺς ἀνθρώπους ἀπάντησιν. πρὸς δὲ τοὺς θεοὺς εὐσέβειαν.

Εἰρωνικὸς δέ ἐστιν ὅταν ἐναντίοις πράγμασιν, ἐναντία λέγωμεν καὶ τοὺς κακοὺς ἀγαθοὺς λέγωμεν.

Ἀπόδεξαι τὴν πρὸς ἡμᾶς εὔνοιαν, ἣν ἐκ παλαιῶν χρόνων εἶχες. οὐ γὰρ λέληθεν ἡ καλή σου καὶ ἀγαθὴ προαίρεσις. διότι τὸ κατὰ σαυτὸν μέρος ἤρηκας ἡμᾶς. ἐὰν δὲ τῶν ἴσων τυγχάνῃς, μὴ δυσφόρει. πεπείσμεθα γὰρ ἂν οἱ θεοὶ θέλωσι, καιρὸν ἕξειν οἷον εὑρήσεις καθ' ἡμῶν οὐδέποτε.

Ἀπευχαριστικὸς δέ ἐστιν ὁ μνημονεύσειν τῆς χάριτος τῷ εὐεργέτῃ ἐνδεικνύναι βουλόμενος.

Ἐφ' οἷς εὐηργέτησάς με, διὰ λόγων νῦν εὐχαριστῶ. ἀλλὰ δεῖξαι καὶ ἔργῳ ἣν ἔχω διάθεσιν πρὸς σὲ πάνυ γλιχόμενος, ὑπείληφα τὸ δι' ἐμὴν σοι γενόμενον ἔλαττον τοῦ καθήκοντος. οὐδὲ γὰρ τὸν βίον ὑπὲρ σοῦ προθέμενος, ἀξίαν ἀποδοῦναι χάριν ὧν πέπονθα. τῶν κατ' ἐμὲ δὲ ὅτι βούλει ποιῆσαι, μὴ γράφε παρακαλῶν, ἀλλ' ἀπαιτῶν χάριν. ὀφείλω γάρ.

Ἄλλη.

Μουσικόν σοι τὸ πρόσρημα σοφώτατε, ὀλίγον ἀπεῖναί σοι λύρας δοκεῖ. νῦν γὰρ ἡ γραφὶς μουσικὴν ἐνδείκνυται τέχνην. ᾆσμά σοι δι' ἡμῶν μελῳδοῦσα τὸ φίλιον. σπουδῇ τε πάσῃ καὶ προθυμίᾳ τῇ πρεπούσῃ. πρὸς φωνὴν ἡμετέραν προθυμουμένη παιδεῦσαι. καὶ γὰρ ἔννομόν τι καὶ θεῖον τοὺς προεστηκότας ὑμᾶς καὶ προστήσεσθαι μέλλοντας, ἀσπάζεσθαι ταῖς προσρήσεσι. διὸ πεπληρώκαμεν τὸν νόμον καὶ προσκεκυνήκαμεν ὡς ἔδει καὶ αὖτις καλοῦμεν μνημονεύεσθαι μὲν ἡμῶν παρ' ὑμῖν. γράφειν δὲ ἡμῖν ἐνθάδε. ὑπὲρ γὰρ τῆς σωτηρίας ὑμῶν διημέρας εὐχόμενοι, ἣν ἔχειν πυθέσθαι ταύτην, λίαν ἴσχομεν ἐρωτικῶς.

abſurdũ indignúmq; eſſet, nulla videlicet tecũ intercedente controuerſia, crimen tibi intendere, qui nulla iniuria me læſiſſes. Sed vidẽtur audaciter illi feciſſe, ſi in conſpectũ tuũ venire non dubitarunt, nec timuerunt, ne qui ipſos antea apud te traduxiſſent, quòd ſi permanes ita vt par eſt, à me cùm aduenero diſces omnia. Etenim ſi alijs vnquam apud te malè locutus eſſem, credibile eſſet, me tibi apud alios quoque detrectare. Expecta me breui, omniáq; ad rationes reuocabibus vt tu cognoſcas, quàm rectè me tibi amicum iudicaris. Ego verò tui reipſa experimentum capiam. Calumniatores enim nos quidem conciliabunt, ſeipſos verò ſtrangulabunt. In ſumma ſuſtineas me parumper, rémque ad argumenta certa deducamus: vt tu quidem cognoſcas quàm dignè iudicaueris me amicum: ego verò reipſa de te experimentum accipiam. Nam omnes propemodum qui criminantur, committunt, & ſeipſos enecant.

Gratulatorius eſt cùm de rebus magnis aut inopinatis quæ alicui euenerunt, congratulantes ſcribimus. Non exiſtimo tantam ad te rei dominum lætitiam perueniſſe, quantam ego cepi, cùm quæ tibi contigiſſent audirem perſuaſúmq; habeo, fauente fortuna, te ad altiorem dignitatis gradum euectum iri. Nam tui mores, & totum ingenium tuum apud præſtantiſſimos etiã & optimates non eſt incelebre, partim facilitate qua in congreſſibus erga homines vteris, partim pietate in Deos & religione.

Simulatiuus eſt, cùm contrarijs rebus contraria dicimus & malos bonos dicimus.

Suſcipe tuam erga nos beneuolentiam, quam longo tempore iam præſtitiſti. Non enim obſcura eſt bona rectáque tua voluntas, quoniã quantum in te fuit, occ diſti nos. Quòd ſi par tibi gratia repẽditur, noli moleſtè ferre. Confidimus enim volẽtibus Dijs, nos eiuſmodi occaſionem habituros, quantam aduerſus nos tu nunquam inuenies.

Gratiarum actionis quo propoſitum eſt, vt nos beneficium perpetuò memoria tenere, benefactori præbemus.

Pro iis officiis quæ in me contuliſti, iam verbis gratias ago, referre verò atque te oſtendere, cuius prorſus erga te declarandi me deſiderium habet, putaui minùs eſſe in meis viribus, quàm vt pro dignitate præſtare poſſem. Neque enim ſi vitam pro te profundã, ſatis dignas gratias pro beneficiis acceptis retulero. Quantum verò in me eſt, quod ſieri tibi velis, nõ vt hortator ſcribe, ſed vt exactor gratiæ. Etenim Debeo.

Alia.

Muſica tibi compellatio ſapientiſſime. Non multũ à Lyra videris abeſſe. Nunc enim ſcriptura artem præ ſe fert Muſicã, quæ per nos amicũ tibi carmẽ, omni diligentia & conuenienti alacritate recinit, cupiens ad noſtram vocem erudire. Legitimũ eſt enim & religioſũ, vos moderatores ac principes, eóſque qui futuri ſunt, eiuſmodi vocabulis ſalutare. Legem igitur impleuimus, & religionẽ præſtitimus, & rurſus petimus, vt ſemper noſtri mentio inter vos verſetur, literáſque ad nos huc detis. Etenim pro ſalutari veſtro ſtatu atque incolumitate vota quotidie facimus, Eam optimè conſtitutam audire maximè cupimus.

Alia

Alia.

COnſueto gaudio nos exhilaras domine qui literarum ſucceſſione tuam præſentiam nobis perpetuo exhibeas, iámque quòd veſtram abſentiam, præſentia oſtenderis, non mediocrem lætitiam nobis attuliſti. Nam tuæ dignitatis præclariſſima ſcripta, lætitiæ nobis cauſſa ſunt. Nobis enim domine, tametſi videaris abeſſe, tamen præſtò es & præſens in animis noſtris non iniuria inſcriptus es indeleta memoria, ſuauiſſimorum liberorum præſentia, debitorum neceſſitate, animorum virtute. Nam Aninio oculorúmque ſolennitatis & feſti loco ſunt literæ.

Ἄλλη.

Συνήθως εὐφραίνεις διά τε τῆς τῶν γραμμάτων διαδοχῆς. συνεχῆ τὴν ἡμῖν τὴν παρουσίαν ἐπιδεικνύμενος. καὶ τὴν ὑμῶν ἀπουσίαν, τῇ παρουσίᾳ σημαίνων, χαίρειν πάλιν αὖ ἔπλησας· καὶ πάλιν εὐφραινόμεθα. τὰ γὰρ τῆς σῆς λαμπρότητος ὑπέρλαμπρα γράμματα, εὐφροσύνης ἡμῖν αἴτια γίνεται. ἡμῖν μὲν γὰρ δέσποτα καὶ δοκεῖς ἀπεῖναι παρῆς· καὶ πάρει ἐντὸς τῶν ψυχῶν ἡμῶν δικαίως ἀναγεγραμμένος ὑπάρχεις ἀνεξαλείπτοις μνήμαις τῇ τῶν γλυκέων παίδων παρουσίᾳ καὶ τῇ τῶν χρεωσουμένων σοι ἀνάγκῃ καὶ τῇ τῶν ψυχῶν ἀρετῇ· ψυχῆς γάρ ἐστι καὶ ὀφθαλμῶν τὰ γράμματα ἑορτὴ καὶ πανήγυρις.

ΣΥΝΕΣΙΟΥ ΕΠΙΣΤΟΛΑΙ ΝΙΚΑΝΔΡΩ.

EPISTOLÆ SYNESII NICANDRO.

LIBEROS ego genui orationes, alias è caſtiſſima philoſophia, & huic affini poëtica, alias è communi vulgatáque Rhetorica. Verùm cognoſci facilè poteſt omnes vno eodémque patre prognatas, partim ad res ſerias partim ad voluptatem declinate. Præſens igitur oratio, quam ad partem referenda ſit, promiſſione ſua planum facit. A me verò ſic præ cæteris eſt adamata, vt eam philoſophiæ libentiſſimè aſcriberem, & in genuinis ponerem. At hoc ſe non conceſſuras aiunt, neque leges Reipublicæ. Sunt enim ſtrenui generis cuſtodes. Hoc autem in lucro habet, quicquid ei clam largior, multáque ex illa ſeria parte, in eam tranſtuli: Quare ſi tibi viſum fuerit. Græcis orationem communices velim. Quòd ſi repulſam tulerit, reuertatur ad eum à quo exiit. Simias enim ferunt, edito partu quaſi ſimulachra ſic prolem intentis luminibus intueri, ac pulchritudinis admiratione duci. Adeò natura ſuæ ſobolis amans eſt. Aliorum verò cùm aſpiciunt, nihil aliud quàm, quod ſunt, Simiarum liberos exiſtimant. Aliorum igitur iudiciis hæc permittenda res eſt vt ſobolem examinent. Nam fautor & beneuolentia magnam ad corrumpendas ſententias vim habent. Ob hanc cauſſam Lyſippus Apellis picturas laudauit, & Apelles Lyſippi.

Παῖδας ἐγὼ λόγους ἐγεννησάμην· τοὺς μὲν, ἀπὸ τῆς σεμνοτάτης φιλοσοφίας καὶ τῆς συννάου ταύτῃ ποιητικῆς· τοὺς δὲ, ἀπὸ τῆς πανδήμου ῥητορικῆς· ἀλλ' ἐπιγνοίη τις ἂν ὅτι πατρός εἰσιν ἑνὸς ἅπαντες, νῦν μὲν εἰς σπουδὴν, νῦν δὲ εἰς ἡδονὴν ἀποκλίναντος. ὁ δὴ παρὼν οὗτος λόγος ἧς ποίας μέν ἐστι μερίδος ἀπὸ τῆς ὑποσχέσεως αὐτοῦ κατηγορεῖ. παρ' ἐμοῦ δὲ οὕτως ἠγαπήθη διαφερόντως, ὡς ἡδέως ἂν αὐτὸν εἰσποιῆσαι φιλοσοφίᾳ. καὶ τοῖς γνησίοις ἐγκρῖναι. ἀλλὰ τοῦτο μὲν οὔ φασιν ἐπιτρέψειν, οὐδὲ οἱ νόμοι τῆς πολιτείας. δεινοὶ γάρ εἰσιν εὐγενείας προστάται. ἔχει δὲ κέρδος, ὅτι αὖ αὐτῷ λάθρα χαρίσομαι. καὶ πολλὰ τῆς σπουδαίας μερίδος, εἰς αὐτὸν συνεισήνεγκα. ἂν μὲν οὖν καὶ σοὶ δοκῇ, κοίνωσαι τὸν λόγον τοῖς Ἕλλησιν. ἀποψηφισθεὶς δὲ ὑπαγέσθω παρὰ τὸν πέμψαντα, τοὺς πιθήκους γάρ φασιν ἐπειδὰν τέκωσιν, ὥσπερ ἀγάλμασιν ἐνατενίζειν τοῖς βρέφεσιν. ἀγαμένους τοῦ κάλλους. οὕτως ἐστὶν ἡ φύσις, φιλότεκνον. τὰ δὲ ἀλλήλων ὁρῶσιν, ἅπερ ἐστὶ, πιθήκων παιδία. ἑτέροις οὖν ἐπιτρεπτέον, ἐξετάζειν τὰ ἔκγονα. αἱ γὰρ εὔνοιαι, δειναὶ δεκάσαι τὰς ψήφους. διὰ τοῦτο Λύσιππος Ἀπελλῆν εἰς τὰς γραφὰς εἰσῆγε, καὶ Λύσιππον Ἀπελλῆς.

Ioanni.

MAxima ſecuritas eſt, vereri leges. Tu verò pudori tibi ducis, eas metuere ſemper videri. Quamobrem time aduerſarios & cum his iudices, ſi non munera capiant. Et ſi munera capiant, neque tu ſis is qui plus eroget, nihilominus timendum. Tum enim ſeueriſſimos legum vindices ſe præbent, cùm etiam pecuniam ad hoc ſibi numerari vident.

Ἰωάννῃ.

Ἀσφάλεια μεγίστη, τὸ φοβεῖσθαι τοὺς νόμους· σὺ δὲ, αὐτοὺς ᾐσχύνθης, ἀεὶ φαίνεσθαι φοβούμενος. τοιγαροῦν δέδιθι τοὺς ἐχθροὺς, καὶ μετὰ τούτων τοὺς δικαστὰς, ἂν μὴ κλέπτωσι· κἂν κλέπτωσι μὲν, μὴ σὺ δὲ ἧς ὁ τὰ πλείω διδοὺς, οὐδὲν ἧττον εὐλαβητέον. ὀργίζονται γὰρ ὑπὲρ τῶν νόμων, ὅταν καὶ μισθοδότας προσλάβωσι.

Fratri Euoptio.

TErtium iam diem Æſchines iacebat cùm primùm neptis ad ſepulchrum venit. Non enim moris eſt opinor, vt deſponſatæ in funus prodeant.

Τῷ ἀδελφῷ Εὐοπτίῳ.

Τρίτην μὲν ἦν Αἰσχίνης κείμενος. ἡ δὲ ἀδελφιδῆ τότε πρῶτον ἧκεν ἐπὶ τὸν τάφον· οὐ γὰρ οἶμαι νομίζεται νυμφαγωγίαις βαδίζειν ἐπ' ἐκφοράν.

ἀλλ' ἐν φοινικίδι καὶ τότε. καὶ δικτυωτὸς ὁ κεκρύφαλος· καὶ χρυσία καὶ λίθοις ἐξήρτητο καὶ περιέκειτο, ἵνα μὴ τῷ νυμφίῳ σύμβολος ἀπαισίου γένηται. καθεζομένη οὖν ἐπ' ἀμφικεφάλου καθέδρας, φασὶν, ἀργυρόποδος, πολλὰ κατεμέμφετο τὴν ἀκαιρίαν τῆς συμφορᾶς. ὡς ἢ πρότερον ἐχρῆν, ἢ μετὰ τὸν γάμον ἀποθανεῖν. καὶ πρὸς ἡμᾶς, ἐφ' οἷς ἐδυσχεροῦμεν ἐνάπνει. μόλις δ' οὖν περιμείνασα τὴν ἑβδόμην, καθ' ἣν ἡμεῖς εἰστιάκειμεν τὸ δεῖπνον, τὸ ἐπιτάφιον, αὐτήν τε καὶ τὴν φλύναφον γραῦν τὴν τιτθίδα, ἐπὶ τὸ ζεῦγος ἀναβιβασαμένη τὸ ὀρεικὸν, πληθούσης ἀγορᾶς, ἅπασι τοῖς παρασήμοις ἐπὶ μπων εὐθὺ τευχίων ἐλαύνουσα· μέλλει γὰρ καὶ εἰς τὴν ἐπιοῦσαν ἑβδόμην, ταριχεύεσθαί τι καὶ πυργοφόρος καθάπερ ἡ κυβέλη περιελαύνεσθαι. τούτοις ἡμεῖς μὲν οὐδὲν ἀδικούμεθα, πλὴν τοῦ καταφανεῖς γεγονέναι, λίαν ἀναισθήτους ἔχοντες συγγενεῖς. ὁ δὲ ἀδικούμενος, Ἁρμόνιός ἐστιν ὁ τοῦ Θυρρέου πατήρ. ὡς ἂν εἴποι Σαπφὼ, τὰ μὲν ἄλλα σώφρων καὶ μέτριος ἐν τῷ καθ' ἑαυτὸν βίῳ γενόμενος. ἀλλ' ὑπὲρ εὐγενείας ἀμφισβητῶν τῷ Κέκροπι διετέλεσε. τούτου τῷ πλέον ἢ Κέκροπος τὴν θυγατριδῆν, ὁ θεῖος Ἡρώδης καὶ Θυρρεὺς, εἰς Σωσίας καὶ Τιβίους ἀπέδοντο. πλὴν εἰ μή τι λέγουσιν, ὅτι καὶ τὸν νυμφίον ἡμῖν μακρόθεν ἀποσεμνύνουσι, γενεαλογοῦντες αὐτὸν ἀπὸ τῆς ἐν φήμῃ Λαΐδος. ἡ γὰρ Λαῒς ἔφη τις ἤδη λογογράφος, ἀνδράποδον ἦν συγκαλεικὸν, ἐκ Σικελίας ἐωνημένον· ὅθεν ἡ καλλίπαις ἡ τεκοῦσα τὸν περιβόητον. καὶ αὐτὴ πάλαι μὲν ἐπαλλακεύετο ναυκλήρῳ δεσπότῃ. ἔπειτα μὲν τοῦ ῥήτορος. καὶ τούτῳ δεσπότῃ. εἶτα μετ' ἐκείνους ὁμοδούλων. καὶ λάθρα τῇ πόλει. ἔπειτα λαμπρῶς τῇ πόλει, καὶ προὔστη τῆς τέχνης. ἧς ἐπειδὴ τὴν ἐργασίαν ὑπὸ χαλεπῆς ῥυτίδος κατέλυσε, τὰς ἐν ἡλικίᾳ παιδοτριβεῖ. καὶ τοῖς ξένοις ἀπεκαθίστησιν· ὁ γὰρ υἱὸς ὁ ῥήτωρ, ἀφεῖσθαί φησι τῆς ἀνάγκης τοῦ νόμου, μητέρα τρέφειν ἑταίραν. ἄπαγε τοῦ νόμου· τοῖς γὰρ οὕτω γεγονόσιν, ἀποδίδοται μὲν ἡ μήτηρ. ὁ δὲ λοιπὸς τῶν γονέων, ἀμφισβητήσιμος. ὅσον οὖν ἀμφοτέροις παρὰ τῶν εὖ γεγονότων ὀφείλεται, τοῦτο παρ' ἐκείνων παρὰ τῶν ἀπατόρων εἰς τὰς μητέρας.

Τῷ αὐτῷ.

ΛΥσαντες ἐκ Βενδιδίου περὶ δείλης ὀψίας, μόλις ὑπὲρ μεσοῦσαν ἡμέραν, τὸ φάριον μύρμηκα παρηλλάξαμεν. δίς που καὶ τρὶς ἐν χαθείσης τῆς νεὼς τῷ τοῦ λιμένος ἐδάφει. εὐθὺς μὲν οὖν, καὶ τοῦτο κακὸς οἰωνὸς ἐδόκει. καὶ σοφὸν ἦν ἀποβῆναι νεὼς, ἐκ πρώτης ἀφετηρίας οὐκ εὐτυχοῦς. ἀλλὰ φυγεῖν παρ' ὑμῖν ἔγκλημα δειλίας ᾐσχυνόμεθα. καὶ διὰ τοῦτο οὔπω ἐπὶ ἔσοιτ' ὑποφεύγειν οὐδ' αὖ ἀναδῦναι. ὥστε κἂν εἴ τι συμβαίη, δι' ὑμᾶς ἀπολούμεθα· καίτοι τί δεινὸν ἦν ὑμᾶς τε γελᾶν καὶ ἡμᾶς ἔξω κινδύνου ἑστάναι. ἀλλὰ τῷ Ἐπιμηθεῖ φασι, τὸ μὲν μέλειν, οὐκ ἦν. τὸ δὲ μεταμέλειν, ἐσῶν, ὥσπερ ἡμῖν τότε γὰρ

Sed tunc etiam purpura, & ſplendenti reticulo, auro, gemmiſque ornata atque amicta fuit fortè ne parum fortunatum omen ſponſo adferret. Sedens igitur in ſella fulcris vtrinque prædita, pedibúſque argenteis, copioſe multúmque de intempeſtiuitate caſus conqueſta eſt, quòd aut antè aut poſt nuptias obeunda mors fuiſſet, & nobis in quanta calamitate verſaremur demonſtrauit. Vix igitur expectata ſeptima die, qua nos cœnam ſepulcralem obiremus, ipſa cùm anu nugatrice auia ſua mulare iugum conſcendens, pleno hominum foro cunctis inſignibus pompam recta ad armatos duxit. Sequenti enim ſeptimo die coronabitur etiam & turrifera, quemadmodum Cybele circumibit. His quidem nobis alia nulla fit iniuria, quam quòd perſpicuum euaſit, nos cognatos vacantes omni ſenſu habere. Qui vero iniuria afficitur, is eſt Harmonius Thyrori patet, vt quidem diceret Sappho, reliquis rebus ſapiens & moderatus homo, ſua ætate. At cum Cecrope pro generis dignitate perpetuum certamen habuit. Huius plusquàm Cecropis neptem patruus Herodes & Thyroius, Soſiis & Tybiis elocauerunt, niſi quid dicunt, qui maternum ſponſi genus nobis iactitant, ſtirpémque eius à nobili Laide deducunt. Lais enim vt iam orator quidam dixit. Mancipium erat in viliſſimis emptoin è Sicilia. Vnde illa formoſæ pulchræque ſobolis mater, quæ nobis clarum iſtum & nobilem virum genuit, eadémque ſcortum quondam egit. Naucleri domini ſui. Deinde oratoris & huius domini. Tum poſt hos conſerui ſui, & clam ciuitatis. Poſtea propalam & apertè totius ciuitatis, eámque artem profeſſa eſt, à qua cùm propter contractas rugas deſiſteret, puellas maturas ad eam rem erudiuit, ac peregrinis proſtituit. Filius enim orator ſe non teneri lege dixit, vt matrem aleret meretricem. Apage legem. Qui enim ſic nati ſunt, hi matrem quidem habent certiſſimam. De altero verò parente dubium eſt. Quantum igitur vtriſque ab his qui legitimè nati ſunt debetur, id omne conferri in matres ab his qui patres non haberent oportebat.

Eidem.

CVm à Bendidio tempore matutino ante crepuſculum ſoluiſſemus, vix poſt meridiem pharium ſcopulum prætervecti ſumus, bis ter ve. naui in portus ſolo detenta. Continuò igitur id quoque peſſimum auſpicium videbatur, & ſapientis erat è primo ſtatim curſu non fortunato nauem relinquere, verùm apud vos timiditatis reos fieri pudebat, & ob eam cauſſam non licebat amplius fugere, neque reuerti vt ſi quid nobis aduerſi accidiſſet, nos exitij noſtri culpa referenda fuiſſet.. Verùm, quid mali erat vos ridere, dummodo nos extra periculum conſtituti eſſemus. Sed Epimetheo dicitur non licuiſſe curam adhibere, pœnitere verò licuiſſe, quemadmodum nobis. Etenim cùm tum ſalui eſſe

pollemus,

poſſumus, nunc in deſertis littoribus: cum luctu & planctibus commoramur, & quoad poſſumus oculos ad Alexandriam conuertimus atque ad matrem Cyrenen, quarum alteram cùm teneremus reliquimus, alteram aſſequi non poſſumus, viſis toleratiſque qualia ne inſomnia quidem ſperare potuiſſemus. Auſculta enim, ne tu quoque ſolida lætitia fruaris & primùm quemadmodum nauis apparatus & directis nobis ceſſerit. Nauclerus enim quòd eſſet grandi ære alieno implicitus, ipſe mortem vltrò cupiebat. Cùm autem in vniuerſum eſſent duodecim nautæ: (Gubernator enim decimustertius erat:) vltra dimidiam partem cum ipſo gubernatore iudæi erant, gens perfida, quæque ſe Deo gratum facere perſuaſum habet, ſi quàm plurimos Græcos neci exitióque tradant. Reliquum conſtabat ex gregariis hominibus, agricolis quique ſuperiore anno remum nondum attigerant. Commune autem erat tam his quàm illis, vt omninò ſinguli corporis aliqua ſaltem parte mutilati eſſent. Itaque cùm nihil periculi immineret, iocos agitabant, ſéque inuicem non ſuis nominibus appellabant: ſed ex infortunio nomen omnibus imponebant. Claudus Herinioſus, Scæuola, Strabus, quilibet vnum quoddam ſignum habebat. Idque non iniucundum nobis ad perdendum tempus fuit. In neceſſitate verò cònſtitutis, non riſum amplius hæc cierũt, ſed iiſdem de his auditis lachrymas profudimus. Eramus in naui plures quinquaginta, & tertia pars maximè mulieres, plures adoleſcentulæ, & formis egregiis. Sed abſit inuidia. Nam tegmen quoddam in medio ſuſpenſum nos ſeparabat, idque firmiſſimum, non alicuius lacerati corruptique veli fragmentum, equidem hominibus modeſtis mœnia Semiramidis. Fortè Priapus ipſe ſibi temperaſſet, ſi cum Amaranto nauigaſſet. Adeò non otium nobis conceſſit, quod extremum periculum ſemper timeret, qui primum, cùm Neptuni apud vos templum præterlegiſſemus, totis velis rectà ad Taphoſiridem contendere voluit, Scyllámque tentauit, quam in libris fugimus ac deteſtamur. Nobis aſſentientibus: nec priuſquam præſens malum ob oculos cerneremus vociferantibus cum vix tandem ſummo conatu euaſiſſet, deſiit vlterius nauem cum ſcopulis conferere. Inde tanquam è pœnitudine nauem auerſam, in pelagus abduxit. Interea quantum poteſt fluctibus reluctatur. Deinde Notus irruit vehemens qui ſtatim è terræ conſpectu nos abripuit. Repentè verò cum onerariis nauibus eramus, quæ velis æquor verrebant, quibus nihil erat curæ noſtra Lybia. ſed aliud iter inſtituerant. Hic nos conqueri & tam procul à terra nos diſtractos eſſe, acerbè ferre, contrà Iapetus Aramantus, ſtans in antennis diriſſimas imprecationes Tragico tumultu vociferari. Nos enim non metuimus, inquit. At vobiſcum quemadmodum agendum ſit, non intelligo, qui mare terrámque ſuſpectam habeatis. Non mehercle inquam bone Aramante, ſi quis eis rectè commodéque vteretur. Nobis verò nihil opus erat Taphoſiride vita opus erat. Et nunc quid eſt opus, pelago. Sed naui-

ὀξὺ σώζεσθαι, νῦν πρὸς ἐρήμοις ἀκταῖς συναυλίαν ὀλοφυρόμεθα, καὶ πρὸς Ἀλεξάνδρειαν ὁρῶντες, ὡς οἷόν τε, καὶ τὴν μητέρα Κυρήνην· ἣν μὲν, ἔχοντες ἀπολίπομεν· τὴν δὲ, εὑρεῖν οὐ δυνάμεθα, ἰδόντες τε καὶ παθόντες, ἃ μηδὲ ὄναρ ἠλπίσαμεν. ἄκουε γὰρ, ἵνα μηδὲ σὺ πάνυ χαίρων σχολάζῃς· καὶ πρῶτον ὅπως ἡμῖν εἶχε τὰ τοῦ πληρώματος· ὁ μὲν ναύκληρος ἐθανάτα κατὰ χρέους. ναῦται δὲ ἦσαν δυοκαίδεκα τὰ πάντα, τρισκαιδέκατος γὰρ ὁ κυβερνήτης ἦν, ὑπὲρ ἥμισυ μὲν καὶ ὁ κυβερνήτης, ἦσαν Ἰουδαῖοι. γένος ἔκσπονδον καὶ δυσσεβὲς ἀναπεπεισμένον, ἦν ὅτι πλείστους ἄνδρας Ἕλληνας ἀποθανεῖν αἴτιοι γένωνται. τὸ δὲ λοιπὸν, ἀγελαῖοι· γεωργοί. πέρυσιν οὔπω κώπης ἡμμένοι. κοινῇ δὲ οὖν ἐπὶ κακοῖς, πεπηρωμένοι πάντες ἦν γέ τι μέρος τοῦ σώματος. τοιγαροῦν ὡς οὐδὲν δεινὸν ἦν ἡμῖν, ἐσκώπτοντο· καὶ ἐκάλουν ἀλλήλους, οὐκ ἀπὸ τῶν ὀνομάτων· ἀλλ᾽ ἀπὸ τῶν ἀτυχημάτων· ὁ χωλός. ὁ κηλήτης. ὁ ἀριστερόχειρ. ὁ παράβλωψ· ἕκαστος ἦν γέ τι εἶχε τοὐπίσημον. καὶ ἡμῖν τὸ τοιοῦτον, οὐ μετρίαν παρεῖχε τὴν διατριβήν. ἐν τῇ χρείᾳ δὲ, οὐκ ἔτι γέλως ἦν, ἀλλ᾽ ἐπὶ τούτοις αὐτοῖς ἀποιμώζομεν, ὄντες ἐπιβάται πλεῖν, ἢ πεντήκοντα, τριμοιρίαν που μάλιστα γυναῖκες. αἱ πλείους νέαι καὶ ἀγαθαὶ τὰς ὄψεις. ἀλλὰ μὴ φθόνει. παραπέτασμα γὰρ ἡμᾶς ἀπετείχιζε. καὶ τοῦτο ἐρρωμενέστατον οὐ πάλαι δὲ ἐρρωγότος ἱστίου τμημάτιον. σωφρονοῦσιν ἀνθρώποις τὸ τεῖχος τὸ Σεμιράμιδος. ἴσως δὲ κἂν ὁ Πρίαπος ἐσωφρόνησεν, Ἀμαράντῳ συμπλέων. ὡς οὐκ ἔστιν ὅ τι σχολάζειν ἡμᾶς εἴασεν, ἀπὸ τοῦ δεδιέναι τὸν ἔσχατον κίνδυνον· ὅστις πρῶτον μὲν ἐπειδὴ τὸν παρ᾽ ὑμῖν τοῦ Ποσειδῶνος νεὼν κατεκάμψαμεν, ἄρας ὅλοις ἱστίοις ἠξίου πλεῖν εὐθὺ Ταποσίριδος, καὶ ἀπεπειρᾶτο τῆς Σκύλλης, ἣν ἐν τοῖς γραμματίοις ἀποτροπιαζόμεθα. συνεγνωκότων δὲ ἡμῶν καὶ ἀνακεκραγότων οὐ πρὶν, ἢ ἐν χρῷ γενέσθαι τοῦ κινδύνου, μόλις ἐκβιασθεὶς, ἀπέστη τοῦ διαναυμαχῆσαι πρὸς τὰς σπιλάδας. ἐντεῦθεν ὥσπερ ἐκ μετανοίας ἀποστρέψας τὴν ναῦν, ἐπαφίησι τῷ πελάγει. τέως μὲν ὡς ἐδύνατο καὶ πρὸς κῦμα παραβαλλόμενος. ἔπειτα δὲ καὶ νότος συνεπιλαμβάνει λαμπρός· ὑφ᾽ οὗ ταχὺ μὲν τὴν γῆν ἀπεκρύπτομεν. ταχὺ δὲ μετὰ τῶν ὁλκάδων ἦμεν τῶν διαρμενίων. αἷς οὐδὲν ἔδει Λιβύης τῆς καθ᾽ ἡμᾶς. ἀλλὰ πλοῦν ἕτερον ἔπλεον. σχετλιαζόντων δὲ ἡμῶν καὶ ἐν δεινῷ ποιουμένων τὸ ἀπηρτῆσθαι τοσοῦτον τῆς γῆς, ὁ Ἰαπετὸς Ἀμάραντος, ἐπὶ τῶν ἰκρίων ἑστὼς, ἐτραγῴδει τὰς παλαμναιοτάτας ἀράς· οὐ γὰρ δὴ πτησσόμεθα ἔφη. ὑμῖν δὲ πῶς ἄν τις καὶ χρήσαιτο, οἳ καὶ τὴν γῆν καὶ τὴν θάλατταν ὑποπτεύετε. οὐκ, ἦν γέ τις αὐταῖς χρῷτο καλῶς, ὦ λῷστε Ἀμάραντε πρὸς αὐτὸν ἔφην. ἡμῖν δὲ οὐδὲ Ταποσίριδος ἔδει. ζῆν γὰρ ἔδει. καὶ νῦν τοῦ πελάγους τί δεῖ. ἀλλὰ πλέω-

μὲν ὅλον εὐθὺ Πενταπόλεως, ἀπέχοντες τῆς γῆς ὅσον μέτριον· ἵν' εἴ τι καὶ χαλεπόν, οἷα δὴ τὰ θαλάττης, ἄδηλον δὲ δήπου καὶ ἔστι καὶ παρ' ὑμῖν λέγεται, λιμήν τις ἡμᾶς ἐκ τοῦ σχεδὸν ὑποδέξοιτο. οὔκουν ἔπειθον λέγων. ἀλλ' ἐξεκώφει τὸ κάθαρμα, ἕως ἄνεμος ἀπαρκτίας ἐπεγέρσει πολὺ, κῦμα ἐλαύνων ὑψηλὸν καὶ τραχύ. ὁ δὲ ἄφνω προσπεσὼν τὸ ἱστίον ἔμπαλιν ὤθησε. καὶ τὰ κυρτὰ κοῖλα πεποίηκεν. ἡ δὲ ναῦς ἐγγὺς ἦλθεν ἐπὶ πρύμναν ἀνατετράφθαι. μόλις δ' οὖν αὐτὴν κατεστήσαμεν. καὶ ὁ βαρύστονος Ἀμάραντος, τοιοῦτον ἔφη τὸ τέχνῃ ναυτίλλεσθαι. προσδέχεσθαι γὰρ αὐτὸς τὸν ἐκ πελάγους ἄνεμον· καὶ διὰ τοῦτο μετέωρος πλεῖν. κατιέναι γὰρ νῦν ἐγκάρσιον, ἐνδιδόντος τοῦ διαστήματος προσστῆναι τῷ μήκει· τοῦτον δὲ εἶναι τὸν πλοῦν τὸν ἡμέτερον. οὐκ ἄν, εἴγε παρά τινας ἀκτὰς ἐπλέομεν. προσαναπεπλάσθαι γὰρ ἐν τῇ γῇ. καὶ ἡμεῖς ἀπεδεχόμεθα λέγοντος ἕως ἡμέρα τε ἦν· καὶ τὰ δεινὰ οὔπω παρῆν· ἤρξατο γὰρ δὴ μετὰ τῆς νυκτός, ἀεὶ προϊόντος ἐπὶ μεῖζον τοῦ κλύδωνος. ἡμέρα μὲν οὖν ἦν, ἣν ἄγουσιν οἱ Ἰουδαῖοι παρασκευήν· τὴν δὲ νύκτα, τῇ μετ' αὐτὴν ἡμέρᾳ λογίζονται, καθ' ἣν οὐδενὶ θέμις ἐστὶν ἐνεργὸν ἔχειν τὴν χεῖρα. ἀλλὰ τιμῶντες διαφερόντως αὐτὴν ἄγουσιν ἀπραξίαν. μεθῆκεν οὖν ἐκ τῶν χειρῶν ὁ κυβερνήτης τὸ πηδάλιον, ἐπειδὴ τὸν ἥλιον εἴκασεν ἀπολελοιπέναι τὴν γῆν. καὶ καταβαλὼν ἑαυτὸν πατεῖν παρεῖχε, τῷ θέλοντι ναυτίλων. ἡμεῖς δὲ τὴν μὲν οὖσαν αἰτίαν, οὐκ εὐθὺς ἐπὶ νοῦν ἐβαλόμεθα. ἀπόγνωσιν δὲ τὸ πρᾶγμα οἰόμενοι, προσῄειμεν. ἐλιπαροῦμεν μὴ καταπροέσθαι μηδέπω τὰς ἐσχάτας ἐλπίδας. καὶ γὰρ δὴ καὶ ἐπεῖχον αἱ τρικυμίαι τοῦ πελάγους καὶ πρὸς ἑαυτὸ στασιάσαντος. γίνεται δὲ τὸ τοιοῦτον, ὅταν μὴ τῷ λήξαντι πνεύματι καὶ τὰ παρ' ἑαυτοῦ συναναπαύσηται κύματα. ἀλλ' ἰσχύον ἔχον τὸ ἐνδόσιμον τῆς κινήσεως, ὑπαντιάζῃ τῇ τοῦ πνεύματος ἐπικρατίᾳ, καὶ ἀντεμβάλλῃ ταῖς ἐμβολαῖς. ἔδει γάρ μοι καὶ φλεγμαινόντων ὀνομάτων, ἵνα μὴ τὰ μεγάλα κακὰ, μικροπρεπέστερον διηγήσωμαι. τοῖς οὖν ἐν τῷ τοιῷδε πλέουσιν, ἀπὸ λεπτοῦ φασί μού του τὸ ζῆν ἠρτῆσθαι. εἰ δὲ καὶ ὁ κυβερνήτης νομοδιδάσκαλος εἴη, τίνα δεῖ ψυχὴν ἔχειν. ἐπεὶ δ' οὖν συνήκαμεν τίνος ἕνεκα τῆς ἀπολείψεως τῶν πηδαλίων, δεομένων γὰρ ἡμῶν σώζειν ἐκ τῶν ἐνόντων τὴν ναῦν, τὸ βιβλίον ὑπανεγίνωσκε, πειθοῖς ἀπογνόντες, ἀνάγκην ἤδη προσήγομεν. καί τις στρατιώτης γεννάδας, συμπλέουσι δὲ ἡμῖν Ἀράβιοι συχνοὶ τῶν ἀπὸ τοῦ τάγματος τῶν ἱππέων, τὸ ξίφος ἀνασπασάμενος, ἠπείλησεν αὐτῷ τὴν κεφαλὴν ἀποκόψειν, εἰ μὴ ἀντιλήψοιτο τοῦ σκάφους. ὁ δὲ αὐτόχρημα Μακκαβαῖος, οἷος ἦν ἐγκαρτερῆσαι τῷ δόγματι. μεσούσης δὲ ἤδη τῆς νυκτός, ἀναπείθεται παρ' ἑαυτοῦ πρὸς τῇ καθέδρᾳ γενέσθαι. νῦν γάρ φησιν ὁ νόμος ἐφίησιν, ἐπειδὴ νῦν σαφῶς τὸν ὑπὲρ ψυχῆς θέομεν. πρὸς τοῦτο αἶρε-

gemus inquam recta verſus Pentapolim, & terram mediocri ſemper ſpacio relinquamus, vt ſi quis aduerſus caſus incidat, quod ferè ſolet in mari fieri cum id clam ſit omnibus, & à nobis quoque ignorari dicatur portus nos aliquis è propinquo accipiat. His verbis nihil equidem profeci, ſed obſurduit labes, donec Septentrio ventus magna vi impeteret & ſublimes aſperáſque fluctuum procellas tolleret. Ibi tum hic repentè aſſiliens, velum rurſus abiecit & incuruata in ſublime ſuſtulit. Nauis verò non procul aberat, quin in puppim euerteretur. Magno tamen labore vix eam retinuimus. Hic raucus Amarantus, ſi arte nauem agi dicebat. Etenim é pelago ſeſe ventum expectare, & ob eam cauſſam in alto ferri, nunc enim obliquo curſu deſcendere, & interuallo cedente, longitudinem conficere. Hunc verò noſtrum eſſe curſum non ſi ſecundùm littora nauim duceremus. Sic enim immergi terræ atque in luto hærere. Nos verò orationem eius accipiebamus donec luceret. Neque adhuc pericula præſtò erant. Cum nocte enim initium ceperunt tempeſtate ſemper. magis magíſque ingraueſcente. Dies igitur erat, quo Iudæi ſuæ Paraſceues ſolennitatem obeunt. Noctem verò, ſequenti ipſam die ponderant, qua nulli fas eſt, operi faciundo manum admouere: ſed eam ſumma religione celebrant, otiúmque agunt. Abiecit itaque gubernaculum è manibus gubernator, poſtquam ſolem à terra receſſiſſe putabat, ſeſéque peſſundandum nautis qui vellent præbuit. Nobis à principio vera cauſſa non in mentem veniebat, ſed eum deſperaſſe rei arbitrantes accedimus, obteſtamur, ne ſpem vltimam deſerat. Imminebant enim procellæ maris, quod iam ſecum ipſum luctabatur. Hoc autem fieri ſolet, cùm ceſſante vento, non ſimul ſtatim fluctus ab illo iactati conſident & quieſcunt, ſed vehementi vi motu obuiam eunt ſæuitiæ venti, & aduerſis impreſſionibus repugnant. Certè tumentibus etiam vocabulis vti me decebat, ne grandes res & arduas, minus dignis oratione narrarem. Eorum igitur qui in eiuſmodi nauigationem incidunt, vitam tenui filo ſuſpenſam dicunt. Si verò gubernator legis etiam doctor ſit, quo tandem animo vtendum eſt. Poſtquam igitur intellectum eſt à nobis, ob quam cauſſam gubernaculum reliquiſſet: (cùm enim nos enixe rogaremus, vt ſalutem nauis quibus poſſet adiumentis tueretur, librum ipſe tacitus legebat:) deſperata perſuaſione, vim adhibere cepimus. Et miles quidam generoſus: (Nauigant enim Arrhabij nobiſcum complures de turmis equitum:) ſtricto gladio minabatur ſe caput homini deſecturum, niſi ad defendendam nauem accederet. Ille verò prorſus Macchabæus, in legendo perſeuerare non dubitabat. Cùm iam ad medium noctis res eſſet extracta, voluntarius rogatus à nemine ſedem occupat. Nunc enim inquit lex dat poteſtatem quoniam iam manifeſtò anima ac ſalus agitur. Ad hanc vocem

exortus

exortus à principio tumultus, virorum gemitus, mulierum vlulatus. Omnes Deum inuocare, venerari, chariſſimorum quorúmque mentionem facere. Solus Aramantus hilaris eſſe, quòd ſtatim ſuis creditoribus ſatisfactum iri putaret. Me verò in periculo conſtitutum: (Iuro tibi per Deum quem philoſophia profitetur:) Homericum illud ſuſpenſum tenebat ac perturbabat maximè, congrueret ne cum veritate, mortem aqua conſcitam, etiam ipſius animi interitum eſſe. Dicit in ſuis carminibus alibi.

Αἴας δ' ἐξαπόλωλεν, ἐπεὶ πίεν ἁλμυρὸν ὕδωρ.

Aiax interiit, poſtquam ſalſas bibit vndas.

Mortem quæ mari affertur, extremum interitum eſſe confirmans. Neminem enim alium interiſſe dicit. Sed vnuſquiſque ἀποθνήσκων ἄϊδος δὲ βέβηκεν, mortuus iuit ad Orcum. Tum etiam duobus mortuis paruus. Aiax nuſquam in Dramate introducitur, quin eius anima oſtendatur in inferno agere. Et Achilles cordatiſſimus atque fortiſſimus in adeundis periculis heros ad mortem aquis oblatam horreſcit, eamque perniciosam & triſtem appellat. Dum has cogitationes animo voluo milites omnes euaginatis gladiis video, & ab his audiens diſcebam, quàm eſſet pulchrum & iucundum, in strato iacentem adhuc, animam in auras expirare, non in fluctus exhalare. Hos natos Homeridas putabam ac dogmati fidem tribuebam. Inde proclamabatur, vt quibus aurũ eſſet, illud ſuſpenderentur. Et quibus erat alligabatur, & aurũ & quicquid auro dignũ eſſet. Et mulieres ipſæ quoq; inſtruebantur, & funes his qui indigerent diuidebant, quibus iam antea conſtiterat hoc faciendum eſſe. Res autem eſt eiuſmodi ſepulcralem mercedem ferunt, qui naufragio mortui ſunt. Qui enim in corpus inciderit & lucrum abſtulerit, is Nemeſis legibus obnoxius erit, niſi partem exiguam dederit ei, qui plurimum largitus eſt. Atque illi hæc agebant. Ego autem aſſidens ad infeſtum marſupium hoſpitis, lugebam (nouit Iuppiter, hoſpitalis) non quòd mors ob oculos verſaretur, ſed quòd Thrax pecuniis fraudandus eſſet, quẽ mortuus etiam revererer. Ibi tum interire in lucro ducebam, ſimúlque perire & vnà aufugere ſenſum. Quòd verò periculum ante pedes obiiceret, non erat aliud, quàm quòd velis paſſis & vniuerſis nauis ferretur, ſuccidere verò non liceret. Nam ſæpè funiculos aggreſſi, rotarum morſibus depellebamur. Nec leuior nobis terror fuit, etiamſi tempeſtatem euaſiſſemus, ſic noctu ad terram appropinquare & appellere. Sed præuertit dies, ſoléinque ita cupidè vt nunquam videmus, ventúſque mitigatur creſcente tepore, & ros exurgens facultatem ruſſus vtendi rudentibus ſuppeditabat & vela colligendi. Mutare igitur velum alterum nothum non poteramus, quoniam oppigneratum erat. Collegimus autem ipſum perinde atque ſinus veſtrum. Et ante quatuor horas exactas appellimus, qui paulò antè certiſſimã mortem expectaueramus. in remotiſſima quadam ſolitudine, quæ nec vrbem, nec agrũ vicinum habebat.

ταῖς θόρυβος ἐξ ἀρχῆς. ἀνδρῶν οἰμωγή. γυναικῶν ὀλολυγή. ἅπαντες ἐθεοκλύτουν. ἐποτνιῶντο. τῶν φιλτάτων ὑπεμιμνήσκοντο. μόνος Ἀμάραντος εὔθυμος ἦν, ὡς αὐτίκα ἀποδράσων τοὺς δανειστάς. ἐμὲ δὲ ἐν τοῖς δεινοῖς, ὄμνυμί σοι θεὸν ὃν φιλοσοφία πρεσβεύει, τὸ ὁμηρικὸν ἐθορύβει ἐκεῖνο, μὴ ἄρα ἀληθὲς ᾖ, τὸν καθ' ὕδατος θάνατον, ὄλεθρον εἶναι καὶ αὐτῆς τῆς ψυχῆς. λέγει γὰρ ἐπί που τῶν ἐπῶν,

Αἴας δ' ἐξαπόλωλεν, ἐπεὶ πίεν ἁλμυρὸν ὕδωρ,

τὸν ἐν θαλάττῃ θάνατον ἀκριβεστάτην ἀπώλειαν εἶναι, τιθέμενος. οὐδένα γὰρ ἄλλον ἀπολωλέναι φησὶν ἀλλ' ἕκαστος ἀποθνήσκων, ἄϊδος δὲ βέβηκε. ταῦτ' ἄρα καὶ ἐν δυσὶ νεκυίαιν Ὁμήρῳ οὐδαμοῦ τοῦ δράματος εἰσενήνεκται, ὡς τῆς ψυχῆς οὐκ οὔσης ἐν ᾅδου. καὶ Ἀχιλλεύς, ἀνὴρ εὐψυχότατός τε καὶ φιλοκινδυνότατος, ἀποδειλιᾷ πρὸς τὸν ἐν ὕδατι θάνατον, ὅν γε καὶ λευγαλέον καλεῖ. τούτοις ἐλαύνων τοὺς λογισμούς, ὁρῶ τοὺς στρατιώτας ἅπαντας, ἐσπασμένους μαχαίρας. καὶ πυθόμενος, ἐμάνθανον παρ' αὐτῶν, ὡς καλὸν ἐπὶ τοῦ καταστρώματος ὄντας ἔτι, πρὸς τὸν ἀέρα τὴν ψυχὴν ἐρυγεῖν, ἀλλὰ μὴ πρὸς κῦμα χανόντας· τούτους αὐτοφυεῖς Ὁμηρίδας ἐνόμιζον καὶ ἐθέμην τῷ δόγματι. ἔνθεν κηρύττει τις ἐξαρτᾶσθαι χρυσίον οἷς ἐστι. καὶ οἷς ἦν ἐξήρτηντο καὶ χρυσίον, καὶ ὅτι ἄξιον χρυσίου. καὶ αἱ γυναῖκες αὐταί τε ἐσκευάζοντο, καὶ τοῖς δεομένοις ἀρτηδόνας διένεμον. πάλαι καταδεδειγμένον τοῦτο ποιεῖν. λόγον δὲ ἔχει τοιοῦτον. φέρειν δεῖ τιμὴν ἐντάφιον τὸν ἐκ ναυαγίου νεκρόν. ὁ γὰρ προστυχὼν καὶ κερδάνας, νόμους Ἀδραστείας αἰδέσεται, μὴ οὐχὶ μικρόν τι μέρος ἀποδάσασθαι τῷ χαρισαμένῳ τὸ πολλαπλάσιον· καὶ οἱ μὲν ἦσαν περὶ τούτοις· ἐγὼ δὲ παρακαθήμενος τὸ παλαμναῖον βαλάντιον τὴν παρακαταθήκην τοῦ ξένου, ἔκλαιον ὡς οἶδεν ὁ ξένιος, οὐχ εἰ τεθνηξοίμην ἀλλ' εἰ ὁ Θρᾷξ ἀποστερήσοιτο. τῶν χρημάτων ἕνεκεν. ὃν καὶ ἀποθανὼν αἰσχυνοίμην. ἐνταῦθα μέν γε τὸ ἐξαπολωλέναι κέρδος ἦν· καὶ συναπολωλέναι. καὶ συναποδράναι τὴν αἴσθησιν. ὃ δὲ ἐπῄει πρὸ ποδῶν τὸν κίνδυνον, οὐχ ἕτερον ἦν. ἀλλ' ἐπὶ πᾶσιν ἱστίοις ἡ ναῦς ἐφέρετο. ὑποτεμέσθαι δὲ οὐχ ἦν. ἀλλὰ πολλάκις ἐπιχειρήσαντες τοῖς κάλωσιν, ἀπηγορεύκειμεν, τῶν τροχιλιῶν ἐνδακόντων. καὶ ὑφωρώμεθα δέος οὐκ ἔλαττον, εἰ καὶ διεκφευξοίμεθα ἐκ τοῦ κλύδωνος, οὕτως ἔχοντας ἐν νυκτὶ πελάζειν τῇ γῇ· φθάνει δὲ ἡμέρα. καὶ ὁρῶμεν τὸν ἥλιον, ὡς οὐκ οἶδ' εἴποτε ἥδιον· τό,τε πνεῦμα ῥᾷον ἐγένετο τῆς ἀλέας ἐπιδιδούσης. καὶ ἰκμάδος ἐξισταμένης, παρεῖχεν ἡμῖν καὶ χρῆσθαι τοῖς κάλωσι, καὶ τὸ ἱστίον μεταχειρίζεσθαι. ὑπαλλάττειν μὲν οὐδ' ἱστίον ἕτερον ὅθεν οὐκ εἴχομεν. ἐνεχυρίαστο γάρ. ἀναλαμβανόμεθα δὲ αὐτὸ καθάπερ τῶν χιτώνων τοὺς κόλπους. καὶ πρὶν ὥρας εἶναι τέτταρας, ἀποβαίνομεν οἱ τεθνάναι προσδοκήσαντες, ἐν ἐσχατιᾷ τινὶ πανερήμῳ· καὶ οὔτε πόλιν οὔτε ἀγρὸν ἐχούσῃ γείτονα,

σταδίοις ἑκατόν που πρὸς τοῖς τριάκοντα κατόπιν ἀγροῦ· ἡ μὲν οὖν ναῦς, ἐσάλευεν ἐπὶ μετεώρου. λιμένα γὰρ ὁ τόπος οὐκ εἶχε· καὶ ἐσάλευεν ἐπ' ἀγκύρας μιᾶς. ἡ ἑτέρα δὲ ἀπημπόλητο. τρίτην γὰρ ἄγκυραν Ἀμάραντος οὐκ ἐκέκτητο. ἡμεῖς δὲ ἐπειδὴ τῆς φιλτάτης ἡψάμεθα γῆς, περιεβάλλομεν, ὥσπερ ἔμψυχον οὖσαν μητέρα. καὶ ἀποθύσαντες ὕμνους τῷ θεῷ χαριστηρίους ὥσπερ εἰώθειμεν, προσεθήκαμεν αὐτοῖς καὶ τὴν ἔναγχος τύχην, ὑφ' ἧς παραδόξως ἐσώθημεν. δύο ἑξῆς ἐπιμείναντες ἡμέρας, ἕως αὖ ἀφυβρίσῃ τὸ πέλαγος. ἐπεὶ δὲ ἄπορον ἦν ὁδῷ χρήσασθαι, μηδενὸς αὐθεκτῶν ὀρχομένου, πάλιν ἐπετολμήσαμεν τῇ θαλάσσῃ· καὶ ἄραντες εὐθὺς ἀρχομένης ἡμέρας, ἐπλέομεν ἐκ πρύμνης ἀνέμῳ πᾶσαν αὐτὴν καὶ τὴν ἐπιγινομένην ἡμέραν· ἧς ἤδη ληγούσης, τὸ πνεῦμα ἀπέλιπεν ἡμᾶς καὶ ἡμεῖς ἠνιάθημεν. ἐμέλλομεν δὲ ἄρα ποθήσειν γαλήνην. ἦν μὲν οὖν τετρὰς καὶ δεκάτη φθίνοντος. ἐπηωρημένου δὲ τοσούτου κινδύνου, μελλούσης εἰς ταυτὸ συνδραμεῖσθαι τῆς τε συνόδου τῶν ἄστρων καὶ τῶν πολυθρυλλήτων τυχαίων, ἃ μηδεὶς φασὶ πλέων ἐθάρσησε, καὶ δέον ἡμᾶς ἐλλιμενίζειν, οἱ δ' ἐλελήθειμεν αὖθις ἀναδεδραμηκότες ἐπὶ τὸ πέλαγος. ἡ δὲ στάσις, ἤρξατο μὲν ἀπὸ τῶν ἀρκτικῶν πνευμάτων καὶ ὗσέ γε πολλὰ κατὰ τὴν συνοδικὴν νύκτα. ἔπειτα ἡ κόσμιαι τὰ πνεύματα. καὶ ἡ θάλασσα κυκεὼν ἐγεγόνει. τὰ δὲ περὶ ἡμᾶς, οἷα εἰκὸς ἦν ἐν τοῖς τοιούτοις, ἵνα μὴ πάθη παραπλήσια δὶς ἀφηγώμεθα ἐν οἷς ἦν, ὤνησέ τι τὸ μέγεθος τοῦ χειμῶνος· τὸ κέρας ἐπτερίγει· καὶ ἡμεῖς ᾠόμεθα προστονίζειν τὴν ναῦν· εἶτα καταπαγὸς μέσον ἐγγὺς μὲν ἦλθεν ἀπολέσαι πάντας ἡμᾶς. ἐπεὶ δ' οὐκ ἀπολώλεκεν, αὐτὸ δὴ τοῦτο καὶ περιέσωσεν. οὐ γὰρ ἦν ἄλλως ἐνεγκεῖν τὴν βίαν τοῦ πνεύματος· πάλιν δὲ δυσπειθὲς ἦν τὸ ἱστίον· καὶ οὐκ εὔτροχον εἰς καθαίρεσιν. οὕτως οὖν παραδόξως ὑποφορησάμενοι τὴν ἀπληστίαν τῆς βιαίας φορᾶς, ἡμέραν ἑξῆς καὶ νύκτα ἠνέχθημεν· ὡς ἤδη περὶ δευτέραν οὔσης ὀρνίθων ᾠδήν, ἐλάθομεν ἐγχρίψαντες ἀκαρῆ, πέτρᾳ προβεβλημένῃ τῆς γῆς, ὅσον εἶναι βραχεῖαν χερρόνησον. βοῆς δὲ γενομένης, ἐπειδή τις προσηγόρευσεν αὐτῇ γῇ πελάσαι, θροῦς ἤρθη πολύς· καὶ ἥκιστα ξύμφωνος· τῶν μὲν ναυτῶν πεφρικότων, ἡμῶν δ' ἐξ ἀπειρίας τὸ χαῖρε ἐπικεκρατηκότων καὶ περιβαλλόντων ἀλλήλους, οὐκ ἐχόντων ὅπως χρησόμεθα τῷ πλήθει τῆς χαρᾶς. ἐλέγετο δὲ ὁ μέγιστος αὐτὸς εἶναι τῶν περιστάντων ἡμᾶς κινδύνων· ἤδη δὲ ὑποφαινομένης ἡμέρας, καταστείει τις αἰθέριος χωρικῶς ἐσταλμένος, καὶ δείκνυσι τῇ χειρὶ τόπους ὑπόπτους, καὶ ἑτέρους οἷς ἔδει θαρρῆσαι· καὶ τέλος μόνος ἦλθεν ἐπὶ κελητίου δισκάλμου. ὅπερ ἐξάψας τοῦ πλοίου, μεταχειρίζεται τὸ πηδάλιον. ὁ δὲ σύρος, ἄσμενος ἐξίστη τῆς προεδρίας, ἀναλύσας δὲ σταδίοις οὐ πλείοσιν ἢ πεντήκοντα, τὴν ναῦν ἐνορμίζει λιμενίσκῳ χαρίεντι· Ἀζάριον οἶμαι καλοῦσιν αὐ-

Poſt eam ager ad ſtadia centum & triginta. Nauis igitur in alto fluctuabat. Nam portu locus carebat & fluctuabat vna nixa anchora. Nam altera venierat. Tertiam enim Amarantus nullam habuerat. Nos autem poſtquam optatiſſimam terram attigiſſemus, quaſi matrem viuam eam amplexibus circumdedimus, Hymnóſque Deo gratulatorios pro conſuetudine noſtra litantes, recentem etiam fortunam eis adiecimus, è qua præter ſpem & expectationem ſeruati eramus. Ibi duos continuos dies commorati, donec pelagus omni tempeſtate compoſita, efferbuiſſet, cúmque pedeſtri viæ vt non daretur, rurſus nos mari commiſimus, ſtatimque cùm luxiſſet, ſoluta naui, ſecundo vento, illa & ſequenti die nauigauimus. Sub cuius veſperam nos ventus deſeruit, quæ res magno mœrori nobis fuit. Et tranquillitatem deſideraturi eramus. Erat autem decimaoctaua dies. Cùm igitur tantum periculum conflaretur, & concurſura viderentur aſtra cum Tychæis celeberrimis fama, quæ nemo nauigat non metuit, cúmque nauis eſſet in portum ſubducenda, neſcientes imprudentéſque in pelagus recidimus. Hic tumultus à Septentrionalibus ventis incepit, multúmque pluit inſequenti nocte. Deinde graſſabantur venti, & mare ex omnibus partibus concitabatur. Nos verò quemadmodum veriſimile eſt in eiuſmodi re fieri, ne bis eandem ſimiléimque fortunam in qua fuerim exponamus, magnitudo tempeſtatis aliquantum iuuit. Cornu crepuerat, nóſque in rudentibus id accidere arbitrabamur. Deinde fracto medio, non multum aberat, quin ſimul omnes periremus. Cùm verò non periſſet, ipſum hoc nos ſeruauit. Nam venti vehementiam aliter ferre non potuiſſemus. Rurſus non ſatis tutum erat velum, nec volubile ſatis ad componendum. Sic igitur præter opinionem liberati violenti curſus importunitate, deinde vnum diem noctémque continuò nauigauimus, quæ cùm iam circiter ſecundum Gallinaceorum cantum eſſet, ex improuiſo leuiter in petram impegimus ita porrectam à terra, vt inſtar paruæ Cherroneſi eſſet. Clamore autem ſublato, cùm quidam diceret nos appropinquare ipſi terræ, magna vociferatio facta eſt miniméque conſonans, ſollicitis quidem nautis & formidantibus: nobis verò ex imperitia manus complodentibus, & mutuis amplexibus nos fouentibus, nec ſcientibus, quemadmodum ſatis frueremur tanto gaudij cumulo. Dicebant autem hoc maximum eſſe periculum ex omnibus quæ fuiſſemus experti. Iam verò die incipiente, vir quidam conſueto illius regionis more, ſublata manu ſuſpecta loca deſignans indicat contráque alios in quibus eſſet ſecura nauigatio, & poſtremò ſolus venit cum biremi cymba, qua è naui ſuſpenſa. ipſe gubernaculum regendũ ſuſcipit. (Syrus verò libenter è prima ſede cedebat:) confectíſque ſtadiis non plus quinquaginta, nauem in portulum amœniſſimum ſubducit. Azarium opinor appellant ipſum,

& nobis

& nobis in litus excendentibus, ipſe ſeruatoris Deique boni appellatione ſalutatus diſceſſit. Paulò pòſt aliam nauem onuſtam introduxit, iterúmque aliam ſic, vt antè quàm adueſperaſceret, quinque naues à diuino ſene ſeruatæ fuerimus, rem planè contrariam nautis faciente. Non enim eodem modo tempeſtate iactatos excepit. Poſtero verò die alij appulerunt, támque integra ac perfecta claſſis ſumus, in paruo nauali. Poſtquam verò iam eſculenta quoque conſumpta eſſent. (Etenim non aſſueti iactationibus infortunatis, neque vltra diurnum tempus in mari nos fore ſpectantes, pauca quidem impoſueramus, nec his tameo parcè vſi fueramus:) ſenex hac etiam in te remedium dedit non equidem dando largiendóve, nec enim locupleti ſimilis erat, ſed oſtenſis petris, in quibus optimum cibum reconditum latere laborare volentibus aiebat. Hinc piſcantes, iam ſeptimum diem vitam degimus, adultæ quidem ætatis viri Murænas Carabóſque capientes, adoleſcentuli verò Gobius & Iulis fortunati. At ego & Threſceuta Romanus Lepadibus veſcimur & roboramur. Lepas verò genus eſt teſtæ cauatum, quod cùm ad ſaxum ſe applicuit, mordicus illud tenet & immotum adhæret. Primùm itaque tenuiter ex piſcatione victitauimus dum quilibet, quod ceperat, ſibi retineret, neque quiſquam alteri dono daret. Nunc verò lautius & maiore copia cuius hæc eſt cauſſa. Fœminæ fœminis, lybiſſæ nauigantibus, (auium etiam lac ſi poſſent præberent) præbent quæcunque aër terráque ipſis fert, caſeos, farinam triticeam pemmata ex hordeo confecta, caroes agninas, gallinas, oua gallinacea. Iam verò quidam etiam Otidem dedit, auiculam ſupra modum elegantem, ſi quis videret, agreſtem pauonem diceret. Illæ verò munera ad nauem adferunt. Quæ cùm receperunt, communicant volentibus etiam viris. Illi verò nobis iam piſcatoria dona mittunt, veniúntque frequentes alij poſt alios, poſt virum puer, poſt puerum vir, ſemper aliquod xenium apportantes, alius captum piſcem, alius aliud quippiam omninò de eorum genere bonum aliquid & præſtans, quæ ſub petris educantur. Mihi enim certum eſt mulierum dona non accipere, etiam id tui gratia, ne qua mihi conſuetudo cum illis intercedat, & deinde, ſi cùm iureiurando ſit inficiandum, negare dubitem. Quid enim impedit, quò minùs propriis cum voluptate fruamur? Adeò multa multis è locis confluunt. Tu igitur virtute æſtimabis beneficentiam indigenarum quam in peregrinas, conferunt. Hoc autem longè diuerſum à ſuperioribus, dignum quòd narremus, præſertim verò cùm id præſens otium nobis permittat. Veneris iram, vt coniectura licet augurari, hæc regio ſubit & ſuſtinet. Nam eodem infortunio tenentur quo Lemniæ. Hæ enim inuſitatæ magnitudinis habent mammillas, & inſolitæ proportionis pectora, ſic vt infantes nō per axillam, ſed per humeros reiectam papillam ſugát, niſi quis fortè dicat Ammoné aut Ammonis terram non magis ouiū quàm puellarū excellētem

τὸ, καὶ ἡμᾶς ἐπὶ τῆς ᾐόνος ἀπεβίβασε, σωτὴρ καὶ δαίμων ἀγαθὸς ἐπικαλούμενος· καὶ μετὰ μικρὸν ἑτέραν ὁλκάδα εἰσήλασε· καὶ μάλα ἄλλην. καὶ πρὶν ἑσπέραν εἶναι, πέντε γεγόναμεν ὑπὸ τοῦ θεσπεσίου πρεσβύτου περισωθεῖσαι φορτίδες, σχεδὸν ἅμα ἐν αὐτῷ πάντα τοι τοῦ ναυπλίου πειρῶντος· καὶ γὰρ οὐχ ὁμοίως ἐκεῖνος τοὺς ἀπὸ τοῦ χειμῶνος ἐδέξατο. ἐς δὲ τὴν ὑστεραίαν, ἄλλαι κατῆραν, ὧν ἔνιαι τῇ προλαβούσῃ ἡμᾶς ἦσαν ἀπὸ Ἀλεξανδρείας ἡμέρᾳ. καὶ νῦν ἀθρόοι ἐσμὲν στόλος, ἐν λιμένι μικρῷ. ἐπεὶ δὲ ἡμῖν ἤδη καὶ τὰ ἐφόδια κατεδήδεστο, οὐ γὰρ ἔτι τις ἐθάδης ἀτυχεῖν, οὐδ' ἐλπίσαντες ὑπερημέρους γενέσθαι, μέτριά γε ἐνεθέμεθα· καὶ οὐδὲ τούτοις μετρίως ἐχρώμεθα. ὁ δὲ πρεσβύτης, καὶ τοῦτο ἰάσατο. δίδωσι μὲν οὐδέν. οὐδὲ γὰρ οὐδ' ὅμοιος ἦν ἔχοντι. δείξας δὲ πέτρας, ἐν αἷς ἄριστον ἔφη καὶ δεῖπνον ἑκάστης ἡμέρας κεκρύφθαι τοῖς βουλομένοις πονεῖν· ἐντεῦθεν ἰχθυώμενοι, ζῶμεν ἡμέραν ἑβδόμην ἤδη. οἱ μὲν ἐντελεῖς, μυραίνας τε καὶ καράβους εὐμεγέθεις ἀγρεύοντες· τὰ δὲ μειράκια, κωβιοῖς εὐτυχεῖς καὶ ἰουλίσιν· ἐγὼ δὲ καὶ ὁ Θρησκευτὴς ὁ Ῥωμαῖος ἐπὶ ταῖς λεπάσι ῥαινύμεθα. ἡ δὲ λεπὰς, ὄστρεόν ἐστι κοῖλον. ὅπερ ἐπειδὰν λάβηται πέτρας, ἀπηγκυλίζεται. τὰ μὲν οὖν πρῶτα, γλίσχρως ἐζῶμεν ἀπὸ τῆς θήρας, φειδόμενος ἕκαστος ὅτου καὶ λάβοιτο. ἐδίδου δὲ δῶρα οὐδεὶς οὐδενί. νυνὶ δὲ ἐν ἀφθονωτέροις ἅπαντες ἀπὸ τοιᾶσδε αἰτίας. αἱ γυναῖκες ταῖς γυναιξὶν, αἱ Λίβυσσαι ταῖς πλεούσαις, βούλονται μὲν ἂν καὶ τὸ ὀρνίθων γάλα παρέχειν. παρέχουσι δ' οὖν ὅσα αὐταῖς ἀήρ τε φέρει. καὶ γῆ· τυρούς. ἄλευρα. πέμματα ἐκ κριθῶν· κρέα ἄρνεια· ἀλεκτορίδας. ᾠὰ ἀλεκτόρεια· ἤδη δέ τις καὶ ὠτίδα δέδωκεν, ὄρνεον ἐκτόπως ἡδύ. ἰδὼν ἄν, ἀγροῖκον εἴποι ταών· αὗται δὴ κατακομίζουσιν ἐπὶ ναῦν τὰ δῶρα. αἱ δὲ, δεξάμεναι κοινοῦνται τοῖς βουλομένοις· οἱ δὲ, ἡμῖν ἤδη τὰ ἀπὸ τῆς θήρας δωρεοῦνται. καὶ ἥκει τις ἄλλος ἐπ' ἄλλῳ παῖς ἐπ' ἀνδρὶ καὶ ἀνὴρ ἐπὶ παιδὶ, φέρων ἀεί τι μοι ξένιον· ὁ μὲν ἠγκιστρευμένον ἰχθύδιον· ἄλλος ἄλλο τι. πάντως ἕν γέ τι ἀγαθὸν ὧν φέρουσι πέτραι. ἐμοὶ γὰρ οὐκ ἔστι βουλομένῳ τὰ παρὰ τῶν γυναικῶν δέχεσθαι, σὴν χάριν καὶ τοῦτο, ἵνα μή τις ἐπιχειρία μοι πρὸς αὐτὰς γένοιτο. κᾆτα ἐπειδὰν ἐξόμνυσθαι δέῃ, διαπορεῖν ἀρνούμενος. ἐπεὶ τί ἐκώλυε; τό γε τοῖς ἐπιτηδείοις τρυφᾶν. οὕτω πολλὰ πολλαχόθεν συρρεῖ. σὺ μὲν οὖν ἀρετῇ λογιῇ τὴν φιλοφροσύνην τῶν ἐγχωρίων, ἣν εἰς τὰς ἐπιξενουμένας ἐνδείκνυνται. τὸ δὲ, ἑτεροῖόν ἐστιν, οἷον ἄξιον εἶναι καὶ διηγήσασθαι, καὶ ταῦτα ἐπὶ τῆς νῦν ἡμῖν παρούσης σχολῆς. μήνιμα Ἀφροδίτης ὡς εἰκάσαι κατέχει τὴν χώραν. δυστυχοῦσι γὰρ ὥσπερ αἱ Λήμνιαι· αὗται γὰρ ὑπερμαζῶσι καὶ ἀσυμμέτρως ἔχουσι τῶν στέρνων, ὥστε τὰ βρέφη μὴ διὰ μάλης. ἀλλὰ δι' ὤμων ἀπὸ τῆς θηλῆς ἀναβεβλημένης·. εἰ μή τις εἴποι τὸν Ἄμμωνα, καὶ τὴν Ἄμμωνος γῆν, οὐ μᾶλλον εἶναι μηλοτρόφον, ἢ κουροτρόφον ἀγαθήν·

αὐξῆσαι δὲ τὴν φύσιν ἀνθρώποις ὁμοίως καὶ κτήνεσι, δαψιλεστέρας καὶ ἁδροτέρας τὰς τοῦ γάλακτος πίδακας, καὶ εἰς τοῦτο δεῖν ἁδροτέρων οὐ θηλῶν τε καὶ θυλάκων. μανθάνουσαι δὲ παρὰ τῶν ἀνδρῶν οἷς τι συμβόλαιον γέγονε πρὸς ἄνθρωπον ὑπερόριον, ὅτι μὴ πᾶν τὸ θῆλυ τοιοῦτόν ἐστιν, ἀπιστοῦσι. καὶ ἐπειδὰν λάβωνται γυναικὸς ξένης, φιλοφρονοῦνται καὶ πάντα δρῶσιν, ἕστ' ἂν τὰς ἀγκάλας διερευνήσωνται. ἡ δὲ ἰδοῦσα, λέγει πρὸς ἄλλην. καὶ καλοῦσιν ἀλλήλας, ὥσπερ οἱ κίκονες. αἱ δὲ, συμφοιτῶσιν ἐπὶ τὴν θέαν. καὶ ἐπὶ τούτῳ δωροφοροῦσιν. ἡμῖν δὲ ἦν τι καὶ τῶν ἐκ πόντου θεραπαινίδιον ὃ συνελθοῦσαι, τέχνη καὶ φύσις, ὑπὲρ τοὺς μύρμηκας, ἔντομον ἔδειξαν. ἀμφὶ τοῦτο ἦν ἅπασα σπουδή. καὶ τοῦτο παρὰ τῶν γυναικῶν πλεῖστα ἐνεπορεύετο. καὶ μετεπέμποντο αὐτὸ πρὸς ἑτέρα ἄλλη παρ' ἄλλης, γυναῖκες τῶν ἀγχογειτόνων, εὐδαίμονες· τὸ δὲ, οὕτω τοι σφόδρα ἰταμὸν ἦν, ὥστε καὶ ἀποδύσασθαι. τοῦτό σοι δρᾶμα ἐκ τραγικοῦ κωμικόν. ὅ, τι δαίμων ἡμῖν ἀνήρμοσε, κἀγὼ τοῖς πρὸς σὲ γράμμασι· καὶ οἶδα μὲν ἐκτείνας τὴν ἐπιστολὴν τοῦ μετρίου μεῖζον. ἀλλ' ὥσπερ τοῦ συνεῖναί σοι κατὰ πρόσωπον, οὕτω καὶ τοῦ γράφειν ἀπλήστως ἔχω· ἅμα δὲ οὐδὲ ἐλπίσας ἔτι σοι διαλέξεσθαι, νῦν ἐπειδὴ ἔξεστιν, ἐμφοροῦμαι. ἀλλὰ κἂν ταῖς ἐφημερίσι παρ' ἃς ἐσπούδακα, τὴν ἐπιστολὴν ἐναρμόσας, ὡς συχνῶν ἡμερῶν, ἕξω μοι ἂν ὑπομνήματα. ἔρρωσο· καὶ τὸν υἱὸν Διόσκορον κάλλει μετὰ τῆς μητρὸς καὶ τῆς τίτθης, ἃς ἐγὼ καὶ φιλῶ, καὶ ἐν ἀδελφαῖς ἄγω. ἀσπάσαι τὴν σεβασμιωτάτην καὶ θεοφιλεστάτην φιλόσοφον· καὶ τὸν εὐδαίμονα χορὸν τὸν ἀπολαύοντα τῆς θεσπεσίας αὐδῆς· ἐκ πάντων δὲ μάλιστα τὸν ἱερώτατον πατέρα Θεότεκνον. καὶ τὸν ἑταῖρον ἡμῶν Ἀθανάσιον· τὸν δὲ ὁμοψυχότατον ἡμῖν Γάϊον, εὖ οἶδ' ὅτι φρονῶν ὅσα ἐγὼ, μετὰ τῶν συγγενῶν τάττεις· μετ' ἐκείνων γοῦν προσαριθμείσθω καὶ ὁ θαυμάσιος γραμματικὸς Θεοδόσιος. ὃς εἰ καὶ μάντις ὢν ἔκρυψεν ἡμᾶς, προεγνωκὼς γὰρ ἐν οἷς ἐσόμεθα, κατέβαλε τὴν προθυμίαν τῆς σὺν ἡμῖν ἀποδημίας, ἀλλ' οὖν ἔγωγε αὐτὸν καὶ φιλῶ καὶ ἀσπάζομαι. σὺ δὲ μηδέποτε πλεύσειας· εἰ δέ ποτε πάντως δεήσοι, ἀλλὰ μή τοι φθίνοντός γε μηνός.

esse outricem & naturam communiter hominibus atque pecudibus largiores plenioréſque lactis guttas videre & ob eam cauſſam vberibus etiam & vaſis laxioribus opus eſſe. Quod ſi de viris audiant, qui commercium cum extero quopiam agitarunt, non omne mulierum eſſe genus eiuſmodi, non adducuntur, vt credant. Cùm autem peregrinam fœminam acceperint, ſummam ei beneuolentiam & humanitatem exhibent, ac nihil non faciunt, vt vlnas perſcrutari liceat. Quæ verò conſpexit, indicat alteri, ſéque mutuò accerſunt, quemadmodum Cicones. Et congregantur ad ſpectaculum, atque ad id munera conferunt. Nobis verò quoddam erat mancipium ex ponto, quomodo conuenientes Ars & Natura, plus quam formicas etiam inſectum fecerant. Hoc omni ſtudio viſebatur, & plurimum à mulieribus adibatur, acceſſebántque multò antè alia ab alia fœlices incolarum fœminæ. Illud verò tam improbum & impudens erat, vt etiam veſtes exueret. Hoc tibi drama Comicum è Tragico, quod nobis fortuna dedit, nos vero tibi per literas. neque verò ſum neſcius, vltra modum epiſtolam à me dilatari ac protrahi. Sed quemadmodum coram aſpectu tuo fruendi, ſic etiam ſcribendi me deſiderium inſatiabile inceſſit, tum etiam, quia nulla ſpes eſt me tecum in colloquium amplius venturum, nunc dum facultas datur, ea vſque ad ſaturitatem vtor. Sed in Ephemeridibus etiam, quas epiſtolam admonentes, ſumma diligentia conficio, multarum opinor dierum recordationem memoriámque habebo. Vale, & Dioſcoro filio tuo cum matre ac nutrice, quas ego & diligo & loco ſororum colo, ſalutem meo nomine dicito. Saluta auguſtiſſimam ac pientiſſimam philoſopham, fœlicémque chorum, cui diuina voce frui contigit. Ex omnibus verò maximè ſanctiſsimum patrem Theotecnum, & familiarem noſtrum Athanaſium. Caium verò tota mente nobis deditum ſat ſcio, idem ſentiens quod ego, cum cognatis ponis. Cùm illis igitur numeretur etiam admirandus Grammaticus Theodoſius, qui quanquam vaticinandi peritus celarat nos ea, in quæ cùm deuenturos prouidiſſet, conſilium ſtudiúmque nobiſcum proficiſcendi mutauit, tamen ego ſummo eum amore proſequor, & ſaluere iubeo. Tu verò ne ſuſcipias vllam nauigationem. Quòd ſi neceſſitas coëgerit prorſus, caue tamen id extremo menſe facias.

Τοῖς πρεσβυτέροις.

Α Γαθὸν πεποιθέναι ἐπὶ κύριον. ἢ πεποιθέναι ἐπ' ἄνθρωπον. ἀλλὰ τοὺς ἐκ τῆς ἀθεωτάτης αἱρέσεως Εὐνομίου, πυνθάνομαι Κυντιανὸν ὄνομα καὶ τὴν ἐπὶ στρατοπέδων θρυλλουμένην ὑπ' αὐτῶν δυναστείαν προστησαμένους, μοιχᾶσθαι πάλιν τὴν ἐκκλησίαν, καὶ ψευδοδιδασκάλους τινὰς ἐφιστάναι. παγίδα ταῖς τῶν ἀκεραιοτέρων ψυχαῖς, οὓς ἔναγχος οἱ παρὰ Κυντιανοῦ σταλέντες, ἐπ' αὐτὸ τοῦτο κατέπλευσαν ἄγοντες. ἡ γὰρ δίκη, πρόσχημα τῆς ἀσεβείας ἐστὶ, μᾶλλον δὲ ἀγὼν ὑπὲρ δυσσεβείας. οὗτοι τοίνυν οἱ νόθοι πρεσβύτεροι.

Presbyteris.

MElius eſt in Domino ſpem & fiduciam ponere, quàm in homine. Sed ſceleratiſſimæ ſectæ Eunomij diſcipulos & aſſertores audio Quintianum nomine & militum iactitatas ab illis copias in auxilium aſſumpſiſſe, quorum ope per fornicationes iterum Eccleſiam contaminent, & falſos quoſdam doctores conſtituãt, rete ſimpliciorum & imperitiorum animabus quos nuper miſſi à Quintiano, nauibus adduxerũt vt huic muneri præficerẽt. Pœna eum ꝓpugnaculũ eſt impietatis: immò certamẽ ꝓ pietate ſuſceptũ. Hi itaq; ſpurij presbyteri,

recentes

recentes apoſtoli Diaboli & Quintiani, ne imprudentem inſcientémque gregem quem paſcitis obruant atque corrumpant, ne vobis neſcientibus Zizanium tritico interſeminent. Conſtat omnibus, vt ſibi refugium hi quærant. Scitis, qui agri eos recipiant, ſcitis quæ domus latronibus pateant. Sagacitate veſtra comprehenſos fures pœnis afficite. Incumbite totis viribus ad aſſequendam illam laudem Moſaicam, qui viros extulit, qui ſententiis manibúſque impietatem in caſtris excercentes retraxerant & impediuerant. Illud verò fratres operæprecium eſſe iudicó vobis dicere. Recta ac honeſta, rectè honeſtéque fiant. Lucri ſtudium de medio faceſſant. Omnia Dei Optim. Maxim. nomine & cauſſa ſuſcipiantur. Non poteſt idem ſubiectum eſſe virtutis & nequitiæ. Pietatis gratia curſus inſtituitur, pro animarum ſalute dimicandum, ne quos ab eccleſia per inſidias & ſacrilegium abſtrahant, quod ſuo more iam fecerunt. Qui verò præſes ac defenſor Eccleſiæ, marſupium amplificarit: & quoniam videatur iis temporibus, quæ requirunt auſteritatem, vtilis eſſe, potentiam ſibi vetitam & illicitam aſciuerit, is ex eorum numero eſt, quos à Chriſtianorum cœtu nos excludimus. Non imperfectam Deus virtutem condidit. Non indiget ope vitiorum ac malitiæ. Non deerunt milites Deo, qui deceant eccleſias. Inueniet ſocios & auxiliatores, hic equidem expertes precij, in cœlo verò ſtipendiorum omnium abſolutè compotes. Eiuſmodi vos præbeatis. Pulchrum eſt enim & rectè rem gerentes votis adiuuare, & tranſgredientes abominanter habere. Quicunque igitur impeditus timore ac negligentia prodiderit, & quicunque ſuſcepto negotio, non ſibi pertinens quid ac alienum rapuerit, non id impunè feret à Deo. Vnum hoc duntaxat in medium protrahite, nummularios peruerſos, qui tanquam nomiſma, ita cœleſtem doctrinam adulterant, proferte. Qui ſint, planum omnibus facite, atque ſic infames in poſterum Ptolemaidis finibus pellantur, omnémque rem vel minimi ponderis ſecum auferant. Qui verò contrà fecerit, infeſtus ac repugnans Deo, vt aut negligat viſum à ſe conuentum impium, aut auditum non perſequatur, aut muneribus eorum polluatur, hos Amalechitas eſſe nos iubemus à quibus non licet auferre ſpolia. De eo verò qui abſtulit Deus pronunciat, pœnitet me, quòd Saul regem crearim. At facite vt nullius veſtrûm eum pœniteat. ſed potius curæ ſitis Deo, vóſque de Deo curam adhibete.

Anyſio.

AT Carnas etiamnum moratur. Neque voluntate adduci, neque neceſſitate cogi ad iuſtitiam amplectendam poteſt. Veniendum autem eſt ipſi vt videamus quæ ſit eius oratio, quibus oculis nos aſpicere velit, à quibus etiam repugnantibus eum equum quem furatus eſt, emere voluit, ne vt ipſe dicebat miles equo careret. At arbitratur optimo iure ſe equum poſſidere, cùm neque ſit Agathocles, neque Dionyſius,

οἱ νεήλυδες ἀπόστολοι τοῦ διαβόλου τε καὶ Κυντιανοῦ, μὴ λάθωσιν ὑμᾶς ἐμπηδήσαντες τῷ ποιμαινομένῳ ποιμνίῳ. μὴ λάθωσιν ὑμᾶς τῷ σίτῳ τὸ ζιζάνιον παρασπείροντες. κατάδηλοι πᾶσιν· εἰσὶν αἱ τούτων καταφυγαί· ἴστε τίνες ἀγροὶ δέξαιντ' ἂν αὐτοὺς, ἴστε τίνες οἰκίαι τοῖς λῃσταῖς ἀνέῳγασι. μετέλθετε τοὺς φῶρας ἰχνηλατοῦντες. ζηλωταὶ γένεσθε τῆς εὐλογίας τῆς Μωσαϊκῆς, ἣν εὐλόγησε τοὺς ἄνδρας, οἳ κατὰ τῶν ἠσεβηκότων ἐν τῇ παρεμβολῇ καὶ γνώμην καὶ χεῖρας ἐκίνησαν· ἐκεῖνο δὲ εἰπεῖν ἄξιον πρὸς ὑμᾶς ἀδελφοί. τὰ καλὰ, καλῶς γινέσθω. ἡ ὑπὲρ κέρδους ἔρις, ἀνῃρήσθω. ἅπαντα διὰ τὸν θεὸν ἐγχειρείσθω. οὐ δεῖ τὴν αὐτὴν ἀρετῆς εἶναι καὶ πονηρίας ὑπόθεσιν· ὑπὲρ εὐσεβείας ὁ δρόμος. ὑπὲρ ψυχῶν ἀγωνιστέον, μή τινας ἀπὸ τῆς ἐκκλησίας συλήσωσιν, ὅπερ ἔθος, ἤδη πεποίηνται. ὃς δ' ἂν τὴν ἐκκλησίαν προεστηκὼς, αὔξῃ βαλάντιον, καὶ διὰ τοῦ δοκεῖν εἶναι χρήσιμος ἐν καιροῖς ἀπαιτοῦσι δριμύτητα, δυναστείαν ἑαυτῷ κατεργάζηται, οὗτός ἐστιν, ὃν ἡμεῖς συνόδου Χριστιανῶν ἐκκηρύττομεν. οὐκ ἐποίησεν ὁ θεὸς ἀτελῆ τὴν ἀρετήν. οὐ δεῖται πονηρίας συμμάχου· οὐκ ἐπιλείψουσι στρατιῶται τῷ θεῷ, πρέποντες ἐκκλησίαις. εὑρήσει συμμάχους ἐνταῦθα μὲν ἀμίσθους, ἐν οὐρανῷ δὲ ἐντελομίσθους· ὑμεῖς οὕτω γίνεσθε· καλὸν γὰρ καὶ κατορθοῦσι συνεύξασθαι, καὶ παραβαίνουσιν ἐπαράσασθαι. ὅστις ἂν οὖν μαλακισθῇ καὶ προδῷ, καὶ ὅστις ἂν ἐπεξέλθῃ μὲν, ἁρπάσῃ δέ τι τῶν ἀλλοτρίων, μὴ ἀθῷος γένοιτο τῷ θεῷ. ἓν τοῦτο μόνον εἰς μέσον ἑλκύσατε· καὶ τοὺς τραπεζίτας τοὺς πονηροὺς τοὺς καθάπερ νόμισμα τὸ δόγμα τὸ θεῖον παραχαράττοντας, ἐξενέγκατε· πᾶσι ποιήσατε καταφανεῖς οἵτινές εἰσι· καθ' οὕτως, ἄτιμοι τῶν Πτολεμαΐδος ὅρων ἀπεληλάσθωσαν, ὅ, τι σὺν αὐτοῖς ἥκει χρῆμα πᾶν ἀμεταγώγητον ἀποφέροντες. ὁ δὲ παρὰ ταῦτα ποιῶν, ἐπάρατος τῷ θεῷ, ὅστις ἀσεβῆ σύνοδον ἰδὼν παρεῖδεν ἢ ἀκούσας, παρήκουσεν. ἢ κέρδει παρ' αὐτῶν ἐμολύνατο· τούτους ἡμεῖς Ἀμαληκίτας εἶναι διαταττόμεθα. παρ' ὧν οὐκ ἔξεστι κομίσασθαι λάφυρον. περὶ δὲ τοῦ λαβόντος φησὶν ὁ θεὸς, μεταμεμέλημαι, ὅτι ἐβασίλευσα τὸν Σαούλ. ἀλλ' ὑμῶν ἐπὶ μηδενὶ μεταμελέσθω· ἀλλὰ μέλοι μὲν ὑμῶν τῷ θεῷ· μέλοι δὲ ὑμῖν τοῦ θεοῦ,

Ἀνυσίῳ.

Ὁ δὲ Καρνᾶς, ἔτι μέλλει. καὶ οὔθ' ἑκὼν οὔθ' ὑπ' ἀνάγκης, γίνεται δίκαιος· χρὴ δὲ ἥκειν αὐτὸν ἵνα εἰδῶμεν ὅ, τι καὶ λέγει. καὶ οἷς ποτε ὀφθαλμοῖς ἡμᾶς ἀντιβλέψεται, παρ' ὧν ἠξίωσε καὶ ἀκόντων, ὃν ἔκλεψεν ἵππον ὠνήσασθαι, ἵνα μὴ στρατιώτης φησὶν, ἄνιππος ᾖ. προτείνει δὲ κομιδῇ σμικρὸν ἀργύριον. καὶ μὴ ἀποδιδομένοις, οὐκ ἀποδίδωσιν. ἀλλ' οἴεται σὺν δίκῃ τὸν ἵππον ἔχειν, καὶ ταῦτα οὐκ ὢν Ἀγαθοκλῆς, ἢ Διονύσιος,

οἷς αἱ τυραννίδες ἐπέτρεπον οὕτω πάνυ πονηροῖς εἶ). ἀλλὰ Καρνᾶς ὁ καπφαροδίτης. ὃν οὐ χαλεπὸν ἐπαναγαγεῖν εἰς τοὺς νόμους. εἰ οὖν ἄξῃ τίς αὐτὸν ὡς σὲ, καὶ δὲ ἡμεῖς ἀγνοήσωμεν, ἵνα τοὺς κατὰ πρόσωπον αὐτὸν ἐλέγξοντας, ἀπὸ κυρήνης καλέσωμεν.

Θεοδώρῳ καὶ τῇ ἀδελφῇ.

ΠΩς δοκεῖτε. δέδηγμαι τὴν καρδίαν, ἐκδεδομένου λόγου κατὰ τὴν πόλιν, ὅτι δεινῇ τινι καὶ πέρα δεινῆς ὀφθαλμίᾳ παλαίεις, ἐπικινδύνῳ ταῖς ὄψεσι κινδυνον. ἔπειτα ψευδὴς ὁ λόγος ἐφάνη. ἀλλὰ καὶ οἶμαι παμπόνηρος ἄνθρωπος περιστάσεως εἰλημμένος, τοῦ τῆς ὀφθαλμίας ὀνόματος, ἦρεν ἐπὶ μέγα τὴν φήμην, καὶ ἐξετραγῴδησε. τράποιτο μὲν οὖν εἰς ἐκεῖνον αὐτὸν, ἅττα ὑμῶν κατεψεύσατο. τῷ δὲ θεῷ χάρις, ὅτι παρέχει ἡμῖν ἀκοῦσαι καλλίονα. χρῆν δὲ μὴ τὸ λεγόμενον, ἄστροις τὰ καθ' ὑμᾶς σημαίνεσθαι. μὴ δ' ὅ,τι λέγοι φήμη πυνθάνεσθαι. ἀλλ' ἐ μάλιστα μὲν ἔχειν συνόντας. εἰ δὲ μὴ, γράμμασιν ὑμετέροις ἐντυγχάνειν. καὶ παρ' ὑμῶν, τὰ περὶ ὑμῶν εἰδέναι. ἀλλ' ὑμεῖς ἡμῶν λίαν ἀμελεῖτε. ὥσπερ ἴσως ὁ θεὸς βούλεται.

Τῷ ἀδελφῷ.

ΟΥ μὴ ἐρεῖς ὡς ἔλαθεν ὑμᾶς ὁ διακομιστὴς τῶν πανηγυρικῶν γραμμάτων. ἀλλ' ἰδόντες παρεωράκατε, καὶ οὐκ ἔδοξεν ὑμῖν ἄξιον εἶναι τὸν ἀδελφὸν ἐν μνήμῃ ποιήσασθαι, καὶ ἐπιστεῖλαι πρὸς αὐτὸν γράμμα, μηνῦον ὅπως ἔχετε καὶ ἐν τίσιν ἐστέ. ἐμοὶ γὰρ οὐκ ἀμελὲς ἐστιν εἰδέναι τὰ περὶ ὑμῶν. ἀλλ' ἐπείπερ ἐν ἅπασι λυποῦμαι τοῖς ἐμαυτοῦ, βουλοίμην ἂν, ἐν τοῖς ὑμετέροις εὐφραίνεσθαι. ὑμεῖς δὲ καὶ ταύτης με τῆς παραμυθίας ἀφῄρησθε. χρῆν δὲ οὐχί· καὶ γὰρ εἰ μὴ γεγόνειμεν ἀπὸ τῶν αὐτῶν, τροφαὶ κοιναί· καὶ παιδεία κοινή. καὶ τί γὰρ οὐχὶ κοινόν· πάντα διὰ πάντων ἡμᾶς ἀλλήλοις ᾠκείωσεν· ἀλλὰ γάρ ἐστιν, ὥσπερ λέγεται δυσπραξία πρᾶγμα δεινόν· καὶ ὅταν ἥκῃ τινὶ χρόνος αἴτιξις, ἐν ταύτῃ τά, τε ἄλλα καὶ τὰ καὶ ἀδελφῶν γνῶμαι καὶ φίλων ἐλέγχονται. ἐγὼ δὲ ἀποχρήσω καὶ παρ' ἑτέρων πυνθάνεσθαι τὰ περὶ ὑμῶν. μόνον ὁ θεὸς ἀγαθῶν εἴη νομεύς. τοιούτου γὰρ ἐρῶμεν, ὑπὲρ ὑμῶν ἀκροάματος.

Θεοφίλῳ.

ΒΑθύ σε γῆρας· καὶ λιπαρὸν περιμείνοιεν ἁγιώτατέ τε καὶ σοφώτατε· τά, τε γὰρ ἄλλα τοῦ βίου κέρδος αὐτῆς σωζόμενος, καὶ μεγίστη προσθήκη τοῦ διδασκαλείου τοῦ χριστοῦ γίνεται, ὁ τῶν πανηγυρικῶν βιβλίων ἀριθμός, τοῖς ἐνιαυτοῖς συναυξανόμενος. ὡς ὅ γε τῆτες καταπεμφθεὶς λόγος, καὶ ἥσε τὰς πόλεις καὶ ὤνησε τὸ μὲν, μεγέθει τῶν νοημάτων· τὸ δὲ, τῶν ὀνομάτων τῇ χάριτι.

Τῇ φιλοσόφῳ.

ΑΥτήν σε καὶ διὰ σοῦ τοὺς μακαριωτάτους ἑταίρους ἀσπάζομαι δέσποινα μακαρία. πάλαι μὲν αὖ ἐγκαλοῦσα ἐφ' οἷς οὐκ ἀξιοῦμαι γραμμάτων.

quibus Tyrannides tantorum ſcelerum flagitiorúmque poteſtatem dederunt: ſed Carnas Capharodita, quem non eſt difficile ad iudicium & leges retrahere. Si quis igitur eum ad te perduxerit, fac nos quoque certiores vt qui coram eùm furti redarguant atque conuincant, è Cyrena acceſſamus.

Theodoro & Sorori.

QVid nobis videtur? Moiſus iniectus eſt cordi meo, cùm per totam vrbem rumor ederetur, te graui & pluſquam graui oculorum morbo laborare, à quo periculum etiam viſui imminerer. Deinde falſus rumor fuiſſe compertum eſt. Arbitror autem hominem peſſimum, occaſione ſumpta, famam Ophthalmiæ in ſummum extulit, & penè Tragicam fecit. Vertantur igitur in ipſum, quæcunque de vobis mentitus eſt. Gratia Deo, qui nobis audire meliora dederit. Non autem oportebat, quæ ad vos pertinerent ſtellis vt prouerbio dicitur, notari, neque quid fama narraret, auſcultare, ſed ex mutua conſuetudine & præſentia ſcire. Sin minus, ex literis à vobis accipere & ex his de toto rerum veſtrarum ſtatu cognoſcere. Sed nos prorſus à vobis nihili pendimur, ac negligimur, fortè, quòd ſic Dei fert voluntas.

Fratri.

NOn dices vos latuiſſe Panegyricarum literarum tabellarium: ſed videntes, neglexiſtis, neque vobis dignum viſum eſt, aliquam de fratre mentionem facere, ſcriptúmque ad illum tranſmittere, quo ſignificaretis, qua valetudine vteremini & quo in ſtatu res veſtræ poſitæ eſſent. Mihi enim non parum curæ eſt, quid vobiſcum agatur, ſcire. Sed quoniam omnia mea dolorum moleſtiarúmque plena ſunt, velim ex veſtris aliquam recreationem & voluptatem capere. Vos autem huius etiam conſolationes mihi ſpem præſcidiſtis: tametſi non par eſt neque æquum. Etenim ſi non ab iiſdem in hanc lucem editi eſſemus, tamen communio victus, diſciplinæ omniúmque cæterarum rerum, omninò nos mutuò conciliaret. Sed eſt infortunium, vt dicitur, res mala & deteſtanda. Et cùm aduerſum tempus incidit, tum maximè fratrum & amicorum ſententiæ perſpiciuntur. Ego verò contentus ero, ſi ab aliis de vobis audire liceat: ſaltem Deus bonorum ſit paſtor. Huius enim amore magis flagrabimus, quàm vt de vobis audire poſſimus.

Theophilo.

PRofunda te ſenectus & plena maneat ſanctiſſime ſimul & ſapientiſſime. Nam ſuperſtes & aliis rebus emolumento vitæ communi eſſe poteris & maximũ additamẽtum ad Chriſti ſcholã accedit Panegyricorum librorum numerus qui annorũ numero creſcit. Adeò miſſus hoc anno ſermo. ciuitates & ſententiarum grauitate & verborum ſuauitate partim delectauit, partim iuuit.

Philoſophæ.

ET ipſam te & propter te familiares tuos beatiſſimos ô beata domina nuncupo. Iam olim quidem accuſans ob non datas literas

nunc

nunc demum contemni me ſentio, nihilque ab omnibus vobis pendi, nullo mehercle meo crimine: ſed rerum aduerſarum multitudine quæ tanta eſt, quanta homini accidere in vita poteſt. Attamen ſi veſtris literis potiundi fieret poteſtas, & cognoſcendi, quemadmodum res veſtræ ſeſe haberent. Prorſus verò meliore conditione eſtis, & fortuna vtimini ſplendidiore dimidiis certè meis ærumnis, & calamitatibus leuares tantùm vt in veſtris mihi lętari & fœlicem eſſe liceret. Nunc verò hoc etiam accedit malum ad ea, quibus obrutus & oppreſſus iaceo. Vnà cum liberis etiam amicis, & omnium beneuolentia atque fauore ſum orbatus. & quod eſt maximum animo tuo planè diuino, quem ego ſolùm firmum conſtantémque ſuperſtitem fore arbitrabar, qui ipſius etiam fortunæ iniquitatem & fati procellas ſuperaret.

Presbyteris.

NEque antea vobis ego ſuperior eſſe potui, cùm omnibus viribus & copiis ſacerdotium declinarem, neque iam vos me viciſtis. Sed diuina voluntate ſic erat conſtitutum, vt alterum nunquam, alterum iam & in præſenti tempore. Ego verò multoties mortem potiùs, quàm ſemel hoc munus ſubiiſſem. Non enim exiſtimabam, hoc negotium eſſe mei inſtituti. Cùm autem Deus obtulerit, non quod petieram, ſed quod ipſe voluit, precor obteſtórque vt is, qui vitæ paſtor conſtitutus eſt, is quo ſe paſcentis moderatorem præbeat. Etenim qui in otio philoſophiæ iuuentutem conſumpſerim, & in tranquilla rerum contemplatione, tantúmque commentationibus deditus fuerim, vt etiam vitam corpore deuinctam abominarer, & vrbis me ciuem eſſe, qui par ero tantis támque continuis curis perferendis ac ſuſtinendis, aut quo tandem modo turba negotiorum implicitus, vlterius ad animi bona decoráque adiicere potero, quibus frui, ſolius beati eſt otij, ſine quo mihi meique ſimilibus, omnis vita iniucta eſt. Ego medius fidius intelligere non poſſum. In Dei verò manum quod dicitur omnia ſunt vt fieri poſſint etiam quæ eiuſmodi naturam habent vt fieri non poſſe videantur: Proinde tum ipſi pro me ſupplices palmas ad Deum tollite, tum vrbano populo, & quotquot in agris aut villis eccleſiam & domicilia habent ſupplicationes votáque noſtri cauſſa, tam publicè vniuerſis, quàm ſingulis priuatim indicite. Nam ſi me non deſertum à Deo videro, tum Sacerdotium non deceſſionem à philoſophia, ſed acceſſionem intelligam eſſe.

Cyrillo.

VEni ad matrem Eccleſiam Cyrille frater, à qua non in perpetuum abſciſus, ſed ad tempus ſegregatus es, quod certa etiam peccatorum flagitiorúmque æſtimatione definitum eſt. Hoc enim probè mihi ſcire, videor, communem quoque noſtrũ ſancta memoria patrem facturũ idem fuiſſe, niſi fatalis eum hora peruertiſſet. Nam pœnam mediocrem & leuẽ irrogare, animi ſtatim promittẽtis veniã erat. Ab ipſo igitur ſancto ſacerdote, reditum tibi patefactũ & cõceſſũ puta, & ad Deũ animo puro ab omnibus vitiis atq; calamitatis immemori accede.

νῦν δὲ οἶδα παρεωραμένος ὑφ' ἁπάντων ὑμῶν. ἐφ' οἷς ἀδικῶ μὲν οὐδὲν, ἀτυχῶ δὲ πολλὰ, καὶ ὅσα ἄνθρωπος ἀτυχῆσαι δύναται. ἀλλ' εἴπερ εὐτυχεῖν ἐτύγχανεν ὑμετέραις ἐπιστολαῖς, καὶ μανθάνειν ἐν οἷς διαβιβάζετε, πάντως δὲ ἐν ἀμείνοσιν ἐστὲ, καὶ καλλίονος πειρᾶσθε τοῦ δαίμονος, ἐξ ἡμισείας ἂν ἰσορρόπησα τὸ ποιηρὸς, ἐν ὑμῖν εὐτυχῶν· νῦν δὲ ἔτι καὶ τοῦτο τῶν χαλεπῶν ἐστιν, ἅμα καὶ τῆς λήψεως. ἀπεστέρημαι μὲν τῶν παιδίων, καὶ τῶν φίλων, καὶ τῆς παρὰ πάντων εὐνοίας· καὶ τὸ μέγιστον, τῆς θειοτάτης σου ψυχῆς, ἣν ἐγὼ μόνην ἐμαυτῷ παραμένειν ἤλπισα, κρείττω καὶ δαιμονίας ἐπηρείας καὶ τῶν ἐξ εἱμαρμένης ῥευμάτων.

Τοῖς πρεσβυτέροις.

ΟΤι περιεῖναι ὑμῶν ἐγὼ οὐκ ἐσθένησα, ἁπάσῃ ῥώμῃ καὶ μηχαναῖς ἐκκλίνας ἱερωσύνην, οὔτε νῦν ὑμεῖς ἐμοῦ κεκρατήκατε· ἀλλὰ θεῖον ἄρα ἦν καὶ τὸ μήπω τότε, καὶ τὸ νῦν ἤδη. ἐγὼ δὲ πολλοὺς ἂν θανάτους, ἀντὶ τῆσδε τῆς λειτουργίας εἱλόμην· οὐ γὰρ κατ' ἐμαυτὸν εἶναι τὸν κόσμον ἐλογιζόμην τοῦ πράγματος. τοῦ θεοῦ δὲ ἐπινεύσαντος, οὐχ ὅπερ ᾔτουν, ἀλλ' ὅπερ ἐβούλετο, δέχομαι τὸν ἡγούμενον ταμίαν τοῦ βίου, γενέσθαι καὶ τοῦ νεμηθέντος προστάτην. ὁ γὰρ ἐννεάσας τῇ κατὰ φιλοσοφίαν σχολῇ καὶ θεωρίᾳ τῶν ὄντων ἀνεστραμμένῃ, καὶ τοσοῦτον ὁμιλήσας φροντίσιν, ὥστε ἀφοσιώσασθαι τὸν μετὰ σώματος βίον, καὶ τὸν πολίτης γεγονέναι πόλεως, πῶς ἀρκέσω μυρίαις ἐχούσαις συνέχειαν· ἢ πῶς, ἐμαυτὸν ἐπιδοὺς ὄχλῳ πραγμάτων, ἔτι προσβαλῶ τοῖς νοῦ καλλίστοις, ἃ μόνοις ἔξεστι καρποῦσθαι τῆς μακαρίας σχολῆς. ἧς χωρὶς, ἐμοὶ καὶ τοῖς ὁμοίοις ἐμοὶ, ἅπας ὁ βίος ἀβίωτος. ἐγὼ μὲν οὐκ ἂν εἰδείην· τῷ θεῷ δὲ ἐστὶ πάντα δυνατὰ καὶ τὰ ἀδύνατα. αὐτοί τε οὖν ὑπὲρ ἐμοῦ χεῖρας ἱκέτιδας ἄρατε πρὸς θεόν. καὶ τόν τε ἐν ἄστει δῆμον, καὶ ὅσοι κατ' ἀγροὺς ἢ κωμητικὰς ἐκκλησίας αὐλίζονται. τὰς ὑπὲρ ἐμοῦ εὐχὰς καὶ κοινῇ καὶ καθ' ἕνα πᾶσι παρεγγυήσατε. εἰ γὰρ μὴ ἔρημος ἀπολειφθείην θεοῦ, τότε γνώσομαι τὴν ἱερωσύνην, οὐκ ἀπόβασιν οὖσαν φιλοσοφίας ἀλλ' ἐπανάβασιν.

Κυρίλλῳ.

ΙΘι παρὰ τὴν μητέρα τὴν ἐκκλησίαν ἀδελφὲ Κύριλλε. ἧς οὐκ ἀπεκόπης. ἀλλ' εἰς καιρὸν ἐχωρίσθης, ὃ καὶ ταῖς τῶν ἁμαρτημάτων ἀξίαις διώρισται. δοκῶ γὰρ εἰδέναι σαφῶς, ὅτι τοῦτ' ἂν πάλαι καὶ ὁ κοινὸς ἡμῶν πατὴρ ὁ τῆς ὁσίας μνήμης ἐποίησεν, εἰ μὴ τὸ χρεὼν ἔφθασε. τὸ γὰρ ἐν μέτρῳ τάξαι τὴν τιμωρίαν, γνώμης ἦν εὐθὺς ὑπισχνουμένης συγγνώμην. αὐτὸν οὖν ἐκεῖνον τὸν ὅσιον ἱερέα, νόμιζέ σοι δεδωκέναι τὴν κάθοδον. καὶ πρόσελθε τῷ θεῷ καθαρευούσῃ παθοῦς ψυχῇ καὶ ἀμνηστίαν ἐχούσῃ κακῶν.

ἀλλὰ καὶ διὰ πάσης εὐφήμου μνήμης ἄγε τὸν ἱερὸν ἐκεῖνον καὶ θεοφιλῆ πρεσβύτην. τὸν ἀποδείξαντά σε πρόεδρον δήμου. πάντως σοι καὶ τοῦτο οὐκ ἀποθύμιον.

Πέτρῳ πρεσβυτέρῳ.

Θεὸς ἡγείσθω παντὸς ἔργου καὶ λόγου. τὸν δὲ διακομιστὴν τῶν πανηγυρικῶν γραμμάτων, ἃ καταγγέλλει τὴν κυρίαν τῆς ἑορτῆς ἡμέραν, ἐννεακαιδεκάτην τοῦ φαρμουθὶ μηνὸς, ὡς τῆς ἐπὶ ταύτην ἀγούσης νυκτὸς, τὸ ἀναστάσιμον ἐχούσης μυστήριον, τοῦτον καὶ προσιόντα καὶ ἐπανιόντα, φιλανθρωπίας ἁπάσης ἀξιώσατε. καὶ ἀμισθὴ ζώνην ἐφ᾽ ἑκάτερα πέμψατε. ὅς τις ὑπὲρ τοῦ μὴ γενέσθαι τῆς ἐκκλησίας ἐλλιπὲς ἔθος ἀρχαῖον καὶ πάτριον, μέσοις ἑαυτὸν τοῖς τῶν πολεμίων ὅπλοις ἐπέδωκεν, ὑποστὰς ὁδοιπορῆσαι δι᾽ ὑπόπτου τῆς χώρας. ταῦτα καὶ πείθει τὴν πόλιν ὑπὲρ ἡμῶν εὔχεσθαι. δεῖ γὰρ αὐτὴν ἐντεῦθεν ἤδη τὴν τῆς ἐφ᾽ ἡμᾶς ἀβουλίας αἴσθησιν δέξασθαι. ἥτις ἐκάλεσεν εἰς ἱερωσύνην, οὐχ ᾧ παρρησία τις ἐστὶ πρὸς θεὸν, ὅλου δήμου διαβαίνει προσδέξασθαι. ἀλλ᾽ ὅς τις αὐτὸς ὑπὲρ τοῦ σωθῆναι, δεῖται γενέσθαι δημαίτητος. ἐπεὶ καὶ τῆς ἐνθάδε συνόδου. πλῆθος δὲ συχνὸν ἱερέων· συντυχία τις ἦν, ἣν ὁ νῦν καιρὸς ἤθροισεν, ἐπιθεμένῳ μοι γράψαι πρὸς ὑμᾶς. εἰ δὲ μηδὲν ἔχοιμι εἰπεῖν, οἷον ἀκούειν εἰώθατε, συγγνώμη μὲν ἐμοὶ τοῦτο. ἔγκλημα δὲ ὑμῖν ὅτι τὸν οὐκ εἰδότα τὰ λόγια τοῦ θεοῦ, τῶν εἰδότων ἀνθείλεσθε.

Ἀνυσίῳ.

Οὕτως ἀμείβουσι γονεῦσι παῖδες. ἀπέχω τὴν χάριν. Καρτᾶς ἱκέτης μου γέγονεν. οὗ τὴν ἱκεσίαν ὁ θεὸς, αἰδεσιμωτέραν ἐποίησε. ποῦ γὰρ ἱερέως, εἰς ἰδίαν ὑπόθεσιν προελθεῖν ἀγώγιμον ἄνθρωπον ἐν νηστείμοις ἡμέραις. ὅς τις οὖν ἦγεν αὐτὸν, οὐκ ἀφῆκεν. ἀλλ᾽ ἀφῃρέθη τὸν ἄνθρωπον. εἰ οὖν ὑπὲρ τοῦ βεβιάσθαι σοι δέδωκε δίκην, περιέστημεν ἡμεῖς, εἰς τὸ τοῖς μὲν ἠδικηκόσι γενέσθαι φιλάνθρωποι. αὐτοῖς δὲ τοῖς οὐδὲν ἀδικοῦσι, ἠδικηκέναι.

Τῇ φιλοσόφῳ.

Οὕτω πάνυ πέπραγα πονήρως, ὥστε ὑδροσκοπίου μοι δεῖ. ἐπίταξον αὐτὸ χαλκευθῆναί τε καὶ συνωνηθῆναι. σωλήν ἐστι κυλινδρικὸς. αὐλοῦ καὶ σχῆμα καὶ μέγεθος ἔχων. οὗτος ἐπὶ τινος εὐθείας δέχεται τὰς κατατομὰς αἷς τὴν ὑδάτων τὴν ῥοπὴν ἐξετάζομεν. ἐπιπωματίζει γὰρ αὐτὸν ἐκ θατέρου κῶνος κατὰ θέσιν ἴσην ἐγκείμενος, ὡς εἶναι κοινὴν βάσιν ἀμφοῖν τοῦ κώνου τε καὶ τοῦ σωλῆνος. αὐτὸ δὴ τοῦτό ἐστι τὸ βαρύλλιον. ὅταν οὖν εἰς ὕδωρ καθῇς τὸν αὐλὸν ὀρθὸς ἑστήξει. καὶ παρέξει σοι τὰς κατατομὰς ἀριθμεῖν, αἱ δὲ τῆς ῥοπῆς εἰσι γνωρίσματα.

Τῇ αὐτῇ.

Κλινοπετὴς ὑπηγόρευσα τὴν ἐπιστολὴν, ἣν ὑγιαίνουσα κομίσαιο μῆτερ καὶ ἀδελφὴ καὶ διδάσκαλε· καὶ διὰ πάντων τούτων εὐεργετική, καὶ ἅπαν ὅ,τι τίμιον καὶ πρᾶγμα καὶ ὄνομα.

Sed ſanctum illum, Deique ſtudioſiſſimum ſenem omni laude memoriáque proſequere, qui te præſidem & gubernatorem populi conſtituit. Id animo tuo moleſtum eſſe non debet.

Petro presbytero.

Deus omne factum ſermonémque moderetur. Tabellarium publicarum literarũ, quæ ſtatutum feſtiuitatis diem annunciat, decimam nonam Pharmuthi menſis, quoniam nox hanc præcedens reſurrectionis Myſterium continet, eum & aduenientem & reuertentem omni humanitate complectimini & proſequimini atque ſaluum remunueratione in vtriſque eum afficite, qui ne vetus & patrius mos Eccleſiarum deficeret mediis hoſtium armis ſe immiſit, pérque ſuſpectam & infeſtam regionem iter facere non dubitauit. Hæc etiam in cauſſa ſunt, quamobrem ciuitas pro nobis vota faciat. Huic enim iam ſuæ temeritatis quam in nobis eligendis adhibuit ſenſum percipere debet, quę ad ſacerdotium vocauit, non eum, cui ſit aliqua prærogatiua pro toto populo apud Deum intercedendi. Sed qui ad ſuam tuendam ac defendendam ſalutem populi deprecatione & precibus opus habeat. Siquidem noſtræ quoque ſynodi: (quæ magna copia ſacerdotum conſtat:) conuentum forrè habebam, quem præſens tempus coëgerat, cùm hęc ad vos ſcribere inſtituiſſem. Quòd ſi nihil poſſem dicere, cuiuſmodi ſoletis, audire tamen ad impetrandam veniam hoc mihi ſufficeret. Culpa verò in vos transferenda eſt, quòd imperitum diuinæ ſapientiæ peritis antepoſueritis.

Anyſio.

Ita liberi parentum vicem vlciſcuntur. Satisfactum mihi eſt. Carnas mihi ſupplex factus eſt: cuius ſupplicationem. Deus venerabiliorem efficacioréinque reddidit. Qui enim Sacerdos eſt, priuati detrimenti cauſſa, eo tempore quod ieiuniis dicatum conſtitutúmque eſt hominem reum morti adiudicare. Quare qui adduxerat non eum dimiſit hominem. Sed vim ereptum amiſit. Quòd ſi propter vim ſibi adhibitam pœnas apud te dederit, iam eò noſtræ res redierint vt erga iniurioſos clementes ac benigni videamur, in eos verò qui nullo incommodo nos læſerint, iniurioſi & crudeles.

Philoſophæ.

EO redactus ſum infortunij, vt Hydroſcopio mihi ſit opus. Dabis operam, vt fabricetur & coematur. Canalis eſt Cylindricus tibiam figura & magnitudine referens. Is rectitudine quadam ſectiones efficit & diſcrimina quibus aquarũ vim exploramus. Obturat enim ipſum vtrinque Conus æquali locatione impoſitus, vt ſit communis eadémque baſis tam Coni quàm canalis. Ipſum verò hoc eſt pondus; Quòd ſi fiſtulam in aquam demittas, recta ſtabit, & facultatem tibi numerandi diſcrimina præbebit. Illa verò ſunt, ſunt valoris indicia atque notæ.

Eidem.

IN lecto decumbens hãc epiſtolam dictaui, quam ſanã accipere opto mater & ſoror & magiſtra, & per hæc omnia benefactrix, & quodcunq; tãdẽ honorabile vel factũ vel vocabulũ exiſtit, aut inueniri poteſt.

Mihi verò corporis ægrotatio, ab animi moleſtiis contigit. Propemodum exeſt cor meum præteritorum recordatio. Nam cùm eò vſque manere in viuis Syneſium oporteret, donec expers vitæ incommodorum eſſet, nunc tanquam ingruens procella, cumulatim & impetu veniunt, vitæque iucunditas immutata eſt. Deſinam aut vitam agere, aut filiorum ſepulchri memoriam retinere. Tu verò & ipſa valeas & beatos familiares noſtros, facto initio à patre Theotecno & Athanaſio fratre omnes ordine ſaluta, & ſi quis eſt illis adiectus qui tibi placeat, (Nam ego gratiam ei debeo, quòd tibi placet) ipſum quoque quaſi amiciſſimum amicum, meo nomine ſaluta. Si meæ res tibi curæ ſunt rectè facis. Sin minus, ne id quidem mihi magnoperè curæ eſt.

Heliodoro.

Dij benefaciant illi, qui tuam probitatem atque virtutem tuam honorificè prædicat. omniúmque aures tuis laudibus aureæ menti linguæque tuę debitis impleuit. Sed repentè gratiam pro encomius ei reddis. Rurſus enim ab infinitis aliis qui tuæ virtuti gloriæque fauent, laude afficitur. De quibus ego dubito, cui primas deferam. Immò non dubito, quoniam id omnes concedunt.

Fratri.

Hic ſenator eſt eius ciuitatis, in qua liberos ego genui. Cùm igitur omnes Alexandrinos, tanquam ciues coli & obſeruari à nobis æquum eſt, tum præſens reliquis maximè præſtat, quod cognatione beatum Theodorum attingit virum plurimum à nobis ſermone memoriáq; celebratum, & quod non parui fit ab iis, qui primas in republica noſtra tenent. Hi ad me eum adduxerunt, aurum ad ſtipédia militibus diſpertienda vobis afferentem, & flagitarunt vt meis literis eum quaſi viatico ad vos tranſmitterem: perſuaſum enim habebant, omnia ſecundùm animi ſententiam ei proceſſura, ſi à me impetraſſet, vt ſe tibi illique commendatum redderem. Ego quod petiuerunt non denegaui. Si non fruſtrà, vos declarabitis.

Herodæ & Martyrio.

Non videtur mihi communicatio literarum in criminis loco poni debere: ſed ſi mente animóque coniunctos, literis diremiſſem in eo culpa ineſſet. Rogo vos. Iterum atque iterum, optimi alloquimini & eum qui literas vobis reddit, qui auri perferendi cauſa ad vos publico conſilio miſſus eſt, quàm poteſtis humaniſsimè liberaliſsiméque tractate, quoniam ab vniuerſo ſenatu mihi commendatus eſt, velímque commodum aliquod libenter ei præſtare. Nec enim alios nouimus quibus vos quoque nos commendamus perinde curæ debeant eſſe, atque nobis.

Diogeni.

Dvm adhuc apud ſuperos ageret Beatus Theodorus communem pentapolitanis omnibus hoſpitem ſeſe præbuit, & ſibi parentes noſtros mirum in modum deuinxit, tum promptiſſimus in omnes officijs ac voluntate, tum linguæ facundia atque gratia. Multorum itaque iucundiſſimorúmque meritorum, quæ ſunt in nos ab illo perfecta, Ammonio conſobrino gratiam refe-

ἐμοὶ δὲ τὰ τῆς σωματικῆς ἀσθενείας, ψυχικὰς αἰτίας ἐξῆπται. κατὰ μικρὸν με δαπανᾷ τῶν ἀπελθόντων ἡ μνήμη. μέχρις ἐκείνου ζῆν ἄξιον συνέσιον, μέχρις ἦν ἄπειρος τῶν τοῦ βίου κακῶν. εἶτα ὥσπερ ῥεῦμα ἐπισχεθὲν, ἀθρόον ἐρρύη. καὶ μετέβαλεν ἡ γλυκύτης τοῦ βίου. παυσαίμην ἢ ζῶν, ἢ μνημονεύων τῆς υἱέων τοῦ τάφου. σὺ δὲ αὐτή γε ὑγιαίνοις, καὶ ἀσπάσαιο τοὺς μακαρίους ἑταίρους, ἀπὸ τοῦ πατρὸς Θεοτέκνου καὶ ἀπὸ τοῦ ἀδελφοῦ Ἀθανασίου ἀρξαμένη, πάντας ἑξῆς. καὶ εἴ τις αὐτοῖς προσγέγονεν, ὡς εἶναί σοι καταθύμιος, ἐμὲ δὲ δεῖ χάριν ὀφείλειν αὐτῷ διότι σοι καταθύμιός ἐστι, κἀκεῖνον ὡς φίλων φίλτατον ἄσπασαι παρ᾽ ἐμοῦ. τῶν ἐμῶν εἰ μέν σοι μέλει, καλῶς ποιεῖς. καὶ εἰ μὴ μέλει, οὐδὲ ἐμοὶ τούτου μέλει.

Ἡλιοδώρῳ.

Πολλὰ κἀγαθὰ γένοιτο τῷ δεῖνι, δι᾽ ὃν εὐφήμου μνήμης τὴν σὴν ἄγοντι σεμνοπρέπειαν. καὶ τὰς ἁπάντων ἀκοὰς ἐμπέπληκε τῶν ἐπαίνων τῶν σῶν, ὀφειλομένων τῇ χρυσῇ σου ψυχῇ καὶ γλώττῃ. πλὴν ἀλλὰ παρὰ πόδας ἀποδίδως τὴν χάριν τῆς εὐλογίας. αὖθις εὐφημεῖται γὰρ ὑπὸ μυρίων ὅσων τῶν σῶν ἐραστῶν. οἷς ἅπασιν ἐγὼ τῶν πρωτείων ἀμφισβητῶ. μᾶλλον δὲ οὐκ ἀμφισβητῶ. συγχωρήσουσι γὰρ ἅπαντες.

Τῷ ἀδελφῷ.

Ὁ δεῖνα βουλευτὴς μέν ἐστι πόλεως, ἐν ᾗ τοὺς παῖδας ἐγεννησάμην. ὥσπερ οὖν τινα πάντας Ἀλεξανδρέας ὡς πολίτας ὑφ᾽ ἡμῶν τιμᾶσθαι καὶ ἐρᾶσθαι προσήκει. τῷ δὲ ὑπάρχει συγγενεῖ τῷ τοῦ μακαρίτου Θεοδώρου σφόδρα διὰ μνήμης ἡμῖν ἀνδρὸς γενομένου καὶ μηδὲν ἀμελεῖσθαι ἀξιῶ παρὰ τῶν τῆδε τὰ πρῶτα ἐχόντων ἐν τῷ πολιτεύεσθαι. οὗτοί μοι προσήγαγον αὐτὸν, χρυσίον ὡς ὑμᾶς νομὴν στρατιώταις κομίζοντα. καὶ ἐδεήθησαν ἐμὲ τοῖς ἐφοδίοις γράμμασι, πρὸς ὑμᾶς πέμψαι, ἐν ὑμῖν πάντα καλὰς ἕξειν αὐτὸν, τυχόντι τοῦ παρ᾽ ἐμοῦ σοί τε καὶ τῷ δεῖνι συστῆναι. ἐγὼ μὲν οὖν ὅπερ ᾔτησαν ἔδωκα. εἰ δὲ μὴ μάτην, ὑμεῖς δείξετε.

Ἡρώδῃ καὶ Μαρτυρίῳ.

Οὐκ ἐν αἰτίᾳ μοι δοκῶ πεποιῆσθαι τὴν κοινωνίαν τῆς ἐπιστολῆς. ἀλλ᾽ εἰ διῴκισα γράμμασι τοὺς συνημμένους τῇ γνώμῃ, τοῦτο ἂν ἦν τὸ ὑπαίτιον. προσφθέγξασθε δὴ θαυμάσιοι καὶ τὸν ἐπιδόντα τὴν ἐπιστολὴν, ὃς ἐπὶ χρυσίου διακομιδὴν παρ᾽ ὑμᾶς ἐστάλη δημοσίαν ὁδὸν, θάλψατε τὸν ἐνδέχεται τρόπον, ἐπειδή μοι παρὰ παντὸς συνέστη τοῦ βουλευτηρίου. καὶ βουλοίμην μὲν ἀγαθοῦ τινος αἴτιος αὐτῷ γενέσθαι. οὐ μὴν εἰδέναι ὅτι μᾶλλον ὑμῶν ἑτέροις μέλειν ἄξιον ἡμῶν τι καὶ ὧν ἂν ἡμεῖς ἐπιβαλλοίμεθα.

Διογένει.

Ἕως ἔτι περιῆν ὁ μακαρίτης Θεόδωρος, κοινὸς μὲν ἦν ἁπάντων πεντα πολιτῶν πρόξενος. διαφερόντως δὲ τοὺς ἡμετέρους γονέας ἐξήρτητο, τῇ τε εἰς ἅπαντα σπουδῇ καὶ τῇ τῆς γλώττης εὐστομίᾳ καὶ χάριτι. τῶν οὖν παρ᾽ ἐκείνου πολλῶν καὶ ἡδίστων, εἰς Ἀμμώνιον τὸν ἀνεψιὸν τὴν χάριν ἀπο-

μνημονεύσαιμεν. ἐγὼ μὲν οὖν τοὐμὸν μέρος, ἀπέτισα. τί δὲ ἦν ἀπόντας ἔργον, ἢ τοῖς παροῦσι τὸν ἄνδρα συστῆσαι. τὸ δὲ μὴ βαρεῖαν αὐτῷ τὴν αὐτόθι γενέσθαι διατριβὴν, ὑμέτερον ἔργον.

Τῷ ἡγεμόνι.

ΕΙ τῆς Θεοδώρου μνήμη παρὰ τῇ σεμνοπρεπείᾳ τῇ σῇ, πῶς δεῖ μάλλον, χαρίσασθαι τοῖς εἰς τὸ ἀπολθεία καθήκουσι, τὴν εἰς τὸν ἀνεψιὸν τὸν ἐκείνου τιμήν. καὶ γὰρ ἄνδρα ἀγαθὸν εὖ πεποιηκὼς ἔσῃ, καὶ τῷ τῆς μεγάλης Ἀλεξανδρείας βουλευτηρίῳ χαρισάμενος. ὡς ἀθρόοι γενόμενοι, προσήγαγόν ἐμοὶ τὸν ἄνδρα. καὶ ἐδεήθησαν ὀνασθαί τι τῶν ἡμετέρων γραμμάτων. τὸ μὲν οὖν δοῦναι τὰς ἐπιστολάς, ἡμέτερον ἦν. τὸ δὲ εἰς ὄνησιν αὐτῷ γενέσθαι, παρ' ὑμῶν ἐπιζητεῖται.

Ἀναστασίῳ.

ΗΣθην. ἀλλὰ πῶς οἴει. πάνυ μὲν οὖν ἀπὸ βαθείας τῆς γνώμης ἥσθην, μαθὼν τὰ χρυσᾶ παιδία τῇ τοῦ βασιλέως φωνῇ νόμῳ σοι παιδία γενόμενα. μάλιστα μὲν, ὅτι σε φιλῶ. τίνα γὰρ ἂν δικαιότερον. εἶθ' ὅτι πονηροὺς ἀνθρώπους μισῶ. ὧν τὰς ἐν σκότῳ καὶ γωνίαις ἐλπίδας, ἡ χρηστὴ τύχη τῶν παιδίων ὑπετέμετο.

Διογένει.

ΤΟιοῦτόν ἐστιν, ἡ σύρων τρυφή. καὶ συγγενῶν καὶ φίλων ἐπιλήσμονας ἀποδείκνυσι. μεὶς γὰρ οὑτοσὶ πέμπτος. ἀφ' οὗ γράμμασιν ἡμᾶς οὐκ ἠσπάσω. καὶ ταῦτα δούσης σοι τῆς φύσεως οὐ μόνον πρὸς χρείαν, ἀλλὰ καὶ πρὸς ἔνδειξιν καὶ φιλοτιμίαν ὑπαγορεύειν ἐπιστολάς. ἀλλ' εἰ αὐτὸς ὑγιαίνοις, καὶ τὰ χρυσᾶ παιδία καὶ ἡ καλλίπαις μήτηρ αὐτῶν, ἡμῖν καὶ τοῦτο ἅλις ἔχει.

Σιμπλικίῳ.

ΕΔει μέν τοι τῇ τῆς τύχης τὰς γνώμας μὴ συνεξαιρεῖσθαι. μὴ δὲ τὸ μεμνῆσθαι τῶν πάλαι φίλων, ἔλαττον ἡγεῖσθαι τῆς παρούσης ἀξίας. σὺ δὲ ἡμῶν ἐπιλήσμων ἐγένου χρόνου συχνοῦ, χρῆν δὲ οὐχί. καίτοι σφοδρᾶς συναψάσης ἡμᾶς ἀλλήλοις.

Ἡλιοδώρῳ.

ΕΜοὶ μὲν συμπροέρχεται τοῖς ἐνιαυτοῖς, καὶ ἡ τοῦ φίλτρου προσθήκη. σὺ δὲ εἰ μὲν ὁμοίως ἔχων, οὐκ ἄγεις σχολὴν ὑπὸ τῶν πραγμάτων ὄχλου γράμμασι τιμᾶν ὡς εἰκὸς ἅπαξ ποτὲ, καὶ οἷς εἰκός, κλέψας σεαυτὸν ἀπὸ τῶν δημοσίων χρόνον ὅσον ἀρκέσαι πρὸς μέτριον ἐπιστολῆς, αὐτὸ τοῦτο μήνυσον. εἰ δὲ ἐπιγνώσῃ ἀληθευομένην κατὰ σοῦ τὴν ὑποψίαν τῆς λήθης, διόρθωσαι μετανοίᾳ καὶ σεαυτὸν ἡμῖν ἐπανάγαγε.

Τρωΐλῳ.

ΑΛλ' εἰ μήτε Κυρηναῖοι, μήθ' αἱ πόλεις ἀστυγείτονες ἀποτίνουσί σοι χάριν ἀξίαν, ἀνθ' ὧν ὁ θαυμάσιος Ἀναστάσιος αὐταῖς γράφει, πάντως γε ἡ τοῦ θεοῦ σοι προσέσται χάρις. ὧ σαυτὸν οἰκειοῖς τῇ κοινωνίᾳ τῆς εὐεργετικῆς προαιρέσεως. εὐδαιμονοίης ἄριστε φιλοσόφων. οὕτω γὰρ ἐμοί σε φίλον καλεῖν, ὥσπερ ὑπαγορεύει τὰ πράγματα.

ramus. Ego quidem, quantum in me fuit, rependi. Quid verò potuit abſens magis efficere, quàm vt hominem præſentibus quàm commendatiſſimum redderet. Veſtram autem partium eſt operam dare, vt ne quid moleſtiæ ex iſta mora conuerſationéque capiat.

Hegemoni.

SI Theodori memoria non apud tuam probitatem intercedit (nullo verò id modo) largiaris eis qui mortuo cognatione iuncti ſunt honorem in conſobrinum ipſius collatum. Nam in virum bonum & honeſtum, beneficium contuleris & Alexandriæ maximæ ſenatui gratiſſimum feceris: quoniam ad virum omnes hominem ad me adduxerūt rogarúntque vt noſtris literis aliquantum eum iuuaremus. Noſtrum igitur fuit, literas dare, prodeſſe verò à vobis requiritur.

Anaſtaſio.

GAuiſus ſum, dicas quomodo: Prorſus toto animo lætitia ſum perfuſus, cùm aureos liberos regis voce, lege tuos liberos factos eſſe cognouiſſem. Id adeò, quoniam amo te quem enim meliore iure? Tum quia prauos homines odio proſequor, quorum expectationem in tenebris, & angulis latentem, optima puerorum fortuna intercepit & ad nihilum redegit.

Diogeni.

EIuſmodi ſunt Syrorum delitiæ, quæ amicorum cognatorúmque immemores faciunt. Menſis enim hic eſt quintus, cùm literis me ſalutem quidem nobis dixiſti, idque cùm natura tibi dederit, vt non modò ſicubi vſus poſtulat, verùm etiā ad oſtētandum & contendendum idoneas literas conficere poſſis. Sed modò tu bona ſis valetudine item aurei liberi tui atque mater ipſorum pulchripera, nobis hoc etiam ſatis eſſe debet.

Simplicio.

AT non oportebat ad fortunæ deſtitutionem ſimul animi ſententia deficere, neque vt veterum amicorum meminiſſes præſenti conditione indignum putare. Tu verò iam longo tempore noſtri memoriam abieciſti, ſecus quàm par erat, cùm arctiſſima nos amicitia mutuò coniunxerit.

Heliodoro.

MIhi quidem vnà cùm annis, incrementa cupiditatis procedunt. Tu verò ſi in eodem loco cōſtitut⁹, non tantùm vt à negotiorū turba, feriaris, literis afficere quemadmodum æquum eſt ſemel aliquando, & quod æquum eſt poſſis, ſuffurare à negotiis publicis tantùm temporis, quantùm ad mediocres literas parandas ſatis ſit, & id ipſum nobis planum facito. Sin animaduertis te obliuionis nomine verè ſuſpectum eſſe, corrigas pœnitudine, & temetipſum nobis reſtituas.

Troilo.

SI neque Cyrenenſes neque vicinæ ciuitates dignam gratiam tibi reddunt, pro eo quod diuinus Athanaſius eis ſcripſit. at à Deo ſine dubio copioſè tibi gratia referetur, cuius tibi beneuolentiam ac fauorem demeteris ſocietate voluntatis benefaciēdæ. Viuas fœliciter philoſophorum præſtantiſſime. Hoc enim te nomine mihi placet appellare, quòd res ipſa ſuppeditat.

Conſtanti.

SI philoſophiæ præſtantiam ac virtutem in honore habes non ſolùm in præſentibus iis, qui ſunt eius participes, verùm etiam in abſentibus eam coles ac reuerebere. Diuinus autem Amyntianus, qui apud nos honeſtiſſimum aliquando finem adeptus eſt, mea certè ſentẽtia, quamuis abeſſe videatur præſtò eſt. Huius proximum cognatũ, ipſum conſobrinum veſter Soterichus iniuria lædit. Oſtende igitur tibi Dionyſium curæ eſſe, & Soterichum ab iniuria deſtitiſſe.

Simplicio.

REmittenda ſunt vt inquit Deus, debita. Debet autem alius auri ſummam, alius ſupplicium. Et is qui ſupplicium condonauit, Deo morem geſſit.

Pentadio Auguſtalio.

INterpellationum & negotiorum quæ tibi faceſſimus tute temetipſum accuſas. Etenim cùm animaduerteris vt omnes intelligerent me magni à te fieri omnibus afflictis ad me curſum aperuiſti. Scis igitur quid facias vt & me vulgus obtundere atque inquietum reddere deſinat, & ego tibi vulgi nomine moleſtias creare ceſſem. Etiamſi tenuem omninò facilémque petitionẽ afferat is cuius gratia literas mitto, digniſſimúſque ſit omnium hominum iudicio, cui quod petat non denegetur: tamen repulſam nihilominus à te patiatur, quàm ſi ſceleratiſsimus eſſet, rémque nefariam poſtularet, cúmque velut ea de re tecum expoſtulaturus ad te venero, miniſtris tuis vt oſtium à facie mea claudant imperabis. Cùm illud partim homines præſentes viderint, partim ex his qui viderunt audierint, pòſt ego & tu otio quietiſsimo perfruemur neque quiſquam in poſterum ad me curret amplius & lachrymas in conſpectu meo perfundet. Sin id facere pertimeſces & noles eam hominum calumniam ſubire, patere vt quotidie multos homines beneficiis afficias, qui meo Deique auſpicio ſupplices tibi fiunt. Sed cùm perſpectum habeam, te nullum officium recuſare, neque ego materiam aptam tuæ naturæ ſubiicere recuſo.

Eidem.

EGo tui pariter & illius curam gero. Tui me iniuriã inferas, illius, ne iniuriã patiatur. Quòd ſi in eadem es ſententia cum Platone grauius eſſe malum, iniuriam inferre, quàm pati magis tibi gratificari quàm illi, videri debeo, cùm pro eo rogem à quo nullo ſuo merito vel peccato pœna repetitur.

Aureliano.

SI quemadmodum ſunt præfecti, ſic etiam ſunt animi quidam ciuitatum cæleſtes atque diuini, gratiam ab omnibus haberi tibi putato, memoriámque celebrari benefactorum, quorum in ſummo imperio gentibus vniverſis autor extitiſti. Hos igitur omnibus & ſingulis temporibus tibi ſuo patrocinio atque auxilio præſto eſſe ſtatutum habe, communémque Deum obſecrare, vt tuam ipſius imitationem digno ſtipendio remuneret. Solum enim hoc opus commune cum Deo homines habent, vt bene mereantur. Imitatio verò quædam conciliatio eſt & cõiungit cũ eo cuius eſt imitatio, id quod imitatur. Proinde talem te præbeas, vt Deo quàm coniunctiſsimus benemerendi ſtudio ac cõmunitate efficiaris, ſpéſque ampliſsimas concipe

Κωνσταντι.

ΕΙ δὲ φιλοσοφίας τιμᾷς ἀρετὴν, οὐ μόνον ἐν παροῦσι τοῖς μετασχοῦσιν αὐτῆς, ἀλλὰ καὶ ἐν τοῖς ἀποῦσι τιμήσεις. ὁ δὲ θεσπέσιος Ἀμυντιανὸς ὁ παρ' ἡμῖν ποτε τυχὼν ἀμείνονος λήξεως, ἐμοὶ δοκεῖ πάρεστι καὶ ἀπεῖναι δοκῶν. τούτου συγγενὴς σφόδρα ἀνεψιὸν, ὁ παρ' ὑμῖν Σωτήριχος ἀδικεῖ. δεῖξον ὅτι καὶ ἤδη Διονυσίου, καὶ πέπαυται Σωτήριχος ἀδικῶν.

Σιμπλικίῳ.

ΑΦεῖναι φησὶ δεῖν ὁ θεὸς τὰ ὀφειλήματα, ὀφείλει δὲ ὁ μέν τις δάνεισμα χρυσοῦ. ὁ δὲ, τὸ δοῦναι δίκην. καὶ ὁ τοῦ λαβεῖν οὖν δίκην ὑφιέμενος, ὑπήκουσε τοῦ θεοῦ.

Πενταδίῳ αὐγουσταλίῳ.

ΤΟῦ παρ' ὑμῶν ὄχλου καὶ τῶν πραγμάτων, αὐτὸς σὺ σαυτῷ αἴτιος. φιλοτιμηθεὶς γὰρ πᾶσι γνωσθῆναι καταφανὴς, ὅτι με διὰ πάσης ἄγεις τιμῆς, ἅπασι τοῖς καταπονουμένοις, ἐπ' ἐμὲ τὸν δρόμον ἀνέῳξας. οἶδ' οὖν ὅπως ποιήσεις, εἰ δεῖ τι τὸ πεπαῦσθαι καὶ μὴ κεντούμενον ὑπὸ πολλῶν καὶ σὲ παρὰ πολλῶν ὑπ' ἐμοῦ, εἰ καὶ πάνυ δεῖται μετρίας καὶ φιλανθρώπου ὑπὲρ οὗ γράφω, καὶ τυχεῖν ἐστιν ἀξιώτατος ὡς ἅπαντες ἴσασιν, ἀποτυγχανέτω σου μηδὲν ἧττον, ἢ εἰ παμπόνηρός τις ἦν, καὶ παμπόνηρον ᾔτει πράγματων. τοῦτό τι οὖν, καὶ ὅταν ἀφίκωμαι παρὰ σὲ δεῖσθαι πειρασόμενος, προστάττε τοῖς ὑπηρέταις, ἐπιζυγῶσαί μοι κατὰ τοῦ προσώπου τὰς θύρας. εἰ τοῦτο γενόμενον οἱ μὲν ἴδωσιν, οἱ δὲ, τῶν ἰδόντων ἀκούσωσι, τὸ ἐντεῦθεν ἐγὼ καὶ σὺ, βαθεῖαν εἰρήνην ἄξομεν. ὡς οὐδεὶς ἔτι τοῦ λοιποῦ προσδραμεῖταί μοι καὶ προσανακλαύσεται. εἰ δὲ ἀποδειλιάσεις καὶ οὐκ ἐθελήσεις ταυτά σοι τοὺς ἀνθρώπους συγγνῶναι, εὔχου πολλάκις τῆς ἡμέρας ἀγαθόν τι ποιεῖν ἀνθρώπους, ἱκέτας σου γινομένους δι' ἐμοῦ τε καὶ τοῦ θεοῦ. ἀλλὰ σὺ οἶδ' ὅτι, οὐκ ἀπαγορεύσεις σὺ ποιῶν. οὔκουν οὐδὲ ἐγὼ, ἀρεσκούσας ὑποθέσεις τῇ φύσει σου πορίζομενος.

Τῷ αὐτῷ.

ΕΓὼ καὶ σοῦ κήδομαι καὶ τοῦδε. σοῦ μὲν ὡς μὴ ἀδικοίης. τοῦδε δὲ, ὡς μὴ ἀδικοῖτο. εἰ δὲ καὶ σοὶ δοκεῖ μετὰ τοῦ Πλάτωνος, τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι μεῖζον εἶναι κακὸν, ἔοικα σοὶ μᾶλλον, ἢ τῷδε χαρίζεσθαι, δεόμενος ὑπὲρ αὐτοῦ προστιθεμένου δίκας ὑπὲρ ὧν οὐκ ἐξήμαρτεν.

Αὐρηλιανῷ.

ΕΙ τινές εἰσι ψυχαὶ τῶν πόλεων, ὥσπερ οὖν εἰσιν ὕπαρχοι, θεῖαί τε καὶ δαιμόνιοι, πάσας ἡγοῦσαι χάριν εἰδέναι, καὶ ἀπομνημονεύεσθαι τῶν ἀγαθῶν ὧν ἐπὶ τῆς μεγάλης ἀρχῆς ἅπασιν ἔθνεσιν αἴτιος γέγονας. αὐτάς τε οὖν ταύτας παρὰ τοὺς καιροὺς ἑκάστους οἴου σοι παρεστάναι συνηγόρους τε καὶ συμμάχους, καὶ τοῦ κοινοῦ θεοῦ δεῖσθαι, γνωσθῆναί σοι πρεπούσας ἀμοιβὰς τῆς ἐνδεχομένης ἐκείνου μιμήσεως. τὸ γὰρ εὖ ποιεῖν, ἓν τοῦτο μόνον ἔχουσι κοινὸν ἔργον ἄνθρωπος καὶ θεός. ἡ δὲ μίμησις, οἰκείωσίς ἐστι. καὶ συνάπτει πρὸς ὃ μιμεῖται τὸ μιμούμενον. διάκεισο τοίνυν ὡς ἀπειργασμένος οἰκείως τῷ θεῷ, τῇ κοινωνίᾳ τῆς εὐεργετικῆς προαιρέσεως. καὶ σαυτῷ γλυκείας ἐλπίσι

ὁπόσοι τῇ τοιαύτῃ τῆς ψυχῆς διαθέσει προσήκουσιν, ὦ μεγαλοπρεπέστατε μόνος, ἢ μετ' ὀλίγων σὺ μόνος, δικαίως καλούμενος. ἀσπάζομαι διὰ τῆς σεμνοτάτης φωνῆς τοῦ πατρός, τὸν νέον ταῦρον τὰς ἀγαθὰς ῥωμαίων ἐλπίδας.

Τῷ ἀδελφῷ.

Ὁ καὶ τοὔνομα δοῦλος καὶ τὴν προαίρεσιν, ὃν ἀγνοήσας, ὡς παιδοτρίβην παρὰ τῶν Θεοδώρου κληρονόμων ἐωνήμην, πάλαι μέν ἐστι πονηρός. καὶ γὰρ ἔφυ καὶ τέθραπται κακῶς. καὶ ἀγωγῆς οὐκ ἀπέτυχεν ἀξίας τῆς φύσεως, ἐκ παιδὸς ἐν τηλίᾳ καὶ κύβοις καὶ καπηλείοις καλινδηθείς. ἀλλὰ νῦν Λυσίας ἂν εἶπεν ἐξείργασται καὶ τέλος ἔχει. καὶ πέρας ἀηδίας ἐστίν. ἑρμῇ μὲν γὰρ καὶ ἡρακλεῖ τοῖς παλαίστρας ἐφόροις οὐδὲ κατὰ μικρὸν προσίησι. κοτύττοι δὲ καὶ τοῖς ἄλλοις ἀττικοῖς κονισάλοις νεωκορεῖ. καὶ εἴ τινές εἰσι τούτου τοῦ κόμματος ἕτεροι δαίμονες, ἅπασιν αὐτῷ μέλει καὶ τούτων αὐτοῦ. δίκην μὲν οὖν ἑτέραν, οὐκ ἂν λάβοιμι παρ' αὐτοῦ. ἀποχρῶσα γὰρ ἡ πονηρία δίκη τοῦ πονηροῦ. δοκιμασθεὶς δ' ἀνεπιτήδειος εἶναι συμβιοτεύειν φιλοσόφοις δεσπόταις, ὧν οἰκουρούντων αἰσχύνη περινοστεῖ, ἐχέτω τὴν ἔχουσαν αὐτὸν πόλιν. ὁ γὰρ ἰδὼν τὸν πορνοτελώνην σοβοῦντα διὰ τῆς ἀγορᾶς, ἐν στεφάνοις καὶ μύροις μεθύοντα καὶ κωμάζοντα, καὶ πάσης ἀκολασίας ἐμπιπλάμενον, καὶ ᾠδὰς ᾄδοντα πρεπούσας τῷ βίῳ, ἐπὶ τοὺς ἔχοντας αὐτὸν τὴν αἰτίαν ἀνήγαγεν. ὅπως οὖν αὐτὸν παραδοὺς τῷ ναυκλήρῳ πλεῖν ἀναγκάσῃς εὐθὺ τῆς ἐνεγκούσης αὐτόν. ἐκείνη γὰρ ἂν αὐτὸν καὶ ἀνάσχοιτο δικαιότερον. πλείτω δεδεμένος ἐπὶ τοῦ καταστρώματος. μὴ γὰρ εἰς κοίλην ναῦν καταβαίη. ἐπεὶ μὴ θαυμάσῃς, εἰ συχνὰ τῶν κεραμίων ἡμιδεῆ σοι ποιήσειεν. εἰ δὲ ὁ πλοῦς παρατείνοιτο, καὶ μέχρι τρυγὸς ἂν ἐκροφήσειε τὰ ἀνθοσμίας. καὶ τοὺς ναύτας δ' ἂν αὐτὰ ταῦτα ποιεῖν ἀναπείσειε. πρὸς γὰρ τοῖς ἄλλοις καὶ πιθανώτατόν ἐστι τὸ κακὸν, εἰς ἀπολαύσεις ἐκλῦσαι. καὶ τίς οὕτως ἐμβριθής ἐστι τῶν μισθοῦ πλεόντων τὴν θάλατταν, ὡς μὴ διαχυθῆναι τοῦ καθάρματος κορδακίσαντος ἐν τῇ τοῦ ποτηρίου περιφορᾷ. καὶ ἄλλα πολλὰ βωμολοχεύεται. πρὸς ἃ δεῖ παρατετάχθαι τὸν ναύκληρον. ὁ μὲν οὖν ὀδυσσεὺς, ἵνα μὴ ὑφ' ἡδονῆς διαφθαρείη, τὴν σειρήνων ἀκτὴν δεδεμένος παρημείβετο. οὗτος δὲ, ἵνα μὴ τοὺς πλέοντας ἡδονῇ διαφθείρειεν, ἂν ἐκεῖνοι σωφρονῶσι, δεδήσεται.

Τῇ φιλοσόφῳ.

Ἠχοῦς ἔοικα πρᾶγμα ποιεῖν. ἅσπερ εἴληφα φωνὰς, ἀποδίδωμι, τὸν θαυμάσιον ἀλέξανδρον ἐπαινῶν παρὰ σοί.

Αὐρηλιανῷ.

Οὔπω τῇ προνοίᾳ μέλει ῥωμαίων. ἀλλὰ μελήσει ποτὲ καὶ οὐκ εἰς ἅπαν οἰκουρήσουσιν, οἱ τὰ κοινὰ σώζειν δυνάμενοι. ἀλλὰ τῷ γε ῥήτορι τῷ συντρόφῳ, καὶ ἡ παροῦσά σοι δύναμις ἀρκεῖ πρὸς ὃ τυγχάνει δεόμενος. ἀπολαυέτω δὴ νῦν μὲν, αὐτὸς μόνος ταύτης. ὕστερα μετὰ τῶν ἐθνῶν ἁπάντων, κἀκείνης.

Τῷ ἀδελφῷ.

Ἐπιτομωτάτην ὁδὸν ἐπὶ τὸ πλουτεῖν εὗρεν ὁ ἀθανάσιος. ἔγνωκεν ὁμόσε ἰτέον εἶναι τοῖς ἀπο-

cuiuſmodi talem animum ac virtutem decent ò magnificentiſſime, qui ſolus aut cum paucis tu ſolus hoc nomen merito ſubis. Voce ſanctiſsima patris Taurum adoleſcentum, ſaluto ſpem Romanorum optimam.

Fratri.

ET nomine ſeruus, & mentis inſtituto, quem ignaro quaſi liberorum moderatorem à Theodori hæredibus emi, iam pridem nequitia plenus eſt. Nam & natus & educatus eſt inequiter, diſciplinámque ſortitus eſt naturæ conuenientem quippe qui à puero teſſeris, talis & cauponis diligenter aſſueuerit. At nunc, Lyſias diceret, perfectionem finémque eſt aſſecutus, iamque moleſtiæ de medio receſſerunt. Nam ad Mercurium & Herculem Palæſtræ præſides ne minimum quidem attinet. Sed Cotyti, reliquiſq; Atticis Conuiſſalis miniſtrat & ſi qui ſunt huius fec, s alij dæmones, omnibus ille curæ eſt & hi rurſus illi. Supplicium igitur de ipſo non aliud ſumam. Satis enim graue ſupplicium malo eſt ipſa malitia. Cùm verò compertum ſit, eum non idoneum ad vitam cum Philoſophis dominis agendam eſſe, quibus domi latentibus labes circumuagatur, habeat habentem ſe ciuitatem. Nam cùm quis videt ſcortatorem in foro, ſertis redimitum oberrare, vnguentis propemodum ebrium, Bacchari omnis intemperantiæ plenum, cantiones vitæ conſentaneas canere, culpam in eos, cum quibus eſt, transfert. Quare Nauclero tradas, rectáque in patriam quæ tulit eum nauigare cogas. Nam illa iuſtius etiam eum tolerabit. Nauiget tranſtris alligatus. Nec enim in mediam nauem deſcendat. Alioqui ne mireris: ſi multos cados tibi ſemiuacuos fecerit, durante verò, longius nauigatione, vinum vſque ad fecem abſorpſerit, nautiſque vt idem faciant perſuaſerit. Nam præter cetera, ad voluptates incitandi arte optima prędítus eſt. Neque quiſquam eſt tam ſeuerus aut rigidus ex his qui mercede conducti mare nauigant, quin hac labe ſaltante ad poculi circuitum ad voluptatem ac remiſſionem animi trahatur. Alia quoque multa ſcurriliter agit, contra quæ Nauclerum obfirmatum & munitum oportet eſſe. Vlyſſes igitur, ne voluptatis illecebris caperetur, vinctus Sirenum littus præteruectus eſt. Hic verò, ne voluptate nauigantes corrumpat, ſi ipſi ſapiant vincietur.

Philoſophæ.

Echo videor agere. Quas voces accepi reddo, qui diuinum & admirabilem Alexandrum apud te laudibus extollam.

Aureliano.

NOndum Romanorum prudentiæ curæ eſt, ſed adhibebunt aliquando curam, nec in perpetuum domi delitescent, qui Rempublicam ſeruare poſſunt. Sed oratori Syntropho, tua manus quam habes ſufficit ad quod petit. Vtatur igitur nunc ſolus, hac deinde verò cum omnibus populis etiam illa.

Fratri

BReuiſsimo cōpendio ad comparandas opes perfectus eſt Athanaſius. Cenſuit cum morientibus manum

manum conferẽdam eſſe & experiundam cum his omnia vi ac perſuaſione. Quare ne ignoret lictorem ad teſtamentum vocatum eſſe. Sed cùm animaduertit, ſaltat.

Eidem.

DEcima ſexta menſis Athyr beatus Caſtricius, hoc ipſum quod dicitur, effectus eſt, cùm ſpectrum horrendum vidiſſet atque narraſſet.

Anyſio.

IOannes, quem ob hoc ipſum amo, quòd te amat, cum morbo grauiſſimo luctatus eſt, neque tam ei moleſta fuit aduerſæ valetudinis acerbitas, quàm quòd ſancti tui capitis aſpectu & præſentia careret: ſi quidem, nunc etiam eadem res eum cruciát. Huic autem quid cauſſæ eſt quamobrem tertiom etiam hac re morbi dolorem aggrauari patiaris? Magna cupiditate militare facinus aliquod patrandi, flagrat & moleſtè fert hanc ſibi neceſſitate deſidiam imponi.

Aureliano.

MAieſtatem animi tui miſſam ad hoc ipſum eſſe arbitror, vt in ea commune præſidium conſtitutum hominibus eſſet, gratiámque habere, ſi qui iuſta petentes commendent: quòd ij tuæ naturæ ſubiectum & materiam conuenientem præbeant. Non enim quòd meus cognatus eſt Herodes, ſed quoniam iuſta petit, idcirtò tibi iuuenem commendo, qui clariſſimis maioribus ortus, quoniá præſtantiſſimam terram ſenatui tributariá cum imperio tenuit, & quæſtor fuit, rationes ad ærarium referre cupit, quemadmodum recentiores ſenatores, duplicique munere publico fungi, altero quòd ad rem pecuniariam, altero quòd ad magiſtratum pertinet, quem geſſit.

Fratri.

RApit me ad te deſiderium & vſos. Quare ſi manſeris venturum intelligo.

Vranio.

EQuum tibi dono miſi ad omnem virtutem, quæ quidem in equo cernitur habiliſsimum naturá ac expeditiſsimum: quo vteris in curriculorum certaminibus. Vteris etiam in venando, præliiſque militaribus, & cùm de Libycis triumphum egeris. Etenim non poſſum ſatis conſtituere, magiſ-ne ſit venator, an celes ludorum, an verò triumphator, an bellator. Quòd ſi Niſſenſibus equis aſpectu deformior eſt, cranio verrucoſo, lumbóque obeſo, cogitabis qoemadmodum neque hominibus, ſic neque equis omnia coniunctim à Deo dari. Ad illas autem virtutes hoc ei nihil confert, ſi mollia duris pauciora à natura ſortitus eſt. Ad labores verò, certum eſt oſſa carnibus plus habere momenti. Veſtr. ſunt igitur, carnibus plenioribus, noſtri verò oſſibus.

Hetæro.

COnduxi tibi nauem hominom nobilium & mare maiore cum arte quàm fortuna nauigantium. Nam fama proditum eſt, Carpathiorum naues onerarias vti ſumma prudentia, quemadmodum antiquorum phæacum priùs quàm inſula iniuriam diuinam incideret.

θνήσκουσι καὶ προσεχεῖς αὐτοῖς, πειθοῖ καὶ βίᾳ πᾶν ὅτι αὖ δύναιτο. ἵνα δ᾽ ἂν αὐτὸν λάθῃ δημόσιος, ἐπὶ διαθήκῃ κεκλημένος. ἀλλὰ συνεὶς ἅλλεται.

Τῷ αὐτῷ.

ἙΚκαιδεκάτῃ μηνὸς Ἀθὺρ, ὁ μακαρίτης Καστρίκιος, αὐτὸ τοῦτο ἐγένετο, φάσμα χαλεπὸν ἰδών τε καὶ διηγησάμενος.

Ἀνυσίῳ.

ἸΩάννης, ὃν ὅτι σε φιλεῖ δι᾽ αὐτὸ τοῦτο φιλῶ, νόσῳ χαλεπῇ προσεπάλαισεν. ἦν δὲ αὐτῷ δεινὸν, οὐχ ἡ νόσος. ἀλλὰ τὸ σοῦ τῆς ἱερᾶς ἀπεῖναι κεφαλῆς. ἐπεὶ καὶ νῦν ἐν τοῖς ὁμοίοις ἐστί. τούτῳ δέ τι καὶ ἕτερον προσὸν χαλεπώτερον τῆς νόσου ποιεῖ. ἐρᾷ τι ποιεῖν στρατιώτην ἄριστον, καὶ δυσκόλως ἔχει πρὸς τὴν ἐξ ἀνάγκης ἀργίαν.

Αὐρηλιανῷ.

ΟἸμαί σε τὴν θεσπεσίαν ψυχὴν ἐπ᾽ αὐτὸ τοῦτο κατεπεμφθεῖσαν, ἐφ᾽ ὃ κοινὸν ἀγαθὸν ἀνθρώποις εἶναι καὶ χάριν εἰδέναι τοῖς συνιστᾶσι τοὺς δεομένους δικαίων, ὅτι σου πρεπούσας ὑποθέσεις τῇ φύσει πορίζονται. οὐ γὰρ ὅτι συγγενής ἐστιν Ἡρώδης ἐμὸς, ἀλλ᾽ ὅτι δεῖται δικαίων, διὰ τοῦτό σοι τὸν νεανίσκον συνίστημι. ὅστις ἐκ προγόνων λαμπρότατος ὢν καὶ τὴν πρωτίστην βῶλον ὑποτελῆ τῇ συγκλήτῳ διαδεξάμενος, ἐπειδὴ γέγονεν ἡγεμὼν, ἀξιοῦται συντελεῖν ὥσπερ οἱ νεόβουλοι. καὶ γίνεσθαι διπλοῦς λειτουργός. τὸ μέν τι διὰ τὴν οὐσίαν, τὸ δὲ δι᾽ ἣν ἦρξεν ἀρχήν.

Τῷ ἀδελφῷ.

ἝΛκει με παρὰ σὲ πόθος καὶ χρεία. πυνθάνομαι τοίνυν εἴπερ μένεις ἥξοντα.

Οὐρανίῳ.

ἜΠεμψά σοι δῶρον ἵππον ἀχρειοφυέστατον, εἰς ἅπασαν ἀρετὴν ἵππῳ προσήκουσαν. χρήσιμον μὲν ἐν ἁμίλλαις δρόμων. χρήσιμον δὲ ὅταν ἐπὶ θήραν ἐξάγῃς, καὶ ἐν ἀγῶσι πολεμικοῖς. καὶ ὅταν κατάγῃς ἐπὶ τοῦ λιβυκοῦ τροπαίου πομπὴν ἐπινίκιον. οὐ γὰρ οἶδα ὅτι μᾶλλον ἐστὶ κυνηγέτης, ἢ κέλης ἐναγώνιος, ἢ πομπικὸς, ἢ πολεμιστήριος. εἰ δὲ νισαίων ἵππων ἰδεῖν ἐστιν αἰσχίστερος, ὀχθώδης τὸ ἐν τῷ κρανίον, καὶ λεπτόσαρκος τὴν ὀσφὺν, τάχα μὲν οὐδὲ τοῖς ἵπποις, ὥσπερ οὐδὲ τοῖς ἀνθρώποις, ἅμα πάντα δίδωσιν ὁ θεός. μήποτε δὲ τοῦτο καὶ πρὸς ἐκείνας αὐτῷ τὰς ἀρετὰς συντελεῖ, εἰ τὰ μαλακὰ τῶν σκληρῶν ἐλάττω παρὰ τῆς φύσεως ἐκληρώσατο. πρὸς μέντοι τοὺς πόνους, ὀστᾶ σαρκῶν οἶδα διαρκέστερα. οἱ μὲν οὖν παρ᾽ ὑμῖν ἵπποι, τῇ σαρκὶ πλείονές εἰσιν. οἱ δὲ ἡμέτεροι τοῖς ὀστέοις.

Ἑταίρῳ.

ἘΜισθωσάμην σοι ναῦν, ἀνθρώπων ἀρίστων καὶ πλεόντων τὴν θάλατταν μετὰ πλείονος τέχνης ἢ τύχης. ὡς αὐτὸ καρπαθίων ὁλκάδες, φήμην ἔχουσι διανοίᾳ κεχρῆσθαι καθάπερ οἱ φαίακες τὸ πάλαι, πρὶν ἐπὶ τῆς νήσου ἥκειν τὸ δαιμόνιον μήνιμα.

Κληδονίῳ.

Συγγενὴς ἐμὸς ἀδικεῖται. σὺ δὲ καὶ φίλος εἶ, καὶ δικάζειν ἔλαχες. ἐκ μιᾶς οὖν προσοχῆς, ὑπάρξει σοὶ κἀμοὶ καὶ τοῖς νόμοις χαρίσασθαι. ἐπανίτω τοίνυν ἀσφαλῶς, εἰς τὸ δεσπότης εἶναι τῆς κεραμίας τῆς τοῦ πατρὸς διαθήκῃ προσλαβὼν τὴν ἀπόφασιν. τῆς κατηγορίας οὐκ ἐσομένης ἐμποδὼν τῷ παραυτίκα τῆς ἀκροάσεως. τότε γὰρ δεῖ δικαιοδοτεῖν, ἢ τὸν χρόνον, ἐν ᾧ μάλιστα τυγχάνομεν δεόμενοι τοῦ θεοῦ.

Ἀναστασίῳ.

Σωσηνᾶν τις ἔπεισεν ἢ θεός, ἢ λόγος, ἢ δαίμων, ὅτι ἐστὶ παρὰ τὰ χωρία τὰ γίνεται τοῖς ἀνθρώποις, εἰς τὸ τυγχάνειν τι καὶ ἀποτυγχάνειν δύναμις τοῦ θεοῦ. προστάτου μὲν πονήρως παρ' ἡμῖν, καὶ τὴν πατρῴαν ἀκριβῶς ἐκκοπείς, ἔγνωκε πλεῖν εἰς τὰ Θρᾴκης χωρία, ἐκεῖ διαλλαγησόμενος πρὸς τὴν τύχην. εἰ δή σοι φίλα πρὸς τὴν δαίμονα, σύστησον αὐτῇ τὸν νεανίσκον. καὶ ἐξευρέτω τινὰ πόρον αὐτοῦ χρημάτων. ῥᾴδιον δὲ βουλομένῃ. καὶ γὰρ τὰ Νόννου τοῦ Σωσηνᾶ, φύσαντος ἀχαλεπῶς εἰς ἑτέρους μετέθηκεν. ἀποφηνάτω δὲ καὶ Σωσηνᾶν κληρονόμον ἀλλοτρίων πατρός. γένοιτο γὰρ ἂν οὕτως ἐξ ἀδικίας τὸ δίκαιον.

Ἰωάννῃ.

Ὥσπερ ἄλλο τι πολλάκις ἐπὶ τῶν καιρῶν ἐγενόμην σοι χρήσιμος, καὶ παρεμυθησάμην δυσχέρειαν τύχης, τὰ μὲν, λέγων. τὰ δὲ, ποιῶν, ὡς ἑκάστοτε ἡ δύναμις ὑπηγόρευεν, καὶ νῦν περὶ τῶν καταλαβόντων σε πραγμάτων, δοκεῖ μοι συνεισενεγκεῖν τινὰ γνώμην, ἐπειδὴ μὴ ἔργον δύναμαι. Συνεσίῳ γὰρ οὐ θέμις, ἕως ἐμπνεῖ τι καὶ δύναται, μὴ οὐχὶ παντὶ τρόπῳ πρόθυμον εἶναι τοὺς φίλους ἀγαθόν τι ποιεῖν. ἄκουε τοίνυν ἅ μοι καλῶς ἔχει διαλεχθῆναι πρὸς σέ. εἰ μὲν θεός ἐστιν ἡ φήμη κατά τινα τῶν παρ' ἡμῖν ποιητῶν, σὺ διακεχείρισαι τὸν μακαρίτην Αἰμύλιον. οὐ πράξας, ἀλλὰ βουλεύσας τὸν φόνον. καὶ βαρβαρικὸν μὲν δρᾶμα συνθείς, τὸν σφαγέα δὲ καθεὶς ἐκ τῶν σαυτοῦ λοχιτῶν τὸν ὠμότατον. λέγει μὲν γὰρ ἡ φήμη ταῦτα. ψεύδεσθαι δὲ οὐ θέμις, ὥσπερ θεόν. εἰ δὲ Ἡσίοδος μὲν οὐδὲν λέγει, πολλὰ δὲ λέγεται μάτην, καὶ τοῦτο περὶ σοῦ τῶν πολλῶν ἐστιν ἕν, ὡς ἔγωγε βουλοίμην ἄν. περὶ ἐλάττονος γὰρ ποιοῦμαι τὴν ἐν ἀργυρίῳ ζημίαν, ἢ τὴν ἐν φίλοις. καὶ νῦν εἰ οὐχ ὑπαίτιος ὢν ἀκούεις κακῶς, ἀτυχεῖς μὲν ἄρα. ἀλλ' οὐκ ἀδικεῖς. ὡς ὤφελες μὴ δὲ ἀτυχεῖν. ἀλλ' ἐκείνως μὲν ἄν σοι καὶ μῖσος ὠφείλετο δίκαιον. οὕτω δὲ καὶ ἔλεος. ἐγὼ δέ μοι δοκῶ χεῖρον ὑπὸ συνηθείας ἁλώσιμος ὤν, κἀκείνως ἂν τὸ μὲν πρᾶγμα μισεῖν. σὲ δὲ ὅμως ἐλεεῖν. τοῦ δὲ ἐλεοῦντός ἐστι, βοηθεῖν ὅση δύναμις. καὶ ἐξευρίσκειν, ὅθεν ἂν οἴηται ὀνήσειν τι. οὐκοῦν καθ' ἑκάτερον μοι προσήκει συμβουλεῦσαί σοι τὸ φαινόμενον βέλτιστον. ἔοικε δὲ ταυτὸν εἶναι συμφέρον, αἰτίῳ τε ὄντι καὶ ἀναιτίῳ. ἴθι παρὰ τοὺς νόμους. καὶ σαυτὸν ἔκδος τῷ δικαστῇ μετ' ἀθρόων τῶν λοχιτῶν, εἴ τι κήδῃ κἀκείνων. καὶ εἰ μὲν ἀπειργάσθη τὸ δεινόν, δεήθητι, καθικέτευσον, ἀντιβόλησον. μὴ ἀνῇς προκαλινδούμενος τῶν γονάτων, πρὶν ἂν διαπράξῃ τὸ παρὰ τὴν ψῆφον συστῆναι δημίῳ, καὶ δοῦναι τὸ δίκαιο

Cledonio.

COgnatus meus iniuriam patitur. Tu verò cùm amicitia tibi mecum interredat commode iudicij poteſtatem habes: ita vt vna occaſione tā mihi quàm legibus gratum facere poſſis. Reuertatur igitur ſecurus, ad hoc vt ſe dominum amphorarum teſtamento parentis, factum eſſe tabulis confirmet. Non enim impedimento erit accuſatio, quò minùs ſtatim audiantur. Tunc enim potiſſimum iuſta iudicia facere neceſſe eſt cùm maximè Dei nobis opus eſt auxilio.

Anaſtaſio.

SOſenæ vel Deus aliquis fidem fecit vel hominum ſermo vel etiam Dæmon, in ipſis locis aliquid hominibus eſſe momenti, vt aut fauentem ac propitium aut iniquum & aduerſum deum experiantur. Cùm igitur apud nos maximis ærumnis prematur, & à patrimonio ſit omnino deiectus, in oras Thraciæ nauigare ſtatuit ibíque cum fortuna in gratiam redire. Quòd ſi tibi cum dea vis eſt amicitiæ, velim ei iuuenem commendes, vt inueniat rationem aliquam opum ei comparandarum. Eſt autem volenti facile. Nam & Nonni poſſeſsiones à genuino filio ſine negotiò ad alios tranſtulit. Decernat Soſennam etiam in alienis facultatibus hæredem. Sic enim ius ex iniuria conficietur.

Ioanni.

QVemadmodum aliâs ſæpenumerò tibi perutilem tempore me præſtiti, atque aſperitatem fortunæ conſolando mitigaui, tum verbis tum factis prout ſingula facultas ſuppeditabat: ſic etiam in præſenti calamitate tua, ſermonem ac ſententiam quandam viſum eſt inferre, quoniam factum non poſſum. Nam Syneſiom non fas eſt, dum communem hunc ſpiritum ducit & poteſt, non ſemper ad benè de amicis merendum promptum ac paratum eſſe. Quamobrem auſculta, quæ mihi rectè apud te diſſeri poſſe viſa ſunt. Si famam in diis numeramus vt quidam ex noſtris poëtis, tu beatum Hæmylium morte affeciſti, qui non re, ſed conſilio cædem Barbarico conſtituto drama te patraſti & cæſorem de tuis manipularibus crudeliſsimum immiſiſti. Hæc enim famæ ſunt verba: quam non fas eſt mentiri ſi dea ſit. Sin Heſiodus nihil dicit, & multa temerè ac fortuitò ſermone ſparguntur: etiam illud de te ex multis viſum eſt, quòd mihi nihil optatius poſſet contingere. Minoris enim æſtimo argenti pecuniæque diſpendium, quàm amici iacturam. Etiam ſi malè tantùm audis te innocens & purus fortuna quidem vteris ſiniſteriore. verùm iniuriam nullam facis: quemadmodum nec aduerſa fortuna oportebat vti. Sed illo modo iuſtum odiū merueras, hoc verò miſericordiam etiam. Ego quidem mihi videor captus familiaritate, facinus cum aliis illo modo deteſtari ac odiſſe. tui verò nihilominus miſereri. Miſerentis autem eſt omnibus viribus & copiis opem ferre, & aliquid excogitare quod profuturum in rem præſentem arbitretur. Proinde vtrum verū ſit, me tibi conſulere quod optimum videatur, æquū eſt. Idem autem conſilium tam inſonti quàm ſonti conducere videtur. Ad leges abi, téque iudicis poteſtati, cum vniuerſis manipularibus permitte, ſi quā etiam illorū curam habes: & ſi ſcelus deſignatū erit deprecare, ſupplica, obteſtare, neque volutari ad pedes eius deſine, antequam perfeceris, ſentētia lictori

tradaris

& pœnam ſubeas Vtiliſſimum tibi fuerit in inferioribus iudiciis, ante condemnatum diſceſſiſſe, amice Ioannes. Ne putes hanc adhortationem, inanem eſſe ſermonem, neque me tibi illudere credas: ita mihi ſacra philoſophia perfrui liceat, itémque charis meis liberis, vt non eiuſmodi tibi conſilium niſi amiciſſimo dediſſem, quod hoſtibus meis ne contingat etiam opto, neque ipſis in mentem veniat vt arbitrentur honeſtius eſſe eum qui peccarit, vltrò ſe pœnæ ſupplicióq; offerre: ſed ne deſtituantur in ſuis iniuriis ſucceſſu, vt longiori tempore mali ſint, & omnes eius iudicij pœnas ſibi luendas contrahãt. Ad te verò amicitiæ cauſſa, ſecreta, quædam etiam & arcana ſcribo quod diuerſiſſimum ſit, in craſſo corpore & in idolo ſupplicium pendere. Potentior enim homine Deus eſt. Diuinorum autem animorum homines quaſi vmbram gerunt: ſed quòd ſunt in Rebuſpublicis lictores, quaſi manus legum, eundem vſum ratio pœnarum ordinis natura præſtat. Dæmones purgatorij ſunt, eandem artem in animabus adhibentes, quam Fullones in ſordidis veſtibus. At ſi ſenſus aliqu s veſtibus ineſſet: quantũ dolorem percipere exiſtimares, cùm calcãtur, cùm illinuntur nitro, cùm omnibus modis torquẽtur: quantis verò cruciatibus eluit veteres maculas & adhærẽtes ſordes: Omitto iã dicere, quod pleriſq; labes adeò profundè increuerũt, vt ſeparari atq; ſeiungi nõ poſſint: & prorſus corruptæ videntur, antequã ad ſuam naturam redeant, quoniam affectio naturam ipſam attigit vel temporis longitudine, vel ſui magnitudine. Cùm eadem ratio ſit animæ, multò melius haberet, ſi corruptioni ſubiaceret. Iam verò peccata comparantur ad inelutas maculas: anima verò non item ad veſtem illam ſordidam, quæ non perfert neque reſiſtit. Sed cùm immortalis ſit, pœnam ſempiternam luit ſi ſcelus inelutum, & inexterſum in ſe admiſerit. At verò ſi quis in vita ſupplicium pro peccato dependerit, is non adeò permixtam, neque inſitam maculam habet: ſed, vt ita dicam nuper tinctus animus, facilè mundatur. Eam ob cauſſam quàm fieri poteſt celerrimè mulcta præſtanda eſt & hominibus exactoribus non dæmonibus. Circumfertur autem ſententia quædam, cui facilè ſubſcribo, quæ dicitur in eorum qui iniuria ſunt affecti poteſtate eſſe, longiores efficere pœnas aut ſuccidere. Quare fieri poteſt, vt vnus magnum malum commiſerit, & multos leuibus iniuriis afflixerit: Quilibet enim ſeparatim recenſet, & omnibus præſtandum eſt ſupplicium. Cùm verò quis eſt ſanabilis, plurimum apud iudicem poteſt, ſi tantum anteã malorum paſſa ſit anima, vt ab ipſis etiam qui iniuriam acceperunt, miſericordiam conſecuta ſit. Quomodo potiſſimum igitur eſt veriſimile, veniam à beata Hæmylij anima impetraturum. Ego quidẽ cenſeo, immò probè ſcio, quemlibet deprecatorem pudentem, qui ſemetipſum ſupplicio tradiderit. Et ſi quis iam apud nos ad crimen defendendum acceſſerit, eo ipſo quod culpam fatetur, & ſe punitione dignum conſtituit, pœna liberatur. At in iniuriis exultare, fretum opibus aut copiis: gratius & acerbius eum qui tolerauit iniuriam, offendit. Quid verò tunc ages cùm egreſſus corpore, ſeu violento ſupplicio, ſeu alio quouis modo,

ἐν κολάσεσι κείσεται παρὰ τοῖς κάτω δικασταῖς, τὸ προκαταθεμένου ἀπελθεῖν, ἑταῖρε ἰωάννη. μὴ λόγον ἄλλως οἰηθῇς τὴν παραίνεσιν. μὴ δὲ προσπαίζειν μεμνόμισις σαυτοῦ, οὕτω τῆς ἱερᾶς φιλοσοφίας ὀναίμην. καὶ προσέτι τῶν παιδίων τῶν ἐμαυτοῦ. εἰ καὶ μὴ βέλτιστα σοι τυγχάνοντι, συμβουλεύσαιμί τι τοιοῦτον, ὅπερ ἀπεύχομαι τοῖς ἐχθροῖς τοῖς ἐμοῖς. καὶ μήποτε αὐτῶν ἐπὶ νοῦν ἀναβαίη, τὸ κάλλιον εἶναι τὸν ἀδικοῦντα δοῦναι τιμωρίαν αὐθαίρετον. ἀλλὰ μὴ δὲ παύσαιντο δυστυχοῦντες ἐν οἷς ἀδικοῦσιν, ἵνα πλείονα χρόνον ὦσι κακοὶ, καὶ πάσας ἐκεῖ τὰς δίκας ὀφείλωσιν. πρὸς σὲ διὰ φιλίαν, καὶ δὴ κἀκεῖνο τὸ καὶ τῶν ἀπορρήτων εἰπεῖν, ὡς ἀνόμοιόν ἐστιν ἐν παχεῖ σώματι καὶ ἐν εἰδώλῳ δοῦναι τὴν δίκην. ἰσχυρότερος μὲν γὰρ ἀνθρώπου θεός. τῶν δὲ θείων παντὸς διακόσμου, σκιὰ τὸ ἀνθρώπινον. ἀλλ' ὥσπερ εἰσὶν ἐν ταῖς πολιτείαις οἱ δήμιοι, χεῖρες τῶν νόμων, τὴν αὐτὴν αἱ ποιναὶ χρείαν τῇ φύσει τοῦ κόσμου παρέχονται. δαίμονές εἰσι καθαρτήριοι. τὸ χρῆμα ἔχοντες ἐπὶ ταῖς ψυχαῖς, ἣν οἱ κναφεῖς ἐπὶ τοῖς ἱματίοις τοῖς ῥυπαροῖς. ἀλλ' εἴ τις ἱματίοις αἴσθησις ἦν, τί ἂν οἴει πάσχειν αὐτὰ, λακτιζόμενα, καὶ νιτρούμενα, καὶ πάντα τρόπον στρεβλούμενα, διὰ πόσων δ' ἂν ὀδυνῶν ἐκπλύνῃ κηλῖδας ἀρχαίας καὶ προσεστηκότα ὀμόργματα. ἐῶ γὰρ λέγειν ὅτι πολλοῖς ὁ ῥύπος, οὕτως ἐνέφυ σφόδρα διὰ τὸ βαθεῖς, ὡς ἀναπάλλακτος εἶναι. καὶ φθάνει διαφθαρέντα, πρὶν εἰς τὴν φύσιν ἐπανελθεῖν, ὅτι τὸ πάθος αὐτοῖς γέγονε φύσις, ἢ διὰ χρόνου πλῆθος, ἢ διὰ μέγεθος. οὕτω δὲ ἐχούσῃ ψυχῇ καλῶς ἂν εἶχεν εἰ ἦν φθαρτὴ νῦν δὲ τὰ μὲν ἁμαρτήματα, λόγον ἔχει πρὸς ἀνεκπλύτους κηλῖδας. ἡ ψυχὴ δὲ οὐκ ἔτι πρὸς θοἰμάτιον ἐκεῖνο τὸ ῥυπαρόν τι καὶ οὐκ ἀντέχον. ἀλλ' ἀθάνατος οὖσα, τίνει δίκην ἀθάνατον, ὅταν ἁμάρτημα ἐνδοποιῆται καὶ ἀναπόνιπτα. ἀλλ' ἐν ᾧ γάρ τις ἥμαρτε βίῳ δίκας δίδωσι, οὐ πάνυ προσεστηκὸς ἔχει καὶ προσριζῶσαν τὸ πάθος. ἀλλ' ὡς ἂν εἴποι τις ἀρτιβαφὴς οὖσα ψυχὴ, τάχιστα πλύνεται. διὸ δοτέον ἐστὶν ὡς ἐνὶ διὰ τάχους τὴν δίκην. καὶ τιμωροῖς ἀνθρώποις, ἀλλὰ μὴ δαίμοσι. λέγεται δέ τις λόγος ὃς μοι πιθανὸς, τοὺς ἠδικημένους κυρίους εἶναι, μακροτέρας τε ποιεῖν καὶ ἐπιτέμνειν τὰς τιμωρίας, διὸ παραπλήσιόν ἐστιν ἕνα κακόν τι μέγα ἐργάσασθαι καὶ πολλοὺς κατὰ μικρὸν ἀδικῆσαι. ἐπεξέρχεται ἕκαστος ἐν τῷ μέρει καὶ δεῖ πᾶσιν ὑπηρετῆσαι τὴν δίκην, ὅταν δέ τις ἰάσιμος ᾖ, μέγα παρὰ τῷ δικαστῇ δύναται, τὸ τοσαῦτα προπεπονθέναι τὴν ψυχὴν, ὡς ἤδη παρ' αὐτῶν τῶν ἠδικημένων ἔλεον εὑρέσθαι. πῶς τοίνυν εἰκός ἐστι τὴν μακαρίτιδος αἰμυλίου ψυχῆς συγγνώμονος ἱέρως τυχεῖν: ἐγὼ μὲν οὐκ οἶμαι μόνον δὲ, οἶδα σαφῶς, ὡς ἅπας ἱκέτης αἰδέσιμος, ὅστις ἑαυτὸν τετιμώρηται. καί τις ἤδη παρ' ἡμῖν εἰς ἀπολογίαν ἁμαρτήματος καταστὰς, αὐτῷ τῷ φθάσαι τὴν αἰτίαν ὁμολογῆσαι, καὶ φῆσαι κολάσεως ἄξιον εἶναι, τὴν κόλασιν ἐξεωνήσατο. τὸ δὲ ἐνδιαχλιδῆναι τοῖς δι' ἅ τις ἠδίκησεν, εἴτε χρήμασιν εἴτε σώμασι, βαρυθυμότερον τὸν ἠδικημένον χαλεπώτερον. καὶ τίς ἂν γένοιο τοῦ σώματος ἐξελθὼν, εἴθ' ὑπὸ βιαίας δίκης, εἴτε ἑτέρῳ τρόπῳ,

κἄπειτα αὐτὴν τὴν ψυχὴν, αὐτῇ τῇ ψυχῇ θεασά-
μενος, οὐκ ἔχοντος ἀρνεῖσθαί σοι γλώττης, ἀλλ' ἐγκεκο-
λαμμένον ἔχων τὸ ἐπίσημον τῆς πράξεως, οὐκ ἰλιγ-
γιάσεις οὐκ ἀπορήσεις. ἕλξει σιγῶν καὶ ἐπεισάξει τῇ δί-
κῃ, καὶ σὺ κἀγώ. καὶ πᾶς ὃν μὴ προκαθαίρει μετάνοια
δημοσιευθεῖσα. ἀλλ' ἀνδριστέον ὦ γενναῖε. γενναῖος
γὰρ εἴης. καὶ τῶν μὲν ἡδονῶν ὑπεροπτέον, αἷς ἀδικοῦντες
ἐπορισάμεθα. τοὺς δὲ ἀνθρώπους οὐκ αἰσχυντέον. ἀλ-
λὰ τῷ δικαστῇ μὲν ὁμολογητέον τὴν πρᾶξιν. ἐκλει-
πτέον δὲ τῇ παραυτίκα τίσει τὰς ἐκεῖ ποινάς. μέγιστον
γὰρ ὄντος ἀγαθοῦ τοῦ μὴ ἁμαρτεῖν, δεύτερον ἀγαθὸν
τὸ δικαιωθῆναι. ὅστις δὲ χρόνον πολὺν ἀδικῶν ἀκό-
λαστος μένει, τοῦτον δεῖ νομίζειν τὸν ἀτυχέστατον. ὃ μή-
τε θεὸς μήτ' ἄνθρωπος κήδεται. σκόπει γὰρ καὶ ταυτί.
τὸ ἀκόλαστον εἶναι πρὸς κακοῦ, καὶ λέγεται, καὶ ἀκούεται.
οὐκ οὖν τὸ κολασθῆναι πρὸς ἀγαθοῦ. τῷ γὰρ ἐναντίῳ
τὸ ἐναντίον ὁ λόγος μερίζει. εἰ μὲν οὖν ἐγὼ παρὼν ἐ-
τύγχανον, οὐδὲν ἂν ἔδει σε πράγματα ἔχειν ἀπορυθρι-
ῶντα καὶ σαυτὸν καταγγέλλοντα. ἀλλ' ἐμαυτὸν ἂν
ἔταξα συνηγορήσοντά σοι καὶ προσήγαγον ἄν σε κα-
θάπερ ἰατροῖς τοῖς νόμοις. ἀνόητος μὲν γὰρ ἄν τις
εἴποι, ὡς Συνέσιος Ἰωάννου κατηγορεῖ. σὺ δ' ἂν ἠπί-
στασο τἀληθές. ὅτι φειδοῖ καὶ κηδεμονίᾳ τῇ σῇ, τὴν
κατηγορίαν εἱλόμην, ἵν' ὡς ἐν κακοῖς ἄμεινον πρά-
ξειας. ἀλλὰ ταῦτα μὲν, εἴτ' ἀδίκημα γέγονεν, ὃ μὴ
γένοιτο, σοῦ τε ἕνεκα καὶ τῆς πόλεως. ἅπασα γὰρ ἂν
εἴη μιαρὰ τῷ φόνῳ, τολμηθέντος αἵματος ὁμογενοῦς.
εἰ δὲ σὺ καθαρὸς καὶ χεῖρας καὶ γνώμην, εἴη δὲ οὕ-
τως, ἐπάρατοι μὲν, οἱ ταῦτα συνθέντες ἐπὶ σοὶ, κἀ-
κείνους δὲ περιμένει τὰ κατὰ γῆς κολαστήρια. ὡς οὐχ
ἕτερος οὕτω τρόπος θεομισὴς, ὡς ὁ λογοποιὸς ὁ πο-
νηρὸς ἐξ ἀφανοῦς. ἀγεννέστατος γὰρ ὢν, μέγι-
στα κακὰ διαπράττεται. καὶ λέγεταί τις αὐτοῖς μοῖ-
ρα κιναίδοις προσκεῖσθαι, καὶ τὴν ἐν τῇ τέχνῃ ταύτ'
εἶναι τὸ κράτιστον. ἐπεὶ καὶ πρὸς ἄλλα πολλὰ σο-
φισταὶ γίνονται καὶ δεινοὶ μηχανᾶσθαι. ὥστε ἄν τις ἀλλοτρίας φή-
μας ἐπὶ τοῖς οὐκ οὖσι ποιῶν, τοῦτο ἐκεῖνο, μὴ δὲ ἐπα-
νέρῃ, μὴ δὲ διστάσῃς. ἀλλὰ κἂν στερεώτατος εἶναι δο-
κῇ, θαρρῶν ἀποφαίνου τὸν ἄνδρα, ἡμίγυναι. αὐτό-
χρημα θεράποντα τῆς Κότυος. σοὶ δὲ ἔξεστιν ἀπὸ τῶν
λόγων τούτων, ἀποφῆναι συκοφαντοῦσαν τὴν δόξαν,
εἰ σαυτόν τε καὶ τοὺς σοὺς ἐπιδοίης τῇ δίκῃ. εἰπὲ γὰρ
εἰσελθὼν, ὡς ἐμοῦ κατηγοροῦσί τινες εἰσὶν ἀφανεῖς.
οἱ προκατεγνωκότες αὐτῶν, ἀξιοῦσι λανθάνειν. κα-
τηγοροῦσι δὲ ὅμως πολλὰ καὶ χαλεπά. καὶ κινδυ-
νεύουσι πείθειν ἐνίους. οὕτως εἰσὶν ἐπίβουλοι καὶ δεινοὶ
παραδοῦναι λόγον τῇ φήμῃ. κἄπειτα διελθὼν τὰς αἰ-
τίας ἐν αἷς ἀκούεις κακῶς, γάμον καὶ φόνον ἀνόσιον,
ἐπειδὴ Σπάταλον εἶναί τινα φασὶ παρὰ σοῦ τὸν κα-
ταχθέντα καὶ τὸν ἐξεργάσασθαι τὸν φόνον, τοῦτον ἅ-
μα προστήσας δεήσει τοῦ δικαστηρίου λιπαρῶν καὶ
προσαιτῶν, μὴ ἀνεξέταστον ἀπελθεῖν, μὴ δὲ ἐ-
ρήμην ἁλῶναι. οὐ γὰρ δὴ κράτιστε τῶν ἡγεμόνων ἐ-
ρεῖς διότι γραφὴν εἰς τοὐμφανὲς οὐδεὶς ἀπήνεγ-
κεν, παρὰ τοῦτό σε δεῖ παύσασθαι, τὸ μὴ διὰ
πάσης ἐλθεῖν βασάνου, ματεύοντα καὶ θηρώμενον τὴν ἀλήθειαν. ὁ διαβεβοημένος Σπάταλος, οὗτός ἐστιν.

ipſam animam ipſa anima conſpexeris, cùm non
habueris linguam qua inficias ire poſſis, ſed inſcul-
ptum ſingulum facinoris geſſeris, non exhorreſ-
ces? non animi pendebis? Rapieris igitur ad ſuppli-
cium tacens tu & ego, & quicunque non publica
confeſſione pœnitentiaque ſe purgarit. Sed viriliter
agendum ô generoſe. Vtinam enim ſis genero-
ſus, & aſpernendæ ſunt voluptates, quas iniuriis
inferendis conſequimur, neque pudendum coram
hominibus: ſed iudici confitenda veritas & flagitiū
eſt. Expiandæ verò ſunt ſubita luitione, inferorum
pœnæ. Cùm enim ſit ſummum bonum non pecca-
re, proximum eſt peccatum expiare. Qui autem
diu facit iniuriam, ac manet impunitus. Is verò pu-
tandus eſt infœliciſſimus, quippe qui neque Deo, ne-
que homini curæ ſit. Sic enim tecum perpende. Im-
punitas in malis dicitur & putatur. Ergo ſubire
pœnam in bonis habendum. Contrarium enim cō-
trario tribuit oratio. Si igitur ipſe coram adeſſem,
nihil fuiſſet opus tibi moleſtiis & pudore affici, &
temetipſum in ius atque crimen vocare. Sed me-
metipſum tibi patronum darem, & te ad leges ve-
lut ad medicos adducerem. Stultus enim & impe-
ritus quiſpiam diceret Syneſium Ioanni accuſatio-
nem intendere. Tu verò ſcires quòd res eſſet, me
parcendi tibi cauſſà, & cura tui quam habeo, com-
motum ad hanc accuſationem deſcendiſſe, vt in
malis tibi melius eſſet. Sed hæc ſibi patrata ſcelus
eſt, quod dij auertant & tui cauſſa & ciuitatis. Nā ad
vniuerſam cædis macula pertineret, gentilitio vi-
delicet effuſo ſanguine. Sin tu purus & crimine va-
cas tam animo quàm manibus: Vtinam verò ita ſit:
deteſtandi ſunt qui hæc in te contulerunt, eóſque
ſupra terram etiam tormenta ſuppliciáque manent.
Nihil enim Deo tā eſt odio, quàm obtrectator, qui
ex occulto vulnerat. Cùm enim ſit homo nullius a-
nimi, maximorum malorum eſt autor & Archite-
ctus. Et dicunt quoddam quaſi fatum ipſis Cinędis
incumbere, & omnium quæ in arte compræhen-
duntur hoc eſſe præſtantiſſimum: (ſiquidem ad alia
quoque multa ſunt admodum verſuti & ingenioſi.)
Quare ſi quis falſum rumorem diuulgaſſe redargue-
tur, hoc ipſum, neque interroges, neque tibi dubiū
ſit, ſed etiamſi fortiſsimus eſſe videatur, tamen eum
tu virum bona conſcientia ſemifœminam palàm
& ingenuè dicas, mancipium Cotyos. Tu ve-
rò potes his rationibus, commentitiam & falſam o-
pinionem refellere, ſi teipſum & tuos iudicio per-
mittas. Sic enim ingreſſus, cauſſam orabis. Sunt a-
liqui qui me obſcuris ſermonibus, criminibúſque
lædant. Hi, quāquā ſuæ cauſſæ diffiſi latere malunt,
quàm apertè pugnare: tamen multa grauiáque cri-
mina intendunt, & aliquibus fidem etiam facere vi-
dentur. Adeò ſunt callidi, & ad ſermones famæ
mandandos vafri. Deinde prolatis criminibus, de
quibus malè audis, nuptiis & nefaria cęde, quādoqui-
dē Spatalū quendā ad cędē faciendam à te ſuborna-
tū dicunt, hoc ſimul producto, blandè iudicē & hu-
militer obſecra, ne niſi habita quæſtione eū dimit-
tat, néue cauſſam deſerat. Non enim, dices, optime
prætor, quia nemo cauſſam in lucem protulit, nec a-
pertè nomen detulit, idcircò non omni tor-
mentorum genere perquirenda eſt & inueſti-
ganda veritas. Diffamatus Spatalus hic eſt. Ha-
bes hq-

Habes hominem. In corpus animaduerte. Hic ſi quid factum eſt, hodie ſui meique ſit accuſator oportet. Quòd ſi te ad hunc modum verba faciente, morem tibi non geſſerit, etiam ſic nobis quidem hominibus, ſatisfactum erit. Sin humanum ſe tibi impertiuerit, & hanc tuam cauſſam audierit: tum verò defenſio ingenuè fieri poteſt & pudor illis ob trectatoribus inijci atque os obturari. Nam hunc Spatulum molliter non oportet habere, ſed vinculis conſtringetur & ſuſpendetur, lateréque perfodietur. Tortores enim peritiſſimi ſunt in ſimulationibus & mendacijs coarguendis, cùm ſaltem inuenerant vngues, cuiuſmodi ſint in quibuſuis quædam ineſt argumentationis demonſtratiuæ. Itaque quicquid illi ſimperium in eum excercentibus enunciarit, id eſt ipſiſſima veritas. Si ſic abſolutus crimine fueris, diſcedas è iudicio cum victoria & gaudio: re & opinione inſons. Sin quæ ego in rem tuam eſſe cenſeo, & præſcripſi, te non præſtiteris, neque ad iudicem acceſſeris: at veritatem vidit & nouit pœna. Procul dubio penetrans omnia Dei oculus, & Lybiam vidit & illam vallem, & tumultum illũ, ſiue verum ſiue fictum, & Hæmylij curſum, & quã cladem acceperit à quo, quid dixerit, quid audiuerit, ſi modò quid dixit & audiuit. Nouit etiam quãuis innocens ſis & purus Deo, neque patrato neque cognato vllo nefario facinore, quod nobis tamen hominibus non inſons videaris donec indefenſus manes, neque tibi dexteram porrigamus, neque tecum ad eandem menſam cibum ſumimus. Nam Hęmylij furias pertimeſcimus. Etenim ſi nos attigeris, facinoris labem aſperges. Sunt nobis domeſticæ ac priuatæ ſordes. Non eſt opus, vt alienas his adiungamus.

Olympio.

CONturbant Eccleſiam, alieni, malitia perditi. Deſcende contra ipſos. Claui enim clauos pellunt.

Anaſtaſio.

NE Amaſis quidem in bonis viris numerandus eſt, qui cautionem adhibuit, ne Policratis calamitatem quam futuram præuiderat, luctu & lamentatione proſequi cogeretur. At verò ex eo quod cùm adhuc proſpera fortuna ſtaret, præconem ad renunciandam amicitiam miſit, planum eſt eum lachrymaturum fuiſſe, ſi denunciationem calamitas præuertiſſet. Tu verò dum nondum à fortuna agitaremur, conſtans nobiſcum permanſiſti. Pòſt ſimul cum ea diſceſſiſti. Nam adfertur ad nos eorum hominum ſermonibus qui è Thracia veniunt, neque animo neque verbis te nobis æquum eſſe. Hic igitur non plenè amicitiam renunciare, ſed inimicitias renunciare poteſt. Satis autem erat non ex iiſdem dolorem percipere. Dolorem autem addere, extrema crudelitas eſt, & neque in Amaſidem neque omninò in humanitatem conferri rectè poteſt. Sed à te fortè tuis rebus rectius prouiſum eſt. Fac quod faciendum eſt, ſolùm vt lubens facias. Dimidiũ enim acerbitatis de meo dolore ſublatum foret, ſi in quibus calamitatibus verſor, iucundus eſſem amicis.

ἔχεις τὸν ἄνδρα. χρῶ τῷ σώματι τούτου, εἴ τι γέγονε, τήμερον ἀναφανῆναί γε δεῖ κατήγορον αὐτὸν τὸ κἀμοῦ, κἂν μὲν οὕτω σοῦ λέγοντος, μὴ πεισθῇ τὰ σοί, καὶ τόδε ἄλις ἔχει πρός γε ἡμᾶς τοὺς ἀνθρώπους. εἰ δὲ φιλάνθρωπός τι εἴη καὶ χαρίσαιτό σοι τὴν περὶ τούτων ἀκρόασιν, ἅπαν ἐνταῦθα δεῖ τὸ λαμπρῶς ἀπολογήσασθαι καὶ τοὺς λογοποιοὺς καταισχῦναί τε καὶ κατασιγάσαι. τὸν γὰρ δὴ σπατάλην τοῦτον, οὐ δεήσει τρυφᾶν. ἀλλὰ καὶ δεθήσεται καὶ κρεμασθήσεται. καὶ τὰς πλευρὰς διορυχθήσεται. δεινοὶ γὰρ ἐλέγξαι πρὸς ἀπάτην οἱ βασανισταί. καὶ τίνες αὐτοῖς ὄνυχές εἰσιν ἐξ ἁρμόδιοι, συλλογισμῶν ἀποσημαντικῶν ἔχοντες δύναμιν. ὥσθ' ὅτι ἂν ἐκείνων κρατούντων ἀναφανῇ, τοῦτ' ἐστὶν αὐτὸ τἀληθές. εἰ οὕτως ἀπολυθῇς, μηδὲν ἀδικῶν, ἄπει τοῦ δικαστηρίου νικηφόρος καὶ γαῦρος. δόξης τε ἂν καὶ δικαιῶν. εἰ δὲ ἐγὼ μὲν ἐξηγησάμην ἅπερ σοι λυσιτελεῖν οἶμαι, σὺ δὲ οὐ ποιήσεις, οὐδὲ πρὸς τὸν δικαστὴν πρόσει. τὸ μὲν ἀληθὲς, εἶδέ τι καὶ οἶδεν ἡ δίκη. πάντως ὁ δὲ πάντων ἐφορῶν ὀφθαλμὸς τοῦ θεοῦ, καὶ λιβύην ἑώρα, καὶ φάραγγα ἐκείνην. καὶ θρύλλον ἐκεῖνον εἴτε τὸν ὄντα, εἴτε τὸν ἐπίπλαστον. καὶ τὸν αἰμυλίου δρόμον καὶ ὅ, τι πέπονθε καὶ ὑφ' οὗ, καὶ ὅ, τι εἶπε, καὶ ὅ, τι ἤκουσεν. εἰ δή τι καὶ εἶπε καὶ ἤκουσεν. καὶ οἶδεν, ὅτι εἰ καὶ τύχοις μὲν ἀναίτιος σὺ καὶ καθαρὸς τῷ θεῷ, μήτε πράξας μήτε βουλεύσας ἔργον ἐξάγιστον, ἀλλ' ἡμῖν γε τοῖς ἀνθρώποις οὔπω καθαρὸς, ἕως ἀναπολόγητος ἦς. οὐ δὴ ἐμβαλοῦμεν σοι δεξιάν. οὐδὲ ἀπὸ τῆς αὐτῆς σιτησόμεθα. τοὺς αἰμυλίου γὰρ ἀλάστορας δεδίαμεν. ἐνθιγγάνων γὰρ ἡμῶν, ἐναπομόρξῃ τὴν προστροπήν. εἰσὶ καὶ ἡμῖν οἰκεῖαι κηλῖδες. οὐ δεῖ καὶ προσεταιρίζεσθαι.

Ὀλυμπίῳ.

ΑΤιμοῦσι τὴν ἐκκλησίαν, ἀλλότριοι πονηροί. κατάβηθι κατ' αὐτῶν. οἱ πάτταλοι γὰρ πατ τάλοις ἐκκρούονται.

Ἀναστασίῳ.

ΟΥδὲ ἄμασις μὲν καλὸς φυλαξάμενος ἐπιδακρῦσαι τοῦ πολυκράτους ταῖς συμφοραῖς ταῖς ἐσομέναις προειδὼς, ἀλλ' εἰς ἀτυχοῦντι κήρυκα πέμψας τὴν φιλίαν ἀπείπατο, δῆλον ἐποίησεν ὅτι κἂν ἐδάκρυσεν, εἰ προὔλαβεν ἡ συμφορὰ τὴν ἀπόρρησιν. σὺ δὲ ἡμῖν, ἕως μὲν οὐ προσεκρουόμεθα τῇ τύχῃ, συνέμενες. ἐπειδὴ συναπῆρας αὐτῇ. λέγει γὰρ ἡ φήμη, διὰ τῶν ἀπὸ θρᾴκης ἡκόντων, οὐδὲν οὔτε φρονεῖν σε περὶ ἡμῶν οὔτε λέγειν ἐπιεικές. τοῦτο μὲν οὖν, οὐκ ἔστιν ὅλως φιλίαν ἀπειπεῖν. ἀλλ' ἔχθραν ἀνειπεῖν. ἤρκει δὲ εἴπερ ἄρα τὸ μὴ συναλγῆσαι. τὸ δὲ καὶ προσονειδίσαι, πέρα δεινοῦ. καὶ οὔτε ἀμάσιδος. οὔτε ὅλως ἀνθρωπίνου. ἀλλὰ σοὶ γὰρ ἴσως ὑπὲρ τῶν σεαυτοῦ πραγμάτων ἐσκέπται κάλλιον, ποίει τὸ ποιητέον. μόνον εἰ χαίρων ποιεῖς. ἥμισυ γὰρ ἂν εἴη κακῶν, εἰ καὶ οἷς πάσχω κακοῖς, ἡδὺς εἴην τοῖς φίλοις.

Θεοτίμῳ.

Ἀρίθμει καὶ Πέτρον ὀργὴν τῆς Πενταπόλεως. ἄνθρωπον οὐ τέχνῃ μεμελετηκότα τὸ λύειν τοὺς νόμους. καίτοι καὶ τὸν οὕτω μεμελετηκότα, μισῶ. καὶ ὁ θεὸς συνοιδε. καὶ ὁ Διοσκουρίδης. ἀλλ' οὗτός ἐστι νεανικώτερος ἐκείνου τ' ἀνδρός. ὅτου γὰρ ἐπιθυμήσῃ χρήματος, πρῶτον ἁρπάσας, καὶ ὑφ' ἑαυτῷ ποιησάμενος, ἔπειτα περιέστη τὴν δίκην. κἂν ἁλῷ, τῇ ψήφῳ, κρατεῖ τῇ χειρί. οὕτως ἐποίησε. πρῶτον, ἥρπασε κεράμιον. ἐγράψατό τις αὐτόν. ὁ μὲν, ἤλεγξεν. ὁ δὲ, οὐκ ἀποδέδωκεν, ἀλλὰ καὶ προσηπείλησε τοῖς δημίοις πληγάς. πρὸς δὴ μισήσας ἐγὼ, καὶ νομίσας οὐκ εἶναι βιώσιμον, ὅπου τινὲς ἰδιῶται χεῖρας ἔχουσι μείζους τῶν νόμων, παρεσκεύασα λαμπροτάτους ἄνδρας εἴξαντας ἀποφάσει, βοηθῆσαι τῇ καταστάσει τῆς πολιτείας. εἰ γὰρ προὐχώρησεν αὐτῷ, πολλοὺς ἂν ἐν τοῖς ὀλίγοις Πέτρους ἐθεασάμεθα. ἐν ᾧ χάριν ἔχω τῷ θαυμαστῷ Μαρτυρίῳ, καὶ συνηγανακτηκότι μάλιστα, καὶ προθυμότατα πάντων ὑπηρετήσαντι. ᾧ δὴ ἀγαθὸν αὐτῷ τι γένοιτο παρὰ τοῦ θεοῦ. παρὰ δὲ Ἀνθεμίου καλῶς ἂν ἔχοι τὸ μὴ χανόντι λαβεῖν, εἰ Πέτρος αὐτὸν, ὥσπερ ἠπείλησεν ἀπαιτήσειεν. ἀλλ' ἵνα μὴ γένηται τοῦτο, δέομαι πάνυ δέομαι, σοῦ τε αὐτοῦ, καὶ διὰ σοῦ τοῦ θαυμασίου ἀνδρὸς καὶ φιλοσόφου Τρωΐλου κωλύσατε τὸν ἀλιτήριον ἄνθρωπον τὸν διὰ τῶν νόμων ἐπὶ τοὺς νόμους ἐλθεῖν. ἐμοὶ καὶ Πενταπόλεως μέλει, καὶ τοῦ μὴ γεγενῆσθαι φίλῳ συμφορᾶς αἴτιον. τὸ δὲ πῶς ἄν τις συκοφάντης ἀνακοπείη, οὐκ ἐμὸν εὑρεῖν. ἀλλὰ σόν. ὦ πρὸς τὰ καλὰ πάντων σὺ εὐμηχανώτατε.

Πυλαιμένει.

Καλῶς ποιεῖς εἰς τὴν ἔχουσαν τὸν βασιλέα πόλιν ἐπανελθών. εἰ γὰρ καὶ τοῖς Ἰσαύρων ὄρεσιν ᾖς, ἀγαθή σοι τύχη συνῆν, ἀλλ' ἔστιν εὐτυχία παρὰ τὸν τόπον εὐτυχεστέρα. ἐμοὶ δέ τι καὶ ἰδίᾳ διαφέρει, τὸ παρ' αὐτά σε πράττειν εὖ τὰ βασίλεια. οὗ διατρίβων, καὶ λήψῃ καὶ πέμψεις ἐπιστολὰς, τὸ τιμαλφέστατον ἐμοὶ τῶν ἀπὸ Θρᾴκης ἀγωγίμων.

Θεοτίμῳ.

Πλείω καλὰ τῆς Σιμωνίδου συνουσίας Ἱέρων ἀπέλαυσεν, ἢ Σιμωνίδης Ἱέρωνος. καὶ ναὶ, μὰ τὸν φίλιον τόν ἐμόν τε καὶ σὸν, οὔτε σὲ πλέον ἐμακάρισα τῆς Ἀνθεμίου τοῦ μεγάλου φιλίας, ἢ τῆς σῆς αὐτὸν ἐκεῖνον τὸν μέγαν Ἀνθέμιον. ἀνδρὶ γὰρ ἔχοντι δύναμιν, τί κτῆμα κάλλιον, ἢ φίλος ἦθος ἀκαπήλευτον παρεχόμενος. οἷον ἐγὼ Θεότιμον οἶδα, τὴν πρᾳοτάτην καὶ θεοφιλῆ κεφαλήν. ἀλλὰ τοῦτο μὲν σὺ, Σιμωνίδου πλέον ποιεῖς. Σιμωνίδης γὰρ αὐτὸς ὡμολόγει, πρὸς ἀργύριον διαλέγεσθαι. ἐκεῖνο δὲ κοινὸν, ὅτι καὶ Σιμωνίδης Ἱέρωνα τῇ διαδοχῇ τοῦ χρόνου συνέστησε καὶ διὰ τῆς Θεοτίμου ποιήσεως, ἔστ' ἂν Ἕλληνες ὦσι, πολὺς Ἀνθέμιος ἐν ταῖς τῶν λόγων διατριβαῖς. ἀλλὰ τὰ μὲν Ῥωμαίων, ἐκεῖνος αὔξοι. σὺ δὲ ἐκείνου τὸ ὄνομα. ποιητικῇ γὰρ ἔδωκεν ὁ θεὸς ταμιεύειν τὴν εὔκλειαν. ἧς τὸ καλὸν, εἰς σὲ περιήκει.

Theotimo.

Etiam Petrum in hoſtibus Pentapolis habeas, hominem non arte nec inſidijs leges infringere conãtem (quanquam etiam qui ſic adoritur, odio mihi ſit, cuius Deum teſtem facio & Dioſcoridem) ſed hic ad audendum quàm ille proiectior eſt. Cuiuſcunque enim rei cupiditas eum inceſſerit, eam vi primùm rapit & in ſuam poteſtatẽ redigit. Deinde venit in iudicium & ſi ſententijs inferior ſit, manu victoriam obtinet. Ita ſe geſſit. Abſtulit amphoram: in crimen vocatur. Alter accuſationem probat. Hic non ſolùm non reddidit, ſed lictoribus etiam verbera plagáſque minatur. Quod cùm indignum putem, neque vitã in eiuſmodi ciuitate tutò degi poſſe exiſtimẽ, vbi priuatis aliquib. robuſtiores manus ſint ipſis legibus, inſtruxi viros ſpectatiſſimos & fortiſſimos obedientes legibus vt ſtatui Reipub. ſuccurrant opémque ferant. Si enim res ei fœliciter proceſſiſſet, breui complures Petros videremus, in quo gratiam habeo præſtantiſſimo Martyrio, quem id potiſsimum commouit, quíque acerrimo ſtudio diligentiáque cauſſam adiuuit. Pro qua re Deus gratiam ei rependat. Cum Athemio verò præclarè actum videatur, ſi nihil damni acceperit cùm ab eo Petrus, quemadmodum minatus eſt repetet. Verùm id ne fiat, vehemẽter iterum atque iterum rogo teipſum & per te clariſsimum virum & philoſophum Troilum, prouidete atque reſiſtite ſceleroſo homini, ne per leges ad violandas veniat. Me cùm Pentapolis ſollicitum habet, tum verò id mihi curæ eſt, ne ſim amico calamitatis autor atque cauſſa. Quemadmodum autem occurri poſsit calumniatori cupiã & obſiſti, mearũ quidem virium nõ eſt inuenire, ſed tuæ ſagacitatis, quippe qui ad honeſta rectáque omnium es ingenioſiſsimus.

Pylameni.

Recté facis, qui in regiam ciuitatem reuerſus ſis. Etiamſi enim in Iſaurorum montibus habitares, bona te fortuna non deſtitueret. verum eſt quædam fortuna loci conditione fortunatior. Mea quoque priuatim nonnihil intereſt, vt ſecundùm ipſam regiam fœliciter agas, vbi ſi fueris, accipies & mittes literas, rem mihi precioſiſsimam omnium quæ è Thracia adferuntur.

Theotimo.

Maiorem fructum è Simonidis familiaritate reportauit Hieron, quàm Simonides ex Hierone. Et per amicum meum ſimul & tuum iuro, nõ ego te beatiorem Anthemij magni neceſsitudine iudico, quàm illum ipſum magnum Anthemiũ tua. Nam homini imperio potentiáque prædito, quid honeſtius, aut vtilius quàm amicus integrum & Syncerum animũ ferens, qualem ego certò ſcio Theotimum eſſe, caput manſuetiſsimum & pientiſsimum. Sed hoc tu Simonide plus præſtas. Simonides enim ipſe fatebatur, ſe pecuniæ cauſſa diſſerere. Illud verò commune quod Simonides Hieronis nomen poſteritati memoriæque mandauit. Et Anthemij dum Græcia ſtabit, multa mentio fiet in diſputandi dicendíque exercitijs per Theotimi poëſim: ſed ille Romanam rem amplificet, tu verò illius nomen. Nam Deus Poeticæ facultati diſpenſandam & adminiſtrandam gloriam dedit, cuius omnis vis atque virtus in te redundat.

Fratri

Fratri.

QVidam Hæmylium interfectum à Ioanne dicunt. Alij verò perhibent à ciuibus inimicis eius hæc in illum conficta eſſe. Veritatem, Dice nouit, & in lucem tempus aliquando proferet. Ego quanquam in re obſcura & incerta, tamen omnes ad vnum odio dignos cenſeo, illum quòd talis eſt, etiamſi non fecerit: feciſſe tamen facilè credi poſſit, & crimen ab ingenio ſuo non abhorrens ſuſcepiſſe videatur, hos quod etiamſi non finxerint, finxiſſe tamen vero diſſimile non ſit & ad ipſos crimen pertinere. quoniam ab omni ſuſpicione vita ingeniumque remotum eſt, & etiamſi multi iurati teſtimonium dixerint, nihilo plus ad fidem faciendam adferrent: perinde ac ſi quis Aiacem ſcortationis arceſſeret riſum profuſiſſimum cieret. Alexander verò ſi non fœmina: at certè mollis & effœminatus erat, & crimen ſuſtinebat. Siſyphum autem & Vlyſſem odi. Quanquam enim aliquid dicerent, quod eſſet verum, tamen erant eiuſmodi, ſæpius vt mentirentur. Ego qua re miſer ſum, eadem etiam ſum fœliciſſimus qui ciuibus talibus inimicis & amicis caream. Interclusus mihi ſit aditus ad omnes. Nihil mihi cum quoque eorum. Peregrinus in peregrinis vitam agam. Voluntas ad hoc nos quodammodo confirmauit. Proh ſplendidum ac celebre ſolum Cyrenes, quod aliquando Carneadæ tenebant & Ariſtippi, nunc verò Ioannæ & Iulij, cum quibus cùm mihi non commoda ſit habitatio, commodè peregrinor. Tu velim ne ſcribas mihi quicquam ampliùs de rebus illorum, neque mihi commendes eos qui cauſſas habent. Nec enim operam meam cuiquam horum vlterius accommodauero. Infœliciſſimus verò eſſem. Si cum commodis amatiſſimæ patriæ caream, litium negotiorúmque ſocium me præberem, quæ me ab otio ſapientiæ abſtraherent, & cùm ex otio quaſi lucrum inopiam fecerim, aliorum negotia ſponte procurarem atque conficerem.

Eidem.

CVm matutino tempore ſoluiſſemus à Phycunte, ſub veſperam ſeram ad Erythiæ ſinum applicuimus. Ibi tantiſper mora facta donec aquam biberemus & aquaremur (fontes enim multi in ipſo littore ſcaturiunt, aqua pura ſuauiſſimáque) accelerátibus Carpathiis ruſus nauem adduximus. Mediocribus autem vſi ventis, cùm non magnum iter quottidie nos confecturos ſperaremus, ecce tantùm imprudentes contendimus quantùm oportebat, quinto die face viſa, quam è turri ſignum appellentibus protendunt, celerius opinato, ſubduximus inſula Pharo. Sterilis eſt inſula, in qua neque ſunt Spontaneæ ſyluæ neque fructus, ſed genus quoddam ſalis.

Eidem.

CAlcearium quendam Athenis venire dicunt ſe quo vt mihi videtur, anno ſuperiore firmas illas & intritas ſoleas emiſti. Nunc aiunt eum longius negotiando proceſsiſſe, & operis Attici Stolas adportare: tibique congruente, æſtiuas veſtes, & nobis ad vernum tempus accommodata pallia. Priuſquam igitur omnia vendat, aut ea quæ pulchiori opere facta ſunt (Nam qui

Τῷ ἀδελφῷ.

Ἀπέκτονε, φησί τις, Ἰωάννης Αἰμύλιον· ἕτεροι δὲ τοὺς πολιτευομένους ἐχθροὺς, ἐπ' αὐτὸν ταῦτα συμπεπλάσθαι. τὸ μὲν οὖν ἀληθὲς, οἶδεν ἡ δίκη καὶ ὁ χρόνος ὁρίσει. ἐγὼ δὲ καίτοι γε ἀδήλου τοῦ πράγματος ὄντος, εἶναι δεῖν ἅπαντας ἐξ ἴσης ἀποσπάζεσθαι. τὸν μὲν, ὅτι τοιοῦτός ἐστιν, ὥστε εἰ καὶ μὴ πεποίηκεν, ἀλλ' ἐποίησεν ἂν καὶ τοῖς ἑαυτοῦ τρόποις πρέπουσαν αἰτίαν ἐδέξατο. τοὺς δὲ, καὶ μὴ πλάσαντας, ὅτι συνέπλασαν ἄν. καὶ πρὸς αὐτοὺς τὸ ἐγχείρημα. ὡς ἔστιν ὅτε αὖ ἔοικεν ὑποψίᾳ τινί. κἂν εἰ συνωμόται πολλοὶ μαρτυρῶσιν, οὐδὲν αὐτοῖς ἔσται πλέον εἰς πίστιν. οἷον εἴ τις ἑταιρήσεως διώκοι τὸν Αἴαντα, γέλως ἂν εἴη πλατύς. ὁ δὲ Ἀλέξανδρος, εἰ μὴ θῆλυς, ἀλλὰ θηλυδρίας γε ἦν. καὶ τὴν αἰτίαν ἐχώρει. τὸν Σίσυφον δὲ καὶ τὸν Ὀδυσσέα μισῶ. καὶ γὰρ εἰ καὶ λέγοιεν ἀληθὲς, ἀλλὰ τοιοῦτοί γε ἦσαν, οἷοι τὰ πλείω ψεύδεσθαι. ἐγὼ δὲ οἷς ἀτυχῶ, λίαν εὐτυχῶ, πολιτῶν τοιούτων ἐχθρῶν καὶ φίλων στερόμενος. ἀποτετείχισταί μοι τὰ πρὸς ἅπαντας. οὐδὲν ἐμοὶ πρὸς ἐκείνων οὐδένα. ξένος ἐν ξένοις βιώσω. ὁ τρόπος ἡμᾶς πρὸς τοῦτο πως διάκειται. ὀδύρομαι δὲ τὸ κλεινὸν ἔδαφος τῆς Κυρήνης, ὃ πάλαι μὲν εἶχον Καρνεάδαι τε καὶ Ἀρίστιπποι, νυνὶ δὲ Ἰωάνναι καὶ Ἰούλιοι, μεθ' ὧν οὐκ ἐπιτηδείως ᾠκημένος, ἐπιτηδείως ἀποδημῶ. σὺ δὲ ἀλλὰ μηδὲ γράφειν ἔτι μοι περὶ τῶν ἐκεῖθεν πραγμάτων τινός. μηδὲ συνιστάναι τοὺς ἔχοντας δίκας. οὐ γὰρ ἂν ἐπιδοίην ἐμαυτὸν ἔτι τούτων τινί. ἀτυχέστατος μὲν γὰρ ἂν εἴην, εἰ τῶν μὲν ἀγαθῶν, ὧν φιλτάτης πατρίδος στεροίμην, μετέχοιμι δὲ αἰσχρολογιῶν καὶ πραγμάτων, ἀφελκόντων με τῆς ἐν φιλοσοφίᾳ ῥᾳστώνης. καὶ πενίαν ἐξ ἀπραξίας ὡς κέρδος ἑλόμενος, τἀλλότρια κακὰ προῖκα προσεργάσωμαι.

Τῷ αὐτῷ.

Ἀρτίως ἐκ Φυκοῦντος ἀρχομένης ἑώας, δείλης ὀψίας τῷ κατ' Ἐρυθρὸν κόλπῳ προσέσχομεν. ἐνδιατρίψαντες δὲ, ὅσον ὕδωρ πιεῖν καὶ ὑδρεύσασθαι, πηγαὶ γὰρ ἐπ' αὐτὴν ἐκδιδόασι τὴν ἠιόνα καθαροῦ τε καὶ ἡδίστου νάματος, ἐπιταχυνόντων τῶν Καρπαθίων, αὖθις ἀνήχθημεν. πνεύματι δὲ χρησάμενοι μετρίῳ μὲν, ἀλλ' ἐκ πρύμνης ἀεὶ, καὶ μέγα οὐδὲν ἐφ' ἑκάστης ἡμέρας ἀνύειν ἐλπίσαντες, ἐλάθομεν ἐξεληλυκότες ὅσον ἔδει. καὶ πεμπταῖοι τὸν φρυκτὸν ἰδόντες, ὃν αἴρουσι ἀπὸ πύργου τοῖς καταγομένοις σύνθημα, θᾶττον ἢ λόγος ἀποβιβασθέντες ἦμεν ἐν τῇ νήσῳ τῇ Φάρῳ. λυπρὰ δὲ ἡ νῆσος, ἐν ᾗ μήτε δένδρος ἐστὶν αὐτοφυὲς, μήτε καρπός. ἀλλ' ἅλες τινές.

Τῷ αὐτῷ.

Ἧκέν τις Ἀθήνηθεν (λέγεται) κρηπιδοπώλης, ἄνθρωπος παρ' οὗ μοι δοκεῖς καὶ πέρυσιν ἐωνῆσθαι τὰς ἀραρυίας ἐμβάδας. νῦν δέ φασιν αὐτὸν ἐπὶ μεῖζον ἐμπορεύεσθαι, κομίζοντα στολὰς Ἀττικουργεῖς. σοί τε θέριστρα πρέποντα καὶ ἡμῖν ἀναβολὰς εἰς τὴν ὥραν τοῦ ἔτους. πρὶν ἂν οὖν ἁπάσας φθάσειεν ἀποδόμενος, ἢ τὰς τῆς καλλίονος ἐργασίας, οἱ γὰρ

προεντυγχάνοντας, οὐχ ὑπὲρ τὴν κατόπιν, ἀλλ' ὑπὲρ ἑαυτῶν ἐπιτήδειον ἀξιοῦσι βουλεύεσθαι, εἰς καλέσεις τὸν ξένον, καὶ πρίω μοι τρεῖς ἢ τέτταρας τῶν ἀναβολῶν. πάντως ὅτι ἂν ὑπὲρ τῆς τιμῆς καταθῇ, παρ' ἐμοῦ σοι πολλαπλάσιον κείσεται.

Τοῦ αὐτοῦ.

Μῆκος ἐπιστολῆς ἀνοικειότητα κατηγορεῖ τοῦ διακομίζοντος. ἀλλ' ὁ θαυμαστὸς Ἀκάκιος, οἶδε μὲν ὅσα κἀγώ, ἐρεῖ δὲ καὶ ἃν οἶδε πλείονα, τῷ, τι σὸς ἐραστὴς εἶναι. καὶ τὴν γλῶτταν ἔχειν νικῶσαν τὰ πράγματα. ὡς τήν γε ἐπιστολὴν τοῦ νόμου τοῦ προσειπεῖν σε πλέον, ἢ τῇ χρείᾳ χαρίζομαι. τὸ δ' ἀπαγγεῖλαί σοι περὶ τοῦ υἱοῦ Διοσκορίου, τοῦτο μὲν ὡς ὑγιαίνει. τοῦτο δ' ὡς ἀναγινώσκει, καὶ προσέσχεται τοῖς βιβλίοις, τοῦτο τῆς ἐπιστολῆς ὑπαρχέτω τιμή. ἡμεῖς δὲ αὐτοῦ, συμμορίαν ἀδελφῶν παρεχόμεθα. προσθέντες Ἡσυχίῳ ζεῦγος ἀδελφῶν ἀρρένων οὓς εὐτυχεῖς ποιήσειεν ὁ θεός, αὐτοῖς τε καὶ ἀδελφοῖς καὶ γονέων οἴκῳ, καὶ λοιπῷ γένει, καὶ ταῖς πατρίοις πόλεσι.

Τοῦ αὐτοῦ.

Συχνοὶ παρ' ἡμῖν καὶ ἰδιῶται καὶ ἱερεῖς, πλαττόμενοί τινας ὀνείρους, οὓς αὐτοὶ καλοῦσιν ἀποκαλύψεις, ἐοίκασιν ὕπαρ μοι δώσειν κακόν, εἰ μὴ τάχιστα τὰς ἱερὰς Ἀθήνας καταλαβεῖν μοι γένηται. ὁσάκις ἂν οὖν ἐντυχεῖν σοι γένοιτο, ναυκλήρῳ πειραϊκῷ, γράφε πρὸς ἡμᾶς. ἐκεῖ γὰρ ἐνδεξόμεθα ταῖς ἐπιστολαῖς. ὀνήσομαι δὲ οὐ μόνον τοῦτο τῆς ἐπὶ τὰς Ἀθήνας ὁδοῦ, τὸ τῶν παρόντων ἀπηλλάχθαι δεινῶν, ἀλλὰ καὶ τὸ μηκέτι τοὺς ἐκεῖθεν ἥκοντας ἐπὶ λόγοις προσκυνεῖν. οἳ μηδὲν ἡμῶν τῶν θνητῶν διαφέρουσιν. οὔκουν εἰς σύνεσίν γε τὴν Ἀριστοτέλους καὶ Πλάτωνος. ἀναστρέφονται δὲ ἡμῖν, ὥσπερ ἐν ἡμιόνοις ἡμίθεοι. διότι τεθέανται τὴν ἀκαδημίαν καὶ τὸ λύκειον. καὶ τὴν ἐν ᾗ Ζήνων ἐφιλοσόφει ποικίλην, νῦν οὐκέτ' οὖσαν ποικίλην. ὁ γὰρ ἀνθύπατος τὰς σανίδας ἀφείλετο, ἔπειτα ἐκώλυσεν αὐτοὺς ἐπὶ σοφίᾳ μεῖζον φρονεῖν.

Τοῦ αὐτοῦ.

Ἔλυσας τὸ πρυμνήσιον. κἀγὼ τὰς ἡμιόνους ἔστησα παρὰ τὴν ζεφυρίτιν ἠϊόνα. τῆς ἀπήνης δὲ ἀποβαίνοντος, ἤδη σοι τὸ ἱστίον ἦρτο. καὶ κατὰ πρύμναν ὁ ἄνεμος. ἀλλὰ τοῖς γε ὀφθαλμοῖς ὑμᾶς ἐφ' ὅσον ἐξικνοῦντο προύπεμψα, καὶ πολλὰ τοῖς ἀνέμοις ὑπὲρ τῆς ἱερωμένης ψυχῆς διείλεγμαι, συνιστὰς αὐτοῖς τὸ σκάφος, ὅτι μοι τὸ τιμαλφέστατον φορτίον πεπίστευτο. οἱ δέ, οὐ γάρ εἰσιν ἀνέραστοι τῶν καλῶν, ὑπέσχοντό μοι τὴν σὴν κομιδήν τε καὶ ἀνακομιδήν. οὗτοι μὲν οὖν ἀγαθοὶ δαίμονες ὄντες, οὐκ ἄν ποτε ψεύσαιντο. σὺ δὲ ὥσπερ αὐτῶν ἐδεήθης ἐντεῦθεν, ἐκεῖσε πορθμεύειν, δεήθητι κἀκεῖθεν ἐνθάδε, πολὺ γὰρ ἂν ἥδιον τότε σοι παραγένοιντο.

Τοῦ αὐτοῦ.

Ἀδικεῖς με ὦ θεία καὶ ἱερὰ κεφαλή, ψυχὴν ἁπλῆν καὶ ὑπὸ συνηθείας ἁλώσιμον, ἐνσείσας μὲν εἰς τὸ διαφερόντως ἀγαπᾶν σέ τι καὶ τὴν ἀδελφιδῆν. ἀφελόμενος δὲ σαυτοῦ τε καὶ τῆς ἀδελφιδῆς. ἐκείνην μὲν οὖν ἔχων, διπλῆν ἐθεώμην εἰκόνα. καὶ παρῆν μοι διὰ τῆς νεάνιδος ὁ θεῖος αὐτῆς. νῦν δὲ

primùm in eum incidunt ſibi ipſis, non ijs qui poſtea venturi ſunt, conſulunt) intro vocabis, ad te hoſpitem, & emes mihi tria quatuórve pallia. Quicquid expenderis precij, multipliciter apud me tibi repoſitum erit.

Eidem.

Literarum prolixitas inertiam tabellarij redarguit, ſed egregius Acacius omnia nouit, quæ & ego, Dicet etiam plura, quàm norit, quoniam te plurimum amat, & linguam ſit res ipſa longè ſuperantem, vt epiſtolam magis appellandi te conſuetudine quàm neceſſitate miſerim. Verùm hoc habeat epiſtola muneris, vt tibi nuncium de filio Dioſcorio ferat, quemadmodum legat & libris intentus ſit. Nos ei, fratrum contubernium dedimus. adiecimus enim Heſychio iugum fratrum, quibus fortunam Deus largiatur, tum erga fratres inter ſeſe, erga domum paternam reliquúmque genus, tum etiam patrias ciuitates.

Eidem.

MVlti tam idiotæ quàm ſacerdotes apud nos fictis quibuſdam inſomniis, quæ reuelationes nuncupant, damnum mihi reuera præſagire videntur, niſi quàm celerrimè ſacras Athenas petam. Quotieſcunque igitur in Nauclerum Pireenſem incideris, fac nos certiores. Sic enim literas accipiemus. Nec verò ſolum hoc emolumentum mihi præſtabit inſtituta verſus Athenas profectio, vt à præſentibus malis me liberet & expediat, verùm etiam vt ne poſthac eos qui inde veniunt docendi cauſſa, venerari & propemodum adorare mihi neceſſe ſit. qui cùm nulla re nobis mortalibus ſint præſtantiores, ne eo quidem quod ad intelligenda Platonis & Ariſtotelis ſcripta pertinet: verſantur tamen in nobis, non aliter quàm inter mulos ſemidei, ſolam ob hanc cauſſam, quòd Academiam viderint & Lyceũ & eam in qua Zenon docuit Pæcilam quæ amplius non eſt ornata ποικίλη, Proconſul enim tabulas abſtulit, & vetuit ne ob ſapientiam altum ſaperent.

Eidem.

CVm tu Prynneſium ſolueres ego mulas in littore fauoniali conſtitui, cùmque iam è curru deſcenderem, tu velum ſuſtuleras, & puppi ventus incumbebat. Sed oculis vos in quantum progredi potuerunt, comitatus ſum, multùmque cum ventis ad ſalutem animæ dilectæ, tuendam, locutus ſum, nauémque eis commendaui, cui precioſiſſima mea merces eſſet credita. Illi verò, neque enim alieni ſunt ab amore bonorum, tui auectionem reuectionémque promiſerunt. Hi igitur cùm ſint boni dæmones, fidem non fallant. Tu verò quemadmodum eos precabaris, cùm hinc illuc nauigares, ita quoque cùm illinc huc renauigandum erit, facito. Sic enim multò promptiores eos & alacriores ad ſalutem tuam reddes.

Eidem.

INiuriam facis ô diuinum & ſacrum caput, qui cùm mentem ſimplicem meam, & quæ familiaritate facilimè capitur impuliſſes ad amorem tui & neptis, nunc eam & teipſo & nepte priuaris. Quòd ſi illam haberẽ, duplicem in ea conſpicerẽ imaginẽ, & per adoleſcentulã mihi præſtò eſſet auunculus eius.

Iam

Iam verò omnibus charis deſtituor, & naturam accuſo, quód tam immoderatam vim in iniuriis accipiendis habeat, & ſi quid ſapientiæ ſtudium prodeſt, ſeueritate recuperabo, & in poſterum rigidiorem conſtantiorémque in conuerſationibus experiemini.

Contra Andronicum.

MAlefici & improbi magiſtratus immundi, ſeruiunt ad vſum & vtilitatem Dei. Pœnis enim afficiunt eos qui puniri digni ſunt. Nihilominus tamen odio ſunt Deo, & abominationi. Excitabo enim inquit gentem contra vos calamitatibus & damnis affliget, & poſtremò illos ipſos, quibus vtitur quaſi inſtrumentis, dicit ſibi pœnas ſoluturos, quòd cùm accepiſſent vos in ſuam poteſtatẽ, nullam miſericordiã vobis præſtiterunt, & omnem crudelitatem exercuerunt. Ipſas enim Syllabas, quemadmodum in ſacris libris habent non memoria tenebam. At ſcio in aliquo libro Deum hæc dicere. Nec verò ſolùm dixit, & non fecit, ſed rex Babylonius Hieruſalem ciuitatem euertit. Populo ſeruitutis iugum impoſitum eſt. Hic autem ipſe non longo tempore poſt, in furorem incidit, & vltore Deo, ciuitas ita deſolata eſt & ad nihilũ redacta, vt quamuis in eo loco ciuitas extitiſſet, tamen incredibile videretur. Nunquid ergo, Deum audemus interrogare? Quamobrem tu viros concitas punitores vltoréſque eorum qui in te peccauerunt. Poſtquam autem diuinæ voluntati morem geſſerunt, & in vincula mortémque coniecerunt eos contra quos mittuntur, cùm iam gratia pro miniſterio referenda ſit, tum maximè ad ſupplicium ipſi rapiuntur. Sed ad reſpondendum his quæ quærimus facultatem nobis dedit. Poſtquam enim hoc modo violata lege, venerunt in homines mala. Quæ verò mala pariunt ea ſunt excellenter mala. Nam abundantia naturæ in opus etiam erumpũt. Poſtquam igitur ſemel contigerunt mala, diuinæ ſapientiæ virtutis & potentiæ eſt, non ſolùm bene facere. Nam hæc vt ſic dicam eſt natura Dei quemadmodum ignis calefacere & lucis illuminare: verùm etiam illud vt mala quæ cogitata ſunt ab aliquibus ad bonum aliquem & rectum finem dirigat, & quæ mala videntur, in vtilem aliquem vſum conuertat. Eſt enim ſollertiſſimæ ſapientiæ, malis vtiliter etiam vti. Cùm igitur punitoribus opus eſt, nunc vtitur dæmonibus, locuſtarum ducibus ac præfectis, nunc illis, quorum eſt peſtes & morbos fabricare, & iam gente quadam Barbarorum, iam malo principe, & vt ſemel dicam publicis viris qui ſunt natura ad malefaciendum idonei, tamen illas odio proſequitur, quòd ad hoc ipſum fuerunt idonei. Non enim fecit illos Deus vt eſſent inſtrumenta calamitatum & damnorum, ſed cùm ad hoc ſemetipſos intulerint, eorum opera Deus vtitur: & quoniam ad hoc tu cõmodus fuiſti, idipſum eſt quod in vniuerſum à Deo te abſcindit & abſtrahit. Sic vas aliud obſcœnum, aliud honorificum eſt, & eſſe creditur. Nam vtrúque penditur ex eo, in quẽ vſum adhibeatur. Menſa quidem, ſancta res eſt, qua Deo amico & hoſpitali honores tribuuntur. Et Abrahamum hoſpitalitas in eũ dignitatis ſtatum euexit, vt eſſet hoſpes Dei. Contrà flagrum & virga deteſtanda. Nã inſeruit, iræ ac libidini. & poſtquã ea quis vſus eſt, pœnitudine ducitur. Eorũ verò qui puniũtur, Deus curã gerit. Nec enim hoc eſt exiguũ, aut leue exiſtimari debet Dei animaduerſione dignũ iudicari, & delicta per ſuppliciũ ex

ἅπαντα τὰ φίλα φροῦδα. καὶ μέμφομαι τῇ φύσει, διὰ τὴν ἀμετρίαν τῆς εἰς τὸ ἀδικεῖσθαι ῥοπῆς. καὶ εἴ τι φιλοσοφίας ὄφελος, εἰς ἀῤῥενωπότερον ἀνακτήσομαι καὶ τὸ λοιπὸν σφοδραμένῳ μοι καὶ ἀκλινεστέρῳ συνέσεσθε.

Κατὰ Ἀνδρονίκου.

ΑΙ κακοποιοὶ δυνάμεις ἐν κόσμῳ, συντελοῦσι μὲν τῇ χρείᾳ τῆς προνοίας. κολάζουσι γὰρ τοὺς ἀξίους κολάζεσθαι, εἰσὶ δὲ ὅμως θεομισεῖς καὶ ἀποτρόπαιοι. ἐγερῶ γάρ φησιν ἔθνος ἐφ᾽ ὑμᾶς ἀφ᾽ οὗ πείσεσθε τόσα καὶ τόσα. καὶ πάλιν, αὐτοῖς ἐκείνοις, οἷς ἐπιστρατεύει, φησὶν ἐπεξελεύσεσθαι, ὅτι παραλαβόντες ὑμᾶς οὐκ ἠλέησαν, οὐδὲ ἀνθρωπίνως ἐχρήσαντο. αὐτὰς μὲν γὰρ οὐκ ἐξεμελέτησα τὰς ἱερὰς συλλαβὰς, ἰσχυρίζομαι δὲ, ὡς ἔστιν ἔν τινι τῶν βιβλίων ὁ θεὸς ταῦτα λέγειν πεπίστευται. καὶ οὐκ εἶπε μὲν οὕτως, οὐκ ἐποίησε δὲ, ἀλλὰ Βαβυλώνιος βασιλεὺς, Ἱερουσαλὴμ μὲν τὴν πόλιν κατέσκαψε. τὸ δὲ ἔθνος, ἠνδραποδίσατο. ὁ δὲ αὐτὸς οὗτος, οὐκ εἰς μακρὰν ἐμεμήνει. καὶ γέγονε δίκη· θεοῦ ἐξερημωθῆναι τὴν πόλιν, ὡς εἰ καὶ γέγονεν ἐν τῷ τόπῳ πόλις, ἀπιστηθῆναι. ἆρα τολμητέον ἐρέσθαι θεὸν διὰ τί σὺ μὲν αὐτοὺς ἐγείρεις ἄνδρας, ἐπὶ τοὺς ἡμαρτηκότας σοι τιμωρούς. ὅταν δὲ ὑπηρετήσωσι τῷ θείῳ βουλήματι, καὶ γένωνται δήμιοι τούτοις, ἐφ᾽ οὓς κατεπέμφθησαν, δέον ἐκτίσαι χάριν τῆς ὑπουργίας τότε δὴ μάλιστα καὶ κολάζονται. ἀλλ᾽ ἡ κεκίνηκεν ἡμᾶς εἰς ἀπόκρισιν αὐτὸ αὐτοῦ πυνθανόμεθα. Ἐπειδὴ γὰρ βεβλαμμένου τοῦ θείου νόμου, παρῆλθεν εἰς ἀνθρώπους κακά. τὰ δὲ κακοποιὰ διαφερόντως κακά. περιουσίᾳ γὰρ φύσεως καὶ δραστήρια γίνονται. ἐπεὶ δ᾽ οὖν ἅπαξ γέγονε τὰ κακά, τῆς θείας σοφίας καὶ ἀρετῆς καὶ δυνάμεως ἔργον ἐστὶν, οὐ μόνον τὸ ἀγαθοποιεῖν, φύσις γὰρ ὡς εἰπεῖν αὕτη θεοῦ, ὡς τοῦ πυρὸς τὸ θερμαίνειν, καὶ τοῦ φωτὸς τὸ φωτίζειν, ἀλλὰ κἀκεῖνο μάλιστα τὸ διὰ κακῶν ἐπινοηθέντων πρός τινων, ἀγαθόν τι καὶ χρηστὸν τέλος ἀποτελεῖν, καὶ ὠφελίμως τοῖς δοκοῦσι φαύλοις χρῆσθαι. καὶ γὰρ σοφίας ἐστὶν εὐμηχάνου, καὶ τοῖς κακοῖς ἐνδεικνύντα χρήσασθαι. ὅταν οὖν δέηται κολαστῶν, χρῆται νῦν μὲν ἀγελάρχαις ἀκρίδων, δαίμοσι. νῦν δὲ ὧν ἔργα λοιμοί. καὶ νῦν μὲν ἔθνει βαρβάρων. νῦν δὲ ἄρχοντι πονηρῷ, καὶ καθάπαξ εἰπεῖν, ταῖς ἐπιτηδείοις εἰς τὸ ποιῆσαι κακὰ, δημοσίαις φύσεσι. μισεῖ δ᾽ ὅμως αὐτὰς, ὅτι πρὸς τοῦτο γεγόνασιν ἐπιτήδειοι. οὐ γὰρ ἐποίησεν ὁ θεὸς ὄργανα συμφορῶν. ἀλλ᾽ ὑφ᾽ ἑαυτῶν εἰς τοῦτο ταχθεῖσιν ἑτοίμως ἐχρήσατο. καὶ διότι πρὸς τοῦτο σὺ γέγονας χρήσιμος, αὐτὸ τοῦτό ἐστιν, ὃ καὶ παντάπασιν ἀποκόπτει θεοῦ. οὕτω καὶ σκεῦος τὸ μὲν ἄτιμον. τὸ δὲ, τίμιόν ἐστι τε καὶ νομίζεται. κρίνεται γὰρ ἑκάτερον πρὸς ἥν τινα χρείαν παρέχεται. τράπεζα μὲν, ἱερὸν χρῆμα. δι᾽ ἧς ὁ θεὸς τιμᾶται φίλιός τε καὶ ξένιος. καὶ τὸν Ἀβραὰμ ἡ φιλοξενία, θεοῦ πεποίηκεν ἑστιάτορα. μάστιξ δὲ ἀποτρόπαιον. θυμῷ γὰρ ὑπηρετεῖται. καί τις ἤδη χρησάμενος αὐτῇ, μετανοεῖ. τῶν μέν τοι κολαζομένων ὁ θεὸς κήδεται. οὐδὲ γὰρ οὐδὲ τοῦτο μικρὸν, ἐπισκοπῆς ἀξιωθῆναι θεοῦ, καὶ καθαίρεσθαι διὰ δίκης τὰ ἁμαρτήματα

αἱ δὲ τιμωροὶ φύσεις, αἱ παντάπασιν ἀπόστροφοι τοῦ θεοῦ. τὸ γὰρ ἀφανιστικὸν, τοῦ δημιουργοῦ ἐστι πολέμιον. οὐ γὰρ οὐδὲ διάκειται τὴν γνώμην ὁ τιμωρὸς, ἢ δαίμων, ἢ ἄνθρωπος, ὡς λειτουργίαν τινὰ, ταύτην εἰσφέρειν θεῷ. ἀλλὰ τῇ μοχθηρίᾳ τῆς φύσεως χαριζόμενος ταῖς κοιναῖς συμφοραῖς ἐπεξέρχεται. οὐ τοίνυν ἐπειδὴ δυστυχεῖν ἔδει τὴν πόλιν, σὺ δὲ τοῦτ' εἰργάσω, διὰ τοῦτό τι δεῖ διαδρᾶναι τὴν δίκην. ταύτην γὰρ ἂν τὴν ἀπολογίαν καὶ Ἰούδας ἀπελογήσατο. ἔδει γὰρ ὑπὲρ τῶν ἁπάντων ἁμαρτιῶν σταυρωθῆναι χριστὸν, ἀλλ' ἔδει μὲν φησίν. οὐαὶ δὲ, δι' οὗ γίνεται, καὶ καλὸν ἦν τῷ ἀνθρώπῳ, εἰ οὐκ ἐγένετο. οὐκοῦν τὸ μὲν ὁρώμενον, ἀγχόνη τὴν προδοσίαν αὐτοῦ διεδέξατο. τὸ δὲ οὐχ ὁρώμενον, οὐδ' ἂν ἐπινοήσειέ τις. οὐ γάρ ἐστιν ἐπίνοιαν ἀνθρώπου χωρῆσαι, τίνα γένοιτ' ἂν τῷ χριστοῦ προδότῃ τὰ κολαστήρια. τὸ γὰρ ἢ δεῖ γενέσθαι ὑπηρετῆσαι τῷ χρεὼν, οὐκ ἀξίας ἀπολογίας ἐστί. δεῖ τοίνυν ὅσον οὐδέπω καὶ αὐσονειανοὺς, καὶ ἀνδρόνικον, ὑπὲρ ὧν εἰς ἡμᾶς εἰργάσαντο, δίκην ἀξίαν κομίσασθαι. καὶ γὰρ τὴν ἀκρίδα τὴν λυμηναμένην ἡμῶν τοὺς καρποὺς, καὶ μέχρι μὲν καλάμης τὸ λήϊον, μέχρι δὲ φλοιοῦ τὰ φυτὰ δαπανήσασαν, καταποντιστὴς ἄνεμος ἄρας, ὦσεν εἰς μέσον τὸ πέλαγος. ταύτῃ μὲν οὖν τῇ πληγῇ, τὸν νότον ἀντέταξεν ὁ θεός. καὶ ἐπ' αὐσονειανοὺς ἤδη τις ἥρηται παρ' αὐτοῦ στρατηγός. ὡς εἴη γε τοῦτον ἡμῖν εἶναι, τῶν παρ' αὐτοῦ πώποτε στρατηγῶν, εὐσεβέστατόν τε καὶ δικαιότατον. τοῦτον ἐπὶ τῷ κατ' αὐτῶν τροπαίῳ, μακαρίσαι μοι γένοιτο. μακάριος γάρ φησιν, ὃς ἀνταποδώσει τὸ ἀνταπόδομα αὐτοῖς. μακάριος ὃς ἐδαφιεῖ τὰ νήπια αὐτῶν πρὸς τὴν πέτραν. τίς δὲ ἄρα τίς ὄλεθρος [illegible] τῷ παλαμναίῳ τῆς χώρας ἀνδρονίκῳ. τίς ἀξία γένοιτ' ἂν δίκη, ψυχῆς κακεργάτιδος. ὡς ἔμοιγε τῶν πληγῶν ἁπασῶν αἷς μαστίζει τὰς ἁμαρτίας ἡμῶν ὁ θεὸς, ἀνδρόνικός ἐστι μακρῷ πάντων βαρύτερος. πρὸς γὰρ ταῖς κοιναῖς συμφοραῖς, ὥσπερ ἐμόν ἐστι κακὸν ἴδιον. διὰ τούτου πειρᾷ με ὁ πειράζων, ἵνα δραπετεύσω τοῦ θυσιαστηρίου τὴν λειτουργίαν. ἐπαναχθῆναι δέ μοι μικρὸν ἄνω τοῦ λόγου. ἵν' οἷς ἴστε, προσθεὶς ἃ μὴ πάντες γινώσκετε, ἀκόλουθον ὑμῖν τὴν διδασκαλίαν τῶν περὶ ἐμὲ πραγμάτων ποιήσωμαι. καὶ γὰρ πρὸς τὰ μετὰ ταῦτά μοι καλῶς ἔχει τούτων ὑμᾶς ἀκροατάς μοι γενέσθαι. ἐμοὶ τοίνυν ἐκ παιδόθεν παρέστη θεῖον ἀγαθὸν εἶναι, σχολὴ καὶ τοῦ ζῆν εὐμάρεια. τί δ' ὄντως θείαις φύσεσι προσήκει τῆς ἐρημίας. αὐτὸ τοῦτ' εἶναι, τὸ τὸν νοῦν ἐκτρέφειν καὶ συνιστᾶν τῷ θεῷ, τὸν ἔχοντα τε αὐτὴν καὶ καρπούμενον. ὅσα δὲ τοῖς παισίν ἐστιν ἢ γίνεται πράγματα, τούτων ἐλάχιστον ἐγὼ μετεῖχον. καὶ ὅσα μειρακίοις. καὶ ὅσα νέοις. καὶ εἰς ἄνδρα δὲ ἀπαγγείλας, οὐδέν τι παιδαρίου πρὸς ἀπραγμοσύνην παρήλλαξα. ἀλλ' ὥσπερ ἐν πανηγύρει σεμνῇ διεξάγων τὸν βίον, διὰ πάσης ἡλικίας, ἵλεων καὶ ἀκύμαντον τῆς ψυχῆς ἐτήρησα τὴν διάθεσιν. οὐ μὴν διὰ τοῦτο ἀνθρώποις ἀσυντελῆ με πεποίηκεν ὁ θεός. ἀλλὰ πολλάκις ἐμοῦ καὶ ἰδιῶται καὶ πόλεις εἰς δέον ἐχρήσαντο. ἐδίδου γὰρ ὁ θεὸς δύνασθαι τε τὰ μέγιστα καὶ τὰ κάλλιστα βούλεσθαι. τοῦτον ἐδίδου ἐμοὶ φιλοσοφίας ἐφόλκιον. εἰ δὲ τὴν εὐδαιμονία

piari. Qui verò puniũt, ij ſunt prorſus à Deo auerſi & alieni. Quod enim tollit è medio atq; perniciem adfert, illud fabricatori ſit inuiſum & exoſum oportet. Nec enim animo ſic effectus eſt punitor, ſiue is ſit dæmon, ſiue homo, vt obſequiũ officiúmq; Deo præſtare velit, ſed quandã deprauatã naturæ malitiã. cõmunib. his inferendis miſeriis explet. Non igitur, quoniam ciuitatẽ affici clade neceſſe eſſet, & id tua ope perfectum eſt, idcirco tu pœnam effugies. Nam hac defenſione Iudas etiam purgare ſe potuiſſet. Oportebat enim Chriſtum expiandi omnium hominum peccati cauſſa, in crucem agi. Sed oportebat quidem inquit. At væ illi homini, quo autore hoc fit. Vtile fuiſſet homini, ſi nunquam in lucem eſſet editus. Itaque quod quidem videri poſſet, laqueus proditionem eius conſecutus eſt. Quod verò non cadit ſub oculos, id nemo cogitatione aſſequi poteſt. Non enim capit humana cogitatio, quantum mali & tormentorũ Chriſti proditori inferatur. Nã quoniam oportuerit fieri, ſe fato inſeruiſſe, non honeſta defenſio eſt. Auſurianis igitur & Andronico maximè pro ſuis in nos ſceleribus extremum dignúmque luendum eſt ſupplicium. Nam locuſtam quæ fructibus noſtris corruptionem intulit, & ſegetem vſque ad ſtipulam ac plantas ad corticem vſque depaſta eſt, ventus quidam prædatorius ſublatas in medium pelagus impulit. Huic igitur plagæ, notum Deus oppoſuit, & aduerſus Auſurianos iam quidam ab illo dux eſt conſtitutus, vt hunc habeamus omnium ducum quotquot vnquam ab illo dati ſunt religioſiſſimum & iuſtiſſimum. Hunc mihi beatum à Tropheo ex illorum victoria parto prædicare liceat. Beatus, enim inquit qui talionem illis repenſurus eſt, Beatus qui infantes illorum ſaxis alliſerit. Quis verò quis interitus ſcelerato regionis ſiccatio paratus eſt Andronico? Quod ſatis dignum ſuplicium erit animo nefario. Nam mihi plagis omnibus, quibus peccata noſtra Deus punitus eſt, Andronicus longè moleſtior eſt ac intolerabilior. Præter enim communes miſerias, ille meum quaſi priuatum quoddam infortunium eſt. Per hunc me tentator ſollicitat, vt ſacrificandi munus declinem. Sed eſt mihi paulo altiùs à principio ſermo repetẽdus vt cùm ad ea quæ ipſi memoria tenetis, illa quę non omnibus nota ſunt adiecero, conſequenter vobis doctrinam de meatũ rerum conditione exponam. Nam ad ea quæ ſequuntur mihi bonum eſt atque vtile, vos hæc à me primùm audire. Mihi à puero viſum eſt diuinũ bonũ eſſe otiũ & vitæ tranquillitas eiuſmodi, quod diuinis naturis & ingeniis cõuenire iure cenſeri poſſet. Hoc autem ipſum eſſe, vt mẽtem aleret, Deóque commendatam redderet, qui hanc vacationem poſſidendam ac fruẽdam adeptus eſſet. Quotquot pueris ſunt aut cõtingunt negotia, hæc me minimè ſollicitum habebant, & quotquot adoleſcentibus item iuuenib. Poſteaquam vero ad virilem ætatem acceſſi, non equidem aliud quàm quod puer de otio ſentiebam: ſed tanquam in aliqua graui panegyre vitam exigens, per omnẽ ætatẽ, placidum & conſtantẽ animi ſenſum cuſtodiui. Nec tamen idcirco me mortalibus inutilẽ Deus præbuit. Sed perſæpe noſtro conſilio & ope homines priuati & Reſpublicæ rectè vſi ſint. Dederat enim nobis

Deus

Deus poteſtatem appetendi res maximas & præſtãtiſſimas. Horũ nihil à philoſophiæ ſtudio me auocauit. Neque beatum hoc otium mihi præcidit. Nam impulſu & labore atque vix facere, id eſt quo tempus abſumitur ac perditur, & animus negotiorũ curis demergitur. Cuius autem ſolum eſt officium verba facere, cùm ſuada ſequitur, & apud auditores plurimum oratione proficitur, cur parcas verbis, vt quis ab infortunio & calamitate liberetur. Precioſum animal eſt homo. Precioſum enim ſit oportet, cùm ipſius cauſſa Chriſtus ad crucem affigi ſe paſſus ſit. Mihi verò, vt oratione mortales perſuaderem vſq; in præſentem annum fortaſſis diuina ſorte deputatum erat. Fortaſſis autem ſi ad res gerendas me cõtuliſſẽ, ſucceſſum nõ habuiſſem. Nunc enim res multi extitiſſe confirmata ac probata videtur, nunc illi vitæ ſtatum acceptum referebam vitam, in mundo quaſi ſacro quodam ambitu cùm bona ſpe degebã, animal Deo ſacrum remiſiſſe viuens, vitam in ſupplicationes, libros & venationem partitus. Nam vt anim° iuxta ac corpus bona ſint habitudine, partim opus faciundũ eſt, partim rogãdus Deus, tu eiuſmodi quiete traxi omnes annos, vſq; ad ſacerdotij electionem, quod ego ſemper omniũ timidiſſimè declinaram. Teſtem in omnibus Deum facio, cuius ego propter vos, altaris ſacrificium perſæpè portaui, ego ſine circuitionibus & ſtudiis, ſeorſim multis temporibus & multis in locis ipſum Deum adij & pronus atq; in genua prolapſus oraui ſuppliciter potiùs vt mihi mortem quàm ſacerdotiũ offerret. Nã verecundia me quædam & amor otij quod in philoſophia conſumitur, pro quo mihi ſemper omnia facienda dicendáque puraui. Verùm quoniam homines quidem vincebã, à Deo verò ſuperabar, quemadmodũ commune prouerbium habet de eo qui Dei vult eſſe diſcipulus, ferebam, ſed ægrè vitæ cõmutationem. Nam cùm fugam meditarer, ſpes me bonorum & malorum metus retardarunt, & ſenes quoſdam audiui dicẽtes, quòd me Deus paſceret, & quidam in ſermone dixit Hilarẽ eſſe ſpiritum ſanctum & omnibus qui ſui participes eſſent, gaudium impertire. Adiecit etiam dæmones coràm Deo, nos calumniis & criminationibus traducere, quos conturbatem & dolore afficerẽ, ſi meliori parti animũ adieciſſem: ſed etiamſi graue quid adferant, non inquit philoſophus cõſecratus deſtituitur. Ego igitur (Nã magnificè de me ſentire vel ſplendidũ aliquid mihimetipſi polliceri non facilè poſſum) fortunæ aduerſitatem prætendebam, non equidem ob inuidiã dæmonis. (Nec enim in me virtutem perſpicio, quæ pœnarum & calamitatum acerbitates prouocare potuiſſet, ſed potiùs quæ metueret, ne cùm indignus ad tanta myſteria gubernandum acceſſiſſem, pœnam debitam perſoluerem:) & hanc infœlicitatẽ prædicebam, in quam non propemodum impegerã, ſed in conſpectu verſabatur, & omnia pericula præſto erant, & fabricator omnium Andronicus dæmõ Mirtius, quæ nulla calamitatum & cladium ſatietas caperet, quũ reliquiis ciuitatis immineret. Forum vndique reſonabat virorum planctibus, vlulatione fœminarum, luctu puerorum. In captæ ciuitatis formam & ſtatum eam redegit, à qua cùm præſtantiſſimam partem abſcidiſſet, in cauſſa fuit vt ea locus vltionis nominaretur, & è regia porticu vbi conſilia priùs iniri ſolita ſunt, carnificina facta punitoribus eam dæmonibus tradidit, quibus ſe ſociũ adiunxit, & his aram, menſámque in ea collocauit:

μοι χολὴν ὑπετέμνετο. τὸ γὰρ ἄθυρμα καὶ μόχθος καὶ μόλις ποιεῖν, τοῦτο δ' ἐστὶν ὃ δαπανᾷ τὸν χρόνον. καὶ τὴν ψυχὴν ἐμβαπτίζει μυρίαις πραγμάτων ὅπου ἢ ἐστὶν μόνον καθῆκε, ᾗ πειθὼ δὲ ἕπεται, καὶ ὁ λόγος ἀνυσιμώτατος ἐστὶ παρὰ τοῖς ἀκούουσι, τίς φειδὼ ῥημάτων, ἵνα δυστυχίας τις ἐλευθερωθῇ. τίμιον ζῶον ὁ ἄνθρωπος. τίμιον γὰρ εἰ δι' αὐτὸν ἐσταυρώθη Χριστός. ἐμοὶ δὲ τὸ πείθειν ἀνθρώπους εἰς τὸν μέχρι τοῦ παρόντος ἐνιαυτόν, τάχα μὲν θεῖος κλῆρος ἐγίνετο. τάχα δὲ μὴ λίαν πραγμάτων ἁψάμενος, ἐπετύγχανον. νῦν γὰρ δὴ τὸ πρᾶγμα ἐλέγχον ἐξελήλεγκται μετὰ πολλῶν, ἅ τινα σαφῶς ἦν τοῦ θεοῦ, καὶ τοῦτ' αἰτήσομαι αὐτοῦ. καὶ ἔζων μετ' ἀγαθῶν τῶν ἐλπίδων, ὥσπερ ἐν ἱερῷ περιβόλῳ τοῦ κόσμου, ζῶον ἄφετον ἀνειμένον ζῶν, εὐχῇ καὶ βιβλίῳ καὶ θήρᾳ μερίζων τὸν βίον. ἵνα γὰρ ὑγιαίνῃ ψυχή τε καὶ σῶμα, τὸ μέν τι δεῖ ποιεῖν. τὸ δέ, αἰτεῖν τὸν θεόν. μετὰ τοιαύτης ἀδείας εἷλκον τοὺς τοὺς ἐνιαυτούς, τοὺς μέχρι τῆς ἱερωσύνης αἱρέσεως. πρὸς ἣν ἐγὼ πάντων ἀνθρώπων δειλότατος γεγόνα. μαρτύρομαι τὸν ἐπὶ πᾶσι θεόν, οὗ δι' ὑμᾶς ἐγὼ τὰς ἀπορρήτους ἐβάστασα τελετάς, δίχα τῶν ἀνθρωπίνων περιόδων τε καὶ σπουδῶν, αὐτοῦ κατὰ μόνας ἐν πολλοῖς καιροῖς τε καὶ τόποις προσῆλθον θεοῦ. καὶ προσκυνῶν καὶ γονυπετὴς ἱκέτης γενόμενος, θάνατον αὐθ' ἱερωσύνης ᾐτούμην. αἰδώς γάρ τίς μοι καὶ φιλία κατεῖχε τῆς ἐν φιλοσοφίᾳ σχολῆς, ὑπὲρ ἧς ἅπαντα δεῖν ᾤμην ποιεῖν τε καὶ λέγειν. ἀλλ' ἐπειδὴ τῶν μὲν ἀνθρώπων ἐκράτουν, τοῦ θεοῦ δὲ ἡττώμην, ὡς κοινὴ φήμη, τὸν ἀξιούμενον εἶναι γνώριμον θεοῦ, ἔφερον, ἀλλὰ δυσπετῶς τὴν καινοτομίαν τοῦ βίου. δρασμοῦ γὰρ ἐπιθέμενον, ἐλπὶς ἀγαθῶν καὶ φόβος χειρόνων ἀνέκοψε. καὶ λεγόντων ἤκουσα γερόντων ἱερῶν ὅτι με θεὸς ποιμαίνει. καί τις ἐπὶ λέξεως εἶπεν, ὡς ἱλαρόν ἐστι τὸ πνεῦμα τὸ ἅγιον. καὶ ἱλαρύνει τοὺς μετόχους αὐτοῦ. καὶ προσέθηκεν, ὡς ἠμφισβήτησαν ἡμῖν πρὸς θεὸν δαίμονες, οὓς λυπῶ προσχωρήσας τῇ μερίδι τῇ κρείττονι. ἀλλὰ κἄν τι προσβάλωσι χαλεπόν, οὐκ ἀμελεῖταί φησι φιλόσοφος ἱερωμένος. ἐγὼ μὲν οὖν, οὐ γὰρ ῥᾴδιός εἰμι χαυνωθῆναι καὶ λαμπρότι λογίσασθαι περὶ ἐμαυτοῦ, τὴν ἀτυχίαν ἠτιασάμην. ἀλλ' οὐχ ὑπὸ φθόνου δαίμονος. οὐ γὰρ οἶμαί μοι προσεῖναι ἀρετήν, ἥτις ἂν τὰς βασάνους ἐκίνησεν. ἀλλ' ἐφοβούμην μὴ μᾶλλον δίκας ὀφλήσω παρ' ἀξίαν ἁψάμενος μυστηρίων θεοῦ. καὶ ταύτην τὴν ἀτυχίαν ἐμαντευόμην εἰς ἣν οὐ κατὰ μακρὸν ὤλισθον. ἀλλὰ παρῆν ἐνθάδε. καὶ τὰ δεινὰ πάντα παρῆν. καὶ χορηγὸς πάντων Ἀνδρόνικος δαίμων ἄρτιος ἄπληστος συμφορῶν. τῆς πόλεως τοῖς λειψάνοις ἐπικείμενος. ἐάπτον ταχὺ τῆς ἀγορᾶς ἀνδρῶν οἰμωγαί. γυναικῶν ὀλολυγαί, παίδων ὀδυρμοί. σχῆμα πόλεως ἑαλωκυίας αὐτῇ περιτέθεικεν, ἐς τὸ κάλλιστον μέρος ἀποτεμόμενος, ποινῆς χωρίον ὀνομασθῆναι γέγονεν αἴτιος. τὴν στοὰν τὴν βασίλειον τὸ πάλαι κριτήριον, ἀποδείξας βασανιστήριον, ταύτην δαίμοσι ποινίμοις, οἷς ἑαυτὸν ἀρᾷ προσένειμε, βωμὸν καὶ τράπεζαν παρέθηκεν.

ὦ πόσοις αὐτοὺς πολιτῶν δάκρυσιν εἰσίασι. τίνες Ταυρο-
σκύθαι, τίνες Λακεδαιμόνιοι, τοσούτῳ τῷ πλήθει τῶν μα-
σίγων αἵματι τὴν παρ' αὐτοῖς ἐτίμησαν Ἄρτεμιν. δρό-
μος ἁπάντων εὐθὺς ἐπ' ἐμέ. καὶ πανταχόθεν εὐθὺς ἐ-
βαλλόμην, ἀκοῇ καὶ ὄψει κακῶν. νουθετήσας, οὐκ ἔπει-
σα. ἐπιτιμήσας, ἠρέθισα. ὁ παρὼν καιρὸς, ἤλεγξεν
ἡμῶν τὴν ἀσθένειαν, ἣν μέχρι νῦν ἔκρυψεν ἀπὸ τῶν ἀνθρώ-
πων θεός. συγκεχωρημένον γὰρ ἀεὶ τιμῆς χάριν τοῦ σώμα-
τος, παρέχον ὑποψίαν τῇ πατρίδι δυνάμεως. καὶ τοῦτο
τὸ χαλεπώτατον τῶν συμβεβηκότων, ἐστί μοι. παρὰ γὰρ
τὴν ἐλπίδα τῶν ἠγνοηκότων με κρίνομαι. οὐδὲ γὰρ πείθω
λέγων αὐτοὺς ὡς οὐ δύναμαι. ἀλλ' ἀξιοῦμαι πάντα
τὰ δίκαια δύνασθαι. περίεστιν οὖν αἰσχύνεσθαι καὶ λυ-
πεῖσθαι. πάθος εὐθὺς ἐν ψυχῇ. καὶ ποικιλία φροντί-
δων. καὶ εἰδωλοποιΐα πραγμάτων. καὶ μακρὰν ὁ θεός.
εἰ δαιμόνων εἰσὶ προσβολαὶ τὰ γενόμενα δι' Ἀνδρο-
νίκου, πάντα ἐποίησαν ὅσον ἐβούλοντο. οὐκέτι τῆς συνάξεως
ἐν εὐχαῖς γλυκυθυμίας ᾐσθόμην. ἀλλὰ τὸ μὲν σχῆ-
μα, εὐχῆς. ἐγὼ δὲ καὶ περιηνέχθην ἁπανταχοῦ τῶν πρα-
γμάτων, ὀργῇ καὶ λύπῃ καὶ πᾶσι πάθεσι μεριζόμενος.
καίτοι διὰ νοῦ τῷ θεῷ συγγινόμεθα. γλῶττα δὲ ἀνθρώ-
ποις τὰ πρὸς ἀνθρώπους ὑπηρετεῖ. εἰ τοίνυν ἐν εὐ-
χαῖς ἀπροσεξίαν ἠτύχηκα καὶ παρὰ πόδας ὁ κίνδυνος,
τὸ γοῦν τοῦ βίου μεταβολῆς οὐ ταύτῃ μόνον εἰς κακὸν
ἀπολέλαυκα, ὅτι ἀπροσεξίας εὑράμην πρά-
γματα, ἀλλ' ἀπαθὴς τὸ μέχρι πρώην διαγενόμενος,
νεκρὸν ἐπεῖδον, οὗ προαποθανεῖν ηὐξάμην. οὕτω πι-
κροῖς ἡμᾶς ἡ πόλις ἐπιβατηρίοις ἐξένισεν, ὡς ἅμα
τοῖς ἀνθρώποις τὰ πράγματα ἄνω μὲν ἄγειν. νῦν δὲ κά-
τω χωρεῖν. καὶ ῥοῦς ἥκει φέρων ἄθροα πολλά. νῦν μὲν
αἴσια. νῦν δὲ ἀπαίσια. ἀλλ' ἐπειδή μοι συνέπεσεν ἀπο-
βαλεῖν τῶν παίδων τὸ φίλτατον, κακὸν εἰργασάμην αὐ-
τὸς τι δεινὸν ἐμαυτόν. οὕτως ἠλγήκειν τοῦ πάθους. ἐγὼ
γέ τοι τὰ μὲν ἄλλα ἄρρην εἰμί. λέγω δὲ ἐν εἰδόσι. καὶ
πολλὰ δ' ὑπὸ τοῦ λόγου. συνηθείας δὲ οὕτω τοιαύτην, ὡς
ταύτῃ κρατεῖν τῇ ἀλογίᾳ τοῦ λόγου. οὐκ ἦν οὐδὲ τοῖς ἐκ
φιλοσοφίας δόγμασι τοῦ παρόντος πάθους ἐκράτη-
σα. ἀλλ' Ἀνδρόνικος ἀπήγαγε. καὶ πρὸς τὰς κοι-
νὰς συμφορὰς τὸν νοῦν ἔχειν ἐποίησε. καὶ γεγόνασί
μοι συμφοραὶ παραμυθίαι τῶν συμφορῶν. πρὸς
ἑαυτὰς ἀνθέλκουσαι, καὶ πάθος ἐκκρίνουσαι. προστί-
θεται δή μοι τῇ πικρᾷ τῶν παρόντων αἰσθήσει, μνή-
μη τῶν παρελθόντων ἀγαθῶν, ἐξ οἵων ἄρα, ἐν οἵ-
οις γεγόναμεν. καὶ ζῶ πονηρὸς ἅμα πάντων ἀφῃ-
ρημένος. τὸ μὲν οὖν μέγιστον τῶν κακῶν, ὅ μοι καὶ
δύσελπιν εἶναι τὸν βίον ποιεῖ, οὐκ εἰωθὼς ἀποτυγ-
χάνειν ἐν ἱκεσίαις θεοῦ, νῦν πρῶτον οἶδα μάτην
εὐξάμενος. εἶτα τὴν μὲν οἰκίαν, κακῶς πράττου-
σαν ὁρῶ. τὴν δὲ πατρίδα δυστυχοῦσαν, οἰκεῖν ἀναγ-
κάζομαι. πᾶσι δὲ ἐγκείμενος ἐφ' ὧν προσαντλεῖ-
σθαι, καὶ τὰ κατ' αὐτὸν ἕκαστον ὀλοφύρεσθαι, ἐλεεῖν
αὐτοὺς ἀνόνητον ἐλεῶ. καὶ προσέτι τὸ αἰσχύνεσθαι,
ὅτι πολίτην ἄνδρα χρησάμενον συμφορᾷ καὶ κλα-
πέντα χρυσίον δημόσιον, ἀπαιτήσας στατῆρας ὑπὲρ
μυρίους, ἔγνωκεν ἀναβολὴν μὴ διδοὺς ἀποκτεῖναι
διὰ χιλίους. μᾶλλον δὲ δι' ἐμέ. δι' ἐμὲ γὰρ αὐτὸν

O quantis cum ciuium lachrimis eos ad conuiuium vocat. Qui Tauroſcythæ. Qui Lacedæmonij tanta copia flagris exciti ſanguinis, Dianæ ſuæ honorẽ habuerunt? Statim ab omnibus ad me concurſum eſt, Ab omni parte ſtatim terebar rumore & aſpectu malorum. Cùm hortarer, non proficiebam. Cùm obiurgarem, irritabam præſens tempus, imbecillitatem noſtram declarabat, quam vſque in hanc ætatẽ Deus homines celaſſet. Etenim cùm præmio cõceſſo vteret, ſuſpicionem patriæ mouebam virium & potentiæ. Et id omnium malorum quæ contigerunt mihi grauiſſimum eſt. Nam ex eorum ſpe, qui mei fuerant ignari, iudicor. Neque enim eis fidem facio, cùm me non poſſe dico. Sed omnia quæ iuſta ſunt, me poſſe volunt. Supereſt igitur, vt pudore & mœrore conficiar. Continuo perturbatus eſt animus & multitudine curarum & rerum cogitatione. Longè Deus aberat & ſi ſunt hæ dæmonũ incurſiones, quę per Andronicum geſta ſunt omnia quæ volebant, effecerant. Non amplius conſuetam in precando mentis voluptatem ſentiebam, ſed forma quidem ſupplicationem præ ſe ferebat. Ego verò rapiebar animo per omnes res ira, mœſtitia & vniuerſis perturbationibus diſtractus. Atqui mente ad Deũ accedimus. Lingua vero nobis ad res cum hominibus tranſigendas inſeruit. Si igitur eò ſum adductus, vt in precationibus attentum animum habere no poſſim, periculum preſtò eſt. verum non hac ſolùm parte mihi vitæ mutatio ad detrimentum ceſſit, quòd in precando negotium faceſſitur: verùm etiam cùm antehac ſine luctu ſemper vitam egiſſem, eum mortuum aſpiciebam, cuius vitam ego mea morte redimere voluiſſem. Adeò nos aſperis tormentis ciuitas excepit, vt ſimul cùm hominibus res ſurſum deorſumque ferantur, & velut vndarum procella veniẽs, multa cateruatim, nunc fauſta nunc infauſta ſine diſcrimine ſecum apportet. Verùm cùm accidiſſet, vt dilectiſſimum filium abiicerem, mihimetipſi certè malum aliquod attuliſſem. Adeò doloris illius acerbitate vulnerabar. Atque ego me in cæteris virũ præſtiti. Apud ſciẽtes loquor, & vt plurimũ ad rationis iudiciũ meã voluntatẽ accõmodare. Tũ verò ſic præter conſuetudinem deiiciebar, vt appetitus rationem longè ſuperaret, neque in philoſophiæ ſtatutis repetire potui, quo præſentem triſtitiam reprimerẽ. Verùm Andronicus me abſtraxit, & vt communibus miſeriis animum adhiberem, fecit, atque ſic accidit, vt in calamitatibus me calamitates erigerẽt, atque doloribus & mœſtitia ad ſe retrahentes, auocarent. Accedit ad acerbum præſentium rerũ ſenſum, præteritorum bonorũ recordatio, ex quo rerum ſtatu in quem delapſi ſimus, vitámque ſimul rebus omnibus orbatus, miſerrimam exigo. De malis autẽ omnibus longè maximum eſt, quod omnem mihi benè ſperandi occaſionem adimit, quod cùm nunquam antea ferè meæ preces in irritum apud Deum abierint, nunc primùm fruſtrà me vota precéſque ſuſcipere intelligo. Deinde familiam infœliciter agere video: patriam verò in extremo infortunio cõſtitutã, habitare cogor. Omnibus autem expoſitus, dum lachrymas apud me profundunt, & ſuam quiſque conditionẽ deplorat, miſericordiã inutilẽ eis impertior: & pudore iã cõmoueor, quòd ciuẽ, qui propter inopiã furatus eſt publicũ aurũ, cùm ampliùs decies mille ſtateres ab eo repetiſſet, nullo cõceſſo tẽpore milliũ cauſſa, morti tradere decreuit, immò meã

cauſſa

cauſſa. Nam propter me in carcerem obſtructiſſimum & munitiſſimum eum cõiecit, in quali poëtæ Titanas vinctos ſeruari fingunt, & ne per me, vt ipſe dicit, eripiatur, iam quintum diem cibi experti homini agẽdum eſt. Interdictum eſt enim cuſtodibus, ne panes ad eum introferri paterentur. Sed nuper omnes eum audiuerunt cùm vociferaretur, potiorẽ eſſe mortem ciuis, quàm mille ſtateras. Quare eos quoque qui conueniunt illum de emendis agris, metu iniecto miniſque terret, & omnibus modis abducit. Non enim opinor tam opus habet nummis, quàm hominis exitio atque morte. Ego verò neque tantas vires habeo, vt circumuallata mœnia vi perfringere, neque tanta ſum calliditate, vt clam adſerpere, & hominẽ à calamitate vindicare poſſim. Nã vt quidam dicunt, nemo quenquam intromittit. Etenim miniſtri natura ſunt eiuſmodi, qualẽ ſua quẽque finxit, nunc verò ad imitationem & exemplum Andronici viuũt, qui in hoc præeſt, vt Eccleſiæ cõtumeliam & ignominiam inferat. Quod igitur ad nos pertinet, ſic non de ipſo laboramus, vt etiã gratiam ei ſim habiturus, ſi propter Deum cruciatus martyriũmque perferendum erit. Cogitate enim cũ animis veſtris, quis ſit ad me (qui ſi nihil aliud habeo præclarum, at certè ab illis ortum genúſq; duco. Ab Euryſthene, qui Dorienſes in Spartam reduxit, vſque ad meum patrem ſucceſſiones generis in publicis tabulis ſunt perſcriptæ:) homo qui nomẽ aui proferre non poteſt, immò ne patris quidem, niſi quantum coniecturis aſſequitur, qui è Thynoſcopeo in prætorum currum inſiliit. Hunc igitur in vrbe ſplendorem ac dignitatem admiratũ, pudeat inertiæ ſuæ ac delictorum. At ego vſque ad ſacerdotiũ cùm honoribus abundè perfunctus ſum, tũ ignominiam nunquã expertus ſum, nunc verò neq; gaudeo, cùm afficior honore, neque cùm deſpicior, ægrè fero. Neutrum enim ampliùs ab eo qui facit, in me cõferri videtur, ſed vtrunq; ad Deum pertinet. Quare proiectus ad quidlibet audẽdum hic homo, quaſi neque dictis neque factis læſerit, ſublatus à nobis, ipſi Deo facit conuitium. Eæ voces emiſit a ſtantibus & circumſtantibus populis, quas mox, cõuocata ex omnibus terris cõcione, recitari ex literis audietis. Talis eſt animus imperitus, cùm potentiã nactus eſt capite cælum perfringere conatur. Eſto poſſit, vtatur ingenio & occaſione, morte & vinculis afficiat ex hoſtibus quos volet. Nobis verò ſufficit in quam aciẽ nos Deus collocauit, in ea perſiſtere, à cõſortio malorũ abſtinere, aures à nefariis Blaſphemiis puras cuſtodire, patrocinium eorum qui patiũtur iniuriã & curam deponere, & id fruſtraneo conatu populo purgare, quod alta mente prædito faciẽdum etiam antè fuit, quàm in periculis vſuueniret. Nunc autem moram traximus, donec ex rebus ipſis idem quod vos perſuaſum haberetis videlicet gerẽdæ Reipublicæ virtutem cum ſacerdotio coniungere, nihil aliud eſſe, quàm componere, quæ componi omninò nõ poſſunt. Priſcorũ hominũ ætas tulit eoſdẽ & ſacerdotes & iudices. Nã apud Ægyptios, tũ apud gentem Hebræã compluribus annis ſacerdotes imperiũ, regnúmq; tenuerunt. Deinde cùm res diuina ſicut mea fert ſentẽtia, ferè humano more fieret, Deus inter vitæ genera diſcrimen cõſtituit, vt alius ſacerdos, alius dux appellaret˜. Alios.n. ad opᵒ faciũ-

ἔχει κατείρξας, εἰς ἀνεπιχείρητον φρούριον, ἐν οἵῳ τοὺς Τιτᾶνας δεδέσθαι ποιητῶν παῖδες φαντάζονται. καὶ ἵνα μὴ ἀφαιρεθῇ φησὶ παρ' ἐμοῦ, δεῖ τὴν πέμπτην ταυτηνὶ ἡμέραν ἀπόσιτον εἶναι τὸν ἄνθρωπον, εἰσαγωγῆς ἄρτων ἀπηγορευμένης τοῖς δεσμοφύλαξιν. ἀλλὰ πρῴην αὐτοῦ κεκραγότος ἅπαντες ἤκουσαν, ὡς λυσιτελέστερος εἴη τῶν χιλίων στατήρων ἀποθανὼν ὁ πολιτικὸς ὅμηρος. διὸ καὶ τοὺς προσιόντας αὐτῷ τῆς χώρας ὠνῇ, φοβεῖ καὶ σπαράττει καὶ πάντα τρόπον ἀφίστησιν. οὐ γὰρ οἶμαι δεῖ τοῦ χρυσίου, τοῦ δὲ τεθνάναι τὸν ἄνθρωπον δεῖ. ἐγὼ δὲ οὔτε ἰσχυρός εἰμι πρὸς τὸ τείχεσιν ἐρυμνοῖς προσβαλεῖν, οὔτε δὲ μήχανος προσερπύσαι, καὶ τῆς συμφορᾶς ἐξελέσθαι τὸν ἄνθρωπον. παρίησι δὲ φασί τινες, οὐδένα. οἱ γὰρ ὑπηρέται, φύσει μὲν εἰσὶν οἷοί τινές εἰσι. νῦν δὲ καὶ πρὸς τὸ ζῆλον ζῶσιν Ἀνδρόνικον, ὃς ἐπὶ τῷ τῆς ἐκκλησίας ἀτιμοῦν προήχθη. τὸ μὲν οὖν εἰς ἡμᾶς αὐτοὺς, λόγος οὐδείς. ὡς ἐγὼ κἂν χάριν εἰδείην αὐτῷ, τὴν διὰ θεὸν ἀτιμίαν δεχόμενος ὡς μαρτύριον. ἀναμνήσθητε γὰρ ὑμεῖς, τίς ἦν πρὸς ἐμέ, τὸν εἰ μηδὲν ἄλλο τῶν ἐξ ἐκείνων γενόμενον. ἀπ' Εὐρυσθένους τοῦ κατάγοντος Δωριέας ἐς Σπάρτην, μέχρι τοῦ ἐμοῦ πατρὸς αἱ διαδοχαὶ τῆς δημοσίας ἐνεκολάφθησαν κύρβεσιν. ἄνθρωπος οὐκ ἔχων εἰπεῖν, ὄνομα πάππου. ἀλλ' οὐδὲ πατρὸς φασί, πλὴν ὅσον εἰκάσαι. ἀπὸ θυνοσκοπίου δὲ ἐπὶ τὸ ἡγεμονικὸν ἀπήνην ἀναβάς. ὃς ἐπειδὰν οὖν τὸν ἐν πόλει λαμπρότητα θαυμάσας, αἰσχυνέσθω τοῖς ἐλλείμμασιν. ἀλλ' ἔγωγε τὸ μέχρι τῆς ἱερωσύνης, καὶ τιμῆς ἐνεφορήθην, καὶ ἀτιμίας οὐκ ἐγευσάμην. νυνὶ δὲ οὔτ' αὖ ἥδομαι τιμώμενος, οὔτε καταφρονούμενος ἄχθομαι. οὐδέτερον γὰρ αὐτῶν ἐπὶ παρὰ τοῦ ποιοῦντος εἰς ἐμὲ δοκεῖ γίνεσθαι. ἀλλ' ἑκάτερον εἰς ἀναφορὰν τοῦ θεοῦ. διόπερ ὁ πάντα τολμῶν ἐπεὶ ἄνθρωπος, ὡς οὐδὲν οὔτε λέγων, οὔτε ποιῶν παρεκίνησεν, ἀφεθεὶς ἀφ' ἡμῶν, αὐτῷ διαπληκτίζεται τῷ θεῷ. καὶ φωνὰς ἀφῆκεν ἐπὶ συνεστῶτος καὶ περιεστῶτος λαοῦ, ἃς αὐτίκα, τῆς πρὸς ἁπανταχῆ γῆς ἐκκλησίας, ἐπιστολῆς ἀναγινωσκομένης ἀκούσεσθε. τοιοῦτόν ἐστι φύσις ἀπαίδευτος ἐπειλημμένη δυνάμεως. τῇ κεφαλῇ τὸν οὐρανὸν ἐξαράσσειν ἐπιχειρεῖ. ἔστω, δυνάσθω, κεχρήσθω τῇ φύσει, τῷ καιρῷ. ἀποκτιννύτω, καὶ δεῖτω τῶν πολεμίων ὅν τινα βούλεται. ἡμῖν δὲ ἀπόχρη, μένουσιν ἐπὶ τῆς τάξεως, ἐφ' ἧς ἡμᾶς ἔταξεν ὁ θεός, ἀπηλλάχθαι μὲν τῆς κοινωνίας τῶν πονηρῶν. ἀγνεῦσαι δὲ ἀκοὰς βλασφημοσυνῆς ἀλεξιθύμης ἀπογνῶναι δὲ προστασίας ἀδικουμένων, ἀπολελογημένος τῷ δήμῳ διὰ τῆς ματαίου ἐπιχειρήσεως. ὃ τῷ μέγα θρέψαντι ἦν καὶ πρὶν πείρας ποιῆσαι. νυνὶ δὲ περιεμείναμεν ὑμᾶς ἐκ τῶν πραγμάτων συμψήφους ποιήσασθαι, ὅτι πολιτικὴν ἀρετὴν ἱερωσύνῃ συνάπτειν, τὸ κλώθειν ἐστὶ τὰ ἀσύγκλωστα. ὁ πάλαι χρόνος ἤνεγκε τοὺς αὐτοὺς ἱερέας τε καὶ κριτάς. καὶ γὰρ αἰγύπτιοι καὶ τὸ ἑβραίων ἔθνος, χρόνον συχνὸν ὑπὸ τῶν ἱερέων ἐβασιλεύθησαν. εἶτ' ἐπειδή μοι δοκεῖ τὸ θεῖον ἔργον ἀνθρωπίνως ἐπράττετο, διῴκισεν ὁ θεὸς τοὺς βίους. καὶ ὁ μὲν, ἱερεύς. ὁ δὲ, ἡγεμονικὸς ἀπεδείχθη. τοὺς μὲν γὰρ, εἰς ὕλην ἐπέ-

στρέψει. Τοὺς δὲ συνέταξεν ἑαυτῷ. τετάχαται δὲ, οἱ μὲν, ἐν τοῖς πράγμασιν. ἡμεῖς δὲ ἐν εὐχαῖς ἐσμέν. τὸ δὲ καλὸν ἀπαιτεῖ παρ᾽ ἀμφοῖν ὁ θεός. τί οὖν ἐπανάγεις; τί δὲ συνάπτειν πειρᾷ, τὰ κεχωρισμένα παρὰ τοῦ θεοῦ, ἧς οὐ διοικεῖν ἡμᾶς, ἀλλὰ παραδιοικεῖν ἀξιοῖς. οὗ τί γένοιτ᾽ ἂν ἀθλιώτερον. προστάτου σοι δεῖ; βάδιζε παρὰ τὸν ἐπιτροπεύοντα τῶν νόμων τῆς πολιτείας. τοῦ θεοῦ σοι τι δεῖ; ἴθι παρὰ τὸν ἱερέα τῆς πόλεως. οὐχ ὡς ἐνταῦθ᾽ ἐνὸν τὸ πάντως ἐπιτυχεῖν. ἀλλ᾽ ὡς ἐγὼ προθυμήσομαι. εἰ δέ τις ἐπιτρέπει ἠρεμεῖν, τάχα ποτὲ καὶ δυνήσομαι. ἅμα γὰρ ἀποστρέφεται τὴν ὕλην, καὶ πρὸς θεὸν ἐπιστρέφεται. θεωρία τέλος ἐστὶν ἱερωσύνης, μὴ ψευδομένης τὸ ὄνομα. θεωρία δὲ καὶ πρᾶξις, οὐκ ἀξιοῦσι συζῆν ἴσασιν. ὁρμὴ μὲν γὰρ, ὁρμὴ πράξεων. οὐδεμία δὲ ἀπαθής. ἀλλὰ δεῖ κενὴν εἶναι παθῶν τὴν ψυχὴν τὴν μέλλουσαν ἔσεσθαι δοχεῖον θεοῦ. μὴ καθαρῷ γάρ φησι καθαροῦ ἐφάπτεσθαι, μὴ οὐ θεμιτὸν ᾖ, σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ θεός. σχολῆς δεῖ τῷ μετὰ φιλοσοφίας ἱερατεύοντι. οὐ καταδικάζω τῶν ἐπισκόπων τοὺς ἐν τοῖς πράγμασιν. ἀλλ᾽ ἐμαυτὸν εἰδὼς μόλις εἰς θάτερον ἐξικνούμενον, ἄγαμαι τοὺς δυναμένους ἑκάτερα. ἐμὴ δύναμις οὐκ ἔστι δυσὶ κυρίοις δουλεύειν. εἰ δέ εἰσί τινες, οἳ μηδὲ ἀπὸ τῆς συγκαταβάσεως βλάπτονται, δύναιντο ἂν καὶ ἱερᾶσθαι, καὶ πόλεων προεστάναι. ἀκτὶς ἡλίου καὶ βορβόρῳ ὁμιλήσασα, μένει καθαρὰ καὶ ἀμόλυντος. ἐγὼ δὲ ταυτὸ τοῦτο παθὼν, πηγῶν καὶ θαλάττης δεήσομαι. καὶ εἰ δυνατὸν ἦν ἀγγέλῳ, πλεῖν ἢ τριάκοντα ἐνιαυτοῖς συνανθρωπεύσαντι, μηδὲν ἀπολαῦσαι τῆς ὕλης κακὸν εἰς προσπάθειαν, τί ἔδει καταβῆναι τὸν υἱὸν τοῦ θεοῦ. ἀλλ᾽ ἔστι περιουσία δυνάμεως, ὁμιλοῦντα τοῖς χείροσι, μένειν ἐπὶ τῆς φύσεως, καὶ μηδένα τρόπον παθαίνεσθαι. τοῦτο θεοῦ μὲν ὕμνος ἐστίν. ἀνθρώπῳ δὲ παραίτησις γίνεται δι᾽ εὐλαβουμένῳ τῆς φύσεως αὐτοῦ τὴν ἀσθένειαν, κατὰ τούτους ὑμῖν ἐγὼ τοὺς ὅρους συνίσταμαι. οὐ μὴν τό γε κρίνειν καιρούς, ἐμαυτὸν ἀφαιρήσομαι ὡς ὅταν ἐξῇ κατιόντα, κατιέναι. τουτί γε διὰ τῆς τυχούσης ἐπιστροφῆς, ἀγαθόν τι μέγα ποιεῖν, οὕτω καὶ ὁ θεὸς πολιτεύεται. τὸ προστετηκέναι δὲ ἔστι τὸ δεινόν. οὐ μήτε θεοῦ φύσις ἀνέχεται, μήτε ὅστις ἑαυτὸν ἀπευθύνει πρὸς τὸν θεόν. εἰ γέγονα χρημάτων ἢ κτημάτων ἐπιμελής, εἰ συνίσταμαι λογισμοὺς διῃρημένους τῆς καθ᾽ ἡμέραν ἢ κατ᾽ ἔτος δαπάνης, εἶτα ἐν τοῖς ὑμετέροις τοῦ χρόνου φείδομαι, ἀλαζών εἰμι καὶ οὐκ ἀξιῶ συγγινώσκεσθαι. εἰ δὲ ἀμελήσας τῶν οἴκοι πρότερον, τῇ κατὰ νοῦν ἐνεργείᾳ συνέταξα τὴν ζωὴν, τί δεινὸν εἰ τὰ ἴσα ὑμᾶς ἀξιῶ. ἀλλ᾽ ἐπεὶ τούτοις ὑμᾶς οὐκ ἀρέσκομεν, ὡς ὄντων ἑτέρων οἳ δύνανται κατὰ ταὐτὸν ἐν ἀμφοῖν διαγίνεσθαι, ἔξεστι βουλεύσασθαι τὸ λῷον τῇ τε πόλει καὶ ταῖς ἐκκλησίαις καὶ ἐμοί. οὐκ ἐξόμνυμαι τὴν ἱερωσύνην. μή ποτε δυνηθείη τοσοῦτον Ἀνδρόνικος. ἀλλ᾽ ὥσπερ οὐδὲ φιλόσοφος ἐγενόμην δημόσιος, οὐδὲ θεατροκοπίας ἐπεθύμησα, οὐδὲ διδασκαλεῖον ἤνοιξα, καὶ οὐδὲν ἧττον ἦν τε καὶ εἰμὶ φιλόσοφος, οὕτως οὐδὲ ἱερεὺς δημόσιος εἶναι βούλομαι. οὐχ ἅπας ἅπαντα δύνα-

dum ordinauit, alios ad ſuum vſum reſeruauit. Et reliqui ſunt ad res gerendas delecti, nos autem ad vota & ſupplicationes faciendas. Ab vtriſque verò iuſtitiam & honeſtatem Deus exigit. Quid igitur, reuocas? Quid conſiliare vis, quæ ſunt à Deo ſeparata, qui non gerere, ſed adulterare nos munus hoc petis? Quo quid fieri poſſit indignius? Patrono indiges? Vade ad eum cui leges Reipub. commiſſæ ſunt, opus eſt tibi Deo? Veni ad pontificem ciuitatis, non quòd hic poſsis omnium compos fieri, ſed quòd curam diligentiámque ſuſcepero. Sin concedat quiſpiam otium & quietem, agere fortaſſe id etiam aliquando potero. Simul enim à rebus auertitur & ad Deum conuertitur. In Contemplatione finis ſacerdotij poſitus eſt, non fallentis nomen. Contemplatio verò, & actio non conueniunt. Impetus enim, Impetus quidem eſt in actionibus. Nec enim vlla vacat affectibus. At animum, qui Deum capere velit, ab omni perturbatione vacuum oportet eſſe. Nam impuro purum attingere, nefas ſit. Quieſcite & cognoſcite quoniã ego ſum Deus. Opus eſt otio, ſi quis cũ Philoſophia ſacra velit adminiſtrare. Non condemno Epiſcopos, qui ſunt cum imperio. Sed cùm ſciam meipſum vix ad alterum ſufficere, miror eos qui vtrique ſatis facere poſſunt. In me ſviribus non eſt, duobus dominis inſeruire. Quòd ſi ſint aliqui, quibus nihil officio officiorum viciſſitudo, poſſunt & rem diuinam curare, & vrbibus præeſſe. Solis radius, etiamſi cœno merdæque miſceatur, tamen purus & impollutus manet. Mihi verò ſi ſit idem faciendum, fontibus & vndis opus habebo. Et ſi fieri poſſet vt angelus cùm vltra trigeſimum annum inter homines egiſſet nihil affectionum aut mali à corpore contraheret, quid opus fuit deſcendere filium Dei? Sed eſt cuiuſdam immenſæ potentiæ, cùm deterioribus commercium habere, & nihilominus in ſua natura permanere, neque omninò affici. Hæc Dei laus eſt. Homini verò danda venia eſt, qui infirmitatem ſuæ naturæ metuit. His ego conditionibus me vobis dedam, neque tamen mihimet ipſi detraham temporum occaſionibus ſeruire, & cùm licuerit ad res tractandas deſcendere, hoc eſt magnum aliquod emolumentum, ſi qua res incidat publicè præſtare. Sic etiam Deus Rebuſpub. gerendis proſpicit. Verùm prorſus adhærere per graue eſt quod neque Dei natura ſuſtinet, neque quiſquis ſuam vitam ad Deum rationes dirigit. Si pecuniarum ac poſſeſſionum curis deditus ſui, ſi ſcitis me quotidianorum aut annuorum ſumptuum rationes conficere, & in veſtris rebus tempori parcere, reuera ſum inſolens, & nolo vt mihi veniam tribuatis. Sin poſthabitis priuatis omnibus, priùs ad mentis operationem vitam inſtitui, quod magnum, ſi à vobis eadem contendo. Verùm quoniam in his vobis non placemus & ſunt alij qui commodè poſſint eodem modo in vtroque verſari, licèt conſilium capere, quid ſit vtiliùs ciuitati & Eccleſiis & mihi. Non abiuro ſacerdotium. Nunquam tantum poſſit Andronicus, ſed quemadmodum neque Philoſophus publicus fui, neque in Theatris profeſſus ſum aut ludum aperui, nihilominus tamen fui & fuero Philoſophus, ſic neque ſacerdos publicus eſſe volo. Non omnis omnia poteſt.

Ego mecum ipſe & per mentem cum Deo verſatus. Poſtquàm à contemplatione diſceſſum eſt, poſſum inutilem conſuetudinem cum vno vel duobus habere, neque his leuibus aut gregariis hominibus: ſed qui vel bonam naturam ſortiti ſint, vel diſciplina atque inſtitutione fœliciter eruditi, vt magis animum quàm corpus admirentur. Sed cùm multùm diúque in negotiis publicis verſatus ſim, poſſit meũ otium, ſi res poſtulet multùm vtilitatis afferre. Cùm verò illis diſtrahor & obruor, tum ipſe mei ſum immemor, tum rerum iacturam facio. Non enim poteſt qui inuitus facit, aliquid rectè facere. Sed qui non toto animo libentérque rem facit, ignauus venit ad id negotium, cui præeſſe debet. Qui verò nõ eſt idoneus ad otium, & cum otioſo nihil conſortij poteſt habere, prorſus autem vtiliſſimus ſuis ciuibus homo, mens vagabunda ſufficiens omnium curis, qui cùm eiuſmodi natura ſit præditus, eſt etiam ea voluntate, is gratiam habeat circumſtantiis ad ſe ipſum rapientibus. Largiuntur enim eius naturæ materiam atque ſubiectum, & maximum ad res bene gerendas pondus habet, amor rei. Diligendus igitur omnibus vobis eſt commodior aliquis & aptior, & in noſtrum locum ſufficiendus, qui ſoli vix ſalui eſſe poſſumus. Quid clamaſtis? Non quoniam nondum factum eſt, idcircò ne nunc quidẽ fieri debet. Multas & vtiles leges tempus inuenit, atque correxit. Non omnia ſunt ad exemplum reuocanda. Nã vnumquodque quod fit, ſuum habuit initium, & antequam fieret, nunquam factum erat. Rectius eſt, vt vtilitatem anteponatis conſuetudini. Nos melioris conſuetudinis principium conſtituimus. Aut igitur in noſtrum locum legendus eſt aliquis, aut nobiſcum eligendus. Hoc autem prorſus neceſſe eſt, vt eligatur aliquis, quiſquis is ſit. Prorſus me longè ſapientior in tractandis negotiis publicis apparebit, poteritque prophana hæc & infœlicia ad veſtrum commodum & ſalutem pronunciando gerendóque conuertere. Quòd ſi nondum id commodum videtur, in poſterum reiiciamus. Licebit enim de eo ſeparatim & communiter conſilium inire. Nunc verò, quemadmodum concilium vexarit, Andronici furorem & amentiam audite.

Ad Epiſcopos.

ANdronicum Beronicenſem, qui ſiniſtro Pentapolis fato natus & educatus & auctus eſt, & imperium patriæ quæ tulit eum, emit, neq; numeret aliquis, neque appellet Chriſtianum, ſed tanquam ſceleroſus in Deũ, ab omni Eccleſia ſociſque repellatur, non quoniam extremam plagam pentapoli inflixit, poſt terræmotum, poſt locuſtam, poſt famem, poſt ignem, poſt bellum, & quæ reliqua fuerunt, ſatis crudeliter confecit, qui primus immania tormẽtorum genera & figuras, in regionem aduexit, (poſſem etiam dicere, primum vſum eſſe:) Dactylethrã, Podoſtraben prælium, Rhinolabidem, Otagram, & Cheiloſtrophium, quorum qui periculum & ſpectaculum effugerunt, & antè in bellis occubuerunt, ab infœlicibus qui euaſerunt & ſuperſunt, beati prædicantur: ſed quia primus apud nos & ſolus re atque verbis Chriſtum blaſphemauit. Re quoniam

Ταῦτ' ἐγὼ συνδιημερεύων ἐμαυτῷ, καὶ διὰ νοῦ τῷ θεῷ, καταβὰς ἀπὸ θεωρίας, δύναμαι συνουσίας ἀχρήστους ποιεῖσθαι, πρὸς ἕνα ἢ δύο. οὐδὲ τούτους ἀγελαίους, ἀλλ' εἴ τινες εἶεν, ἢ φύσεως λαχόντες, ἢ ἀγωγῆς εὐτυχήσαντες, ὥστε νοῦν τεθαυμακέναι πρὸ σώματος. ἀλλὰ καὶ διὰ πολλῶν πραγμάτων ἀπολλύμενος μὲν τῆς ἐμαυτοῦ ῥᾳστώνης, γενοίμην ἄν, εἰ καιροῖ, χρήσιμος. καθελκόμενος δὲ ὑπ' αὐτῶν, ἐμαυτοῦ τε ἐπιλήσμων εἰμί, καὶ τῶν πραγμάτων ζημίαν ποιῶ. οὐ γάρ ἐστι, μισοῦντα καλόν τι ποιεῖν. ἀλλ' ὁ μὴ πάσῃ τῇ γνώμῃ διδόμενος τῷ ποιεῖν, ἄθυμος ἔρχεται πρὸς τὴν πρᾶξιν ἧς προεστάναι δεῖ. ὅστις δὲ πρὸς μὲν σχολὴν ἀνοικείως ἔχει, καὶ οὐκ ἔστιν ὅπως τῷ σχολάζοντι χρήσαιτο, αὐτὸ δὲ τὸ πᾶν ὅπερ ἐστὶ δημωφελέστατος ἄνθρωπος, πολυχωρητάτῃ ψυχῇ ταῖς ἁπάντων ἀρκοῦσα φροντίσιν, ὅστις ἐπειδὴ πέφυκεν οὕτω καὶ βούλεται, ὁ τοιοῦτος κἂν χάριν εἰδείη τοῖς ἑλκύσασιν αὐτὸν ἐφ' ἑαυτὰς προστασίαις. ὑποθέσεις γὰρ αὐτοῦ τῇ φύσει χαρίζονται. καὶ μέγιστον εἰς τὸ κατορθοῦν ἐφόδιον ἡ φιλία τοῦ πράγματος. ἐξαιρετέος οὖν ἅπασιν ὑμῖν ὁ λυσιτελέστερος αἱρεθῆναι, καὶ ἀνθαιρετέος ἡμῶν, οἳ μόνοι μόλις σωζόμεθα. τί κεκράγατε; οὐ διότι μήπω γέγονεν, ἄξιον οὐδὲ μὴ νῦν γενέσθαι. πολλὰ τῶν δεόντων ὁ χρόνος ἐξεῦρε καὶ διεπράξατο. οὐχ ἅπαντα πρὸς παράδειγμα γίνεται. καὶ τῶν γινομένων ἕκαστον, ἀρχὴν ἔσχε. καὶ πρὶν γενέσθαι, μήπω γινόμενον ἦν. ἀξιώτερον δ' ἐστὶ προτιμηθῆναι τῆς συνηθείας τὸ χρήσιμον. ἡμεῖς ἀρχὴν δώσομεν ἔθους βελτίονος. ἀνθαιρετέος οὖν ἡμῖν, ἢ μεθ' ἡμῶν αἱρετέος. πάντως δὲ αἱρετέος ὁ ἄνθρωπος ὅστις ἂν ᾖ, πάντως ἐμοῦ τὰ πολιτικὰ μακρῷ φανεῖται σοφώτερος, καὶ δυνήσεται τὰ δύστηνα ταῦτ' ἀνθρώπια, καθ' ὑμῶν ἐξομιλεῖν καὶ μεταχειρίζεσθαι. συνελεῖν εἰ μήπω δοκεῖ, τοῦτο μὲν εἰσαῦθις ἀναθώμεθα. ἐξέσται γὰρ καθ' ἑαυτήν, κατὰ μόνας, καὶ μετ' ἀλλήλων βουλεύσασθαι. νυνὶ δὲ οἷς τὸ συνέδριον μετῆλθε, τὴν ἀνδρονίκου μανίαν ἀκούσατε.

Πρὸς τοὺς ἐπισκόπους.

ΑΝδρόνικον τὸν βερενικέα τὸν κακῇ πενταπόλεως μοίρᾳ, καὶ φύντα καὶ τραφέντα, καὶ αὐξηθέντα, καὶ τὴν ἀρχὴν τῆς ἐνεγκούσης αὐτὸν ὠνησάμενον, μήτε ἡγείσθω τις, μήτε καλείτω χριστιανόν. ἀλλ' ὡς ἀλιτήριος ὢν τοῦ θεοῦ, πάσης ἐκκλησίας ἀπεληλάσθω πανέστιος. οὐ διότι γέγονε πενταπόλεως ἐσχάτη πληγή, μετὰ σεισμόν. μετὰ ἀκρίδα. μετὰ λιμόν. μετὰ πῦρ. μετὰ πόλεμον, ἐπεξελθὼν ἀκριβῶς τοῖς ἐκείνων ἐγκαταλείμμασιν, ἄτοπα κολαστηρίων γένη καὶ σχήματα, πρῶτος εἰς τὴν χώραν εἰσενηνοχώς, εἴη δὲ εἰπεῖν, ὅτι καὶ μόνος χρησάμενος δακτυλήθραν καὶ ποδοστράβην καὶ πιεστήριον καὶ ῥινολαβίδα καὶ ὠτάγραν καὶ χειλοστρόφιον, ὧν οἱ προλαβόντες τὴν πεῖράν τε καὶ τὴν θέαν, καὶ οἱ τοῦ πολέμου προαπολόμενοι, ὑπὸ τῶν κακῶν περισωθέντων ἐμακαρίσθησαν, ἀλλ' ὅτι πρῶτος παρ' ἡμῖν καὶ μόνος, ἔργῳ καὶ λόγῳ τὸν χριστὸν ἐβλασφήμησεν. ἔργῳ μὲν

ἀφ' οὗ τῇ θύρᾳ τῆς ἐκκλησίας προσεπαττάλευσεν ἑαυτοῦ διατάγματα. τοῖς μὲν ὑπ' αὐτοῦ παρανομουμένοις, τὴν ἄσυλον τράπεζαν ἀποκλείων τῆς ἱκετείας. ἐπανατεινόμενος δὲ τοῖς ἱερεῦσι τοῦ θεοῦ, ταῦτα, ἃ κἂν Φάλαρις ὁ Ἀκραγαντῖνος, κἂν Κεφρὴν ὁ Αἰγύπτιος, κἂν Σενναχηρεὶμ ὁ Βαβυλώνιος ἠπείλησεν ὁ πέμψας εἰς Ἱερουσαλὴμ τοὺς ὀνειδιοῦντας Ἐζεκίᾳ καὶ τὸν θεόν, ἐκείνην ἐγὼ τὴν ἡμέραν ἐγνωκέναι φημὶ τὸν δεύτερον σταυρὸν τοῦ θεοῦ. ἐπὶ γὰρ ὀνειδισμῷ τοῦ Χριστοῦ, τὸ λοίδορον ἐκεῖνο βιβλίον ἀπὸ τῆς ἱερᾶς θύρας ἐκρέματο. καὶ ταῦτα ἑώρα μὲν ἥλιος καὶ ἀνέγνωσαν ἄνθρωποι. οὐ Τιβερίου Κλαυδίου τῆς πολιτείας ἐπιτροπεύοντος, ἀφ' οὗ Πιλάτος ἐπὶ τὴν Ἰουδαίων ἡγεμονίαν ἐστάλη. ἀλλὰ τῆς εὐσεβοῦς Θεοδοσίου γενεᾶς τὰ σκῆπτρα Ῥωμαίων ἐχούσης, ἀφ' ἧς, ἔλαβεν Ἀνδρόνικος ἑαυτῷ μνηστεύσας ἀρχὴν, ὑπὸ τῷ Πιλάτου φρονήματι. γέλως ἦν τοῖς παριοῦσι τῆς ἑτεροδόξου τὰ γράμματα. καθάπερ Ἰουδαίοις τὰ προγεγραμμένα σταυρῷ τοῦ Χριστοῦ. καίτοι τὸ ἐπίγραμμα τοῦ σταυροῦ, γεγονὸς ἀπὸ γνώμης οὐκ εὐσεβοῦς, σεμνὸν ἦν ἐπὶ λέξεως, δι' οὗ βασιλεὺς ὁ Χριστὸς ἐκηρύττετο. ἐνταῦθα δὲ ἡ γλῶττα τῇ γνώμῃ συνέβαινε. τὰ δὲ μετὰ ταῦτα τῶν προτέρων ἐστηλιτευμένων βαρύτερα. ἐπειδὴ γὰρ ἦν τινα κατ' ἐχθρῶν πρόφασιν εὑράμενος, ἔχθρα δὲ ἦν αὐτοῖς, ὅτι γάμους ὁ μὲν ἐσπούδαζεν, ὁ δὲ ἐκώλυεν, ἐκείνοις αὐτὸν τοῖς ἀποτροπαίοις κολαστηρίοις ᾐκίζετο, ἃ μὴ παραδοθείη τῇ διαδοχῇ τοῦ χρόνου. μετ' αὐτοῦ δὲ ὥσπερ ἤρξατο, παύσαιτο καὶ γένοιτο τοῖς μεθ' ἡμᾶς ἀκοὴ ταῦτα τῆς ἡγεμονίας Ἀνδρονίκου συνθήματα. ἐπεὶ δὲ ὁ ἀνὴρ εὐγενὴς, οὐκ ἀδικῶν, ἀλλ' ἀτυχῶν ἐπ' αὐτοῖς κατετείνετο, καὶ ταῦτα τὸ τῆς μεσημβρίας ἐδρᾶτο σταθερώτατον, ἵν' ὑπὸ μόνοις μάρτυσι τοῖς δημίοις ἀπόλοιτο, καὶ τὴν ἐκκλησίαν ἔγνω γινομένην αὐτῷ συμπαθῆ, κατ' ἄλλο μὲν οὐδὲν, ὅτι δὲ μαθόντες εὐθὺς ὡς εἴχομεν ἐξεδράμομεν, ἐφ' ᾧ παρακαθίσαι καὶ συναλγῆσαι τῇ συμφορᾷ, λυττᾷ πρὸς τὴν ἀκοὴν, εἴ τις ἐπίσκοπος ὢν ἐλεῆσαί τι τετόλμηκεν, ἄνθρωπον ἀπηχθημένον αὐτῷ. καὶ πολλὰ καὶ παράνομα νεανιευσάμενος, τοῦ θρασυτάτου τῶν ὑπηρετῶν Θόαντος αὐτὸν ἐρεθίζοντος, ᾧ χρῆται πρὸς τὰς δημοσίας συμφορὰς ὀργάνῳ, πέρας ἐπέθηκε τῇ μανίᾳ τὴν ἀθεωτάτην φωνὴν εἰπὼν, ὅτι μάτην ἐπὶ τὴν ἐκκλησίαν ἤλπισε. καὶ οὐδεὶς ἂν ἐξαιρεθείη τῶν Ἀνδρονίκου χειρῶν, οὐδ' ἂν εἴ τις τὸν πόδα κρατήσειεν αὐτὸν τοῦ Χριστοῦ. ταύτην ἀπαιδεύτου γνώμης, τρὶς ἀνεφθέγξατο τὴν φωνήν. μεθ' ἣν οὐκέτι νουθετητέος ὁ ἄνθρωπος. ἀλλ' ὥσπερ μέλος ἀνιάτως ἔχον ἀποκοπτέος ἡμῖν, ἵνα μὴ τῇ κοινωνίᾳ καὶ τὸ ὑγιαῖνον συμφθείρηται. ὁ γὰρ μολυσμὸς, διαδόσιμος γίνεται. καὶ ὁ θίγων ἐναγοῦς, ἀπολαύει τῆς προστροπῆς. δεῖ δὲ εἶναι καὶ γνώμῃ καὶ σώματι, καθαροὺς τῷ θεῷ. ἐπὶ τούτοις, ἡ Πτολεμαΐδος ἐκκλησία, τάδε πρὸς τὰς ἁπανταχοῦ γῆς ἑαυτῆς ἀδελφὰς διατάττεται. Ἀνδρονίκῳ καὶ τοῖς αὐτοῦ. Θόαντι καὶ τοῖς αὐτοῦ, μηδὲν ἀνοιγνύσθω τέμενος τοῦ θεοῦ. ἅπας αὐτοῖς ἱερὸς ἀποκεκλείσθω καὶ σηκὸς καὶ περίβολος. οὐκ ἔστι τῷ διαβόλῳ μέρος ἐν παραδείσῳ. ὃς κἂν λάθῃ διαδὺς, ἐξελαύνεται. παρακαλῶ

ad oſtium templi ſua mandata affixit, ſuiſque ſceleſtib. ab Aſyli menſa ſupplicationē & preces amouit, & ſacerdotibus Dei tam grauia intentat, quæ Phalaris etiam Acrigentinus, Cephren Ægyptius, ſennachetim Babylonius facere timuiſſet, qui miſit Hieroſolymam, qui Ezechiæ Deóque contumeliam facerent. Illo die ego me alteram Dei crucem tuliſſe affirmo, libellus ille conuitiatorius & blaſphemus à ianua pendebat, idque inſpiciebat ſol & legebant homines: non Tiberio Claudio regnum gerente, à quo Pilatus in Iudæorum prouinciam cum imperio miſſus erat, ſed ſancta Theodoſij progenie ſceptra Romanorum tenente, à qua ſibi Andronicos animo mentéque Pilati claus, imperium comparauit. R ſuæ erant litteræ prætereuntibus alienæ fidei hominibus quemadmodum Iudæis inſcriptio crucis Chriſti. At qui crucis inſcriptio, quamuis ab animo nō pio profecta, tamen glorioſa magnificáque verbis erat, qua rex Chriſtus promulgabatur. Hic verò lingua cū mēte congruebat. Quæ verò ſecuta ſunt, prioribus iniuriis intolerabiliora grauioráq; longè fuerūt. Cùm enim occaſionem inimici lædendi nactus eſſet. (Inimicitiæ autem erant ipſis, quòd nuptias alter ſummo ſtudio accelerarat, alter impediuerat:) illis eum abominandis & diris tormentis cecidit ac torſit, quę vtinam ne poſteritati mandentur, ſed cum ipſo, quemadmodum cœperunt ita deſinant, & horum rumor ac fama liberis nepotibúſque noſtris iudicium ſit Andronici imperij. Cùm igitur homo nobilis, non qui iniuriam feciſſet, ſed qui miſer & infortunatus eſſet, in iis tenderetur, & hæc circa meridiem intenſus ponerentur, vt ſub ſolis teſtibus lictoribus ac tortoribus moreretur, & cognouiſſet Eccleſiæ cruciatū eius dolori atque cordi eſſe, nullam quidem aliam ob cauſſam, quàm quod, ſimulac compertum eſt, ſtatim quāta potuit adhiberi feſtinatio accurrimus, vt aſſideremus, & ſimul calamitatem ferremus, furit & tumultuarut hoc audito, quòd Epiſcopus auſus fuerit hominis miſereri, cui eſſet ille infenſus, multiſq; facinoribus per ſcelus deſignatis, inſtigatus ab audaciſſimo ſuo miniſtro Thoante, quo vtitur ad publicas miſerias tanquam inſtrumento, finem inſaniēdi fecit impiiſſima voce miſſa, fruſtrà ſpem eum in Eccleſia habere, neque quenquam eum ex Andronici manibus erepturum, etiamſi quis ipſius Chriſti pedem appræhenderet. Eam vocem ex imperito rudique animo, ter euomuit. Poſtquam non eſt amplius admonēdus homo, ſed quaſi membrum quod ſanari non poteſt, à nobis reſecandus, ne quod integrū ac valens eſt, etiā cōmunicatione inficiatur. Nā pollutionis labes, facilè inficit & permanat, qui ſceleratum attingit, maculam ab eo contrahit. Sed non ſolùm corpore: verùm etiā animo puriſſimos & innocentes Deo neceſſe eſt. Ea propter Ptolemaidis Eccleſia, reliquis ſuis vbicunque terrarum ſint ſororibus, hæc mandat. Andronicorum ſuis Thoanti cū ſuis, ad omnia templa, fana & circuitus intercludatur aditus. Non habet partem diabolus in paradiſo, qui ſi etiam clam ſe ingerat, expellitur. Hortor

itaque

Itaque ad vnum omnes cùm priuatos tum etiam in dignitate conſtitutos, vt neque ſub eodem tecto, neque in eadem menſa quiſquam cum illo viuat. præcipuè verò ſacerdotes, qui neque viuentes eos colloquio, neque mortuos exequiis & funere dignabuntur. Quòd ſi quis contempſerit Eccleſiam, quaſi numero paruam & exiguam, & eius renunciatos receperit, quaſi non ſit neceſſe pauperi morem gerere, is ſciat ſe diſſipare Eccleſiam, quam Chriſtus vnam vult eſſe. Eiuſmodi verò ſiue Leuita ſit, ſiue presbyter ſiue Epiſcopus, apud nos eodem loco quo Andronicus habebitur, & neque petenti dextram porrigemus, neque cibum ab eadem menſa capiemus, & omninò communicare, ingens illud & magnificum ſacrificium, recuſabimus his, qui cum Andronico & Thoante commercium habere voluerint.

Anyſio.

CVi perferendam epiſtolam dedi, quãquam eſt animo philoſophus: Rhetor tamen eſt profeſſione. Dum Anyſius adeſſet & Pentapolis eſſet adhuc apud nos, eam artem excercebat. Poſteaquam verò tempus poſt tuum diſceſſum hoſtibus nos tradidit, & iura iudiciáque quominùs fierent impediuit, ſtatuit ad aliud forum nauigare, vbi lingua venalis, quæ eſt merces oratorum, oratorem clarum & notum faciat. Conciliabis ei amicitiam eius, qui ius gentibus dicit. Hoc tibi polliceor per Philium & meum & tuum à quo gratiam repetes, habebit abundè tibi gratiam, cùm facto periculo reuerſus fuerit,

Auxentio.

SI tibi violati iuris amicitiæ dicam, ſcribere velim Deo diuiníſque iuris iudicio præſidentibus, cauſſam vicero. Quam enim vel minimam tibi cauſſam dedi ſimultatis & odij in fratrem. Cùm enim ille, ne me quidem me probante contra Sabbatium Bati Phai negotium ageret, tuique eum dicendo perſuadere non poſſes, in me iram omnem conuertiſti, & quantum fieri potuit, malum exaggeraſti. Ego verò quoniam eo tempore poteſtas fieret, accipiebam controuerſiæ denunciationem. Nunc verò neque licet, neque volo. Tempus enim commodè ac rectè mihi contentionis ſtudium adimit atque languidum reddit, & ſacris legibus vetitum eſt. Simul verò mihi recordatio ſubit communis menſæ atque diſciplinæ, & eius conſuetudinis quæ Cyrenæ nobis interceſſit, quæ maius habere momentum debent, quàm accuſatio Sabbatij. Capeſſe amicitiã, rem bonam ac laudabilem & Vale. Quantùm à me qui in damno putabam tempus illud quo tacerem, te morſum hunc accepiſſe cenſes. Sed continebã me quantùm poteram. Tam pernicioſum malum eſt lis & diſſenſio.

Pylemeni.

TApetem magnum Ægyptium, non quo lectus ſternatur, ſed qui ipſe ſolúſque lectum conficiat, cùm vidiſſet Aſterius anctuarius, petiit à nobis cùm ante magnã regiã mihi dormiẽdum eſſet. Hác ſi exirem, ei dono me daturum ac relicturum promiſi. Nihil enim erat eiuſmodi dare, ſi ad Thracum niuem compararetur. Nunc igitur mitto. Tũ enim non reliquerã. Tu verò trades ei, cũ excuſatione, cuius ipſe teſtis eris ſi temporum recordaberis, & cum

μὲν οὖν καὶ ἰδιώτῃ παντὶ καὶ ἄρχοντι, μήτε ὁμωρόφιον αὐτοῖς, μήτε ὁμοτράπεζον γίνεσθαι· ἱερεῦσι δὲ διαφερόντως, οἳ μήτε ζῶντας αὐτοὺς προσεροῦσι, μήτε τελευτήσαντας συμπροπέμψουσιν. εἰ δέ τις ὡς μικρᾶς πόλεως ἀποσκυβαλίσει τὴν ἐκκλησίαν, καὶ δέξεται τοὺς ἀποκηρυχθέντας ὑπ᾽ αὐτῆς, ὡς οὐκ ἀνάγκην τῇ πένητι πείθεσθαι, ἴστω σχίσας τὴν ἐκκλησίαν. ἣν μίαν ὁ Χριστὸς εἶναι βούλεται. ὁ δὲ τοιοῦτος, εἴτε λευΐτης ἐστὶν, εἴτε πρεσβύτερος, εἴτε ἐπίσκοπος, παρ᾽ ἡμῖν ἐν Ἀνδρονίκου μοίρᾳ τετάξεται. καὶ οὔτε ἐμβαλοῦμεν αὐτῷ δεξιάν, οὔτε ἀπὸ τῆς αὐτῆς ποτὲ σιτησόμεθα. πολλοῦ δὲ δέομεν κοινωνήσειν τῶν ἀπορρήτων τελετῆς, τοῖς ἐθελήσασιν ἔχειν μερίδα μετὰ Ἀνδρονίκου καὶ Θόαντος.

Ἀνυσίῳ.

ΟΔίδωσι τὴν ἐπιστολὴν εἰ καὶ φιλόσοφός ἐστι τὴν ψυχήν, ἀλλὰ καὶ ῥήτωρ τὴν τέχνην. ἕως μὲν Ἀνύσιός τε παρῆν, καὶ Πεντάπολις ἦν, ἔτι παρ᾽ ἡμῖν ταύτην εἰργάζετο. ἐπεὶ δὲ ὁ μετὰ σὲ χρόνος τοῖς πολεμίοις ἡμᾶς ἀποδέδωκε, δικῶν εἰρήνην ἐποίησεν, ἔγνωκε πλεῖν εἰς ἑτέραν ἀγοράν, ὅπου γλῶττα ὤνιος τὸ ῥητόρων ἀγώνισμα, τὸν ῥήτορα γνώριμον ποιεῖ. μνήστευσον αὐτῷ φιλίαν ἀνδρός, λαχόντος ἄρχειν ἐθνῶν. καὶ ναὶ μὰ τὸν φίλιον τὸν ἐμόν τε καὶ σόν, ὃν αἰτήσεις τὴν χάριν, εἴσεταί σοι χάριν ὅταν ἐπανήκῃ μετὰ τὴν πεῖραν.

Αὐξεντίῳ.

ΑΝ γράψωμαί σε φιλίας ἀδικουμένης, καὶ θεοῦ καὶ θείων ἀνδρῶν δικαζόντων, ἁπάσαις αἱρήσω. τίς γὰρ παρακαταθήκη σοι γέγονε τῆς πρὸς τὸν ἀδελφὸν δυσμενείας. ἐπεὶ δὴ γὰρ ἐκεῖνος, οὐδ᾽ ἐμοὶ δοκοῦν, ἐπολιτεύετο κατὰ Σαββατίου τοῦ μακαρείτη Φάω. σὺ δὲ αὐτὸν λέγων οὐκ ἔπειθες, ἔτρεψας ἐπ᾽ ἐμὲ τὴν ὀργήν. καὶ ἐποίεις κακὸν ὅσον ἠδύνω. κἀγώ. τότε γὰρ ἐξῆν, ἐδεξάμην τὴν πρόσκλησιν τῆς διαφορᾶς. νυνὶ δὲ οὔτε ἔξεστιν, οὔτε βούλομαι, ὅ,τι γὰρ ἡλικία καλῶς ποιοῦσα μαραίνει μοι τὸ φιλότιμον καὶ ἱεροὶ θεσμοὶ κεκωλύκασιν. ἅμα δὲ ὑπομιμνήσκομαι καὶ κοινῶν τροφῶν καὶ παιδείας. καὶ τῆς ἐν Κυρήνῃ διατριβῆς, ἃ χρῆν νομίσαι τῆς Σαββατίου δίκης ἰσχυρότερα. ἀρχὴ δὲ φιλίας ἀγαθοῦ πράγματος. χαῖρε. παρ᾽ ἐμοῦ ζημίαν ἡγουμένου τὸν χρόνον ὃν ἐσιώπησα, πῶς οἴει καὶ τότε δακνόμενος; ἀλλ᾽ ἐνεκαρτέρουν, ὡς οἷόν τε. τοιοῦτόν ἐστι τὸ διαφιλοτιμεῖσθαι κακόν.

Πυλαιμένει.

ΔΑπίδα μεγάλην τὴν αἰγυπτίαν οὐχ οἵαν ὑποβεβλῆσθαι στρωμνῇ, ἀλλ᾽ οἵαν αὐτὴν εἶναι καὶ μόνην στρωμνήν, Ἀστέριος ὁ ταχυγράφος, ἰδών, ᾔτησε παρ᾽ ἡμῶν ὁπηνίκα μοι περὶ τὴν μεγάλην ἀρχὴν ἔδει καθεύδειν. ὑπεσχόμην ἐξιὼν ἀπολείψειν αὐτῷ δῶρον. οὐ γὰρ ἦν πρὸς τὴν θρακικὴν χιόνα παραβαλλόμενον, τοιοῦτο χαρίζεσθαι. νῦν οὖν ἐκπέμπω· τότε γὰρ οὐ κατέλιπον. σὺ δὲ δώσεις αὐτῷ, μετὰ τῆς ἀπολογίας. ἧς αὐτὸς ἔσῃ μάρτυς, ἂν ὑπομνησθῇς τῶν καιρῶν. καὶ πρὸς τί, καθ᾽ οὓς ἀνεχώρουν τοῦ ἄστεος. ἔσφερον ὁ θεὸς τῆς ἡμέρας πολλάκις. καὶ πρὸς

ἱκετηρίας ἦσαν οἱ ἄνθρωποι πρηνεῖς οἱ πλείους· τὸ γὰρ ἔδαφος ἐκραδαίνετο. ἐν ᾧ νομίσας εἶναι τῆς θαλάττης τῆς γῆς ἀσφαλέστερον καὶ τὸ πέλαγος, καταπαίνω δρόμον ἐπὶ τὸν λιμένα, μηδενὶ λόγον δοὺς, ὅτι μὴ τῷ μακαρίτῃ Φωτίῳ, καὶ τοῦτον πόρρωθεν εἰσκεκραγὼς, καὶ τῇ χειρὶ σημάνας, ὅτι οἰχήσομαι. ὁ δὲ, Αὐρηλιανὸν φίλον ἄνδρα καὶ ὕπατον ἀφεὶς ἀπροσφώνητον, ἀπολελόγηται περὶ τὸν αὐτὸν, πρὸς τὸν ἑταῖρον Ἀστέριον. τοῦτο μὲν οὕτως ἐγένετο. εἰ δὲ μετὰ τὴν ἐμὴν ἐκεῖθεν ἀποδημίαν, τρίτον τουτονὶ στόλον ναῦς εἰς τὰ ἐπὶ Θρᾴκης χωρία στέλλεται, ἀλλὰ νῦν πρῶτον ὑπ' ἐμοῦ στέλλεται. νῦν οὖν ὅτε τὸ πρῶτον ἔξεστιν, ἀποδίδωμι διὰ σοῦ τὸ χρέος. χάρισαι μοι τὸν ἄνθρωπον ἐξευρών. τοὔνομα μὲν δὴ καὶ τὸ ἐπιτήδευμα, φθάσω δηλώσας. ἀλλὰ δεῖ πλείω προσθεῖναι γνωρίσματα. γένοιτο γὰρ ἄν τις, ὁμώνυμος καὶ ὁμότεχνος. χαλεπῶς δὲ ἅπαντα ταυτῷ συγκυρεῖ. ἀλλὰ γένοιτο γὰρ ἐν τῷ χρόνῳ, Σύρος τὸ γένος. μέλας τὸ χρῶμα. τὸ πρόσωπον ἰσχνός. τὸ μέγεθος μέτριος. οἰκεῖ παρὰ τὴν βασιλικὴν οἰκίαν οὐ τὴν δημοσίαν. ἀλλὰ τὴν κατόπιν αὐτῆς, ἥτις Ἀβλαβίου μὲν πρότερον ἦν. νῦν δὲ Πλακιδίας ἐστὶ τῆς τοῖν βασιλέοιν ἀδελφῆς. εἰ δὲ μετῴκησε, γενόμενον γὰρ, σὺ δὲ, ἀλλὰ Μάρκον ζητήσεις φανερώτατον ἄνδρα, τὸν ἐκ τῆς ὑπάρχου τάξεως. οὗτος ὁ τότε τῆς συμμορίας ἄρχων τῶν ταχυγράφων τῆς τὸν Ἀστέριον ἐχούσης. εὑρήσεις οὖν διὰ Μάρκου τὴν συμμορίαν. ἧς οὐκ ἦν Ἀστέριος ἔσχατος. ἀλλ' ἐν αὐτοῖς τρίτος ἢ τέταρτος. νυνὶ δὲ κἂν πρῶτος ἂν εἴη. τούτῳ δώσεις τὴν παχεῖαν ταύτην δάπιδα. καὶ πρὸς αὐτὸν ἐρεῖς, ἅττα ἡμεῖς περὶ τοῦ χρόνου πρὸς σέ. εἰ δὲ βούλει, καὶ τὴν ἐπιστολὴν αὐτῷ ἀναγνώσεις. σχολὴν γὰρ ἡμῖν ὁ πόλεμος οὐ δίδωσι, τοῦ καὶ πρὸς ἐκεῖνον ἐπιστεῖλαι. εἶναι δὲ δικαίους, οὐδὲν ἴσως κωλύει. μήποτε τοσοῦτον δυνηθείη τὰ ὅπλα.

Τῷ ἡγεμόνι.

Μισθὸς ἀρετῆς ἔπαινος. ὃν εἰσφέρομεν Μαρκελλίνῳ τῷ λαμπροτάτῳ. νῦν ὅτε πέπαυται τῆς ἀρχῆς. νῦν ὅτε σχολάζει κολακείας ἁπάσης ὑπόνοια. ὅστις παραλαβὼν πολεμουμένας τὰς πόλεις ἔξωθεν μὲν, ὑπὸ πλήθους καὶ μανίας βαρβαρικῆς, ἔνδοθεν δὲ ὑπὸ στρατιωτικῆς ἀταξίας καὶ τῆς τῶν ταξιαρχῶν πλεονεξίας, ὥσπερ θεὸς ἐπιφανεὶς, μάχῃ μὲν μιᾷ τοὺς πολεμίους, ἐπιμελείᾳ δὲ καθημερινῇ τοὺς ὑπηκόους σωφρονεστέρους ἐποίησε. καὶ παρεσκεύασεν ἐπ' ἀμφοῖν τῶν δεινῶν, εἰρήνην τῶν πόλεων. ὑπερεῖδε κερδῶν, ἃ δοκοῖεν εἶναι νόμιμα πεποίηκεν ὁ θεός. οὐκ ἐπεβούλευσε πλούτῳ. πενίας οὐχ ὕβρισε. τὰ πρὸς θεὸν εὐσεβής. τὰ πρὸς πολιτευομένους, δίκαιος. τὰ πρὸς δεομένους φιλάνθρωπος. διὰ τοῦτο φιλόσοφος ἱερεὺς ἐπαινῶν αὐτὸν, οὐκ αἰσχύνεται. παρ' ᾧ μηδεὶς διήρετο μαρτυρίαν χάριτι δεδεκασμένην. παρεῖναι μὲν ἂν ὑμῖν, καὶ τὸ δικαστήριον ἐβουλόμεθα. καὶ κοινῇ καὶ καθ' ἕνα Πτολεμαΐδα ἕκαστος, ἀντισηκώσαμεν ἂν, αὐτῷ τὸ δυνατόν, εἰ μὴ τὸ δίκαιον ἔρανον. ὅτι λόγος ἔργων παραπολύ ἥττων ἐστί. πάντως ἂν ἰδίᾳ καὶ τὸν τοῦ κοινοῦ προηγόρευσα. ἐπεὶ δὲ τυγχάνω ὢν ἀπόδημος, ἐν γράμμασιν αὐτῷ τὴν μαρτυρίαν κατατιθέμεθα. οὐκ ἐνοχληθέντες. ἀλλ' ἐνοχλήσαντες.

ex vrbe diſcederem frequentes quotidie terræmotus fiebant, & multi ſupplicãdi cauſſa proni iacebãt. Nam ſolum quatiebatur. In quo cùm ego putarem maiorem in mari & pelago, quàm in terra ſecuritatem eſſe, curſum ad portum intendo, cum nemine ſermone communicato, quàm cum beato Photio, quem de longè clamore appellabam & quòd eſſem diſceſſurus, manu ſignum dabam. Ille verò Aurelianum hominem tibi amicum & conſulem relinquens inſalutatum, de iiſdem apud Aſterium ſocium purgauit. Tom ita res geſta eſt. Quòd ſi poſt meum iſtinc diſceſſum, tertio iam curſu nauis ad oras Thraciæ mittitur: at nunc primùm à me mittitur. Nunc igitur cùm primùm licet, debitum per te ſoluo. Quamobrem inueſtiga mihi hominem, & ei munus offer. Nomen quidem & ſtudium, quod eſſet iam antè planum feci, verùm addendæ ſunt plures notæ. Poſſet enim aliquis eiuſdem nominis & artis inueniri. Omnia verò ſimul in aliquo non facilè concurrunt. Quamuis interdum id quoque contingit vt fiat. Genere Syrus, colore nigro, facie tenui, mediocri magnitudine. Habitat ad regiã domum, non publicam, ſed poſt eam, quæ fuit antè Ablabij, nunc verò Placidiæ duorum regum ſororis. Sin mutauit ſedem, quod fieri poteſt: Marcum interrogabis, notiſſimum hominem, qui eſt de principis ordine. Is eo tempore princeps erat tribus auctionariorum, quæ continet Aſterium Inuenies igitur tribum Marco duce, in qua non poſtremas habet Aſterius. Sed in eis tertium aut quartum, nunc fortè primum etiam locum tenet. Ei dabis hunc denſum tapetem & ad eum referes de tempore, quo nos tibi. Quòd ſi ita tibi placitum erit, ipſam etiam epiſtolam leges. Nobis enim propter bellum, non datur otium, vt ad ipſum quoque ſcribere poſſimus. Vt autem iuſtitiam colamus, nihil forſitan impedit. Nunquam tanta vis erit in armis.

Hegemoni.

PRemium virtutis laus eſt, quam clariſſimo viro, Marcellino tribuimus, nunc cùm ab imperio deceſſit, nunc cùm omnis aſſentandi ſuſpicio quieſcit, qui cùm accepiſſet vrbes bello implicatas, foris à multitudine ac amentia Barbarica, intus à perturbatione rei militaris & centurionum auaritia, quaſi Deus aliquis apparuit, & hoſtes vno commiſſo prælio, ſubditos cura diligentiáque quotidiana ſapientiores moderatioréſque reddidit, & in vtriſque malis Rebuſpublicis cõſtituit. Lucrum contempſit, etiam, quod ita conceſſum à Deo eſſet, vt legitimũ ac iuſtum eſſe videretur. Non ad conquirendas diuitias animum adiecit. Paopertatem contumeliis non affecit. In Deum, pius, erga ciues iuſtus, in egentes benignus. Ob quam cauſſam, non pudet philoſophum ſacerdotem, eius laudem prædicare, à quo nemo gratia emptum teſtimonium impetrauit. Quamobrem vobis etiam foro ac iudicio cedere voluimus. Et publicè & primatim pro ſe quiſque Ptolemenſis, ſi non debitam, at certè quantã poſſemus gratiam atque laudem ei rependeremus, quoniam verba rebus multò ſunt inferiora: & ego tunc omninò Reipublicæ ſuaſor & autor extitiſſem. Iam cùm ſim extorris per literas hoc ei teſtimonium reddimus, neque moleſtiis afficimur, ſed moleſtias inferimus.

Ioanni.

VTi non abuti potentium hominum amicitiis oportet.

Eidem.

NE petas magna, ne ex duobus alterum, aut ſi aſſecutus es dolorem inferas, aut ſi non ad votum res euenerit, dolore crucieris.

Fratri.

AMbos Dionyſios miſi, vt de libellis alterum accipias, alterum recipias.

Theophilo.

QVoniam aliquid ex te quærere decreui, pauca mihi præmittenda cenſeo, de quo quæſiturus ſum. Alexander ſententia conſilióque Cyrenenſis, dum adhuc adoleſcens eſſet, ſolitariam vitam duxit, poſtquam autem vnà cum ætate ſolitaria viuendi contentio progrederetur, ad eccleſiaſticum munus eſt adhibitus, nempe ad eam dignitatem euectus vt presbyter eſſet. Cùm autem cuiuſdam negocij cauſſa veniſſet in excercitum & cum beato Ioanne conſpirationē feciſſet, (Honoretur verò à nobis mortui memoria, quoniam omnis offenſio atque odium cum hac vita deponitur) cùm hoc igitur inita ſocietate, priuſquam in Eccleſiis ortæ ſeditiones & tumultus eſſent, illius manibus declaratus eſt Epiſcopus celeberrimæ Bithynorum ciuitatis. Cùm que diſſidium naſceretur, permanſit amicus ei, qui ſe in eo dignitatis gradu collocarat, & ab illius factione ſtetit. Poſtquàm verò Synodi decretum præualuit, ad tēpus quidē factio ſimul perſeuerauit. Sed quid hæc tibi commemoro, qui noſti immò qui ipſe negotium de conficiendā pace atque componendis diſſidiis adminiſtrati. Nam & libellum ſapientiæ plenum legi, quem ad beatum, vt mea fert ſententia. Atticum ſcripſeras, quo eum vt homines exciperet hortabaris. Hactenus igitur omnia communiter & ad Alexādrum & ad ſocios defectionis pertinent. Propriū verò eius, aut certè cum paucis commune, quod tertius hic iam annus exit poſt extinctam illius tumultus memoriam & pácem conſtitutam. At ille non rectà Bydhiniam verſus iter direxit, neque ad eam ſedem, quæ ei deſtinata fuerat, occupandam feſtinauit, ſed apud nos commoratur, quaſi ſua nihil interſit, etiam ſi tanquam priuatum quis eum in congreſſionibus habeat. Ego itaque non multos annos in ſacrarum legum cognitione verſatus ſum, neque didiciſſe multa debeo, quippe qui anno ſuperiore nondum in album eram relatus. Cùm autē intelligerem ſeniores aliquos & ætate prouectos, ne ipſos quidem ſibi aliquid certi conſtare fateri, & ne imprudentes in aliquam Eccleſiæ regulam impingant, metuere, atque prorſus ea de cauſſa durius & indignius eum tractaſſe dubiàque ſuſpicione motos ignominiam non dubiam hoſpiti aſperſiſſe qui etiam communi tecto eum prohibuerunt, neque repræhendere, neque imitari ipſos volui. Noſtin' igitur, quemadmodum hac in re me geſſerim pater auguſtiſſime? Eccleſia quidem eum non recepi, neque ad ſacræ menſæ communionē admiſi. At domi ſic ei honorem habui, vt innocentibus, quemadmodum etiam indigenis veſtro more honorem habere ſoleo. Cùm quis ex illis in noſtras ædes venerit, omnibus quolibet facto ſeu verbo honorifico cedimus, garrire exiſtimantes eos, qui moleſtè ferunt, nos patria ciuitatis iura prætērire. Verùm idcirco curas omnium meis humeris impoſitas perfero;

Ἰωάννῃ.

ΧΡῆσθαι δεῖ ταῖς τῶν δυνατῶν φιλίαις. οὐ καταχρῆσθαι.

Τῷ αὐτῷ.

ΜΗ αἴτει μεγάλα. ἵνα μὴ δυοῖν θάτερον, ἢ τυγχάνων λυπῇς, ἢ μὴ τυγχάνων λυπῇ.

Τῷ ἀδελφῷ.

ΑΜφοτέρους Διονυσίους ἀπέστειλα, ἵνα τῶν βιβλίων, τὸ μὲν ᾖς εἰληφώς. τὸ δ' ἀπειληφώς.

Θεοφίλῳ.

ΠΕύσεσθαί τινα πυθέσθαι σου προελόμενος, ὑπὲρ οὗ πύθομαι, προαφηγήσασθαι βούλομαι. Ἀλέξανδρος ἀπὸ βουλῆς Κυρηναῖος. ἔτι μειράκιον ὢν εἰς μοναδικὸν βίον ἐτέλεσε. τῇ δὲ ἡλικίᾳ συμπροϊούσης τῆς μοναδικῆς κατὰ τὸν βίον ἐνστάσεως, ἠξιώθη μὲν ἐκκλησιαστικῆς διακονίας. ἠξιώθη δὲ τὸ πρεσβύτερος εἶναι. κατὰ δέ τινα χρείαν ἐπὶ στρατοπέδου γενόμενος, καὶ Ἰωάννῃ τῷ μακαρίτῃ συστάς, τιμάσθω γὰρ παρ' ἡμῖν ἡ μνήμη τοῦ τελευτήσαντος, ὅτι πᾶσα δυσμένεια τῷ βίῳ τούτῳ συναποτίθεται, τούτῳ συστάς, πρὶν μὲν στασιάσαι τὰς ἐκκλησίας, ὑπ' ἐκείνου χειροτονεῖται ἐπίσκοπος ἀνεδείχθη τῆς Βιθυνῶν βασιλίδος πόλεως. συμβάσης δὲ τῆς διαφορᾶς, διέμεινε τῷ χειροτονήσαντι φίλος. καὶ γέγονε τῆς ἐκείνου στάσεως. ἐπεὶ δὲ ἡ συνοδικὴ γνώμη κατίσχυσε, χρόνον μέν τινα συνέμεινεν ἡ στάσις. πλὴν ἀλλ' αὖ διηγούμενος εἰδότι, μᾶλλον δὲ αὐτῷ διῳκηκότι, τὰ περὶ τὰς ὁμολογίας διαλλαγάς. ἐπεί τοι καὶ βιβλίον ἀνέγνων σοφόν, ὃ πρὸς τὸν μακάριον ἐμοὶ δοκεῖν Ἀττικὸν ἔγραψας, ἐνάγων αὐτὸν τῇ καταδοχῇ τῶν ἀνδρῶν. τὰ μὲν δὴ μέχρι τούτου, Ἀλεξάνδρῳ πρὸς τοὺς συναποστάτας κοινά. ἴδιον δὲ, ἢ μετ' ὀλίγων, ὅτι τοῦτο μὲν ἔτος ἤδη τρίτον ἐξήκει, μετὰ τὴν ἀμνηστίαν καὶ τὰς διαλλαγάς. ὁ δ' οὐκ ἐβάδισε τὴν ἐπὶ τὴν Βιθυνίας. οὐδὲ τῆς συλλαχούσης αὐτὸν καθέδρας ἐλάβετο. μένει δὲ παρ' ἡμῖν, ὥσπερ μηδὲν αὐτῷ διαφέρον, εἰ καὶ ὡς ἰδιώτῃ προσφέροιτο. ἐγὼ μὲν οὖν ὅτι πόρρωθεν ἐνεξάφθην τοῖς νόμοις τοῖς ἱεροῖς, οὔτε ἤδη μοι καθήκει πολλὰ μεμαθηκέναι, τῷ χρόνῳ οὔπω γεγονότι τοῦ καταλόγου. αἰσθόμενος δὲ γέροντάς τινας, οὐδ' αὐτοὺς μέν τι σαφὲς εἰδέναι διαβεβαιουμένους, ὑποδεδιότας δὲ μὴ λάθωσι πρός τινα κανόνα τῆς ἐκκλησίας προσκόψαντες, καὶ διὰ τοῦτο παντάπασιν ἀπηνέστερον αὐτῷ προσενεχθῆναι μέλλοντας, καὶ ὑπὸ ἀσαφοῦς ὑπονοίας ἀτιμίαν σὺν τῷ ξένῳ καταψηφισαμένους, οἳ μηδὲ κοινῆς στέγης ἠνέσχοντο, οὔτε ἐμεμψάμην, οὔτε ἐμιμησάμην αὐτούς. οἶσθα οὖν ὅπως ἐποίησα, πάτερ σεβασμιώτατε; ἐκκλησίᾳ μὲν, οὐκ ἐδεξάμην αὐτόν. οὐδὲ τραπέζης ἱερᾶς ἐκοινώνησα. οἴκοι δὲ ἴσα καὶ τοῖς ἀναιτίοις ἐτίμησα. ὅστις ὁ τρόπος καὶ ὁ ἐπιχώριος ὁ ὑμός. ὅταν τις αὐτῶν ἐφίστηται ἡμῖν, παντὶ παντὸς ἔργου καὶ λόγου τιμὴν ἔχοντος ἐξιστάμεθα. φλυαρεῖν ἡγούμενοι τοὺς δυσχεραίνοντας, ὅτι τὰ πάτρια τῆς πόλεως καταβάλλομεν δίκαια. καὶ τί διὰ τοῦτο τὰς ἁπάντων φροντίδας κατωμαδὸν ἀράμενος φέρω.

καὶ μόνος ὑπὸ τῶν ἁπάντων ἀπολείπομαι σχολῆς. ἀλλ' ἐν καλῷ μοι κείσεται παρὰ τῷ θεῷ, πλεονεκτοῦντι μὲν πόνοις, μειονεκτοῦντι δὲ τιμαῖς. καὶ τὸν Ἀλέξανδρον δὲ τοῦτον, ὅταν μὲν εἰς ἐκκλησίαν προΐω, βουλοίμην μὲν ἄν, μηδαμόθεν τῆς ἀγορᾶς ἰδεῖν. συμβὰν δὲ ἰδεῖν, ἑτέρωσέ ποι τρέπω τοὺς ὀφθαλμούς, καὶ εὐθὺς ἐπανθεῖ μοι κατὰ τῆς παρειᾶς ἐρύθημα. ὑπερβάντα δὲ τὴν οἰκείαν αὐλήν, καὶ γινόμενον ὁμωρόφιον, ἁπάσαις ταῖς εἰκόσι τιμῶ. τί δή ποτ' οὖν ἀσύμφωνός εἰμι πρὸς ἐμαυτὸν ἰδίᾳ καὶ δημοσίᾳ, ἐν οὐδετέρῳ τῶν καιρῶν δεδογμένα ποιῶν. ἀλλὰ τὸ μὲν, εἴκω τῷ νόμῳ· τὸ δὲ, τῇ φύσει χαρίζομαι, ῥεπούσῃ πρὸς τὸ φιλάνθρωπον. καίτοι κἂν ἀπεβιασάμην τὴν φύσιν, εἴ τι σαφὲς ἠπιστάμην ὑπὸ τοῦ νόμου. αὐτὸ δὴ τοῦτό ἐστι τὸ ἐρώτημα, πρὸς ὃ δεῖ τῆς αὐθεντίας τῆς ἀποστολικῆς παραδόσεως ἀποκρίνασθαι ἁπλῶς καὶ σαφῶς καὶ ἅπερ πυνθάνομαι. Ἀλέξανδρον ἐπίσκοπον χρὴ νομίζειν ἢ μή.

& ſolus vt reliqui otium agere poſſint, ego in negotiis ſum. Atqui bene nobis apud Deũ erit, ſi laboribus vincimus, honoribus verò ſuperamur. Et hunc Alexandrũ cùm in eccleſiam prodeo, velim me nuſquam è foro cõſpicere. Quod ſi accidat vt videam, aliò deflecto oculos, & continuò maxillæ rubore ſuffunduntur. Simul ac verò noſtrum veſtibulum ingreſſus eſt, & eodem iam tecto continetur, omnibus iuſtis eum honorib. afficio. Cur igitur à memetipſo tantùm diſcrepo priuatim & publicè, qui neutro tempore recta facio. Sed partim legi morem gero, partim do naturæ, quæ inclinat ad humanitatem. Atqui cùm de lege manifeſtum aliquid & perſpicuum eſt, velim etiam naturam repellere. Hæc ipſa quæſtio eſt, ad quam ex autoritate Apoſtolicæ traditionis reſpondendũ eſt ſimpliciter & dilucidè, & quæ interrogo. Alexander epiſcopus ne ſit putandus, an non.

Τοῦ αὐτοῦ.

Ἐγὼ καὶ βούλομαι καὶ ἀνάγκη μοι θεία, νόμον ἡγεῖσθαι, πᾶν ὅτι ἂν ἐκεῖνος ὁ θεῖος θεσπίσῃ. διὰ τοῦτο καὶ πένθιμον ἀσχολίαν παραιτησάμενος, καὶ νοσοκομούμενον ἔτι τὸ σῶμα πρὸς τοὺς πόνους ἐκβιασάμενος, καὶ διοδεύσας τὴν ὕποπτον, ὡς ἀνύποπτον, ἣν διατειχίσουσιν ὅπλα πολέμια, γέγονα κατὰ Παλαιβίσκα τε καὶ Ὕδρακα. κῶμαι δὲ αὗται Πενταπόλεως, καὶ τῆς διψηρᾶς Λιβύης αὐτὰ τὰ μεθόρια. ἐν αἷς τόν τε δῆμον ἐκκλησιάσας, καὶ γράμματα, τὰ μὲν ἀναγνοὺς, τὰ δὲ ἀποδοὺς, τὰ μὲν γὰρ ἦν πρὸς αὐτοὺς, τὰ δὲ περὶ αὐτῶν πρὸς ἐμέ, καὶ λόγους διεξιὼν ἐπιτηδείους εἰς ἀρχαιρεσίαν εἰς τὸ καὶ πεῖσαι, καὶ εἰ προχωροίη βιάσασθαι προελέσθαι τὴν περὶ ἐπισκόπου σκέψιν, οὐκ ἐξενίκησα τοῦ δήμου τὴν περὶ τὸν εὐλαβέστατον Παῦλον σπουδήν. ἀξιῶ πιστεῦσαι πατέρα. οὐκ ἦν μοι βουλομένῳ μάτην δεδραμηκέναι. πολλὰ τιμῶν τι μετὰ τοῦ δήμου προσῳκείωσα. τοὺς φανερωτάτους αὐτῶν, εἴ τις ἀνέκραγε μεῖζον, εἴ τις διηρμένος κρηπῖδα καὶ ἐπιβὰς αὐτῇ, καὶ προήγορος ἠξίωσεν εἶναι καὶ λόγον ἀπέτεινεν, ὡς ἀνοσίους ὡς συνομώτας, ὑπηρετῶν χερσὶ παραδιδοὺς, ἐκκυλισθῆναι τῆς ἐκκλησίας ἀθρουμένους, προσέταξα. συγχυθέντα δὲ αὖθις, καὶ πολλάκις ἀναλαβὼν τε καὶ καταστήσας τὸν δῆμον, διὰ πάσης ἦλθον ἐν λόγοις ὁδοῦ, τὸν ἀρχιερατικὸν ἐκεῖνον θρόνον ἀποσεμνύνων, καὶ τιθεὶς ὅτι διὰ τῆς εἰς ὑμᾶς ἀθετήσεως καὶ τιμῆς, ὁ θεὸς ἀθετεῖται δὴ καὶ τιμᾶται. οἱ δὲ, εὐφήμῳ τε φωνῇ τὸ μακάριον ὄνομα τῆς σῆς θεοσεβείας ἐπεκαλέσαντο. καὶ πεσόντες, ἱκέτευον ὡς πρὸς παρόντα ταῖς ἐκβοήσεσι καὶ ταῖς ὀλοφύρσεσι ποιούμενοι. τὸ μὲν οὖν τῶν ἀνδρῶν, εἰ καὶ πέρα προσδοκίας, ἀλλ' ἔλαττον ἦν. αἱ δὲ γυναῖκες, χρῆμα δυσμεταχείριστον. χεῖρας αἴρουσαι, βρέφη προτείνουσαι, καὶ μύουσαι τοὺς ὀφθαλμούς, ἵνα μὴ εἰς ἔρημον τοῦ συνήθους προστάτου τὸν θρόνον ἐνατενίσωσιν, μικροῦ ἐδέησαν τοὺς τἀναντία πολιτευομένους ἡμᾶς, εἰς πάθος παραπλήσιον ἐκκαλέσασθαι· ὅπερ ἵνα μὴ πάθω, φοβηθεὶς, ᾐσθανόμην γὰρ ἀγόμενος, ἔλυσα τὴν ἐκκλησίαν. καὶ εἰς τετάρτην ἥξειν ἐπήγγελλα, ἐπαρασάμενος τὰς πολεμιωτάτας ἀράς, εἴ τις ἐμμίσθως, εἴ τις κατὰ χρείαν, ἢ χάριν ἢ ὅλως,

Eiudem.

EGo & volo & neceſſitas quædã diuina me cogit legem putare, quicquid ille Thronus ſtatuerit. Proinde lugubre otium refugiens ægrotum, adhuc corpus ad labores adegi, & profectus viam periculoſam, quaſi ſecuram, quæ hoſtium armis obſidebatur, perueni ad Palæbiſcã & Hydracẽ. Ij ſunt vici Pentapolis, & ſiticuloſæ Lybiæ propemodum ipſa confinia. in quibus populum ad concionem vocaui, literáſque partim recitaui, partim tradidi (quædam enim pertinebant ad ipſos, quædam etiam de ipſis ad me) & orationem accommodatam ad comitia atque ad perſuadendum, vel etiam ſi ſuccederet cogendum habui, vt de epiſcopo deligendo conſilium proponeretur: neque verò populi ſtudium erga ſanctiſſimum Paulum ſuperaui. Velim vt mihi credat pater. Non volui committere, vt fruſtrà curſus ille à me ſuſceptus eſſet. Ad vulgum, qui plurimũ honoris mihi exhibebat, me applicui. Clariſsimos inter ipſos, ſi quis fortius clamaret, ſi quis inuentam ſoleã indutus veniret & princ pem cõcionis ſe ingereret, ac nimis longam orationem faceret, quaſi proditores, quaſi coniuratores lictorum manibus traditos, eiici de concione iuſsi. Perturbatum verò iterum & ſæpiùs populum recollegi atque conſtitui, ac omni via in verbis faciendis inceſsi, principem illam ac ſacroſanctam ſedem laudibus extollens & dicens. Veſtra improbatione ac honore, Deus improbatur atque honoratur. Illi verò laudatoria voce beatum tuę pietatis nomen implorabant, & in genua prouoluti tanquam præſenti, redditis exclamationibus & lamentis, ſupplicabant. Virorum igitur quanquam expectationem noſtram longè vicerunt, tamen minor fuit conatus. Mulieres verò inexpugnabiles, ſublatis manibus, oſtenſis infantibus, & clauſis oculis, ne vacantem conſueto principe thronũ aſpicerent, propemodum nos etiam qui contrarium ageremus, ad ſimilem affectum prouocauerũt, in quem ne impellerer metuens (ſentiebam enim me rapi) concionem dimiſi & ad quartum diem redire iuſsi, crudeliſsimum exitium interminatus, ſi quis muneribus acceptis, ſi quis vtilitatis cauſſa aut ob gratiam, aut omnino, quod priuatim

sibi

ſibi foret emolŏmēto dixiſſet aliquid ex his qui ad auocādā cōcionē veniret. Venit dies: aderat populus iterū rebellis atq; reluctans, qui neq; expectauit dū quæreretur. Nihil erat præter permixtā atq; cōfuſā nimiū vocē, quæ propter nimiū ſonū ac ſtrepitum exaudiri nō poterat. Cúmq; ſilentiū à ſacris præconibus indiceretur, vox eis in lachrymas erupuit, & fuit auditu res miſerabilis. Virorū ploratus, mulierū vlulatus, puerorū lachrymationes. Alius ſe patrem, alius fratrē cupere dicebat. Ita diſtinguebātur ętatibus cognationis nomina. Cùm autē quiddam interea dicere pararē, oſtenditur è media multitudine libellus, & poſtulatur, vt omnibus in commune recitetur. Continebat is adiurationem erga me, vt per vim ſollicitare multitudinē deſinerem, & quæſtionem differrem, donec ipſis hac de re legationē cum decretis ad beatiſſimum tuum caput mittēdi fieret poteſtas, immò me rogabāt vt ſuam cauſſam ſuſciperem, & per literas, quę cognouiſſem, docerem. Iactabant in concilio presbyteri & publicè multitudo, & libellus eadem hæc per partes & ſigillatim commemorabat, patrias & apoſtolicis legibus etiam has Eccleſias Erythritidas eſſe. Defeciſſe verò ipſas ad ſanctum Oronium qui longius ſenectute proceſſiſſet, & crimen māſuetudinis ac benignitatis ſuſtinuerat. Hoc enim iam vitio dari cepit ab his qui petunt ab hominibus, vt præfectura ſit ſacerdotium, & variis multiplicibúſque negotiis addictum. Et cùm viuendi longius finem non faceret, non eas expectare iuſti bonique hominis mortem potuiſſe: ſed beatum Siderium excitaſſe quòd is & iuuenis eſſe videretur, & ſtrennuitatis atque induſtriæ in agendo gloriam in exercitu Valentis adeptus eſſe, cùm veniret procurandi poſtulatos agros cauſſa, qui poſſet & inimicis damnum inferre & amicis vtilitati atque auxilio eſſe. Tunc verò temporis electionem obtinebant. Nam multitudine atque turba ſuperabant, & occaſionem habuit dicendi faciendique vis ac vehementia, quaſi quoddam inſtrumentum prudentiæ. Hunc vnum & ſolum epiſcopum palæbiſcæ deſignatum eſſe. Verùm ne huic quidem ordine legitimo. Præter leges igitur, quantum quidem à natu maioribus accepimus, ſiquidem neque in Alexandrina ciuitate creatus eſt, & vt maximè ſignum approbationis, inde datum ei fuiſſet, non tamen ab hiſce tribus. Solum enim aiunt beatum Philonem, ſui collegæ renunciationem promulgare auſum fuiſſe Philo, Cyrenenſis erat, ætate grauior, quippe iunioris patruus, & eiuſdem ex genere nominis, reliquis quidem rebus qualecunque Chriſti inſtitutum præ ſe ferens: imperando verò & obediendo confidentior, quàm iuſtior. Sed enim veniam his verbis tribuat, ſanctum ſenis animū poſtulo. Solum hunc ad renunciandum veniſſe & in ſede beatum Siderium collocaſſe. Verùm enim in his temporibus, cùm dicendi libertas damno eſt, neceſſe eſt legem & ſtatutorum exquiſitam rationem præteriri. Propter eam cauſſam Athanaſium ſummum virum tempori conceſſiſſe, neque ita multò pòſt in Ptolemaïde ſcintillam reliquam adhuc rectæ opinionis fouiſſe, & in maius incendiſſe, virum hunc, tanquam maioribus rebus idoneum, tanſire iuſſiſſe,

Ὀλβιάταις, οὗτοι δὲ δῆμός εἰσι κωμήτης, ἐδέησεν αἱρέσεως ἐπισκόπου, τοῦ μακαριωτάτου πατρὸς Ἀθαμάντος τοῦ μακροῦ βίου τὴν ἱερωσύνην συγκαταλύσαντος. ἐπεκαλέσαντο δὴ κἀμὲ, κοινωνὸν αὐτοῖς γενέσθαι τοῦ σκέμματος. καὶ συνήσθην μὲν ἀνδράσιν ἐκ πολλῶν καὶ πάντων ἀγαθῶν ποιουμένοις τὴν αἵρεσιν· πολὺ δὲ πλέον Ἀντωνίῳ συνήσθην, τῆς καλοκαγαθίας, ὅτι καὶ καλῶν ἔδοξεν εἶναι καλλίων. ἐπὶ γὰρ τοῦτον, ἡ πάνδημος ψῆφος ἠνέχθη· προεστηκότων δὲ καὶ δυοῖν εὐλαβεστάτων ἐπισκόπων τῇ γνώμῃ τοῦ πλήθους, οἷς συνετέθραπτο, καὶ ὧν τῇ θατέρου χειρὶ πρεσβύτερος ἀποδέδεικτο, ἐτύγχανον μὲν οὐδὲ αὐτὸς ἀγνοῶν πάνυ τὸν Ἀντώνιον. ἀλλὰ δι' ὅσων αὐτὸν ἔγνων λόγων καὶ πράξεων, διὰ τοσούτων ἐπῄνεσα. προσθεὶς δὲ οἷς ἠπιστάμην καλοῖς, ἅπερ ἤκουσα, φέρω κἀγὼ τὴν ἐμαυτοῦ ψῆφον ἐπὶ τὸν ἄνδρα. καὶ γένοιτ' ἄν μοι βουλομένῳ κοινωνὸν αὐτὸν εἰς τὴν ὁμότιμον ἱερωσύνην προσδέξασθαι. ἑνὸς οὖν ἔτι δεῖ, τοῦ κυριωτάτου μέντοι, τῆς ἱερᾶς σου χειρός. τούτου μὲν Ὀλβιάταις δεῖ· ἐμοὶ δὲ εὐχῶν.

Ἀνυσίῳ.

Οὐκ ἐθέλει παραμένειν ἄλληλα τὸ φῶς καὶ τὸ σκότος. ἀλλὰ νόμῳ φύσεως ἀφώρισται, ἐπανελθόντες ἀπὸ τῆς σῆς πομπῆς, Ἀνδρόνικον κατελάβομεν..

Τῷ αὐτῷ.

Οὐδὲν ἂν γένοιτο Πενταπόλει λυσιτελέστερον, ἢ τοὺς ἀγαθοὺς καὶ ἄνδρας καὶ στρατιώτας Οὐννιγάρδας προτετιμῆσθαι πάντων στρατιωτῶν, οὐ τῶν ἐγχωρίων λεγομένων μόνον, ἀλλὰ καὶ ὅσοι πώποτε κατὰ συμμαχίαν τινὰ εἰς τοὺς τόπους ἀφίκοντο. ἐκεῖνοι μὲν γὰρ οὐδὲ πώποτε παραπλήσιοι ἐλάττοσι τῶν πολεμίων μετὰ τοῦ θαρρεῖν συνηνέχθησαν. οὗτοι δὲ δὶς ἤδη καὶ τρεῖς πρὸς ἄνδρας ὑπὲρ χιλίους τὸν ἀριθμὸν, μόνοι τετταράκοντα μετὰ τοῦ θεοῦ καὶ σοῦ στρατηγοῦ, παρετάξαντο· καὶ νίκας τὰς μεγίστας καὶ καλλίστας ἀνείλοντο· τῶν δὲ εἰς ὄψιν αὐτοῖς ἐλθόντων βαρβάρων, τοὺς μὲν ἀπολωλεκότες τοὺς δὲ, ἀπεληλακότες, τά τε μετέωρα τῆς χώρας ἔτι περινοστοῦσι. καὶ τὰς εἰσβολὰς τῶν πολεμίων φυλάττουσιν, ὥσπερ σκύλακες αὐλῆς προπηδήσαντες, ἔξω θηρίον οὐκ ἐναλεῖται τῇ ποίμνῃ. ἀλλ' ἡμεῖς αἰσχυνόμεθα τοὺς ἀριστέας, ἐν αὐτοῖς. τοῖς ὑπὲρ ἡμῶν ἱδρῶσι δακρύοντας. οἷα γὰρ καὶ γεγράφασι πρὸς ἡμᾶς, ἐγὼ μὲν οὐκ ἀπαθῶς ἀναγνωσομένων ἀκήκοα. ἀξιῶ δὲ μὴ δὲ σὲ τὴν ἱκετηρίαν αὐτῶν παριδεῖν· δέονται γὰρ διὰ σοῦ μὲν δι' ἡμῶν· βασιλέως δὲ διὰ σοῦ δέησιν, ἣν εἰκὸς ἡμᾶς ἦν, ἐκείνων σιωπώντων ποιήσασθαι, μὴ καταλεγῆναι τοὺς ἄνδρας ἀριθμοῖς ἐγχωρίοις· ἀχρεῖοι γὰρ ἂν ἑαυτοῖς τε καὶ ἡμῖν γένοιντο, τῶν βασιλικῶν δωρεῶν ἀφῃρημένοι, οἱ μήτε ἵππων ἕξουσι διαδοχὴν, μήτε ὅπλων παρασκευὴν, μήτε δαπάνην ἀγωνισταῖς ἀνδράσιν ἀρκοῦσαν.

At ſtudium diligentiaque plus poſſunt, quàm anni. Quamobrem velim tuam operam ei commodes etiam in cauſſis & iudiciis, ſi quę habet apud Anthemium, adferat aliquod adiumentum ei magnus Nicander.

Theophilo.

OLbiatis, qui ſunt paganus populus, Epiſcopum eligere fuit neceſſe, cùm ſanctiſſimus pater Athamas, vnà cum longa vita ſacerdotium finiſſet. Proinde me quoque acceſſierūt, vt in hoc tibi conſilio adeſſem. Et ſanè maximam ex hominū ſapiētia lætitiam cepi, quòd de multis & omnibus bonis, delectum facere vellent. Maiori verò mihi gaudio fuit Antonius, probitatis & pietatis ergò, quòd in bonis excellere videretur. In hunc enim omniū ſuffragia conferebantur. Cùm verò duo ſanctiſſimi Epiſcopi ad ſententiam multitudinis iudicium ſuum adiungerent, cum quibus fuerat educatus & inſtitutus, quorū alterius manu presbyter fuiſſet deſignatus, ne mihi quidē prorſus ignotus, Antonius fuit, ſed quęcunque eius prȩclarè dicta vel facta cognoueram, his ad eius laudem & commendationem vſus ſum, & cū his virtutibus atq; bonis, quæ per me ſciebam hominum rumore & fama cōiuncta, meū quoque ſuffragium ego in hominem contuli. Vtinam verò pro mea voluntate, ſocius ad ſimile ſacerdotium mihi contingat. Vnum igitur adhuc deſideratur, at præcipuum, manus tua videlicet ſacroſancta. Hoc Olbiatis opus eſt. Mihi verò precibus.

Anyſio.

NOn poſſunt ſimul conſiſtere lux & tenebræ. Sed lege naturæ tenentur. Cùm à tua Pompa reuerteremur, Andronicum deprehendimus.

Eidem.

NIhil vtilius Pentapoli accidere poteſt, quàm quòd boni fortéſque viri & milites Vngardæ, militibus omnibus anteferuntur, nō his ſolùm quos indigenas dicimus, verùm etiam, quicunque vnquam auxilij ferendi cauſſa in hæc loca venerunt. Nam hi vel minima pericula nunquam cōfidenter & fortiter adierūt. Illi verò iam bis terve cum mille viris amplius, ſoli quadraginta cum Deo, tuóque duce, manum conſerere nō dubitarunt, & victorias maximas pulcherrimáſque reportarunt. Barbaris verò quicunque in conſpectum ipſis venerunt, partim morte affectis, partim repulſis, extremas etiamnum regionis oras circumeunt, & incurſiones hoſtium arcent, non aliter quàm generoſi canes ante ſtabulum proſilientes, ne quæ beſtia in gregem impetum faciat. Sed nos, ſed nobis quaſi quendam pudorem & reuerētiam afferunt præſtantiſſimi ſtrenuique proceres, qui ſudore, propter ſalūtem noſtrā ſuſcepto lachrymātur. Nam quæ ſcripſerūt ad nos, ego quidē non ſine dolore de legētibus audiui. Rogo autem atque obſecro, ne tu quoque petitionem eorum aſperneris. Nam te per nos rogant, Regis autem per te petitionē, quam nos illis tacentibus ęquū erat adhibere, ne in indigenarū albo viri ſcriberentur. Etenim cùm ſibiipſis, tum etiā nobis eſſēt inutiles, ſi regiis muneribus priuarētur, cū neq; equorum ſucceſſionem poſſent habere, neque armorum inſtructū, neq; ſumptū pugnatoribus viris parem.

Ne

Neu ô cum ipſis Anteſignane cōmutas, vt himilites in deteriorem ordinem conditionémque cōncedant. Sed & hi maneant immoti à muneribus, & firmi in acie priſtina, quod fiet, ſi te referēte rex noſter benignisſimus cognorit, quātū Pentapoli commodum præſtiterint, & in tuis literis aliam petitionem noſtro nomine à rege flagites, vt viri centum & ſexaginta cum quadraginta præſentibus his, diuinis auſpiciis coniungantur, quis non affirmet dacētos Vngardas, animo manúque pares hiſce (quorum non minima laus eſt mâſuetudinis animi) tuo ductu ad Aſyrianum regi conficiēdum bellum ſuffecturos: Et quid opus eſt delectibus multis, quid annuo ſumptu, qui in noſtros excercitus impēditur. Manibus eſt opus in bello, non multis nominibus.

μὴ συζευχθῶσι μετ' αὐτῶν ἀριστῶν, μὴ περιελάσῃς τοὺς στρατιώτας εἰς ἀτιμοτέραν τάξιν χωρισθέντας. ἀλλ' ἤτοι τι μένοντες ἄσυλοι τῶν ταγμάτων ἐν βεβαίῳ τῷ προτέρῳ ἀξίας ὄντων εἶεν, εἰ διὰ τῆς σῆς ἀναφορᾶς ὁ φιλανθρωπότατος ἡμῶν βασιλεὺς μάθοι, πόσον ὄφελος ἐγένοντο τῇ Πενταπόλει, καὶ αἰτήσῃ βασιλέας ὑπὲρ ἡμῶν, ἐν τοῖς σαυτοῦ γράμμασι δεῖν ἑτέρων, ἄνδρας ἑκατὸν ἑξήκοντα τοῖς τετταράκοντα τούτοις προστεθῆναι μετὰ θεοῦ, τίς οὐκ ἂν ἀποφαίνοιτο διακοσίους Οὐννιγάρδας καὶ γνώμην καὶ χεῖρα τούτοις παραπλησίους· ὧν οὐχ ἥκιστα ἐπαινοῦμεν τὸ πρᾶον τῆς γνώμης, σοῦ στρατηγοῦντος, ἀρκέσειν εἰς τὸ διαπολεμηθῆναι βασιλεῖ τὸν Ἀσουριανῶν πόλεμον. καὶ τί δεῖ καταλόγων πολλῶν, καὶ τῆς φοιτώσης κατ' ἐνιαυτὸν δαπάνης, τοῖς ἐνθάδε στρατεύμασι. χειρῶν δεῖ τῷ πολέμῳ, καὶ οὐκ ὀνομάτων πολλῶν.

Anaſtaſio.

NVlla re ego presbyterū Euagriū adiuuare potui. Neq; enim quenquā alium ex his qui iniuriam patiūtur. Summā enim rerum apud nos Bertonicenſis Adronicus tenet, homo deſperatus & perditus, mente iuſta atque lingua nefaria prędictus, qui ſi me deſpiceret ſolum, nihil id quidē referret. Sed vt videtur, pudet etiam eum diuinū numē ſuis honoribus ornare. Is capite cœlum verberat. Equidem per ſacrum tuū & optatiſſimū caput, miſerabilē lugubrémque Pentapoli formā afflixit digitalibus & podoſtrabis inuentis & peregrinis quibuſdā inuſitatiſq; tormētis, nō contra iniurioſos. (Iam enim potiſſimum iniuriam inferendi licentia volentibus conceſſa eſt.) Sed cōtra eos qui pecunias contribuūt pro facultatibus, & alios qui quouis debito ſunt obſtricti. Solers enim & ingenioſus eſt homo ad inuemendum, Thoantiſque naturę materiam aptā & idoneam, quem ex ergaſtulo protractum, exigēdis militaribus pecuniis, quæ Tyronicæ vocantur, præfectū ordinauit, & curiales cum his coniunxit, ſempérque nouo aliquo malo vetus malum cumulatur, vt tributim & viritim flagra inferantur. Etenim ne diuites quidem ac opulenti, ſine verberibus diſcedūt. Sed dum ſeruus domum abit aurum allaturus, dominus iam cæſus eſt, & aliquot digitis examinatus. Cùm verò nihil eſt, quo ſe poſſit exhilarare, Maximus & Clinias ſunt in ſubſidiis. Per illos animum explet. Sed cùm eiuſmodi vir ſit, mihi videtur, peſſimorum dæmonum cura prouidentiáque ſeruari, qui laudari & fœlicē habere ſucceſſum, animas deteſtandas volunt, quibus inſtrumentis ad cōmunes miſerias & clades infligendas vtuntur. His igitur de cauſis gloriam ei noménq; cōparant, tanquā ſtrennuo & forti viro. Sed qui id poſſit eſſe, qui ſuperbos, nimium effert humiles deiicit, ſub quo nemo eſt mediocri & manſueto ingenio, qui non Caris loco ſit, & infamis: Soli verò potentia valent Zenas & Iulius Zenas qui anno præterito duplex tributum extorſit & confecit, qui minatur, ſe fratrem meum de falſo obita legatione in crimen vocaturum, & litem obtentutū. At hic illius voluntate potēs eſt. Iuli⁹ verò pollet ipſo inuito & lugēte, neq; in vllius perniciē fortior eſt, quā cōtra Andronicū. Nā cū bis terve ei inclamaſſet, & omnibus de curru cōuitiis proſcinderet minisq; omnes intēderet,

Ἀναστασίῳ.

ΟΥδὲν ἐγὼ γέγονα χρήσιμος Εὐαγρίῳ τῷ πρεσβυτέρῳ. οὐδὲ γὰρ οὐδ' ἑτέρῳ τινὶ, τῶν ἀδικουμένων. ἄρχει γὰρ παρ' ἡμῖν ὁ Βερρονικεὺς, Ἀνδρόνικος. ἀπονενοημένος ἄνθρωπος. παλαμναίαν ἔχων καὶ γνώμην καὶ γλῶτταν. ὃς εἰ μὲν ἐμοῦ καταφρονεῖ, πρᾶγμα οὐδέν. ἀλλ' αἰσχύνεσθαί μοι δοκεῖ καὶ τὰ θεῖα τιμῆσαι. ἔστι ἀράσσει τῇ κεφαλῇ τὸν οὐρανόν. νὴ τὴν ἱεράν σου καὶ ποθεινὴν κεφαλὴν, σχῆμα τῇ Πενταπόλει πένθιμον περιτέθεικε. δακτυλήθρας. καὶ ποδοστράβας ἐξευρὼν, καὶ ξένα ἄττα κολαστήρια κατ' οὐδενὸς τῶν ἀδικούντων. πάνυ γὰρ πρυτανεύεται τοῖς βουλομένοις ἀδικεῖν. κατὰ δὲ τῶν συντελούντων ὑπὲρ τῶν οὐσιῶν καὶ τῶν ἄλλων ὁτιοῦν ὀφειλόντων· δεινὸς γὰρ ἀνὴρ ὑποθέσεις ἐξευρίσκειν, τῇ τε ἑαυτοῦ καὶ τῇ Θόαντος φύσει πρεπούσας· ὃν ἐπὶ τῶν δεσμῶν ὄντα, ταῖς ἀπαιτήσεσιν ἔταξε τοῦ στρατιωτικοῦ χρυσίου τοῦ καλουμένου τυρωνικοῦ· καὶ συνῆψε τὰ αὐλαναῖα. καὶ ἀεί τι καινὸν ἐπὶ παλαιῷ κακῷ, ἐφ' ὃ κατὰ φυλὰς καὶ δήμους αἰκίζεσθαι. οὐ γὰρ ἔξεστιν οὐδὲ τοῖς ἔχουσι καὶ πλουτοῦσιν ἀμαστιγώτοις ἀναχωρῆσαι. ἀλλ' ἕως ὁ παῖς οἴκαδε βαδίζει τὸ χρυσίον οἴσων, ὁ δεσπότης ἤλγηται καὶ παρ' ἐνίους τῶν δακτύλων ἐγένετο. ὅταν δὲ περιφράσεως ὑπορῇ δυναμένης αὐτὸν ἱλάσαι, Μαξιμῖνος καὶ Κλεινίας ἔφεδροι. ἐν ἐκείνοις χαρίζεται τῷ πάθει. ἀλλά μοι δοκεῖ, τοιοῦτος ὢν πονηρῶν δαιμόνων προνοίας τυγχάνειν. οἳ βούλονται μὲν ἐπαινεῖσθαι καὶ εὐτυχεῖν τὰς παλαμναιοτάτας ψυχὰς, αἷς ὀργάνοις δύνανται χρῆσθαι, πρὸς τὰς κοινὰς συμφοράς· ἀπὸ τούτων οὖν περιδιάζουσιν αὐτῷ δόξαν ὡς ἀνδρὶ γενναίῳ. καίτοι πῶς εὔλογον ὅς τις ὑπερύψωσε τὸν ὑψηλὸν. καὶ τὸν ταπεινὸν ἐταπείνωσεν. ἐφ' οὗ πᾶς μὲν μέτριος καὶ πρᾶος τὸν τρόπον, ἐν Καρὸς μοίρᾳ καὶ ἄτιμος. δύνανται δὲ μόνοι Ζηνᾶς καὶ Ἰούλιος· Ζηνᾶς, ὁ πράξας πέρυσι τοὺς διπλοῦς φόρους· ὃς ἀπειλεῖ τὸν ἐμὸν ἀδελφὸν Ἀναστάσιον, διὰ ψευδοπρεσβείας καὶ διώξεσθαι. καὶ αἱρήσειν. ἔστι μέντοι, ἑκόντος αὐτοῦ δύναται. Ἰούλιος δὲ ἄκοντός τε καὶ κλαίοντος. καὶ κατ' οὐδενὸς οὕτως. ὡς κατ' Ἀνδρονίκου γέγονεν ἰσχυρότερος. ἐγκεκραγὼς γὰρ αὐτῷ δίς που καὶ τρὶς καὶ τοῖς ἐξ ἁμάξης λοιδορησάμενος, καὶ πάντα εἰπ' ἀναπεπτάμενος,

ἅπερ ἂν εἰρῆσθαι καὶ παρ' ἐμοῦ τοῦ παντὸς ἂν ἐτιμησάμην, ἀπέδειξε τὸ κάθαρμα μῦν αὐτὶ λέοντος. καὶ ἐξ ἐκείνου χρῆται καθάπερ ἀνδραπόδῳ, παρ' ὅσον ἀδεῶς οὐδὲ ἐν ταῖς γωνίαις ὑποψιθυρίζειν κατὰ τοῦ δεσπότου τολμᾷ. τοῦτο δὲ δήπουθεν ἔξεστι τοῖς οἰκέταις ποιεῖν. Ἀνδρόνικος δὲ, οὐδὲ τοῦτο. τὸ γὰρ ἀλόγιστον ἀνδρεῖον μὲν οὐδαμοῦ· παρὰ δὲ τοὺς καιροὺς, δειλόν τε καὶ θρασὺ γίνεται. τουτέστιν ἁπανταχοῦ πονηρόν. ὁ θαυμάσιος Ἥρων, ἀξίως αὐτοῦ πρὸς ὑμᾶς ἐρεῖ τὰ περὶ αὐτοῦ, εἴγε δὴ διαγένηται. ἐνδέδοται γὰρ οὕτως ὑπ' αὐτοῦ τοῦ συνεῖναι τῇ μοχθηρίᾳ τοῦ ἀνθρώπου. καὶ καθ' ἡμέραν ἀπορρήγνυσθαι. καὶ οἷς ἀκούει, καὶ οἷς πάσχει, ὡς καὶ μόλις ἐλευθερωθεὶς τῆς θανατηφόρου συνουσίας, δύσελπίς ἐστι τὴν ἑαυτοῦ ζωὴν ἀπολήψεσθαι. καὶ οὔπω τότε Θόας ἀπὸ τῆς ἐνδοξοτάτης ἀποδημίας παρῆν. νυνὶ γὰρ οὗτός ἐστιν ὁ πᾶσιν αὐτοῖς τοῖς εὐγενέσιν ἐπιτειχίσας δεκέλειαν, ὁ τὸ ἀπόρρητον τῶν ὑπάρχων διακομίσας ἐνύπνιον· ὃ βούλεται μὲν τῶν ἐνθένδε τεθνάναι τινάς. βούλεται δὲ δεδέσθαι τινάς. καὶ δέδενται παρ' ἡμῖν ἄνθρωποι, διὰ τὸ ἐνύπνιον τὸ ἀπόρρητον. οἱ δὲ, ἀπ' οὐδεμιᾶς φαινομένης αἰτίας ἀποθνήσκουσι. καὶ γὰρ εἰ μηδέπω τεθνήκασιν, ἀλλ' αὐτίκα γε τεθνήξονται. τὸ μὲν γὰρ ἐπὶ ταῖς μάστιξιν, ἀπολώλασι. τὸ δὲ ἐπὶ τῇ τῶν σωμάτων ἰσχύϊ, ζῶσιν ἔτι μέχρι ταύτης τῆς ἡμέρας, ἐν ᾗ πέμπω τὰ γράμματα. ἀλλ' οὐχ ὑγιανεῖ φησὶν ὁ μέγας Ἀνθέμιος. οὐδὲ παύσεται πυρέττων ὁ Ῥωμαίων ὕπαρχος, εἰ μὴ Μαξιμῖνος καὶ Κλεινίας ἀπόλωνται. ταῦτα Θόας ἠσυχῆ θρυλλεῖ. διὰ τοῦτο· οὐδὲ εἰς φέροντος ἀνέχεται Μαξιμίνου. ἀλλ' ἀναστοβεῖ πάντας ὁ Ἀνδρόνικος, τοὺς ὠνημένους τὰ Λευκίππου· πρόκειται γὰρ οὐ τὸ πληρωθῆναι τὰ δημόσια ἀλλὰ τοὺς ὑπάρχους ὑγιαίνειν. οἵ τινες εἰσκληθέντος, οἴκοι Θόαντος μόνου, τοῦ σοφιστοῦ φησὶ μόνου παρόντος, ἐξενηνόχασι πρὸς αὐτὸν τὸ ἐνύπνιον· καὶ οἱ λιμένες ἐκλείσθησαν ὅσα γε δὴ Θόας ὄμνυσιν, ἕως αὐτὸς ἐκπλεύσας φθάσῃ, καὶ πρὸς Ἀνδρόνικον ἐξενέγκῃ τὸ ἀπόρρητον ἵνα μὴ λάθῃ τις διαδρὰς τῶν ἀξίων ἀντὶ τῆς Ἀνθεμίου τεθνάναι ψυχῆς, εἶτα ἀφ' ὧν ἕτερος ὄναρ ὁρᾷ, μᾶλλον δὲ ἰδεῖν λέγεται Πεντάπολις ὕπαρ πέπραγε πονηρῶς. Ἀνδρόνικος γὰρ ὃς τὰ τοιαῦτα πιστευθεὶς καὶ εὐεργέτης τῆς εὐτυχοῦς τῶν ὑπάρχων οἰκίας ἐσόμενος, μαίνεται ἐκπάγλως πεπωκὼς Θόαντι. οὐδέ τι οἶδε πέρα ἀνέρας. κρατερὴ δέ ἑ λύσσα δέδυκεν. ἐν τούτοις τῇ πατρίδι τῶν πραγμάτων ὄντων, οὐκ ἐδεήθην Εὐαγρίου μάντεως εἰς προαγόρευσιν τοῦ πονηρῶς ἀπαλλάξειν εἰς τὸ δικαστήριον ἀπελθόντι. ἀλλ' αὐτὸς Ἀνδρόνικος ἄντικρυς, οὐ πρὸς τοῦτον οὐδὲ πρὸς ἐκεῖνον, ἀλλὰ πρὸς αὐτὸν Εὐάγριον ἐξήγγειλε τὴν γνώμην τὴν ἑαυτοῦ· καὶ ἔχεσθαι τῆς λειτουργίας ἐθελοντὴν ἐκέλευσεν, ἐὰν σωφρονῇ· πάντως γὰρ ἀποφανεῖται τὴν καταδικάζουσαν. ἀπολελόγημαι δὴ καὶ θεῷ καὶ τῷ θείῳ Διοσκουρίδῃ. καὶ πᾶσιν ἀνθρώποις, ὡς ἔγωγε ἀτιμότερος ἐξ ἐντιμοτέρου γέγονα, τά γε ἀνθρώπινα. ἀσθενέστερος δὲ ἐξ ἰσχυροτέρου. καὶ Ἀνδρόνικος ἀπόντων μὲν ἡμῶν, τὴν δύναμιν ἐθεράπευσε, δι' ἣν οὐ γέγονε δὶς ἀπ' Ἀλεξανδρείας ἐγκλήμασι· παρόντι δὲ, οὕτω χρῆται, νὴ τὴν ἱερὰν ὑμῶν κεφαλὴν, ὡς εἴ τι δή μοι συνέπεσεν ἀποβαλεῖν τὸ παιδίον τὸ φίλτατον, κἂν ἐξήγαγον ἐμαυτὸν κρατηθεὶς ὑπὸ τῆς

(quæ ego à me dicta fuiſſe maximè vellem:) repente lutum illud pro leone murem oſtendit. Et ex eo quaſi mancipium eum habet, quoniam ſecurè neq; in angulis obmurmurari contra dominum audet. Hoc autem facere licet ſeruis. Andronicus autem ne hoc quidem audet. Nunquam enim in temeritatem & amentiam cadere fortitudo poteſt. Sed prout tempus offertur, nunc timida, nunc audax efficitur, hoc eſt, ſemper & omnibus in locis praua. Exponet vobis totam eius naturam, mores & facta, vt ipſo dignũ eſt. Egregius Hero, ſi ſuperſtes fuerit. Sic enim eſt ab illo affectus, quòd ſemper hominis peruerſitati præſto eſt, & quotidie frangitur cùm his quæ audit tum illis, quæ perfert ac tolerat, periculis, vt difficilis ſpes ſit, cum vix aliquando liberatum mortifera conſuetudine, ſuam ipſius vitam eſſe recuperaturum. Nondum etiam tũc à præclara profectione Thoas aderat. Hic enim nunc eũ omnibus nobilibus quaſi Deceliã muniuit, hic indignum illud principum inſomniũ aduexit, quo cõſtitutum eſt, vt hic alij vitam amittãt alij in vincula tradantur. Et vincti ſunt apud nos homines propter nefandum illud inſomniũ: alij verò nullo quidem aperto fato de medio recedũt. Etſi qui nondũ mortui ſunt, at ſtatim morientur. Partim enim flagrorum & virgarũ dolore expirarũt, partim ob corporis robur in hũc vſq; diẽ viuunt, quo literas mitto. Sed non cõualeſcet inquit, Magnus Anthemius, neq; febri leuabitur Romanorũ præfectus, niſi Maximinus & Clinias perierint. Hæc Thoas tacitè aperit & prodit. Propterea Maximinũ ne tributum quidẽ pẽdentẽ admittit, ſed omnes repellit Andronicus, Leucippi bonorũ emptores. Nõ enim propoſitũ eſt vt ærariũ impleatur, ſed vt principes valeãt, qui intro vocato, domi Thoãte ſolo, ſophiſta inquit ſolo præſente inſomniũ ei retulerũt. Et portus clauſi ſunt quẽadmodũ Thoas iurat, donec ipſe primũ enauigaret & Andronico ſecretũ enunciaret, ne quis clã effugeret ex his, qui pro Anthemij animã mortẽ obire deberẽt. Ita quòd alius inſomniũ vidit, immò vidiſſe dicitur, ex eo reipſa Pẽtapolis in calamitatẽ & ærũnas adducitur. Andronicus enim, cui ſũt hæc credita, vt fortunatã principũ familiam benefactis demereatur, morẽ Thoãti gerẽs, terribili quadã amentia furit atq; bacchatur. *οὐδέ τι οἶδεν πέρα ἀνέρας, κρατερὴ δέ ἑ λύσσα δέδυκεν.* Cũ in hoc rerũ ſtatu patria verſaretur, nõ opus habuit Euagrius vate, qui prædiceret, eũ ſi in iudiciũ veniſſet, malè diſceſſurũ: ſed Andronicus ipſe palã, nõ huic & illi, ſed ipſi Euagrio, quã eſſet ſententiã pronũciaturus expoſuit, quare ſi ſaperet, ſponte munus obire iuſſit. Nã ſibi certũ eſſe cõdemnare. Deo purgatus ſum & diuino Dioſcuridæ, cunctiſq; mortalibus, quòd, quantũ ad humanã ſortem pertinet, inhonoratior ex honorato ſum factus, imbecillior è robuſtiore. Et Andronicus nobis abſentibus, potentiam comparauit, qua fretus bis Alexandriæ iudicium effugit. Præſentem verò ſic tractat, per ſanctum tuum caput iuro, vt poſteaquam chariſſimum mihi filium ereptum video, mortem ipſe mihi conſciſcere nõ dubitaſſem.

Scis

Scis enim hac in re plus æquo me mulierem eſſe. Nunc verò non ratione cupiditatem animi refrenaui, ſed Andronicus auocauit, & perfecit vt publicis calamitatibus adhiberem. Sic in miſeriis mihi conſolationis loco miſeriæ ſunt dum ad ſeſe retrahunt, & vna perturbatio alteram expellit, permiſtus ira mœror, mœrorem ex filij morte contractum. Scis me præuidiſſe mortem ad conſtitutam anni diem, eáque fuit, qua ſacerdotium iniui. Senſi cõmutationem vitæ, qui cùm hactenus proſperis rebus omnibus eam egerim, & cùm honore mortalium, tum ſummo præterea mentis gaudio omnes qui vnquam philoſophiæ ſe ſtudio dediderunt, excelluerim, non minus forinſecus, quàm in ipſa mẽtis intrinſeca conſtitutione, nunc in vniuerſum omnibus me ſpoliatum & exutum ſentio. In omnibus verò malis hoc longè grauiſſimum eſt, quod vniuerſam ſpem vitæ meliorem adimit & aufert, cùm in ſupplicationibus meis apud Deum repulſam ferre non ſim ſolitus, nunc primùm me fruſtrà preces ad eum fundere animaduerto, qui ſummũ in familia malum video, patriam verò redactam in ſtatum deterrimum habitare cogor. Et quibuſuis obuius, vt querelas apud me proferant, & vnà ſuum caſum ſinguli deplorent, additamentum habui Andronicum, & perfectionem malorum, à quo ne momentum quidem otio ſolito mihi frui conceditur. ſed oportet me, quamuis nemini poſſim auxilium præſtare, tamen vt omnes ad me adeant, & imbecillitatem noſtram coarguant, pati. Ad hanc rem opus habeo, prorſus inquam opus habeo vobis vtriſque, inprimis verò tuo mihi chariſſimo capite, frater Anaſtaſi. (Nam tu nomen habes vti amentiam hominis furioſi compeſcere ac refrænare poſſis) ſi quam potentiam aut vires habes. Etenim iuſtius has ad Syneſij quàm Andronici defenſionem applicabis. Libera contumeliis & mœrore Ptolemaidem, eam ciuitatem, quæ me Epiſcopum eſt ſortita, non equidem me volente, quod nouit is oculus, qui intuetur ac videt omnia. Neſcio pro quo ſcelere tam crudele ſuppliciũ exoluam. Quòd ſi cui vt aiunt, deorum offenſi prius fuimus, ſatis equidem ſumus puniti. Sed hæc vox optimè quadraret in Maximinum & Cliniam, quorum calamitas, vt ego iudico, quemuis crudeliſsimum etiam dæmonem in miſerationem impelleret: exceptis tamen è numero Thoante & Andronico, qui ſoli dæmonum ſunt implacabiles.

Theophilo.

EGo quidem paratus eram manibus animóque patrium tuum mandatum exequi, ſed non opinor melius de augendis priuatis cõmodis Ampelius conſuluiſſet, quàm Nicæus, vt ſuis priuaretur. Nec enim quamobrem anteà diſceſſerit, ſatis ſcio, neq; quamobrem redierit, neque quamobrem rurſus peregrinationem ſuſceperit. Quî enim poſſem, quẽ ne videram quidem, neque certum aliquid de ipſo fuerat nunciatũ, ſed epiſtolam ſanctæ tuæ manus alius quidam attulit, & repetiuit, quòd iam Nicæus eſſet è portu ſoluturus. Atque ego ipſum non vidi. At prætor vidit aut audiuit. Sed ne hoc quidẽ verũ eſt. Quomodo igitur Nicæus iudicio poteſt vincere, cùm extorris ruri vitã degat? At horũ loco multis aliis & bonis, quæ tempeſtates agricolis ferunt, fruitur. Eſſent autem copioſiora, ſi maternam etiã hæreditatem obtinuiſſent.

πάθους. οἶδα γὰρ ὅτι θῆλυς εἰμὶ περὶ τοῦτο πέρα τοῦ δέοντος. νῦν δὲ οὐ λογισμοῖς τὰ πάθη μὲν ἐκράτησα. ἀλλ' Ἀνδρόνικος ἀντιπεριέσπασε. καὶ πρὸς τὰς κοινὰς συμφορὰς τὸν νοῦν ἔχειν ἐποίησε. καὶ γεγόνασί μοι συμφοραὶ παραμυθίαι τῶν συμφορῶν, πρὸς ἑαυτὰς ἑλκουσαι. καὶ πάθη πάθος ἐκκρούουσαι, ὀργὴ συμμιγὴς λύπῃ τὴν ἐπὶ τῷ παιδίῳ λύπην. οἶδα ὅτι μοι μαντευτὸς ἦν θάνατος εἰς κυρίαν τοῦ ἔτους ἡμέραν. καὶ γέγονεν ἐκείνη καθ' ἣν ἱερασάμην. ᾐσθόμην μεταβολῆς βίου. ὃς ἄχρι νῦν ἐμπανηγυρίσας αὐτῷ. καὶ τιμῆς ἀνθρωπίνης καὶ πάσης γλυκυθυμίας παρ' ὅ τι νῦν τῶν πώποτε πεφιλοσοφηκότων ἀπολελαυκὼς οὐχ ἧττον διὰ τὰ θύραθεν, ἢ διὰ τὴν παρασκευὴν τῆς ψυχῆς, ἅμα πάντων ἀφῃρημένος αἰσθάνομαι. τὸ μὲν οὖν μέγιστον τῶν κακῶν ὅ μοι καὶ δύσελπιν τὸν βίον ποιεῖ, οὐκ εἰωθὼς ἀποτυγχάνειν ἐν ἱκετείαις θεοῦ, νῦν πρῶτον οἶδα μάτην εὐξάμενος. ὃς τὸ μὲν οἴκοι, κακῶς ἐμοῦ περιήψατο. τὴν δὲ πατρίδα δυστυχοῦσαν οἰκεῖν ἀναγκάζομαι. καὶ πᾶσιν ἐγκείμενος ὁρῶ προσιόντας κλαίεσθαι. καὶ καθ' ἕκαστον ὀλοφύρεσθαι, προσθήκην ἔχειν Ἀνδρόνικον τὸν κολοφῶνα τῶν κακῶν. δι' ὃν οὐδὲ ἀκαρῆ καρποῦμαι τὴν σύντροφόν μοι σχολήν. ἀλλ' ἐμὲ δεῖ μηδὲν ὄφελος ὄντα μηδενί, πάντων προσιόντων, καὶ τὴν ἀσθένειαν ἐμὴν ἐλεγχόντων, ἀνέχεσθαι. πρὸς ταῦτα δέομαι. πάνυ σφόδρα δέομαι ἀμφοῖν μὲν ὑμῶν, διαφερόντως δὲ σοῦ τῆς φίλης μοι κεφαλῆς, ἀδελφὲ Ἀναστάσιε, σὺ γὰρ δὴ φήμην ἔχεις προστατεῖν ἀνδρὸς λυσσῶντος, εἴ τίς σοι δύναμις πάρεστιν ὑπὲρ συνιστᾶν γὰρ μέλλεις ἢ ὑπὲρ Ἀνδρονίκου δικαιότερος ἂν εἴης αὐτῇ χρώμενος, ἀπάλλαξον κατηφείας Πτολεμαΐδα τὴν λογχεύσασάν με πόλιν. οὐκ ἐμοῦ γ' ἐθέλοντος. οἶδεν ὁ πάντα ὁρῶν ὀφθαλμὸς τοῦ θεοῦ. οὐκ οἶδα ὑπὲρ τίνων ἐκτίνω τοσαύτας δίκας. καὶ εἴπερ φασὶ θεοῖς ἐπιμήνιοι περιέπεσον ἡμεῖς, ἀποχρώντως τετιμωρήμεθα. ἀλλὰ ταύτην τὴν φωνὴν ἄξιον εἰπεῖν καὶ ὑπὲρ Μαξιμίνου καὶ ὑπὲρ Κλινίου, οὓς ἐμοὶ δοκεῖν ἂν καὶ ὅστις ὠμότατος δαιμόνων ἠλέησεν. ἐξηρήσθων δὲ τοῦ λόγου Θόας τε καὶ Ἀνδρόνικος, οἱ μόνοι δαιμόνων ἀμείλικτοι.

Θεοφίλῳ.

ΕΓὼ μὲν οἷος ἦν τὸ πατρικόν σου πρόσταγμα καὶ χερσὶ καὶ γνώμῃ ὑπηρέτην εἰσενεγκεῖν. ἀλλ' οὐκ ἂν οἶμαι κάλλιον Ἀμπέλιος ἐσκέψατο περὶ τῶν ἑαυτοῦ λυσιτελούντων, ἢ Νικαῖος ὑπὲρ τοῦ πῶς ἀλλοτριωθείη τῶν ἑαυτοῦ. οὔτε γὰρ ἐφ' οἷς πρότερον ἀπῆρεν οἶδα καλῶς, οὔτ' ἐπὶ τίσιν ἐπανῆλθεν, οὔτ' ἐπὶ τίσιν αὖθις ἀποδημεῖ. πῶς γὰρ ὃν οὐκ εἶδον. οὔτε περὶ αὐτοῦ τι σαφὲς ἀπηγγέλλετο. ἀλλὰ τὴν ἐπιστολὴν τῆς ἱερᾶς σου χειρὸς ἕτερός τις ἐκόμισε. καὶ ταύτην ἀπῄτησεν, ὡς ἤδη Νικαίου λύσαντος τὸ πρυμνήσιον. καὶ ἐγὼ μὲν οὐκ εἶδον αὐτόν. ὁ δ' ἡγεμὼν εἶδεν. ἢ ἤκουσεν. ἀλλὰ κἀκεῖνος οὔτ' εἶδεν οὔτ' ἤκουσε. πῶς οὖν ἔστι Νικαῖον νικᾶν ὑπόδικον ἀγρῷ διατριβόμενον. ἀλλ' ἀντὶ τούτου πολλὰ κἀγαθὰ καὶ ὅσα φέρουσιν ὧραι τοῖς γεωργοῖς ἔχοντα. πλείω δ' ἂν ἦν, εἰ καὶ τῶν μητρῴων ἐκράτησεν.

Τῇ φιλοσόφῳ.

Εἰ καὶ μὴ πάντα ὁ δαίμων ἀφελέσθαι με δύναται, ἀλλὰ βούλεται ὅσα γε δύναται, ὅς μ' υἱῶν πολλῶν τε καὶ ἐσθλῶν εὖνιν ἔθηκεν. ἀλλὰ τό γε προαιρεῖσθαι τὰ βέλτιστα καὶ τίθεσθαι τοῖς ἀδικουμένοις, οὐκ ἀφαιρήσεται. μὴ γὰρ δὴ καὶ τὴν γνώμης ἡμῶν καταχύσει. μισῶ μὲν οὖν ἀδικίαν. ἔξεστι γάρ. κωλύειν δὲ βουλοίμην μὲν, ἀλλὰ καὶ τοῦτο τῶν ἀφαιρεθέντων ἐστί. καὶ οἴχεται καὶ τοῦτο πρὸ τῶν παιδίων. πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι. ἦν ὅτε κἀγὼ φίλοις ὄφελος ἦν. καὶ σύ με ἐκάλεις ἀλλότριον ἀγαθὸν εἰς ἐπιτηδείους δαπανῶντα, τὴν παρὰ τῶν μέγα δυναμένων αἰδῶ. καὶ ἦσαν ἐκεῖνοι χεῖρες ἐμοί. νυνὶ δὲ ἁπάντων ἔρημος ὑπολείπομαι, πλὴν εἴ τι σὺ δύνῃ. καὶ γὰρ δὴ καὶ σὲ μετὰ τῆς ἀρετῆς, ἀγαθὸν ἄσυλον ἀριθμοῦμαι. σὺ μὲν οὖν ἀεὶ καὶ δύνῃ καὶ δύναιο κάλλιστα χρωμένη τῷ δύνασθαι. Νικαῖος δὲ καὶ Φιλόλαος, οἱ καλοὶ κἀγαθοὶ νεανίαι καὶ συγγενεῖς, ὅπως ἐπανέλθοιεν τῶν ἰδίων γενόμενοι κύριοι, πᾶσι μελέτω τοῖς τὰ σὰ τιμῶσι καὶ ἰδιώταις καὶ ἄρχουσι.

Τῷ ἀδελφῷ.

Τίνα μέν τοι τίνα παρὰ τὴν, οἷος αὐτός, προσήκει θαυμάζεσθαι, τὸν σώφρονα, τὸν ἐμμελῆ, τὸν παιδείας ἑταῖρον, τὸν προσανέχοντα θεῷ καθαρῶς; τὸν, οἷός ἐστι Γερόντιος. ἔχεις οὖν τὸν ἄνδρα μετὰ τῆς ἐπιστολῆς. ᾧ χρησάμενος, ἐρεῖς οὐ φαῦλον ἐπαινέτην ἐμέ.

Χρύσῃ.

Οὐχ ὅτι μοι τῶν παιδίων συγγενής ἐστιν ὁ θαυμαστὸς Γερόντιος, συνίστημι τὸν νεανίσκον τῇ φιλίᾳ τῇ σῇ. καὶ τοῦτο μὲν γάρ. ἀλλ' ὅτι πρέπει ἐστὶ τοῦ χρυσοῦ Χρύσου τοῖς τρόποις, εἰ δεῖ μάτι καὶ ψυχρὸν εἰπεῖν καὶ Γοργίειον. πάντως μέν τοι μᾶλλόν ἐστιν ἀληθὲς εἰπεῖν σε εἶναι ἁπάσης ἀρετῆς εἶναι, καὶ τὸν διδόντα σοι τὴν ἐπιστολὴν, ἀξιώτατον ἀπολαύειν σου τῆς συνουσίας.

Τῷ ἀδελφῷ.

Μῆκος ἐπιστολῆς ἀνοητότητα κατηγορεῖ τοῦ διακομίζοντος. ἀλλ' ὁ θαυμαστὸς Γερόντιος, οἶδε μὲν ὅσα κἀγώ. εἰ δὲ μὴ πρὸς τὸ ψεῦδος ἀνοικείως εἶχε, διηγήσατο ἂν καὶ ὧν ἠπίστατο πλεῖστα, τῷ φιλεῖν ἐμέ. καὶ τὴν γλῶτταν ἔχει ἀρκοῦσαν τῇ γνώμῃ. ὃν ἂν ἴδῃς ἡδέως εἴδεις ὡς ἐγὼ βούλομαι.

Τῷ αὐτῷ.

Δέδεξο μετὰ τῆς ἐμψύχου καὶ τὴν ἄψυχον ἐπιστολὴν, μετὰ τοῦ θαυμαστοῦ Γεροντίου, ταῦτα τὰ γράμματα, νόμῳ τὸ πλέον ἢ τῇ χρείᾳ τοῦ προσειπεῖν σε γενόμενα. ὅτι γὰρ ἡμεῖς συζῶμεν τῇ περὶ σὲ μνήμῃ, μυρίων ἐπιστολῶν μᾶλλον ἐρεῖ μεγαλοφωνότερον ὁ νεανίσκος διηγήσαιτο.

Τῷ αὐτῷ.

Ἐπιστολὴν ἐπέθηκα τῷ θαυμαστῷ Γεροντίῳ πρὸς τὴν ἱερὰν σου καὶ περιπόθητον κεφαλὴν, τῆς πρὸς σὲ ἐντεύξεως παρέξουσαν πρόφασιν. τότε μὲν γὰρ αὐτὸν ἴσως δι' ἐμὲ τιμήσεις. μετὰ δὲ τὴν πεῖραν, ἕτερόν τινα δι' αὐτόν.

Philoſophæ.

ETiamſi non omnibus rebus me ſpoliare fortuna poteſt at vult tamen quantum poteſt, quæ me filiis multis & præclaris orbauit: verùm optima ſequi, & iniuria oppreſſis opem ferre, non mihi eripiet. Abſit enim, vt animũ noſtrum etiã ſuperet ac vincat. Iniuriam igitur odio proſequor. Nam licet. Optarim etiam arcere atque comprimere. Sed hoc ereptum eſt, & ante liberos abiit. Olim erant fortes Mileſij. Memini, cùm ego quoque poſſem emolumentum amicis adferre, túque me vocares, vt alienum etiam commodum aliis præſtarem, nempe reuerentiam erga me potentium & nobiliorum virorum. Illi mihi manus erant. Nunc verò deſtitutus ab omnibus relinquor, niſi tu quid opis adferre potes. Nam te quoque cum virtute, perfugium tutiſſimum cenſeo. Tu igitur ſemper & potes & poſſis, quoniam rectiſſime potentia vteris. Nicæus & Philolaus, honeſti bonique iuuenes & cognati, vt reſtituantur in ſuas facultates & poſſeſſiones, omnibus qui te colunt & priuatis & magiſtratibus curæ ſit.

Fratri.

QVem verò, quem tandem ab iis qualis tu es dignum admiratione iudicari æquũ eſt, modeſtum, mitem, amatorem diſciplinarum dependẽtem ex Deo prorſus. Eiuſmodi opinor, qualis eſt Gerontius. Habes igitur virũ cum literis, quo cùm fueris vſus, dices meam commendationem non fuiſſe inanem aut vanam.

Chryſæ.

NOn quoniam proximè liberos, attingit cognatione præſtabilis Gerontius, ob eam cauſſam adoleſcentem amicitiæ tuæ commendo. Nam hoc etiam ſic eſt. Sed quod aurei Chryſi moribus & ingenio conuenit: vt dicam aliquid frigidum & inane. Verùm ita magis oportebat dicere, te omnium omnibus virtutum præſidiis eſſe, & eum qui tibi reddit epiſtolam, digniſſimum, qui tua conſuetudine fruatur.

Fratri.

EPiſtolæ longitudo, inſulſitatem eius qui perfert, arguit. Verùm præſtabilis Gerõtius, omnia nouit, quæ ego. Quòd ſi non eſſet ad mentiendum parum aptus, commemoraret etiam plura, quàm ſciret, tum quòd me vehementer amat, tum quòd linguam habet animi ſenſis non inferiorem, quem ſi videris, libenter vidiſti quantùm ego volo.

Eidem.

ACcepiſti cum animata inanimem epiſtolam, cum præclaro Gerontio, haſce literas, conſuetudine magis quàm alloquendi neceſſitate factas. Nos enim perpetuam in vita tui memoriam obtinere, innumerabilibus epiſtolis longè vocalius & expeditius adoleſcens ipſe narrabit.

Eidem.

EPiſtolam dedi præclaro Gerontio ad tuum, ſacrum & optatiſſimum caput, quæ primi tecum commertij occaſionem ei præbeat. Tunc enim forſitan mei cauſſa, eum honorificè tractabis. Poſtquã verò exploraueris eum, etiam alium quempiam ipſius cauſſa.

Eidem.

Eidem.

CVi literas commiſi, quæſtor eſt & frumentator Dalmatarum legionis. Omnes autem ego Dalmatas, non aliter quam filios colo. Populus enim ſunt eius ciuitatis, quæ me ſortita eſt. Solum hæc tibi ſignificare volui. Tuarum vero partium eſt, eum qui in meis ſit, quaſi tuum tractare.

Pylæmeni.

CVm Veternas è Thracia literas accepiſſem, quæſiui in faſciculo ſchedarum, ſi quæ celebre & inſigne Pylæmenis nomen inſcriptum haberent, quaſi non eſſet æquum aut dignum prius aliam inſpicere atque legere. Sed nullibi quicquam erat. Si igitur abeas peregrè, ſtatim, ſaluúſq; rebus omnibus reuertaris. Sin domi fuiſti, cùm omnes noti Zoſimo literas traderent, hoc nimirum illud eſt abſurdum & incredibile, quod quiſquam eſt inuentus, qui noſtri nominis magis eſſet memor quàm Palæmon.

Fratri.

HActenus quidem propitiam fortunam habuimus. Pôſt quaſi procellis ex aduerſo impetentibus, communem priuatámque rem iuxta turbat. Vitam enim non priuatam ago in regione, quæ bello petitur, méque ſemper vniuſcuiuſque calamitatem oportet lugere, & ſingulis menſibus ſæpius in muros proſilire, ad pugnam obeūdam, mercede conductum, non ad preces fundendas. De tribus filiis maſculis, vnus adhuc mihi reliquus eſt. Tu modò ſi ventis ſecundis nauigas, & ſuauiter viuis, non prorſus nobis aduerſa eſt fortuna.

Theophilo.

IVs de medio ſublatum eſt. Andronicus iniuriā & antea fecit & nunc patitur. Eccleſiæ talis eſt natura, vt humilem exaltet, & humiliet altum. Hunc Andronicum ob ſua facinora odio habebat. Proinde in hanc conditionem eum cōiecit. Nunc autem miſericordia eius tangitur, ob illa quæ cum his penes quos deuotionis eſt poteſtas, benignè locutus eſt, quod etiam eorum animos, qui nunc ſunt in imperio, læſeramus. Sed certè graue eſt, ſi nunquam in fortunatis ponemur, ſed cum lugentibus ſemper fletus ac gemitus edere. Nos igitur hic triſti gradu eū exemimus, & quod ad alia pertinet, multum ei de calamitate detraximus. Quòd ſi tua quoque pietas cum cura dignabitur, hoc ego pro maximo ſigno putabo, non omninò deſperatam apud Deum eſſe hominis ſalutem.

Troilo.

ANtea ſolebam de rebus otioſioribus & minoris difficultatis amicos interpellare, tum præſens, tum per literas. Viuebam enim in libris, immunis quodāmodo & liber à functionibus, omnis ciuitatis atq; Reipublicę. Nunc autē, cōſtituit enim me Deus in certo loco, vt aliquā in vrbe dignitatē tenerem, neque in promiſcua multitudine viuerem, velim vtilitati ac bono eſſe, his quibus præfectus ſum, & cum priuatim de ſingulis, tu de omnib. publicè, pro viribus benemererer, vt & videā & videat libēter ab his qui vt ita dicam in eadem vitæ naui vehūtur. Si quid igitur emolumentò fuerint Martyrio literæ, ipſius nomine ſcriptæ, ſcito te mihi rē gratā eſſe facturum, qui totos diès mecū tranſigit, & per philoſophiam meas tuaſq; ſimul delicias, perſæpe etiam, vt vnà mecū ſit, bonā noctis partē adiungit.

Τῷ αὐτῷ.

ΩΙ δέδωκα τὴν ἐπιστολὴν, ταμίας ἐστὶ καὶ σιτοδότης τῶν δαλματῶν ταγμάτων. πάντας δὲ ἐγὼ τοὺς δαλμάτας, ἴσα καὶ τοὺς υἱέας τιμῶ. δῆμος γάρ εἰσι τῆς λαχούσης με πόλεως. μόνα τὸ ταῦτα μηνῦσαι πρὸς σέ. σὸν δὲ ἐν τοῖς ἐμοῖς ὡς σαυτοῦ χρήσασθαι.

Πυλαιμένει.

ΗΡινὰς ἀπὸ θρᾴκης ἐπιστολὰς κομισάμενος, ἠνώχλησα τὸν φάκελον τῶν γραμμάτων. εἴπη τις εἴη τὸ κλεινὸν ἐπιγεγραμμένη Πυλαιμένους ὄνομα. ὡς οὐκ ἀξιῶν ἑτέρῳ βιβλίῳ προσεντυχεῖν. ἀλλ' ἦν οὐδὲν οὐδαμοῦ. εἰ μὲν οὖν τι ἦγες ἀποδημῶν, ἀλλ' ἐπανέλθοις ταχέως τε καὶ καλῶς. εἰ δὲ ἐπιδήμεις ἡνίκα πάντες οἱ γνώριμοι Ζωσίμῳ τὰς ἐπιστολὰς ἐπεδίδοσαν, τοῦτ' ἂν εἴη τὸ παράδοξον, εἴ τις ἐγένετο περὶ ἐμὲ Πυλαιμένους μνημονικώτερος.

Τῷ ἀδελφῷ.

ΤΈως μὲν ἐσεσώσμεθα δι' εὐδίας ἄνεμος(?) ῥεύματι αἰθρίας κατευθυντος καὶ τὰ κοινὰ λυπεῖ, καὶ τὰ ἴδια. ζῶ τε γὰρ οὐκ ἰδιώτης ἐν χώρᾳ πολεμουμένῃ. καί με δεῖ κλάειν ἀεὶ τὴν ἑκάστου συμφοράν. καὶ τοῦ μηνὸς πολλάκις ἐπὶ τὰς ἐπάλξεις πηδᾶν ὡς ἱερῶν στρατευσόμενος, μεμισθωμένος, οὐχ ἱερῶν προσδέξομαι. τριῶν ἀρρένων, εἷς ἔτι μοι λείπεται. σὺ δὲ εἰ δὲ ἐξ οὐρίας πλεῖς καὶ ζῇς ἡδέως, οὐ πάντα ἡμᾶς ὁ δαίμων λυπεῖ.

Θεοφίλῳ.

ΟἼχεται τὸ δίκαιον ἐξ ἀνθρώπων. Ἀνδρόνικος καὶ πρότερον ἠδίκει. καὶ νῦν ἀδικεῖται. τὸ δὲ τῆς ἐκκλησίας ἦθος οἷον, ὑψῶσαι μὲν ταπεινὸν, ταπεινῶσαι δὲ ὑψηλόν. τοῦτον δὴ τὸν Ἀνδρόνικον, ἐμίσει μὲν ἐφ' οἷς ἐποίει. διὸ καὶ προήγετο μέχρι τούτου ἐλθεῖν. ἐλεεῖ δὲ νῦν, ἐφ' οἷς ἤδη τοῖς ὑπὲρ καταρχῶν ὡμίλησεν. ἐπεὶ καὶ τοὺς νῦν ἐν δυνάμει δι' αὐτὸν ἐλυπήσαμεν. ἀλλὰ δεινὸν εἰ μηδέποτε μὲν τῶν δυσημερούντων σώσομεθα, τοῖς δὲ κλάουσιν ἀεὶ συνδακρύσομεν. ἡμεῖς τὸ μὲν ἐνταῦθα συγχεῖν βήματος αὐτὸν ἐξειλόμεθα, καὶ τἄλλα ἐλάττους αὐτοῦ παρὰ πολὺ τὰς συμφορὰς ἐποιησάμεθα. κἂν ἡ σὴ θεοσέβεια φροντίδος αὐτὸν ἀξιώσῃ, τοῦτο μέγιστον ἐμοὶ τεκμήριον δέξομαι, τοῦ μὴ παντάπασι τὸν ἄνθρωπον ἀπογνωσθῆναι παρὰ θεοῦ.

Τρωΐλῳ.

ΠΆλαι μὲν ἀπραγμοσύνης ἐποιούμην τὰς πρὸς τοὺς ἑταίρους ἐνδείξεις. καὶ παρὼν καὶ γράφων. ἔζων γὰρ ἐπὶ τῶν βιβλίων, ἔξω ποιήσας αὑτὸν ἁπάσης πόλεως καὶ πολιτείας. νυνὶ δὲ, ἐπέταξε γὰρ ὁ θεὸς εἰς ἀποδεδειγμένην χώραν ἔχειν ἐν τῇ πόλει τινὰ τάξιν, καὶ ζῆν οὐκ ἐν ἀναριθμήτοις ἀνθρώποις, βουλοίμην ἂν ὄφελος εἶναι τοῖς συλλαχοῦσι, καὶ ποιεῖν ἀγαθὸν, ὅτι δυναίμην. καὶ ἕκαστον ἰδίᾳ, καὶ τὴν πόλιν κοινῇ, ἵν' ὁρῴην τε καὶ ὁρῴμην ἡδέως παρὰ τῶν ὡς ἂν εἴποι τις συμπλόων τοῦ βίου. εἴ τι τοίνυν Μαρτύριος ὄναιτο, τῆς δι' αὐτὸν γραφομένης ἐπιστολῆς, ἴσθι μοι χαρισάμενος ἀνδρὶ συνδιημερεύοντι, καὶ ναὶ μὰ τοὺς λόγους τὰ μὰ καὶ σὰ παιδικὰ, πολλάκις εἰς τὸ συνεῖναί μοι πολὺ καὶ τῆς νυκτὸς μέρος ἐπιλαμβάνοντι.

Τῷ ἀδελφῷ.

Κακὸν οὐ μικρὸν ἀπολαύσω τῆς ἀγροικίας. λίαν ἀληθινῶν διάθεσιν δὲ ἴσθι ὅτι καὶ ἐπὶ τῆς Λιβύων ἐσχατιᾶς.

Ἡσυχίῳ.

Ἀθηναῖοι Θεμιστοκλέα τὸν Νεοκλέους ἐπῄνεσαν, ὅτι καίτοι πολιτικῆς δυνάμεως ἐξεταστὴς παρ' ὅντινοῦν τῶν καθ' ἑαυτὸν γενόμενος, ἀπώσατο πᾶσαν ἀρχήν, ἐν ᾗ τῶν ξένων ἤδη ἔμελλον πλέον ἕξειν οἱ γνώριμοι. σὲ δὲ ὅτι μὲν ἐπέγνωσαν τῆς ἀρετῆς οἱ καιροί, καὶ διὰ σὲ παρελθὼν εἰς τὴν πολιτείαν ἀρχῆς ὄνομα καὶ πρᾶγμα καινόν, ἥσθην μὲν ὥσπερ εἰκὸς ἑταίρους ἐκ παλαιοῦ γεγονότας, ἱερᾶς γεωμετρίας ἀλλήλοις ἡμᾶς μνηστευσάσης. ὅτι δὲ ἐν τοῖς βουλευταῖς καὶ τὸν ἐμὸν ἀδελφὸν ἀξιοῖς κεῖσθαι, ἀλλ' οὐκ ἀπαλείψεις τῆς οἰκίας ἀπὸ τοῦ πονηροῦ βιβλίου, κἂν εἴ τι κατὰ συμφορὰν ἀρχαίαν προσῆλθε γενόμενον, τοῦτο δὲ οὐ κατὰ Θεμιστοκλέα σε ποιεῖν φημι. οὔτε ἀκολουθοῦντα τῇ θείᾳ γεωμετρίᾳ. νομίζειν, ὦ 'ν ἀδελφοῖς ἔδει πεπεῖσθαι τοῖς σοῖς, εἰ τὰ τῷ αὐτῷ τὰ αὐτά, καὶ ἀλλήλοις εἶναι δεῖ ταὐτά. εἰ δὲ διὰ τὸν τῶν περικεχυμένων πραγμάτων ὄχλον, τὸ χρέων ἠμέληται μέχρι νῦν, δεῖξον ὦ θαυμάσιε, λαβὼν τὴν ἐπιστολὴν αὐτὸς τὴν προθυμίαν ἐκ τῆς ἀτόπου ζημίας. καὶ τὰ μετὰ ταῦτα, καὶ τὰ πρὸ τούτου, καὶ ἀπόδος μοι τὸν ἀδελφόν. ὃς εἰ μὲν δι' αὐτὸ τοῦτο ἀποδημεῖ, θεὸς οἶδε. πρὸς ἐμὲ δὲ πάνυ παραμυθίας δεόμενον ἐπὶ πολλαῖς, ὧν οὐκ ἀνήκοος εἶ συμφοραῖς, οὐδὲν ἕτερον προφασίζεται.

Ἀνυσίῳ.

Πρώην οὐκ ἔφθασα τὴν βαρεῖαν ἀκοὴν ἀπὸ τῆς Κυρήνης πυθόμενος. κἀγὼ μὲν διενοούμην ὡς τάχος ὅτι τάχιστα παραπέμψαι τὴν φήμην. ἧκε δέ τις ἀγγέλλων, ὡς ὁ στρατηγὸς ἤδη τὰ μετέωρα τῆς χώρας κατείληφεν. ἐφθάκεις δὲ ἄρα πυθόμενος. ἄξια τῆς προθυμίας ἀμοιβὴν παρὰ τοῦ θεοῦ, καὶ νῦν καὶ εἰσέπειτα. ἐγὼ δὲ ταῦτά σοι ἐπέστειλα, καὶ ἐπαινῶν, καὶ πυνθανόμενος ἐν οἷς εἴης. εἴης δὲ ἐν ἅπασιν ἀγαθοῖς. μέλει μὲν γάρ μοι, μέλει καὶ τῆς Πενταπόλεως. πῶς γὰρ οὔ, τῆς γε μητρίδος, ὡς ἂν Κρῆτες εἴποιεν, οὐχ ἥκιστα δὲ σοῦ καὶ τῆς δόξης τῆς σῆς. ἐφ' ἑκάστῳ γὰρ δὴ τῶν σῶν ἀγαθῶν, ἐμὲ πάντες ἀξιοῦσι συνήδεσθαι. ὡς οὖν ἐν σοὶ κρινόμενος ἀρίστου ἀνδρός τε καὶ στρατηγοῦ, δίκαιός εἰμι καὶ εἰδέναι τὰ σά. Ἰωάννην προτρέψαι παρεσκεύασα ὡς ἐνῆν, ἀγαθὸν εἶναι. καὶ ἄλλως οὐκ ἄθυμον στρατιώτην εἶναι, ὁ θεὸς αὐτῷ πείθηται. δὸς αὐτῷ χεῖρα διὰ τὸν ἀδελφόν, ὃς ἀντὶ πολλῶν ὑπουργήσει. τοῦτο ἐμοὶ μὲν ἄριστον δοκεῖ βούλευμα, τῷ τὰς φύσεις εἰδότι τῶν νεανίσκων καὶ ὡς ἔχουσι πρὸς ἀλλήλους αἰδοῦς. εἰ δὲ καὶ σοὶ φανεῖται, κύριον ἔστω. τῶν ἑταίρων τοὺς στρατευομένους ἄσπασαι. ὁ συνέφηβός μου ταχέως ἐπανηκέτω καλόν τι φέρων περὶ πολέμου διήγημα. ὃς καίτοι δειλότατος ὤν, ἐθάρρησε τὴν ὁδόν, τῶν σῶν ὅπλων ἔμπροσθεν ὄντων. δὸς τῇ Κυρήνῃ τὴν συνουσίαν τῶν ἀδελφῶν. μαχοῦνται γὰρ ὑπὲρ τῆς ἐνεγκούσης τε καὶ τρεφούσης αὐτούς.

Fratri.

Non exiguum malum ex rusticitate ad me peruenmet, cum semper eosdem omnino mores animumque referam, etiam in extremis Lybiæ conſinibus.

Heſychio.

Athenienſes Themiſtoclem Neoclis filium collaudarunt, quòd quamuis cup ditate Reip. b. gerendæ ſui tempor. s omnes homines antecelleret, tamen omnes magiſtratus recuſauit, in quibus non tam ſui præſidium nobis quàm peregrinis conſtitutum erat. Quòd verò tuam virtutem cognouerunt tempora, & per te nomen imperij atque res noua in Rempublicam deuenit, id magno in gaudio exhilarauit, vt par eſt, quippe quibus multis ab hinc annis familiaritas interceſſerit, quam ſacrum Geometriæ ſtudium nos coniunxit mutuo atque conciliauit. Quod autem in ſenatum meum fratrem etiam vis cooptare, neque tamen eximis ſuum hoc nomen de infœlici tabula, & ſi quod ex veteri calamitate damnum accepit, id verò non ſecundùm Themiſtoclem ego te dico facere, neque cōſentanea diuinæ Geometriæ ratione. Euoptium enim in fratribus haberi oportebat, ſi quæ ſunt eidem eadem, hæc etiam communiter ac mutuò eadem oportet eſſe. Quòd ſi circumfuſa negotiorum turba impedimento fuit, quò minùs hactenus officij ratio duceretur, id declara ô vir inſignis, & acceptis literis ſocrui eius turpiſſimam mulctam, tum in poſterum tempus, tum à præteritis annis remitte, mihique fratrem reddè, qui num ob hoc ipſum peregrinetur, Deus nouit. Apud me certè, qui in multis & tibi non mandatis calamitatibus conſolatione prorſus egerem, nihil aliud prætendit.

Anyſio.

Vix dum audieram paulò antè grauem difficilémque rumorem à Cyrena, egóque quàm celerrimè fieri poſſet, ad Teuch ra tranſmittere famam cogitaui. Veniens interea quidam ad me ſupremam regionis planiciem à duce iam occupatam eſſe nunciat, quod hercle antè audiuiſti. Pro tanta animi promptitudine, beneficium Deus tibi rependat & nunc in poſterum. Ego vero eadem hęc ſcripſi, vt & laudibus veherem, & certior fierem, quo in ſtatu verſareris. Vtinam verò ſint omnia bona & proſpera. Mihi enim curæ eſt, iterū dico curę eſt mihi Pentapolis. Quamobrē .n. nō quippe mater cùm ſit, vt loquerētur Cretenſes, non minime vero tua, tuæque gloriæ. In ſingulis enim his rebus fortunatis, omnes volunt me congratulari. Quoniam igitur & vir & dux præclariſſime ex te iudicor, æquum eſt vt tua ſint mihi cognita atque perſpecta. Ioannem, quantum potui ſum adhortatus fortē bonúmque ſe præberet alioquin etiam milité nō expertē animi, ſi Deus eum iuuet. Porrige manum ei propter fratrem, qui multorum vicem præſtabit. Hoc mihi videtur optimum conſilium ei, cui perſpecta ſint adoleſcentum ingenia, & mutua quædā inter ſeſe verecundia. Quòd ſi tibi quoque probabitur, ratum eſto. Saluta qui ex familiaribus & ſodalibus noſtris militant. Contubernalis meus ſtatim reuertatur, & pulchram aliquam lætamque de bello famam adferat, qui quanquam eſſet timidiſſimus, tamen iter ingredi non dubitauit, tuis armis ſubleſſum. Da Cyrenæ fratrum iugum: pugnabunt enim pro patria in qua nati ſunt & educati.

Fratri.

Fratri.

QVòd nos tuis imperatis cedere arbitraris (ita enim ſcripſiſti) rectè quidem facis & iuſtū de nobis opinione habes, proptereaq; multa tibi bona eueniant. Nam reddita nobis eſt gratia, ſi modò debetur iuniori à maiori natu fratre obediendi gratia, quod mihi nequaquam ita videtur. Sed nobis ad compenſationem ſatis eſt, vt non ignoretur à te propoſitum noſtrum, quoniam in te vno mortaliū omnia noſtra poſita eſſe duco. Quod autē dicis, tibi probè [illegible] apertum eſſe, Iulium noſtram amicitiam [illegible] omnib. votis expetere, id verò minimè probādū eſt. Prorſus enim eſt hominis circumuenti, ne circumuenientis dicam. Simul enim ego tuam epiſtolam legi, & alius quidam illius. Et tu hoc affirmas, [illegible] ille contrarium. Cùm dicerent ſe légiſſe & audiuiſſe, quod parum ſynceros de nobis ſermones ſpargeret. Neque igitur fidem non adhibere [illegible] bono honeſtóque non potui, & me credentem per Iouem Gentil[illegible] meum & eundem tuum non pœnitebat beneficij, quòd in hominem collocaſſem, cùm præcedenti d[illegible] per vim accuſatorem remouerem, qui crimen impietatis vocaret, quod regiis focis & laribus iniuriam inferret. Nam per ſacrum tuum caput, niſi frequentibus periculis obſtitiſſem, partim iudicis timiditati, qui pœnitétiam in eiuſmodi cauſa non admittebat, partim accuſatoris deſperatione, qui neceſſitatem præ ſe ferebat, & damnū dare atque pati parauerat, inque coniugem eius ac liberos acerrimo impetu ferebatur, multóſque item cognatos & amicos, tam locupletes, quàm pauperes, omninò malorum Ilias noſtram ciuitatem circumſtabat, ab homine deſperante ſaltem, & audiſſimè ad mortem ruente. Viciſſet autem Iulius eiuſmodi victoriam, qua parta, ne viuere quidem ille voluiſſet. In quibus omnibus mihi facienda eſſe putaui, quæ facta ſunt. Meum igitur ingenium & inſtitutum etiam inimiciſſimo bonum ſit atque commodum. Multò enim honeſtius eſt mihi, quàmlibet in indigum beneficium conferre, quàm vt multos, cùm impediendi poteſtas ſit, ad ſupplicium iniuria rapi, per negligentiam patiar. Non enim itidem nobilem vxorem & liberos hominis odio habeo. Verùm ne ipſe quidem à me, propter commentia in me collata, malo affici debet. Multùm abeſt. Odit enim, idque odio ſummo. Non idcircò dicit, quòd putet ſe mihi dolorem facturum, & idcircò clamat, vt mordeat. Atque voluntas eius non caret crimine, ſed eſt obnoxia legibus. Sciat autem, immò non ſciat. Debueret enim nobis benefacere, tu verò perſpicuè ſcias vetus prouerbium. Ab inimicis etiam aliquem iuuari poſſe, nunc re demonſtratum apparere. Quid enim ad gloriam nobis homo non confert? Quicunque noſtras laudes vult prædicare, ſi nihil aliud veniat in mentem quod loquatur, dicit hoc primum & ſolum & maximum, Iulius ei malè loquitur, & obtrectat. Hoc autem vno ſermone, quæ non copia bonorum comprehenditur? Nam opponere ſe ſceleribus & flagitiis vniuerſis, id eſt vniuerſam virtutem amplecti & colere. Atque ego quidem nullius tanti boni mihi ſum conſcius. Verum ille dicit. Cùm enim contrarium loquitur hoc affirmat. Itaque gratiam etiam habeo per ſacrum tuum caput,

Τῷ ἀδελφῷ.

ΟΤι μὲν ἡμᾶς εἴκειν ἡγῇ τοῖς σαυτοῦ προστάγμασιν. εἴκειν γὰρ γέγραφας, καλῶς γε ποιεῖς, καὶ δίκαια περὶ ἡμῶν φρονεῖς. καὶ πολλά σοι κἀγαθὰ γένοιτο διὰ τοῦτο. ὡς ἀπέχεις μέν γε τὴν χάριν εἰ δή τις ὀφείλεται καὶ νεωτέρῳ παρὰ ἀδελφοῦ πρεσβυτέρου, τῷ πείθεσθαι χρεὼς, ὡς οὐκ ἔγωγε οἶμαι. ἀλλ' ἡμῖν εἰς ἀντίδοσιν ἀρκεῖ, τὸ μὴ ἀγνοεῖσθαι παρὰ σοῦ τὴν ἔνστασιν ἡμῶν, ὅτι μόνῳ σοὶ τὰ ζωτικὰ ἐκκρέμαται. ὅτι δὲ φὴς εἰδέναι σαφῶς, ὡς διὰ [illegible] ἄγοι τὰ περὶ φιλίας ἡμῶν Ἰούλιος, τοῦτο δ' οὐκέτ' ἀποδέχεσθαι. λίαν γὰρ [illegible] ἀνδρὸς ἀπατωμένου, μὴ ἀπατῶντός γε [illegible]. ὁμοῦ γὰρ ἔγωγέ τι τὰ παρὰ σοῦ γράμματα ἀνεγνώκειν. καὶ ἕτερός τις τὰ παρ' αὐτοῦ. καὶ σὺ μὲν ταῦτα φὴς. ἐκεῖνος δὲ τἀναντία. κἀκεῖνοι ἐγνώκεσαν καὶ ἀκηκόεσαν λεγόντων, ὅτι διαλέγοιτο περὶ ἡμῶν ἀνεπιτηδείους λόγους. οὔτ' οὖν ἀπιστεῖν εἶχον ἀνδρὶ καλῷ κἀγαθῷ, καὶ [illegible], οὐ μὰ τὸν ὁμόγνιον τὸν ἐμόν τε καὶ σὸν, οὐ μετενόουν ἐφ' οἷς [illegible] πεποιηκὼς τὸν ἄνθρωπον, αὐτῇ τῇ προστριβῇ σου [illegible] τὸν κατήγορον ἀπώσας, ὃς ἐδίωκεν αὐτὸν ἀσεβείας, ὡς ἀδικοῦντα τὴν βασιλέως ἑστίαν. νὴ γὰρ τὴν ἱεράν σου κεφαλὴν, εἰ μὴ ταῖς συχναῖς πείραις ἀντέσχον, τοῦτο μὲν τῇ τοῦ δικαστοῦ δειλίᾳ μετάνοιαν [illegible] ὑποθέσεως ἢ προσιεμένου. τοῦτο δὲ τοῦ κατηγοροῦντος ἀπονοίᾳ, προσποιουμένου μὲν τὴν ἀνάγκην, προθυμουμένου δὲ δρᾶσαι τὸ κακόν τι καὶ παθεῖν. καὶ γαμετῆς αὖ αὐτοῦ καὶ παίδων ἥψατο τῷ δικαστηρίῳ. καὶ συγγενῶν συχνῶν καὶ πάνυ φίλων. πλουσίων τε καὶ πενήτων. καὶ ὅλας κακῶν Ἰλιὰς περιέστη τὴν πόλιν ἡμῶν, ὑπ' ἀνδρὸς ἀπογνόντος τὴν σωτηρίαν καὶ θανατῶντος. ἐνίκησε δ' ἂν Ἰούλιος νίκην, ἐφ' ᾗ ζῆν οὐκ ἂν ηὔξατο [illegible] ἀπόντων ἀνθ' ἑνὸς ποιητέα μοι ταῦτα εἶναι τὰ γεγενημένα. τῆς δ' ἐμῆς φύσεως τε καὶ προαιρέσεως ἀπολαυέτω καὶ [illegible] ἔχθιστος. πολλῷ γὰρ ἐμοὶ κάλλιον ἔχει τὸ ἀναξίως τινὰ πεποιηκέναι καλῶς, ἢ περιιδεῖν πολλοὺς, ἐξὸν κωλῦσαι, παρὰ τὴν ἀξίαν πεισομένους κακῶς. ἤ γὰρ δὴ καὶ τὴν εὐγενῆ γυναῖκα καὶ τὰ παιδία τἀνθρώπου μισῶ. καίτοι γε οὐδ' αὐτὸς ἄξιός [illegible] ὅτι τῆς κατ' ἐμοῦ λοιδορίας παθεῖν τι κακῶς ὑπ' ἐμοῦ. πολλοῦ γε καὶ δεῖ. μισεῖ μὲν γὰρ καὶ πάνυ. λυπεῖν γὰρ οἰόμενος λέγει. καὶ ὡς δηξόμενος φθέγγεται. ἡ προαίρεσις οὖν οὐκ ἀναίτιος. ἀλλ' ὑπαίτιος. ἴστω μὲν δὴ, μᾶλλον δὲ μὴ ἴστω, παυσάσθω γὰρ ἂν εὖ ποιῶν ἡμᾶς. σὺ μέντοι σαφῶς ἴσθι τὸ πάλαι λεγόμενον, ὑπ' ἐχθρῶν, ὡς ἔστιν ὠφεληθῆναι, νῦν ἔργῳ φαινόμενον. τί γὰρ εἰς δόξαν ἡμῖν ἀνὴρ οὐ συντελεῖ. πᾶς ὅς τις ἡμᾶς ἐπαινεῖν βούλεται μηδὲν ἕτερον ἐξευρίσκων, εἰπεῖν, λέγει τὸ πρῶτον καὶ μόνον καὶ μέγιστον, ὡς Ἰούλιος αὐτὸν ἀγορεύει κακῶς. ἐν δὲ τούτῳ λόγῳ, ποίας οὐκ ἐσμὸς ἀγαθῶν. τὸ γὰρ ἀντικεῖσθαι ἔχειν πρὸς παντοδαπὴν πονηρίαν, οἰκείως ἐστὶν ἔχειν πρὸς παντοδαπὴν ἀρετήν. ἐγὼ μὲν οὖν, οὐδὲν ἂν ἐμαυτῷ συνειδείην τοιοῦτον. ἐκεῖνος

δὲ φησιν. ὡς γὰρ τἀναντία φησὶ, τοῦτο ἀποσοῦται. ὥς τε καὶ χάριν ἂν εἰδείην αὐτῷ. νὴ τὴν ἱεράν σου κεφαλὴν,

καὶ τῆς τῶν παιδίων μου σωτηρίας, οὐκ ἔστιν ὅ,τι ἄν μοι μεῖζον τοῦ λοιδορεῖσθαι χαρίσαιτο. καὶ γὰρ καὶ πρὸς θεοῦ καὶ πρὸς ἀνθρώπων, ἐν τῷ καλλίστῳ μοι κείσεται τοῦτο. ἀλλὰ καὶ τῆς προαιρέσεως δώσει δίκας. ἐμοὶ μὲν, οὔ. τυχὸν μὲν γὰρ οὐδ' ἂν εἰ δυναίμην βουλοίμην. πάντως δὲ, οὐδ' ἂν εἰ βουλοίμην δυναίμην. τί γὰρ παρὰ τὸν ἐπὶ καιροῦ δυνάστην ἄνθρωπος οὕτως ἀτυχὴς ὡς ἀλᾶσθαι φεύγων τὴν ἑαυτοῦ, καὶ μηδὲ ἐλπίδας ἔχων καθόδου, τῶν πολεμίων ἐστρατοπεδευκότων ἐν τοῖς ἐμοῖς, κἀκείνοις ὁρμητηρίοις κατὰ Κυρήνης χρωμένων. τίνι μέντοι τίνι δώσει δίκας, αὐτῇ τῇ δίκῃ. ἐγγυῶμαι γὰρ ἐγὼ τοῦτο σαφῶς, εὖ εἰδέναι δοκῶν. μετελεύσεται γὰρ αὐτὸν ὑπὲρ ἐμοῦ καὶ τῆς κοινῆς πατρίδος ὑπὲρ ἧς τἀναντία πεπολιτεύμεθα. καὶ δι' ἣν ἀλλήλοις ἀπηχθήμεθα. οὐ γὰρ ὑπέρ γε ἐμαυτοῦ τινός. οὐδ' ἂν αὐτὸς εἰπεῖν ἔχοι. ἀλλὰ τὰ πρῶτα μὲν ὅτι τὸ στρατιωτικὸν καὶ τὸ βουλευτικὸν ἑώρων, εἰς Θητικὸν, καὶ ὑπεισφερόμενον ἀντέχειν. ἔπειτα μέντοι τὰ περὶ τὴν πρεσβείαν καὶ πάνυ λαμπρῶς διεστασίασεν ἡμᾶς. ἐῶ τὰ κατὰ τὴν ἑταιρείαν Διοσκουρίδην. ὅτι μετρίως ἐπράχθη, καὶ οὐχ ὡς ἂν κινῆσαι θεῶν τε καὶ ἀνθρώπων νέμεσιν. αὕτη μέντοι σαφῶς ἐστι περὶ ἧς πρὸς λύραν ᾄδομεν. λήθουσα δὲ παρὰ πόδα βαίνεις. γαυρούμενον αὐχένα κλίνεις. ὑπὸ πῆχυν ἀεὶ βιοτὰν κρατεῖς. ἀλλὰ ψηφίζεσθαι δέον, ἔγραφον μὲν ὑπὲρ τῆς πατρίδος, ἀστρατείαν εἶναι τοῖς ξένοις. ὁ δὲ, ἀντέλεγεν ὑπὲρ Ἑλλαδίου καὶ Θεοδώρου. καίτοι τίς οὐκ οἶδεν, ὅτι καὶ τοὺς φύσει στρατιωτικοὺς ἔχοντας τῶν ἀρχόντων, οἱ ξένοι μεταδιδάσκουσι. καὶ μεταπωλάζουσιν εἰς ἐμπόρους. πάλιν ἔγραφον ὑπὲρ τοῦ λελύσθαι τὴν παρ' ἡμῖν στρατηγίαν, ὅπερ ἅπαντες ὁμοφώνως οἱ τῇδε ἄνθρωποι μόνον εἶναί φασι λυσιτελὲς τῶν δεινῶν, ἐπανελθεῖν εἰς ἀρχαίαν ἡγεμονίαν τὰς πόλεις τουτέστιν ὑπὸ τὸν Αἰγυπτίων ἄρχοντα καὶ τὰς Λιβύων τετάχθαι. ὁ δὲ, ἀντέλεγεν ὑπὲρ τῶν κερδῶν. καὶ ἄντικρυς ἀπετόλμα λέγειν ὅτι λυσιτελεῖ ταπεινοὺς εἶναι στρατιώτας. ἀλλ' ὦ τάν. ἄξιον γὰρ διὰ σοῦ πρὸς αὐτὸν εἰρῆσθαι. διὰ ταῦτα, νῦν μὲν ἐπάρατος εἶ, τῆς κοινῆς τύχης ἐπὶ τἀναντία πειρώμενος. εὐτυχεῖς γὰρ ἐν ἀτυχοῦσι. ἐγὼ δὲ τῇ πόλει συνατυχῶ. ἴσθι μέντοι σαφῶς, ὅτι φύσεως ἐστὶ νόμος, ἐμπεριέχεσθαι τῷ καθόλου τὰ μέρη. καὶ ὅταν πάνυ πολὺ ἀπὸ τῆς τοῦ σώματος συμφορᾶς ὁ σπλὴν αὐξηθῇ, ἕως μὲν ἀντέχει τὸ ὅλον εὐθηνεῖ τε καὶ πιαίνεται. ἀπολλυμένου δὲ συναπόλλυται. καὶ σὺ τὸ παρὸν εὐδαιμονῶν, λήσεις τοῖς σαυτοῦ πολιτεύμασιν, εἰ μὴ μεθίστη τῆς πατρίδος τε ὤν, καὶ σαυτοῦ. μέχρι τούτου Λασθένης ὠνομάζετο φίλος Φιλίππου, μέχρι προὔδωκεν Ὄλυνθον. τὸν δὲ ἄπολιν, πῶς εἰκός ἐστιν εὐτυχεῖν.

Ολυμπίῳ.

Ἐγὼ μάρτυρα ποιοῦμαι θεὸν, ὃν καὶ φιλοσοφία καὶ φιλία περισβεύει, πολλοὺς μὲν ἂν θανάτους ἀνθ' ἱερωσύνης ἑλόμενος. τοῦ θεοῦ δὲ ἐπενεγκόντος οὐχ ὅπερ ᾔτουν, ἀλλ' ὅπερ ἐβούλετο, εὔχομαι τὸν γενόμενον νομέα τοῦ βίου, γενέσθαι καὶ τοῦ τιμηθέντος προστάτην, ὡς μὴ φανῆναί μοι τὸ πρᾶγμα φιλοσοφίας

& liberorum meorum ſalutem, non poteſt mihi gratius facere, quàm vt conuitiis proſcindat. Hoc enim & apud Deum & apud homines, mihi longè pulcherrimum erit & honeſtiſſimum. Sed & ſuæ voluntatis dabit pœnas, mihi quidem non. Fortaſſis enim non vellem, etiam ſi poſſem & omninò ſi etiam vellem non poſſem. Quid enim ad eum qui in hoc tempore cùm imperio eſt homo tam infœlix, vt etiam exul à mea ciuitate oberrem & ne ſpem quidem reuerſionis reliquam habeam, cùm hoſtes in meis caſtra poſuerint & illis quaſi munimentis ad oppugnandam Cyrenem vtantur. Cui igitur pœnas luet? Ipſi Dicæ. Nam hoc manifeſtè ſpondeo, quoniam probe ſcire videor. Repetet enim ab eo pœnas meo & patriæ communis nomine, in qua contrariam regendi rationem ſecuti ſumus, & cuius gratia inimicitias inuicem ſuſcepimus. Non enim alicuius mei cauſſa, quod ne ipſe quidem dicere poteſt. Sed primùm quod militaris & ſenatorij ordinis homines iuxta in Thetico videbam, & reluctari conabar. Deinde verò legatio quoque nos omnino apertéque diſiũxit. Millum facio negotium ſodalis Dioſcoridæ, quod mediocriter geſtũ eſt, neque vt poſſet Dei hominúmque iram aut indignationem mouere: illa verò perſpicuè eſt, de qua ad Lyram canimus.

Λήθουσα δὲ παρὰ πόδα βαίνεις.
Γαυρούμενον αὐχένα κλίνεις.
ὑπὸ πῆχυν ἀεὶ βιοτὰν κρατεῖς.

Sed cùm decretum eſſet faciendum, ego quidem pro patria ſcribebam, vt peregrini à militia vacarent. At ille pro Helladio & Diodoro contradicebat. Verùm quis neſcit quòd etiam eos principes qui natura ſunt ad militiam aptiſſimi, peregrini dedocent atque in mercatores commutant. Iterum ſcribebam, vt dimitteretur noſter exercitus, in quo omnes homines vno ore dicunt periculorum liberationem conſiſtere, vt ad veterem præfecturã ciuitates reuertantur, hoc eſt, vt ſub Ægyptiorum principis ditione ſint etiam Libyorum vrbes. At ille queſtus & lucri cauſſa contradicebat, & apertè dicere audebat è re eſſe, vt abiectos & humiles haberemus milites. Sed ô bone vir, dignum eſt enim per te ad eum referri. Præterea nunc ſceleratus es, qui contrariam cum Republica fortunam experiaris. Fortunatus es in communibus miſeriis. Ego vero cum vrbe ſimul miſer ſum. Scis autem, naturæ legem eſſe, vt in toto partes compræhendantur, & cum plurimum à corporis morbo ſplen creſcit, donec reſiſtit totum, valet & pingueſcit: pereunte verò toto ſimul interit. Et tu quidem cùm iam fœlici ſis conditione, imprudens tur gubernationibus, patriæ tibíque fatum acceſſes. Euſque Laſthenes amicus Philippi nominabatur, donec Olynthum prodidiſſet. Quomodo poteſt exul & extorris, proſpera vti fortuna.

Olympio.

EGo Deum teſtem facio, quem cùm philoſophia tum amicitia colit, multas ante mortes quàm Sacerdotium ſuſceperam elegiſſem. Cùm verò Deus obtulerit, non quod petebam, ſed quod ipſe volebat, precor vt qui vitæ paſtor fuit, etiam paſtæ ſit dux atque præſes, ne mihi negotium hoc deceſſio magis à philoſophia quàm

tam. Ego autem de Lycophtonte etiam & reliquis qui apud te ſunt, idem quod iamdudum & nunc prorſus affirmo: te ſcilicer illis tú ingenio, tum diſſerendi arte præſtare quàm plurimum: nec illorum quenquam ſponte tibi in diſputando, vt aliqui ſuſpicantur, cedere, ſed inuitos. Atqui videris admodum humaniter illis fuiſſe vſus, & honeſtis eos muneribus proſecutus. Sed de iis quidem perinde atq; de talibus talia multa licet dicere. Philiſtione ſi vti contigerit, vtere quàm maximè. Et ſi fieri poteſt, Speuſippi vtere opera: atque remittas. Eger quidem tui & Speuſippus. Pollicitus autē mihi eſt Philiſtio, ſi abs te dimittatur, ſe Athenas è veſtigio petiturū. Illum ex latomiis dimiſiſſe, laudabile fuerit. Leuis autē petitio tam de illius neceſſariis, quàm de Hegeſippo Ariſtonis filio. Nam & ad me ſcripſiſti: ſi quis huic vel illis iniuriā velit inferre, ac tu id perſenſeris, te minimè permiſſurum. De Lyſiclide, præterea vera fateri decet. Nempe ſolus ille ex iis qui Sicilia Athenas profecti ſunt, nihil in tua oreaque conſuetudine immutauit. Sed ea quæ facta ſunt, quotidie verbis pro viribus magis honeſtat.

Fidem.

PEtis an rectius ponatur in ſalutationibus, Plato Dionyſio gaudere: an quemadmodum ego ſolitus ſum ſcribere ad amicos, Bene agere. Tu quidem, vt aiunt hi qui tecum in Delphis affuerunt, ita Deum ipſum blandè appellaſti, ac ſimiliter ſcripſiſti: Gaude, vitamque tyranni iucundam ſerua. Ego autem neque Deum hoc modo, neque hominem ſalutarim. Non Deum: quia contra illius naturam loquar. Nam procul à moleſtia & voluptate diuinitas. Non hominem: quia ſæpius detrimentum & dolorem ipſi affert voluptas, hebetudinem in animo, & obliuionem, inſipientiam & petulantiam pariens. Et de ſalutatione quidem hæc mihi dicta ſint. Quæ tu poſtquam legeris, ſicuti voles ita capies. Ferunt verò non pauci te dicere ſolitum ad legatos quoſdam, dum te adeunt in animo habuiſſe Græcas ciuitates in Sicilia reſtituere: & Syracuſanos releuare, ac pro tyrannide regiam gubernationem illis inducere. Audientem verò hæc me tibi ne faceres illa obſtitiſſe: cùm tu vehementer id cuperes. Nunc autem illa ipſa vt facias, Dionem docere: ac tuis propriis inuentis atque artibus imperium à nobis tuum labefactari. Verum ſermones huiuſmodi aliquam tibi vtilitatem ferant, tu ipſe cognoſcis: iniuria certè me afficis, cùm contraria dicas quàm veritas ſit. Et profectò ſatis ſupérque hactenus à Philiſtide & aliis compluribus inuidia mihi conflata eſt, & apud milites, & apud Syracuſanos. Nam cùm in arce, vna tecum habitarem, omnia malefacta in me conuertebantur, aſſerētibus qui extra erant, te ſingula meo cõſilio facere. Cùm apertè ſcias perpauca me tecum de gubernatione ciuili ſpõte mea, atque id ab initio tractauiſſe: dum aliquid poſſe me proficere arbitrarer, & alia quædam exigua, legum procemia mediocriter & modeſtè curantem: Quibus tamen poſtea vel te vel alium audio quædam præter mentem meam interuiſſe.

ſeruiſſe. Quæ facilè internoſcent ij qui poſſunt morem ingenij noſtri diſcernere. Sed vt modò dicebã, non egeo calumnia & apud Syracuſanos & apud alios, quibus me illa dicẽs criminaris: ſed multò magis purgatione contra primam calumniam, & contra nouam nuper exortam maiorem quidem ac vehementiorẽ. Ergo aduerſus duas calumnias neceſſe eſt excuſationẽ me duplicẽ afferre. Primũ quidem meritò noluiſſe me de gubernatione Reipublicæ tecũ agere: deinde meũ illud cõſiliũ nõ fuiſſe quod tu ais, vt ſuaderẽ tibi ne ciuitates Græcas reſtitueres. Et primũ quidẽ de primo ſic accipe. Veni Syracuſas à te vocatus & à Dione: quum eſſet ipſe Dio magnæ apud te dignitatis, mihi iampridẽ hoſpes, ætate verò media atque perfecta. quibus omnino vel mediocriter prudens opus eſſe ad res huiuſmodi gerendas quales tuæ erãt, exiſtimarit. Tu verò eras admodũ iuuenis: & omniũ quorum oportebat te peritia habere ignarus, mihi quoq; valde ignotus. Poſt hæc, ſiue quis homo, ſiue Deus, ſiue fortuna quædã tecũ Dionem pepulit tu ſolus relictos es. An igitur cõmunionem mihi aliquã tecũ rerum ciuiliũ tunc relictã putas: cùm viderẽ prudentẽ quidẽ conſultore abs te pulſum: te autẽ imprudẽtẽ cũ multis flagitioſis non fuiſſe relictũ, vt nõ imperares, licet imperare arbitrareris, ſed huiuſmodi hominibus reuera ſeruires? Tunc ergo quid oportebat me facere? An non id quod faciebã? Abſtinere videlicet omni gubernatione, ne inuidia maleuolorũ in calũnias vocarer. Et illud omnino conari, vt vos inuicẽ diſſidẽtes, & longè diuiſos in priſtinam amicitia gratiámque reducerem. Tu mihi teſtis eſſe potes quãto conatu hoc à me negotiũ ſuſceptum fuerit, neque vnquam deſertum. Tandẽ vix ita conuenimus, vt domum (quoniam bello impediti eratis) remearem, pacéq; facta ego & Dio Syracuſas rediremus: tu autem nos aduocares. Hæc ſunt acta in prima illa profectione ad te mea, & in patria reditu. Facta deinde pace iterum me vocaſti: non tamen vt inuicẽ conueneramus vna cum Dione, ſed ſolum. Scripſiſti enim vt ipſe tunc venirem: Dionem verò poſtea te vocaturũ. Ea de cauſa ego tunc non veni, quod quidem Dioni diſplicuit, qui præſtare putabat vt parerem tibi atque venirem. Tranſacto poſt hæc anno, triremis vna à te miſſa eſt, & ſimul cum illa literæ tuæ. Quarum caput erat: ſi venirem, Dionis res ita fore vt ego maxime optabam, contrà verò, ſi nõ venirem. Pudet referre quàm multæ tũc epiſtolæ ſcriptę ſunt tam abs te quàm ab aliis tua cauſa ex Italia atque Sicilia ad me & ad multos propinquorum familiariúmq; meorum: quæ omnes exhortabantur, precabanturq; vt tibi obſecutus accederem. Viſum eſt igitur omnibus & in primis Dioni, eundũ eſſe, neque me molli otio dedẽdum, quanquam ego ob ætatem me excuſabam: & de te aſſeuerabam, quòd nequires obtrectatoribus maleuoliſque meis diſſidium inter nos quærentibus reſiſtere. Conſpexeram enim iampridem, & nunc etiã perſpicio opes tã priuatorum quàm principum quãto maiores ſunt,

διασκοπεῖν· δῆλα μὲν ἱκανῶς ἔσται, πῶς ποτε τὸ ἐμὸν ἦθος δυναμένοις κρίνειν. ἀλλ' οὖν ὅπερ ἀρτίως εἶπον, ἢ διαβολῆς προσδέομαι πρός τε Συρακουσίους, καὶ εἰ δή τινας ἑτέρους πείθεις λέγων αὐτά. ἀλλὰ πολὺ μᾶλλον ἀπολογίας πρός τε τὴν προτέραν γενομένην διαβολήν, καὶ τὴν νῦν μετ' ἐκείνην μείζω φυομένην καὶ σφοδροτέραν. πρὸς δύο δή μοι, διττὰς ἀναγκαῖον ποιήσασθαι τὰς ἀπολογίας. πρῶτον μὲν, ὡς εἰκότως σοι ἔφυγον κοινωνεῖν περὶ τὰ τῆς πόλεως πράγματα· τὸ δὲ δεύτερον, ὡς οὐκ ἐμὴν ταύτην εἴρηκας συμβουλήν· οὐδὲ διακωλύσαι μέλλοντί σοι κατοικίζειν Ἑλληνίδας πόλεις, ἐμποδὼν ἐμὲ γενέσθαι. τὴν οὖν ἀρχὴν ὧν εἶπον, περὶ προτέρων ἄκουε πρότερον. ἦλθον καλούμενος εἰς Συρακούσας, ὑπό τε σοῦ καὶ Δίωνος. τὸν μὲν δεδοκιμασμένον παρ' ἐμοὶ καὶ ξένον πάλαι γεγονότα, ἐν ἡλικίᾳ δὲ ὄντα μέσῃ τε καὶ καθεστηκυίᾳ. ὧν δὴ παντάπασι χρεία τοῖς νοῦν καὶ σμικρὸν κεκτημένοις, μέλλουσι περὶ τηλικούτων ὅσα ἦν τότε τὰ σὰ, βουλεύεσθαι. σοῦ δὲ ὄντος μὲν σφόδρα νέου, πολλῆς δὲ ἀπειρίας οὔσης περὶ σὲ, τούτων ὧν ἔμπειρον ἔδει γεγονέναι, καὶ σφόδρα ἀγνῶτος ἐμοί. τὸ μετὰ τοῦτο, εἴτ' ἄνθρωπος, εἴτε θεὸς, εἴτε τύχη τις μετὰ σοῦ Δίωνα ἐξέβαλεν, ἐλείφθης μόνος. ἆρ' οὖν οἴει μοι τότε πολιτικῶν εἶναι κοινωνίαν πρὸς σὲ, τὸν μὲν ἔμφρονα κοινωνὸν ἀπολωλεκότι, τὸν δὲ ἄφρονα, ὁρῶντι μετὰ πονηρῶν καὶ πολλῶν ἀνθρώπων καταλελειμμένον, οὐκ ἄρχοντα, οἰόμενον δ' ἄρχειν, ὑπὸ δὲ τοιούτων ἀνθρώπων ἀρχόμενον. οἷς τί χρῆν ποιεῖν ἐμέ; μῶν οὐχ ὅπερ ἐποίουν ἀναγκαῖον ἐκ τῶν λοιπῶν; τὰ μὲν πολιτικὰ χαίρειν ἐᾶν, εὐλαβούμενον τὰς ἐκ τῶν φθόνων διαβολάς. ὑμᾶς δὲ πάντως καίπερ ἀλλήλων χωρὶς γεγονότας καὶ διαφόρους ὄντας, πειρᾶσθαι φίλους ἀλλήλοις ὅτι μάλιστα ποιεῖν. τούτων δὴ καὶ σὺ μάρτυς, ὅτι τοῦτο αὐτὸ ξυντείνων, οὐκ ἀνῆκα πώποτε. καὶ μόγις μὲν, ὅμως δ' ὡμολογήθη νῷν, πλεῦσαι μὲν οἴκαδε ἐμὲ, ἐπειδὴ πόλεμος ὑμᾶς κατεῖχεν. εἰρήνης δ' αὖ γενομένης, ἐλθεῖν ἐμέ τε καὶ Δίωνα εἰς Συρακούσας· σὲ δὲ καλεῖν ἡμᾶς. καὶ ταῦτα μὲν οὕτως ἐγένετο. τῆς ἐμῆς εἰς Συρακούσας ἀποδημίας πέρι τῆς προτέρας, καὶ τῆς πάλιν οἴκαδε σωτηρίας. τὸ δὲ δεύτερον εἰρήνης γενομένης ἐκάλεις με οὐ κατὰ τὰς ὁμολογίας, ἀλλὰ μόνον ἥκειν ἐπέστελλες. Δίωνα δ' εἰσαῦθις ἔφησθα μεταπέμψεσθαι. διὰ ταῦτα οὐκ ἦλθον, ἀλλὰ καὶ Δίωνι τότ' ἀπηχθόμην· ᾤετο γὰρ εἶναι βέλτιον, ἐλθεῖν ἐμὲ καὶ ὑπακοῦσαί σοι. τὸ δὲ μετὰ ταῦτα ὕστερον ἐνιαυτῷ τριήρης ἀφίκετο καὶ ἐπιστολαὶ παρὰ σοῦ· τῶν δ' ἐν ταῖς ἐπιστολαῖς γραμμάτων ἦρχεν, ὡς εἰ ἀφικοίμην, τὰ Δίωνός μοι γενήσοιτο πράγματα πάντα, κατὰ νοῦν τὸν ἐμόν· μὴ ἀφικομένου δὲ τἀναντία. αἰσχύνομαι δὴ λέγειν, ὅσαι τότε ἐπιστολαὶ παρὰ σοῦ, καὶ παρ' ἄλλων ἦλθον διὰ σὲ ἐξ Ἰταλίας καὶ Σικελίας. καὶ παρ' ὅσους τῶν ἐμῶν οἰκείων καὶ τῶν γνωρίμων· καὶ πᾶσαι διακελευόμεναί μοι ἰέναι, καὶ δεόμεναι σοὶ πάντως ἐμὲ πείθεσθαι. ἐδόκει δὴ πᾶσιν ἀρξαμένοις ἀπὸ Δίωνος, δεῖν ἐμὲ πλεῦσαι καὶ μὴ μαλθακίζεσθαι· καίτοι τήν τε ἡλικίαν αὐτοῖς προὐτεινόμην, καὶ περὶ σοῦ διισχυριζόμην, ὡς οὐχ οἷός τ' ἔσοιο, ἀντάρκεσαι τοῖς διαβάλλουσιν ἡμᾶς καὶ βουλομένοις εἰς ἔχθραν ἐλθεῖν· ἑώρων γὰρ καὶ τότε καὶ νῦν ὁρῶ, τὰς μεγάλας οὐσίας καὶ ὑπερόγκους τῶν τε ἰδιωτῶν καὶ τῶν μονάρχων σχεδόν,

ὅσωπερ ἂν μείζους ὦσι, τοσούτῳ πλείους καὶ μείζους τοὺς διαβάλλοντας, καὶ πρὸς ἡδονὴν μετ' αἰσχρᾶς βλάβης ὁμιλοῦντας, τρέφουσαι· οὗ κακὸν οὐδὲν μεῖζον γεννᾷ πλοῦτός τε καὶ ἡ τῆς ἄλλης ἐξουσίας δύναμις. ὅμως δ' οὖν πάντα ταῦτα χαίρειν ἐάσας ἦλθον· διανοηθεὶς, ὡς οὐδένα δεῖ τῶν ἐμῶν φίλων ἐμὲ ἐπαιτιᾶσθαι ὡς διὰ τὴν ἐμὴν ῥᾳθυμίαν, τὰ σφέτερα πάντα ἐξὸν μὴ ἀπολέσθαι, διώλετο. ἐλθὼν δὲ, οἶσθα γὰρ δὴ σύμπαντα τἀντεῦθεν ἤδη γενόμενα. ἐγὼ μὲν, ἠξίουν δήπου κατὰ τὴν ὁμολογίαν τῶν ἐπιστολῶν πρῶτον μὲν, κατάγειν Δίωνα οἰκειωσάμενον, φράζων τὴν οἰκειότητα. ἣν ἐμοὶ τότε ἐπείθου· τάχ' ἂν βέλτιον τῶν νῦν γεγονότων ἔσχε, καὶ σοὶ καὶ Συρακούσαις καὶ τοῖς ἄλλοις Ἕλλησιν, ὡς ἡ ἐμὴ δόξα μαντεύεται. ἔπειτα τὰ Δίωνος τοὺς οἰκείους ἔχειν ἠξίουν. καὶ μὴ διανείμασθαι τοὺς διανειμαμένους, οὓς οἶσθα σύ. πρὸς δὲ τούτοις, ᾤμην δεῖν τὴν κατ' ἐνιαυτὸν ἕκαστον εἰωθότα αὐτῷ κομίζεσθαι. καὶ μᾶλλον ἔτι καὶ οὐχ ἧττον ἐμοῦ παραγενομένου πέμπεσθαι. τούτων οὐδενὸς τυγχάνων, ἠξίουν ἀπιέναι. τὸ μετὰ ταῦτα, ἔπειθές με μεῖναι τὸν ἐνιαυτὸν φάσκων τὴν Δίωνος ἀποδόμενος οὐσίαν πᾶσαν, τὰ μὲν ἡμίσεα ἀποπέμψειν εἰς Κόρινθον. τὰ δ' ἄλλα τῷ παιδὶ καταλείψειν αὐτοῦ. πολλὰ ἔχων εἰπεῖν, ὧν ὑποσχόμενος, οὐδὲν ἐποίησας, διὰ τὸ πλῆθος αὐτῶν συντέμνω· τὰ γὰρ δὴ χρήματα πάντα ἀποδόμενος οὐ πείσας Δίωνα, φάσκων οὐ πωλήσειν ἄνευ τῆς πειθοῦς, τὸν κολοφῶνα ὦ θαυμάσιε τῶν ὑποσχέσεων ἁπάσαις, νεανικώτατον ἐπέθηκας. μηχανὴν γὰρ εὗρες καλὴν, οὔτε κομψὴν, οὔτε δικαίαν οὔτε ξυμφέρουσαν, ἐμὲ ἐκφοβεῖν ὡς ἀγνοοῦντα τὰ τότε γιγνόμενα, ἵνα μὴ δὴ ἐγὼ ζητοίην τὰ χρήματα ἀποπέμπεσθαι. ἡνίκα γὰρ Ἡρακλείδην ἐξέβαλες οὔτε Συρακουσίοις δοκοῦν δικαίως οὔτ' ἐμοὶ, διότι μετὰ τοῦ Θεοδότου καὶ Εὐρυβίου συνεδεήθην σου μὴ ποιεῖν ταῦτα, ταύτην λαβὼν ὡς ἱκανὴν πρόφασιν εἶπες, ὅτι καὶ πάλαι σοι δῆλος εἴην. σοῦ μὲν οὐδὲν φροντίζων Δίωνος δὲ καὶ τῶν Δίωνος φίλων καὶ οἰκείων. καὶ ἐπειδὴ νῦν Θεοδότης καὶ Ἡρακλείδης ἐν διαβολαῖς εἶεν οἰκεῖοι Δίωνος ὄντες, πᾶν μηχανῴμην, ὅπως οὗτοι μὴ δώσουσι δίκην. καὶ ταῦτα μὲν ταύτῃ περὶ τὰ πολιτικὰ κοινωνίας τῆς ἐμῆς καὶ σῆς. καὶ εἴ τινα ἑτέραν ἀλλοτριότητα ἐνεῖδες ἐν ἐμοὶ πρὸς σέ, εἰκότως οἴει ταύτῃ πάντα ταῦτα γεγονέναι, καὶ μὴ θαύμαζε· κακὸς γὰρ ἂν ἔχοντί γε νοῦν ἀνδρὶ φαινοίμην ἐνδίκως. πεισθεὶς ὑπὸ τοῦ μεγέθους τῆς σῆς ἀρχῆς, τὸν μὲν παλαιὸν φίλον καὶ ξένον, κακῶς πράττοντα διὰ σὲ μηδὲν σοῦ χείρονα, ἵν' οὕτως εἴπω, τοῦτον μὲν προδοῦναι, σὲ δὲ τὸν ἀδικοῦντα ἑλέσθαι, καὶ πᾶν δρᾶν, ὅπῃ σὺ προσέταττες ἕνεκα χρημάτων δηλονότι· οὐδὲν γὰρ ἂν ἕτερον ἔφησεν αἴτιόν τις εἶναι τῆς ἐμῆς μεταβολῆς, εἰ μετεβαλόμην. ἀλλὰ ταῦτα μὲν ταύτῃ γενόμενα, τὴν ἐμὴν καὶ σὴν λυκοφιλίαν καὶ ἀκοινωνίαν διὰ σὲ ἀπειργάσατο. σχεδὸν δ' εἰς λόγον ὁ λόγος ἥκει μοι ξυνεχὴς τῷ νῦν δὴ γενόμενος. περὶ οὗ μοι τὸ δεύτερον ἀπολογητέον ἔφην εἶναι. σκόπει δὴ καὶ πρόσεχε πάντως, ἄν σοί τι ψευδὴς δόξω καὶ μὴ τἀληθῆ λέγειν. φημὶ γάρ σε Ἀρχεδήμου παρόντος ἐν τῷ κήπῳ καὶ Ἀριστοκρίτου, σχεδὸν ἡμέραις πρότερον εἴκοσι τῆς ἐμῆς ἐκ Συρακουσῶν οἴκαδ' ἀποδημίας,

tâtò magis inſidiatores & turpium noxiarúmq; voluptatũ machinatores nutrire, quo nihil pernicioſius gignit opulentia atque poteſtas. Veruntamen omiſſis his omnibus venire decreui, ne querelę materiam alicui familiarium meorum relinquerem, quòd cùm poſſent eius res ſaluę eſſe, ob negligentiã meã periſſent. Quæ verò poſt aduentum meum ſecuta ſint, tu optimè noſti. Cẽſebam equidem vt ſecundum promiſſa epiſtolarum tuarũ quàm primùm Dionem reuocares & in priſtinam familiaritatẽ reciperes, cuius ego rationem habẽdam eſſe putabam. In quo ſi mihi paruiſſes, fortè melius tuæ & Syracuſanorum cæterorúmque Græcorum res, vt mea vaticinatur opinio, ſeſe haberent. Arbitrabar deinde bona Dionis, ſuis reſtitui debere: nec illis diuiſoribus quos tu præfeceras, eorum adminiſtrationẽ amplius relinqui. Iudicabam præterea pecuniam ſingulis annis Dioni ſolitam mitti, eſſe mittendam, nõ diminutam ob præſentiam meã, ſed magis adauctã: cùm autẽ horũ nihil abs te impetrare poſſem, abire conſtitui. Tu verò annũ me vt expectarem, rogaſti: affirmãs te Dionis bona omnia redditurũ, ita vt media pars Corinthum ad Dionem ipſum mitteretur: reliqua verò pro eius filio Syracuſis maneret. Multa præterea referre poſſum, quæ promiſſa à te ſeruata nõ ſunt, Sed ea ob multitudinẽ omitto. Cùm enim bonorum Dionis omniũ venditionẽ faceres, abſq; vllo eius conſenſu: quanquã ita demũ hoc faciendũ dixeras, ſi ille aſſentiretur, promiſſis omnibus, ò vir mirabilis, Colophonẽ, vt aiũt, glorioſiſſimũ impoſuiſti. Rẽ profectò neq; honeſtam, neque honorificam, neque iuſtam, neque vtilem machinatus, me deterrere conatus es tãquam rerum illarum neſciũ: quò ego pecunias ad Dionem mittendas poſtulare deſiſterem. Nam cùm Heraclidẽ pelleres: quod neque Syracuſanis, neq; mihi iuſtum videbatur: egóque vnà cum Theodote & Eurybio pro Heraclide deprecarer, accepta hinc quaſi ſufficienti quadam occaſione, iampridem te reprehendiſſe dixiſti, nullam mihi curam eſſe rerum tuarum, ſed Dionis ſolùm, eiúſque amicorum & propinquorum. Itaque cùm Heraclides & Theodotes Dionis amici ſuſpicione criminis non carerent, me omnia facere quò meritas pœnas non darent. Hæc quidem in noſtra illa ciuilis adminiſtrationis communione, & quancũque aliam diſſenſionem nobis accidiſſe quid mirum? Prauus enim à prudentibus viris meritò exiſtimari poſſem, ſi potentiæ tuæ magnitudine adductus, veterem amicum & hoſpitem meum à te patria pulſum, nulla re, vt ita loquar, te deteriorem prodidiſſem atque deſtituiſſem: te verò iniuriãtem illi ſecutus eſſem: & omnia feciſſem quæ imperares tuarum ſcilicet opum gratia. Certè ſi illum tui gratia prodidiſſem: nemo aliam mutationis meæ cauſam fuiſſe dixiſſet. Hæc igitur geſta cauſa fuerunt ſuccenſendi inter nos, & nihil communicandi. Verùm mihi opportunè iam ſermo in eam tranſit partem de qua ſecundo mihi loco dicendum propoſui. Attende obſecro diligenter, ſi verum tibi dicere videor. Dico, te Archedemo præſente & Ariſtocrito, cùm eſſes in hortis viginti fermè dies ante receſſum meum è Syracuſis Athenas, di-

xiſſe

xiſſe mihi illa quæ nunc etiam dicis: quòd Heraclidis & aliorum omnium, magis quàm tui curam haberem. Præterea me in præſentia illorum rogaſti, an meminiſſem cùm primò Syracuſas veni, ſuaſiſſe me tibi ciuitates Græcas reſtituere. Egóque cõceſſi meminiſſe me: & addidi etiam tunc optimũ mihi videri. Fatendum eſt, ô Dionyſi, quod ſubinde dictum eſt. Petij equidem vtrum id ſolum tibi conſuluiſſem: an aliud præterea. Ad hæc tu iracundè nimiũ, &, vt putabas, contumelioſè reſpondiſti: & alia etiã me præcepiſſe. Itaque cõtumelia tunc in me id fuit, nũc autẽ pro ſomnio eſt. Rogaſti autẽ me apertè nimiũ, ſi bene quid memini, me deridens, an illa præcepiſſem tibi quaſi doctor, an non. Reſpondi te id optimè meminiſſe. At ipſe ad hæc adiecisti. Vt doctor in geometria, an quomodo? Tunc ego quod reſpondere poteram, reticui: veritus, ne verbi alicuius exigui cauſa nauigatio illa à me expectata, mihi pro lata anguſta fieret. Cæterùm ad illud iã redeamus, quò tendunt hæc omnia. Noli inuidiam cõflare mihi dicens te prohibitum fuiſſe à me ciuitates Græcas dirutas à Barbaris reſtituere: ac Syracuſanis gubernationem pro tyrannica regiam mutare. Nihil enim de me potes mentiri quod à meis ſit moribus alienius. Atqui ſi foret alicubi ſufficiens huius rei iudicium, etiam alia dicerem ſuperioribus clariora probarémque manifeſtè me ſuaſiſſe tibi vt illa faceres: te autem recuſauiſſe. Nequaquam difficilè eſt oſtendere illa futura fuiſſe optima & tibi & Syracuſanis & Siculis omnibus. Si ergo negas te iſta dixiſſe cùm dixeris: ſatis equidem habeo quo te criminer. Quod ſi fateris, Steſichorum ſapiẽtem puta, atque eius palinodiam, id eſt cantum ſuperiori contrarium imitatus, ex mendaci ſermone te ad verum traducas.

Plato Dioni Syracuſano, bene agere.

PVto manifeſtum eſſe per omne tempus propenſiſſimam voluntatem meam circa ſingula quæ contigerint: neque occultum eſſe vobis, ſtudium conficiendi fuiſſe non aliam magis ob cauſam, quàm vt in rebus honeſtis honorem conſequerer. Cenſeo enim eſſe iuſtum, vt qui reuera boni ſunt viri, & talia faciunt, dignam gloriam conſequantur. Ac res quidem vſque adhuc, Dei beneficio, rectè ſe habent. De futuris verò maximum vobis propoſitum eſt certamen. Nam fortitudine quidem, celeritate ac robore præſtare tale eſt, vt aliorum quoque eſſe poſſit: ſed veritate, iuſtitia, magnificentia. & huiuſmodi quadam honeſtate & dignitate præcellere, ad eos qui iſta gerunt, & talium ſibi gloriam vendicant, præ cæteris attinet. Manifeſtum ſanè, eſt quod dico. Meminiſſe autem debemus, oportere nos, vt te non latet, plus aliis quàm pueris antecellere. Itaque conſtare omnibus debet, tales nos eſſe quales videri volumus: præſertim cùm Deo iuuante perfacilè ſit futurum. Cæteris ſiquidem hoc contigit, vt multa loca obire compulſi fuerint ad id conſequendum: rerum verò tuarum ſtatus huiuſmodi eſt,

ἃ νῦν δὴ λέγεις ἐμοὶ μεμφόμενος, ὡς Ἡρακλείδου τέ μοι καὶ τῶν ἄλλων πάντων μᾶλλον, ἢ σοῦ μέλει. καί με τούτων ἐναντίον διηρώτησας, εἰ μνημονεύω κατ' ἀρχὰς ὅτ' ἦλθον, κελεύων σε τὰς πόλεις τὰς ἑλληνίδας κατοικίζειν. ἐγὼ δὲ συνεχώρησα μεμνῆσθαι. καὶ ἔτι νῦν μοι δοκεῖ ταῦτ' εἶναι βέλτιστα. ῥητέον δὲ ὦ Διονύσιε, καὶ τὸ μετὰ τοῦτο τότε λεχθέν. ἠρόμην γὰρ δή σε, πότερον αὐτὸ τοῦτό σοι ξυμβουλεύσαιμι μόνον, ἤ τι καὶ ἄλλο πρὸς τούτῳ. σὺ δὲ καὶ μάλα ἀπεκρίνω μεμηνιμένως καὶ ὑβριστικῶς εἰς ἐμὲ ὡς ᾤου· διὸ τὸ τότε σοι ὕβρισμα, νῦν ὕπαρ ἀντ' ὀνείρατος γέγονεν. εἶπες δὲ καὶ μάλ' ἀπλάστως γελῶν εἰ μέμνημαι ὡς παιδευθέντα με ἐκέλευες ποιεῖν πάντα ταῦτα ἢ μὴ ποιεῖν· ἔφην ἐγὼ κάλλιστα μνημονεῦσαί σε. οὐκοῦν παιδευθέντα ἔφησθα γεωμετρεῖν, ἢ πῶς; κἀγὼ τὸ μετὰ ταῦτα ὃ ἐπῄει μοι εἰπεῖν, οὐκ εἶπον, φοβούμενος μὴ σμικροῦ ῥήματος ἕνεκα τὸν ἔκπλουν ὃν προσεδόκων, μή μοι στενὸς γίγνοιτο ἀντ' εὐρυχωρίας. ἀλλ' οὖν ὧν ἕνεκα πάντ' εἴρηται, ταῦτ' ἐστί· μή με διάβαλλε λέγων, ὡς οὐκ εἴων ἐγώ σε πόλεις ἑλληνίδας ἐρρούσας ὑπὸ βαρβάρων οἰκίζειν, οὐδὲ Συρακουσίους ἐπικουφίσαι, βασιλείαν ἀντὶ τυραννίδος μεταστήσαντα. τούτων γὰρ οὐχ ἧττον ἐμοὶ πρέποντα ἔχοις ἄν ποτε λέγων μου καταψεύσασθαι. πρὸς δὲ τούτοις, ἔτι σαφεστέρους τούτων εἰς ἔλεγχον λόγους ἐγὼ δοίην ἄν, εἴ τις ἱκανή που φαίνοιτο κρίσις, ὡς ἐγὼ μὲν ἐκέλευον, σὺ δ' οὐκ ἤθελες πράττειν αὐτά. καὶ μὴν οὐ χαλεπὸν εἰπεῖν ἐναργῶς ὡς ἦν ταῦτα ἄριστα πραχθέντα, καὶ σοὶ καὶ Συρακουσίοις καὶ Σικελιώταις πᾶσιν. ἀλλ' ὦ τᾶν εἰ μὲν φῂς εἰρηκὼς μὴ εἰρηκέναι ταῦτα, ἔχω τὴν δίκην· εἰ δ' ὁμολογεῖς, τὸ μετὰ τοῦτο ἡγησάμενος εἶναι σοφὸν τὸν Στησίχορον, τὴν παλινῳδίαν αὐτοῦ μιμησάμενος ἐκ τοῦ ψεύδους εἰς τὸν ἀληθῆ λόγον μετάστηθι.

Πλάτων Δίωνι Συρακουσίῳ εὖ πράττειν.

ΟΙμαι μὲν φανερὰν εἶναι διὰ παντὸς τοῦ χρόνου τὴν ἐμὴν προθυμίαν, περὶ τὰς συμβεβηκυίας πράξεις. καὶ ὅτι πολλὴν εἶχον περὶ αὐτὴν σπουδὴν εἰς τὸ ξυμπερανθῆναι, οὐκ ἄλλου τινὸς ἕνεκα μᾶλλον, ἢ τῆς ἐπὶ τοῖς καλοῖς φιλοτιμίας. νομίζω γὰρ δίκαιον εἶναι, τοὺς ὄντας τῇ ἀληθείᾳ ἐπιεικεῖς καὶ πράττοντας τοιαῦτα, τυγχάνειν δόξης τῆς προσηκούσης. τὰ μὲν οὖν εἰς τὸ παρὸν σὺν θεῷ εἰπεῖν ἔχει καλῶς. τὰ δὲ περὶ τῶν μελλόντων, ὁ μέγιστός ἐστιν ἀγών· ἀνδρείᾳ μὲν γὰρ καὶ τάχει καὶ ῥώμῃ διενεγκεῖν, δόξειεν ἂν καὶ ἑτέρων εἶναί τινων· ἀληθείᾳ δὲ καὶ δικαιοσύνῃ, καὶ μεγαλοπρεπείᾳ καὶ τῇ περὶ πάντα ταῦτα εὐσχημοσύνῃ ξυμφαίη τις ἂν τοὺς ποιουμένους τὰ τοιαῦτα τιμᾶν, εἰκότως τῶν ἄλλων διαφέρειν· νῦν οὖν δῆλον μέν ἐστιν ὃ λέγω, ἀναμιμνήσκειν δὲ ὅμως δεῖ ἡμᾶς αὐτοὺς ὅτι προσήκει πλέον ἢ παίδων, τῶν ἄλλων ἀνθρώπων διαφέρειν, τοὺς οἶσθα δήπου. φανεροὺς οὖν δεῖ ἡμᾶς γενέσθαι, ὅτι ἐσμὲν τοιοῦτοι οἷοίπερ φαμέν. ἄλλως τε καὶ ἐπειδὴ σὺν θεῷ εἰπεῖν ῥᾴδιον ἔσται. τοῖς μὲν γὰρ ἄλλοις, συμβέβηκεν ἀναγκαῖον εἶναι πλανηθῆναι πολὺν τόπον, εἰ μέλλουσι γνωσθῆναι. τὸ δὲ νῦν ὑπάρχον περὶ σὲ τοιοῦτόν ἐστιν εἰπεῖν,

εἰς ἕνα τόπον ἀποβλέπουσι. καὶ ἐν τούτῳ μάλιστα πρὸς σέ. ὡς οὖν ὑπὸ πάντων ὁρώμενος παρασκεύαζου, τόν τε Λυκοῦργον ἐκεῖνον ἀρχαῖον ἀποδείξων καὶ τὸν Κῦρον. καὶ εἴ τις ἄλλος πώποτε ἔδοξεν ἤθει καὶ πολιτείᾳ διενεγκεῖν. ἄλλως τε καὶ ἐπειδὴ πολλοὶ καὶ σχεδὸν ἅπαντες οἱ τῇδε λέγουσιν ὡς πολλή ἐστιν ἐλπὶς ἀναιρεθέντος Διονυσίου, διαφθαρῆναι τὰ πράγματα, διὰ τὴν σήν τε καὶ Ἡρακλείδου καὶ Θεοδότου καὶ τῶν ἄλλων γνωρίμων φιλοτιμίαν. μάλιστα μὲν οὖν, μηδεὶς εἴη τοιοῦτος· ἐὰν δ' ἄρα καὶ γίγνηταί τις, σὺ φαίνου ἰατρεύων. καὶ πρὸς τὸ βέλτιστον ἔλθοιτ' ἄν. ταῦτα δὲ ἴσως, γελοῖόν σοι φαίνεται εἶναι τὸ ἐμὲ λέγειν, διότι καὶ αὐτὸς οὐκ ἀγνοεῖς. ἐγὼ δὲ καὶ ἐν τοῖς θεάτροις ὁρῶ τοὺς ἀγωνιστὰς ὑπὸ τῶν παίδων παροξυνομένους, μή τι δὴ ὑπό γε τῶν φίλων, οὓς ἄν τις οἴηται μετὰ σπουδῆς, κατ' εὔνοιαν παρακελεύεσθαι. νῦν οὖν αὐτοί τε ἀγωνίζεσθε, καὶ ἡμῖν εἴ του δεῖ ἐπιστέλλετε. τὰ δ' ἐνθάδε παραπλησίως ἔχει, καθάπερ καὶ ὑμῶν παρόντων. ἐπιστέλλετε δὲ καὶ ὅτι πέπρακται ὑμῖν, ἢ πράττοντες τυγχάνετε. ὡς ἡμεῖς πολλὰ ἀκούοντες οὐδὲν ἴσμεν. καὶ νῦν ἐπιστολαὶ παρὰ μὲν Θεοδότου καὶ Ἡρακλείδου, ἥκουσιν εἰς Λακεδαίμονα καὶ Αἴγιναν. ἡμεῖς δὲ καθάπερ εἴρηται, πολλὰ ἀκούοντες περὶ τῶν τῇδε, οὐδὲν ἴσμεν. ἐνθυμοῦ δὲ, καὶ ὅτι δοκεῖς τισιν, ἐνδεεστέρως τοῦ προσήκοντος θεραπευτικὸς εἶναι. μὴ οὖν λανθανέτω σε ὅτι διὰ τοῦ ἀρέσκειν τοῖς ἀνθρώποις, καὶ τὸ πράττειν ἐστίν. ἡ δ' αὐθάδεια ἐρημίᾳ ξύνοικος. εὐτύχει.

Πλάτων Περδίκκᾳ εὖ πράττειν.

Εὐφραίῳ μὲν συνεβούλευσα καθάπερ ἐπέστελλες τὸ σὸν ἐπιμελούμενον, περὶ ταῦτα διατρίβειν. δίκαιος δ' εἰμὶ καὶ ξένιον καὶ ἱερὰν ξυμβουλὴν λεγομένην συμβουλεύειν, περί τε τῶν ἄλλων ὧν ἂν φράζῃς, καὶ ὡς Εὐφραίῳ δεῖ τανῦν χρῆσθαι. πολλὰ μὲν γὰρ ὁ ἀνὴρ χρήσιμος· μέγιστον δὲ οὗ καὶ σὺ νῦν ἐνδεὴς εἶ. διά τε τὴν ἡλικίαν, καὶ διὰ τὸ μὴ πολλοὺς αὐτοῦ πέρι ξυμβούλους εἶναι τοῖς νέοις. ἔστι γὰρ δή τις φωνὴ τῶν πολιτειῶν ἑκάστης, καθαπερεί τινων ζώων· ἄλλη μὲν δημοκρατίας, ἄλλη δ' ὀλιγαρχίας. ἡ δ' αὖ μοναρχίας· ταύτας φαῖεν μὲν ἂν ἐπίστασθαι πάμπολλοι· πλεῖστον δ' ἀπολείπονται τοῦ κατανοεῖν αὐτὰς πλὴν ὀλίγων δή τινων. ἥτις μὲν ἂν οὖν τῶν πολιτειῶν τὴν αὐτῆς φθέγγηται φωνὴν, πρός τε θεοὺς καὶ πρὸς ἀνθρώπους, καὶ τῇ φωνῇ τὰς πράξεις ἑπομένας ἀποδιδῷ, θάλλει τε ἀεὶ καὶ σώζεται, μιμουμένη δ' ἄλλην φθείρεται· πρὸς ταῦτ' οὖν Εὐφραῖός σοι γίγνοιτο οὐχ ἥκιστα ἂν χρήσιμος. καίπερ καὶ πρὸς ἄλλα ὢν ἀνδρεῖος. τοὺς γὰρ τῆς μοναρχίας λόγους, οὐχ ἥκιστ' αὐτὸν ἐλπίζω συνεξευρήσειν τῶν περὶ τὴν σὴν διατριβὴν ὄντων. εἰς ταῦτ' οὖν αὐτῷ χρώμενος, ὀνήσῃ τε αὐτὸς καὶ ἐκεῖνον πλεῖστα ὠφελήσεις. ἐὰν δέ τις ἀκούσας ταῦτα εἴπῃ, Πλάτων ὡς ἔοικε προσποιεῖται μὲν, τὰ δημοκρατίᾳ ξυμφέροντα εἰδέναι. ἐξὸν δ' ἐν τῷ δήμῳ λέγειν καὶ συμβουλεύειν αὐτῷ τὰ βέλτιστα, οὐ πώποτε ἀναστὰς ἐφθέγξατο, πρὸς ταῦτ' εἰπεῖν, ὅτι Πλάτων ὀψὲ ἐν τῇ πατρίδι γέγονε.

vt ex vniuerſo, vt ita dixerim, terrarum orbe vnum in locum, & in illo ipſo in te vnum maximè oculi omnium ſunt conuerſi. Tanquam igitur ſubiectus oculis ſpectatúſque ab omnibus, conare Lycurgum illum antiquum exprimere, & Cyrum: & ſiquis alius videatur vnquam moribus & publicis inſtitutis excelluiſſe: præſertim quum ſit multorum ac penè omnium veſtrorum opinio poſt Dionyſium ſublatū res eſſe perituras, propter tuā & Heraclidis & Theodoti cæterorúmque nobilium ambitionem & excellendi cupiditatem. Primùm quidem optandum eſt, ne quiſquam talis exiſtat. quòd ſiquis apparuerit talis, tu me debere, vt res in melius deducantur. Ridiculum tibi fortè videtur: me iſta monere, cùm tibi ſint nota. Sed ego in theatris conſpicio, certatores à pueris prouocari: nedum ab amicis, qui beneuolentiæ ſtudio cohortari putantur. Vos certè nunc tanquam in theatro quodam certatis. In quo ſi noſtra opera opus eſt: certiores nos facite. Hic autem perinde ſe res habent: vt cùm vos aderatis. Scribite mihi quid actum ſit, quidve agatur. Nam licèt audiamus multa, certi nihil habemus. Multæ à Theodoto & Heraclide feruntur epiſtolæ Lacedæmona & Æginam. Nos autem, vt dixi, audientes multa de rebus veſtris, nihil apertè percipimus. Nec te lateat eam eſſe de te apud quoſdam opinionem quaſi de homine, aliquanto minus quàm decet, officioſo atque affabili. Meméto igitur neceſſariam eſſe ad res gerendas, hominum beneuolétiam: auſteritas verò ſolitudinem amicorum parit. Felix eſto.

Dio Perdiccæ bene agere.

Evphreo ſuaſi quemadmodum ad me ſcripſiſti: vt in rerum tuarum adminiſtratione perſeueraret. Eſt autem meum tibi quoque & de aliis rebus, hoſpitale & ſacrum (vt appellatur) conſilium dare: & quemadmodum Euphræo vti debeas. Profectò vir ille ad multa vtilis eſſe poteſt. Maximè verò ad id cuius tu plurimùm indiges ob ætatem: præſertim cùm haud multi reperiātur, qui de his rebus cōſiliū iuuenibus cōmodè afferre poſſint. Eſt enim vox quædā vniuſcuiuſq; ciuilis gubernationis: velut animalium quorundā. Nam aliam popularis, aliam paucorum, aliam vnius gubernatio vocem emittit. Has intelligere multi profitentur: ſed longè abſunt ab intelligendo præter admodum paucos. Quæ igitur gubernatio propriam vocem erga deos & erga homines emittit: conſentaneáſque voci actiones reddit, ea viret ſemper atque ſeruatur. quòd ſi vocē alterius imitatur, interitum recipit. Ad hæc Euphreus tibi perutilis eſſe poterit: quamuis & ad alia fortis ſit. Rationes enim monarchiæ, id eſt principatus vnius, non minus quàm eos qui apud te ſunt, eum inuenturum eſſe ſpero. Ad hæc igitur illo fretus, vtilitatem ex eo percipies, & referes ipſi tu deinde quàm plurimam. Quòd ſiquis hæc audiens obiiciat: Plato quidem profitetur quæ ad popularem ſtatum conferant intelligere: nunquam tamen, licèt occaſio data fuerit, in ciuitate ſua ſurrexit ad conſilium populo exhibendum: ad hęc reſpōdebitur, Platonē ſerò tādē fuiſſe in patria,

populúmque

populúmque offendiſſe iam ſenectute deſipientem aſſuefactúmque per illos qui antè ſe fuerant, multa diuerſa facere à conſilio ſuo. Nam libentiſſimè vt parenti illi conſuluiſſet, niſi fruſtrà ſeipſum periculo ſubiecturum exiſtimaſſet. Idé quoque circa conſilium mihi futurum exiſtimo. Si enim inſanabiles videremur, re dimiſſa, omni de me meiſque conſilio abſtineret. Eſto felix.

Plato Hermiæ, Eraſto, & Coriſco, bene agere.

Mihi quidem videtur deorum aliquis fortunã vobis optimam, modo rectè eam recipiatis, benignè abundéque paraſſe. Quippe finitimi eſtis, & vtilitatem vobis mutuam conferre valetis maximam. Hermiæ ſiquidé neque multitudo equorum, neque alius belli apparatus, neque auri magnitudo vſque adeò vires augeret, quantùm amicorum bonorum conſtantia atque fidelitas. Eraſto autem & Coriſco præter ſapientiam iſtam de ſpeciebus pulcherrimam, alia inſuper affirmo, & ſi ſum ſenex, opus eſſe ſapientia ad improbos iniuſtóſque cauendum, & ad reſiſtendum potentia. Sunt enim inexperti fraudum: quia penes nos cum hominibus vitæ diu conſueti ſunt minimè malis. Quapropter illos huiuſmodi quadam indigere dico cautione, ne compellantur veram negligere ſapientiam, & humanam hanc neceſſariamque ſapiẽtiam plus quàm deceat meditari. Rurſus verò eam ipſam vim mihi videtur Hermias in primis natura vſq; & arte conſecutus. Quid igitur dico? Equidem Eraſti & Coriſci mores ingeniáq; expertus magis quàm tu, confirmo tibi, ô Hermia, denuncio, teſtor, non facilè magis fidos homines iſtis finitimis eſſe te repertutum. Tibi itaque conſulo, vt quoad fieri poteſt ac licet, omni ſtudio hos viros complectaris. Vobis quoque, ô Eraſte, & Coriſce conſulo, vt Hermiam viciſſim ſuſcipiatis, certantes mutuo amore & beneficio, vno maximè amicitiæ nodo vinciri. At ſi quis veſtrûm coniunctionem iſtam diſſoluere videatur, nam humana quidem mobilia ſunt, huc ad me meóſque mittite accuſatoriam in delinquentem epiſtolam. Puto enim iuſtitia & pudore refertos, qui à nobis proficiſcuntur, ſermones, niſi quid magnum ſubſit, magis, vt dicitur, omni incantatione vos in priſtinam amicitiam & communionem copulaturos. Ita ſi philoſophemur omnes vtrique quantùm valebimus, & noſtrum cuique concedetur, rata hæc modò edita oracula ſeruabũtur. Quòd ſi iſta negligamus, nihil equidem præfabor. Omen nanque bonum vobis prædico, atque vaticinor, hæc bona omnia vos ita demum eſſe facturos, ſi Deus voluerit. Hanc verò epiſtolam à vobis tribus ſimul legendam cenſeo: aut ſaltem duobus vnà legentibus, & ſæpe etiam repetentibus. Vtendúmque vobis pacto & lege certa: etiam iureiurando, vt æquum eſt interpoſito, non ſine eleganti ſtudio, atque huius ſtudij ſorore diſciplina, teſtando Deum rerum omnium ducem præſentium & futurarum, ac ducis & cauſæ patrem dominum. Quem ſi verè philoſophemur cognoſcemus apertè omnes, quatenus felicis hominis natura pertingere poteſt.

καὶ τὸν δῆμον κατέλαβεν ἤδη πρεσβύτερον. καὶ εἰθισμένον ὑπὸ τῶν ἔμπροσθεν, πολλὰ καὶ ἀνόμοια τῇ ἐκείνου ξυμβουλῇ πράττειν· ἐπεὶ πάντων ἂν ἥδιστα καθάπερ πατρὶ συνεβούλευεν αὐτῷ, εἰ μὴ μάτην μὲν κινδυνεύσειν ᾤετο, πλέον δ' οὐδὲν ποιήσειν. ταὐτὸν δὴ οἶμαι δρᾶσαι ἂν καὶ τὴν ἐμὴν ξυμβουλήν. εἰ γὰρ δόξαιμεν ἀνιάτως ἔχειν, πολλὰ ἂν χαίρειν ἡμῖν εἰπὼν, ἐκτὸς ἂν γίγνοιτο τῆς περὶ ἐμὲ καὶ τὰ ἐμὰ ξυμβουλῆς.

Πλάτων Ἑρμείᾳ καὶ Ἐράστῳ καὶ Κορίσκῳ εὖ πράττειν.

Ἐμοὶ φαίνεται θεῶν τις ὑμῖν τύχην ἀγαθὴν ἂν δέξησθε εὐμενῶς καὶ ἱκανῶς παρασκευάζειν. οἰκεῖτε γὰρ δὴ γείτονές τε ὑμῖν αὐτοῖς. καὶ χρείαν ἔχοντες, ὥστε ἀλλήλους εἰς τὰ μέγιστα ὠφελεῖν. Ἑρμείᾳ μὲν γὰρ οὔτε ἵππων πλῆθος οὔτε ἄλλης πολεμικῆς συμμαχίας οὐδ' αὖ χρυσοῦ προσγιγνομένου γένοιτ' ἂν μεῖζον εἰς τὰ πάντα δύναμις, ἢ φίλων βεβαίων τε καὶ ἦθος ἐχόντων ὑγιές. Ἐράστῳ δὲ καὶ Κορίσκῳ, πρὸς τῇ τῶν εἰδῶν σοφίᾳ τῇ καλῇ ταύτῃ φημὶ ἐγὼ καίπερ γέρων ὢν προσδεῖν σοφίας τῆς περὶ τοὺς πονηροὺς καὶ ἀδίκους φυλακτικῆς καί τινος ἀμυντικῆς δυνάμεως. ἄπειροι γάρ εἰσι διὰ τὸ μεθ' ἡμῶν μετρίων ὄντων καὶ οὐ κακῶν, συχνὸν διατετριφέναι τοῦ βίου, διὸ δὴ τούτων προσδεῖν εἶπον, ἵνα μὴ ἀναγκάζωνται τῆς ἀληθινῆς μὲν ἀμελεῖν σοφίας· τῆς δὲ ἀνθρωπίνης τε καὶ ἀναγκαίας ἐπιμελεῖσθαι μειζόνως ἢ δεῖ. ταύτην δ' αὖ τὴν δύναμιν, Ἑρμείας μοι φαίνεται φύσει τε ὅσα μήπω ξυγγεγονότι καὶ τέχνῃ δι' ἐμπειρίας εἰληφέναι. τί οὖν δὴ λέγω· σοὶ μὲν Ἑρμεία, πεπειραμένος Ἐράστου καὶ Κορίσκου πλείονα ἢ σὺ, φημὶ καὶ μηνύω καὶ μαρτυρῶ μὴ ῥᾳδίως εὑρήσειν σε ἀξιοπιστότερα ἤθη τούτων τῶν γειτόνων. ἔχεσθαι δὴ παντὶ ξυμβουλεύω δικαίῳ τρόπῳ τούτων τῶν ἀνδρῶν, μὴ πάρεργον ἡγούμενον. Κορίσκῳ δὲ καὶ Ἐράστῳ πάλιν Ἑρμείου ἀντέχεσθαι ξυμβουλεύω. καὶ πειρᾶσθαι διὰ τῆς ἀνθέξεως ἀλλήλων εἰς μίαν ἀφικέσθαι φιλίας ξυμπλοκήν. ἂν δέ τις ὑμῶν ἄρα ταύτην πῃ λύειν δοκῇ, τὸ γὰρ ἀνθρώπινον οὐ πάντῃ βέβαιον, δεῦρο παρ' ἐμὲ καὶ τοὺς ἐμοὺς, πέμπετε μεμφῆς κατήγορον ἐπιστολήν. οἶμαι γὰρ δίκῃ τε καὶ αἰδοῖ τοὺς παρ' ἡμῶν ἐνθένδε ἐλθόντας λόγους. εἰ μή τι τὸ λυθὲν μέγα τύχοι γενόμενον ἐπῳδῆς ἡστινοσοῦν μᾶλλον ἂν συμφῦσαι καὶ συνδῆσαι πάλιν εἰς τὴν προϋπάρχουσαν φιλότητά τε καὶ κοινωνίαν. ἣν ὅταν μὲν φιλοσοφῶμεν ἅπαντες ἡμεῖς τε καὶ ὑμεῖς ὅσον ἂν δυνώμεθα καὶ ἑκάστῳ παρείκῃ, κύρια τὰ νῦν κεχρησμῳδημένα ἔσται. τὸ δ' ἂν μὴ δρῶμεν ταῦτα, οὐκ ἐρῶ. φήμην γὰρ ἀγαθὴν μαντεύομαι. καί φημι ταῦθ' ἡμᾶς πάντ' ἀγαθὰ ποιήσειν, ἂν θεὸς ἐθέλῃ. ταύτην τὴν ἐπιστολὴν πάντας ὑμᾶς τρεῖς ὄντας ἀναγνῶναι χρή· μάλιστα μὲν ἀθρόους. εἰ δὲ μὴ, κατὰ δύο κοινῇ κατὰ δύναμιν οἷόν τ' ἐστὶ πλειστάκις. καὶ χρῆσθαι συνθήκῃ καὶ νόμῳ κυρίῳ, ὅ ἐστι δίκαιος, ἐπομνύντας σπουδῇ τε ἅμα μὴ ἀμούσῳ καὶ τῇ τῆς σπουδῆς ἀδελφῇ παιδιᾷ, καὶ τὸν τῶν πάντων θεὸν ἡγεμόνα τῶν τε ὄντων καὶ τῶν μελλόντων, τοῦ τε ἡγεμόνος καὶ αἰτίου πατέρα κύριον ὃν ἂν ὄντως φιλοσοφῶμεν εἰσόμεθα πάντες σαφῶς εἰς δύναμιν ἀνθρώπων εὐδαιμόνων.

Πλάτων τοῖς Δίωνος οἰκείοις τε καὶ ἑταίροις, εὖ πράττειν.

Ἐπεστείλατέ μοι νομίζειν δεῖν τὴν διάνοιαν ὑμῶν εἶναι τὴν αὐτὴν ἣν εἶχε καὶ Δίων· καὶ δὴ καὶ κοινωνεῖν διεκελεύεσθέ μοι, καθ' ὅσον οἷός τε εἰμι ἔργῳ καὶ λόγῳ. ἐγὼ δὲ εἰ μὲν δόξαν καὶ ἐπιθυμίαν τὴν αὐτὴν ἔχετε ἐκείνῳ, ξύμφημι κοινωνήσειν. εἰ δὲ μὴ βουλεύσεσθαι πολλάκις. τίς δ' ἦν ἡ ἐκείνου διάνοια καὶ ἐπιθυμία, σχεδὸν οὐκ εἰκάζων, ἀλλ' ὡς εἰδὼς σαφῶς εἴποιμ' ἄν. ὅτε γὰρ κατ' ἀρχὰς εἰς Συρακούσας ἐγὼ ἀφικόμην, σχεδὸν ἔτη τετταράκοντα γεγονὼς Δίων εἶχε τὴν ἡλικίαν, ἣν τὰ νῦν Ἱππαρῖνος γέγονε· καὶ ἣν ἔσχε τότε δόξαν, ταύτην καὶ διετέλεσεν ἔχων Συρακουσίους οἴεσθαι δεῖν ἐλευθέρους εἶναι κατὰ νόμους τοὺς ἀρίστους οἰκοῦντας· ὥστε οὐδὲν θαυμαστὸν εἴ τις θεῶν καὶ τοῦτον, εἰς τὴν αὐτὴν δόξαν περὶ πολιτείας, ἐκείνῳ γενέσθαι σύμφρονα ποιήσειε. τίς δ' ἦν ὁ τρόπος τῆς γενέσεως αὐτῆς, οὐκ ἀπάξιον ἀκοῦσαι νέῳ καὶ μὴ νέῳ. πειράσομαι δὲ ἐξ ἀρχῆς αὐτὴν ἐγὼ πρὸς ὑμᾶς διεξελθεῖν· ἔχει γὰρ καιρὸν τὰ νῦν. νέος ἐγώ ποτε ὤν, πολλοῖς δὴ ταὐτὸν ἔπαθον. ᾠήθην εἰ θᾶττον ἐμαυτοῦ γενοίμην κύριος, ἐπὶ τὰ κοινὰ τῆς πόλεως εὐθὺς ἰέναι, καί μοι τύχαι τινὲς τῶν τῆς πόλεως πραγμάτων, τοιαίδε παρέπεσον. ὑπὸ πολλῶν γὰρ τῆς τότε πολιτείας λοιδορουμένης, μεταβολὴ γίγνεται. καὶ τῆς μεταβολῆς, εἷς καὶ πεντήκοντά τινες ἄνδρες προὔστησαν ἄρχοντες. ἕνδεκα μὲν ἐν ἄστει. δέκα δ' ἐν Πειραιεῖ· περί τε ἀγορὰν ἑκάτεροι τούτων, ὅσα τ' ἐν τοῖς ἄστεσι διοικεῖν ἔδει. τριάκοντα δὲ πάντων ἄρχοντες κατέστησαν αὐτοκράτορες. τούτων δή τινες, οἰκεῖοί τε ὄντες καὶ γνώριμοι ἐτύγχανον ἐμοί· καὶ δὴ παρεκάλουν εὐθύς, ὡς ἐπὶ προσήκοντα πράγματά με. καὶ ἐγώ, θαυμαστὸν οὐδὲν ἔπαθον ὑπὸ νεότητος. ᾠήθην γὰρ αὐτοὺς ἔκ τινος ἀδίκου βίου, ἐπὶ δίκαιον τρόπον ἄγοντας διοικήσειν δὴ τὴν πόλιν, ὥστε αὐτοῖς σφόδρα προσεῖχον τὸν νοῦν, τί πράξειεν. καὶ ὁρῶν δήπου τοὺς ἄνδρας ἐν χρόνῳ ὀλίγῳ χρυσῆν ἀποδείξαντας τὴν ἔμπροσθεν πολιτείαν, τά τε ἄλλα καὶ φίλον ἄνδρα ἐμοὶ πρεσβύτερον Σωκράτη ὃν ἐγὼ σχεδὸν οὐκ ἂν αἰσχυνοίμην εἰπὼν δικαιότατον εἶναι τῶν τότε ἐπί τινα τῶν πολιτῶν μεθ' ἑτέρων ἔπεμπον, βίᾳ ἄξοντα ὡς ἀποθανούμενον. ἵνα δὴ μετέχοι τῶν πραγμάτων αὐτοῖς. εἴτε βούλοιτο, εἴτε μή· ὁ δ' οὐκ ἐπείθετο. πᾶν δὲ παρεκινδύνευσε παθεῖν, πρὶν ἀνοσίων αὐτοῖς ἔργων γενέσθαι κοινωνός· ἃ δὴ πάντα καθορῶν καὶ εἴ τι ἄλλα τοιαῦτα οὐ σμικρά, ἐδυσχέρανά τε, καὶ ἐμαυτὸν ἐπανήγαγον ἀπὸ τῶν τότε κακῶν. χρόνῳ δὲ οὐ πολλῷ, μετέπεσε τὰ τῶν τριάκοντά τε καὶ πᾶσα ἡ τότε πολιτεία, πάλιν δέ, βραδύτερον μέν, εἷλκε δέ με ὅμως, ἡ περὶ τὸ πράττειν τὰ κοινὰ καὶ πολιτικὰ ἐπιθυμία. ἦν οὖν καὶ ἐν ἐκείνοις ἅτε τεταραγμένοις, πολλὰ γιγνόμενα, ἅ τις ἂν δυσχεράνειεν· καὶ οὐδέν τι θαυμαστὸν ἦν τιμωρίας ἐχθρῶν γίγνεσθαί τισι τινὰς μείζους, ἐν μεταβολαῖς. καίτοι πολλῇ γε ἐχρήσαντο οἱ τότε κατελθόντες ἐπιεικείᾳ. κατὰ δέ τινα τύχην αὖ τὸν ἑταῖρον ἡμῶν Σωκράτη τοῦτον δυναστεύοντές τινες,

Plato Dionis propinquis & amicis, bene agere.

SCripſiſtis mihi cenſere vos eandem mentem in Republica eſſe vobis conſeruandam, quam Dio habuiſſet: méque rogatis in communionem accedere quantùm verbo factóque virium habeam. Ego autem ſi eam voluntatem opinionémque quam ille habuit, habetis, aſſentior vobis, & in communionē accedo: ſi non habetis de ea re conſultãdum etiam atque etiam dico. Quæ verò fuerit illius mēs atque voluntas: non vt coniectans, ſed tanquã ſciēs referre poſſum. Quãdo ego primùm Syracuſas profectus ſum, annos circiter quadraginta ætatis agens: Dio in ea erat ætate, qua nunc Hipparinus: & in ea quã tunc cõprehenderat opinione ſemper perſeuerauit, Syracuſanos putans eſſe liberos oportere, atq; optimis legibus gubernari. Itaque nõ ſit mirãdum, ſiquis deorum hunc in eadem opinione Reipublicę gubernandæ ipſi conſentientem præſtitiſſet. Qua verò ratione id fuerit faciendum digna res eſt, quæ & ſeni & iuueni audiatur. Conabor autem: quoniã præſens tempus id poſcit rem omnem à principio vobis referre. Equidem adoleſcens dum eſſem, eandem quam plerique habui cupiditatem. Statueram enim cùm primùm mei ipſius compos factus eſſem, ad Rempublicam conferre. Interim talia quædam circa Rempublicam contigerunt. Nam cùm is qui tum erat Reipublicæ ſtatus à multis improbaretur: ſecuta mutatio eſt. Tunc vnus & quinquaginta viri gubernatione ſuſcepta: vndecim in vrbe, decem verò in Piræo forenſium vrbana: úmque rerum adminiſtrationem habebant. Sed penes triginta viros ſumma erat omnium autoritas conſtituta. Horum nonnulli domeſtici & noti erant mihi qui me ſtatim ad Rempublicam capeſſendam inuitauerunt, Atque ego nihil mirabile ſum ob iuuentutem perpeſſus. Quippe exiſtimabam illos ab iniuſta vita ciuitatem ad iuſtos mores debere conuertere. Itaque diligenter in dies quid facerēt, obſeruabam. Verùm animaduerti eos breui admodũ tēpore ita ſe gerere, vt prior ille Reipublicæ ſtatus fuiſſe aureus putaretur. Nam & alia multa iniuſtè fecerunt: & amicũ meum ſeniorem Socratem, quem ego iuſtiſſimum omnium qui tunc erant appellare non vereor, vnà cum aliis quibuſdã ad adducendũ ciuium quēdam ad ſe miſerũt: vt vltimo ſupplicio afficeretur: Socratémque ipſum vel ſponte vel inuitũ quaſi participē ſibi coniungerent: qui tamē parere noluit, ac potiùs cuncta pati grauiſſima conſtituit, quàm impiorum ſcelerum illis ſocius exiſtere. Hæc igitur cùm viderem, & alia quædam non parua, grauiter tuli, & ab illis malis me recepi. Nec multò pòſt ſecuta horum triginta euerſio eſt: totáq; Reſpublica mutata. Rurſus igitur quanquam moderatius, cupiebam tamen adire Rempublicam. Sed agebantur tũc etiã, vtpote turbata Republica, quæ improbares permulta. Nec ſanè mirum fuerit in huiuſmodi mutationibus inimicos quoſdam pœnas dare grauiores, quanquam qui redierant, magna vterentur clementia. Iterum ſorte quadam accidit, vt Socratem hunc amicũ noſtrum potentes in Republica quidam accuſarent,

impium

impium crimen obiicientes, ac minimè omnium ipſi conueniens. quaſi enim non rectè de diis ſentiret, alij quidem in iudicium traxerunt: alij ſententiã in eum dixerunt, condemnaueruntque, & eum hominem necauere, qui ſuperiori tempore, quo nihil impiè faceret, vnum ex ipſis tunc exulantem ducere, atque rei impiæ nullo modo particeps fieri ſuſtinuerat. Cùm hæc igitur animaduerterem, & homines qui in Reipublicæ gubernatione verſabãtur, legéſque & mores, quãto magis conſiderarem, quantóque magis ætate progrederer, tanto difficilius arbitrabar eſſe rectè Rempublicã gubernare. Neque enim hoc fieri poteſt abſque amicis ſociíſque fidelibus. Quos tum reperire haud facile erat, non enim amplius patriis moribus inſtitutiſque ciuitas noſtra gubernabatur: & parare nouos impoſſibile erat ſine ſumma difficultate: vtpote ſimul legibus moribúſque penitus corruptis. Itaque ego ille qui primus exarſeram incredibili cupiditate me ad Rempublicam conferendi, intuens cuncta in præceps deferri, tandem quò me verterem, neſciebam. Et ab inueſtigatione quidem nequaquam deſiſtere placuit: ſi quid fortè melius eueniret & circa hæc ipſa & vniuerſam Rempublicam: agẽdi verò opportunitatem aliquam expectare. Tandem verò compertum eſt mihi Reſpublicas omnes quę nũc ſunt, improbè gubernari. Nam quatùm ad leges attinet, inſanabiles ferme ſũt: nullo inſtituto egregio ſed fortuna quadam viuẽtes. Quapropter dicere adductus ſum, laudans rectã philoſophiã quid iuſtũ ſit, & quid non, tã in Republica quã in priuata per eã duntaxat diſcerni. Itaq; non priùs deſinere humanũ genus in malis verſari, quã aut homines rectè veréq; philoſophantes Reipub. gubernationẽ adepti fuerint: aut hi qui gubernãt, diuina quadã ſorte verè philoſophentur. Hac ego mẽte Italiã Siciliámq; adiui. hæc fuit prima in ea loca profectio mea. Quò cùm veniſsẽ, vita illa beata quæ ferebatur plena Italicarũ Syracuſanarúmq; menſarũ, nullo modo mihi placuit, bis in die ſaturũ fieri, nec vnquã pernoctare ſolũ, cæteráq; quę comitantur huic vitæ. Nemo enim omniũ qui ſub cœlo ſunt, ſi in huiuſmodi moribus ab adoleſcentia nutriatur, quamuis natura & ingenio excellenti præditus, vnquã tamen prudens euadet. Temperatus eſſe certè nunquã curabit. Eadémq; erit de cęteris virtutibus ratio. Ciuitas autem nulla legibus a quieſcere poterit, ſi cuncta in ſuperfluos ſumptus eroganda ciues exiſtiment: cæteriſque poſthabitis omnibus conuiuiis duntaxat & Venereis oblectamentis obnixè putent operam impendendam. Neceſſe eſt huiuſmodi ciuitates modò in tyrannidem, modò in paucorũ potentiam, modò in popularem ſtatum mutari: neque vnquam quieſcere: iuſtę verò æquabiliſque gubernationis eos qui in his ciuitatibus potẽtes ſunt, ne nomen quidẽ ipſum audire velle. Hæc ego vnà cum ſuperioribus illis conſiderans, Syracuſas profectus ſum: fortè quidem fortuna quadam. Videtur autem alicuius eorum opera qui ſupra nos ſunt, principium tunc fuiſſe datum omnibus quæ nuper Dioni Syracuſiſque contigerunt:

εἰσάγουσιν εἰς δικαστήριον, ἀνοσιωτάτην αἰτίαν ἐπιβαλόντες, καὶ πάντων ἥκιστα Σωκράτει προσήκουσαν, ὡς ἀσεβῆ γὰρ οἱ μὲν εἰσήγαγον, οἱ δὲ, κατεψηφίσαντο, καὶ ἀπέκτειναν, τὸν τότε τῆς ἀνοσίου ἀγωγῆς οὐκ ἐθελήσαντα μεταχεῖν περὶ ἕνα τῶν τότε φευγόντων φίλων, ὅτε φεύγοντες ἐδυστύχουν αὐτοί. σκοποῦντι δή μοι ταῦτά τε, καὶ τοὺς ἀνθρώπους τοὺς πράττοντας τὰ πολιτικὰ, καὶ τοὺς νόμους γε καὶ ἔθη, ὅσῳ μᾶλλον διεσκόπουν ἡλικίας τε εἰς τὸ πρόσθεν προὔβαινον, τοσούτῳ χαλεπώτερον ἐφαίνετο ὀρθῶς εἶναί μοι τὰ πολιτικὰ διοικεῖν. οὔτε γὰρ ἄνευ φίλων ἀνδρῶν καὶ ἑταίρων πιστῶν, οἷόν τ᾽ εἶναι πράττειν. οὓς οὔθ᾽ ὑπάρχοντας ἦν εὑρεῖν εὐπετὲς, οὐ γὰρ ἔτι ἐν τοῖς τῶν πατέρων ἤθεσι καὶ ἐπιτηδεύμασιν ἡ πόλις ἡμῶν διῳκεῖτο. καινούς τε ἄλλους, ἀδύνατον ἦν κτᾶσθαι μετά τινος ῥᾳστώνης. τά τε τῶν νόμων γράμματα καὶ ἔθη, διεφθείρετο. καὶ ἐπεδίδου θαυμαστὸν ὅσον, ὥστε με τὸ πρῶτον πολλῆς μεστὸν ὄντα ὁρμῆς ἐπὶ τὸ πράττειν τὰ κοινὰ, βλέποντα εἰς ταῦτα καὶ φερόμενα ὁρῶντα πάντη πάντως, τελευτῶντα ἰλιγγιᾶν· καὶ τοῦ μὲν σκοπεῖν μὴ ἀποστῆναι, μή ποτε ἄμεινον ἂν γίγνοιτο περί τε αὐτὰ ταῦτα. καὶ δὴ καὶ περὶ τὴν πᾶσαν πολιτείαν. τοῦ δὲ πράττειν αὖ, περιμένειν ἀεὶ καιρούς. τελευτῶντα δὲ νοῆσαι περὶ πασῶν τῶν νῦν πόλεων, ὅτι κακῶς ξύμπασαι πολιτεύονται. τὰ γὰρ τῶν νόμων αὐταῖς, σχεδὸν ἀνιάτως ἔχοντά ἐστιν, ἄνευ παρασκευῆς θαυμαστῆς τινος μετὰ τύχης· λέγειν τε ἠναγκάσθην, ἐπαινῶν τὴν ὀρθὴν φιλοσοφίαν, ὡς ἐκ ταύτης ἐστὶ τά τε πολιτικὰ δίκαια καὶ τὰ τῶν ἰδιωτῶν πάντα κατιδεῖν. κακῶν οὖν οὐ λήξειν τὰ ἀνθρώπινα γένη πρὶν ἂν ἢ τὸ τῶν φιλοσοφούντων ὀρθῶς γε καὶ ἀληθῶς γένος, εἰς ἀρχὰς ἔλθῃ τὰς πολιτικὰς, ἢ τὸ τῶν δυναστευόντων ἐν ταῖς πόλεσιν ἔκ τινος μοίρας θείας ὄντως φιλοσοφήσῃ. ταύτην δὴ τὴν διάνοιαν ἔχων εἰς Ἰταλίαν τε καὶ Σικελίαν ἦλθον, ὅτε πρῶτον ἀφικόμην. ἐλθόντα δέ με, ὁ ταύτῃ λεγόμενος αὖ βίος εὐδαίμων Ἰταλιωτικῶν τε καὶ Συρακουσίων τραπεζῶν, οὐδαμῇ οὐδαμῶς ἤρεσε. δίς τε τῆς ἡμέρας ἐμπιπλάμενον ζῆν, καὶ μηδέποτε κοιμώμενον μόνον νύκτωρ· καὶ ὅσα τούτῳ ἐπιτηδεύματα ξυνέπεται τῷ βίῳ. ἐκ γὰρ τούτων τῶν ἐθῶν, οὔτ᾽ ἂν φρόνιμος οὐδεὶς ποτὲ γενέσθαι τῶν ὑπὸ τὸν οὐρανὸν ἀνθρώπων ἐκ νέου ἐπιτηδεύων δύναιτο, οὐχ οὕτως θαυμαστῇ φύσει κραθήσεται· σώφρων δὲ οὐδ᾽ ἂν μελλήσαι ποτὲ γενέσθαι· καὶ δὴ καὶ περὶ τῆς ἄλλης ἀρετῆς ὁ αὐτὸς λόγος ἂν εἴη. πόλις τε οὐδεμία ἂν ἠρεμήσαι κατὰ νόμους οὐδ᾽ οὕστινασοῦν, ἀνδρῶν οἰομένων ἀναλίσκειν μὲν δεῖν πάντα εἰς ὑπερβολάς. ἀργῶν δὲ, εἰς ἅπαντα ἡγουμένων αὖ δεῖν γίγνεσθαι, πλὴν εἰς εὐωχίας καὶ πότους, καὶ ἀφροδισίων σπουδὰς διαπονουμένων. ἀναγκαῖον δὲ εἶναι ταύτας τὰς πόλεις, εἰς τυραννίδας τε καὶ ὀλιγαρχίας καὶ δημοκρατίας μεταβαλλούσας, μηδέποτε λήγειν. δικαίου δὲ καὶ ἰσονόμου πολιτείας τοὺς αὐταῖς δυναστεύοντας, μηδ᾽ ὄνομα ἀκούοντας, ἀνέχεσθαι. ταῦτα δὴ πρὸς τοῖς πρόσθε διανοούμενος εἰς Συρακούσας διεπορεύθην· ἴσως μὲν κατὰ τύχην· ἔοικε μὴν τότε μηχανωμένῳ τινὶ τῶν κρειττόνων, ἀρχὴν βαλέσθαι τῶν νῦν γεγονότων πραγμάτων περὶ Δίωνα καὶ τῶν περὶ Συρακούσας:

δίως δὲ μὴ καὶ πλείονα ἔτι ἐὰν μὴ νῦν ὑμεῖς ἐμοὶ πείθησθε, τὸ δεύτερον συμβουλεύοντι. πῶς οὖν δὴ λέγω πάντων ἀρχὴν γεγονέναι τὴν τότε, τὴν εἰς σικελίαν ἐμὴν ἄφιξιν. ἐγὼ συγγιγνόμενος δίωνι τότε νέῳ, κινδυνεύω τὰ δοκοῦντα ἐμοὶ βέλτιστα ἀνθρώποις εἶναι μηνύων διὰ λόγων, καὶ πράττειν αὐτὰ ξυμβουλεύων, ἀγνοεῖν ὅτι τυραννίδος τινὰ τρόπον κατάλυσιν ἐσομένην μηχανώμενος, ἐλάνθανον ἐμαυτόν. δίων μὲν γὰρ δὴ μάλ᾽ εὐμαθὴς ὤν, πρός τε τἆλλα καὶ πρὸς τοὺς τότε ὑπ᾽ ἐμοῦ λόγους λεγομένους, οὕτως ὀξέως ὑπήκουσε καὶ σφόδρα, ὡς οὐδεὶς πώποτε ὧν ἐγὼ προσέτυχον νέων, καὶ τὸν ἐπίλοιπον βίον ζῆν ἠθέλησε, διαφερόντως τῶν πολλῶν ἰταλιωτῶν τε καὶ σικελιωτῶν ἀρετήν, περὶ πλείονος ἡδονῆς τῆς τε ἄλλης τρυφῆς ἠγαπηκώς. ὅθεν ἐπαχθέστερον τοῖς περὶ τὰ τυραννικὰ νόμιμα ζῶσιν ἐβίω, μέχρι τοῦ θανάτου τοῦ περὶ διονύσιον γενομένου. μετὰ δὲ τοῦτο, διενοήθη μὴ μόνον ἐν αὐτῷ ποτ᾽ ἂν γενέσθαι ταύτην τὴν διάνοιαν, ἣν αὐτὸς ὑπὸ τῶν ὀρθῶν λόγων ἔσχεν. ἐγγιγνομένην δ᾽ οὖν ἐνιδών, ὡς καὶ διονύσιον ἡγήσατο ἂν γενέσθαι, τάχ᾽ ἂν ξυλλαμβανόντων θεῶν. γενομένου δ᾽ αὖ τοῦ τοιούτου, τόν τε αὐτοῦ βίον καὶ τὸν τῶν ἄλλων συρακουσίων, ἀμήχανον ἂν μακαριότητι ξυμβῆναι γενόμενον. πρὸς δὴ τούτοις ᾠήθη δεῖν ἐκ παντὸς τρόπου, εἰς συρακούσας ὅτι τάχιστα ἐλθεῖν ἐμέ, κοινωνὸν τούτων· μεμνημένος, τήν τε αὐτοῦ καὶ ἐμὴν συνουσίαν, ὡς εὐπετῶς ἐξειργάσατο εἰς ἐπιθυμίαν ἐλθεῖν αὐτὸν τοῦ καλλίστου τε καὶ ἀρίστου βίου· ὃ δὴ καὶ νῦν εἰ διαπράξαιτο ἐν διονυσίῳ ὡς ἐπεχείρησε, μεγάλας ἐλπίδας εἶχεν ἄνευ σφαγῶν καὶ θανάτων καὶ τῶν νῦν γεγονότων κακῶν βίον ἂν εὐδαίμονα καὶ ἀληθινὸν ἐν πάσῃ τῇ χώρᾳ κατασκευάσαι. ταῦτα δίων ὀρθῶς διανοηθείς, ἔπεισε μεταπέμπεσθαι διονύσιον ἐμέ. καὶ αὐτὸς ἐδεῖτο πέμπων, ἥκειν ὅτι τάχιστα ἐκ παντὸς τρόπου, πρίν τινας ἄλλους ἐντυχόντας διονυσίῳ, ἐπ᾽ ἄλλον βίον αὐτὸν τοῦ βελτίστου παρατρέψαι. λέγων δὲ τάδε ἐδεῖτο εἰ καὶ μακρότερα εἰπεῖν· τίνας γὰρ καιρούς, ἔφη, μείζους περιμενοῦμεν, τῶν νῦν παραγεγονότων θείᾳ τινὶ τύχῃ· καταλέγων δὲ τήν τε ἀρχὴν τῆς ἰταλίας καὶ σικελίας καὶ τὴν αὐτοῦ δύναμιν ἐν αὐτῇ, καὶ τὴν νεότητα, καὶ τὴν ἐπιθυμίαν τὴν διονυσίου, φιλοσοφίας τε καὶ παιδείας ὡς ἔχοι σφόδρα λέγων, τούς τε αὐτοῦ ἀδελφιδοῦς καὶ τοὺς οἰκείους· ὡς εὐπαράκλητοι εἶεν πρὸς τὸν ὑπ᾽ ἐμοῦ λεγόμενον ἀεὶ λόγον καὶ βίον. ἱκανώτατοί τε διονύσιον συμπαρακαλεῖν· ὥστε εἴπερ ποτέ, καὶ νῦν ἐλπὶς πᾶσα ἀποτελεσθήσεται, τοῦ τοὺς αὐτοὺς φιλοσόφους τε καὶ πόλεων ἄρχοντας μεγάλων ξυμβῆναι γενομένους· τὰ μὲν δὴ παρακελεύματα, ἦν ταῦτά τε καὶ τοιαῦτα ἕτερα πάμπολλα. τὴν δ᾽ ἐμὴν δόξαν, τὸ μὲν περὶ τῶν νέων ὅπῃ ποτὲ γενήσοιτο, εἶχε φόβος. αἱ γὰρ ἐπιθυμίαι τῶν τοιούτων ταχεῖαι, καὶ πολλάκις ἑαυταῖς ἐναντίαι φερόμεναι· τὸ δὲ δίωνος ἦθος, ἠπιστάμην τῆς ψυχῆς πέρι φύσει τε ἐμβριθὲς ὂν ἡλικίας τε ἤδη μετρίως ἔχον. ὅθεν μοι σκοπουμένῳ καὶ διστάζοντι, πότερον αὖ εἴη πορευτέον καὶ ὑπακουστέον ἢ πῶς, ὅμως ἔρρεψε δεῖν, εἴ ποτέ τις τὰ διανοηθέντα,

ac vereor, ne pluribus inſuper, ſi vos mihi nunc iterum conſulẽti nequaquam aſſentiamini. Quemadmodum verò dicam omnium fuiſſe principiũ, profectionem tunc Syracuſas meam accipite. Ego cum Dione tunc iuuene conuerſabar frequens, & quæ hominibus optima fore arbitrabar, quibus poteram rationibus ſuadebam, & vt faceret conſulebam. Sed his dicendis videor latenter & præter intentionem tunc eam tyrannidis ruinam quæ ſequuta eſt, parauiſſe. Dio enim cũ eſſet acerrimo ingenio, cùm ad cætera omnia, tum ad quę tunc dicebatur à me perdiſcenda, ita celeriter ac vehementer illa arripuit, vt nemo ex omnibus iuuenibus quos vnquam conuenerim. Ac reliquam vitã ducere ſtatuit multò præſtantius quàm alij multi Italicorum atque Siculorũ, virtutem potius quàm voluptatẽ deliciaſque ſectatus. Itaque inſenſus viuebat illiſ qui in tyrãnicis inſtitutis degebant: atq; hoc vſq; ad Dionyſij mortẽ. Poſtea verò animaduertit eam ſententiam quam ipſe rectis conceperat rationibus, nõ in ſe vno ſolũ, verumetiam in alijs quibuſdã licet non multis exiſtere: in quorum numero Dionyſium iuniorẽ diis bene iuuantibus ſperabat fore: quòd ſi accideret, & ille ipſe & cæteri Syracuſani mirificam felicitatem nanciſcerentur. Quapropter cenſuit me quàm celerrimè Syracuſas debere accedere, vt horũ ſocium adiutorémque me adiungerem: memoria tenens quàm facile dudum mea cõſuetudo ipſum in cupiditatem vitæ pulcherrimæ atq; optimæ traduxiſſet. Quam cupiditatem ſi in Dionyſio vt aggreſſus erat perficeret, magnam ſpem habebat abſque cædibus & ſanguine, & abſque iis quæ nunc euenerunt malis, veram viuendi rationem ac beatam vitam in vniuerſa illa regione conſtituere poſſe. Hæc Dio rectè conſiderans, Dionyſio ſuaſit, vt me vocaret: & ipſe quoque rogauit vt accedere cũctis poſthabitis feſtinarem: priùs quàm vlli alij Dionyſio adhærentes, neglectis optimis vitæ inſtitutis ad alia illũ deflecterent. Cohortationem inſuper precibus lõgam adiũxit. Quódnam, inquit, tempus aliud iam expectamus ad agendum opportunius, quàm quod nunc nobis eſt diuina quadam fortuna cõceſſum. Narrabat præterea magnitudinem imperij Dionyſij per Italiam atque Siciliam, eiúſque in his ipſis locis potentiam, iuuentam quoque, atque cupiditatem eius ad philoſophiæ & diſciplinæ ſtudia vehementiſſimam. Quinetiam quàm propenſi forent eius neceſſarij atque domeſtici cùm ad eam quam ſuaderem diſciplinam vitæ recipiendam, tum etiam quàm in ipſo quoque Dionyſio ad hoc prouocando valerẽt. Itaque ſi vnquam aliàs, nunc certè maximam adeſſe ſpem eoſdem fore & philoſophos & magnarum principes ciuitatum. Ille igitur his me rationibus aliiſque generis eiuſdẽ permultis adhortabatur. Ego verò quo tandem affectus iuuenum euaſurus eſſet formidabam. Talium enim cupiditates & veloces ſunt, & ſæpe ſibimet contrariæ feruntur. Dionem tamen tum natura grauem, tum ætate iam ſatis maturum eſſe ſciebam. Itaque cogitanti ambigentique mihi vtrum eundum parendúmque foret, nécne, ſubiit tandem, obſequendum eſſe. At-

que

que ſi quis vnquam ea quæ de legibus & Republica cogitauerat, perficere vellet, nunc fore tentandum. Quippe cùm iudicarem ſi vni duntaxat perſuaſiſſem, me bona ſufficienter omnia perfecturum. Quamobrem hac ſententia fiduciáque domo abij: non qua opinabantur quidam: ſed quadam ſcientiæ verecundia imprimis adductus, ne quando mihi ipſi viderer verba ſolùm habere: effectum verò officiúmque nullum ſponte præſtare: proderéque primùm Dionis hoſpitalitatem amicitiamque non paruis ſubiectis periculis. Cui ſi quid aduerſi accideret, vel pelleretur à Dionyſio cæteriſque inimicis, atque profugus ad nos his verbis confugeret: O Plato, venio ad te patria pulſus: cùm neque militibus neque equitibus carerem, quorum viribus reſiſterem inimicis: ſed verbis perſuaſionéque indigerem: qua maximè ſciebam te poſſe iuuenes ad probitatem iuſtitiámque exortando in amicitiam neceſſitudinémque deuincire. Quarum defectu rerum modò per te factum eſt, vt ego Syracuſis expulſus huc acceſſerim. Et mea quidem fortuna abs te deſerta minus tibi vituperationis affert. At verò ipſa philoſophia quam ſemper laudas, quámve apud alios carere honore conquereris, nónne abs te nunc vnà mecum prodita eſt? Quòd ſi Megaris fuiſſem, veniſſes vtique mihi adiutor, cùm te vocaſſem: alioquin te omnium ignauiſſimum iudicaſſes. Nùc autem ob itineris longitudinē periculúmq; nauigationis atque labores, te excuſans, infamiam te vitare te putas: permultùm certè aberit. Si vnquam hæc ille diceret: quænam mihi eſſet probabilis reſponſio? Certè nulla. Quas ob res rationibus quoad fieri poteſt probabilibus atque ipſo iure adductus acceſſi, relinquens exercitationes meas ſatis quidē honeſtas, vt ſubirem tyrannidem, neque meis ſermonibus, neque mihi conuenientem. Veniens autem me liberaui, ne vel hoſpitalis Iupiter, vel philoſophica ſors accuſare me poſſet. Certè philoſophiæ dedecori fuiſſem ſi ob mollitiem timiditatém que infamiæ notam ſubiiſſem. Cæterùm cùm eò veniſſem, (neque enim oportet longius euagari) omnia apud Dionyſium ſeditionis plena offendi, atque calumniarum in Dionem, quaſi tyrannidem affectaret. Defendi igitur quantum valui: ſed parū potui. Quarto enim fere menſe poſt aduentū meū Dionyſius accuſans Dionem quaſi tyrannidi inſidiaretur, in paruum coniecit nauigium ac turpiter expulit. Amici verò Dionis, quot eramus, cūcti formidabamus, ne fortè aliquem noſtrum Dionyſius quaſi ſocium illius criminis ſupplicio afficeret. Rumor autem exortus eſt Syracuſis, me occiſum eſſe à Dionyſio quaſi omnium quę tunc acciderint, autorem. At ille ſentiens nos omnes ſic affectos, veritus ne ex metu noſtro aliquid forſitan accideret grauius, benignè admodum omnes recepit. Me certè ipſum conſolatus bonam habere ſpem iuſſit, atque vt permanerem omnino rogauit. Erat enim ſibi in fuga quidem mea nihil honeſti: ſed in permanendo. Atque idcirco precari me maximè ſimulabat. Preces autem tyrannorum neceſſitati permixtas eſſe non ignoramus. Cùm verò ne abirem machinaretur, collocauit in arce: atque his locis habitare voluit, vnde nullus poſthac nauta non

περὶ νόμων τε καὶ πολιτείας ἀποτελεῖν ἐγχειρήσοι, καὶ νῦν πειρατέον εἴη. πείσας γὰρ ἕνα μόνον, ἱκανῶς πάντα ἐξειργασμένος ἐσοίμην ἀγαθά. ταύτῃ μὲν δὴ τῇ διανοίᾳ τε καὶ τόλμῃ, ἀπῆρα οἴκοθεν, οὐχ ᾗ τινες ἐδόξαζον. ἀλλ' αἰσχυνόμενος μὲν ἐμαυτὸν τὸ μέγιστον, μὴ δόξαιμί ποτ' ἐμαυτῷ παντάπασι λόγος μόνον ἀτεχνῶς εἶναί τις. ἔργου δὲ οὐδενὸς ἄν ποτε ἑκὼν ἀνθάψασθαι. κινδυνεύσειν δὲ προδοῦναι πρῶτον μὲν τὴν δίωνος ξενίαν τε καὶ ἑταιρείαν ἐν κινδύνοις ὄντως γεγονότος οὐ σμικροῖς. εἴτ' οὖν πάθοι τι, εἴτ' ἐκπεσὼν ὑπὸ διονυσίου καὶ τῶν ἄλλων ἐχθρῶν, ἔλθοι παρ' ἡμᾶς φεύγων, καὶ ἀνέροιτο εἰπών. ὦ πλάτων, ἥκω σοι φυγάς, οὐχ ὁπλιτῶν δεόμενος, οὐδὲ ἱππέων ἐνδεὴς γενόμενος τοῦ ἀμύνασθαι τοὺς ἐχθρούς. ἀλλὰ λόγων καὶ πειθοῦς, ᾗ σε μάλιστα ἠπιστάμην ἐγὼ δυνάμενον ἀνθρώπους νέους ἐπὶ τὰ ἀγαθὰ καὶ τὰ δίκαια προτρέποντα, εἰς φιλίαν τε καὶ ἑταιρείαν ἀλλήλοις καθιστάναι ἑκάστοτε. ὧν ἐνδείᾳ κατὰ τὸ σὸν μέρος νῦν ἐγὼ καταλιπὼν συρακούσας, ἐνθάδε πάρειμι. τὸ μὲν ἐμόν, ἔλαττον ὄνειδός σοι φέρει. φιλοσοφία δέ, ἣν ἐγκωμιάζεις ἀεί, καὶ ἀτίμως φῂς ὑπὸ τῶν λοιπῶν ἀνθρώπων φέρεσθαι, πῶς οὐ προδέδοται τανῦν μετ' ἐμοῦ, μέρος ὅσον ἐπὶ σοὶ γέγονε. καὶ μεγαροῖ μὲν εἰ κατοικοῦντες ἐτυγχάνομεν, ἦλθες δήπου ἄν μοι βοηθός, ἐφ' ἅ σε παρεκάλουν, ἢ πάντων ἂν φαυλότατον ἡγοῦ σαυτόν. νῦν δ' ἄρα τὸ μῆκος τῆς πορείας, καὶ τὸ μέγεθος δὴ τοῦ πλοῦ καὶ τοῦ πόνου ἐπαιτιώμενος, οἴει δόξαν κακίας ἀποφεύξεσθαί ποτε, πολλοῦ γε καὶ δεήσει. λεχθέντων δὲ τούτων, τίς ἂν ἦν μοι πρὸς ταῦτα εὐσχήμων ἀπόκρισις, οὐκ ἔστιν. ἀλλ' ἦλθον μὲν κατὰ λόγον, ἐν δίκῃ τε, ὡς οἷόν τε ἀνθρώπων μάλιστα, διά τε τὰ τοιαῦτα καταλιπὼν τὰς ἐμαυτοῦ διατριβάς, οὔσας οὐκ ἀσχήμονας, ὑπὸ τυραννίδα, δοκοῦσαν οὐ πρέπειν τοῖς ἐμοῖς λόγοις, οὐδὲ ἐμοί. ἐλθών τε, ἐμαυτὸν ἠλευθέρωσα καὶ διὸς ξενίου καὶ τῆς φιλοσόφου ἀνέγκλητον μοίρας παρέσχον. ἐπονειδίστου γενομένης ἄν, εἴ τι καταμαλθακισθεὶς καὶ ἀποδειλιῶν αἰσχύνης μετέσχον κακῆς. ἐλθὼν δέ, οὐ γὰρ δεῖ μηκύνειν, εὗρον στάσεως τὰ περὶ διονύσιον μεστὰ ξύμπαντα διαβολῶν πρὸς τὴν τυραννίδα δίωνος πέρι. ἤμυνον μὲν οὖν, καθ' ὅσον ἠδυνάμην. σμικρὰ δ' οἷός τ' ἦν. μηνὶ δὲ σχεδὸν ἴσως τετάρτῳ δίωνα διονύσιος αἰτιώμενος ἐπιβουλεύειν τῇ τυραννίδι, σμικρὸν εἰς πλοῖον ἐμβιβάσας, ἐξέβαλεν ἀτίμως. οἱ δὴ δίωνος τὸ μετὰ τοῦτο πάντες φίλοι, ἐφοβούμεθα μή τινα ἐπαιτιώμενος τιμωροῖτο, ὡς συναίτιον τῆς δίωνος ἐπιβουλῆς. περὶ δ' ἐμοῦ καὶ διῆλθε λόγος τις ἐν συρακούσαις, ὡς τεθνεὼς εἴην ὑπὸ διονυσίου, ὡς πάντων τούτων τῶν τότε γεγονότων αἴτιος. ὁ δέ, αἰσθανόμενος πάντας ἡμᾶς οὕτω διατεθέντας, φοβούμενος μὴ μεῖζον ἐκ τῶν φόβων γένοιτό τι, φιλοφρόνως πάντας ἀνελάμβανε καὶ δὴ καὶ τὸν ἐμέ, παρεμυθεῖτό τε καὶ θαρρεῖν διεκελεύετο καὶ ἐδεῖτο, πάντως μένειν. ἐγίγνετο γάρ οἱ τὸ μὲν ἐμὲ φυγεῖν ἀπ' αὐτοῦ, καλὸν οὐδέν. τὸ δὲ μένειν. διὸ δὴ καὶ σφόδρα προσεποιεῖτο δεῖσθαι. τὰς δὲ τῶν τυράννων δεήσεις ἴσμεν ὅτι μεμιγμέναι ἀνάγκαις εἰσίν. ὃ δὴ μηχανώμενος διεκώλυέ μου τὸν ἔκπλουν, εἰς ἀκρόπολιν ἀγαγὼν καὶ κατοικίσας, ὅθεν οὐδ' ἂν εἷς ἔτι με ναύκληρος

μὴ ὅτι κωλύοντος ἐξήγαγε Διονυσίου. ἀλλ' οὐδ' εἰ μὴ πέμπων αὐτὸς τὸν κελεύοντα ἐξαγαγεῖν ἐπέσταλκεν, οὔτ' ἂν ἔμπορος. οὔτε τῶν ἐν ταῖς τῆς χώρας ἐξόδοις ἀρχόντων, οὐδ' ἂν εἷς περιεῖδε με μόνον ἐκπορευόμενον, ὃς οὐκ ἂν συλλαβὼν εὐθέως παρὰ Διονύσιον πάλιν ἀπήγαγεν. ἄλλως τε καὶ διηγγελμένον ἤδη ποτὲ τοὐναντίον ἢ τὸ πρότερον πάλιν. ὡς Πλάτωνα, Διονύσιος θαυμαστῶς ὡς ἀσπάζεται. τὸ δ' εἶχε δὴ πῶς. τὸ γὰρ ἀληθὲς δεῖ φράζειν, ἠσπάζετο μὲν ἀεὶ προϊόντος τοῦ χρόνου μᾶλλον, κατὰ τὴν τοῦ τρόπου τε καὶ ἤθους συνουσίαν. ἑαυτὸν δὲ ἐπαινεῖν μᾶλλον ἢ Δίωνα ἐβούλετό με. καὶ φίλον ἡγεῖσθαι διαφερόντως μᾶλλον, ἢ κεῖνον. καὶ θαυμαστῶς ἐφιλονείκει πρὸς τὸ τοιοῦτον. ᾗ δ' ἂν οὕτως ἐγένετο, εἴπερ ἐγίγνετο κάλλιστα ὤκνει, ὡς δὴ μανθάνων, καὶ ἀκούων τῶν περὶ φιλοσοφίαν λόγων οἰκειοῦσθαι καὶ ἐμοὶ συγγίγνεσθαι. φοβούμενος τοὺς τῶν διαβαλλόντων λόγους, μή πῃ παραποδισθείη, καὶ Δίων δὴ πάντα εἴη διαπεπραγμένος. ἐγὼ δὲ πάντα ὑπέμενον, τὴν πρώτην διάνοιαν φυλάττων ᾗπερ ἀφικόμην, εἴ πως εἰς ἐπιθυμίαν ἔλθοι τῆς φιλοσόφου ζωῆς. ὁ δ' ἐνίκησεν ἀντιτείνων. καὶ ὁ πρῶτος δὴ χρόνος τῆς εἰς Σικελίαν ἐμῆς ἐπιδημήσεώς τε καὶ διατριβῆς, διὰ πάντα ταῦτα ξυνέβη γενόμενος. μετὰ δὲ τοῦτο, ἀπεδήμησά τε, καὶ πάλιν ἀφικόμην πάσῃ σπουδῇ μεταπεμπομένου Διονυσίου. ὧν δὲ ἕνεκα καὶ ὅσα ἔπραξα, ὡς εἰκότα τε καὶ δίκαια ὑμῖν. πρῶτον μὲν ξυμβουλεύσας ἃ χρὴ ποιεῖν ἐκ τῶν νῦν γεγονότων, ὕστερον δὲ, τὰ περὶ ταῦτα, διέξειμι τῶν ἐπανερωτώντων ἕνεκα. τί δὴ βουλόμενος ἦλθον τὸ δεύτερον, ἵνα μὴ τὰ πάρεργα ὡς ἔργα μοι ξυμβαίνῃ λεγόμενα. λέγω δὴ τάδε. ἐγὼ τὸν συμβουλεύοντα ἀνδρὶ κάμνοντι, καὶ δίαιταν διαιτωμένῳ μοχθηρὰν, πρὸς ὑγίειαν ἄλλο τι, χρὴ πρῶτον μὲν αὐτὸν μεταβάλλειν τὸν βίον, καὶ ἐθέλοντι μὲν πείθεσθαι καὶ τἄλλα ἤδη παραινεῖν. μὴ ἐθέλοντι δὲ, φεύγοντα ἀπὸ τῆς τοιαύτης ξυμβουλῆς, ἄνδρα τε ἡγοίμην ἂν καὶ ἰατρικόν. τὸν δὲ ὑπομένοντα, τοὐναντίον, ἄνανδρόν τε καὶ ἄτεχνον. ταὐτὸν δὴ καὶ πόλει εἴτε αὐτῇ· εἷς εἴη κύριος, εἴτε καὶ πλείους, εἰ μὲν κατὰ τρόπον ὀρθῇ πορευομένης ὁδῷ τῆς πολιτείας ξυμβουλεύοιτό τι τῶν προσφόρων, νοῦν ἔχοντος τὸ τοῖς τοιούτοις ξυμβουλεύειν. τοῖς δ' ἔξω τὸ παράπαν βαίνουσι τῆς ὀρθῆς πολιτείας, καὶ μηδαμῇ ἐθέλουσιν αὐτῆς εἰς ἴχνος ἰέναι, προαγορεύουσι δὲ τῷ ξυμβούλῳ, τὴν μὲν πολιτείαν ἐᾶν καὶ μὴ κινεῖν, ὡς ἀποθανουμένῳ ἐὰν κινῇ. ταῖς δὲ βουλήσεσι καὶ ἐπιθυμίαις αὐτῶν ὑπηρετοῦντα, ξυμβουλεύειν κελεύοιεν, τίνα τρόπον γίγνοιτ' ἂν ῥᾷστα καὶ τάχιστα εἰς τὸν ἀεὶ χρόνον. τὸν μὲν ὑπομένοντα ξυμβουλὰς τοιαύτας ἡγοίμην ἂν ἄνανδρον. τὸν δ' οὐχ ὑπομένοντα ἄνδρα. ταύτην δὴ τὴν διάνοιαν ἐγὼ κεκτημένος, ὅταν τίς μοι ξυμβουλεύηται περί τινος τῶν μεγίστων περὶ τὸν αὑτοῦ βίον, οἷον περὶ χρημάτων κτήσεως, ἢ περὶ σώματος, ἢ περὶ ψυχῆς ἐπιμελείας, ἂν μὲν μοι τὸ καθ' ἡμέραν ἔν τινι τρόπῳ δοκῇ ζῆν, ἢ συμβουλεύοντος ἂν ἐθέλειν πείθεσθαι περὶ ὧν ἀνακοινοῦται, προθύμως συμβουλεύω. καὶ οὐκ ἀφοσιωσάμενος

modò prohibente illo, ſed niſi iubente atque mittente foret abducturus: neque quiſquam ſiue mercator ſiue alicuius oræ maritimæ præfectus, me ſolum exeuntem conſpexiſſet, qui me non captum ad Dionyſium repentè reduceret: præſertim cùm iam contrà quàm priùs vulgatum eſſet, Dionyſium rurſus Platonem vehementer complecti. Et quodammodo ita erat. Neque enim tacendum eſt verum. Complectebatur ille quidem in dies me magis atque magis, & gaudebat moribus noſtris atque conſuetudine. Cupiebatque à me laudari magis quàm Dionem & amicum longè magis exiſtimari. Et ad id quidem maximè contendebat. Rationem verò qua id optimè fuiſſet factum, ſi modò id fieri potuiſſet, neglexit. Hæc enim fuerat, vt mihi videlicet in audiendis addicendiſque philoſophię rationibus liberius adhæreret, mecúmque conueniret. At verò ad hoc ille diffidentior erat: timens ne quemadmodum aſſerebant calumniatores, ſi rationibus illis implicaretur, Dio, quæ cupiebat, iam eſſet omnia conſecutus. Ego autem omnia pertuli, in eadé ſententia perſeuerans, quæ ab initio profectus erã: tentans ſi quo pacto fieri poſſet, vt in cupiditatem vitæ philoſophicę perueniret. At ille cõtrà nitens me vicit. Et primum quidem tempus meæ profectionis in Siciliam, actionúmq; illic mearũ per hæc omnia traductum eſt: poſteris verò temporibus in Siciliã iterũ ſum reuerſus: quò me omni ſtudio Dionyſius reuocabat. Quã verò ob cauſam rurſus acceſſerim, quidve illic egerim, neq; id quidem abſq; ratione, tunc demum vobis referam cùm vobis quid potiſſimũ rebus ſic ſe habentibus agendũ ſit, cõſuluero. Referam inquam eorũ gratia qui interrogãt quonam conſilio ſecundo redierim. Sed ne quæ acceſſoria ſunt præcipuis anteponantur, ad conſiliũ iam deuenio. Reor equidẽ hominem conſulentẽ ægroto & circa victum intemperato, in primis hoc ſuadere debere, vt modũ viuendi mutet: ac ſi ægrotus in hoc obediat, tunc alia iã illi ad medelã cõferre. Ac ſi parere nolit, tunc conſulentem ipſum virum putabo & medicũ ſi eum omiſerit: quòd ſi cõſulendo vlterius perſeuerauerit, cõtrà putabo: ignauum ſcilicet atq; artis expertem. Idem quoque de ciuitate, ſiue vnus eã gubernet, ſiue plures, exiſtimo. Si enim probabili quadam ratione rectáque via incedenti, populo vtile aliquid conſulatur, id quidem agere, ſapientis officium arbitror. Sin autẽ penitus à ciuili ratione deſciſcat, neq; veſtigia quidem eius ſequi velint, dicántq; conſultori: præſtare vt Rempublicam omittat, neque quicquam in ea commoueat, vtpote ſi commouerit periturо: voluptatibus autem libidinibúſque ipſorum indulgeat: atque ea ratione conſulat, qua facilimè ſemper celeritérq; ſatis eorum voluptatibus fiat: equidem eum qui in eiuſmodi gubernatione perſtiterit, nequaquam virum putabo: ſed eum potiùs qui prorſus omiſerit. In hac ergo ſententia conſtitutus, quoties aliquis me de rebus grauioribus conſulit, ſiue ad diuitias, ſiue ad corporis vel animi purgationem pertineant, ſi quotidiana illius vita modum aliquem ſeruare poſſe videatur, vel ſaltem conſulenti mihi videatur obtemperaturus, libenter conſulo, neque priùs deſino

quàm

quàm initium pro viribus ad finem vſque perducerem. Si autem aut omnino non petat à me conſilium: aut qui petit, manifeſtè appareat conſulenti mihi nullo modo obtemperaturus: vltrò quidem nõ accedo ad conſultandum: per vim verò, ne ſi meus quidem ſit filius. Seruo tamen etiam inuito conſulerem, ac vi adhibita compellerem. At patrem vel matrẽ per vim cogere nefas eſſe arbitror, niſi propter morbum mente alienatos. Quòd ſi ſuo quodam more viuant, qui mihi nequaquam probetur, neque infenſus aduerſarer fruſtrà monendo, neq; rurſus blandiendo eorum cupiditatibus aſſentarer ea porrigens, quibus ego ſi indulgerem, viuere nollem. Hac eadem mente circa patriam vir prudens eſſe debet: vt ita reprehendat ciuitatis errores, ſi neque fruſtrà ſit reprehenſurus, neque ob reprehenſionis ſtudium periturus, vim autem patriæ per Reipublicæ mutationem afferet nunquam, quando abſque expulſione & cæde ciuium emendari non poſſit. Sed quietem aget, votóque precabitur optima & ſibi & patriæ. Hoc igitur pacto ego vobis conſulerem. Conſulebam ſimiliter Dionyſio vnà cum Dione: ea videlicet ratione quotidie viuere, qua ſui ipſius compos maximè redderetur: amicóſque & familiares fidos haberet, ne idem ſibi quod & patri accideret. Qui cùm multas in Sicilia magnáſque vrbes ſuſcepiſſet, quaſdam à Barbaris deuaſtatas, eáſque reſtituiſſet: non potuit in ſingulis illarum gubernatores Rerumpublicarum conſtituere fidos, neque ex domeſticis ſuis neque ex aliis vndecunq; comparatis, neq; ex fratribus ſuis quos ipſe à pueris educauerat: ſed tum ex priuatis hominibus magiſtratus, tum ex pauperibus admodũ diuites fecit. Horum tamẽ nullum fidum ſibi gubernationis ſocium potuit adhibere, vel ſuadendo, vel docendo, ſiue largiendo, ſiue in neceſſitudinem recipiendo: ſepties deterior Dario: qui neq; fratribus confidens, neq; his qui ſub eo educati fuerant, ſed ſociis dũtaxat Midæ, eunuchiq; imperij partes diuiſit ſeptem, ſingulas maiores tota Sicilia: aſſignauitque ſingulis. Atq; eos fidos nactus eſt regni ſocios, neq; vel ſibi vel inuicem inſidiantes. Præterea exẽplum dedit, qualem oportet ſeipſum legũlatorem regémque bonum præſtare, quippe cùm leges tulerit, quibus adhuc Perſarum ſeruatur imperium. Accedit ad hæc, quòd Athenienſes cùm multas Græcorum vrbes non à ſe quidem, ſed ab aliis conſtitutas, deinde occupatas à Barbaris in poteſtatem ſuam recepiſſent, annos ſeptuaginta in ea tenuerunt imperium, vtpote qui amicos ſibi in ſingulis ciuitatibus comparauerant. Dionyſius autem cùm in vrbem vnam vniuerſam Siciliam congregaſſet, ob ſapientiam nulli confidens ægrè ſeruatus eſt. Carebat enim amicis fidiſque hominibus: quo nullum maius eſt argumentũ, vel improbitatis ſi deſint, vel probitatis ſi adſint. Hæc igitur Dionyſio ego ac Dio conſulebamus poſtquam paternæ res ſic ſe habuiſſent, quòd neq; eruditorum virorum familiaritates, neque decentes haberet conſuetudines. Admonebamúſque vt animum ad hæc intendens, in primis amicos ſibi alios ex domeſticis & æqualibus compararet, ad virtutémq; concordes

μόνον ἐπαινουσάμην. ἐὰν δὲ μὴ ξυμβουλεύηταί μοι τὸ παράπαν, ἢ συμβουλεύοντι δῆλος ᾖ μηδαμῇ πεισόμενος, αὐτόκλητος ἐπὶ τὸ τοιοῦτον οὐκ ἔρχομαι συμβουλεύσων. βιασόμενος δὲ, οὐδ' ἂν υἱὸς ᾖ, δούλῳ δὲ ξυμβουλεύσαιμ' ἂν, καὶ μὴ ἐθέλοντά γε προσβιαζοίμην. πατέρα δὲ ἢ μητέρα, οὐχ ὅσιον ἡγοῦμαι προσβιάζεσθαι, μὴ νόσῳ παραφροσύνης ἐχομένους. ἐὰν δέ τινα καθεστῶτα ζῶσι βίον ἑαυτοῖς ἀρέσκοντα, ἐμοὶ δὲ μὴ, μήτε ἀπεχθάνεσθαι μάτην νουθετοῦντα, μήτε δὴ κολακεύοντά γε, ὑπηρετεῖν αὐτοῖς, πληρώσεις ἐπιθυμιῶν ἐκπορίζοντα, ἃς αὐτὸς ἀσπαζόμενος οὐκ ἂν ἐθέλοιμι ζῆν. ταὐτὸν δὲ καὶ περὶ πόλεως αὑτοῦ διανοούμενον χρὴ ζῆν τὸν ἔμφρονα. λέγειν μὲν εἰ μὴ καλῶς αὐτῷ φαίνοιτο πολιτεύεσθαι, εἰ μέλλοι μήτε ματαίως ἐρεῖν, μήτε ἀποθανεῖσθαι λέγων. βίαν δὲ πατρίδι πολιτείας μεταβολῆς μὴ προσφέρειν, ὅταν ἄνευ φυγῶν καὶ σφαγῆς ἀνδρῶν, μὴ δυνατὸν ᾖ γίγνεσθαι τὴν ἀρίστην. ἡσυχίαν δὲ ἄγοντα εὔχεσθαι τὰ ἀγαθὰ αὐτῷ τε καὶ τῇ πόλει. κατὰ δὴ τοῦτον τὸν τρόπον, ἐγὼ ὑμῖν τ' ἂν ξυμβουλεύοιμι. ξυνεβούλευον δὲ καὶ Διονυσίῳ μετὰ δίωνος ζῆν μὲν πρῶτον καθ' ἡμέραν οὕτως, ὅπως ἐγκρατὴς αὐτὸς αὑτοῦ ὅτι μάλιστα ἔσεσθαι μέλλοι. καὶ πιστοὺς φίλους τε καὶ ἑταίρους κτήσεσθαι, ὅπως μὴ πάθοι ἅπερ ὁ πατὴρ αὐτοῦ. ὃς παραλαβὼν σικελίας πολλὰς καὶ μεγάλας πόλεις ὑπὸ τῶν βαρβάρων ἐκπεπορθημένας, οὐχ οἷός τ' ἦν κατοικίσας, πολιτείας ἐν ἑκάσταις καταστήσασθαι πιστὰς ἑταίρων ἀνδρῶν, οὔτε ἄλλων δή ποθεν ὀθνείων, οὔτε ἀδελφῶν, οὓς ἔθρεψέ τε αὐτὸς νεωτέρους ὄντας, οὓς τε ἰδιωτῶν ἄρχοντας, καὶ ἐκ πενήτων πλουσίους ἐπεποιήκει διαφερόντως. τούτων κοινωνὸν τῆς ἀρχῆς οὐδένα οἷός τ' ἦν, πειθοῖ καὶ διδαχῇ καὶ εὐεργεσίαις καὶ ξυγγενείαις ἀπεργασάμενος ποιήσασθαι. δαρείου δὲ ἑπταπλασίως φαυλότερος ἐγένετο. ὃς οὐκ ἀδελφοῖς πιστεύσας οὐδ' ὑπ' αὐτοῦ τραφεῖσι, κοινωνοῖς δὲ μόνον τῆς τοῦ μήδου τε καὶ εὐνούχου χειρώσεως, διένειμέ τε μέρη μείζω ἕκαστα σικελίας πάσης ἑπτὰ, καὶ πιστοῖς ἐχρήσατο τοῖς κοινωνοῖς καὶ οὐκ ἐπιτιθεμένοις, οὔτε αὐτῷ, οὔτε ἀλλήλοις. ἔδειξέ τε παράδειγμα, οἷον χρὴ τὸν νομοθέτην καὶ βασιλέα τὸν ἀγαθὸν γίγνεσθαι. νόμους γὰρ κατασκευάσας, ἔτι καὶ νῦν διασέσωκε τὴν περσῶν ἀρχήν. ἔτι δὲ ἀθηναῖοι πρὸς τούτοις, οὐκ αὐτοὶ κατοικίσαντες πολλὰς τῶν ἑλλήνων πόλεις, ὑπὸ βαρβάρων ἐκβεβλημένας, ἀλλ' οἰκουμένας παραλαβόντες, ὅμως ἑβδομήκοντα ἔτη διεφύλαξαν τὴν ἀρχὴν, ἄνδρας φίλους ἐν ταῖς πόλεσιν ἑκάσταις κεκτημένοι. διονύσιος δὲ εἰς μίαν πόλιν ἀθροίσας πᾶσαν σικελίαν ὑπὸ σοφίας, πιστεύων οὐδενὶ, μόγις ἐσώθη. πένης γὰρ ἦν, ἀνδρῶν φίλων καὶ πιστῶν· οὗ μεῖζον σημεῖον εἰς ἀρετὴν καὶ κακίαν οὐκ ἔστιν οὐδὲν, τοῦ ἔρημον ἢ μὴ, τοιούτων ἀνδρῶν εἶναι. ἃ δὴ καὶ διονυσίῳ ξυνεβουλεύομεν ἐγὼ καὶ δίων ἐπειδὴ τὰ παρὰ πατρὸς αὐτῷ ξυνεβεβήκει οὕτως ἀνομιλήτῳ μὲν παιδείας, ἀνομιλήτῳ δὲ συνουσιῶν τῶν προσηκουσῶν γεγονέναι, πρῶτον ἐπὶ ταῦτα ὁρμήσαντα φίλους ἄλλους αὑτῷ τῶν οἰκείων ἅμα καὶ ἡλικιωτῶν καὶ συμφώνους πρὸς ἀρετὴν κτήσασθαι. μάλιστα

δ' αὐτὸν αὐτῷ. τούτου γὰρ αὐτὸν θαυμαστῶς ἐνδεᾶ γεγονέναι λέγοντες οὐκ ἐναργῶς ἤπως. οὐ γὰρ ἦν ἀσφαλές. αἰνιττόμενοι δὲ, καὶ διαμαχόμενοι τοῖς λόγοις, ὡς οὕτω μὲν πᾶς ἀνὴρ αὑτόν τε καὶ ἐκείνους, ὧν ἂν ἡγεμὼν γίγνηται σώσει. μὴ ταύτῃ δὲ τραπόμενος, τἀναντία πάντα ἀποτελεῖ. πορευθεὶς δὲ ὡς ἐλέγομεν, καὶ ἑαυτὸν ἔμφρονά τε καὶ σώφρονα ἀπεργασάμενος, εἰς τὰς ἐξηρημωμένας σικελίας πόλεις κατοικίσαι. νόμοις τε ξυνδῆσαι καὶ πολιτείαις, ὥστε αὐτῷ τε οἰκείας καὶ ἀλλήλαις εἶναι πρὸς τὰς τῶν βαρβάρων βοηθείας, οὐ διπλασίαν τὴν πατρῴαν ἀρχὴν μόνον ποιῆσαι, πολλαπλασίαν δὲ ὄντως. ἕτοιμον γὰρ εἶναι τούτων γενομένων, πολὺ μᾶλλον δουλώσασθαι καρχηδονίους τῆς ἐπὶ γέλωνος αὐτοῖς γενομένης δουλείας. ἀλλ' οὐχ ὥσπερ νῦν τοὐναντίον, ὁ πατὴρ αὐτοῦ φόρον ἐτάξατο φέρειν τοῖς βαρβάροις. ταῦτα ἦν λεγόμενα καὶ παρακελευόμενα ὑφ' ἡμῶν τῶν ἐπιβουλευόντων διονυσίῳ, ὡς πολλαχόθεν ἐχώρουν οἱ τοιοῦτοι λόγοι. οἳ δὴ καὶ κρατήσαντες παρὰ διονυσίῳ ἐξέβαλον μὲν δίωνα. ἡμᾶς δ' εἰς φόβον κατέβαλον. ἵνα δ' ἐκπεράνωμεν οὐκ ὀλίγα πράγματα ἐν ὀλίγῳ χρόνῳ, ἐλθὼν ἐκ πελοποννήσου καὶ ἀθηνῶν δίων, ἔργῳ τὸν διονύσιον ἐνουθέτησεν. ἐπειδὴ δ' οὖν ἠλευθέρωσέ τε καὶ ἀπέδωκεν αὐτοῖς δὶς τὴν πόλιν, ταὐτὸν πρὸς δίωνα συρακούσιοι τότε ἔπαθον, ὅπερ καὶ διονύσιος ὅτ' αὐτὸν ἐπεχείρει παιδεύσας καὶ θρέψαι βασιλέα τῆς ἀρχῆς ἄξιον, οὕτω κοινωνεῖν αὐτῷ τοῦ βίου παντός. ὁ δὲ, τοῖς διαβάλλουσι καὶ λέγουσιν, ὡς ἐπιβουλεύων τῇ τυραννίδι δίων, πράττοι πάντα ὅσα ἔπραττεν ἐν τῷ τότε χρόνῳ, ἵνα ὁ μὲν παιδείᾳ δὴ τὸν νοῦν κηληθεὶς, ἀμελοῖ τῆς ἀρχῆς, ἐπιτρέψας ἐκείνῳ. ὁ δὲ σφετερίσαιτο, καὶ διονύσιον ἐκβάλοι ἐκ τῆς ἀρχῆς δόλῳ. ταῦτα τότε ἐνίκησε καὶ τὸ δεύτερον ἐν συρακουσίοις λεγόμενα, καὶ μάλα ἀτόπῳ τε καὶ αἰσχρᾷ νίκῃ τοῖς τῆς νίκης αἰτίοις. οἷον γὰρ γέγονεν, ἀκοῦσαι χρὴ τοὺς ἐμὲ παρακαλοῦντας πρὸς τὰ νῦν πράγματα. ἦλθον ἀθηναῖος ἀνὴρ ἐγὼ, ἑταῖρος δίωνος. σύμμαχος αὐτῷ πρὸς τὸν τύραννον, ὅπως ἀντὶ πολέμου φιλίαν ποιησαίμι. διαμαχόμενος δὲ τοῖς διαβάλλουσιν ἡττήθην. πείθοντος δὲ διονυσίου τιμαῖς καὶ χρήμασι, γενέσθαι μετ' αὐτοῦ μάρτυρά τε καὶ φίλον, πρὸς τὴν εὐπρέπειαν τῆς ἐκβολῆς τῆς δίωνος αὐτῷ γενέσθαι, τούτων δὴ τὸ πᾶν διήμαρτεν. ὕστερον δὲ δὴ κατιὼν οἴκαδε δίων ἀδελφὼ δύο προσλαμβάνει ἀθήνηθεν, οὐκ ἐκ φιλοσοφίας γεγονότε φίλω. ἀλλ' ἐκ τῆς περιτρεχούσης ἑταιρείας ταύτης τῆς τῶν πλείστων φίλων ἣν ἐκ τοῦ ξενίζειν τε καὶ μυεῖν καὶ ἐποπτεύειν πραγματεύονται. καὶ δὴ τούτω τὼ ξυγκαταγαγόντε αὐτὸν φίλω, ἐκ τούτων τε καὶ ἐκ τῆς πρὸς τὴν κάθοδον ὑπηρεσίας ἐγενέσθην ἑταίρω. ἐλθόντες δὲ εἰς σικελίαν ἐπειδὴ δίωνα ᾔσθοντο διαβεβλημένον εἰς τοὺς ἐλευθερωθέντας ὑπ' αὐτοῦ σικελιώτας, ὡς ἐπιβουλεύοντα γενέσθαι τύραννον, οὐ μόνον τὸν ἑταῖρον καὶ ξένον προὔδοσαν, ἀλλ' οἷον τοῦ φόνου αὐτόχειρες ἐγένοντο ὅπλα ἔχοντες ἐν ταῖς χερσίν.

Maximè verò vt ſeipſum ſibi conſentientem conſtantémque præſtaret, huius enim rei defectum apud eum eſſe quàm maximum, oſtendebamus, non apertis quidem nunc verbis, neque enim tutum fuiſſet: ſed ratione quadam latentiore idem tamen ſignificante, docentes ita demum vnumquenque hominum tam ſe quàm illos quibus imperat poſſe ſeruare, ſi hæc obſeruauerit: ſin autem contrà ſe geſſerit, contrà prorſus accidere. Quòd ſi ita vt dicebamus ſe compararet, ſéque ipſum prudentem temperatumque præſtaret: ſi rurſus deuaſtatas vrbes Siciliæ reſtitueret, ac legibus inſtitutiſque ad Rempublicam pertinentibus eas muniret, vt & ſibi beneuolæ & inter ſe inuicem contra vim Barbarorum auxilio forent, non duplicaret modò regnum patrium, verumetiam multiplicaret. Fore quidem ſi ita ſe gereret, vt Carthaginienſes multo magis faciliúſque ſuæ poteſtati ſubjicerentur, quàm Geloni ſubditi fuiſſent: contrà, quam patri accidit ſuo. Ille enim pendere tributum Barbaris coactus fuerat. Hæc erant quæ dicebamus præcipiebamúſque Dionyſio, nos videlicet inſidiantes ſibi, vt multi diuulgauerant. qui & cùm nos apud Dionyſium ſuperauiſſent, Dionem quidem expulerunt, nos autem in formidinem coniecerunt. Verum vt non pauca paucis comprehendamus, Dio profectus ex Peloponneſo atque Athenis, rebus iam ipſis Dionyſium commonefecit. Cùm ergo liberaſſet ciuitatem Dio: eámque iam bis ciuibus reddidiſſet, eodem pacto affecti fuerunt aduerſus Dionem Syracuſani, quo & antea Dionyſius. Nam olim Dionyſium Dio educare atque erudire contenderat, quò eum regem regno redderet dignum: taléinque ſe illi per omnem vitam præſtare ſtatuerat. Obtrectatores autem calumniatoréſq; Dionyſio perſuaſerunt, Dionem quaſi tyrannidi inſidiantem in eo tempore hæc omnia machinari: vt mẽs Dionyſij diſciplinæ ſtudiis irretita, dominationem negligeret, eamque Dioni totam relinqueret. Dio verò gubernationem dolo vſurpans, illum expelleret. Quemadmodum verò tunc apud Dionyſium, ita poſtea inter Syracuſanos hæc eadem dicta iactáque peruicerunt, infami prorſus turpique victoria his ipſis qui vicerant. Sed quale id fuerit, audire vos oportet, qui me ad res nunc veſtras componendas vocatis. Veni ergo Athenienſis homo Dionis amicus atque adiutor eius aduerſus tyrannum, vt pro bello amicitiam facerem: at pugnans contra calumniatores, ſuperatus ſum. Cùm verò Dionyſius conaretur non verbis ſolùm, ſed pecuniis etiam & honoribus me ſibi conciliare atque detinere, vt mea cum ipſo familiaritas teſtimonio foret Dionem non iniuria expulſum fuiſſe: nihil apud me in hac re tanto ſuo conatu conſequi potuit. Poſteris verò temporibus Dio rediens domum, fratres duos Athenienſes ſecum duxit: non ex philoſophia ſic amicos, ſed ex hac communi vulgarique familiaritate, quæ hoſpitalitate quadam & frequenti inter ſacra ſpectaculáq; conſuetudine, amicitiã cõtrahere cõſueuit. Similiter illi tũ ex his quę dixi: tũ quia redeũti obſequia pręſtiterũt, amicitiã cũ Dione cõflauerãt. Hi ergo cùm in Siciliã ꝓfecti eſſent, intelligerentq; calũnias inter illos ipſos qui ab ipſo liberati erãt, in Dionẽ coniectas, quaſi tyrãnidẽ affectaret, nõ ꝑdiderũt modò amicũ & hoſpitẽ, ſed ferè ꝓpriis manibus, ipſi percuſſores fuerunt.

fuerunt. Arma enim tenentes interfectoribus palàm auxiliati ſunt. Et facinoris quidem illius turpitudinem impietatémque, neque prætereo equidem neq; enarro. Multi enim hæc diligentius celebrãt ac in poſterum celebrabunt. Sed aduerſus infamiam ciuitatis noſtræ reſpondeo. Nam ſi Athenienſes fuerunt illi qui prodiderunt: ille quoque Athenienſis fuit, qui neque pecuniarum neque honorum pollicitatione, vt proderet illum adduci vnquam potuit. Non enim per vulgarem mercenariamque beneuolentiam factus erat amicus: ſed per liberalis diſciplinæ cõmunionem. Cui certè vni, qui ſapit, plus adhibet fidei, quàm vlli & animorum coniunctioni & corporum conſanguinitati. Itaque non tanti æſtimandi ſunt illi, vt dedecus ciuitati ob Dionis cædem afferre potuerint: quaſi alicuius pretij vnquam fuerint. Hęc dicta ſunt nunc ea, quò Dionis amicis propinquiſque conſuleretur. Conſulo autem præterea & tertiò vobis quoq; ani tertiis idem prorſus eadémq; ratione: ne Sicilia, néve ciuitas vlla aliquibus hominibus, ſed legibus duntaxat ſubiciatur, vt noſtra fert ſententia. neque enim dominantibus ipſis, neque ſeruientibus id vtile eſt, neque eorum filiis aut natis natorum: ſed pernicioſorum omnium hominum eſt id aggredi. Anguſti verò & illiberalis animi eſt eiuſmodi lucra præripere: nihil vel in præſens vel in futurum tempus bonorum iuſtorúmq; vel diuinorum humanorúmve intelligentis. Hæc ergo Dioni primùm perſuadere conatus ſum: deinde Dionyſio: tertiò verò nunc vobis. Ergo pareatis mihi Iouis tertij ſeruatoris gratia. Præterea Dionyſij Dioníſque exitum animaduertite. Dionyſius quidem non obtemperans conſiliis meis, viuit etiam nunc non honeſtè: Dio verò cùm obtemperauiſſet, honeſtè interiit. Et nanque viro qui præclariſſima ſibi patriæque affectat, nihil vnquam niſi rectum & honeſtum poteſt accidere. Nec verò quiſquam noſtrûm natus eſt immortalis: neque ſicui id contigerit, eſſet is propterea felix, vt vulgò videtur. Rebus quidem carentibus anima nihil bonum eſt vel malum exiſtimatione dignum: ſed vnicuique animæ id accidet, aut dum eſt cum corpore aut à corpore ſeparatæ. Credendum eſt reuera ſemper antiquis ſacriſq; verbis: quæ nobis nunciant immortalem eſſe animam, iudicéſque habere, ſuppliciáq; pati maxima: poſtquam à corpore fuerit ſeparata. Quamobrem minus malum exiſtimandum eſt, perpeti grauiſſimas iniurias à delinquéribus illatas, quàm inferre. Quæ quidem homo cumulandę pecuniæ deditus, & hebeti ingenio non audit, ac ſi audiuerit, quaſi ſuo iudicio deridenda contemnit: atque impudenter rapit vndique quicquid exiſtimat ſibi veluti beſtiæ, voluptates ventris ſuppeditaturum, oblectationémque veneream: ſeruilem certè atque ingratam & abſurdam, nec veræ voluptatis nomine dignam: & quaſi cæcus non cernit ſe fruſtrà contendere inexplebilem explere cõcupiſcentiam. Neque rurſus cernit quantum ſit impietas malum, quibúſq; inſit rebus ſemper iniuſtitiæ mixta. Quam quidem neceſſe eſt animam quæ perpetrauerit iniuſta, ſecum habere, & dum per terram reuoluitur inter homines, & dum ſub terram paſſim turpiter omnino atque miſerè circũfertur. Cùm igitur hæc aliáque generis eiuſdem Dioni dicerem, perſuaſi. Interfectoribus autem eius

αὐτοὶ τοῖς φονεῦσιν ἐφεστῶτες ἐπεκούρησαν. καὶ τὸ μὲν αἰσχρὸν καὶ ἀνόσιον, οὔτε παρίεμαι ἔγωγε, οὔτε τι λέγω. πολλοῖς γὰρ καὶ ἄλλοις ὑμνεῖν ταῦτα ἐπιμελές, καὶ εἰς τὸν ἔπειτα μελήσει χρόνον. τὸ δὲ Ἀθηναίων πέρι λεγόμενον ὡς αἰσχύνην οὗτοι περιῆψαν τῇ πόλει, ἐξαιροῦμαι. φημὶ γὰρ κἀκεῖνον Ἀθηναῖον εἶναι, ὃς οὐ προὔδωκε τὸν αὐτὸν τοῦτον, ἐξὸν χρήματα καὶ ἄλλας τιμὰς πολλὰς λαμβάνειν. οὐ γὰρ διὰ βαναύσου φιλότητος ἐγεγόνει φίλος, διὰ δὲ ἐλευθέρας παιδείας κοινωνίαν. ᾗ μόνῃ χρὴ πιστεύειν τὸν νοῦν κεκτημένον μᾶλλον ἢ συγγενείᾳ ψυχῶν καὶ σωμάτων. ὥστε οὐκ ἀξίω ὀνείδους γεγόνατον τῇ πόλει, τὼ Δίωνα ἀποκτείναντε, ὡς ἐλλογίμω πώποτε ἄνδρε γενομένω. ταῦτα εἴρηται πάντα τῆς ξυμβουλῆς ἕνεκα τῆς Δίωνος φίλοις καὶ ξυγγενέσι. συμβουλεύω δὲ δή τι πρὸς τούτοις τὴν αὐτὴν ξυμβουλὴν, καὶ λόγον τὸν αὐτὸν λέγων ἤδη τρίτον τρίτοις ὑμῖν. μὴ δουλοῦσθαι Σικελίαν ὑπ' ἀνθρώποις δεσπόταις, μηδὲ ἄλλην πόλιν, ὅ γ' ἐμὸς λόγος, ἀλλ' ὑπὸ νόμοις. οὔτε γὰρ τοῖς δουλουμένοις, οὔτε τοῖς δουλωθεῖσιν, ἄμεινον αὐτοῖς καὶ παισὶ παίδων τε καὶ ἐκγόνοις. ἀλλ' ὀλέθριος πάντως ἡ πεῖρα. σμικρὰ δὲ καὶ ἀνελεύθερα ψυχῶν ἤθη, τὰ τοιαῦτα ἁρπάζειν κέρδη φιλεῖ. οὐδὲν τῶν εἰς τὸ ἔπειτα καὶ εἰς τὸ παρὸν ἀγαθῶν καὶ δικαίων εἰδότα θείων τε καὶ ἀνθρωπίνων. ταῦτα πρῶτον μὲν Δίωνα ἐγὼ ἐπεχείρησα πείθειν. δεύτερον δὲ, Διονύσιον. τρίτους δὲ ὑμᾶς νῦν. καί μοι πείθεσθε Διὸς τρίτου σωτῆρος χάριν. εἶτα εἰς Διονύσιον βλέψαντες καὶ Δίωνα. ὧν ὁ μὲν μὴ πειθόμενος ζῇ τανῦν οὐ καλῶς. ὁ δὲ πειθόμενος, τέθνηκε καλῶς. τὸ γὰρ τῶν καλλίστων ἐφιέμενον αὐτῷ τε καὶ πόλει, πάσχειν ὅτι ἂν πάσχῃ, πᾶν ὀρθὸν καὶ καλόν. οὔτε γὰρ πέφυκεν ἀθάνατος ἡμῶν οὐδεὶς, οὔτ' εἴ τῳ ξυμβαίη, γένοιτο ἂν εὐδαίμων ὡς δοκεῖ τοῖς πολλοῖς. κακὸν γὰρ καὶ ἀγαθὸν οὐδὲν, λόγου ἄξιον ἔστι τοῖς ἀψύχοις. ἀλλ' ἢ μετὰ σώματος οὔσῃ ψυχῇ τοῦτο ξυμβήσεται ἑκάστῃ, ἢ κεχωρισμένῃ. πείθεσθαι δὲ ὄντως ἀεὶ χρὴ τοῖς παλαιοῖς τε καὶ ἱεροῖς λόγοις, οἳ δὴ μηνύουσιν ἡμῖν ἀθάνατον ψυχὴν εἶναι, δικαστάς τε ἴσχειν, καὶ τίνειν τὰς μεγίστας τιμωρίας, ὅταν τις ἀπαλλαχθῇ τοῦ σώματος. διὸ καὶ τὰ μεγάλα ἁμαρτήματα καὶ ἀδικήματα σμικρότερον εἶναι χρὴ νομίζειν κακὸν πάσχειν, ἢ δρᾶσαι. ὧν ὁ φιλοχρήματος πένης τε ἀνὴρ τὴν ψυχὴν, οὔτε ἀκούει, ἐάν τε ἀκούσῃ, καταγελῶν, ὡς οἴεται πανταχόθεν ἀναιδῶς ἁρπάζει πᾶν ὅτι περ ἂν οἴηται, καθάπερ θηρίον, φαγεῖν ἢ πιεῖν, ἢ περὶ τὴν ἀνδραποδώδη καὶ ἀχάριστον ἀφροδίσιον λεγομένην οὐκ ὀρθῶς ἡδονὴν ποριεῖν αὐτῷ τοῦ μὴ ἐμπλάσθαι. τυφλὸς ὢν καὶ οὐχ ὁρῶν οἷς ξυνέπεται τῶν πραγμάτων ἀνοσιουργία κακὸν ἡλίκον ἀεὶ μετ' ἀδικήματος ἑκάστου. ἣν ἀναγκαῖον τῷ ἀδικήσαντι συνέλκειν ἐπί τε γῇ στρεφομένῳ καὶ ὑπὸ γῆς νοστήσαντι πορείαν ἄτιμόν τε καὶ ἀθλίαν πάντως πανταχῇ. Δίωνα δὴ ἐγὼ λέγων ταῦτά τε καὶ ἄλλα τοιαῦτα, ἔπειθον. καὶ τοῖς ἀποκτείνασιν ἐκεῖνον δικαιό-

ταῦτ' ἂν ὀργιζοίμην ἐγὼ τρόπον τινὰ ὁμοιότατα καὶ Διονυσίῳ. ἀμφότεροι γὰρ ἐμὲ καὶ τοὺς ἄλλους, ὡς ἔπος εἰπεῖν ἅπαντας, τὰ μέγιστα ἔβλαψαν ἀνθρώπους. οἱ μὲν, τὸν βουλόμενον δικαιοσύνῃ χρῆσθαι διαφθείραντες. ὁ δὲ οὐδὲν ἐθελήσας χρήσασθαι δικαιοσύνῃ διὰ πάσης τῆς ἀρχῆς, μεγίστην δύναμιν ἔχων, ἐν ᾗ γενομένῃ φιλοσοφίᾳ τε καὶ δύναμις ὄντως ἐν ταὐτῷ διὰ πάντων ἀνθρώπων ἑλλήνων τε καὶ βαρβάρων λάμψασα ἱκανῶς δόξαν παρέστησε πᾶσι τὴν ἀληθῆ, ὡς οὐκ ἄν ποτε γένοιτο εὐδαίμων, οὔτε πόλις, οὔτ' ἀνὴρ οὐδεὶς, ὃς ἂν μὴ μετὰ φρονήσεως ὑπὸ δικαιοσύνῃ διαγάγῃ τὸν βίον. ἤτοι ἐν αὑτῷ κεκτημένος, ἢ ὁσίων ἀνδρῶν ἀρχόντων ἐν ἤθεσι, τραφείς τε καὶ παιδευθεὶς ἐνδίκως. ταῦτα μὲν Διονύσιος ἔβλαψε. τὰ δὲ ἄλλα σμικρὰ ἂν εἴη πρὸς ταῦτά μοι βλάβη. ὁ δὲ Δίωνα ἀποκτείνας οὐκ οἶδε ταυτὸν ἐξειργασμένος τούτῳ. Δίωνα γὰρ ἐγὼ, σαφῶς οἶδα, ὡς οἷόν τε περὶ ἀνθρώπων ἄνθρωπον διισχυρίζεσθαι, ὅτι τὴν ἀρχὴν εἰ κατέσχεν, ὡς οὐκ ἄν ποτε ἐπ' ἄλλο γε σχῆμα ἀρχῆς ἐτράπετο, ἢ ἐπὶ τὸ Συρακούσας μὲν πρῶτον τὴν πατρίδα τὴν ἑαυτοῦ, ἐπεὶ τὴν δουλείαν αὐτῆς ἀπήλλαξε καὶ φαιδρύνας ἐλευθερίῳ ἐν σχήματι κατέστησε. τὸ μετ' ἂν πάσῃ μηχανῇ ἐκόσμησε νόμοις τοῖς προσήκουσί τε καὶ ἀρίστοις τοὺς πολίτας. τό, τε ἐφεξῆς τούτοις, προὐθυμεῖτ' ἂν πρᾶξαι. πᾶσαν Σικελίαν κατοικίζειν, καὶ ἐλευθέραν ἀπὸ τῶν βαρβάρων ποιεῖν. τοὺς μὲν, ἐκβάλλων. τοὺς δὲ, χειρούμενος ῥᾷον Ἱέρωνος. τούτων δ' αὖ γενομένων, δι' ἀνδρὸς δικαίου τε καὶ ἀνδρείου καὶ σώφρονος καὶ φιλοσόφου, τὴν αὐτὴν ἀρετῆς ἂν πέρι γενέσθαι δόξαν τοῖς πολλοῖς, ἥπερ ἂν, εἰ Διονύσιος ἐπείσθη, παρὰ πᾶσιν ἂν ὡς ἔπος εἰπεῖν ἀνθρώποις, ἀπέσωσε γενομένη. νῦν δὲ ἤπου τις δαίμων, ἤ τις ἀλιτήριος ἐμπεσὼν ἀνομίᾳ, καὶ ἀθεότητι καὶ τὸ μέγιστον τόλμαις ἀμαθίας, ἐξ ἧς πάντα κακὰ πᾶσιν ἐρρίζωται καὶ βλαστάνει, καὶ εἰς ὕστερον ἀποτελεῖ καρπὸν τοῖς γεννήσασι πικρότατον, αὕτη πάντα τὸ δεύτερον ἀνέτρεψέ τε καὶ ἀπώλεσε. νῦν δὲ δὴ εὐφημῶμεν χάριν οἰωνοῦ τὸ τρίτον. ὅμως δὲ μιμεῖσθαι μὲν συμβουλεύω Δίωνα ὑμῖν τοῖς φίλοις τήν τε τῆς πατρίδος εὔνοιαν, καὶ τὴν τῆς τροφῆς σώφρονα δίαιταν ἐπὶ λαιοίον. ὧν δὲ ὀρνίθων τὰς ἐκείνου βουλήσεις πειρᾶσθαι ἀποτελεῖν. αἳ δὲ ἦσαν ἀκηκόατε παρ' ἐμοῦ σαφῶς. τὸν δὲ μὴ δυνάμενον ὑμῶν δωρίζειν κατὰ τὰ πάτρια, διώκοντα τὸν τῶν Δίωνος σφαγέων καὶ τὸν σικελικὸν βίον, μήτε παρακαλεῖν, μήτε οἴεσθαι πιστὸν ἄν τι καὶ ὑγιὲς πρᾶξαι ποτέ. τοὺς δ' ἄλλους παρακαλεῖν ἐπὶ πάσης Σικελίας κατοικισμόν τε καὶ ἰσονομίαν. ἔκ τε αὐτῆς Σικελίας καὶ ἐκ Πελοποννήσου ξυμπάσης. φοβεῖσθαι δὲ μηδ' Ἀθήνας. εἰσὶ γὰρ καὶ ἐκεῖ, πάντων ἀνθρώπων διαφέροντες πρὸς ἀρετήν. ξενοφόνων τε ἀνδρῶν μισοῦντες τόλμας. εἰ δ' οὖν, ταῦτα μὲν ὕστερα γένοιτ' ἄν. κατεπείγουσι δὲ ὑμᾶς αἱ τῶν στάσεων πολλαὶ καὶ παντοδαπαὶ φυόμεναι ἑκάστης ἡμέρας διαφοραί, εἰδέναι μέν που χρὴ πάντα τινὰ ἄνδρα, ᾧ καὶ βραχὺ δόξης ὀρθῆς μετέδωκε θεία τις τύχη, ὡς οὐκ ἔστι παῦλα κακῶν τοῖς στασιάσασι, πρὶν ἂν οἱ κρατήσαντες,

iuſtiſſimè quidem iraſcerer, eodem quaſi modo atque Dionyſio. vtrique enim & mihi & aliis, vt ita dixerim, omnibus damna grauiſſima intulerunt. Illi quidem cùm interficerent eum qui volebat iuſtitia vti. Hic autem cùm nullo pacto vellet iuſtè agere: in vniuerſo regno maximam potentiam obtinuit. In quo ſi philoſophia vná cum potentia verè in idem quaſi domicilium concurriſſet, per omnes homines & Græcos & Barbaros elucentem verámque opinionem ſufficienter omnibus oſtendiſſet: neque ciuitatem neque hominem vnquam fore felicem, niſi & cum prudentia, & ſub iuſtitia vixerit, ſiue per ſe illas poſſideat, ſiue ſub ſanctorum principum moribus ritè educetur atque erudiatur. In his quidem nocuit Dionyſius. Cætera verò ſi ad hæc comparentur, damna perexigua mihi videntur. At enim qui Dionem interfecit, non intellexit idem, quod Dionyſius ſe feciſſe. Equidem certè ſcio, quantùm homini de homine affirmare licet, Dionem ſi regni gubernacula diutius tenuiſſet, nunquam in aliam dominandi formam fuiſſe conuerſurum, quas cùm ab initio patriam ſuam Syracuſas, expulſa ſeruitute in ſuo iure conſtituit, libertatis iam ſplendore lætiſſimam: deinde omni ſtudio ciues congruis optimíſq; legibus ornaturum: præterea omnem diligentiam adhibiturum fuiſſe: quo tota inhabitaretur Sicilia, liberaretúrque à Barbaris. aliis quidem expulſis, aliis verò ſubactis facilius quàm fecerat Hieron. Cùm verò hæc per virum iuſtum, fortem, temperatum, vel philoſophum geſta fuiſſent, eadé apud multos virtutis floruiſſet opinio: quę & ſalua re apud omnes, vt ita dixerim, homines viguiſſet, ſi Dionyſi' nobis ab initio paruiſſet. Nũc aũt ſiue quis dæmõ, ſiue pernicioſus aliquis his ſeſe obiiciés, iniquitate & impietate: & quod peſſimũ eſt ignoranti audacia: ex qua mala omnibus omnia & radicibus hærent: & pullulant, & in poſterum producunt fructum auctoribus ſuis amariſſimum: cuncta hæc peruertit rurſus & perdidit. Sed nunc tertio felicium auſpiciorum gratia, bona dũtaxat ominemur. Conſulo igitur vobis amicis, vt Dionem imitemini: amorem illius in patriam vitæque temperantiam magis magiſque complectentes Boniſque auſpiciis conſilia eius perficere conemini. quæ qualia fuerint, apertè quidem ex me audiſtis. At ſi quis eſt inter vos, qui Doricè nequeat viuere ſecundum patriæ inſtituta, ſequatúrque Siculum viuendi morem, & eos qui Dionem occiderunt, neque eum recipere, neque exiſtimare velitis vlla in re fidelem atque ſyncerum. Cæteros autem adhortari potiùs debetis ad habitationem totius Siciliæ diſponendam, legúmque paritatem, tum ex ipſa Sicilia, tum ex omni Peloponneſo: nec Athenas horrere. Sunt enim & ibi viri virtute omnium præſtantiſſimi. & qui odio habeant eorum crudelitatem, qui hoſpitum cæde ſe polluant. Verùm ſi hæc tardiora iam ſunt, vrgéntque vos quotidianæ multiplicéſque ſeditiones atque diſcordiæ: intelligere vnumquenque oportet, cui modò vel paulùm rectæ opinionis ſors quædam diuina largita ſit, nullum fore finem ſeditionum, malorúmque ex ſeditione naſcentium, priùs quàm illi qui vicerint prælio,

à cædi-

à cædibus pulſionibúſque ciuium, atque etiam iniuriarum commemoratione vindictæque cupiditate temperantes, inimicis concilientur, ſuiq; ipſius cõpotes fiant: præterea leges ferant cõmunes nihilo magis ad voluptatem ſuam quam eorum quos vicerint: cogantque illos his legibus vti. Cogant inquam, gemina neceſſitatis via: metu ſcilicet & pudore: metu quidem, propterea quòd potentiores ſint, ſuam vim demonſtrantes: pudore verò ex eo, quòd rurſus potentiores promptioreſque appareat, tum in voluptatibus ſuperandis, tum in legibus obſeruandis. Aliter autem nulla prorſus eſt via finiendorum malorum ciuitatis in ſeipſa ſeditionibus laborãtis: ſed ſeditiones, inimicitię, odia, proditiones in Republica, vt in ciuitatibus ita ſe habentibus intra ſe atque viciſſim fieri conſueuit, ſemper exorientur. Quamobrem qui tanquam potentiores Rempubl. tenent, ſi ſalutem exoptant, ipſi inter ſe eligere atque in honore præferre eos debent, quos eſſe audiuerint optimos: primùm quidem ſenes qui filios & vxores habeant, atque domicilium: ac maiores eorum quàm plurimos, & probatos, & inſignes, ſufficiénſque omnes patrimonium poſſidentes. Ciuitati verò decem millium virorum, quinquaginta eiuſmodi ſufficient. Hos ergo precibus honoribúſque quàm maximis domo euocare debent: euocatos autem precari, atque iureiurando adſtringere, vt leges condant, quæ neque victoribus, neq; victis plus tribuant: ſed ius vniuerſæ ciuitati æquum atque commune. Latis denique legibus in hoc iam omnia conſiſtunt. Si enim victores ſubeſſe legibus voluerint, magis etiam quàm illi qui victi ſunt: omnia iam erunt ſalutis, felicitatiſque plena: maláque omnia procul aberunt. Sin minus, nec me, nec alium in commune conſilium ad eum vocare oportet, qui præceptis eiuſmodi non acquieuerit. Hæc vtique germana ſunt eorum quæ iamdiu ego ac Dio Syracuſis efficere recto iudicio aggreſſi ſumus, poſteriora tamen. Nam prima quidem illa fuiſſent, quæ apud Dionyſium ipſum primò bona omnibus communia agere conati ſumus. Sed fortuna quædam hominibus potentior illa diſſoluit. Nunc autem vos iſta conemini bona quadam ſorte diuináque fortuna fortunatius agere. Atque hic finis epiſtolæ de conſilio, déque prima in Siciliam ad Dionyſium nauigatione mea. Quòd autem ſequens profectio & nauigatio mea, neque ab re, neque temerè ſuſcepta fuerit: ſicui id curæ ſit, audire iam licet. Primùm quidem habitationis in Sicilia meæ tempus mihi tranſactum fuerat, quemadmodum ſuprà dixi, priùs quàm amicis neceſſariiſque Dionis conſilium darem: poſtea verò quantùm potui Dionyſio perſuaſi, vt me abire permitteret. Cõuenerat autẽ inter nos: vt cùm pax facta eſſet ex bello, quod tunc in Sicilia erat, ſtatúſque illius tutius confirmatus, Dio reuocaretur, atque ego ſimul accederem. Voluit autem Dionem intelligere atque exiſtimare ſe non quaſi in exilio, ſed in ſeceſſu quodam conſtitutum eſſe certo tempore rediturum. Ego verò conſentiens recepi me ita facturum. Sed cùm poſtea pax ſecuta eſſet, me quidem accerſiuit Dionyſius: Dionem verò ad annum inſuper hortatus eſt abſentiã tolerare. Me autẽ vt omnino ad ſe properarẽ, rogauit. Dio igitur, vt illuc accederẽ & iubebat, & precabatur. Increbuerat. n.

μάχαις καὶ ἐκβολαῖς ἀνθρώπων καὶ σφαγαῖς μνησικακοῦντες, καὶ ἐπὶ τιμωρίας παύσωνται τρέπεσθαι τῶν ἐχθρῶν. ἐγκρατεῖς δὲ ὄντες αὑτῶν, θέμενοι νόμους κοινοὺς μηδὲν μᾶλλον πρὸς ἡδονὴν αὑτοῖς, ἢ τοῖς ἡττηθεῖσι κειμένους, ἀναγκάσωσιν αὐτοὺς χρῆσθαι τοῖς νόμοις, διτταῖς οὔσαις ἀνάγκαις, αἰδοῖ καὶ φόβῳ, φόβῳ μὲν διὰ τὸ κρείττους αὐτῶν εἶναι δεικνύντες τὴν βίαν. αἰδοῖ δὲ αὖ, διὰ τὸ κρείττους φαίνεσθαι περί τε τὰς ἡδονὰς, καὶ τοῖς νόμοις μᾶλλον ἐθέλοντές τε καὶ δυνάμενοι δουλεύειν. ἄλλως δὲ οὐκ ἔστιν ὡς ἄν ποτε κακῶν λῆξαι πόλις ἐν αὑτῇ στασιάσασα. ἀλλὰ στάσεις καὶ ἔχθραι καὶ μίση καὶ ἀπιστίαι ταῖς οὕτω διατεθείσαις πόλεσιν, αὐτὰς αὐταῖς πρὸς αὑτὰς αἰεὶ γίγνεσθαι φιλεῖ. τοὺς δὴ κρατήσαντας αἰεὶ χρὴ, ὅτ᾽ ἄνπερ ἐπιθυμήσωσι σωτηρίας, αὐτοὺς ἐν αὑτοῖς ἄνδρας προκρῖναι τῶν ἄλλων, οὓς ἂν πυνθάνωνται ἀρίστους ὄντας. πρῶτον μὲν γέροντας, καὶ παῖδας καὶ γυναῖκας κεκτημένους οἴκοι, καὶ προγόνους αὐτῶν, ὅτι μάλιστα πολλούς τε ἀγαθοὺς καὶ ὀνομαστούς. καὶ κτῆσιν κεκτημένους πάντας ἱκανήν. μυριάνδρῳ δὲ εἶναι μυριάνδρῳ πόλει, πεντήκοντα ἱκανοὶ τοιοῦτοι. τούτους δὲ, δεήσει καὶ τιμαῖς ὅτι μεγίσταις οἴκοθεν μεταπέμπεσθαι. μεταπεμψαμένους δὲ, ὀμόσαντας δεῖσθαι, καὶ κελεύειν θεῖναι νόμους, μήτε νικήσασι, μήτε νικηθεῖσι νέμοντας πλέον, τὸ δὲ ἴσον καὶ κοινὸν πάσῃ τῇ πόλει. τεθέντων δὲ τῶν νόμων ἐν τούτῳ δὴ τὰ πάντα ἐστίν. ἂν μὲν γὰρ οἱ νενικηκότες ἥττους αὑτοὺς τῶν νόμων, μᾶλλον τῶν νενικημένων παρέχωνται, πάντ᾽ ἔσται σωτηρίας τε καὶ εὐδαιμονίας μεστά. καὶ πάντων κακῶν ἀποφυγή. εἰ δὲ μὴ, μήτ᾽ ἐμὲ, μήτ᾽ ἄλλον κοινωνὸν παρακαλεῖν, ἐπὶ τὸν μὴ πειθόμενον τοῖς νῦν ἐπεσταλμένοις. ταῦτα γάρ ἐστιν ἀδελφὰ ὧν τε Δίων ὧν τ᾽ ἐγὼ ἐπεχειρήσαμεν συρακούσαις φρονοῦντες συμπρᾶξαι. δεύτερα μήν. πρῶτα δ᾽ ἦν, ἃ τὸ πρῶτον ἐπεχειρήθη μετ᾽ αὐτοῦ Διονυσίου πραχθῆναι πᾶσι κοινὰ ἀγαθά. τύχη δέ τις ἀνθρώπων κρείττων διεφόρησε. τὰ δὲ νῦν ὑμεῖς πειρᾶσθε εὐτυχέστερον αὐτὰ ἀγαθῇ πρᾶξαι μοίρᾳ καὶ θείᾳ τινὶ τύχῃ. ξυμβουλὴ μὲν δὴ καὶ ἐπιστολὴ εἰρήσθω, καὶ ἡ παρὰ Διονύσιον ἐμοὶ προτέρα ἄφιξις. ἡ δὲ δὴ ὑστέρα πορεία τε καὶ πλοῦς, ὡς εἰκότως τε ἅμα καὶ ἐμμελῶς γέγονεν, ᾧ μέλει ἀκούειν ἔξεστι τὸ μετὰ τοῦτο. ὁ μὲν γὰρ δὴ πρῶτος χρόνος τῆς ἐν σικελίᾳ διατριβῆς μοι διεπεράνθη καθάπερ εἶπον πρὶν συμβουλεύειν, τοῖς οἰκείοις καὶ ἑταίροις τοῖς περὶ δίωνα. τὸ μετ᾽ ἐκεῖνα δ᾽ οὖν ἔπεισα ὅπῃ δή ποτ᾽ ἠδυνάμην, διονύσιον ἀφεῖναί με. εἰρήνης δὲ γενομένης, ἦν γὰρ τότε πόλεμος ἐν σικελίᾳ, ξυνωμολογήσαμεν ἀμφότεροι. διονύσιος μὲν ἔφη μεταπέμψεσθαι δίωνα καὶ ἐμὲ πάλιν, καταστησάμενος τὰ περὶ τὴν ἀρχὴν ἀσφαλέστερον ἑαυτῷ. δίωνα δὲ ἠξίου διανοεῖσθαι, μὴ φυγὴν αὑτῷ γεγονέναι τότε μετάστασιν δέ. ἐγὼ δὲ ἥξειν ὡμολόγησα ἐπὶ τούτοις τοῖς λόγοις. γενομένης δὲ εἰρήνης, μετεπέμπετο μὲ. δίωνα δὲ ἐπισχεῖν ἐνιαυτὸν ἐδεῖτο. ἐμὲ δὲ ἥκειν ἐκ παντὸς τρόπου ἠξίου. δίων μὲν οὖν, ἐκέλευέ τέ με πλεῖν καὶ ἐδεῖτο, καὶ γὰρ δὴ λόγος ἐχώρει πολὺς

ἐκ σικελίας, ὡς διονύσιος θαυμαστῶς φιλοσοφίας ἐν ἐπιθυμίᾳ πάλιν εἴη γεγονὼς τανῦν. ὅθεν ὁ δίων συντεταμένως ἐδεῖτο ἡμῶν τῇ μεταπέμψει μὴ ἀπειθεῖν. ἐγὼ δὲ, ᾔδειν μέν που κατὰ τὴν φιλοσοφίαν, τοῖς νέοις πολλὰ τοιαῦτα γιγνόμενα. ὅμως δ' οὖν ἀσφαλέστερόν μοι ἔδοξε, χαίρειν τότε γε πολλὰ καὶ δίωνα καὶ διονύσιον ἐᾶν. καὶ ἀπηχθόμην, ἀμφοῖν ἀποκρινάμενος. ὅτι γέρων τε εἴην. καὶ κατὰ τὰς ὁμολογίας, οὐδὲν γίγνοιτο τῶν τανῦν πραττομένων. ἔοικε δὴ τὸ μετὰ τοῦτο, ἀρχύτας τε παρὰ διονύσιον πρὶν ἀφικέσθαι. ἐγὼ γὰρ πρὶν ἀπιέναι, ξενίαν καὶ φιλίαν ἀρχύτῃ καὶ τοῖς ἐν τάραντι καὶ διονυσίῳ ποιήσας, ἀπέπλεον. ἄλλοι τέ τινες ἐν συρακούσαις ἦσαν. δίωνός τε ἄττα διακηκοότες καὶ τούτων τινὲς ἄλλοι, παρακουσμάτων τινῶν ἔμμεστοι τῶν κατὰ φιλοσοφίαν. οἳ δοκοῦσί μοι διονυσίῳ πειρᾶσθαι διαλέγεσθαι τῶν περὶ τὰ τοιαῦτα, ὡς διονυσίου πάντα διακηκοότος ὅσα διενοούμην ἐγώ. ὁ δὲ, οὔτε ἄλλως ἐστὶν ἀφυὴς πρὸς τὴν τοῦ μανθάνειν δύναμιν. φιλότιμός τε θαυμαστῶς. ἤρεσκέ τε οὖν ἴσως αὐτῷ τὰ λεγόμενα, ᾐσχύνετό τε φανερὸς γιγνόμενος, οὐδὲν ἀκηκοὼς, ὅτ' ἐπεδήμουν ἐγώ. ὅθεν ἅμα μὲν, εἰς ἐπιθυμίαν ᾔει τοῦ διακοῦσαι ἐναργέστερον. ἅμα δ' ἡ φιλοτιμία κατέτεινεν αὐτόν. δι' ἃ δὲ οὐκ ἤκουσεν ἐν τῇ πρόσθεν ἐπιδημίᾳ, διεξήλθομεν ἐν τοῖς ἄνω ῥηθεῖσι νῦν δὴ λόγοις. ἐπειδὴ οὖν οἴκαδέ τ' ἐσώθην, καὶ καλοῦντος τὸ δεύτερον ἀπηρνήθην καθάπερ εἶπον, νῦν δοκεῖ μοι διονύσιος παντάπασι φιλοτιμηθῆναι. μή ποτέ τισι δόξαιμι καταφρονῶν αὐτοῦ, τῆς φύσεώς τε καὶ ἕξεως ἅμα καὶ τῆς διαίτης ἔμπειρος γεγονὼς, οὐκ ἔτ' ἐθέλειν δυσχεραίνων παρ' αὐτὸν ἀφικνεῖσθαι. δίκαιος δὴ λέγειν εἰμὶ τἀληθὲς καὶ ὑπομένειν, εἴ τις ἄρα τὰ γεγονότα ἀκούσας, καταφρονήσει τῆς ἐμῆς φιλοσοφίας. τὸν τύραννον δὲ, ἡγήσεται νοῦν ἔχειν. ἔπεμψε μὲν γὰρ δὴ διονύσιος τρίτον ἐπ' ἐμὲ τριήρη, ῥᾳστώνης ἕνεκα τῆς πορείας. ἔπεμψε δὲ ἀρχέδημον, ὃν ἡγεῖτό με τῶν ἐν σικελίᾳ περὶ πλείστου ποιεῖσθαι τῶν ἀρχύτᾳ ξυγγεγονότων ἕνα, καὶ ἄλλους γνωρίμους τῶν ἐν σικελίᾳ. οὗτοι δὲ ἡμῖν ἤγγελλον πάντες τὸν αὐτὸν λόγον, ὡς θαυμαστὸν ὅσον διονύσιος ἐπιδεδωκὼς εἴη πρὸς φιλοσοφίαν. ἔπεμψε δὲ ἐπιστολὴν πάνυ μακρὰν, εἰδὼς ὡς πρὸς δίωνα διεκείμην. καὶ τὴν αὖ δίωνος προθυμίαν, τοῦ ἐμὲ πλεῖν καὶ εἰς συρακούσας ἐλθεῖν. πρὸς γὰρ δὴ πάντα ταῦτα ἦν παρεσκευασμένη τὴν ἀρχὴν ἔχουσα ἡ ἐπιστολὴ, τῇδέ πῃ φράζουσα. Διονύσιος Πλάτωνι. τὰ νόμιμα ἐπὶ τούτοις εἰπὼν, οὐδὲν τὸ μετὰ τοῦτο εἶπε πρότερον, ἢ ὡς ἂν εἰς σικελίαν πεισθεὶς ὑφ' ἡμῶν ἔλθῃς τανῦν, πρῶτον μέν σοι τὰ περὶ δίωνα ὑπάρξει ταύτῃ γιγνόμενα ὅπῃπερ ἂν αὐτὸς ἐθέλῃς. θελήσεις δὲ, οἶδ' ὅτι τὰ μέτρια καὶ ἐγὼ συγχωρήσομαι. εἰ δὲ μὴ, οὐδέν σοι τῶν περὶ δίωνα ἕξει πραγμάτων, οὔτε περὶ τἆλλα, οὔτε περὶ αὐτὸν κατὰ νοῦν γιγνόμενα. ταῦθ' οὕτως εἶπε. τἆλλα δὲ, μακρὰ ἂν εἴη καὶ ἄνευ καιροῦ λεγόμενα. ἐπιστολαὶ δὲ ἄλλαι ἐφοίτων, παρά τε ἀρχύτου καὶ τῶν ἐν τάραντι τήν τε φιλοσοφίαν ἐγκωμιάζουσαι τὴν διονυσίου. καὶ ὅτι ἂν μὴ ἀφίκωμαι νῦν, τὴν πρὸς διονύσιον αὐτοῖς γενομένην

in Sicilia fama, Dionyſium miro quodam rurſus philoſophiæ deſiderio affici. Quare commotus Dio, ne profectionem omitterem, magnoperè flagitabat. Ego verò quanquam ſciebam iuuenes plerumque erga philoſophiā affici ita ſolere, exiſtimaui tamen tutius fore, vt rem totam dimitterem, neque Dionyſio neq; Dioni parerē. Odioſè igitur vtriq; reſpondi: me videlicet deinceps non profecturū, quia ſenex iam eſſem, & eorum quæ in præſentia fierēt, nihil ita vt conuenerat, fieret. Audiui autem Archytam (Tarentinum) interim ad Dionyſiū acceſſiſſe. Ego enim illum ante diſceſſum meū nonnulloſque alios Tarentinos in Dionyſij familiaritatem adduxeram. Erant & alij quidam Syracuſis nonnunquam Dionis auditores: atque inter hos alij quidam, qui alia plurima in philoſophia audiuerāt: qui mihi viſi ſunt contendiſſe de rebus huiuſmodi apud Dionyſium diſputare: quaſi ille omnia quæ excogitauerim, audiuiſſet. Ille verò nec hebes eſt ad perdiſcendum & honoris cupiditate vehementer incenſus. Placuerūt igitur ſibi fortè quæ dicebātur: manifeſtéque erubeſcebat, nihil à me cùm ad eum profectus eſſem, audiuiſſe. Itaque partim amor planius audiendi eum inuaſerat: partim cupiditas gloriæ ſtimulabat. Quam verò ob cauſam in prima illa peregrinatione mea non audiuerit, in ſuperioribus enarraui. Cùm ergo domum ſoſpes rediiſſem: atque illi iterum reuocāti negauiſſem, vt dixi, viſus iam mihi eſt Dionyſius honoris ſui cura prorſus ardere: veritus ne ſic acciperent homines negationem meam, quaſi illum prorſus contemnerem: cùm eius ingenium moréſq; & vitam ipſa experientia cognouiſſem. Iuſtum eſt autem me verum fateri, ferréque æquo animo, ſi quis quæ contigerit audiens, meam quidem ſpernat philoſophiam, tyrannum verò mentem putet habere. Miſit enim Dionyſius tertio ad me triremem, qua facilè nauigarē. Miſit & Archedemum: quem ex omnibus Archytæ in Sicilia familiaribus plurimi à me fieri exiſtimabat: atque vnà alios ex Sicilia nobiles, omnes iiſdem mihi verbis affirmarunt Dionyſium mirum in modum philoſophiæ deditum eſſe. Miſit ipſe præterea pergrandem epiſtolam: cùm ſciret quemadmodum & ipſe erga Dionem afficerer, & Dionis cupiditatem id prorſus expetere, vt Syracuſas me cōferrem. Ad hæc igitur omnia compoſita epiſtola fuerat tali quodam exordio. Dionyſius Platoni. Legitima & conſueta ratione in his præfatus. Nihil deinceps prius (ait) tibi fuerit, quàm quòd in Siciliam pro noſtra voluntate veneris. Primùm quidem de Dione ita fiet vt ipſe volueris. Voles autem vt arbitror, moderata: atque ego concedam. At verò niſi veneris, nihil impetrabis eorum, quæ pro Dione optas: neque in rebus aliis, neque in iis quæ ad perſonam ſuam ſpectantia in primis deſideratis. Hæc ita ſcripſit. Cætera verò prolixa forent: neque ſatis opportuna relatu. Venerunt aliæ quoque epiſtolæ ab Archyta aliiſque Italis & Tarentinis, laudantes in Dionyſio ſapientiæ ſtudium. præterea his addebant, niſi proficiſcerer, amicitiam illam quam ipſis cum Dionyſio

conſta-

conflauerant: neque paruam quidem quantùm ad ciuilia ſpectat me omnino calumniis ſubiecturum. Cùm igitur eo tempore ſic accerſerer, aliis quidem ex Sicilia atq; Italia me trahentibus, aliis verò precibus Athenis quaſi me expellentibus, ratióque mihi dictaret, non decere Dionem Tarentinóſque hoſpites & amicos prodere: atque mihi ipſi ſuccurreret, non eſſe mirum ſiquis ingenioſus iuuenis cùm prius ſermones de rebus magnis audire noluerit, mutata deinde ſententia ardore quodam vitæ optimæ accendatur oporteretque ipſum euidenter explorare, vtram in partem declinet: nec ipſum prodere: nec me ipſum cauſam illi præbere tantæ vituperationis ſuæ: ſi modò res eius reuera ita vt fertur, ſeſe habeant: harum inquam rationũ patrocinio protectus iter ingredior, multa quidem timens, multaque fore diuinans, nec valde felicia, vt apparuit. Profectus denique ſum tertiò, ſub Seruatore. Id enim reuera conſecutus ſum: nã rurſus feliciter ſum ſeruatus. At horum poſt Deum Dionyſio habeo gratiam: quoniam cùm plerique me interficere cuperent, reſtitit ipſe: partemque aliquam pudoris ſui in meis rebus exhibuit. Cùm itaque ad eum perueniſſem, operæpretium in primis fore cenſui hoc ipſum examinare: vtrum reuera Dionyſius amore philoſophiæ accenſus velut igne flagraret: an vanus de eo rumor Athenas vſque fuerit peruagatus. Eſt modus quidam experientiæ circa hæc ſummè decens, non inelegans, ſed tyrannis reuera conueniens, his præcipuè qui plurimos iam audierint. quod quidem ego ſtatim veniens perſenſi prorſus Dionyſio contigiſſe. Oſtendendum eſt vtique illis quàm magna res philoſophia ſit: quantóque ſtudio egeat: & quantis laboribus comparetur. Qui igitur hæc audierit, ſi reuera ſapientiam amet, eique natura cognatus atq; ipſius poſſeſſione ſit dignus, quaſi qui diuinus ſit, viam ſibi mirabilem eſſe putat oſtenſam, pérq; eam ſibi omni conatu exiſtimat gradiendum: aliterque iacenti viuendum eſſe non cenſet. Itaque ſeipſum atque etiam huius vitæ ducem impenſius cohortatur: neque prius deſinit, quàm vel finem omnium fuerit conſecutus, vel ſaltem eam ſibi comparauerit facultatem, per quam ipſe ſe iam ſine duce ad terminum perducere valeat. Hæc igitur atque huiuſmodi rationibus, ille conſiderans, per vniuerſam vitam, quicquid omnino agat, ante omnia eſt philoſophiæ ſemper intentus: victúque quotidiano vtitur, quo maximè queat ingenium & memoriam & iudicium conſeruare, ſeſe ſobrium præſtans, contrariúmque huic victum ſemper odio habens. At verò qui non ſunt reuera ſapientiæ amatores, ſed opinionibus duntaxat extrinſecus colorati, inſtar eorum qui ſub ſole vruntur atque colorantur, cùm audiuerint quot diſcenda ſint, quanto labore, qua quotidiani victus temperantia philoſophiæ ſtudiis neceſſaria, rem protinus ſibi duram impoſſibilémque rati, vt operam dent adduci non poſſunt. Plerique verò ſibimet perſuadent, ſufficienter ſe omnia iam audiuiſſe, neque ſtudio prorſus vllo vlterius indigere. Hæc vtique faciendi periculi ratio perſpicua eſt & minimè fallax aduerſus eos qui proſequi præ mollicie nequeũt: vt crimẽ in præceptorẽ reiicere nũquã poſſint, ſed ipſi iã ſeipſos ad ea quæ philoſophiã decent peragẽda redarguãt, vt impotentes. Hac vtiq; examinis ratione apud Dionyſium tunc vſus ſum,

φιλίαν δι᾽ ἐμὴν καὶ σμικρὰν οὖσαν πρὸς τὰ πολιτικά, παντάπασι διεβαλλόμην. ταύτης δὴ τοιαύτης γενομένης ἐν τῷ τότε χρόνῳ τῆς μεταπέμψεως, τῶν μὲν ἐκ Σικελίας τε καὶ Ἰταλίας ἑλκόντων, τῶν δὲ Ἀθήνηθεν ἀτεχνῶς μετὰ δεήσεως οἷον ἐξωθούντων με, καὶ πάλιν ὁ λόγος ἧκεν ὁ αὐτὸς τὸ μὴ δεῖν προδοῦναι Δίωνα, μηδὲ τοὺς ἐν Τάραντι ξένους τε καὶ ἑταίρους. αὐτῷ δέ μοι ὑπῆν, ὡς οὐδὲν θαυμαστὸν νέον ἄνθρωπον παρακούοντα ἀξίων λόγου πραγμάτων, εὐμαθῆ πρὸς ἔρωτα ἐλθεῖν τοῦ βελτίστου βίου. δεῖν οὖν αὐτὸ ἐξελέγξαι σαφῶς. ὁποτέρως ποτὲ ἄρα σχοίη, καὶ τοῦτο αὐτὸ μηδαμῇ προδοῦναι. μηδ᾽ ἐμὲ τὸν αἴτιον γενέσθαι τηλικούτου ἀληθῶς ὀνείδους, εἴπερ ὄντως εἴη τῳ ταῦτα λελεγμένα. πορεύομαι δὴ τῷ λογισμῷ τούτῳ κατακαλυψάμενος πολλὰ δεδιώς, μαντευόμενός τε οὐ πάνυ καλῶς ὡς ἔοικεν. ἐλθὼν δ᾽ οὖν τὸ τρίτον τῷ σωτῆρι τοῦτό γε οὖν ἔπραξα ὄντως. ἐσώθην γὰρ οὖν πάλιν εὐτυχῶς. καὶ τούτων γε μετὰ θεὸν, Διονυσίῳ χάριν εἰδέναι χρεών. ὅτι πολλῶν βουληθέντων ἀπολέσαι με διεκώλυσε. καὶ ἔδωκέ τι μέρος αἰδοῖ τῶν περὶ ἐμὲ πραγμάτων. ἐπειδὴ δὲ ἀφικόμην, ᾤμην τούτου πρῶτον ἔλεγχον δεῖν λαβεῖν. πότερον ὄντως εἴη Διονύσιος ἐξημμένος ὑπὸ φιλοσοφίας ὥσπερ πυρός, ἢ μάτην ὁ πολὺς οὗτος ἔλθοι λόγος Ἀθήναζε. ἔστι δή τις τρόπος τοῦ περὶ τὰ τοιαῦτα πεῖραν λαμβάνειν, οὐκ ἀγεννής. ἀλλ᾽ ὄντως τυράννοις πρέπων, ἄλλως τε καὶ τοῖς τῶν παρακουσμάτων μεστοῖς. ὃ δὴ κἀγὼ Διονύσιον εὐθὺς ἐλθὼν, ᾐσθόμην καὶ μάλα πεπονθότα. δεικνύναι δεῖ τοῖς τοιούτοις ὅτι ἐστὶ πᾶν τὸ πρᾶγμα οἷόν τε, καὶ δι᾽ ὅσων πραγμάτων, καὶ ὅσον πόνον ἔχει. ὁ γὰρ ἀκούσας, ἐὰν μὲν ὄντως ᾖ φιλόσοφος, οἰκεῖός τε καὶ ἄξιος τοῦ πράγματος, θεῖος ὤν, ὁδόν τε ἡγεῖται θαυμαστὴν ἀκηκοέναι, συντατέον τε εἶναι νῦν, καὶ οὐ βιωτὸν ἄλλως ποιοῦντι. μετὰ τοῦτο δὴ συντείνας αὐτός τε καὶ τὸν ἡγούμενον τὴν ὁδὸν οὐκ ἀνίησι, πρὶν ἂν ἢ τέλος ἐπιθῇ πᾶσιν, ἢ λάβῃ δύναμιν. ὥστε αὐτὸς αὑτὸν χωρὶς τοῦ δείξοντος μὴ ἀδύνατος εἶναι ποδηγεῖν. ταύτῃ καὶ κατὰ ταῦτα διανοηθεὶς ὁ τοιοῦτος ζῇ, πράττων μὲν, ἐν αἷς τισιν ἂν ᾖ πράξεσι. παρὰ πάντα δὲ ἀεὶ φιλοσοφίας ἐχόμενος, καὶ τροφῆς τῆς καθ᾽ ἡμέραν, ἥτις ἂν αὐτὸν μάλιστα εὐμαθῆ τε καὶ μνήμονα, καὶ λογίζεσθαι δυνατὸν, ἐν αὑτῷ νήφοντα ἀπεργάζοιτο. τὴν δὲ ἐναντίαν ταύτῃ μισῶν διατελεῖ. οἱ δὲ ὄντως μὲν μὴ φιλόσοφοι. δόξαις δ᾽ ἐπικεχρωσμένοι, καθάπερ οἱ τὰ σώματα ὑπὸ τοῦ ἡλίου ἐπικεκαυμένοι. ἰδόντες τε ὅσα μαθήματά ἐστι, καὶ ὁ πόνος ἡλίκος, καὶ δίαιτα ἡ καθ᾽ ἡμέραν ὡς πρέπουσα ἡ κοσμία τῷ πράγματι, χαλεπὸν ἡγησάμενοι καὶ ἀδύνατον αὑτοῖς, οὐδὲ δὴ ἐπιτηδεύειν δυνατοὶ γίγνονται. ἔνιοι δὲ αὑτοὺς πείθουσιν αὐτοὺς ὡς ἱκανῶς ἀκηκοότες εἰσὶ τὸ ὅλον. καὶ οὐδὲν ἔτι δέονταί τινων πραγμάτων. ἡ μὲν δὴ πεῖρα αὕτη γίνεται, ἡ σαφής τε καὶ ἀσφαλεστάτη πρὸς τοὺς τρυφῶντάς τε καὶ ἀδυνάτους διαπονεῖν, ὡς μηδέποτε βάλλειν ἐν αἰτίᾳ τὸν δεικνύντα, ἀλλ᾽ αὐτὸν αὑτὸν, μὴ δυνάμενον πάντα τὰ πρόσφορα ἐπιτηδεύειν τῷ πράγματι. οὕτω δὴ καὶ Διονυσίῳ τότ᾽ ἐρρήθη τὰ ῥηθέντα.

πάντα μὲν οὖν, οὔτ' ἐγὼ διεξῆλθον, οὔτ' ὁ Διονύσιος ἐδεῖτο· πολλὰ γὰρ αὐτὸς καὶ τὰ μέγιστα, εἰδέναι τε καὶ ἱκανῶς ἔχειν προσεποιεῖτο, διὰ τὰς ὑπὸ τῶν ἄλλων παρακοάς. ὕστερον δὲ καὶ ἀκούω γεγραφέναι αὐτὸν περὶ ὧν τότε ἤκουσε συνθέντα ὡς αὑτοῦ τέχνην, οὐδὲν τῶν αὐτῶν ὧν ἀκούοι. οἶδα δὲ οὐδὲν τούτων. ἄλλους μέν τινας οἶδα γεγραφότας, περὶ τῶν αὐτῶν τούτων, οἵ τινες δὲ, οὐδ' αὐτοὶ αὑτούς. τοσόνδε γε μὴν περὶ πάντων ἔχω φράζειν τῶν γεγραφότων καὶ γραψόντων, ὅσοι φασὶν εἰδέναι περὶ ὧν ἐγὼ σπουδάζω, εἴτ' ἐμοῦ ἀκηκοότες, εἴτ' ἄλλων, εἴθ' ὡς εὑρόντες αὐτοὶ, τούτους οὐκ ἔστι κατά γε τὴν ἐμὴν δόξαν περὶ τοῦ πράγματος ἐπαΐειν οὐδέν. οὔκουν ἐμόν γε περὶ αὐτῶν ἔστι σύγγραμμα, οὐδὲ μήποτε γένηται. ῥητὸν γὰρ οὐδαμῶς ἐστιν, ὡς ἄλλα μαθήματα, ἀλλ' ἐκ πολλῆς συνουσίας γιγνομένης περὶ τὸ πρᾶγμα αὐτὸ, καὶ τοῦ συζῆν, ἐξαίφνης οἷον ἀπὸ πυρὸς πηδήσαντος ἐξαφθὲν φῶς, ἐν τῇ ψυχῇ γενόμενον αὐτὸ ἑαυτὸ ἤδη τρέφει. καίτοι τοσόνδε γε οἶδα, ὅτι γραφέντα ἢ λεχθέντα ὑπ' ἐμοῦ, βέλτιστ' ἂν λεχθείη. καὶ μὴν ὅτι γεγραμμένα κακῶς, οὐχ ἥκιστ' ἂν ἐμὲ λυποῖ. εἰ δέ μοι ἐφαίνετο γραπτέα θ' ἱκανῶς εἶναι πρὸς τοὺς πολλοὺς καὶ ῥητὰ, τί τούτου κάλλιον ἐπέπρακτ' ἂν ἡμῖν ἐν τῷ βίῳ, ἢ τοῖς τε ἀνθρώποισι μέγα ὄφελος γράψαι, καὶ τὴν φύσιν εἰς φῶς τοῖς πᾶσι προαγαγεῖν. ἀλλ' οὔτε ἀνθρώποις ἡγοῦμαι τὴν ἐπιχείρησιν περὶ αὐτῶν λεγομένην ἀγαθὸν, εἰ μή τισιν ὀλίγοις, ὁπόσοι δυνατοὶ ἀνευρεῖν αὐτοὶ διὰ μικρᾶς ἐνδείξεως. τῶν τε δὴ ἄλλων, τοὺς μὲν καταφρονήσεως οὐκ ὀρθῆς ἐμπλήσειεν ἂν οὐδαμῆ ἐμμελῶς, τοὺς δὲ ὑψηλῆς καὶ χαύνης ἐλπίδος, ὡς σέμν' ἄττα μεμαθηκότας. ἔτι δὲ μακρότερα περὶ αὐτῶν ἐν νῷ μοι γέγονεν εἰπεῖν. τάχα γὰρ ἂν περὶ ὧν λέγω σαφέστερον ἂν εἴη τι λεχθέντων αὐτῶν. ἔστι γάρ τις λόγος ἀληθὴς ἐναντίος τῷ τολμήσαντι γράφειν τῶν τοιούτων καὶ ὁτιοῦν, πολλάκις μὲν, ὑπ' ἐμοῦ καὶ πρόσθεν ῥηθεὶς, ἔοικε δ' οὖν εἶναι καὶ νῦν λεκτέος. ἔστι τῶν ὄντων ἑκάστῳ, δι' ὧν τὴν ἐπιστήμην ἀνάγκη παραγίγνεσθαι, τρία· τέταρτον δ' αὐτή. πέμπτον δ' αὐτὸ τιθέναι. διὸ δὴ γνωστόν τε καὶ ἀληθές ἐστιν. ἓν μὲν, ὄνομα, δεύτερον δὲ, λόγος. τὸ δὲ τρίτον, εἴδωλον. τέταρτον δὲ ἐπιστήμη. περὶ ἓν οὖν, λάβε βουλόμενος μαθεῖν τὸ νῦν λεγόμενον καὶ πάντων οὕτω πέρι νόησον. κύκλος ἐστί τι λεγόμενον, ᾧ τοῦτ' αὐτό ἐστιν ὄνομα ὃ νῦν ἐφθέγμεθα. λόγος δ' αὐτοῦ τὸ δεύτερον ἐξ ὀνομάτων καὶ ῥημάτων συγκείμενος. τὸ γὰρ ἐκ τῶν ἐσχάτων ἐπὶ τὸ μέσον ἴσον ἀπέχον πάντῃ, λόγος ἂν εἴη ἐκείνου, ᾧπερ στρογγύλον καὶ περιφερὲς ὄνομα καὶ κύκλος. τρίτον δὲ, τὸ ζωγραφούμενόν τε καὶ ἐξαλειφόμενον καὶ τορνευόμενον καὶ ἀπολλύμενον· ὧν αὐτὸς ὁ κύκλος ὃν πέρι πάντ' ἐστὶ ταῦτα, οὐδὲν πάσχει τούτων, ὡς ἕτερον ὄν. τέταρτον δὲ, ἐπιστήμη καὶ νοῦς. ἀληθής τε δόξα, περὶ ταῦτ' ἐστίν. ὡς δὲ ἓν τοῦτο αὖ, πᾶν θετέον. οὐκ ἐν φωναῖς οὐδ' ἐν σωμάτων σχήμασιν, ἀλλ' ἐν ψυχαῖς ἐνόν. ᾧ δῆλον ἕτερόν τι ὂν αὐτοῦ τοῦ κύκλου τῆς φύσεως, τῶν τε ἔμπροσθεν λεχθέντων τριῶν. τούτων δὲ ἐγγύτατα μὲν, ξυγγενείᾳ καὶ ὁμοιότητι τοῦ πέμπτου νοῦς πεπλησίακε. τἆλλα δὲ πλέον ἀπέχει.

cuncta verò nec ego percurri, neque Dionyſius requirebat. Nam erant permulta & maxima, in quibus ſe ſatis doctum ob ea quæ ab aliis audiuerat, exiſtimari ſtudebat. Audio verò ipſum de his quæ tunc audiuit ſcripſiſſe poſtea, quaſi artem propriam componentem: cùm nihil tamen horum reuera ipſorum ineſſet, vt equidem audio. De his verò ego nihil certi ſcio. Alios tamen quoſdam noui de rebus eiſdem ſcripſiſſe. Quicunque verò hi fuerint, nec ipſi quidem ſeipſos cognouerunt. Tantùm verò dicam de his omnibus qui aut ſcripſerunt, aut ſcripturi ſunt, ſe ſcire affirmantes quæ ſint ea quæ ipſe tanquam ſeria ſtudioſè meditor, ſiue à me, ſiue ab aliis audiuerint, ſiue tanquam inuentores ipſi fuerint, nihil eos ipſa de re meo iudicio percipere poſſe. Nec enim de ipſis ſcripſi vnquam nec ſcribā. Id nanque nullo pacto exprimi poteſt, quemadmodū cæteræ diſciplinæ: ſed ex diuturna circa idipſum conſuetudine, vitæque ad ipſum coniunctione, ſubitò tandem quaſi ab igne micante lumen refulgēs in anima ſeipſum iam alit. Atque tantùm equidem ſcio, ſcripta à me vel dicta, optimè dicta eſſe: malè verò ſcripta non minimam mihi afferrēt moleſtiā. Quòd ſi ſcriptis vel voce proferenda mihi in vulgū viderētur: quidnā pulchrius nobis in vita fieri poſſet, quàm rem valde vtilem hominibus afferre, atq; naturam omnibus proferre in lucem? At verò ſtudium in his edendis, vtile eſſe non reor hominibus, niſi admodum paucis: qui videlicet exiguis antè veſtigiis demonſtratis, ad inueniendum ipſi ſagaces ſint. Alios verò partim contemptu nefario, partim elata ſpe vanáque impleuiſſet: quaſi præclara quædam iam didiciſſent. Proinde longiora de ipſis dicere cogitaui. Fortè enim ſi hæc dicantur, nonnihil de his quæ dico clarius apparebit. Eſt nāque ratio quædam vera, obſtans illi qui de reb. eiuſmodi nihil omnino audet ſcribere: ſæpe quidem à me aliàs dicta, & nunc, vt videtur, dicenda. Vnicuique ipſorum quæ ſunt, tria ſunt, ex quibus ſciētiam fieri neceſſarium ſit. Quartum ipſa ſcientia eſt. Quintum verò oportet ipſum ponere quo quid eſt cogooſcibile, id eſt quod agnoſci poteſt, atque verè exiſtit. Horum vnum eſt nomen: ſecundū: definitio: tertium exemplum: ſcientia quartum. De vno quouis igitur accipe, cupiens quod modò dictū eſt diſcere, déque omnibus ſimiliter cogita. Circulus aliquid dicitur, cui nomē id eſt quod modò pronunciabamus. Sequitur autem eius definitio ex nominibus verbiſque compoſita. Quod enim ab extremis ad medium æqualiter vndique diſtat, illius definitio eſt, quod rotundi & circunferentiæ & circuli nomine deſignamus. Tertium verò eſt: quòd pictus circulus ſit vel deletus, aut torno factus vel deſtructus. Quorum nihil ipſe circulus circa quē hæc ſingula ſunt, patitur: vt pote aliud quiddam exiſtens. Quartum autem ſcientia eſt & intellectus, atque vera circa hæc opinio. Hoc rurſus totum tanquam vnum eſt ponendū: quod nec in vocibus nec in corporum figuris eſt, ſed in mente & intelligentia. Ideóque manifeſtum eſt, aliud eſſe quàm ſit ipſa circuli natura, rurſúſque aliud quàm tria illa quæ ſuprà diximus. Horum verò ex oumero, intellectus cogoatione, ſimilitudinéque quinto proximus hæret, cætera remotiora ſunt.

Idem quoque de recta & curua dici poteſt figura, atque colore: déque bono & pulchro & iuſto: rurſus de quocunque corpore, vel manu facto vel naturali, ſiue igni ſiue aqua, cæteriſque huiuſmodi, ſimiliter de omni animali, ac de moribus animorum, atque de actionibus paſſionibúſque vniuerſis. Niſi enim quis in his illa quatuor quodammodo capiat, nunquam ſciētiæ circa quintum perfectè particeps erit. Proinde illa non minus quale quid ſit vnumquodque, quàm quid ſit aggrediuntur oſtendere: propter rationum debilitatem. Quapropter nemo mentis compos audebit vnquā in idem atque id quidem immutabile, referre quæ ab ipſo intelliguntur, atque quatuor illa. Quod vtique patiuntur, quæ deſignātur figuris. Id vero quod nunc dicimus, rurſus eſt conſiderandum. Sane circulus quilibet horum qui inter hominum manús vel pinguntur vel torno fiunt, planè illi quinto eſt contrarius. Recti nanq; vndequaque fit particeps. Ipſum verò circulum affirmamus neque minus neque magis aliquid: id eſt nihil omnino habere in ſe naturæ contrariæ. Præterea nullus horum nomen firmitatem dicimus vllam habere. Nihil enim prohiberet quæ nunc rotūda nominamus, recta, vocari, rectáque rotunda: nec firmitatem vllam maiorē fore nominibus in contrarium permutatis. Eadem quoque de definitione ratio eſt: cùm ex nominibus verbiſque componatur nullam omnino habētibus firmitatem. Multipliciter rurſus probari poteſt, nullū horum quatuor certum firmumque eſſe. Maximum verò omnium, quod paulò antè dicebamus: quòd cùm duo ſint, eſſentia & qualitas: quando animus non quale, ſed quid ſit quęrit: niſi quodlibet horū quatuor quæſitum priùs ab anima tā ratione quàm affectu, denique ſenſibus bene diſcuſſum, per omnia quæ dicuntur atque oſtenduntur euaſerit: omni ambiguitate & obſcuritate, vt ita dixerim, omnes implebit. In quib. igitur haud quaquā conſueti ſumus ob prauam educationem verū perquirere, ſed ſatis nobis factum putamus, ſi appoſita ſimulacra attigerimus, nónne deriſui ſumus inuicē interrogati interrogantibus, potentibus duntaxat quatuor illa diſcutere atque arguere? Vbi verò neceſſitas cogit quintum oſtendere, quiuis eorum qui poſſint ſubuertere atque retractare peruincit: facitque vt qui exponit ſermonibus vel literis vel diſputationibus, apud audientium multos nihil eorum quæ vel dicere vel ſcribere aggreditur, intelligere videatur qua in re ſæpe ignoratur non animū ſcribentis vel dicentis redargui, ſed naturam potius cuiuſlibet illorū quatuor ſe malè habentis. Traductio verò per omnia illa ſurſum deorſúmque in vnumquodque diſcurrendo perueniens, vix tandem ſciētiam parit intrinſecus ſcientiam inquā ipſius quod naturaliter bene affectum eſt in animo ad ipſum quoque naturaliter bene affecto. At ſi quis malè affectus ſit natura, qualis naturaliter animæ habitus ineſt multis, tum ad illa quæ diſcenda ſunt, tum ad mores, corruptique illi ſunt, ne Lynceus quidem, vt eiuſmodi animus videat, efficere poſſet. Atque vt ſummatim dicam, neque acumen, neque memoria faciet vnquam, vt qui rei ipſius qua de agitur, non eſt cognatus, ipſum inſpiciat. Principium etenim in habitibus alienis non ſortitur. Quamobrem quicunque iuſtis aliiſque

ταὐτὸν δὴ περί τε εὐθέος ἅμα καὶ περιφεροῦς σχήματος καὶ χρόας. περί τε ἀγαθοῦ καὶ καλοῦ καὶ δικαίου καὶ περὶ σώματος ἅπαντος. σκευαστοῦ τε καὶ κατὰ φύσιν γεγονότος, πυρὸς ὕδατός τε καὶ τῶν τοιούτων πάντων. καὶ ζώου ξύμπαντος πέρι. καὶ ἐν ψυχαῖς ἤθους. καὶ περὶ ποιήματα καὶ παθήματα ξύμπαντα. οὐ γὰρ ἂν τούτων μή τις τὰ τέτταρα λάβῃ. ἀλλως γέ πως οὔποτε τελέως ἐπιστήμης τοῦ πέμπτου μέτοχος ἔσται. πρὸς γὰρ τούτοις, ταῦτα οὐχ ἧττον ἐπιχειρεῖ τὸ ποιόν τι περὶ ἕκαστον δηλοῦν. ἢ τὸ ὂν ἑκάστου διὰ τὸ τῶν λόγων ἀσθενές. ὧν ἕνεκα, νοῦν ἔχων οὐδεὶς, τολμήσει ποτὲ εἰς αὐτὸ τιθέναι τὰ νενοημένα ὑπ' αὐτοῦ. καὶ ταῦτα εἰς ἀμετακίνητον, ὃ δὴ πάσχει τὰ γεγραμμένα τύποις. τοῦτο δὲ πάλιν αὖ τὸ νῦν λεγόμενον, δεῖ μαθεῖν. κύκλος ἕκαστος τῶν ἐν ταῖς πράξεσι γραφομένων ἢ καὶ τορνευθέντων, μεστὸς τοῦ ἐναντίου ἐστὶ τῷ πέμπτῳ. τοῦ γὰρ εὐθέος, ἐφάπτεται πάντῃ. αὐτὸς δέ φαμεν ὁ κύκλος, οὔτε τι σμικρότερον, οὔτε μεῖζον τῆς ἐναντίας ἔχει ἐν αὑτῷ φύσεως. ὄνομά τε αὐτῶν φαμὲν οὐδὲν οὐδενὶ βέβαιον εἶναι. κωλύει δ' οὐδὲν τὰ νῦν στρογγύλα καλούμενα, εὐθέα κεκλῆσθαι. τά τε εὐθέα δή, στρογγύλα. καὶ οὐδὲν ἧττον βεβαίως ἕξειν, τοῖς μεταθεμένοις καὶ ἐναντίως καλοῦσι. καὶ μὴν περὶ λόγου γε ὁ αὐτὸς λόγος εἴπερ ἐξ ὀνομάτων καὶ ῥημάτων σύγκειται, μηδὲν ἱκανῶς βεβαίως εἶναι βέβαιον. μυρίος δὲ λόγος αὖ περὶ ἑκάστου τῶν τεττάρων ὡς ἀσαφές. τὸ δὲ μέγιστον ὅπερ εἴπομεν ὀλίγον ἔμπροσθεν. ὅτι δυοῖν ὄντοιν τοῦ τε ὄντος καὶ τοῦ ποιοῦ τινος, οὐ τὸ ποιόν τι τὸ δὲ ζητούσης εἰδέναι τῆς ψυχῆς, τὸ μὴ ζητούμενον ἕκαστον τῶν τεττάρων προτεῖνον τῇ ψυχῇ λόγῳ τε καὶ κατ' ἔργα, αἰσθήσεσιν εὐέλεγκτον τό, τε λεγόμενον καὶ δεικνύμενον ἀεὶ παρεχόμενον ἕκαστον, ἀπορίας τε καὶ ἀσαφείας ἐμπίπλησι πάσης ὡς ἔπος εἰπεῖν πάντ' ἄνδρα. ἐν οἷσι μὲν οὖν μηδ' εἰθισμένοι τὸ ἀληθὲς ζητεῖν ἐσμὲν ὑπὸ πονηρᾶς τροφῆς, ἐξαρκεῖ δὲ τὸ προτεθὲν τῶν εἰδώλων, οὐ καταγέλαστοι γιγνόμεθα ὑπ' ἀλλήλων, οἱ ἐρωτώμενοι ὑπὸ τῶν ἐρωτώντων. δυναμένων δὲ τὰ τέτταρα, διαρρίπτειν τε καὶ ἐλέγχειν, ἐν οἷς δ' αὖ τὸ πέμπτον ἀποκρίνασθαι καὶ δηλοῦν ἀναγκάζομεν, ὁ βουλόμενος τῶν δυναμένων ἀνατρέπειν κρατεῖ. καὶ ποιεῖ τὸν ἐξηγούμενον ἐν λόγοις ἢ γράμμασιν ἢ ἀποκρίσεσι, τοῖς πολλοῖς τῶν ἀκουόντων, δοκεῖν μηδὲν γιγνώσκειν ὧν ἂν ἐπιχειρῇ γράφειν ἢ λέγειν. ἀγνοούντων ἐνίοτε, ὡς οὐχ ἡ ψυχὴ τοῦ γράψαντος ἢ λέξαντος ἐλέγχεται, ἀλλ' ἡ τῶν τεττάρων φύσις ἑκάστου πεφυκυῖα φαύλως. ἡ δὲ διὰ πάντων αὐτῶν διαγωγή, ἄνω καὶ κάτω μεταβαίνουσα ἐφ' ἕκαστον, μόγις ἐπιστήμην ἐνέτεκεν, εὖ πεφυκότος εὖ πεφυκότι. κακῶς δὲ ἂν φυῇ, ὡς ἡ τῶν πολλῶν ἕξις τῆς ψυχῆς, εἴς τε τὸ μαθεῖν, εἴς τε τὰ λεγόμενα ἤθη πέφυκε. τὰ δὲ, διέφθαρται, οὐδ' ἂν ὁ Λυγκεὺς ἰδεῖν ποιήσειε τοὺς τοιούτους. ἑνὶ δὲ λόγῳ. τὸν μὴ ξυγγενῆ τοῦ πράγματος, οὔτ' ἂν εὐμαθία ποιήσειέ ποτε, οὔτε μνήμη. τὴν ἀρχὴν γὰρ, ἐν ἀλλοτρίαις ἕξεσιν οὐκ ἐγγίγνεται. ὥστε ὁπόσοι τῶν δικαίων τε καὶ τῶν ἄλλων

ὅσα καλὰ μὴ προσφυεῖς εἰσι καὶ ξυγγενεῖς. ἄλλοι δὲ ἄλλων εὐμαθεῖς ἅμα καὶ μνήμονες, οὐδ᾽ ὅσοι ξυγγενεῖς. δυσμαθεῖς δὲ καὶ ἀμνήμονας οὐδένας τούτων μήποτε μάθωσιν ἀλήθειαν ἀρετῆς εἰς τὸ δυνατὸν οὐδὲ κακίας. ἅμα γὰρ αὐτὰ ἀνάγκη μανθάνειν, καὶ τὸ ψεῦδος, ἅμα καὶ ἀληθὲς τῆς ὅλης οὐσίας μετὰ τριβῆς πάσης καὶ χρόνου πολλοῦ, ὅπερ ἐν ἀρχαῖς εἶπον. μόλις δὲ τριβόμενα πρὸς ἄλληλα αὐτῶν ἕκαστα ὀνόματα καὶ λόγοι ὄψεις τε καὶ αἰσθήσεις, ἐν εὐμενέσιν ἐλέγχοις ἐλεγχόμενα καὶ ἄνευ φθόνων ἐρωτήσεσι καὶ ἀποκρίσεσι χρωμένων, ἐξέλαμψε φρόνησις περὶ ἕκαστον καὶ νοῦς, συντείνων ὅτι μάλιστ᾽ εἰς δύναμιν ἀνθρωπίνην. διὸ δὴ πᾶς ἀνὴρ σπουδαῖος, τῶν ὄντων σπουδαίων πέρι, πολλοῦ δεῖ μὴ γράψας ποτὲ ἐν ἀνθρώποις, εἰς φθόνον καὶ ἀπορίαν καταβαλεῖ. ἑνὶ δὴ ἐκ τούτων δεῖ γιγνώσκειν λόγῳ. ὅταν ἴδῃ τίς του συγγράμματα γεγραμμένα, εἴτε ἐν νόμοις νομοθέτου, εἴτε ἐν ἄλλοις τισὶν ἅττ᾽ οὖν, ὡς οὐκ ἦν τούτῳ ταῦτα σπουδαιότατα, εἴπερ ἔστ᾽ αὐτὸς σπουδαῖος. κεῖται δέ που ἐν χώρᾳ τῇ καλλίστῃ τῶν τούτου. εἰ δὲ ὄντως αὐτῷ ταῦτ᾽ ἐσπουδασμένα ἐν γράμμασιν ἐτέθη, ἐξ ἄρα δή οἱ ἔπειτα θεοὶ μὲν, οὐ βροτοὶ δὲ φρένας ὤλεσαν αὐτοί. Τούτῳ δὴ τῷ μύθῳ τε καὶ πλάνῳ ὁ ξυνεπισπόμενος, εὖ εἴσεται. εἴτ᾽ οὖν Διονύσιος ἔγραψέ τι, τῶν περὶ φύσεως ἄκρων καὶ πρώτων, εἴτε τις ἐλάττων εἴτε μείζων, ὡς οὐδὲν ἀκηκοὼς, οὐδὲ μεμαθηκὼς ἦν ὑγιὲς ὧν ἔγραψε κατὰ τὸν ἐμὸν λόγον. ὁμοίως γὰρ αὐτὰ ἐσέβετο ἐμοὶ, καὶ οὐκ ἂν αὐτὰ ἐτόλμα εἰς ἀναρμοστίαν καὶ ἀπρέπειαν ἐκβάλλειν. οὔτε γὰρ ὑπομνημάτων χάριν ἔγραψεν. οὐδὲν γὰρ δεινὸν μή τις αὐτὸ ἐπιλάθηται, ἐὰν ἅπαξ τῇ ψυχῇ περιλάβῃ. πάντων γὰρ ἐν βραχυτάτοις κεῖται. φιλοτιμίας δὲ αἰσχρᾶς εἴπερ ἕνεκα, εἴθ᾽ ὡς αὑτοῦ τιθέμενος, εἴθ᾽ ὡς παιδείας δὴ μέτοχος ὤν, ἧς οὐκ ἄξιος ἦν, ἀγαπῶν δόξαν τὴν τῆς μετοχῆς γενομένην. εἰ μὲν οὖν ἐκ τῆς μιᾶς συνουσίας Διονυσίῳ τοῦτο γέγονε, τάχ᾽ ἂν εἴη. γέγονε δ᾽ οὖν ὅπως, ἴττω Ζεὺς, φησὶν ὁ Θηβαῖος. διεξῆλθον μὲν γὰρ ὡς εἶπόν τε ἐγὼ, καὶ ἅπαξ μόνον. ὕστερον δὲ οὐ πώποτε ἔτι. ἐννοεῖν δὴ δεῖ τὸ μετὰ τοῦτο, ὅτῳ μέλει τὸ περὶ αὐτὰ γεγονὸς εὑρεῖν ὅπῃ ποτὲ γέγονε. τίνι ποτ᾽ αἰτίᾳ τὸ δεύτερον, καὶ τὸ τρίτον πλεονάκις τε, οὐ διεξῇμεν. πότερον Διονύσιος ἀκούσας μόνον ἅπαξ, οὕτως εἰδέναι τε οἴεται καὶ ἱκανῶς οἶδεν, εἴτε αὐτὸς εὑρὼν ἢ καὶ μαθὼν ἔμπροσθεν παρ᾽ ἑτέρων, ἢ φαῦλα εἶναι τὰ λεχθέντα. ἢ τὸ τρίτον οὐ καθ᾽ αὑτὸν, μείζονα δὲ, καὶ ὄντως οὐκ ἂν δυνατὸς εἶναι φρονήσεώς τε καὶ ἀρετῆς ζῆν ἐπιμελούμενος. εἰ μὲν γὰρ φαῦλα πολλοῖς μάρτυσι μαχεῖται τὰ ἐναντία λέγουσιν. οἳ περὶ τῶν τοιούτων, πάμπολυ Διονυσίου κυριώτεροι ἂν εἶεν κριταί. εἰ δὲ εὑρηκέναι ἢ μεμαθηκέναι, ἄξια δ᾽ οὖν εἶναι πρὸς παιδείαν ψυχῆς ἐλευθέρας, πῶς ἂν μὴ θαυμαστὸς ὢν ἄνθρωπος, τὸν ἡγεμόνα τούτων καὶ κύριον οὕτως εὐχερῶς ἠτίμασέ ποτ᾽ ἄν. πῶς δ᾽ ἠτίμασεν, ἐγὼ φράζοιμ᾽ ἄν. οὐ πολλῷ χρόνῳ

quotcunque ſunt pulchra, non ſunt apti natura atque cognati, licèt alij ad alia ingenioſi ſimul & memores: rurſus quicunque cognati ſunt quidem, ſed hebetes & memoria parum validi, nunquam ad ſummum diſcendi veritatē peruenient vel virtutis, vel vitij. Neceſſe enim eſt ea ſimul perdiſcere, & falſum ſimul & verum totius eſſentię cū omni exercitatione atque longitudine temporis: quod & ab initio dixi. Poſtquam verò ſingulatim ipſorum nomina, definitiones, viſuſque & ſenſus agitata inuicē tritaque fuerint, benigniſque reprehenſionibus redargata, & abſque inuidia interrogando reſpondendóque diſcuſſa, vix tandem refulget circa vnumquodque prudentia atque intelligentia ad ſummum omnino pro humana facultate contendens. Quamobrem permultùm abeſt, vt vir ſtudioſus & grauis de iis quæ reuera digna ſunt, ſtudio ſcribens hominibus, ſe ſimul & ſua inuidiæ ambiguitatique ſubiicere debeat. Vno verò ex his ſermone id intelligere licet: quando videlicet quis alicuius ſcripta cernens, ſiue legumlatoribus in legibus, ſiue in quibuslibet aliis aliorum, animaduertat illa nō eſſe tanquam omnino ſeria ſtudioſiſſimè pertractata: ſiquidem ſit ipſe ſtudioſus, iacens autem inter ſua in regione pulcherrima. Sin autem reuera ipſi hæc tanquam ſeria ſtudioſè literis tradita ſunt, dij quidem minimè ſed homines mentē eripuerunt. Hæc vtiq; orationem digreſſionémque quicunque ſequetur, planè intelliget, ſiue Dionyſius aliquid de ſummis & primis naturæ ſcripſerit, ſiue quiuis alius aut minor aut maior, nihil eum ſyncerū audiuiſſe vel didiciſſe eorum quæ ſcripſit, vt mea fert opinio. Alioquin pariter atque ego ipſa veneratus fuiſſet, neq; auſus fuiſſet vnquā temerè edendo abſurditati indecentiæque ſubiicere. Neq; verò quaſi memoriæ ſubſidium illa ſcripſit. Non enim hæc in re memoriæ diffidendum: ſi id ſemel animo fuerit comprehenſum. Nam id totum breuiſſimè omnium eſt collectum. Fortè verò turpi quadam ambitione id fecit, vel tanquam ſua hæc aſſerens, vel tanquā particeps diſciplinæ, qua indignus erat, gloriam quærēs. Verùm ſi ex vna duntaxat congregatione id Dionyſio contigit, eſſet id forſan concedendum. Sed id nouerit Iupiter, (vt inquit Thebanus.) Percurri equidem hæc illi, eo quo dixi modo, ſemélque tantùm: poſtea verò nunquam. Poſt hæc autem conſiderandum eſt, ſi cui cura ſit inuenire eius quod nobis circa illa accidit, cauſam: cur videlicet & ſecūdo, & tertio, & ſæpius ea non pertractauimus: Verū Dionyſius, ipſis ſemel duntaxat auditis, adeò ſufficienter ea ſe ſcire putauerit ſatiſve norit, ſiue inuenerit ipſe, ſiue ab aliis antè didicerit: an friuola quæ dicebantur exiſtimarit. An fortè præter hæc tertium quiddam acciderit: videlicet vt ipſa haud ſuis æqualia viribus, ſeu maiora cenſuerit: ac reuera ſe minimè idoneum eſſe qui ſub prudentiæ virtutiſque diligentia viuat. Si enim friuola exiſtimaſſe dicatur, multis certè teſtibus pro cauſa noſtra contrà pugnabitur: qui in rebus eiuſmodi iudicandis longè maiorem quàm Dionyſius autoritatē habeāt. Quòd ſi inueniſſe vel didiciſſe, atq; ipſa quidē digna videri, quæ liberali animo in diſciplinā adhiberentur, quis nō id mirū putet, Dionyſium ſic affectum horum aliquando ducem & autorem tā facilè contempſiſſe? Quo autem pacto contempſerit, iam dicam. Profectò non multò pòſt hoc tempore marci-

patrimonium Dionis, quod prius eum liberè poſſidere, fructus quos inde percipere permittebat, iam vetuit omnino per eius procuratores attingi: pecuniaſque vt conſueuerant ad ipſum in Peloponneſum mitti: quaſi epiſtolæ illius prorſus oblitus, quam ad me ſcripſerat. Aſſerebat enim res illas non Dionis eſſe, ſed filij: qui cùm eſſet ex ſorore nepos, eũ ex lege ſub tutela ipſius eſſe. Hæc igitur vſque ad illud tempus acta fuerunt. quæ ego conſiderans iã planè perſpiciebam quo pacto erga philoſophiam Dionyſius fuiſſet affectus, conturbabarque vellem nollem. Erat iam tunc æſtas: & frequenter nauigabatur: videbatúrque mihi non tam de Dionyſio quam de me ipſo conquerendum, & de his qui me impulerant vt in fretum Scyllæ tertio deuenirem, Charybdimque remetirer pernicioſam. Compulſus itaque ſum Dionyſio dicere, non poſſe me vllo modo apud ſe fore, Dione tam ignominioſè contempto. at ille me conſolabatur, rogabátque vt manerem, non putans ſibi honeſtum, vt ego ipſe tam citò horum à ſe factorum nuncius irem. Cùm verò in his manendum perſuadere nõ poſſet, ipſe mihi ſe paraturum ait, qui & quo pacto me deferrent. Ego autem in tranſmiſſoriis nauigiis traijcere cõſtitueram: omnia eſſe perferenda ducens, ſi abire me prohiberet: quippe cùm manifeſtè ipſe nulla Dionyſium iniuria afficiens, ab eo iniuria affectus fuiſſem. At ille cùm me nullo modo manere velle cognoſceret, quò nauigationem tunc meam impediret, talia machinatus eſt. Poſtridie ſermonem ad me habuit gratioſum atque ad perſuadendum accommodatum. Mihi & tibi, inquit, Dio Dioniſque res, quatenus diſcordiæ noſtræ cauſam præbent, tollantur à medio. Dioni equidem tui gratia hæc faciam. Decerno Dionem recipientem ſua habitare in Peloponneſo, nõ tanquam exulem, ſed tanquam cui liceat huc proficiſci, quando illi & mihi vobiſq; amicis communiter videatur: dũmodo nullam mihi iniuriam faciat. Huius autem rei fideiuſſores mihi fore te familiaréſq; tam tuos quàm Dionis qui hîc habitant. Dionem quoque ipſum id vobis obſeruaturum ſufficienter cõfirmare debere. Pecuniæ verò omnes quas ille acceperit, in Peloponneſo, & Athenis deponantur penes quos vobis videtur. Harum quidem pecuniarum fructus accipiat Dio, ſed ipſas tollere niſi vobis concedentibus nequeat. Nõ enim confido, ſi pecunias ſuſceperit, eum mihi fidem ſeruaturum, cùm non paucæ futuræ ſint. Maiorem verò tibi tuiſque habeo fidem. Conſidera igitur an tibi hæc placeant: manéque horum gratia hic annum, quo peracto ſuſceptis his pecuniis abibis. Dionem equidem ſcio magnam tibi gratiã habiturum, cùm hæc ſibi perfeceris. Cùm hæc igitur audiuiſſem, quanquam ægrè omnino ferebam, reſpondi tamen hac in re me conſultaturum, tempúſque reſpondendi in craſtinum ſumpſi. Atque in hoc conſentientes tum diſceſſimus. Conſultabam itaq; poſthac ipſe mecũ valde quidẽ ambiguus. Occurrebat autẽ quaſi cõſilij dux prima mihi eiuſmodi ratio. Age vtiq; etſi Dionyſius nihil eorũ quę promittit, ſeruare cogitat: ſi tamen abeunte me, per ſe ac ac per amicos probabiliter ad Dionem ſcribat, quæ nunc mihi dicit, ſe quidem obtuliſſe vltrò, me verò noluiſſe: réſque ſua penitus neglexiſſe. Præterea his addebam. Si Dionyſius me volens dimittere, ideóque nauigium nautaſque non det:

διελέγετο. ἐν δὲ τῷ μεταξὺ Δίωνα ἐῶν τὰ ἑαυτοῦ κεκτῆσθαι καὶ καρποῦσθαι χρήματα, τότε οὐκέτ' εἴα τοὺς ἐπιτρόπους αὐτοῦ πέμπειν εἰς Πελοπόννησον, καθάπερ ἐπιλελησμένος τῆς ἐπιστολῆς παντάπασιν. εἶναι γὰρ αὐτὰ οὐ Δίωνος, ἀλλὰ τοῦ υἱέος ὄντος μὲν ἀδελφιδοῦ αὐτοῦ, κατὰ νόμους δὲ ἐπιτροπεύοντος. τὰ μὲν δὴ πεπραγμένα μέχρι τούτου, ταῦτ' ἦν ἐν τῷ τότε χρόνῳ τούτῳ. γεγονότων δὲ οὕτω τούτων ἑωράκειν τε ἀκριβῶς τὴν ἐπιθυμίαν τὴν Διονυσίου φιλοσοφίας, ἀγανακτεῖν τε ἐξῆν εἴτε βουλοίμην, εἴτε μή. ἦν γὰρ θέρος ἤδη τότε καὶ ἔκπλοι τῶν νεῶν. ἐδόκει δὴ χαλεπαίνειν μὲν οὐ δεῖν ἐμὲ Διονυσίῳ μᾶλλον ἢ ἐμαυτῷ τε καὶ τοῖς βιασαμένοις ἐλθεῖν ἐμὲ τὸ τρίτον εἰς τὸν πορθμὸν τὸν περὶ τὴν Σκύλλαν, ὄφρ' ἔτι τὴν ὀλοὴν ἀναμετρήσαιμι Χάρυβδιν. λέγειν δὲ πρὸς Διονύσιον, ὅτι μοι μένειν ἀδύνατον εἴη, Δίωνος οὕτω προπεπηλακισμένου. ὁ δὲ παρεμυθεῖτό τε, καὶ ἐδεῖτο μένειν. οὐκ οἰόμενος οἱ καλῶς ἔχειν, ἐμὲ ἄγγελον αὐτὸν τῶν τοιούτων ἐλθεῖν οὕτω ταχύ. οὐ πείθων δὲ αὐτός μοι πομπὴν παρασκευάσειν ἔφη. ἐγὼ γὰρ ἐν τοῖς ἀποστόλοις πλοίοις ἐμβὰς διενοούμην πλεῖν τεθυμωμένος, πάσχειν ὁτιοῦν οἰόμενος δεῖν, εἰ διακωλυοίμην, ὅτι δὴ ἐπειδὴ περιφανῶς ἠδίκουν μὲν οὐδὲν, ἠδικούμην δέ. ὁ δὲ οὐδέν με τοῦ καταμένειν προσιέμενον ὁρῶν μηχανὴν τὴν μέχρι τότε τοῦ ἀνάπλου, μηχανᾶται τοιάνδε τινά. τῇ μετὰ ταῦτα ἐλθὼν ἡμέρᾳ λέγει πρός με πιθανὸν λόγον. ἐμοὶ καὶ σοὶ Δίων ἔφη καὶ τὰ Δίωνος, ἐκποδὼν ἀπαλλαχθήτω τοῦ περὶ αὐτὰ πολλάκις διαφέρεσθαι. ποιήσω γὰρ διὰ σὲ ἔφη Δίωνι τάδε. ἀξιῶ ἐκεῖνον ἀπολαβόντα τὰ ἑαυτοῦ, οἰκεῖν μὲν ἐν Πελοποννήσῳ, μὴ ὡς φυγάδα δὲ, ἀλλ' ὡς αὐτῷ καὶ δεῦρο ἐξὸν ἀποδημεῖν, ὅτ' ἂν ἐκείνῳ τε καὶ ἐμοὶ καὶ ὑμῖν τοῖς φίλοις κοινῇ ξυνδοκῇ. ταῦτα δ' εἶναι μὴ ἐπιβουλεύοντος ἐμοί. τούτων δὲ ἐγγυητὰς γίγνεσθαι σέ τε, καὶ τοὺς σοὺς οἰκείους, καὶ τοὺς ἐνθάδε Δίωνος. ὑμῖν δὲ τὸ βέβαιον ἐκεῖνος παρεχέτω. τὰ χρήματα δὲ ἃ ἂν λάβῃ, κατὰ Πελοπόννησον μὲν καὶ Ἀθήνας κείσθω, παρ' οἷς ποτ' ἂν ὑμῖν δοκῇ. καρπούσθω δὲ Δίων, μὴ κύριος δὲ ἄνευ ὑμῶν γιγνέσθω ἀνελέσθαι. ἐγὼ γὰρ ἐκείνῳ μὲν οὐ σφόδρα πιστεύω τούτοις χρώμενον ἂν τοῖς χρήμασι, δίκαιον γίγνεσθαι περὶ ἐμέ. οὐ γὰρ ὀλίγα ἔσται. σοὶ δὲ καὶ τοῖς σοῖς, μᾶλλον πεπίστευκα. ὅρα δὴ ταῦτα εἴ σοι ἀρέσκει, καὶ μένε ἐπὶ τούτοις τὸν ἐνιαυτὸν τοῦτον, εἰς δὲ ὥρας, ἄπιθι λαβὼν τὰ χρήματα ταῦτα. καὶ Δίωνα εὖ οἶδ' ὅτι πολλὴν χάριν ἕξει σοι διαπραξαμένῳ ταῦτα ὑπὲρ ἐκείνου. τοῦτον δὴ ἐγὼ τὸν λόγον ἀκούσας, ἐδυσχέραινον μέν. ὅμως δὲ βουλευσάμενος ἔφην εἰς τὴν ὑστεραίαν αὐτῷ περὶ τούτων τὰ δόξαντα ἀπαγγελεῖν. ταῦτα ξυνεθέμεθα τότε. ἐβουλευόμην δὴ τὸ μετὰ ταῦτα κατ' ἐμαυτὸν γενόμενος, μάλα συγκεχυμένος. πρῶτος δ' ἦν μοι τῆς βουλῆς ἡγούμενος, ὅδε λόγος. φέρε, εἰ διανοεῖται μηδὲν ποιεῖν Διονύσιος ὧν φησιν. ἀπελθόντος δὲ μου ἐὰν ἐπιστέλλῃ Δίωνι πιθανῶς αὐτός τε καὶ ἄλλοις πολλοῖς τῶν αὑτοῦ διακελευόμενος, ἃ νῦν πρὸς ἐμὲ λέγει, ὡς αὐτοῦ μὲν ἐθέλοντος, ἐμοῦ δὲ οὐκ ἐθελήσαντος ἃ προὐκαλεῖτό με δρᾶν, ἀλλ' ὀλιγωρήσαντος τῶν ἐκείνου τὸ παράπαν πραγμάτων. πρὸς δὲ καὶ τούτοισιν ἔτι μὴ 'θέλῃ με ἐκπέμπειν αὐτὸς τῶν ναυκλήρων μηδενὶ προστάττων.

ἐνδείξηται δὲ πᾶσι ῥᾳδίως ὡς ἀβουλοῦντος ἐμοῦ ἐκπλεῖν, ἆρά τις ἐθελήσει με ἄγειν ναύτης ὁρμώμενον ἐκ τῆς Διονυσίου οἰκίας. ᾤκουν γὰρ δὴ τοῖς ἄλλοισι κακοῖς ἐν τῷ κήπῳ τῷ περὶ τὴν οἰκίαν. ὅθεν οὐδ' ἂν ὁ θυρωρὸς ἤθελέ με ἀφεῖναι, μὴ πεμφθείσης αὐτῷ τινος ἐντολῆς παρὰ Διονυσίου. ἂν δὲ μείνω τὸν ἐνιαυτόν, ἕξω μὲν Δίωνι ταῦτα ἐπιστέλλειν, ἐν οἷς τ' εἰμί, καὶ ἃ πράττω. καὶ ἐὰν μὲν δὴ ποιῇ τι Διονύσιος ὧν φησιν, οὐ παντάπασιν ἔσται μοι καταγέλαστα τὰ πεπραγμένα. τάλαντα γὰρ ἴσως ἐστὶν οὐκ ἔλαττον ἂν ἐκτιμῷ τις ὀρθῶς ἑκατόν, ἡ Δίωνος οὐσία. ἂν δ' οὖν γίγνηται τὰ νῦν ἀποφαινόμενα, οἷα εἰκὸς αὐτὰ γίγνεσθαι. ἀπορῶ μὲν ὅτι χρήσωμαι ἐμαυτῷ. ὅμως δέ, ἀναγκαῖον ἴσως ἐνιαυτόν γ' ἔτι πονῆσαι, καὶ ἔργοις ἐλέγξαι πειραθῆναι, τὰς Διονυσίου μηχανάς. ταῦτά μοι δόξαντα, εἰς τὴν ὑστεραίαν εἶπον πρὸς Διονύσιον ὅτι δέδοκταί μοι μένειν. ἀξιῶ μὴν ἔφην, μὴ κύριον ἡγεῖσθαί σε Δίωνος ἐμέ. πέμπειν δὲ μετ' ἐμοῦ σὲ παρ' αὐτὸν γράμματα τὰ νῦν δεδογμένα δηλοῦντα. καὶ ἐρωτᾶν εἴτε ἀρκεῖ ταῦτα αὐτῷ εἰ καὶ μή. βούλεται δὲ ἄλλ' ἄττα καὶ ἀξιοῖ, καὶ ταῦτα ἐπιστέλλειν ὅτι τάχιστα. σὲ δὲ νεωτερίζειν μηδὲν πω τῶν περὶ ἐκεῖνον. ταῦτ' ἐρρήθη, ταῦτα ξυνωμολογήσαμεν, ὡς νῦν εἴρηται σχεδόν. ἐξέπλευσε δὴ τὰ πλοῖα μετὰ τοῦτο, καὶ οὐκέτι μοι δυνατὸν ἦν πλεῖν. ὅτε δή μοι καὶ Διονύσιος ἐπεμνήσθη λέγων ὅτι τὴν ἡμίσειαν τῆς οὐσίας, εἶναι δέοι Δίωνος. τὴν δ' ἡμίσειαν, τοῦ υἱέος. πωλήσειν δὴ ἔφη αὐτήν, πραθείσης δέ, τὰ μὲν ἡμίσεα ἐμοὶ δώσειν ἄγειν. τὰ δ' ἡμίσεα τῷ παιδὶ καταλείψειν αὐτοῦ. τὸ γὰρ δὴ δικαιότατον οὕτως ἔχειν. πληγεὶς δ' ἐγὼ τῷ λεχθέντι, πάνυ μὲν ᾤμην γελοῖον εἶναι ἔτι λέγειν ἔτι. ὅμως δ' εἶπον ὅτι χρείη τὴν παρὰ Δίωνος ἐπιστολὴν περιμένειν ἡμᾶς, καὶ ταῦτα πάλιν αὐτῷ ἐπιστέλλειν. ὁ δὲ ἑξῆς τούτοις, πάνυ νεανικῶς ἐπώλει τὴν οὐσίαν αὐτοῦ πᾶσαν, ὅπῃ τε καὶ ὅπως ἤθελε, καὶ οἷς τισι. πρὸς ἐμὲ δὲ οὐδὲν ὅλως ἐφθέγγετο περὶ αὐτῶν. καὶ μὴν ὡσαύτως ἐγὼ πρὸς ἐκεῖνον αὖ, περὶ τῶν Δίωνος πραγμάτων, οὐδὲν ἔτι διελεγόμην. οὐδὲν γὰρ ἔτι πλέον ᾤμην ποιεῖν. μέχρι μὲν δὴ τούτων ταύτῃ μοὶ βεβοηθημένον ἐγεγόνει φιλοσοφίᾳ καὶ φίλοις, τὸ δὲ μετὰ ταῦτα ἐζῶμεν ἐγώ τε καὶ Διονύσιος, ἐγὼ μὲν βλέπων ἔξω, καθάπερ ὄρνις ποθῶν ποθὲν ἀναπτέσθαι. ὁ δὲ διαμηχανώμενος τίνα τρόπον ἀνασοβήσοι με, μηδὲν ἀποδοὺς τῶν Δίωνος. ὅμως δὲ ἔφαμεν ἑταῖροί γε εἶναι πρὸς πᾶσαν Σικελίαν. τῶν δὴ μισθοφόρων τοὺς πρεσβυτέρους, Διονύσιος ἐπεχείρησεν ὀλιγομισθοτέρους ποιεῖν, παρὰ τὰ τοῦ πατρὸς ἔθη. θυμωθέντες δὲ οἱ στρατιῶται ξυλλεγέντες ἀθρόοι, καὶ οὐκ ἔφασαν ἐπιτρέψειν. ὁ δ' ἐπεχείρει βιάζεσθαι, κλείσας τὰς τῆς ἀκροπόλεως πύλας. οἱ δ' ἐφέροντο εὐθὺς πρὸς τὰ τείχη, παιῶνά τινα βοήσαντες βάρβαρον καὶ πολεμικόν. οὗ δὴ περιδεὴς Διονύσιος γενόμενος, ἅπαντα συνεχώρησε, καὶ ἔτι πλείω τοῖς τότε συλλεχθεῖσι τῶν πελταστῶν. λόγος δή τις ταχὺ διῆλθεν, ὡς Ἡρακλείδης αἴτιος εἴη γεγονὼς πάντων τούτων. ὃν ἀκούσας, ὁ μὲν Ἡρακλείδης, ἐκποδὼν αὐτὸν ἔσχεν ἀφανῆ. Διονύσιος δ' ἐζήτει

imò facilè cunctis ſignificet velle me ipſo nolente diſcedere: quiſnam me naui aſportare ex ædibus ipſis Dionyſij audeat? Habitabam equidem, ne quid deeſſet incommodi, in ipſis qui circa ædes erant, hortis. Vnde ne ianitor quidem niſi iubente Dionyſio egredi permiſiſſet. Quòd ſi annum permanſero, habeo equidem quid Dioni ſignificem notúmque faciam quibus ſim cõſtitutus, quidve agam. Ac ſi Dionyſius nonnihil eorũ quæ promittit, ſeruauerit, opera tolerantiáq; hæc mea nõ omnino deridenda videbitur. patrimonium nanq; Dionis non pauciorum quàm centum talentorũ ſi quis rectè æſtimare velit, cẽſebitur. At verò ſi ita res cadant vt eas veriſimile eſt caſuras, quò me vertã, neſcio. Verumtamẽ fortè neceſſe eſt me annũ adhuc tolerantem machinationes Dionyſij reipſa pro viribus redarguere. Cùm ita mecum conſultauiſſem, ſequenti mox die ad Dionyſium retuli, videri mihi manendum. Sed addidi, ne exiſtimaret me poſſe apud Dionem prorſus omnia quaſi dominum, ideóque operæpretium eſſe vt vnà mecum ipſe quoque ad eum ſcriberet, ſignificans hæc noſtra conſilia, atque interrogans vtrum ſibi hæc ſatisfaciant, néc ne: & nunquid aliud præter ea quiddam exigat. Idque quàm primùm inquam ſcribendum eſſe. Interea vero nihil in re Dionis: ab eo noui eſſe tentandum. Hæc inter nos dicta ſunt. In his fermè, vt nunc dico, conuenimus. Poſt hæc autem cùm iam naues abiiſſent: ideóque nulla mihi foret vlterius nauigandi facultas: Dionyſius quaſi nonnihil prætermiſſi reminiſcens, Dimidia inquit bonorum Dionis pars filio iure manere debet, dimidia verò ad Dionem mitti. hanc ergo vendi curabo. Qua vendita, pecuniarum dimidium tibi tradam, quod ad Dionẽ perferatur: reliqua verò pars penes nos pro filio reſeruabitur: ita enim ius ipſum exigit. His ergo illis dictis perculſus ridiculum putaui amplius ea de re loqui. Dixi tamen dicere nos expectare à Dionẽ reſponſum, atque rurſus hæc ipſa ad illũ reſcribere. At ille pòſt nimis audacter patrimonium Dionis totum quanto libuit pretio, & quo pacto hæc, & quibus placuit vendidit. Mihi verò ea de re verbum omnino fecit nullum. at ego ſimiliter poſthac de re Dionis nihil vlterius locutus ſum, quippe cùm nihil amplius me profecturum exiſtimarem. Hactenus hac ratione & philoſophiæ & amicis auxilium præſtiti. poſt hæc autem ego & Dionyſius ita viximus, vt ego quidem ſemper extrà ſpectarem, quaſi auis quædam alicunde cupiens euolare: ille verò aſſiduè, quo pacto me cohiberet machinaretur de rebus quidem Dionis concedens nihil. In cæteris tamen negotiis per vniuerſam Siciliam amicos inter nos eſſe fatebamur. Eo autem tempore Dionyſius veteranis militibus ſtipendia minuere tentauit, præter parentis conſuetudinem. Irati verò milites in vnum conuenerunt, neque id ſe toleraturos cõminabantur. Itaque ille clauſis arcis ipſius portis coercere illos conabantur. At illi repétè aduentarũt ad mœnia, clamorẽ quendam barbarũ ac bellicũ attollẽtes. Quo metu conterritus Dionyſius cũcta illi cõſueta, atq; etiã plura cõſuetis bus illis cõceſſit. Rumor aũt fuit Heraclidẽ tumultus omnis cauſa extitiſſe. Quod Heraclides quidem perſentiẽs clã fugã arripuit. Dionyſius verò cũ illũ

capere affectaret, neque inueniretur. Theodotem ad ſe in hortos accerſiuit. Eram fortè tunc & ipſe in hortis perambulans. Cætera quidem quę inter illos tractata ſunt, neque ſcio neque dum colloquerentur, audiui: ſed quæ me præſente inquit Dionyſio Theodotes & noui & memini, O Plato ait, Dionyſio ſuadeo huic, ſi Heraclidem huc adducere potero, criminibus in ſe delatis reſponſurum: ac ſi nolit deinde eum Dionyſius in Sicilia permanere, ſaltem permittat vxorem filiúmque ſuſcipere, atque in Peloponneſum abire ibique habitare, nihil ibi molientem contra Dionyſium, & bonorũ quæ hic poſſidet, fructus percipientẽ. Hac ergo fiducia Heraclidem iam vocaui, atque iterum vocabo. Siue igitur ex prima vocatione, ſiue ex ſecunda huc ille venerit, cum Dionyſio conſtituebam rogabámque néquid mali Heraclidi inferatur vel extra vrbẽ vel in vrbe, tantum verò ſi videbitur extra fines mittatur, donec aliter Dionyſio videatur. Hæc inquit, Dionyſi, concedíſne? Concedo reſpondit, neque etiam ſiquando in ædibus tuis appareat, aliud quicquam mali eſſe paſſurum. Sequenti verò die in ipſo crepuſculo Eurybius & Theodotes ad me miru in modum perterriti conuolarunt. Confeſtímque Theodotes, ô Plato, inquit, affuiſti heri conditionibus quibus de Heraclide Dionyſius mecum tecúmque conuenit. Affui, inquam. At ille, nunc, inquit, diſcurrunt ſatellites ad Heraclidem comprehendendum: atque periculum eſt, ne ille propè alicubi ſit. Sequere ergo nobiſcum omni ſtudio ad Dionyſium. Iuimus itaque: & ingreſſi ad ipſum, illi quidem ſilentio ſtabant lacrymantes: ego verò inquam, verentur hi Dionyſi, ne tu contrà quàm heri conuenerit, noui quicquam agas aduerſus Heraclidem. Nam videtur ille mihi propè alicubi diuertiſſe, manifeſtéque adeſſe. Dionyſius verò his auditis exarſit in iras, in variόſque ſe mutauit colores, quales ira conſueuit afferre. Et Theodotes ad pedes eius procũbens, manu eius apprehenſa multis cũ lacrymis nequid tale faceret, deprecabatur. Túc ego ſermonem ſuſcipiens eum conſolaturus, Bono ſis animo, inquam, ô Theodotes. Non enim aliter facere audet Dionyſius quàm heri promiſit. At Dionyſius tyrannico nimium vultu me intuitus, Tibi, inquit, promiſi nihil, ſiue magnum ſiue paruum. Imò verò per deos, inquam, promiſiſti non facturum te hæc ipſa, quæ nunc ne facias hic deprecatur. Hæc ego locutus egredior. Poſt hæc Dionyſius quidem Heraclidem capere conabatur. Theodotes autem hæc per nuncios illi ſignificans, vt fugam arriperet admonuit. Miſerat quidem Dionyſius & Tiſiam quendam cum ſatellitibus, iubens paſſim Heraclidem inſequi. Sed ille, vt fertur, anticipans & paruo quodam diei ſpatio ſatellites deuitans, intra Carthaginenſium fines ſe recepit. Iam verò ex inimicitiis contra me exortis probabilem Dionyſius occaſionem quàm per inſidias diu captauerat, ne videlicet ad Dionem pecuniæ mitterentur, aſſecutus fuiſſe videtur. Ac primùm quidem ex arce me amiſit, occaſionem præferens quòd mulieres ſacra decem dierum in quibus habitabam hortis eſſent facturæ. Itaque me per eos dies extra arcem apud Archedemum manere iuſſit. Interea Theodotes me ad ſe vocans, multa circa ea

λαβεῖν. ἀποφυγὼν δὲ θεοδότην μεταπεμψάμενος εἰς τὸν κῆπον, ἔτυχον δ' ἐν τῷ κήπῳ καὶ ἐγὼ τότε περιπατῶν. τὰ μὲν οὖν ἄλλα οὔτ' οἶδα οὔτ' ἤκουσα διαλεγομένων, ἃ δὲ ἐναντίον εἶπε θεοδότης ἐμοῦ πρὸς διονύσιον, οἶδά τε καὶ μέμνημαι. πλάτων γὰρ ἔφη διονύσιε, ἐγὼ πείθω τουτονὶ, ἐὰν ἐγὼ γένωμαι δυνατὸς ἡρακλείδην κομίσαι ὡς ὑμᾶς εἰς λόγους περὶ τῶν ἐγκλημάτων αὐτῷ τῶν νῦν γεγονότων. ἂν ἄρα μὴ δόξῃ δεῖν αὐτὸν οἰκεῖν ἐν σικελίᾳ, τόν τε υἱὸν λαβόντα καὶ τὴν γυναῖκα, ἀξιῶ εἰς πελοπόννησον ἀποπλεῖν, οἰκεῖν τε, βλάπτοντα μηδὲν διονύσιον ἐκεῖ, καρπούμενον δὲ τὰ ἑαυτοῦ. μετεπεμψάμην μὲν οὖν, καὶ πρότερον αὐτόν. μεταπέμψομαι δὲ καὶ νῦν. ἄν τ' οὖν ὑπὸ τῆς προτέρας μεταπέμψεως ἄν τε καὶ ὑπὸ τῆς νῦν ὑπακούσῃ μοι. διονύσιον δὲ ἀξιῶ καὶ δέομαι ἄν τις ἐντυγχάνῃ ἡρακλείδῃ εἴτ' ἐν ἀγρῷ, εἴτ' ἐνθάδε, μηδὲν ἄλλο αὐτῷ φλαῦρον γίγνεσθαι. μεταστῆναι δ' ἐκ τῆς χώρας, ὡς ἂν ἄλλο τι διονυσίῳ δόξῃ. ταῦτα ἔφη συγχωρεῖς, λέγων πρὸς τὸν διονύσιον, συγχωρῶ μηδ' ἂν πρὸς τῇ σῇ φανῇ οἰκίᾳ πείσεσθαι φλαῦρον μηδὲν παρὰ τὰ νῦν εἰρημένα. τῇ δὴ μετὰ ταύτην τὴν ἡμέραν δείλης, εὐρύβιός τε θεοδότης, προσηλθέτην μοι σπουδῇ τεθορυβημένω θαυμαστῶς. καὶ ὁ θεοδότης, λέγει. πλάτων ἔφη, παρῆσθα χθὲς οἷς περὶ ἡρακλείδου διονύσιος ὡμολόγει πρὸς ἐμὲ καὶ σέ. πῶς δ' οὐκ ἔφην. νῦν τοίνυν ἔφη, περιθέουσι πελτασταὶ, λαβεῖν ἡρακλείδην ζητοῦντες. ὁ δ' ἐνθάδε πῃ ταύτῃ κινδυνεύει. ἀλλ' ἡμῖν ἔφη συνακολούθησον πρὸς διονύσιον ἁπάσῃ μηχανῇ. ᾠχόμεθα οὖν, καὶ εἰσήλθομεν παρ' αὐτόν. καὶ τὼ μὲν ἑστάτην σιγῇ δακρύοντε. ἐγὼ δὲ εἶπον. οἵδε φοβοῦνται μή τι σὺ παρὰ τὰ χθὲς ὡμολογημένα ποιήσῃς περὶ ἡρακλείδην νεώτερον. δοκεῖ γάρ μοι ταύτῃ πῃ γεγονὼς φανερὸς, ἀποτετραμμένος. ὁ δὲ ἀκούσας, ἀνεφλέχθη τε, καὶ παντοδαπὰ χρώματα ἵει, οἷ' ἂν θυμούμενος ἀφείη. προσπεσὼν δ' αὐτῷ ὁ θεοδότης, λαβόμενος τῆς χειρὸς, ἐδάκρυσέ τε καὶ ἱκέτευε, μηδὲν τοιοῦτον ποιεῖν. ὑπολαβὼν δ' ἐγὼ παραμυθούμενος, θάῤῥει θεοδότα ἔφην. οὐ γὰρ τολμήσει διονύσιος παρὰ τὰ χθὲς ὡμολογημένα, ἄλλα ποτὲ δρᾶν. καὶ ὃς ἐμβλέψας μοι καὶ μάλα τυραννικῶς, σοὶ ἔφη ἐγὼ οὔτε τι σμικρὸν οὔτε μέγα ὡμολόγησα. νὴ τοὺς θεοὺς ἦν δ' ἐγὼ, σύ γε ταῦτα ἃ σοῦ νῦν ὅδε δεῖται μὴ ποιεῖν. καὶ εἰπὼν ταῦτα, ἀποστραφόμενος ᾠχόμην ἔξω. τὸ μετὰ ταῦτα ὁ μὲν ἐκυνηγέτει τὸν ἡρακλείδην. θεοδότης δὲ ἀγγέλους πέμπων ἡρακλείδῃ, φεύγειν διεκελεύετο. ὁ δὲ ἐκπέμψας τισίαν καὶ πελταστὰς διώκειν ἐκέλευε. φθάνει δὲ ὡς ἐλέγετο ἡρακλείδης, εἰς τὴν καρχηδονίων ἐπικράτειαν ἐκφυγὼν ἡμέρας σμικρῷ τινι μέρει. τὸ δὴ μετὰ τοῦτο, ἡ πάλαι ἐπιβουλὴ διονυσίῳ τοῦ μὴ ἀποδοῦναι τὰ δίωνος χρήματα, ἔδοξεν ἔχθρας λόγον ἔχειν ἄν πρός με πιθανόν. καὶ πρῶτον μὲν ἐκ τῆς ἀκροπόλεως ἐκπέμπει με, ἀνευρὼν πρόφασιν, ὡς τὰς γυναῖκας ἐν τῷ κήπῳ ἐν ᾧ κατῴκουν ἐγὼ, δέοι θῦσαι θυσίαν τινὰ δεχήμερον. ἔξω δή με παρ' ἀρχεδήμῳ προσέταξε τὸν χρόνον τοῦτον μένειν. ὄντος δέ μου ἐκεῖ θεοδότης μεταπεμψάμενός με, πολλὰ περὶ τῶν

τότε πραχθέντων ἠγανάκτει, καὶ ἐμέμφετο Διονυσίῳ. ὁ δ' ἀκούσας ὅτι παρὰ Θεοδότην εἴην εἰσεληλυθὼς, πρόφασιν αὖ ταύτην ἄλλην τῆς πρὸς ἐμὲ διαφορᾶς ποιούμενος ἀδελφὴν τῆς πρόσθεν, πέμψας τινὰ ἠρώτα με, εἰ ξυγγιγνοίμην ὄντως μεταπεμψαμένου με Θεοδότου. κἀγὼ παντάπασιν ἔφην. ὁ δ' ἐκέλευε τοίνυν ἔφη σοι φράζειν, ὅτι καλῶς οὐδαμῶς ποιεῖς, Δίωνα, καὶ τοὺς Δίωνος φίλους, ἀεὶ περὶ πλείστου αὐτοῦ ποιούμενος. ταῦτ' ἐῤῥήθη. καὶ οὐκέτι μετεπέμψατό με εἰς τὴν οἴκησιν πάλιν. ὡς ἤδη σαφῶς Θεοδότου μὲν ὄντος μου καὶ Ἡρακλείδου φίλου, αὐτοῦ δ' ἐχθροῦ, καὶ οὐκέτ' εὔνουν ᾤετό με, ὅτι Δίωνι τὰ χρήματα ἔῤῥει παντελῶς. ᾤκουν δὴ τὸ μετὰ τοῦτο ἔξω τῆς ἀκροπόλεως ἐν τοῖς μισθοφόροις. προσιόντες δέ μοι, ἄλλοι τε καὶ οἱ τῶν ὑπηρεσιῶν ὄντες Ἀθήνηθεν, ἐμοὶ πολῖται, ἀπήγγελλον ὅτι διαβεβλημένος εἴην ἐν τοῖς πελτασταῖς, καί μοι τινὲς ἀπειλοῖεν, εἴ που λήψονταί με διαφθερεῖν. μηχανῶμαι δή τινα τοιάνδε σωτηρίαν. πέμπω παρ' Ἀρχύτην καὶ τοὺς ἄλλους φίλους εἰς Τάραντα, φράζων ἐν οἷς ὢν τυγχάνω. οἱ δὲ, πρόφασίν τινα πρεσβείας πορισάμενοι παρὰ τῆς πόλεως, πέμπουσι τριακόντορόν τε καὶ Λαμίσκον αὐτῶν ἕνα. ὃς ἐλθὼν, ἐδεῖτο Διονυσίου περὶ ἐμοῦ λέγων ὅτι βουλοίμην ἀπιέναι καὶ μηδαμῶς ἄλλως ποιεῖν. ὁ δὲ, ξυνωμολόγησε καὶ ἀπέπεμψεν ἐφόδια δούς. τῶν Δίωνος δὲ χρημάτων, οὔτ' ἐγώ τι ἀπῄτουν, οὔτε τις ἀπέδωκεν. ἐλθὼν δὲ εἰς Πελοπόννησον, εἰς Ὀλυμπίαν Δίωνα καταλαβὼν θεωροῦντα, ἤγγελλον τὰ γεγονότα. ὁ δὲ τὸν Δία ἐπιμαρτυράμενος, εὐθὺς παρήγγελλεν ἐμοὶ καὶ τοῖς ἐμοῖς οἰκείοις καὶ φίλοις, παρασκευάζεσθαι τιμωρεῖσθαι Διονύσιον ἡμᾶς μὲν ξεναπατίας χάριν, οὕτω γὰρ ἔλεγέ τε καὶ ἐνόει. αὐτὸν δ' ἐκβολῆς ἀδίκου καὶ φυγῆς. ἀκούσας δ' ἐγὼ τοὺς μὲν φίλους παρακαλεῖν ἐκέλευον εἰ βούλοιντο. ἐμὲ δ' εἶπον ὅτι σὺ μετὰ τῶν ἄλλων βίᾳ τινὰ τρόπον σύσσιτον καὶ συνέστιον καὶ κοινωνὸν ἱερῶν Διονυσίῳ ἐποίησας, ὃς ἴσως ἡγεῖτο διαβαλλόντων πολλῶν ἐπιβουλεύειν ἐμὲ μετὰ σοῦ ἑαυτῷ καὶ τῇ τυραννίδι. καὶ ὅμως οὐκ ἀπέκτεινεν, ἠδέσθη δέ. οὔτ' οὖν ἡλικίαν ἔχω συμπολεμεῖν ἔτι σχεδὸν οὐδενί. κοινός τε ὑμῖν εἰμι. ἄν ποτέ τι πρὸς ἀλλήλους δεηθέντες φιλίας ἀγαθόν τι ποιεῖν βουληθῆτε. κακὰ δ' ἕως ἂν ἐπιθυμῆτε, ἄλλους παρακαλεῖτε. ταῦτα εἶπον, μεμισηκὼς τὴν περὶ Σικελίαν πλάνην καὶ ἀτυχίαν. ἀπειθοῦντες δὲ καὶ οὐ πειθόμενοι ταῖς ὑπ' ἐμοῦ διαλλάξεσι, πάντων τῶν νῦν γεγονότων κακῶν αὐτοὶ αἴτιοι ἐγένοντο αὑτοῖς. ὧν εἰ Διονύσιος ἀπέδωκε τὰ χρήματα Δίωνι ἢ καὶ παντάπασι κατηλλάγη, οὐκ ἄν ποτ' ἐγένετο οὐδὲν, ὅσα γε δὴ τἀνθρώπινα. Δίωνα γὰρ ἐν τῷ βούλεσθαι καὶ τῷ δύνασθαι κατεῖχον ἂν ῥᾳδίως. νῦν δὲ ὁρμήσαντες ἐπ' ἀλλήλους, κακῶν πάντα ἐμπεπλήκασι. καίτοι τήν γε αὐτὴν Δίων εἶχε βούλησιν, ἥνπερ ἂν ἐγὼ φαίην δεῖν ἐμὲ καὶ ἄλλον ὅστις μέτριος, περί τε τῆς αὑτοῦ δυνάμεως καὶ φίλων καὶ περὶ πόλεως τῆς αὑτοῦ διανοοῦντ' ἂν εὐεργετῶν ἐν δυνάμει καὶ τιμαῖσι γίγνεσθαι τὰ μέγιστα ἐν τοῖς μεγίσταις. ἔστι δὲ οὐκ ἄν τις

quæ tunc facta erant, de Dionyſio conqueſtus eſt. Dionyſius verò cùm audiuiſſet ad Theodotem me profectum fuiſſe, nactus & hanc rurſus occaſionem contra me odij, priori ſimilem, miſit ad me, qui percontaretur, nunquid apud Theodotem vocatus aliquando fuiſſem: Atque ego adfuiſſe liberè confeſſus ſum. Tunc ille: Iuſſit ergo inquit, Dionyſius me tibi edicere, non rectè facere te, quòd Dionē Dioniſque amicos pluris quàm ipſum ſemper æſtimes. Hæc dicta fuerunt. Nec vnquam poſtea me in ſuas ædes vocauit: quaſi manifeſtè Theodotis Heraclidiſque amicum: ſibi verò inimicum, ac propterea infenſum, quòd res Dionis iam omnino periiſſent. Habitabam deinde extra arcem inter milites mercede conductos. Adeuntes verò me, & alij quidam, & miniſtrorum aliqui Athenienſes patria, ſignificarunt calumnias aduerſus me inter milites fuiſſe diffuſas. Præterea quoſdam comminatos eſſe, ſicubi nanciſcantur interfecturos. Excogito igitur euaſionem eiuſmodi. Mitto Tarentum ad Archytā, aliôſque amicos, ſignificans in quo eſſem diſcrimine cōſtitutus. Illi verò occaſionem quandam legationis patriæ nomine excogitantes, Lamiſcum eorum vnum, vnà cum naui ordinis triginta remorum mittūt. Qui veniens ad Dionyſium, rogauit, vt me omnino pro voluntate mea ſaluum abire permitteret. Ille autem aſſenſus me dimiſit commeatum præbens. Pecunias vero Dionis neque ego petij, neque quiſquam dedit. Poſt hæc cùm in Peloponneſum perueniſſem, ibique offendiſſem Dionem ludos ſpectantem Olympiacos, quæ facta fuerant, enarraui. Ille verò Iouem teſtatus, ſtatim mihi meiſq; propinquis & amicis edixit, ſe pœnas à Dionyſio exacturum: tum quòd me illic hoſpitem decepiſſet: ſic enim ille & dixit & ſenſit: tū quòd ipſum iniuſtè admodum expuliſſet. Hæc ego audiens, ſuaſi vt ad hæc ſi videretur, amicos alios conuocaret. Me autem quoniam & ſua & aliorum opera quaſi violenta impuliſſent in Dionyſij familiaritatē, habitationis, victus, ſacrorum communione aſtrictum, putarent quaſi medium quendam, æquúmque vtrunque eſſe debere: præſertim cùm iamdiu multis apud Dionyſium me calumniantibus quaſi tecum ipſi tyrannidique eius inſidiantem, ipſe non occiderit quidem, ſed reueritus ſit. Ad hæc ætatem meam rebus bellicis ineptam eſſe addidi: ſimúlque medium quendam me inter eos eſſe, ſiquando cōciliatore quodā opus ſit, qui reſarcire optātib. amicitiam poſſit. Quamdiu verò odiis certabitis, ad hæc adiutores alios aduocabitis. Hæc ego inquam, peroſus errorem fortunamque in Sicilia mihi aduerſam. Quoniam verò illi rationibus meis non obtēperauerunt, omnium quæ ſequuta ſunt malorum ipſimet ſibi cauſā præbuere. Profectò ſi Dionyſius res Dioni ſuas reſtituiſſet vel potiùs ſi omnino placat⁹ fuiſſet nihil prout cōditio fert humana accidiſſet aduerſi. Nā Dionē quidē pro volūtate mea, & conſilio, & autoritate facilè continuiſſem. Contrà verò nunc in ſe inuicem impetum facientes omnia calamitatibus impleuere. Dio certè eandem habebat voluntatem quam ego dicerem & mihi & aliis quicunque moderati ſunt, habendam eſſe: videlicet vt poteſtas vel propria, vel amicorum, vel ciuitatis optetur, quàm in ipſis honoribus & potētiis quis cōſtitutus præſertim in maximis, ſe & ſuos & patriā beneficiis auctis afficiat. Neq; verò id fit, ſi quis

ad id duntaxat incumbat, vt ditauiſſe amicóſque, & vtlibet ærarium expleat per inſidias crudelium que coniurationes: ipſe pauper videlicet impotés ſe continere, ſe præ animi anguſtia voluptatibus ſuccumbens: præterea opulentos homines tanquam inimicos decernens trucidet, rapiat que pecunias: atque interea ſocijs, familiaribuſque edicat, ſibi quidem in his cùm ſit egenus, ſuccenſendum non eſſe. Eodem modo ſi quis ſimiliter ciuitatem ſuam beneficijs afficiens honoretur ab ipſa: diuiditque multis res paucorum ciuium per ſua decreta diſtribuit: vel ſi quis magnæ præſidens ciuitati pluribus minoribúſque ciuitatibus imperanti pecunias minorum ciuitatum multè attribuat ſuæ. Hoc enim pacto, neque Dio, neque alius vnquam ſponte ſua ad potentiam progreditur pernicioſam & ſibi & poſteris perpetuo futuram. Prudens verò ad conſtituendam accedit Rempublicam legéſque condendas iuſtiſſimas atque optimas. & id quidem abſque cædibus, expulſionibúſque ciuilibus. Quæ modo cùm ageret Dio conſtituens pati impias iniurias potius quàm facere, cauens quoque ne ipſe pateretur, cecidit tamen, cùm iam ad ſummum ſuperandorum hoſtium perueniſſet. Neque mirum alicui quod accidit Dioni videri debet. Pium enim virum temperatúmque & prudentem, omnino quidem in rebus eiuſmodi impij nunquam fallunt. Sed neque mirandum eſt ſi idem, quod probo gubernatori forſan acciderit: quem futura tempeſtas haud admodum latet. ſed inſueta & idcirco improuiſa tempeſtatum magnitudo latere poteſt, ac vi latendo ſubmergere. Hoc vtique modo Dionem ſors aliquantùm fefelliſſe videtur. Quòd enim mali eſſent, eum non latebat, quamuis quàm profunda eſſet in eis inſcitia & iniquitas voracitáſque latuerit. Qua quidem in re deceptus occubuit, Siciliam incredibili dolori ſubijciens. Quæ igitur poſt hæc quæ narrata ſunt vobis conſulo, hactenus quidem dicta ſint. Quibus autem de cauſis ipſe in Siciliam iterum compulſus redierim, oſtédere arbitratus ſum oportere, necui reuerſio mea abſurda ac præter rationem ſuſcepta videretur. Quamobrem ſicuti quæ nunc dixi probabiliora viſa ſunt, ac ſufficientes extitiſſe occaſiones cur ita fieret, videntur, ſatis quidē ſufficientérque iam fuiſſe dictum putabimus.

Plato Dionis propinquis & amicis.

QVa potiſſimum viuendi ratione proſperè ſuccedant res, reuera conabor vobis pro viribus enarrare. Spero autem non vobis ſolùm, quæ in rē veſtram ſint, me conſulturum: quanquā vobis quidem maximè: ſed & omnibus qui ſunt Siracuſis: tertió inimicis etiam veſtris & hoſtibus præterquā ſiquis illorum impio ſeipſum ſcelere polluit. Hæc enim inſanabilia ſunt, neque expiare vnquam hæc quiſquam poſſet. Conſiderate verò quod in præſentia dicam. omne iam veſtrū circa Siciliam omnem diſſoluta tyrannide conſilium atq; ſtudium in his verſatur. Nempe alij quidem affectant tyrannidem iterum ſuſcitare: alij tyrannidis memoriam omnē prorſus extinguere: conſiliū verò in eiuſmodi reb. apud multos rectū vbiq; videri ſolet: ſi ita res cōſtituantur, vt hoſtes quàm maximis afficiantur malis

πλούσιον ἑαυτὸν ποιήσῃ καὶ ἑταίρους καὶ πόλιν ἐπιβουλεύσας, καὶ ξυνωμότας συναγαγὼν πένης ὤν, καὶ ἑαυτοῦ μὴ κρατῶν ὑπὸ δειλίας τῆς πρὸς τὰς ἡδονάς ἀνδρείας ἐπιλελειμμένος. εἶτα τοὺς τὰς οὐσίας κεκτημένους ἀποκτείνας ἐχθροὺς καλῶν τούτους, διαφορῇ τὰ τούτων χρήματα καὶ τοῖς συνεργοῖς τε καὶ ἑταίροις παρακελεύηται ὅπως μηδεὶς αὐτῷ ἐγκαλῇ πένης φάσκων εἶναι. ταὐτὸν δὲ καὶ τὴν πόλιν ἂν οὕτω τις εὐεργετῶν τιμᾶται ὑπ' αὐτῆς, τοῖς πολλοῖς τὰ τῶν ὀλίγων ὑπὸ ψηφισμάτων διανέμων. ἢ μεγάλης προεστὼς πόλεως καὶ πολλῶν ἀρχούσης ἐλαττόνων, τῇ ἑαυτοῦ πόλει τὰ τῶν σμικροτέρων χρήματα διανέμῃ παρὰ δίκην. οὕτω μὲν γὰρ οὔτε Δίων, οὔτε ἄλλος ποτὲ οὐδεὶς, ἐπὶ δύναμιν ἑκὼν εἶσιν ἀλιτηριώδη ἑαυτῷ τε καὶ γένει, εἰς τὸν ἀεὶ χρόνον, ἐπὶ πολιτείαν δὲ καὶ νόμων κατασκευὴν τῶν δικαιοτάτων τε καὶ ἀρίστων, ἐπὶ δι' ὀλιγίστων θανάτων καὶ φυγῶν γιγνομένην. ἃ δὴ δίων νῦν πράττων προτιμήσας τὸ πάσχειν ἀνόσια τοῦ δρᾶσαι προέτρεψεν. διευλαβούμενος δὲ μὴ παθεῖν, ὅμως ἔπταισεν, ἐπ' ἄκρον ἐλθὼν τοῦ περιγενέσθαι τῶν ἐχθρῶν. θαυμαστὸν παθὼν οὐδέν. ὅσιος γὰρ ἄνθρωπος ἀνοσίων πέρι, σώφρων τε καὶ ἔμφρων τὸ μὲν ὅλον, οὐκ ἄν ποτε διαψευσθείη τῆς ψυχῆς τῶν τοιούτων πέρι. κυβερνήτου δὲ ἀγαθοῦ πάθος ἂν ἴσως οὐ θαυμαστὸν εἰ πάθοι. ὃν χειμὼν μὲν ἐσόμενος, οὐκ ἂν πάνυ λάθοι. χειμώνων δὲ ἐξαίσιον καὶ ἀπροσδόκητον μέγεθος, λάθοι τ' ἂν. καὶ λαθὸν κατακλύσειε βίᾳ. ταὐτὸν δὴ καὶ δίωνα ἔσφηλε δι' ὀλιγίστων. κακοὶ μὲν γὰρ ὄντες αὐτὸν σφόδρα οὐκ ἔλαθον οἱ σφήλαντες. ὅσον δὲ ὕψος ἀμαθίας εἶχον, καὶ τῆς ἄλλης μοχθηρίας τε καὶ λαιμαργίας ἔλαθον. ᾧ δὴ σφαλεὶς κεῖται. σικελίαν πένθει περιβαλὼν μυρίῳ. τὰ δὲ μετὰ τὰ νῦν ῥηθέντα ἃ ξυμβουλεύω σχεδὸν εἴρηταί μοι καὶ εἰρήσθω. ὧν δ' ἐπανελαβόμην ἕνεκα τὴν εἰς σικελίαν ἄφιξιν τὴν δευτέραν, ἀναγκαῖον ἔδοξέ μοι ῥηθῆναι δεῖν, διὰ τὴν ἀτοπίαν καὶ ἀλογίαν τοῦ γιγνομένου. εἰ δ' ἄρα τινὶ τὰ νῦν ῥηθέντα εὐλογώτερα ἐφάνη, καὶ προφάσεις πρὸς τὰ γενόμενα ἱκανὰς ἔχειν ἔδοξέ τῳ, μετρίως ἂν ἡμῖν καὶ ἱκανῶς εἴη τὰ νῦν εἰρημένα.

Πλάτων τοῖς Δίωνος οἰκείοις τε καὶ ἑταίροις, εὖ πράττειν.

Α δ' ἂν διανοηθέντες μάλιστα εὖ πράττοιτε ὄντως, ταῦτα πειράσομαι ταῦθ' ὑμῖν κατὰ δύναμιν διεξελθεῖν. ἐλπίζω δὲ, οὐχ ὑμῖν μόνοις ξυμβουλεύσειν τὰ συμφέροντα. μάλιστά γε μὴν ὑμῖν. καὶ δευτέροις πᾶσι τοῖς ἐν συρακούσαις. τρίτοις δὲ ὑμῶν καὶ τοῖς ἐχθροῖς καὶ πολεμίοις, πλὴν εἴ τις αὐτῶν ἀνοσιουργὸς γέγονε. ταῦτα γὰρ ἀνίατα, καὶ οὐκ ἄν ποτέ τις αὐτὰ ἐκνίψειε. νοήσατε δὲ, ἃ λέγω νῦν. ἐφ' ὑμῶν κατὰ σικελίαν πᾶσαν λελυμένης τῆς τυραννίδος, πᾶσα μάχη περὶ αὐτῶν τούτων. τῶν μὲν βουλομένων ἀναλαβεῖν πάλιν τὴν ἀρχήν. τῶν δὲ τῇ τῆς τυραννίδος ἀποφυγῇ τέλος ἐπιθεῖναι. ξυμβουλὴ δὲ περὶ τῶν τοιούτων, ὀρθὴ δοκεῖ ἑκάστοτε τοῖς πολλοῖς εἶναι. ταῦτα ξυμβουλεύειν δεῖν, ἃ τοὺς μὲν πολεμίους, ὡς πλεῖστα κακὰ ἐξεργάσονται.

τοῖς δὲ φίλοις, ὡς πλεῖστα ἀγαθά. τὸ δ' οὐδαμῶς ῥᾴδιον, πολλὰ κακὰ δρῶντα τοὺς ἄλλους, μὴ οὐ καὶ πάσχειν αὐτὸν πολλὰ ἕτερα. δεῖ δὲ οὐ μακρὰν ἐλθόντας ποι, τὰ τοιαῦτα ἐναργῶς ἰδεῖν. ἀλλ' ὅσα νῦν γέγονε τῇδε αὐτοῦ περὶ Σικελίαν. τῶν μὲν ἐπιχειρούντων δρᾶν, τῶν δὲ ἀμύνασθαι τοὺς δρῶντας. ἃ κἂν ἄλλοις μυθολογοῦντες ἱκανοὶ γίγνοισθ' ἂν ἑκάστοτε διδάσκαλοι. τούτων μὲν δὴ σχεδὸν οὐκ ἀπορία. τὰ δὲ ὅσα γένοιτ' ἂν ἢ πᾶσι συμφέροντα ἐχθροῖς τε καὶ φίλοις, ἢ ὅτι σμικρότατα κακὰ ἀμφοῖν, ταῦτα οὔτε ῥᾴδιον ὁρᾶν, οὔτε ἰδόντα ἐπιτελεῖν. εὐχῇ δὲ προσέοικεν, ἡ τοιαύτη ξυμβουλή τε καὶ ἐπιχείρησις τοῦ λόγου. ἔστω δὴ παντάπασι μὲν εὐχή τις. ἀπὸ γὰρ θεῶν χρὴ πάντα ἀρχόμενον, ἀεὶ λέγειν τε καὶ νοεῖν. ἐπιτελὴς δ' εἴη σημαίνουσα ἡμῖν τοιόνδε τινὰ λόγον. νῦν ὑμῖν καὶ τοῖς πολεμίοις σχεδόν, ἐξ οὗπερ γέγονεν ὁ πόλεμος, συγγένεια ἄρχει μία διὰ τέλους, ἥν ποτε κατέστησαν οἱ πατέρες ὑμῶν, εἰς ἀπορίαν ἐλθόντες τὴν ἅπασαν. τόθ' ὅτε κίνδυνος ἐγένετο ἔσχατος Σικελίᾳ τῇ τῶν Ἑλλήνων, ὑπὸ Καρχηδονίων ἀνάστατον ὅλην ἐκβαρβαρωθεῖσαν γενέσθαι. τότε γὰρ εἵλοντο Διονύσιον μὲν ὡς νέον καὶ πολεμικόν, ἐπὶ τὰς τοῦ πολέμου πρεπούσας αὐτῷ πράξεις. σύμβουλον δὲ καὶ πρεσβύτερον Ἱππαρῖνον, ἐπὶ σωτηρίᾳ τῆς Σικελίας αὐτοκράτορας, ὥς φασι τυράννους ἐπονομάζοντες. καὶ εἴτε δὴ θείαν τις ἡγεῖσθαι βούλεται τύχην καὶ θεόν, εἴτε τὴν τῶν ἀρχόντων ἀρετήν, εἴτε τὸ ξυναμφότερον, μετὰ τῶν τότε πολιτῶν τῆς σωτηρίας αἰτίαν ξυμβῆναι γενομένην, ἔστω ταύτῃ ὅπῃ τις ὑπολαμβάνει. σωτηρία δ' οὖν, οὕτως συνέβη τοῖς τότε γενομένοις. τοιούτων οὖν αὐτῶν γεγονότων, δίκαιόν που τοῖς σώσασι, πάντας χάριν ἔχειν. εἰ δέ τι τὸν μετέπειτα χρόνον ἡ τυραννὶς οὐκ ὀρθῶς τῇ τῆς πόλεως δωρεᾷ καταχέχρηται, τούτων δίκας τὰς μὲν ἔχει. τὰς δ' ἐκτινέτω. τίνες οὖν δὴ δίκαι ἀναγκαίως ὀρθαὶ γίγνοιντ' ἂν ἐκ τῶν ὑπαρχόντων αὐτοῖς. εἰ μὲν ῥᾳδίως ὑμεῖς ἀποφυγεῖν οἷοί τ' ἦτε αὐτοὺς καὶ ἄνευ μεγάλων κινδύνων καὶ πόνων. ἢ κεῖνοι ἑλεῖν ἐπιτόμως πάλιν τὴν ἀρχήν, οὐδ' ἂν συμβουλεύειν οἷόν τ' ἦν τὰ μέλλοντα ῥηθήσεσθαι. νῦν δ' ἐννοεῖν ὑμᾶς ἀμφοτέρως χρεών, καὶ ἀναμιμνήσκεσθαι, ποσάκις ἐν ἐλπίδι ἑκάτεροι γεγόνατε, τοῦ νῦν οἴεσθαι σχεδὸν ἀεί τινος σμικροῦ ἐπιδεεῖς εἶναι τὸ μὴ πάντα κατὰ νοῦν πράττειν. καὶ δὴ καὶ ὅτι τὸ σμικρὸν τοῦτο, μεγάλων καὶ μυρίων κακῶν αἴτιον ἑκάστοτε ξυμβαίνει γιγνόμενον καὶ πέρας οὐδέποτε τελεῖται, ξυνάπτει δὲ ἀεὶ παλαιὰ τελευτὴ δοκοῦσα, ἀρχῇ φυομένῃ νέᾳ. διολοῦσθαι δ' ὑπὸ τοῦ κύκλου τούτου κινδυνεύσει καὶ τὸ τυραννικὸν ἅπαν καὶ τὸ δημοτικὸν γένος. ἥξει δ' ἐάνπερ τῶν εἰκότων γίγνηταί τι καὶ ἀπευκτῶν, σχεδὸν εἰς ἐρημίαν τῆς ἑλληνικῆς φωνῆς Σικελία πᾶσα, φοινίκων ἢ ὀπικῶν μεταβαλοῦσα εἴς τινα δυναστείαν καὶ κράτος. τούτων δὴ χρὴ πάσῃ προθυμίᾳ πάντας τοὺς Ἕλληνας τέμνειν φάρμακον. εἰ μὲν δή τις ὀρθότερον ἄμεινόν τ' ἔχει τοῦ ὑπ' ἐμοῦ ῥηθησομένου, ἐνεγκὼν εἰς τὸ μέσον

amicis autem beneficij plurimum afferatur. At verò nequaquam id facile eſt, vt qui multa alijs inferunt damna, ipſi non multa viciſſim ab alijs patiantur. Neque nunc opus eſt horum exempla longè perquirere: quippe cùm quæ nuper in Sicilia acciderunt, ſatis exemplo nobis eſſe poſſint. Cuncta enim ſic accidiſſe videntur, dum alij quidem inferre mala, alij verò repellere & vlciſci contenderent. In quibus enarrandis idonei aliorum magiſtri vbique eſſe poteſtis: vt in his percipiendis nulla fermè ſit difficultas. Quæ verò aut cunctis tam inimicis quàm amicis vtilia ſint, aut ſaltem quæ his quàm minimum obſint, hæc certè ipſa, nec facile eſt perſpicere, neque poſtquam perſpexeris, ad votũ perficere. Hæc igitur conſultatio atque inquiſitio voto perſimilis eſſe videtur. Ideóque ſic nobis ipſa omnino tanquam votum & deprecatio quædam. Omnibus enim in rebus & dicendis & cogitandis principium ſemper à diis eſt ſumendum. Votum vtique eiuſmodi abſolutum talem nobis ſignificabit rationem, quæ vobis ſimul, inimicíſq; conducat. Principiò ex quo tempore bellum in Sicilia geſtum eſt: familia vna continuè dominata eſt: quam publicis rebus præfecerunt veſtri maiores, in ſummo tunc periculo conſtituti, cũ à Carthaginenſibus premerentur, veniſſétque res in extremum diſcrimen, ne Sicilia quæ excolebatur à Græcis, iam à Barbaris euerteretur atque deuaſtaretur. Tũc igitur Dionyſium quidem elegerunt, vt iuuenem bello ſtrenuum: qui rebus bellicis conuenientibus ſibi præeſſet: Hipparinum verò vt potè ſeniorem, conſilio res moderari voluerunt. Atque pro totius Siciliæ ſalute abſolutam his autoritatem concedentes, tyrannos, vt fertur appellauerunt. Proinde ſiquis fortunam quandam diuinam, Deúmque ſiue eorũ quibus commiſſa res eſt, virtutem, ſiue vtrunque vnà cum temporis illius ciuibus, ſalutis illius cauſam extitiſſe cenſeat: eſto id quidem vt quiſque exiſtimat. Salus certè hoc pacto tunc illis parta eſt. Quamobrem cùm ita ſe illi geſſiſſent, iuſtum erat gratiam ab illis qui ſeruati erant, referri. Siquid autẽ poſtea mali tyrannis ipſa munere ciuitatis abutens patrauit, habet quidẽ ſceleris ſui iudices: vnde & pœnas perſoluat. Sed quænam illis pœnæ ob ea quæ acta ſunt, neceſſariò rectéque admoueri poſſunt? Si enim vel vos illorum vim facilè propulſare poſſetis, & abſque magnis periculis laboribúſque id facere, vel illi ſe dominationẽ facilè recepturos arbitrarentur: haud ſanè poſſemus ea vobis quæ nunc dicturi ſumus conſulere. Nunc verò vtriq; conſiderare atque meminiſſe debetis, quoties iam alterutri in ſpem propè certam perueniſtis cõſequendi quod optabatis, paulùm deeſſe opinantes ad cuncta pro arbitrio conſequenda. idipſum tamen paulùm ingentium plurimorúmque malorum vbiq; cauſa extitit, nequédum peruenit ad terminum: ſed continuata quadam ſucceſſione inueterati iã mali apparenti termino principium ſuboritur nouũ. Eiuſmodi verò circuitus rerúmque viciſſitudo perditura videtur tyrannicum genus ſimulatque populare: & quantum veriſimile ratione formidandum portenditur, tota Sicilia in Græcæ linguæ obliuionem lapſura videtur, ad Phœnicum Opicorúmq; poteſtatem dominationémque tranſlata. Quamobrem contra hæc Græci omnes omni prouidentia remedium afferre debent. Siquis igitur rectius melíuſq; conſiliũ eo quod à me dicetur, adducat in mediũ,

meritò Græcorum amator cognominabitur. Quæ verò quodammodo ſit mea ſententia, conabor nūc liberè prorſus communi ratione, legéq; fretus exponere. Ego igitur perſonam mihi arbitri aſſumēs, quemadmodum iamdiu conſueui, tam exercenti quàm præferenti tyrannidē communiter conſulam. Atque in primis omni tyranno: vt appellationem hanc, rémq; ipſam fugiat, atq; in regnum, ſi poteſt fieri transferat. Fieri verò poſſe, Lycurgus vir bonus & ſapiens te demonſtrauit. Is enim cùm videret genus proprium Argis, & apud Meſſenios ex regno in tyrannidem iam tranſlatum, ideóque hos populos vtroſque tam ſeipſos perdentes quàm ciuitates vtrinque vtraſque timens patriæ ſimul & generi remedium adhibuit ſenatum procreans, Ephororúmque magiſtratum in regni ſalutem. Quapropter tot iam ſecula ſeruatur cum gloria: poſtquam videlicet lex autoritatis plena hominū regina facta eſt, non autem homines legum tyrāni. Ad hoc ipſum in præſentia ratio mea omnes homines cohortatur, ſuadens his qui tyrannidem affectant, declinare ac fugere indefeſſo quodam ſtudio eiuſmodi famelicorum ſtultorúmque hominum felicitatem: at q; ad regiam gubernationis formā pro viribus ſe trāsferre legibúſq; regis obtemperare, maximos honores ab hominibus legibúſque volentibus quandoque reportaturis. Qui verò omnibus viuendi præferunt libertatem, iugum verò ſeruile fugiunt tanquam malum, ij caueant moneo, ne inſatiabili importunæ libertatis auiditate in maiorum ſuorum incidant morbum. Quem quidem illi propterea paſſi ſunt, quòd nulli parere volentes libertatis amore intemperanter abuſi ſunt. Qui enim ante Dionyſium & Hipparinum in Sicilia gubernabant, beatè ſibi viuere videbantur, libidinibus diſſoluti, principibus imperantes. Præterea decem ante Dionyſium præfectos depoſitos profligarunt, neminem ſecundum legem iudicantes, quo nulli ſubeſſent homini iuſtè iudicanti, aut dominanti legi, ſed omninò in ſingulis liberi forent. Qua quidem cauſa illis tyrannides exortæ ſunt. Seruitus enim ac libertas, ſi modum excedat, vtraque mala eſt: ſi modum obſeruet, vtraque bona, moderata quidē ſeruitus eſt, quæ Deo exhibetur: immoderata verò quæ hominibus. Deus quidem hominibus temperatis lex eſt: intemperatis verò voluptas. Cùm igitur hæc ita natura ſe habeant quę conſulo, mando Dionis amicis, ea Syracuſanis omnibus promulganda ex communi Dionis meáque ſententia. Equidem vobis exponam quæ ille adhuc ſpirans locutus eſt. Quam igitur rationem, quæret quiſpiam, circa præſentia nobis Dionis conſilium affert? hanc verò omnium primā nunc accipite. Principiò leges tales ſint, quæ non ad opes pecuniáſq; comparādas neq; ad libidines mētes conuertant. ſed cū tria ſint, anima, corpus, pecunia: virtutē animi maximè anteponant: Secundo verò loco virtutem corporis virtuti animi ſeruientem: Tertio vltimóq; gradu pecuniarum pretium collocent, animo, corporiq; miniſtrans. Quæcunq; lex efficit recta eſt, reuera beatitudinem vtentibus afferens. Locupletes verò beatos appellare, ſermo amens eſt, & infelix

ὀρθότατα φιλέλλην ἂν λεχθείη. ἃ δὲ μοι φαίνεται νῦν, ταῦτ' ἐγὼ πειράσομαι πάσῃ παρρησίᾳ καὶ κοινῷ τινι δικαίῳ λόγῳ χρώμενος, δηλοῦν. λέγω γὰρ δὴ διαιτητοῦ τινα τρόπον διαλεγόμενος, ὡς δυοῖν τυραννεύσασί τε καὶ τυραννευθεῖσιν, ὡς ἐν ἑκατέρῳ παλαιὰν ἐμὴν ξυμβουλὴν καὶ νῦν γε ὅ γ' ἐμὸς λόγος ἂν εἴη ξύμβουλος τυράννῳ παντὶ φεύγειν μὲν τοὔνομά τε καὶ τὸ ἔργον τοῦτο, εἰς βασιλείαν δὲ, εἰ δυνατὸν εἴη μεταβαλεῖν. δυνατὸν δέ, ὡς ἔδειξεν ἔργῳ σοφὸς ἀνὴρ καὶ ἀγαθὸς Λυκοῦργος. ὃς ἰδὼν τὸ τῶν οἰκείων γένος ἐν Ἄργει καὶ Μεσσήνῃ, ἐκ βασιλέων εἰς τυράννων δύναμιν ἀφικομένους, καὶ διαφθείραντας ἑαυτούς τε καὶ τὴν πόλιν ἑκατέρους ἑκατέραν, δείσας περὶ τῆς αὐτοῦ πόλεως ἅμα καὶ γένους, φάρμακον ἐπήνεγκεν τὴν τῶν γερόντων ἀρχὴν, καὶ τὸν τῶν ἐφόρων δεσμὸν, τῆς βασιλικῆς ἀρχῆς σωτήριον, ὥστε γενεὰς τοσαύτας ἤδη μετ' εὐκλείας σώζεσθαι. νόμος ἐπειδὴ κύριος ἐγένετο βασιλεὺς τῶν ἀνθρώπων, ἀλλ' οὐκ ἄνθρωποι τύραννοι νόμων, ὃ δὴ καὶ νῦν ἐμὸς λόγος πᾶσι παρακελεύεται. τοῖς μὲν τυραννίδος ἐφιεμένοις, ἀποτρέπεσθαι καὶ φεύγειν φυγῇ ἀπλήστῳ. πεινώντων δὲ εὐδαιμόνισμα ἀνθρώπων καὶ ἀνοήτων εἰς βασιλέως εἶδος πειρᾶσθαι μεταβάλλειν, καὶ δουλεῦσαι νόμοις βασιλικοῖς, τὰς μεγίστας τιμὰς κεκτημένους. παρ' ἑκόντων τε ἀνθρώπων καὶ τῶν νόμων. τοῖς δὲ ἐλεύθερα διώκουσιν ἤθη καὶ φεύγουσι τὸν δούλειον ζυγὸν ὡς ὂν κακὸν, εὐλαβεῖσθαι ξυμβουλεύοιμ' ἂν, μή ποτε ἀπληστίᾳ ἐλευθερίας ἀκαίρου τινὸς, εἰς τὸ τῶν προγόνων νόσημα ἐμπέσωσιν. ὃ διὰ τὴν ἄγαν ἀναρχίαν οἱ τότε ἔπαθον, ἀμέτρῳ ἐλευθερίας χρώμενοι ἔρωτι. οἱ γὰρ πρὸ Διονυσίου καὶ Ἱππαρίνου ἄρξαντες Σικελιῶται, τότε ὡς ᾤοντο, εὐδαιμόνως ἔζων, τρυφῶντές τε καὶ ἅμα ἀρχόντων ἄρχοντες, οἳ καὶ τοὺς δέκα στρατηγοὺς κατέλευσαν βάλλοντες τοὺς πρὸ Διονυσίου, κατὰ νόμον οὐδένα κρίναντες, ἵνα δὴ δουλεύοιεν μηδενὶ, μήτε σὺν δίκῃ, μήτε νόμῳ δεσπότῃ, ἐλεύθεροι δ' εἶεν πάντῃ πάντως. ὅθεν αἱ τυραννίδες ἐγένοντο αὐτοῖς. δουλεία γὰρ καὶ ἐλευθερία ὑπερβάλλουσα μὲν ἑκατέρα, πάγκακον. ἔμμετρος δὲ οὖσα, πάναγαθον. μετρία δὲ ἡ θεῷ δουλεία, ἄμετρος δὲ ἡ τοῖς ἀνθρώποις. θεὸς δὲ ἀνθρώποις σώφροσι, νόμος. ἄφροσι δὲ ἡδονή. τούτων δὴ ταύτῃ πεφυκότων, ἃ ξυμβουλεύω Συρακουσίοις πᾶσι φράζειν παρακελεύομαι τοῖς Δίωνος φίλοις, ἐκείνου καὶ ἐμὴν κοινὴν ξυμβουλήν. ἐγὼ δὲ ἑρμηνεύσω ἃ ἐκεῖνος ἔμπνους ἂν καὶ δυνάμενος εἶπε νῦν πρὸς ὑμᾶς. τίν' οὖν δή τις ἂν εἴποι λόγον ἀποφαίνεσθαι ὑμῖν περὶ τῶν νῦν παρόντων, ἡ Δίωνος ξυμβουλὴ τόνδε. Δέξασθε ὦ Συρακούσιοι πάντων πρῶτον, νόμους οἵτινες ἂν ὑμῖν φαίνωνται, μὴ πρὸς χρηματισμὸν καὶ πλοῦτον τρέψοντες τὰς γνώμας ὑμῶν, μήτ' ἐπιθυμίας. ἀλλ' ὄντων τριῶν, ψυχῆς καὶ σώματος, ἔτι δὲ χρημάτων, πρώτην μὲν τὴν τῆς ψυχῆς ἐπιμέλειαν ἔχειν δεῖ. δευτέραν δὲ τὴν τοῦ σώματος, ὑπὸ τῇ τῆς ψυχῆς κειμένην. τελευταίαν δὲ καὶ ὑστάτην, τὴν τῶν χρημάτων τιμὴν, δουλεύουσαν τῷ σώματί τε καὶ τῇ ψυχῇ. καὶ ὁ μὲν ταῦτα ἀπεργαζόμενος θεσμὸς, νόμος ἂν ὀρθῶς ὑμῖν εἴη κείμενος ὄντως εὐδαίμονας ἀποτελῶν τοὺς χρωμένους. ὁ δὲ τοὺς πλουσίους εὐδαίμονας ὀνομάζων λόγος, αὐτός τε ἄθλιος

γυναικῶν τε καὶ παίδων ὁ λόγος αὐτοῖς, τοὺς πειθομένους τι ἀπεργάζεται τοιούτους. ὅτι δ' ἀληθῆ ταῦτ' ἐγὼ παρακελεύομαι, ἐὰν γεύσησθε τῶν νῦν λεγομένων περὶ νόμων, ἔργῳ γνώσεσθε. ἡ δὴ βάσανος ἀληθεστάτη δοκεῖ γίγνεσθαι τῶν πάντων πέρι. δεξάμενοι δὲ τοῖς τοιούτοις νόμοις, ἐπειδὴ κατέχει κίνδυνος Σικελίαν, καὶ οὔτε κρατεῖτε ἱκανῶς, οὔτ' αὖ διαφερόντως κρατεῖσθε, δίκαιον ἂν ἴσως καὶ ξυμφέρον γίγνοιτο ὑμῖν πᾶσι μέσον τεμεῖν, τοῖς τε φεύγουσι τῆς ἀρχῆς τὴν χαλεπότητα ὑμῖν, καὶ τοῖς τῆς ἀρχῆς πάλιν ἐρῶσι τυχεῖν. ὧν οἱ πρόγονοι, τὸ μέγιστον, ἔσωσαν ἀπὸ βαρβάρων τοὺς Ἕλληνας, ὥστ' ἐξεῖναι περὶ πολιτείας νῦν ποιεῖσθαι λόγους. ἐρρύησαν δὲ τότε, οὔτε λόγος, οὔτ' ἐλπὶς ἐλείπετ' ἂν οὐδαμῆ οὐδαμῶς. νῦν οὖν, τοῖς μὲν ἐλευθερία γιγνέσθω μετὰ βασιλικῆς ἀρχῆς. τοῖς δὲ, ἀρχὴ ὑπεύθυνος βασιλική, δεσποζόντων νόμων τῶν τε ἄλλων πολιτῶν, καὶ τῶν βασιλέων αὐτῶν, ἂν παράνομον πράττωσιν. ἐπὶ δὲ τούτοις ξύμπασιν, ἀδόλῳ γνώμῃ, καὶ ὑγιεῖ μετὰ θεῶν βασιλέα στήσασθε. πρῶτον μὲν τὸν ἐμὸν υἱὸν χαρίτων ἕνεκα διττῶν, τῆς τε παρ' ἐμοῦ καὶ τῆς παρὰ τοῦ ἐμοῦ πατρός. ὁ μὲν γὰρ ἀπὸ βαρβάρων ἠλευθέρωσεν ἐν τῷ τότε χρόνῳ τὴν πόλιν. ἐγὼ δὲ ἀπὸ τυράννων νῦν δίς, ὧν αὐτοὶ μάρτυρες ὑμεῖς γεγόνατε. δεύτερον δὲ δὴ ποιεῖσθε βασιλέα, τὸν τῷ μὲν ἐμῷ πατρὶ ταὐτὸν κεκτημένον ὄνομα. υἱὸν δὲ Διονυσίου, χάριν τῆς τε νῦν βοηθείας καὶ ὁσίου τρόπου. ὃς γενόμενος τυράννου πατρὸς ἑκὼν τὴν πόλιν ἐλευθεροῖ. τιμὴν αὑτῷ καὶ γένει ἀείζωον ἀντὶ τυραννίδος ἐφημέρου καὶ ἀδίκου κτώμενος. τρίτον δὲ προκαλεῖσθαι χρὴ βασιλέα γίγνεσθαι Συρακουσῶν, ἑκόντα ἑκούσης τῆς πόλεως, τὸν νῦν τοῦ τῶν πολεμίων ἄρχοντα στρατοπέδου. Διονύσιον τὸν Διονυσίου. ἐὰν ἐθέλῃ ἑκὼν εἰς βασιλέως σχῆμα ἀπαλλάττεσθαι, δεδιὼς μὲν τὰς τύχας, ἐλεῶν δὲ πατρίδα, καὶ ἱερῶν ἀθεραπευσίαν καὶ τάφους μὴ διὰ φιλονεικίαν πάντως πάντα ἀπολέσῃ βαρβάροις ἐπίχαρτος γενόμενος. τρεῖς δ' ὄντας βασιλέας, εἴτ' οὖν τὴν λακωνικὴν δύναμιν αὐτοῖς δόντες, εἴτε ἀφελόντες καὶ ξυνομολογήσαντες, καταστήσετε τρόπῳ τινὶ τοιῷδε. ὃς εἴρηται μὲν, καὶ πρότερον ὑμῖν. ὅμως δ' ἔτι καὶ νῦν ἀκούετε. ἐὰν ἐθέλῃ τὸ γένος ὑμῖν τὸ Διονυσίου τε καὶ Ἱππαρίνου ἐπὶ σωτηρίᾳ Σικελίας παύσασθαι τῶν νῦν παρόντων κακῶν, τιμὰς αὐτοῖς καὶ γένει λαβόντες, εἴς τε τὸν ἔπειτα καὶ τὸν νῦν χρόνον ἐπὶ τούτοις καλεῖτε, ὥσπερ καὶ πρότερον ἐρρήθη, πρέσβεις οὓς ἂν ἐθελήσωσι κυρίους ποιησάμενοι τῶν διαλλαγῶν εἴτε τινὰς αὐτόθεν, εἴτε ἔξωθεν, εἴτε ἀμφότερα, καὶ ὁπόσους ἂν συγχωρήσωσι. τούτους δ' ἐλθόντας, νόμους μὲν πρῶτον θεῖναι καὶ πολιτείαν τοιαύτην, ἐν ᾗ βασιλέας ἁρμόττει γίγνεσθαι κυρίους ἱερῶν τε καὶ ὅσων ἄλλων πρέπει τοῖς γενομένοις ποτὲ εὐεργέταις. πολέμου δὲ καὶ εἰρήνης ἄρχοντας, νομοφύλακας ποιήσασθαι ἀριθμὸν τριάκοντα καὶ πέντε, μετά τε δήμου καὶ βουλῆς. δικαστήρια δὲ, ἄλλα μὲν ἄλλων. θανάτου δὲ καὶ φυγῆς, τοὺς τε πέντε καὶ τριάκοντα ὑπάρχειν. πρὸς τούτοις τε ἐκλεκτοὺς γίγνεσθαι δικαστὰς ἐκ τῶν νῦν ἀεὶ περυσινῶν ἀρχόντων. ἕνα ἀφ' ἑκάστης τῆς ἀρχῆς

mulieribus pueriſque conueniens: atque eos qui id credunt tales efficiens. Quòd autẽ ego nũc ad vera vos bona cohortor, ſi quæ modò dixi de legibus, degustetis, opere ipſo intelligetis: quæ quidem examinatio in cunctis veriſſima eſſe videtur. Receptis verò huiuſmodi legibus, cùm Sicilia in diſcrimine poſita ſit, neque ſufficienter vos ſuperetis, neque rurſus admodum ſuperemini, iuſtum fortè atque vtile vobis omnibus erit medium incidere, tum vobis dominationis acerbitatem fugientibus, tum aliis dominationem adipiſci deſiderantibus. Quorum maiores olim, quod maximi faciendũ eſt, Græcos à Barbaris ſeruauerunt: adeò vt in præſentia liceat de Repub. conſultare. Alioqui ſi tunc perditæ res fuiſſent, neque nunc de his loqui liceret, neque ſpes vlla ſupereſſet. Nunc igitur aliis quidem libertas ſit, cum regia poteſtate: aliis autem poteſtas regno ſubiecta legibus dominantibus non aliis tantum ciuibus ſed ipſis etiam regibus ſiquid egerint contra leges. In his autẽ omnibus mente à dolis aliena atque ſana, diis iuuantibus reges create. Primum quidem filium meum duplici gratia, mei ſcilicet gratia atque aui ſui. Ille enim tempeſtate patriam à Barbaris liberauit: ego verò iam bis à tyrannis. Quorum quidem teſtes mihi vos ipſi eſtis. Secundum verò regem create eum qui idem quod & pater meus nomen habet, Dionyſij inquam filium. Atque id facite præſentis eius in patriam officij memores, piorúmque eius morum, qui patre tyranno natus, patriam ſponte liberare aggreditur, pro breuiſſima iniuſtáque tyrannide gloriá ſibi generiq; comparans ſempiternam. Tertium denique ad regnum Syracuſanum inuitare oportet volentẽ ciuitate volente Dionyſiũ Dionyſij filiũ, nunc exercitus hoſtiũ ducem. Si velit inquã regiæ dignitatis forma contentus viuere, timẽs videlicet fortunæ vices: & patriam miſeratus, ſacráq; & ſepulchra maiorum: ne contentione proſus omnia perdat, Barbaris ex patriæ infelicitate gratificãs. Hos verò tres reges, ſiue illis autoritatem eandem quam Lacedæmonij reges habent dederitis, ſiue quid ademeritis, communi conſenſu conſtituetis tali quodam pacto, vt priùs dictum eſt: atque iterum nunc audite. Si Dionyſij & Hipparini genus voluerint pro Siciliæ ſalute his calamitatibus quæ nunc vrgent, finẽ imponere, honorem ſibi totique familiæ comparantes non ad præſens solùm, ſed in poſterum, hac inquam conditione, quemadmodum & priùs dictum eſt, ad regnũ vocate: & legatos quos ipſi velint cõcordiæ gratia cum publica autoritate deligite: ſiue ex veſtris ciuibus, ſiue ex alienis, ſiue ex vtriſque: totq; præterea quot illi conceſſerint. Qui cõmuni ſententia leges condant, atque Rempublicã ita cõſtituant, vt in ea reges eſſe deceat ſacrorum dominos, aliarúmque rerum quaſcunque decet his concedi, quorum beneficia in patriam extant. Proinde belli paciſque arbitriuos habeant cuſtodes ipſi legum creati numero quinque & triginta vnà cum populo atque ſenatu. Iudicia verò diſtincta ſint alia aliorũ. Mortis quidẽ atq; exilij autoritas ſit penes triginta & quinq; viros: & præter eos, penes alios quoſdã iudices ex illis electos qui magiſtratib. proximè perfuncti ſũt: ita vt vnus ex quolibet magiſtratu

eliga-

eligatur qui optimus iuſtiſſimuſq; appareat. Hi ſequenti anno de morte & carcere & exilio ſententiam ferant. Regi verò his iudiciis intereſſe non liceat: vt pote ſacerdoti: quem in ferenda necis, carceris, exilij ſententia contaminari nefas ſit. Hæc equidem & dum viuerem, cogitabam: & nunc etiam cogito facienda: atque tunc, cùm inimicos ſuperauiſſem vnà vobiſcum, niſi externi, furiæque obſtitiſſent, vt decreueram, conſtituiſſem. Proinde ſi ad votum res proceſſiſſent, colonis reliquam Siciliam repleuiſſem. Barbaris quidem ex his locis quæ nunc occupant expulſis: præterquam ſi qui eorum pro communi libertate contra tyrannidem pugnauerunt. Priores autem Græcorum locorum colonos in antiquas, patriáſque ſedes reſtituiſſem. Hæc igitur eadem in præſentia omnibus conſulo communi conſilio deliberrare & agere: atque ad hæc agenda omnes enhortari: quòd ſi qui diſſenſerint, eos communi ſententia hoſtes exiſtimare. Neque verò hęc talia ſunt, vt fieri nequeant. Quæ enim in duorum animis conſiſtunt atque hi ſi qui conſultando perquirunt optima, mox facilè quæ occurrunt, ea qui impoſſibilia iudicat, nõ rectè ſentit. Dico autem duos, Hipparini ſcilicet Dionyſij filij atque inſuper mei filij animos. Arbitror enim ſi hi cõſenſerint, alios quoque Syracuſanos & omnes quibus patria curæ eſt, cõſenſuros. Sed diis omnibus honores cũ precibus offerentes, & aliis præterea quibuſcunque vnà cum diis vouere decet: præterea cohortantes inuitantéſque amicos & inimicos omnino atq; benignè, nolite priùs deſiſtere quàm ea quæ à nobis dicta ſunt, quaſi diuina ſomnia vigilantibus ſuperuenientia, perſpicua quidem atque felicia perfectiſſimè impleatis.

Plato Archytæ Tarentino bene agere.

VEnerunt ad nos Archippus & Philomedes ferentes epiſtolam, quam eis dederas, ac de rebus tuis quæ oportuit nunciantes. Publica quidẽ ciuitatis negotia abſque difficultate peregerũt. Neque enim admodum laborioſa erant. Te verò narrauerunt permoleſtè ferre, quòd à publicis ciuitatis occupationibus liberari nõ valeas. Quòd verò dulciſſimum vitæ genus ſit, agere ſua, præſertim ſi quis talia elegerit facienda, qualia tu, omnibus ferme eſt manifeſtum. Sed illud quoque te conſiderare oportet: nullum noſtrûm ſibi ſoli natum eſſe: ſed ortus noſtri partem ſibi patriam vendicare: partem parentes: partem amicos. Multa inſuper pro temporum diuerſitate nobis accidere: quibus vita noſtra occupata eſt. Vocante igitur te patria ipſa ad Rempublicam gubernandam, abſurdum forſan eſſet non parere, præſertim cùm ſimul accidat, vt aditus prauis hominibus relinquatur, qui nulla ipſius quod optimum eſt ratione proficiſcuntur ad publica. De his ergo iam ſatis. Echecratis autẽ curam habemus in præſentia, habebimúſque in poſterũ: & tui gratia, & patris eius Phrynionis, & própter ipſum adoleſcentem.

τὸν ἄριστον δόξαντ' εἶναι καὶ δικαιότατον. τούτους δὲ τὸν ἐπιόντα ἐνιαυτὸν δικάζειν τὰ θανάτου καὶ δεσμοῦ καὶ μεταστάσεως τῆς πόλεως. βασιλέα δὲ, τῶν τοιούτων δικῶν μὴ ἐξεῖναι δικαστὴν γίγνεσθαι, καθάπερ ἱερέα φόνου καθαρεύοντα καὶ δεσμοῦ καὶ φυγῆς. ταῦθ' ὑμῖν ἐγὼ καὶ ζῶν διενοήθην γίγνεσθαι, καὶ νῦν διανοοῦμαι. καὶ τότε κρατήσας τῶν ἐχθρῶν, μεθ' ὑμῶν, εἰ μὴ ξενικαὶ ἐρινύες ἐκώλυσαν, κατέστησα ἂν ᾗπερ καὶ διενοούμην. καὶ μετὰ ταῦτα σικελίαν ἂν τὴν ἄλλην εἴπερ ἔργα ἐπὶ νοῦν ἐγίγνετο, κατῴκισα. τοὺς μὲν βαρβάρους, ἣν νῦν ἔχουσιν ἀφελόμενος, ὅσοι μὴ ὑπὲρ τῆς κοινῆς ἐλευθερίας διεπολέμησαν πρὸς τὴν τυραννίδα. τοὺς δ' ἔμπροσθεν οἰκητὰς τῶν ἑλληνικῶν τόπων, εἰς τὰς ἀρχαίας καὶ πατρῴας οἰκήσεις κατοικίσας. ταυτὰ δὲ ταῦτα καὶ νῦν πᾶσι συμβουλεύω κοινῇ διανοηθῆναι, καὶ πρᾶξαι τε καὶ παρακαλεῖν ἐπὶ ταύτας τὰς πράξεις πάντας. τὸν μὴ ἐθέλοντα δὲ, πολέμιον ἡγεῖσθαι κοινόν. ἔστι δὲ ταῦτα οὐκ ἀδύνατα. ἃ γὰρ ἐν δυοῖν τε ὄντα ψυχαῖν τυγχάνει, καὶ λογισαμένοις εὑρεῖν βέλτιστα ἑτοίμως ἔχει, ταῦτα δὲ σχεδὸν ὁ κρίνων ἀδύνατα, οὐκ εὖ φρονεῖ. λέγω δὲ τὰς δύο, τήν τε ἱππαρίνου τοῦ διονυσίου υἱέος καὶ τὴν τοῦ ἐμοῦ υἱοῦ. τούτοιν γὰρ ξυνομολογησάντοιν, τοῖς γε ἄλλοις συρακοσίοις οἶμαι πᾶσιν ὅσοιπερ τῆς πόλεως κήδονται ξυνδοκεῖν. ἀλλὰ θεοῖς τε πᾶσι τιμὰς μετ' εὐχῶν δόντες, τοῖς τε ἄλλοις ὅσοις μετὰ θεῶν πρέπει, πείθοντές τε καὶ προκαλούμενοι φίλους καὶ διαφόρους μαλακῶς τε καὶ πάντως, μὴ ἀποστῆτε, πρὶν ἂν τὰ νῦν ὑφ' ὑμῶν λεχθέντα, οἷον ὀνείρατα θεῖα ἐπιστάντα ἐγρηγορόσιν, ἐναργῆ τε ἐξεργάσησθε τελεσθέντα καὶ εὐτυχῆ.

Πλάτων Ἀρχύτᾳ Ταραντίνῳ εὖ πράττειν.

Ἀφίκοντο πρὸς ἡμᾶς οἱ περὶ Ἄρχιππον καὶ Φιλωνίδην, τήν τε ἐπιστολὴν φέροντες ἣν σὺ αὐτοῖς ἔδωκας, καὶ ἀπαγγέλλοντες τὰ περὶ σοῦ. τὰ μὲν οὖν πρὸς τὴν πόλιν οὐ χαλεπῶς διεπράξαντο. καὶ γὰρ οὐδὲ παντελῶς ἦν ἐργώδη. τὰ δὲ περὶ σοῦ διῆλθεν ἡμῖν, λέγοντες ὑποδυσφορεῖν σε, ὅτι οὐ δύνασαι τῆς περὶ τὰ κοινὰ ἀσχολίας ἀπολυθῆναι. ὅτι μὲν οὖν ἥδιστόν ἐστιν ἐν τῷ βίῳ τὸ τὰ αὐτοῦ πράττειν, ἄλλως τε καὶ εἴ τις ἕλοιτο τοιαῦτα πράττειν οἷα καὶ σύ, σχεδὸν παντὶ δῆλον. ἀλλὰ κἀκεῖνο δεῖ σε ἐνθυμεῖσθαι. ὅτι ἕκαστος ἡμῶν οὐχ αὑτῷ μόνον γέγονεν. ἀλλὰ τῆς γενέσεως ἡμῶν, τὸ μέν τι, ἡ πατρὶς μερίζεται. τὸ δέ τι, οἱ γεννήσαντες. τὸ δὲ, οἱ λοιποὶ φίλοι. πολλὰ δὲ καὶ τοῖς καιροῖς δίδοται τοῖς τὸν βίον ἡμῶν καταλαμβάνουσι. καλούσης δὲ τῆς πατρίδος αὐτῆς πρὸς τὰ κοινά, ἄτοπον ἴσως τὸ μὴ ὑπακούειν, καὶ χώραν καταλιμπάνειν φαύλοις ἀνθρώποις. οἳ οὐκ ἀπὸ τοῦ βελτίστου πρὸς τὰ κοινὰ προσέρχονται. περὶ τούτων μὲν οὖν ἱκανῶς. ἐχεκράτους δὲ νῦν ἐπιμέλειαν ἔχομεν, καὶ εἰς τὸν λοιπὸν χρόνον ἕξομεν. καὶ διὰ σέ, καὶ διὰ τὸν πατέρα αὐτοῦ φρυνίωνα. καὶ δι' αὐτὸν τὸν νεανίσκον.

Πλάτων Ἀριστοδώρῳ εὖ πράττειν.

Ἀκούω Δίωνος ἐν τοῖς μάλιστα ἑταῖρον εἶναί τε σὲ νῦν, καὶ γεγονέναι διὰ παντὸς τὸ σοφώτατον ἦθος τῶν εἰς φιλοσοφίαν παρεχόμενον. τὸ γὰρ βέβαιον, καὶ πιστὸν καὶ ὑγιὲς τοῦτο ἐγώ φημι εἶναι τὴν ἀληθινὴν φιλοσοφίαν. τὰς δὲ ἄλλας τε καὶ εἰς ἄλλα τεινούσας σοφίας τε καὶ δεινότητας κομψότητας οἶμαι προσαγορεύων, ὀρθῶς ὀνομάζειν. ἀλλ' ἔρρωσό τε, καὶ μένε ἐν τοῖς ἤθεσιν οἷσπερ καὶ μένεις.

Πλάτων Λαοδάμαντι εὖ πράττειν.

Ἐπέσταλκά σοι καὶ πρότερον ὅτι πολὺ διαφέρει πρὸς ἅπαντα ἃ λέγεις αὐτὸν ἀφικέσθαι σε Ἀθήναζε. ἐπειδὴ δὲ σὺ φῂς ἀδύνατον εἶναι, μετὰ τοῦτο ἦν δεύτερον, εἰ δυνατὸν ἐμὲ ἀφικέσθαι, ἢ Σωκράτη ὥσπερ ἐπέστειλας. νῦν δὲ Σωκράτης μὲν ἐστὶ περὶ ἀσθένειαν τὴν τῆς στραγγουρίας. ἐμὲ δὲ ἀφικόμενον ἐνταῦθα, ἄσχημον ἂν εἴη μὴ διαπράξασθαι, ἐφ' ἅπερ σὺ παρακαλεῖς. ἐγὼ δὲ ταῦτα γενέσθαι ἄν, οὐ πολλὴν ἐλπίδα ἔχω. δι' ἃ δὲ μακρᾶς ἑτέρας, δέοιτ' ἂν ἐπιστολῆς ἥτις πάντα διέξιοι, καὶ ἅμα οὐδὲ τῷ σώματι διὰ τὴν ἡλικίαν, ἱκανῶς ἔχω πλανᾶσθαι καὶ κινδυνεύειν κατά τε γῆν καὶ κατὰ θάλατταν οἷα ἀπαντᾷ καὶ νῦν πάντα κινδύνων ἐν ταῖς πορείαις ἐστὶ μεστά. συμβουλεῦσαι μέντοι ἔχω σοί τε καὶ τοῖς οἰκισταῖς. ὃ εἰπόντος μὲν ἐμοῦ φησὶν Ἡσίοδος, δόξαι ἂν εἶναι φαῦλον. χαλεπὸν δὲ νοῆσαι. εἰ γὰρ οἴονται ὑπὸ νόμων θέσεως καὶ ὧντινων εὖ ποτε πολιτείαν ἂν κατασκευασθῆναι, ἄνευ τοῦ εἶναί τι, κύριον ἐπιμελούμενον ἐν τῇ πόλει τῆς καθ' ἡμέραν διαίτης, ὅπως ἂν ᾖ σώφρων τε καὶ ἀνδρική, δούλων τε καὶ ἐλευθέρων, οὐκ ὀρθῶς διανοοῦνται. τοῦτο δ' αὖ, εἰ μὲν εἰσὶν ἤδη ἄνδρες ἄξιοι τῆς ἀρχῆς ταύτης, γένοιτ' ἄν. εἰ δ' ἐπὶ τὸ παιδεῦσαι δεῖ τινος, οὔτε ὁ παιδεύσων, οὔτε οἱ παιδευθησόμενοι ὡς ἐγὼ οἶμαι εἰσὶν ὑμῖν. ἀλλὰ τὸ λοιπὸν τοῖς θεοῖς εὔχεσθαι. καὶ γὰρ σχεδόν τι καὶ αἱ ἔμπροσθεν πόλεις, οὕτω κατεσκευάσθησαν, καὶ ἔπειτα εὖ ᾤκησαν, ὑπὸ ξυμβάσεων πραγμάτων μεγάλων καὶ κατὰ πόλεμον καὶ κατὰ τὰς ἄλλας πράξεις γιγνομένων. ὅταν ἐν τοιούτοις καιροῖς, ἀνὴρ καλός τε καὶ ἀγαθὸς ἐγγένηται μεγάλην δύναμιν ἔχων. τὸ δ' ἔμπροσθεν αὐτὰ, προθυμεῖσθαι μὲν χρὴ καὶ ἀνάγκη. διανοεῖσθαι μέντοι αὐτὰ οἷα λέγω καὶ μὴ ἀνοηταίνειν οἰομένους τι ἑτοίμως διαπράξασθαι δεῖν. εὐτύχει.

Πλάτων Ἀρχύτᾳ Ταραντίνῳ εὖ πράττειν.

Τὰ μὲν παρὰ σοῦ ἐλθόνθ' ὑπομνήματα, θαυμαστῶς ὡς ἄσμενοί τε ἐλάβομεν. καὶ τοῦ γράψαντος αὐτὰ ἠγάσθημεν ὡς ἔνι μάλιστα. καὶ ἔδοξεν ἡμῖν εἶναι ὁ ἀνὴρ ἄξιος ἐκείνων τῶν πάλαι προγόνων. λέγονται γὰρ δὴ οἱ ἄνδρες οὗτοι μύριοι εἶναι. οὗτοι δ' ἦσαν τῶν ἐπὶ Λαομέδοντος ἐξαναστάντων Τρώων, ἄνδρες ἀγαθοί, ὡς ὁ παραδεδομένος μῦθος δηλοῖ. τὰ δὲ παρ' ἐμοὶ ὑπομνήματα περὶ ὧν ἐπέστειλας, ἱκανῶς μὲν οὔπω ἔχει, ὡς δέ ποτε τυγχάνει ἔχοντα, ἀπέσταλκά σοι. περὶ δὲ τῆς φυλακῆς, ἀμφότεροι συμφωνοῦμεν. ὥστ' οὐδὲν δεῖ παρακελεύεσθαι.

Plato Ariſtodoro bene agere.

AVdio te ante alios & nunc familiarem eſſe Dionis, & per omne tempus ſapientiam morum ad philoſophiam ſpectantium in primis exercuiſſe. Nam firmitatem, fidem, ſynceritatem, veram eſſe philoſophiam exiſtimo. Alias verò & ad alia declinantes ſcientias & facultates ſiquis ornamenta dixerit, rectè, vt arbitror, appellabit. Sed vale iam, & in præſentibus his perſeuera moribus.

Plato Laodamanti bene agere.

SCripſimus etiam priùs ad te , referre multùm ad ea quæ dicis omnia, vt Athenas ipſe proficiſcaris. Quoniam verò ais ad te venire non poſſe, ſecundo id loco foret, ſi vel ego, vel Socrates, vt per tuas literas ſignificaſti, iſtuc nos conferre poſſemus. Verùm Socrates quidem hoc tempore morbo ſtrãguriæ impeditur. Mihi verò iſtuc proficiſcenti dedecus foret, ſi illa quorum gratia me vocas, nequaquam perficerentur. Quæ quidẽ perfici poſſe haud admodum ſpero. Si quis autem ea omnia referre aggrediatur quorum de cauſa ita diffidam, prolixa opus erit epiſtola. Præterea per ætatem non ſatis corpore valeo ad iter conficiendum periculáque mari terráque obeunda, qualia iter ſolet objicere, præſertim verò hoc tempore omnia iter agentibus plena periculis ſunt. Conſulere tamen tibi & vrbium conditoribus poſſum quod nunc me referente, inquit Heſiodus putare quidem fallax quiddam eſſe difficile-ve intelligere. Nam ſi putant aliqui legum quarumlibet poſitione ciuitatem bene quandoque conſtitui poſſe, niſi ſit aliquis cum autoritate præſidens ciuitati, quotidianæ omnium vitæ moderator, adeò vt ſit temperata & fortis tam in ſeruis quàm in liberis, non rectè putant. Proinde ſi ſint iam apud vos viri hac poteſtate digni, id fieri poſſet. Sin autem ad diſciplinam opus ſit aliquo : neque qui doceat, neque qui doceatur, vt opinor , apud vos ſunt: reliquum eſt deos precari. Nam ferè quæ ante hoc tempus fuerunt ciuitates, ſic ab initio cõſtitutæ ſunt: ac poſtea bene excultæ pro opportunitate magnarum rerum tum bello tum pace, quando in huiuſmodi temporibus vir clarus & probus magnam adeptus fuerit poteſtatem. Priùs autem ipſa promptiſſimè curare oportet atque neceſſe eſt: conſiderare tamen ea qualia dico : neque temerè aggredi quaſi leuiter peragantur: cogitare verò quid commodè fieri poſſit. Vale felix.

Plato Archytæ Tarentino bene agere.

MIrum eſt quanta cum voluptate commentaria abs te miſſa accepimus, eorúmque autoris ingenio delectati ſumus. Viſus quidem nobis eſt vir ipſe dignus maioribus illis tam olim ſuis. Ferunt virorum decem millia fuiſſe : qui ex omni Troianorum, qui ſub Laomedonte ſeceſſere, numero vt fabula tradit, præſtantiſſimi fuerunt. Cõmentaria verò quæ tu per literas à me petis, nondum abſoluta ſunt. Qualiacunque tamen ſunt, ad te miſi. De cuſtodia verò, idem ſentimus ambo. Quapropter nihil cohortatione opus eſſe videtur.

Plato.

Plato Dionyſio Syracuſarum tyranno bene agere.

Principium tibi epiſtolæ ſimúlque nota, quòd hæc epiſtola mea ſit, hæc eſto. Quum aliquando Locros iuuenes cõuiuio excepiſſes, & procul à me diſcumbere ſurrexiſti, ad méque acceſſiſti, & comiter humanitérque dixiſti lepidum quiddã vt & mihi, & ei, qui proximè aſſidebat, viſum eſt. Erat autem ille ex numero vrbanorum qui tum, Maiorem ſanè in modũ, inquit, ô Dionyſi, à Platone ad conſequendam ſapientiam adiuuaris, cui tu, Multis etiam aliis in rebus, reſpondiſti. Etenim ex quo eũ accerſiri iuſſi, repentè ob eam ipſam cauſam, quòd eũ accerſiueram, emolumentum percepi. Itaq; cõſiderandum eſt hoc, vt hæc mutua vtilitas perpetuò magis, ac magis inter nos augeſcat. Nunc igitur hoc ipſum ſtudens, mitto tibi ex Pythagoreis, & ex diuiſionibus, & virum præterea cuius opera, quemadmodum tum nobis viſum eſt, & tu, & Archytas (ſi ipſe ad te venit) vti poſſitis. Ei nomen eſt, Helicõ: patria Cyzicus, Euxodi diſcipulus, cuius omni doctrina eleganter eſt inſtitutus: & vſus ei interceſſit cum quodam Socratis diſcipulorum & Polyxeno Bryſonis ſodali: quódque præterea ratum eſt, comis eſt & affabilis, neque malitioſus videtur: ſed leuis potiùs & candidus eſſe iudicaretur. Cautè autem & timidè loquor, quippe de homine ſententiam exponens non de perdito animali, ſed quod mutari corrigique facilè poſſit, niſi in quibuſdam, iiſque perpaucis. Præterea id veritus ac diffidens conſiderabam cum illo colloquens, ac de ciuibus ipſius percontabar, neque quiſquam mihi quicquã de eo mali retulit. Conſiderans autem tu quoque, & cautionem adhibeto. Accuratiſſiméque quoties tibi otium erit, ex illo diſcito, aliíſque in rebus philoſophator: ſin minus, doceto quempiam, vt per otium diſcens, melior & illuſtrior euadas: neque à me iuuari deſinas. Atque hæc quidem hactenus. Quòd autem per literas, à me vt Apollinem tibi mitterem, petiiſti, id feci: Leptines tibi eum deportandum ſuſcepit, factus eſt ab erudito & præſtanti artifice: cui nomen eſt Leochari. Erat apud eum opus aliud, ſanè egregium, vt videbatur. Quare illud ſum mercatus, vt vxori tuæ dono darem: quoniam mei curam ſuſcepit, & proſpera & aduerſa valetudine vtentis, quemadmodum vtroque noſtrûm dignum erat. Quare illi dabis: niſi quid aliud videtur. Mitto etiam pueris vini dulcis duodecim amphoras, mellis duas. Caricæ iam reconditæ fuerant, priuſquam veniremus. Myrtorum bacchæ conditæ putruerunt: ſed poſthac diligentius curabimus. De plantis Leptines tibi narrabit. Pecuniam autem ad iſtorum emptionem & tributum quoddam ciuitati pendendum à Leptine accepi: dicens quæ mihi & vtrique noſtrûm honeſtiſſima & dictu vera videbantur. Pecunia, quam in nauem Leucadiam inſumpſimus, ferè eſt minarum xvj. Eam igitur accepi, atque ea in iſtis ſum vſus, quæ ad vos miſi. Iam de tuis pecuniis quæ ſunt Athenis, itémque de meis quomodo ſe res habeat, audi. Ego tuis pecuniis quemadmodum olim tibi dixi vtar: quomodo aliorum amicorum facultatibus: vtor autem quàm

Πλάτων Διονυσίῳ τυράννῳ Συρακουσίων εὖ πράττειν.

Ἀρχή σοι τῆς ἐπιστολῆς ἔστω καὶ ἅμα ξύμβολον ὅτι παρ' ἐμοῦ ἐστι, τοὺς Λοκρεὺς ποτ' ἑστιῶν νεανίσκους πόρρω κατακείμενος ἀπ' ἐμοῦ, ἀνέστης παρ' ἐμὲ. καὶ φιλοφρονούμενος εἶπες εὖ τι ῥῆμα ἔχον, ὡς ἐμοί τε ἐδόκει καὶ τῷ παρακατακειμένῳ. ἦν δ' οὗτος, τῶν καλῶν τις. ὃς τότε εἶπεν, ἦ που πολλά σε ἐπιδιδώσεις εἰς σοφίαν ὠφελῇ ὑπὸ Πλάτωνος. σὺ δ' εἶπες, καὶ εἰς ἄλλα πολλά. ἐπεὶ καὶ ἀπ' αὐτῆς τῆς μεταπέμψεως, ὅτι μετεπεμψάμην αὐτὸν, δι' αὐτὸ τοῦτο εὐθὺς ὠφελήθην. τοῦτ' οὖν διασωστέον, ὅπως ἂν αὐξάνηται ἀεὶ ἡμῖν ἡ ἀπ' ἀλλήλων ὠφέλεια. καὶ ἐγὼ νῦν τοῦτ' αὐτὸ παρασκευάζων τῶν τε πυθαγορείων πέμπω σοι καὶ τῶν διαιρέσεων, καὶ ἄνδρα, ὥσπερ ἐδόκει ἡμῖν τότε, ᾧ γε σὺ καὶ ἀρχύτης, εἴπερ ἥκει παρὰ σὲ ἀρχύτης, χρῆσθαι δύναισθ' ἄν. ἔστι δὲ ὄνομα μὲν, ἑλίκων. τὸ γένος, ἐκ κυζίκου. μαθητὴς δὲ, εὐδόξου, καὶ περὶ πάντα τὰ ἐκείνου, πάνυ χαριέντως ἔχων. ἔτι δὲ καὶ τῶν ἰσοκράτους μαθητῶν τῳ ξυγγέγονε καὶ πολυξένῳ τῶν βρύσωνός τινι ἑταίρων. ὃ δὲ σπάνιον ἐπὶ τούτοις, οὔτε ἄχαρίς ἐστιν ἐντυχεῖν, οὔτε κακοήθει ἔοικεν. ἀλλὰ μᾶλλον ἐλαφρὸς καὶ εὐήθης δόξειεν ἂν εἶναι. δεδιὼς δὲ λέγω ταῦτα, ὅτι ὑπὲρ ἀνθρώπου δόξαν ἀποφαίνομαι, οὐ φαύλου ζώου, ἀλλ' εὐμεταβόλου, πλὴν πάνυ ὀλίγων τινῶν καὶ εἰς ὀλίγα. ἐπεὶ καὶ περὶ τοῦτον φοβούμενος καὶ ἀπιστῶν, ἐσκόπουν αὐτός τε ἐντυγχάνων. καὶ ἐπυνθανόμην τῶν πολιτῶν αὐτοῦ, καὶ οὐδεὶς οὐδὲν φλαῦρον ἔλεγε τὸν ἄνδρα. σκόπει δὲ καὶ αὐτὸς, καὶ εὐλαβοῦ. μάλιστα μὲν οὖν, ἂν καὶ ὁπωσποῦν σχολάζῃς, μάνθανε παρ' αὐτοῦ καὶ τἆλλα φιλοσόφει. εἰ δὲ μὴ, ἐκδίδαξαί τινα. ἵνα κατὰ σχολὴν μανθάνων, βελτίων γίγνῃ καὶ εὐδοξῇς, ὅπως τὸ δι' ἐμὲ ὠφελεῖσθαί σοι, μὴ ἀνίῃ. καὶ ταῦτα μὲν δὴ ταύτῃ. περὶ δὲ ὧν ἐπέστελλές μοι ἀποπέμπειν σοι, τὸν μὲν ἀπόλλω ἐποιησάμην τε. καὶ ἄγει σοι λεπτίνης, νέου καὶ ἀγαθοῦ δημιουργοῦ. ὄνομα δ' ἐστὶν αὐτῷ λεωχάρης. ἕτερον δὲ παρ' αὐτῷ ἔργον ἦν, πάνυ κομψὸν ὡς ἐδόκει. ἐπριάμην οὖν αὐτὸ βουλόμενός σου τῇ γυναικὶ δοῦναι, ὅτι μου ἐπεμελεῖτο καὶ ὑγιαίνοντος καὶ ἀσθενοῦντος, ἀξίως ἐμοῦ τε καὶ σοῦ. δὸς οὖν αὐτῇ, ἂν μή τι σοὶ ἄλλο δόξῃ. πέμπω δὲ καὶ οἴνου γλυκέος δώδεκα σταμνία τοῖς παισὶ, καὶ μέλιτος, δύο. ἰσχάδων δὲ, ὕστερον ἤλθομεν τῆς ἀποθέσεως. τὰ δὲ μύρτα ἀποτεθέντα κατεσάπη. ἀλλ' αὖθις βέλτιον ἐπιμελησόμεθα. περὶ δὲ φυτῶν, λεπτίνης σοι ἐρεῖ. ἀργύριον δ' εἰς ταῦτα ἕνεκά τε τούτων καὶ εἰσφορῶν τινων εἰς τὴν πόλιν, ἔλαβον παρὰ λεπτίνου. λέγων ἅ μοι ἐδόκει εὐσχημονέστατα ἡμῖν εἶναι καὶ ἀληθῆ λέγειν. ὅτι ἡμέτερον εἴη ὃ εἰς τὴν ναῦν ἀνηλώσαμεν τὴν λευκαδίαν, σχεδὸν ἑκκαίδεκα μναῖ. τοῦτ' οὖν ἔλαβον. καὶ λαβὼν αὐτός τε ἐχρησάμην καὶ ὑμῖν ταῦτα ἀπέπεμψα. τὸ δὲ μετὰ τοῦτο, περὶ χρημάτων ἄκουε ὥς σοι ἔχει, περί τε τὰ σὰ ἀθήνησι, καὶ περὶ τὰ ἐμά. ἐγὼ τοῖς σοῖς χρήμασιν ὥσπερ τότε σοι ἔλεγον χρήσομαι, καθάπερ τοῖς τῶν ἄλλων ἐπιτηδείων. χρῶμαι δὲ, ὡς

ἂν δύνωμαι ὀλιγίστοις, ὅσα ἀναγκαῖα ἢ δίκαια ἢ εὐσχήμονα ἐμοί τε δοκεῖ καὶ παρ' οὗ ἂν λαμβάνω. ἐμοὶ δὲ τοιόνδε νῦν ξυμβέβηκεν. εἰσί μοι ἀδελφιδῶν θυγατέρες τῶν ἀποθανουσῶν τότε, ὅτ' ἐγὼ οὐκ ἐστεφανούμην. σὺ δ' ἐκέλευες, τέτταρες. ἡ μὲν, νῦν ἐπίγαμος. ἡ δὲ ὀκταέτις. ἡ δὲ σμικρὸν πρὸς τρισὶν ἔτεσιν. ἡ δὲ οὔπω ἐνιαυσία. ταύτας ἐκδοτέον ἐμοί ἐστι καὶ τοῖς ἐμοῖς ἐπιτηδείοις, αἷς ἂν ἐγὼ ἐπιβιῶ. αἷς δ' ἂν μὴ, χαιρόντων. καὶ ὧν ἂν γένωνται οἱ πατέρες αὐτῶν ἐμοῦ πλουσιώτεροι οὐκ ἐκδοτέον. τὰ δὲ νῦν ἐγὼ αὐτῶν εὐπορώτερος. καὶ τὰς μητέρας δὲ αὐτῶν ἐγὼ ἐξέδωκα. καὶ μετ' ἄλλων καὶ μετὰ Δίωνος. ἡ μὲν οὖν Σπευσίππῳ γαμεῖται, ἀδελφῆς οὖσα αὐτῷ θυγάτηρ. δεῖ δὴ ταύτῃ οὐδὲν πλέον, ἢ τριάκοντα μνῶν. μέτριαι γὰρ αὗται ἡμῖν προῖκες. ἔτι δὲ ἐὰν ἡ μήτηρ τελευτήσῃ ἡ ἐμή, οὐδὲν ἂν πλείονος ἢ δέκα μνῶν δέοι ἂν, εἰς τὴν οἰκοδομίαν τοῦ τάφου. καὶ περὶ ταῦτα, τὰ μὲν ἐμὰ ἀναγκαῖα σχεδόν τι ἐν τῷ νῦν ταῦτά ἐστιν. ἐὰν δέ τι ἄλλο γίγνηται ἴδιον ἢ δημόσιον ἀνάλωμα διὰ τὴν παρὰ σὲ ἄφιξιν, ὥσπερ τότε ἔλεγον δεῖ ποιεῖν, ἐμὲ μὲν διαμάχεσθαι, ὅπως ὡς ὀλίγιστον γίγνηται τὸ ἀνάλωμα. ὃ δ' ἂν μὴ δύνωμαι, σὸν εἶναι τὴν δαπάνην. τὸ δὴ μετὰ ταῦτα λέγω περὶ τῶν σῶν αὖ χρημάτων τῶν Ἀθήνησι τῆς ἀναλώσεως, ὅτι πρῶτον μὲν ἐάν τι δέῃ ἀναλίσκειν εἰς χορηγίαν ἤ τι τοιοῦτον, οὐκ ἔστι σοι ξένος οὐδεὶς ὅστις δώσει ὡς ᾠόμεθα. ἔπειτα καὶ ἄν τι σοι αὐτῷ διαφέρῃ μέγα, ὥστε ἀναλωθὲν μὲν ἤδη ὀνῆσαι. μὴ ἀναλωθὲν δέ, ἀλλ' ἐγχρονισθὲν ἕως ἄν τις παρὰ σοῦ ἔλθῃ, βλάψαι πρὸς τῷ χαλεπῷ τοιοῦτόν σοι ἐστὶ καὶ αἰσχρόν. ἐγὼ γὰρ δὴ ταῦτά γε ἐξήτασα, παρ' Ἀνδρομήδη τὸν Αἰγινήτην πέμψας Ἔραστον, παρ' οὗ ἐκέλευες τοῦ ὑμετέρου ξένου εἴ τι δεοίμην λαμβάνειν, βουλόμενος καὶ ἄλλα μείζονα ἃ ἐπέστελλες πέμπειν. ὁ δὲ, εἶπεν εἰκότα καὶ ἀνθρώπινα, ὅτι καὶ πρότερον ἀναλώσας τῷ πατρί σου μόλις κομίσαιτο. καὶ νῦν, σμικρὰ μὲν δοίη ἄν. πλείω δὲ οὔ. οὕτω δὴ παρὰ Λεπτίνου ἔλαβον. καὶ τοῦτό γε, ἄξιον ἐπαινέσαι Λεπτίνην οὐχ ὅτι ἔδωκεν, ἀλλ' ὅτι προθύμως. καὶ τὰ ἄλλα περὶ σὲ καὶ λέγων καὶ πράττων, ὅτι οἷός τ' ἦν ἐπιτήδειος, φανερὸς ἦν. χρὴ γὰρ καὶ τὰ τοιαῦτα καὶ τἀναντία τούτων, ἐμὲ ἀπαγγέλλειν, ὁποῖός τις ἂν ἕκαστος ἐμοὶ φαίνηται περὶ σέ. τὸ δ' οὖν περὶ τῶν χρημάτων ἐγώ σοι παρρησιάσομαι. δίκαιον γὰρ καὶ ἅμα ἔμπειρος ἔχων, τῶν παρὰ σοὶ λέγοιμ' ἄν, οἱ προσαγγέλλοντες ἑκάστοτέ σοι. ὅτι ἂν οἴωνται ἀνάλωμα εἰσαγγέλλειν οὐκ ἐθέλουσι προσαγγέλλειν, ὡς δὴ ἀπεχθησόμενοι. ἔθιζε οὖν αὐτοὺς καὶ ἀνάγκαζε φράζειν, καὶ ταῦτα καὶ τὰ ἄλλα. σὲ γὰρ δεῖ εἰδέναι τε τὰ πάντα κατὰ δύναμιν, καὶ κριτὴν εἶναι καὶ μὴ φεύγειν τὸ εἰδέναι. πάντων γὰρ ἄριστόν σοι ἔσται πρὸς τὴν ἀρχήν. τὰ γὰρ ἀναλώματα ὀρθῶς ἀναλισκόμενα καὶ ὀρθῶς ἀποδιδόμενα, πρός τε τἆλλα καὶ πρὸς αὐτὴν τὴν τῶν χρημάτων κτῆσιν. καὶ σὺ δὴ φῂς ἀγαθὸν εἶναι, καὶ φήσεις. μὴ οὖν διαβαλλόντων πρὸς τοὺς ἀνθρώπους οἱ κήδεσθαί σου φάσκοντες. τοῦτο γὰρ οὔτε ἀγαθὸν, οὔτε καλὸν πρὸς δόξαν σοι δοκεῖν ξύμβολον εἶναι. τὰ μετὰ ταῦτα, περὶ Δίωνος λέγοιμ' ἄν. τὰ μὲν ἄλλ' οὔπω ἔχω

paucissimis possum: in iis scilicet, quæ necessaria, iuſta & honeſta videntur, & mihi & ei a quo accipio. cuiuſmodi mihi quiddam hoc tempore accidit. Sũt mihi fratris filiarum quæ tum mortuæ ſunt, cùm ego, te tamen iubente, non ſum coronatus filiæ quatuor prima eſt nubilis, altera annorum octo, tertia paulò amplius trium, quarta nondum eſt annicula. Iis autem quibus ego nubentibus ſuperſtes ero, tũ à me tum à meis amicis dotes curandæ ſunt: quibus non ero, eæ valeant. Si patres earum ditiores me eſſent, dos curanda non eſſet. Nunc ipſis ſum locupletior: & earum matres ego tum ab aliis, tum à Dione adiutus collocaui nuptum. Vna igitur Speuſippo traditur, eius ex ſorore neptis. Opus eſt autem huic non amplius xxx. minis, honeſtæ ſiquidẽ & conuenientes nobis ſunt eiuſmodi dotes. Deinde ſi mater mea moriatur, ad monumentum faciendum nõ opus fuerit amplius decem minis. Atque hæc quidem mihi hoc tempore ſunt neceſſaria. Quòd ſi quis alius fiat ſumptus aut priuatim aut publice ob meam ad te profectionem, ſicuti aliquando faciẽdum dicebam: meum erit contendere & pugnare, vt ſumptus fiat perexiguus, quod demere non potero, tibi impenſum feretur. Sed deinceps cõmemoremus de impenſis Athenienſis tuæ pecuniæ. Primùm ſi quid mihi expediendũ fuerit in Choragium, aut tale quippiam, non eſt noſtra quidẽ ſententia, hoſpes vllus qui tibi eam reddat. Permagni autem tua refert, ſi quod impenſum eſt è re tua ſit. Quod autẽ non impenſum, ſed vſque eò dilatum, dum abs te aliquis venerit, tibi damnum afferat. cùm præterquam quod difficile eſt, tibi etiam turpe ſit futurũ. Ego enim hæc tentaui apud Andromedem, eóque Æginetam Eraſtum miſi, à quo iuſſeras, vt pote ab hoſpite veſtro, ſi quid opus eſſet, ſumerẽ: cùm maiora de quibus ſcripſeras cuperem mittere. Ille verò quod æquum & minimè ab homine alienum eſſet, reſpondit, ſe quæ anteà patris nomine impendiſſet, ægrè recepiſſe: ac nunc pauca quidem nõ recuſaturũ, multa verò maximè. Quapropter à Leptine ſumpſi qui laude dignus eſt, nõ tantum quia dedit, ſed quia lubenter, & promptè dedit, cæteriſq; in rebus tum dictis tũ factis tibi amicus ac beneuolus his contraria me tibi exponere oportet, quali quiſq; appareat. Hæc enim, atq; eſſe in te animo videatur. Quare de pecuniis tibi liberè id quod res eſt aperiã: æquũ eſt n., & ſimul domeſticos tuos expertus, de iis quoq; cõmemorabo. Qui tibi aſſiduè pollicẽtur ſe de iis ſumptibus, quos faciẽdos arbitrãtur, te admonituros, admonere tamẽ nolũt, ne in offenſionẽ tuam incurrant. Itaq; illos tu aſſuefacias oportet & cogas tũ hæc tũ alia tibi exponere. Debes. n. tu quoad poteris, omnia noſſe, iudéxq; eorum eſſe, neque vllius rei notitiam fugere. Hæc enim eſt ad principatũ tuendum conſeruandúmque vel commodiſſima ratio. Si quidem ſi ſumptus rectè facies, ſi nomina rectè diſſolueris, cùm ad alia omnia, tum ad opũ poſſeſſionem conſeruationémq;. maximam iure dices eſſe opportunitatem. Prouidebis etiam ne te apud homines illi calumnientur, qui ſe tui ſtudioſos eſſe iactant. Hoc enim ad tuam exiſtimationem minimè conducere videtur. Age de Dione cõmemoremus, cætera ſanè nequeo adhuc

exponere,

exponere, niſi priùs tuæ, quas dicis, literæ ad me allatæ ſint. De iis autẽ de quibus me apud illum mentionem facere nolebas, neque mentionem feci, neque commemoraui: Exploraui tamen grauiter-ne, an facilè, ſi ea fierent, toleraret: ac mihi viſus eſt nõ leuiter ſtomachaturus, ſi ea confierent. Cæterũ mihi Dio viſus eſt tum dictis tum factis æquo in te eſſe animo. Cratino Timothei fratri, ſodali meo, thoracem dabimus militarem ornatiſſimum, ex eo genere quo pedites vti ſolent. Cebetis filiabus tres tunicas, non pretioſas, vt ſunt Harmogineæ, ſed vt Siculæ lineæ. Cebetis autẽ nomẽ tibi maximè notum eſt. Extat enim in Dialogis Socraticis, & in Dialogo de animo diſputat ſimul cum Simmia aduerſus Socratẽ vir omnibus nobis & familiaris, & beneuolus. Notam autem epiſtolarum, quas aut ſeriò aut non ſeriò ſcribo, etſi opinor te meminiſſe, tamen attendito diligenter, animúmque aduertito. Complures enim iubent me ſcribere quos nõ facilè poſſum apertè repellere. Setiæ igitur epiſtolæ initium eſt DEVS oon ſeriæ DII. Legati quoque à me petebant, vt tibi ſcriberem: neque iniuria. Admodum enim libenter te vbique ac ore dilaudãt: in his non minimum Philager, qui per tempus ex manus dolore labotabat: item Philædes, à Dario rege magno veniens de te verba faciebat: ac niſi valdè prolixæ & verboſæ epiſtolæ opus eſſet, quæ ille dicebat, perſcriberem. Nunc ex Leptine percontare, an thoracẽ aut aliud quidpiam eorum de quibus ſcribo, mittas: ſi tamen ei tu velis committere ſin minus, Terillo committito. Ex iis qui perpetuò nauigant, nobis eſt amicus & cùm aliis in rebus, tum in Philoſophia minimè ineptus. Tiſoniſque gener eſt eius qui quo tempore nauigabamus, caneſcebat. Vale, & philoſophare, alióſque adoleſcentes excita atque adhortare, meiſque verbis tuos in pilæ ludo colluſores ſaluta. Iube verò cùm aliis, tum Ariſtocrito ſiquid à me aut verbis aut literis tibi nuntietur, det operam, vt quamprimum ad te perferatur: tibíque in memoriam reuocet ea, quæ tibi ſcripta erunt, vt ea curæ habeas. Nunc verò da operam vt Leptini ſua pecunia primo quoque tempore perſoluatur: vt alij in eũ reſpicientes, promptiùs & alacriùs nobis inſeruiãt. Iatrocles à me vnà cum Myronida libertate donatus, nauigat nunc cum iis qui à me mittuntur. Huic dabis ſtipendium, vtpote animum erga te beneuolum gerenti, eiúſque opera, vbi voles, vtêris. & epiſtolam aut ipſam, aut ſi ipſius exemplar ſeruatur, tute cognoſce.

Finis epiſtolarum Platonis.

λέγειν, πρὶν ἂν παρὰ σοῦ ἔλθωσιν αἱ ἐπιστολαὶ ὥσπερ ἔφης. περὶ μέντοι ἐκείνων ὧν οὐκ εἴας μεμνῆσθαι πρὸς αὐτὸν, οὔτε ἐμνήσθην, οὔτε διελέχθην. ἐξεπειρώμην δὲ, εἴτε χαλεπῶς εἴτε ῥᾳδίως οἴσει γιγνομένων. καί μοι ἔδοξεν οὐκ ἠρέμα ἂν ἄχθεσθαι εἰ γίγνοιτο. τὰ δὲ ἄλλα περὶ σὲ καὶ ἔργῳ καὶ λόγῳ μέτριός μοι δοκεῖ εἶναι Δίων. Κρατίνῳ, τῷ Τιμοθέου μὲν ἀδελφῷ, ἐμῷ δ' ἑταίρῳ, θώρακα δωρησώμεθα ὁπλιτικὸν τῶν μάλα καλῶν τῶν πεζῶν. καὶ ταῖς Κέβητος θυγατράσι, χιτώνια τρία ἑπτάπηχη μὴ τῶν πολυτελῶν τῶν ἀμοργίνων, ἀλλὰ τῶν Σικελικῶν τῶν λινῶν. ἐπιεικῶς δὲ γιγνώσκεις τοὔνομα Κέβητος· γεγραμμένος γάρ ἐστιν ἐν τοῖς Σωκρατείοις λόγοις, μετὰ Σιμμίου Σωκράτει διαλεγόμενος ἐν τῷ περὶ ψυχῆς λόγῳ. ἀνὴρ, πᾶσιν ἡμῖν οἰκεῖός τε καὶ εὔνους. περὶ δὲ δὴ τοῦ ξυμβόλου τοῦ περὶ τὰς ἐπιστολὰς, ὅσας τε ἂν ἐπιστέλλω σπουδῇ καὶ ὅσας ἂν μὴ, οἶμαι μέν σε μεμνῆσθαι. ὅμως δ' ἐννόει καὶ πάνυ πρόσεχε τὸν νοῦν. πολλοὶ γὰρ οἱ κελεύοντες γράφειν, οὓς οὐ ῥᾴδιον φανερῶς διωθεῖσθαι. τῆς μὲν γὰρ σπουδαίας ἐπιστολῆς, θεὸς ἄρχει. θεοὶ δὲ τῆς ἧττον. οἱ πρέσβεις, καὶ ἐδέοντο ἐπιστέλλειν σοι, πάνυ γὰρ προθύμως σὲ πανταχοῦ καὶ ἐμὲ ἐγκωμιάζουσι, καὶ οὐχ ἥκιστα φίλαγρος, ὃς τότε τὴν χεῖρα ἠσθένει. καὶ φιλαίδης παρὰ βασιλέως ἥκων τοῦ μεγάλου, ἔλεγε περὶ σοῦ· εἰ δὲ μὴ πάνυ μακρᾶς ἐπιστολῆς ἦν, ἔγραψα ἂν ἃ ἔλεγε. νῦν δὲ λεπτίνου, πυνθάνου. ἂν τὸν θώρακα ἢ ἄλλο τι ὧν ἐπιστέλλω πέμπῃς, ἂν μὲν αὐτὸς τῷ βούλῃ. εἰ δὲ μὴ, τηρίλλῳ δός· ἔστι δὲ τῶν αἰεὶ πλεόντων ἡμέτερος ἐπιτήδειος, καὶ τὰ ἄλλα καὶ περὶ φιλοσοφίαν χαρίεις. τίσωνος δ' ἐστὶ κηδεστής. ὃς τότε ὅθ' ἡμεῖς ἀπεπλέομεν, ἐπολιανόμει. ἔρρωσο. καὶ φιλοσόφει. καὶ τοὺς ἄλλους προτρέπου τοὺς νεωτέρους, καὶ τοὺς συσφαιριστὰς ἀσπάζου ὑπὲρ ἐμοῦ· καὶ πρόσταττε τοῖς τε ἄλλοις, καὶ Ἀριστοκρίτῳ, ἐάν τις παρ' ἐμοῦ λόγος, ἢ ἐπιστολὴ παρὰ σὲ ἴῃ, ἐπιμελεῖσθαι ὅπως ὡς τάχιστα σὺ αἴσθῃ· καὶ ὑπομιμνήσκειν σε, ἵνα ἐπιμελῇ τῶν ἐπισταλέντων. καὶ νῦν λεπτίνῃ τῆς ἀποδόσεως τοῦ ἀργυρίου μὴ ἀμελήσῃς, ἀλλ' ὡς τάχιστα ἀπόδος· ἵνα καὶ οἱ ἄλλοι πρὸς τοῦτον ὁρῶντες, προθυμότεροι ὦσιν ἡμῖν ὑπηρετεῖν. ἰατροκλῆς ὁ μετὰ μυρωνίδου τότε ἐλεύθερος ἀφεθεὶς ὑπ' ἐμοῦ, πλεῖ νῦν μετὰ τῶν πεμπομένων παρ' ἐμοῦ. ἔμμισθον οὖν που αὐτὸν κατάστησον, ὡς ὄντα σοι εὔνουν. καὶ ἂν τι βούλῃ αὐτῷ χρῶ· καὶ τὴν ἐπιστολὴν ἢ αὐτὴν ἢ εἰ ὑπόμνημα αὐτῆς σώζεται, καὶ αὐτὸς ἴσθι.

Τῶν Πλάτωνος ἐπιστολῶν τέλος.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΕΠΙΣΤΟΛΑΙ.

ARISTOTELIS EPISTOLAE.

Φιλίππῳ.

Οἱ τὰς ἡγεμονίας ἀναλαμβάνοντες πρὸς εὐεργεσίαν τῶν ἀρχομένων οὐχ ὑπὸ τῆς τύχης ἀλλ' οὐδ' ἀπὸ τῆς φύσεως προηγμένοι τῆς ἀρχῆς ἐμπιστεύονται, αἳ μεταπίπτειν εἰώθασιν. ἀλλ' ἐπὶ ταῖς ἀρεταῖς μέγα φρονοῦσιν, εὖ καὶ σφόδρα σοφῶς πολιτευόμενοι. οὐδὲν γὰρ τῶν ἐν ἀνθρώποις βέβαιον καὶ ἰσχυρὸν οὐδ' ὃ μέχρι τῆς ἑσπέρας ἥλιος βραχείᾳ ῥοπῇ συναλλοιεῖ καὶ μεταφέρει. Ποικίλλουσα τοὺς βίους ἅπαντας, καθάπερ τραγῳδίας ὑποκείσθαι τοῖς ἡμετέροις κακοῖς ἡ φύσις μετασκευάζεται· εἴπερ μὴ διαψευδόμεθα τῆς ἀληθείας· ὅτι τὸν αὐτὸν τρόπον ὥσπερ τῶν ἐκ γῆς φυομένων ἕκαστον, καὶ τοὺς ἄνδρας ἀνθεῖν ποτε συμβαίνει. καὶ τὰς ἀκμὰς ἐν χρόνοις τισὶν ἀναλαμβανομένους πολὺ τῶν ἄλλων διαφέρειν. διὸ πειρῶ μήτε τῆς Ἑλλάδος τυραννικώτερον προΐστασθαι, μήτε τοῖς λήμμασι σοβαρώτερον. τὸ μὲν γὰρ περιπετείας ἐστὶ σημεῖον, τὸ δὲ ὁμολογουμένης ἀβουλείας τεκμήριον. δεῖ γὰρ τοὺς νοῦν ἔχοντας τῶν δυναστευόντων μὴ διὰ τὰς ἀρχὰς ἀλλὰ διὰ τῶν ἀρχῶν θαυμάζεσθαι. ἵνα τῆς τύχης μεταπεσούσης τῶν αὐτῶν ἐγκωμίων ἀξιῶνται. τὰ δ' ἄλλα εὖ πρᾶττε· ψυχὴν πρὸς φιλοσοφίαν, σῶμα δὲ πρὸς ὑγίειαν ἄγων καὶ ἐπιμελούμενος.

Ἀλεξάνδρῳ.

Ἀπορῶ τίνων ἢ ποίων ἀρχὴν μὲν λάβοι πρὸς σέ. ἐφ' ἃ γὰρ ἂν ἐπισκοπῶν ἐπιβάλλω τῇ διανοίᾳ, πάντα μοι φαίνεται μεγάλα καὶ θαυμαστά. καὶ λήθης οὐδὲν ἄξιον ὁρῶ, μνήμης δὲ οἰκεῖα καὶ προτρέψεως, ὧν οὐδὲν οὐδεὶς ἀμαυρώσει χρόνος. αἱ γὰρ καλαὶ τῶν διδασκάλων παραινέσεις καὶ προτρέψεις θεατὴν ἔχουσι τὸν αἰῶνα. διὸ πειρῶ τὴν ἀρχὴν μὴ εἰς ὕβριν, ἀλλ' εἰς εὐεργεσίαν καταστήσῃς πρὸς ἀρχὴν ἧς οὐδὲν μεῖζον τῶν ἐν βίῳ ὑπάρχειν πέφυκε. διὸ καὶ τὸ θνητὸν τῆς φύσεως πολλάκις ὑπὸ τοῦ χρεὼν διαλυόμενον ἄφθαρτον διὰ τὸ μέγεθος τῶν ἔργων κέκτηται τὴν μνήμην. τούτων οὖν τὴν ἔννοιαν ἔχε. οὐ γὰρ ἀλογίστως ὕβρις ὡς ἔνιοι. οἱ ἀτόπως καὶ τὰς γνώμας διετέθησαν. σοὶ καὶ γένος ἔντιμον. καὶ βασιλεία πατρῷος καὶ παιδεία βέβαιος. καὶ δόξα περίβλεπτος. καὶ ὅσον ταῖς ἀφορμαῖς τῆς τύχης διαφέρεις, τοσοῦτον καὶ ταῖς ἀρεταῖς τῶν καλῶν προτείνειν σε δεῖ. τὰ δ' ἄλλα πρᾶττε μὲν τὰ ξυμφέροντα ἐπιτέλει δὲ τὰ δόξαντα.

Philippo.

QVi imperia ad ſubditorum beneficium atque vtilitatem referunt, nō à fortuna neque natura adducūtur, vt principatibus confidant, quorū ſolet eſſe mutatio, atque conuerſio, ſed virtutibus ſeſe efferūt, & hi rectè quidē atq; ſapienter omnino dignitates gerūt. Nihil enim eſt in hominū vita ſolidū aut cōſtans, aut quòd nō vſque ad veſperā Solis curſus acerba & aſpera perturbatione commutet, & in aliū locū trāſferat. Fortuna cuncta vitę genera, quaſi tragedias actione ita noſtris calamitatibus & malis variat, atq; tollit, ſiquidē nō aberramus à veritate, quòd alio modo quēadmodū è terra naſcētia, ſic viros aliquādo florere cōtingit, & robore ac vigore certis temporibus acquiſito, lōgè cæteris præſtare. Quāobrē annittere, vt neq; crudelius in imperio Græciæ te geras, neq; ineptiis validius. Alterū enim petulātiæ ſignū eſt, alterū manifeſtæ temeritatis argumentū. Sapientū enim principū hoc eſt officiū, vt nō ab imperiis, ſed per imperia ſibi nomen & admirationē pariant, vt ſi fortuna ſit immutata, nihilominus iiſdem laudibus digni habeantur. Cæterùm vale quā rectiſſimè atq; mentem quidē ad ſapientiæ diſciplinam, corpus verò ad valetudinem te uoca & excerce.

Alexandro.

DVbium eſt mihi, quæ vel qualia primùm ad te ſcribam. Adeò quæ animo & cogitatione voluo, cuncta mihi videntur magna & admiranda, nihilque video quod ſit obliuione dignū, memoriæ verò, & adhortationi familiaria, quorū nihil vllum tēpus obſcurabit vnquā. Nā honeſtæ præceptorum admonitiones & adhortationes, ſpectatorem habēt vniuerſum ſeculorū ordinē. Quāobrē in hoc omnibus viribus incūbe, vt imperio nō ad iniuriā, ſed ad benemerendū vtaris, vt retineas imperiū, quo nihil maius in hominū vita fieri poteſt. Proinde natura quæ mortalis eſt, cū ſæpe fato ſuccūbat & intereat, tamē propter operū magnitudinē, æternā memoriā poſſidet. Hæc igitur tecū perpēde. Nō enim temeritas in tuis rebus ineſt vt aliquorū, quorū etiā in animis flagitiū & ſcelus eſt. Tibi gen' clariſſimū & regnum paternū, diſciplina firma & gloria peruagata, & quantùm fortunæ commodis excellis, tātùm virtutibus etiam inter bonos te præſtare conuenit. Ceterùm fac quæ ſint vtilia, quæ verò ſtatuiſti perfice.

Philippo.

MVlti philoſophi beneficiis diuinū honorē tribuerūt. Nā ſi vera fateri volumus beneficiorū collatiōe & gratiarū relatiōe vita mortaliū cōtinet,

Φιλίππῳ.

Οἱ πολλοὶ τῶν φιλοσόφων τὴν εὐεργεσίαν θεοῖς ἰσότιμον παρεσκεύασαν. ὡς γὰρ ἁπλῶς εἰπεῖν χάριτος ἀμοιβὴ καὶ δόσις συνέχει τοὺς τῶν ἀνθρώπων βίους,

ſic vt alij dent, alij accipiant, alij ruſſus rependant. Proinde rectum & iuſtum eſt, omnibus miſeris & oppreſſis miſericordiam præſtare. Nam miſeratio placidi & mitis animi ſignum eſt, vt Moroſitas & aſperitas imperiti. Turpe eſt enim & indignum virtutem in miſeriis derelictam pati. Quam ob cauſſam etiam laudo diſcipulum noſtrum Theophraſtum, qui dicit in beneficium non cadere pœnitentiam & fructum egregium adferre, laudationē eorum de quibus benemeriti ſumus. Quare conuenit, vt ſapientes homines id in multos conferant, puténtque citra laudem, lucrum quoddam hoc ipſis futurum, in rerum commutationibus, & ſi non omnes at vnum aliquem ſaltem, pro beneficiis gratiam relaturum. Quamobrem enitere, vt promptus ſis in præſtandis officiis & iram animi refrenes. Illud enim regium eſt & manſuetum. Hoc verò barbarum & odioſum. Cæterùm, vt tibi videbitur, facias & vtile conſilium ne negligas.

Eidem.

QVi reges plurimùm ſapientia pollent, & amplitudine ſidera contingunt, bene mereri ſtudent: neque tantùm ad præſens tempus conſilia factáque ſua accommodant, ſed cùm inconſtantiam fortunæ videāt, in vtrumque vſum beneficia deponunt, cùm vt ſecundis ſuis rebus, in honore ſint & precio. (Honor enim proprium quiddam eſt virtutis) tum vt in cladibus auxilium habeant paratum. Nam & calamitates honoribus neceſſitatē præferūt. Certiſſima enim amoris & beneuolentiæ probatio, tempus fortunæ. Quoniam non verba, ſed facta recta deſiderat. Nam beneuolorum aſpectus, quemadmodum in mari periclitāti terra apparet. Omnis enim vt videtur in derelicto cadens fortuna, ſcopus veriſſimus eſt poſitus his, qui vel oppugnare, vel iniuriam inferre, vel calumniari volunt. Solus verò bonorum ſplendor, fortunæ flexibilitatem non abnegat, ſed omne ferens moderatè, quicquid accidit ex his quæ ſecundùm Platonem meliora ſunt, optimè conſtitutum animum gerit. Quamobrem rerum celeritatem metue, & caſuum circulum in animo habe ſortémque vitæ benè perpende. Multa enim caſus adfert vitæ, & inclinationes pro ſuo arbitrio facit. Ignorantibus pœnitendi locum cōcede. Beneuolis prōptè benefacito. Hæc enim ſi feceris, & non ſemel tantū, ſed per vniuerſam vitā, ſemper obſeruaris, tutiſſimum & ſine periculo tenebis imperij palatium, pro magnitudine rei, pauca, Quantum ad te, omnia ferè dicta ſunt.

Theophraſto.

SVbita iniuria ſed beneficio multò vtilior eſt. Nā illa momētaneā habet, & memoriā & læſionē. Hoc inueteraſcit vt cū ſit collocatū, indignationē ſempiternā moleſtiā afferat. Quāquā ſæpe dono cūctātes tranquillitatē inuenimus alibi atq; partiti turbinū fluctuationē & cogitationis mare vidimus. Propterea dico ſocietatē imprimis oportere faciendis iniuriis non delectari, neq; leuibus cauſſis ad inferendam impelli, ſin minùs, cùm hoc inuitò cōmiſerit, repentè deponere inimicitias. Nihil enim iniuſtè facere ſuperat fortaſſis hominum vires. Eum verò qui errarit cōſeruare cōtrā intētā accuſationē,

τῶν μὲν διδόντων, τῶν δὲ λαμβανόντων. τῶν δ' αὖ πάλιν ἀνταποδιδόντων· διὸ καλὸν καὶ δίκαιόν ἐστι πάντας μὲν τοὺς ἀτυχοῦντας ἐλεεῖν· οἶκτος μὲν γὰρ ἡμέρου ψυχῆς ἐστι σημεῖον, χαλεπότης δὲ ἀπαιδεύτου. αἰσχρὸν γὰρ καὶ χεῖτλον ἀρετὴν ἀτυχοῦσαν περιορᾷν· ὅθεν ἐπαινῶ καὶ τὸν ἡμέτερον γνώριμον Θεόφραστον λέγοντα τὴν χάριν ἀμεταμέλητον εἶναι, καὶ καλὸν καρπὸν φέρειν, τὸν παρὰ τῶν εὖ παθόντων ἔπαινον, διόπερ δεῖ τοὺς νοῦν ἔχοντας τῶν ἀνθρώπων εἰς πολλοὺς αὐτὴν καταπίπτεσθαι νομίζοντας χωρὶς τῆς εὐφημίας, ἔρανόν τινα τοῦτον αὐτοῖς ὑπάρξειν ἐν ταῖς μεταβολαῖς τῶν πραγμάτων, καὶ εἰ μὴ πάντας, ἀλλ' ἕνα τινὰ τῶν εὐεργετημάτων ἀποδώσειν τὴν χάριν. ὅθεν πειρῶ πρόθυμος μὲν εἶναι ταῖς εὐεργεσίαις. ἐπίσχες δὲ τοῖς θυμοῖς. τὸ μὲν γὰρ βασιλικόν τι καὶ ἥμερον· τὸ δὲ βάρβαρόν τι καὶ συνετόν. τὰ δ' ἄλλα καθὼς ἂν δοκιμάζῃς πρᾶττε μὴ παρεωρῶν τὰς λυσιτελεῖς ψήφους.

Τῷ αὐτῷ.

ΟΙ διαφέροντες τῶν βασιλέων ἐπὶ φρονήσει, καὶ ταῖς ὑπεροχαῖς τῶν ἄστρων ἐφαψάμενοι, εὐεργετοῦσιν, οὐδὲ πρὸς τοὺς αὐτοὺς πλεῖστον ὁμιλοῦσι καιροῖς. ἀλλὰ ἐνθεωροῦντες τὸ τῆς τύχης ἄστατον, θησαυρίζουσι τὴν χάριν πρὸς ἑκάτερα. ἐν μὲν ταῖς εὐπραγίαις τιμὰς βουλόμενοι μεταλαμβάνειν. τιμὴ γὰρ οἰκεῖον ἀρετῆς ἐστιν. ἐν δὲ τοῖς συμπτώμασι βοηθείας· αἱ γὰρ συμφοραὶ τἀναγκαῖα κρίνουσι τῶν καλῶν προτέρων. σαφέστατος γὰρ εὐνοίας ἔλεγχος ὁ τῆς τύχης καιρός. ἀπαιτεῖ γὰρ οὐ λόγους, ἀλλὰ πράξεις δεόντως· ἡ γὰρ τῶν εὐνοούντων ὄψις ὥσπερ ἐν πελάγει χειμαζομένῳ παρεφάνη γῆ. πᾶσα γὰρ ὡς ἔοικεν ἐν ἐρήμῳ πεσοῦσα τύχη, σκοπὸς ἀληθὴς ἔκκειται τοῖς πολεμεῖν ἢ ἀδικεῖν, ἢ συκοφαντεῖν αἱρουμένοις. μόνη δ' ἡ τῶν σπουδαίων διαυγὴ τὸ τῆς τύχης εὐκίνητον οὐκ ἀπαρνεῖται. φέρουσα δ' εὖ λέγεις πᾶν τὸ προσπίπτον τῶν κατὰ Πλάτωνα κρειττόνων εὖ διακεῖσθαι. διὸ καὶ τὴν ταχύτητα τῶν πραγμάτων εὐλαβοῦ. καὶ τὸν κύκλον τῆς μεταπτώσεως ἡγοῦ. καὶ τὰς ἐν τῷ ζῆν ψήφους λογίζου· πολλὰ γὰρ ἡ ταὐτομάτου φορὰ κομίζει τῷ βίῳ καὶ ῥοπὰς αὐτονόμους ποιεῖ· τοῖς μὲν ἀγνοοῦσι μετάνοιαν δίδου. τοῖς δ' εὐνοοῦσι τὰς χάριτας προχείρους νέμε. ταῦτα γὰρ πράττων οὐχ ἅπαξ ἀλλὰ διόλου συντηρῶν, ἀσφαλέστατα καὶ ἀκίνδυνα τὰ τῆς ἡγεμονίας ἕξεις μέλαθρα. ὡς μὲν ὑπὲρ μεγάλων ὀλίγα· ὡς δὲ πρὸς σέ, πάντα σχεδὸν εἴρηται.

Θεοφράστῳ.

Η Πρόχειρος ἀδικία τῆς πολυχρονίου χάριτος λυσιτελέστερον πέφυκεν ὑπάρχειν. ἡ μὲν γὰρ ὀλιγοχρόνιον ἔχει τὴν μνήμην καὶ τὴν βλάβην. ἡ δὲ γηράσκει ὡς ἂν πεπηγμένη τὴν δυσμένειαν ἔργον ἀοίδιμον κατασκευάζειν. καίτοι πολλάκις δώρῳ λογισάμενοι γαληνισμὸν εὑρομένη τι. καὶ μερίσαντες ζημίας σάλον καὶ διανοίας εἴδομεν πορθμόν· διό φημι δεῖν τὴν ἑταιρείαν μάλιστα μὲν μὴ ἀδικεῖν ἀδικοῦσι καὶ εὐλογον ἔχειν πρόφασιν. εἰ δὲ μή γε ἀκουσίως τοῦτο πράξασαν, θᾶττον διαλύεσθαι τὴν ἔχθραν. τὸ γὰρ μηδὲν ἀδικεῖν ἴσως ὑπὲρ ἄνθρωπον. τὸ δὲ πλανηθέντα διασώσασθαι τὴν ἐπιφέρουσαν μέμψιν,

καλῶς καὶ σφόδρα διαπιθούσης κρίσεως ἴδιόν ἐστι. τὰ δ' ἄλλα ἔρρωσο.

Φίλιππος Ὀλυμπιάδι.

Ἀποδέχομαι τὴν σὴν φρόνησιν καὶ τὴν πρόνοιαν τοῦ συμφέροντος. ὅτι τὸ κατὰ φύσιν συγγενὲς, οὐ φύσει φιλόστοργος, ἀλλ' ἀρετῇ κρίνασα δοκιμάζεις. οὕτω γὰρ οἶμαι καὶ ἡμᾶς ἀφροντιστοῦντας τοῦ καλοῦ, ἀναγκάσεις καὶ τὸν τῶν καλῶν ἀναλαμβάνειν ζῆλον. θησαύρισμα δ' ἐστὶν ἀρετῆς τερπνόν τι κομιζούσης τοῦ βίου διόλου, μὴ τοῦ γένους χαρίζεσθαι τὸ φιλόστοργον ἀλλὰ τοῦ τοῦ γένους ἀξιώματι μεταδιδόναι τῆς φιλανθρωπίας. ὁ μὲν γὰρ πολλάκις κατὰ φύσιν ὑπάρχων, εὐθὺς καὶ τὴν φύσιν τῶν γεγεννηκότων οὖσαν σπουδαίαν ὑβρίζειν εἴωθεν. ὁ δὲ μηδεμιᾶς συγγενείας κοινωνήσας ἐνίοτε διὰ τὸν παρὰ φύσιν κόσμον τὴν φύσιν ηὔξησεν. μηδὲν οὖν ἀνάξιον τοῦ γένους καὶ τῆς πρὸς ἡμᾶς εὐνοίας φρόνει. ἔτι δὲ καὶ τῆς περὶ βίον κοσμιότητος ἀντέχου. καὶ πρᾶττε πάντα Φιλίππου μὲν ἄξια, Ὀλυμπιάδος δὲ οὐκ ἀλλότρια. ὁ γὰρ τῆς διανοίας ὄγκος, πρὸς τὸ μὴ βλέπειν τι τῶν ἀναγκαίων, ὄγκος μὲν κακῶν. φθόνος δὲ ἀγαθῶν. ἄνευ γὰρ νοῦ καὶ συνέσεως οὐθ' αἱ πράξεις ὄνησιν φέρουσιν οὔθ' αἱ δυνάμεις ὠφέλιμοι καθεστᾶσι. διὸ δεῖ πρότερον τὴν χρῆσιν ἢ τὴν κτῆσιν τῶν ἀγαθῶν σκοπεῖν. καὶ τότε πράττειν τοῖς μεγίστοις καὶ πλείστοις εὐκληρήμασι χρησάμενος. τὸ γὰρ μὴ κεκτῆσθαι πλοῦτον, βλάβην οὐ κομίζει τηλικαύτην. τὸ δὲ τοῖς οὖσι κακῶς κεχρῆσθαι, ἀπόλλυσι τὸν ὄντως φασὶ κεχρημένον βίον. ἔχουσα τοίνυν ταῦτα κατὰ νοῦν καὶ νύκτας καὶ μεθ' ἡμέρας σκόπει τὸ συμφέρον ταῖς τῆς ἡγεμονίας προσόδοις. οὕτω γὰρ ἀναγκαῖόν ἐστι τὴν ἀρχὴν πλείστην καὶ μεγίστην ἐπίδοσιν λήψεσθαι. ὅταν ὁ μὲν οἶκος ἀρετῆς οἰκεῖος ᾖ. ὁ δὲ τούτου δεσπόζων μὴ δέηται καλοκαγαθίας. τὰ δ' ἄλλα προνοοῦ τοῦ συμφέροντος.

Φίλιππος Ἀριστοτέλει εὖ πράττειν.

Ἴσθι μοι γεγονότα υἱόν. πολλὴν οὖν τοῖς θεοῖς χάριν ἔχω, οὐχ οὕτως ἐπὶ τῇ γενέσει τοῦ παιδὸς, ὡς ἐπὶ τῷ κατὰ τὴν σὴν ἡλικίαν αὐτὸν γεγονέναι. ἐλπίζω γὰρ αὐτὸν ὑπὸ σοῦ τραφέντα καὶ παιδευθέντα ἄξιον ἔσεσθαι καὶ ἡμῶν καὶ τῆς τῶν πραγμάτων διαδοχῆς.

Ἀλέξανδρος Ἀριστοτέλει εὖ πράττειν.

Οὐκ ὀρθῶς ἐποίησας ἐκδοὺς τοὺς ἀκροαματικοὺς τῶν λόγων. τίνι γὰρ ἔτι διοίσομεν ἡμεῖς τῶν ἄλλων, εἰ καθ' οὓς ἐπαιδεύθημεν λόγους, οὗτοι πάντων ἔσονται κοινοί. ἐγὼ δὲ βουλοίμην ἂν ταῖς περὶ τὰ ἄριστα ἐμπειρίαις ἢ ταῖς δυνάμεσι διαφέρειν.

Ἀριστοτέλης Ἀλεξάνδρῳ εὖ πράττειν.

Ἔγραψάς μοι περὶ τῶν ἀκροαματικῶν λόγων οἰόμενος δεῖν αὐτοὺς φυλάττειν ἐν ἀπορρήτοις. ἴσθι οὖν αὐτοὺς ἐκδεδομένους καὶ μὴ ἐκδεδομένους. ξυνετοὶ γάρ εἰσι μόνοις τοῖς ἡμῶν ἀκούσασιν.

egregij,& præclari iudicij proprium eſt, Cæterùm, vale.

Philippus Olympiadi.

Laudo prudentiam tuam & vtiliſſimam curam, quod naturalem cognationem, nõ naturali affectu & amore,ſed virtute æſtimatam probas.Sic enim nos etiam,qui nullam honeſtatis curam habemus,coges ad honeſtarum rerum æmulationem ſuſcipiendam. Eſt autem Theſaurus virtutis iucundũ quiddam ſemper in vita adferentis, non generi naturalem amoris affectionem dare, ſed generis dignitati clemẽtiam & humanitatem impertire. Qui enim ſæpè ſecundum naturam exiſtit,ſtatim etiam naturam parentum quæ bona eſt, iniuria conſueuit inceſſere. Qui verò nullius aliquando cognationis fuit particeps, propter ornamentum præternaturale naturam auxit. Nihil igitur indignum genere tuáque erga nos beneuolentia ſentias. Præterea vitæ ſplendorem tuere, & fac omnia Philippo quidem digna,ab Olympiade verò non aliena. Nam animi ſuperbia ad negligendas res neceſſarias, ſuperbia quidem malorum eſt,inuidia verò bonorum. Nam ſine mente & intelligentia, neque actiones vtilitatem habent,neque vires vſui ſunt.Quamobrem ante conſiderare oportet vſum bonorum, quàm conſecutionẽ,& tũ ad faciẽdum accedere, atq; cũ maximis & plurimis ſucceſſibus vti.Etenim non poſſidere diuitias,non tantùm adfert detrimẽti.At poſſeſſis malè vti, perdit omnino etiam ea quæ ad vitam ſunt neceſſaria. Hæc igitur noctes ac dies animo voluens,diſpice quid imperij cenſibus ac redditibus vtile ſit. Sic enim neceſſario regno copioſum maximúmque incrementum accedet. Cùm domus virtutis propria fuerit,eius verò dominus non egeat probitate.Cæterùm vtilitatis curam gerito.

Philippus Ariſtoteli S.

Scito mihi filium natum eſſe. Maximam igitur diis gratiam habeo, non tam ob natiuitatem filij, quàm quòd in tuam ætatem eius naſcendi tempus incidit. In ſpem enim venio, eũ tua educatione atque inſtitutione, dignum nobis & regni ſucceſſione euaſurum.

Alexander Ariſtoteli S.

Non rectè feciſti,qui auſcultatorias diſputationes edideris. Qua enim re nos alios poſthac ſuperabimus, cùm eæ diſputationes quibus eruditi fueramus,omnibus erũt communes. Ego verò mallim optimarum rerum cognitione, quàm potentia excellere.

Ariſtoteles Alexandro S.

Scripſiſti ad me de ſermonibus auſcultatoriis hac ſentẽtia, quòd putes eos clam fuiſſe ſeruandos & cuſtodiendos. Scias igitur eos editos & non editos. A ſolis enim his qui nos audiuerunt, intelligentur.

FINIS.

ΤΕΛΟΣ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΠΙΣΤΟΛΑΙ.

HIPPOCRATIS EPISTOLAE.

Magnus Artaxerxes Rex regum Paeto. S.

MORBVS peſtilens dictus noſtris exercitibus ſe applicuit, nobiſque crebrò multa molientibus nihil dum remiſit. Quare prorſus te pro meis in te collatis beneficiis oro, vt quàm primùm aliquod ex ingenio tuo excogitatum pręſidium, aut aliquod ex arte remedium, aut alicuius qui mederi queat conſilium ad nos mittas. Propulſa oro hanc affectionem. Publicè enim noſtras copias magna inuaſit anxietas, eáſque multùm & ſæpè ſuo afflatu inficit. Non oppugnantes oppugnamur, cùm hoſtem habeamus feram iſtam gregem noſtrum deuaſtantem, quæ multos acerbis iaculis immiſſis ſauciauit, & immedicabiles reddidit. Angor animo, neque habeo quid iam conſilij cum familiaribus capiam. Solue omnia, neque nos tuo optimo conſilio deſtitue. Vale.

Paetus Regi regum Magno Artaxerxi.

QVæ à natura Præſidia petuntur, morbum peſtilentem populariter graſſantem non ſoluunt. Morbos autem ex natura ortos, natura ipſa per iudicationem curat. Qui verò populariter graſſantur, eos ars ex artificio corporum mutationem diſcernens curat. At Hippocrates Medicus hunc morbum ſanat, à Dorieuſibus oriundus, & ciuitate Co patre verò Heraclide Hippocratis filio, ex Gnoſidico, Nebro, Soſtrate, Theodoro, Cleomyttada, Criſamida. Hic diuina natura præditus, ex paruis ac vulgaribus initiis in magnam artem Medicinam prouexit. Ortu igitur diuinus eſt Hippocrates, nonus quidem à Criſamide rege, ab Æſculapio verò decimusoctauus, à Ioue vigeſimus, matre verò Praxithea Phænaretes filia ex Heraclidarum familia. Quare ex vtroq; ſemine à diis oriundus diuinus Hippocrates ex patre quidem Aſclepiadarum familiam attingens, ex matre verò Heraclidarum. Artem verò tum ex patre Heraclide, tum ex auo Hippocrate didicit. Verùm ab his quidem, vt par eſt, primùm artis myſteriis initiatus, quæ eos tenuiſſe credibile eſt, ipſe deinde diuino ingenio præditus vniuerſam artem didicit, tãtò ingenij dexteritate maiores ſuos ſuperans, quãtò etiam iis artis excellentia præſtitit. Expellit autem nõ ferarum quidem, ſed ferorum & agreſtiũ morborũ genus, & per magnos terrę & maris tractus Æſculapij auxilia, nõ ſecus ac Triptolemus Cereris ſemina diſpergit.

Βασιλεὺς Βασιλέων μέγας Ἀρταξέρξης Παίτῳ χαίρειν.

ΝΟῦσος προσπελάσασα ἡ καλεομένη λοιμικὴ τοῖς στρατεύμασιν ἡμῶν· καὶ πολλὰ πολλάκις ποιησάντων ἡμῶν ἔνδοσιν οὐκ ἔδωκεν· ὅθεν ἀξιῶ παντοίαις καὶ πάσαις ταῖς παρ᾽ ἐμοῦ δεδομέναις δωρεαῖς, ἤτι τῶν ἐκ φύσεως ἐπινοημάτων ἤτι τῆς ἐκ τέχνης προξίων ἤτοι ἑτέρου ἀνδρὸς ἑρμηνεύειν δυναμένου ἰάσασθαι, πέμπε τάχος. μάστιξον ἀξιῶ τε πάντες, ἄλλα κατὰ τὸν ὄχλον καὶ πολεῖς ἄλλους πνεῦμα μέγα καὶ πυκνὸν ἔχων· οὐ πολεμιώτης πολεμούμεθα ἐχθρόν, ἔχοντες τὸν θῆρα λυμαινόμενον τὰ ποίμνια τὰ ἡμῶν.. πολλοὺς δυσιάτους ἐποίησε. πικρὰ βέλη βελέων καταπέμπει. οὐ φέρω. γνώμην οὐκ ἔτι ἔχω μετ᾽ ἀνδρῶν γονίμων βουλεύσασθαι. λῦε ταῦτα πάντα μὴ ὀχλεῖσθαι ἀγαθῇ τύχῃ. Ἔρρωσο.

Παῖτος βασιλεῖ μεγάλῳ Ἀρταξέρξῃ χαίρειν.

ΤΑ φυσικὰ παθήματα, οὐ λύει τὴν ἐπιδημίαν τοῦ λοιμικοῦ πάθεος. ὅσα γὰρ ἐκ φύσεως γίνεται νοσήματα αὐτὴ ἡ φύσις ἰᾶται κρίνουσα. ὅσα δὲ ἐξ ἐπιδημίας τέχνη. τεχνικῶς κρίνουσα τὴν τροπὴν τῶν σωμάτων. Ἱπποκράτης ἰητρὸς ἰᾶται τοῦτο τὸ πάθος. τῷ γένει μὲν ὤν ἐστι Δωριεύς. πόλεως δὲ Κῶ· πατρὸς δὲ Ἡρακλείδου τοῦ Ἱπποκράτους, τοῦ Γνωσιδίκου τοῦ Νέβρου τοῦ Σωστράτου, τοῦ Θεοδώρου. τοῦ Κλεομυττάδα. τοῦ Κρισαμίδος. οὗτος θείᾳ φύσει κέχρηται. καὶ ἐκ μικρῶν καὶ ἰδιωτικῶν εἰς μεγάλα καὶ τεχνικὰ προήγαγε τὴν ἰατρικήν. γίνεται μὲν οὖν εἰμὶ ὁ θεῖος Ἱπποκράτης ἔνατος μὲν ἀπὸ τοῦ Κρισάμιδος τοῦ βασιλέως. ὀκτωκαιδέκατος δὲ ἀπὸ Ἀσκληπιοῦ. εἰκοστὸς δὲ ἀπὸ Διός. μητρὸς δὲ Πραξιθέας τῆς Φαιναρέτης ἐκ τῆς οἰκίας τῶν Ἡρακλειδῶν ὥστε κατ᾽ ἀμφότερα τὰ σπέρματα θεῶν ἀπόγονός ἐστιν ὁ θεῖος Ἱπποκράτης. πρὸς μὲν πατρὸς Ἀσκληπιάδης ὤν. πρὸς δὲ μητρὸς Ἡρακλείδης· ἔμαθε τε τὴν τέχνην παρὰ τῷ πατρὶ Ἡρακλείδῃ καὶ παρὰ τῷ πάππῳ Ἱπποκράτει. ἀλλὰ παρὰ μὲν τούτοις ὡς εἰκὸς τὰ πρῶτα ἐμυήθη τῆς ἰατρικῆς, ὅσα πιθανὸν ἦν καὶ τούτους εἰδέναι. τὴν δὲ σύμπασαν τέχνην αὐτὸς ἑαυτὸν ἐδίδαξεν θείᾳ φύσει κεχρημένος. καὶ τοσοῦτον ὑπερβεβηκὼς τῇ τῆς ψυχῆς εὐγενείᾳ τοὺς προγόνους ὅσον διενήνοχεν αὐτῶν, καὶ τῇ τῆς τέχνης ἀρετῇ. καθαίρει δὲ οὐ θηρίων μὲν γένος, θηριωδῶν δὲ σωμάτων καὶ ἀγρίων πολλὴν γῆν καὶ θάλασσαν διασπείρων πανταχοῦ ὥσπερ ὁ Τριπτόλεμος τὰ τῆς Δήμητρος σπέρματα τὰ τοῦ Ἀσκληπιοῦ βοηθήματα.

τοιγαροῦν ἐκ δικαιοτάτων καὶ οὗτος ἀνιέρωται πολλαχοῦ τῆς γῆς. ἠξίωται δὲ τῶν αὐτῶν ἡρακλεῖ καὶ ἀσκληπιῷ ὑπὸ ἀθηναίων δωρεῶν. αὐτὸν μεταπέμψαι κελεύσαν ἀργύριον καὶ χρυσίον ὅσον ἂν βούληται δοῦναι αὐτῷ. οὗτος ἐπίσταται οὐχ ἕνα τρόπον τῆς ἰάσεως τῶν παθῶν. οὗτος πατὴρ ὑγιείας. ἐστὶ σωτήρ. ἐστὶ ἀκεσώδυνος. οὗτος ἁπλῶς ἡγεμών ἐστι τῆς θεσπεσίου ἐπιστήμης.

Βασιλεὺς βασιλέων μέγας Ἀρταξέρξης Ὑστάνει ἑλλησπόντου ὑπάρχῳ.

Ἱπποκράτους ἰητροῦ κῴου ἀπὸ ἀσκληπιοῦ γεγονότος καὶ εἰς ἐμὲ κλέος ἀφῖκται τῆς τέχνης. δὸς οὖν αὐτῷ χρυσὸν ὅσον ἂν βούληται καὶ τἆλλα χρήζῃ ὧν σπανίζει. καὶ πέμπε εἰς ἡμᾶς· ἔσται γὰρ ἰσότιμος περσῶν τοῖς ἀρίστοις. καὶ εἴ τις ἄλλος ἀνὴρ κατ' εὐρώπην ἀγαθὸς φίλον οἴκῳ βασιλέως ποιοῦ μὴ φειδόμενος ὄλβου. ἄνδρας γὰρ εὑρεῖν δυναμένους κατὰ συμβουλίαν οὐ ῥᾴδιον.

Ὑστάνης Ἱπποκράτει ἀσκληπιαδῶν ὄντι ἀπογόνῳ χαίρειν.

ΕΝ ἔπεμψεν ὁ βασιλεὺς ἐπιστολὴν σοῦ χρῄζων, ἔπεμψά σοι. γράψον οὖν πρὸς αὐτὴν κατὰ τάχος, ἵνα πρὸς βασιλέα πέμψω. ἔρρωσο.

Ἱπποκράτης ἰητρὸς Ὑστάνει ὑπάρχῳ ἑλλησπόντου.

ΠΕμπε εἰς βασιλέα ὡς ὅτι ἐγὼ γράφω ὅτι καὶ προσφορῇ καὶ ἐσθῆτι, καὶ οἰκήσει, καὶ πάσῃ τῇ ἐς βίον οὐσίῃ ἀρκέσῃ χρέομαι· περσέων δὲ ὄλβου, οὔ μοι θέμις ἐπαυρέσθαι, οὐδὲ βαρβάρους ἄνδρας νούσων παύειν ἐχθροὺς ὄντας ἑλλήνων.

Ἀβδηριτέων τῇ βουλῇ.

Ὁ Πολίτης ὑμέων Μελισαγόρας ἧκεν ἐς κῶ. καὶ ἔτυχε τότε ἐοῦσα ἡ ἀνάληψις τῆς ῥάβδου ἐν ἐκείνῃ τῇ ἡμέρῃ καὶ ἐτήσιος ὡς ἴστε πανήγυρις καὶ πομπὴ πολυτελὴς εἰς κυπάρισσον, ἣν ἔθος ἄγειν τοὺς τῷ θεῷ προσήκουσιν. ἐπεὶ δὲ σπουδάζειν ἐῴκει καὶ ἐκ τῶν λόγων καὶ ἐκ τοῦ προσώπου ὁ μελησαγόρας πεισθεὶς ὅπερ ἦν ἐπείγειν τὸ πρῆγμα ἀνέγνων τὴν ὑμέων τὴν ἐπιστολὴν καὶ ἐθαύμασα ὅτι ἑνὸς ἀνθρώπου ὡς εἷς ἄνθρωπος ἡ πόλις θορυβέεσθε. μακάριοί γε δῆμοι ὁκόσοι ἴσασι τοὺς ἀγαθοὺς ἄνδρας ἐρύματα αὐτῶν, καὶ οὐ τοὺς πύργους οὐδὲ τὰ τείχεα ἀλλὰ σοφῶν ἀνδρῶν σοφὰς γνώμας. ἐγὼ δὲ πείθομαι τέχνας εἶναι θεῶν χάριτας. ἀνθρώπους δὲ ἔργα φύσιος. καὶ μὴ νεμεσήσητε ἄνδρες ἀβδηρῖται. οὐχ ὑμᾶς δοκέω. ἀλλὰ φύσιν αὐτὴν καλέειν ἐμὲ ἀνασῶσαι, πόνημα ἑωυτῆς κινδυνεῦον ὑπὸ νόσου διαφθαρῆναι. ὥστε περὶ ὑμέων ἐγὼ φύσει καὶ θεοῖς ὑπακούων νοσεῦντα δημόκριτον ἰήσασθαι, εἴγε δὴ καὶ νουσέων ἐστὶν ἀλλὰ μὴ ἀπάτῃ συσκιάζεσθε, ὅπερ εὔχομαι. καὶ γένοιτο πλεῖον τῆς ἐν ὑμῖν εὐνοίας τεκμήριον, καὶ πρὸς ὑπόνοιαν ταραχθῆναι. ἀργύριον δέ μοι ἐρχομένῳ οὔτ' ἂν φύσις οὔτε θεὸς ὑπόσχοιτο, ὥστε μὴ δι' ὑμᾶς ἀβδηρῖται βιά-

Quamobrem iuſtiſſimis de cauſis in multis terrarum locis etiam ipſe diuinis honoribus affectus eſt, & ab Athenienſibus iiſdem quibus Hercules & Æſculapius muneribus cohoneſtatus eſt. Hunc accerſiri iube, aurique & argenti quantùm volet dato. Hic enim non vnum huius mali ſanandi modum tenet. Hic eſt ſanitatis pater ac conſeruator, hic dolores curat, & vt breuiter dicam, hic diuinæ ſcientiæ princeps eſt. Vale.

Rex regum Magnus, Artaxerxes Hyſtani Helleſpontii Præfecto.

HIppocratis Medici Coi, ab Æſculapio oriundi, artis etiam gloria ad me peruenit. Auri igitur quantùm volet, reliquaque quibus indiget effusè ei exhibeto, & ad nos mittito. Cum Perſarum enim optimatibus eodem erit honore. Et ſi quis alius in Europa prudentia excellit, eum in familiam Regiam nihil diuitiis parcens aſciſcito. Neque enim viros qui conſilio valeant, inuenire eſt facile. Vale.

Hyſtanes Helleſponti Præfectus Hippocrati ex Aſclepiadarum familia oriundo S.

REx magnus Artaxerxes tua præſentia opus habet, & ad nos præfectos miſit, imperans vt tibi argentum & aurum, cæteráque quibus opus habes, & quæcunque voles abundè exhibeamus, téque ad ſe breui mittamus. Te enim Perſarum optimatibus honore æqualé fore. Tu igitur facito vt quamprimum aduenias. Vale.

Hippocrates Medicus Hyſtani Helleſponti Præfecto S.

AD Epiſtolam quam miſiſti & à Rege veniſſe aſſeris, Regi quæ reſpondeo quàm celerrimè reſcribe. Nos victu, veſtitu, domo, omníque re ad vitam neceſſaria cumulatè frui. Perſarum autem opibus vti, neque mihi æquum eſt, neque barbaros morbis liberare, cùm ſint Græcorum hoſtes. Vale.

Hippocrates Senatus populóque Abderitarum S.

CIuis veſter Ameleſagoras eo die Co appulit, in quem fortè inciderat Virgæ aſſumtio, anniuerſaria, vt ſcitis, nobis feſtiuitas, & publicus conuentus, pópáque ad cupreſſum celebris, quam pro more deducunt qui Deo dicati ſunt. Cùm autem & ex verbis, & ex aſpectu ipſo feſtinare videretur Ameleſagoras, credens, re vera, vrgere negotium epiſtolam veſtram legi, & miratus ſum quòd de vnius hominis ſalute, non ſecus ac ſi vnus eſſet in ciuitate conturbati eſſetis. Et certè beati ſunt populi, qui viros bonos ſua eſſe propugnacula intelligunt, non turres, non mœnia, ſed prudentium virorum prudentia conſilia. At verò artes duorum eſſe munera cùm mihi perſuadeam, viros autem naturæ opera, ne indignemini, viri Abderitæ, ſi naturam, non vos, me vocare exiſtimem, ad opus ſuum conſeruandum, quod periclitatur ne morbo corruat. Quare Naturæ & Diis potiùs quàm vobis auſcultans, feſtino Democritum ægrotantem ſanaturus, ſi ſanè hic morbus eſt, ac non potiùs (quod exopto) errore hallucinamini. Ac certè maius fuerit beneuolentiæ veſtræ teſtimonium, ſi vos ad hanc ſuſpicionem conturbati fueritis. Mihi verò ad vos venienti, non Natura, neque Deus argentum promiſerit. Ac neque vos (viri Abderitæ) per vim obtrudite, ſed

te, ſed

te, ſed liberæ artis libera eſſe ſinite opera. Qui autem mercede operam ſuam locant, hi ſcientias tanquam ex priore libertate mancipio, dantes ſeruire cogunt. Deinde probabile eſt eos mentiri poſſe, velut in magno morbo, & negare vt in paruo, aut vbi promiſerint, non venire, rurſúſque non vocatos venire. Miſerabilis ſanè eſt humana vita, quòd ad eam totam intolerabilis argenti cupiditas, velut hybernus flatus penetrauerit, ad quem morbum inſaniæ grauiorem curandum, vtinã Medici omnes potiùs concurrerẽt, quæ tamen beata cenſetur, cùm morbus ſit, & malè affligat. Equidem omnes animi morbos vehementes inſanias reputo, cùm opiniones quaſdam & viſa rationi ſuſcitant, ex quibus ſaneſcit qui per virtutem repurgatur. Ego verò ſi omnibus modis diteſcere voluiſſem viri Abderitæ, ne decem quidem talentorum gratia ad vos venirem, ſed ad Magnum Perſarum Regem proficiſcerer, vbi vrbes totæ opibus humanis refertiſſimæ occurriſſent, illorum autem peſtilentem morbum curaſſem. Sed regionem Græciæ inimicam malo morbo liberare recuſaui. Et ego his quidem totis meis viribus Barbaros nauali prælio ſuperaui. Regias autem opes ignominiæ mihi futuras, & opulentiam patriæ aut in arborum vmbraculis, Græciæ deſtructor exiſterem. Diuitiæ non ſunt pecuniæ vndecunque comparatæ. Magna enim ſunt virtutis ſacra, quæ à iuſtitia non teguntur, ſed in apertum ſe proferunt. An non reputatis æquale peccatum eſſe, hoſtes ſeruare, & amicos mercede curare? At non ita ſe habent res noſtræ. Ex morbis quæſtum non facio, neque ex animo Democriti dementiam audiui, qui ſiue ſanus ſit, amicus eſt, ſiue ægrotet, curatus magis amicus futurus eſt. Eum autem grauibus & firmis motibus eſſe præditum intelligo. & vrbi veſtræ eſſe ornamento. Valete.

Hippocrates Philopœmeni S.

Legati qui cum vrbis veſtræ epiſtola, etiam tuam mihi reddiderunt, quódque tuum hoſpitium, & reliqua vitæ commoda promitteres, valdè lætatus ſum. Auſpicatò autem veniemus, & vt conjicimus, meliore ſpe accedemus, cùm velut ex literis accepimus, nõ inſaniam, ſed eximium quoddam animi robur vir hic demonſtret, qui neque liberorum, neque vxoris, neque cognatorum, neque rei familiaris, neque cuiuſquam omninò curam habeat, ſed dies & noctes ſolus priuatam vitam degat, in antris plærũque & ſolitudinibus, in umbraculis reportaſſem, quibus circum affluens vrbium aut in mollibus herbis, aut iuxta crebra aquarum fluenta. Hæc igitur plærunque melancholicis accidunt. Quandoque enim taciturni ſunt, ſolitarij, deſertorum amantes, familiarium conſpectum, tanquam alienum, fugiunt. Neque etiam abſurdum eſt in his qui ad diſciplinas ſtudioſè contendunt, omnes alias curas ab vno ſapientiæ affectu excuti. Non aliter enim ac miniſtri & miniſtræ in domib⁹ tumultuãtes ac cõcertantes, ſi quãdo de repẽte eis hera adfuerit, attoniti conquieſcunt, ſimiliter etiã reliquæ animi cupiditates malorum hominibus ſunt adminiſtræ,

ζεσθε, ἀλλ᾽ ἐᾶτε ἐλευθέρης τέχνης ἐλεύθερα τὰ ἔργα. οἱ δὲ μισθαρνέοντες δουλεύειν ἀναγκάζουσι τὰς ἐπιστήμας ὥσπερ ἐξανδραποδίζοντες αὐτὰς ἐκ τῆς πρότερον παρρησίας. εἶτα ὡς εἰκὸς καὶ ψεύσαιντο ἂν ὡς περὶ μεγάλης νόσου, καὶ ἀρνηθεῖεν ἂν ὡς περὶ μικρῆς, καὶ οὐκ ἂν ἔλθοιεν ὑπισχόμενοι, καὶ πάλιν ἔλθοιεν μὴ κληθέντες. οἰκτρὸς γὰρ ὁ τῶν ἀνθρώπων βίος ὅτι δι᾽ ὅλου αὐτοῦ ὡς πνεῦμα χειμέριον ἡ ἀφόρητος φιλαργυρίη διαδέδυκεν, ἐφ᾽ ἣν εἴθε μᾶλλον ἅπαντες ἰητροὶ συνήεσαν ἀποθεραπεῦσαι χαλεπωτέρην μανίης νοῦσον ὅτι καὶ μακαρίζεται νοσέουσα καὶ κακοῦσα. οἶμαι δὲ ἔγωγε καὶ τὰ τῆς ψυχῆς νοσήματα πάντα μανίης σφοδρῆς εἶναι ἐμποιεύσης δόξας τινὰς καὶ φαντασίας τοῦ λογισμοῦ· ἐν ὁ δι᾽ ἀρετῆς ἀποκαθαρθεὶς ὑγιάζεται. ἐγὼ δὲ εἰ πλουτεῖν ἐξ ἅπαντος ἐβουλόμην ὦ ἄνδρες Ἀβδηρεῖται, οὐκ ἂν ἕνεκα δέκα ταλάντων διέβαινον πρὸς ὑμέας. ἀλλ᾽ ἐπὶ τὸν μέγαν ἐρχόμενος Περσῶν βασιλέα ἔνθα πόλεις ὅλαι προσέσονται τῆς ἐξ ἀνθρώπων εὐτυχίας γεγεμισμέναι. ἰώμην ἂν τὸν ἐκεῖ λοιμὸν ἀνιῶν. ἀλλ᾽ ἀπηρνησάμην ἐχθρὴν Ἑλλάδι χώρην ἐλευθερῶσαι κακῆς νόσου. κἀγὼ τὸ μὲν ἐπ᾽ ἐμοὶ κέκτηναι μάχῃ τοὺς βαρβάρους. ἔσχον δ᾽ ἂν αἰσχύνην τὸν βασιλέως πλοῦτον καὶ πατρίδος ἐχθρὴν περιουσίην· προκείμενος δ᾽ ἂν αὐτὰ ὡς ἑλέπολις τῆς Ἑλλάδος ὑπάρχων. οὐκ ἔστι πλοῦτος. τὸ πανταχόθεν χρηματίζεσθαι, μεγάλα γὰρ ἱερὰ τῆς ἀρετῆς ἐπὶ δικαιοσύνην οὐ κρυπτόμενα, ἀλλ᾽ ἐμφανία ἐόντα. ἢ οὐκ οἴεσθε ἴσον ἁμάρτημα σώζειν πολεμίους καὶ φίλους μισθοῦ. ἀλλ᾽ οὐχ ὧδε ἔχει τὰ ἡμέτερα δήπου. οὐ καρποῦμαι δὲ νούσους, οὐδὲ δι᾽ ὀργῆς ἤκουσα τὴν Δημοκρίτου παράκρουσιν. ὃς εἴτε ὑγιαίνει φίλος ἐστίν, εἴτε νοσεύει θεραπευθεὶς, φίλος πλέον ὑπάρξει. πυνθάνομαι δὲ αὐτὸν ἐμβριθέα καὶ στερρὸν τὰ ἤθεα καὶ τῆς ὑμετέρης πόλιος ἐόντα κόσμον.

Φιλοποίμενι χαίρειν.

Εἰς τὴν τῆς πόλιος ἐπιστολὴν ἀναδέντες μοι πρέσβεις, καὶ τὴν ἀνέδοσαν. ἥσθην δὲ κάρτα ξενίην ὑπισχνουμένου σέο καὶ τὴν ἑταίρην δίαιταν. ἐλθοίμεν δὲ αἰσίῃ τύχῃ καὶ ἀφιξόμεθα ὡς ὑπολαμβάνομεν χρηστοτέρῃσιν ἐλπίσιν, ὡς ἐν τῇ γραφῇ παραδεδήλωται, οὐ μανίην ἀλλὰ ψυχῆς τινα ῥώσιν ὑπερβάλλουσαν διασαφηνίσθαι ἀνδρὸς μήτε παίδων, μήτε γυναικὸς, μήτε συγγενέων μήτε κτήσιος μήτε τινὸς ὅλως ἐν φροντίδι ἐόντος, ἡμέρην δὲ καὶ εὐφρόνην πρὸς ἑαυτῷ κατεστῶτος καὶ ἰδιάζοντος τὰ πολλὰ ἐν ἄντροισι καὶ ἐρημίῃσιν ἢ ὑπὸ σκέπῃσι δενδρέων, ἢ καὶ μαλθακῇσι ποίαις, ἢ παρ᾽ ἡσύχοισιν ὑδάτων ῥεέθροισι. συμβαίνει μὲν οὖν τὰ πολλὰ τοῖς μελαγχολῶσι τοιαῦτα. σιγηροί τε γὰρ ἐνίοτε καὶ μονήρεες καὶ φιλέρημοι τυγχάνουσιν. ἀπανθρωπεῦνταί τε ξύμφυλον ὄψιν ἀλλοτριωτάτην νομίζοντες. οὐκ ἀπεοικὸς δὲ καὶ τοῖς περὶ παιδείην ἐσπουδακόσι τὰς ἄλλας φροντίδας ὑπὸ μιῆς τῆς ἐν σοφίῃ διαθέσιος ἀποσβέννυσθαι. ὥσπερ γὰρ δμῶες καὶ δμωΐδες ἐν τοῖσιν οἴκοισι θορυβέοντες καὶ στασιάζοντες ἐκ τοῦ ἐξαπιναίως αὐτοῖς ἡ δέσποινα ἐπιστῇ, πτοηθέντες ἡσυχάζουσι, παραπλησίως καὶ αἱ λοιπαὶ αἱ κατὰ ψυχὴν ἐπιθυμίαι ἀνθρώποισι κακῶν ὑπηρέτιδες,

ἐπὴν δὲ σοφίης ὄψις ἑωυτὴν ἐπιστήσῃ, ὡς δοῦλα τὰ λοιπὰ πάθεα ἐκκεχώρηκε. ποθέουσι δὲ ἄντρα καὶ ἡσυχίαν, οὐ πάντως οἱ μαινέντες, ἀλλὰ καὶ οἱ τῶν ἀνθρωπίνων πρηγμάτων ὑπερφρονήσαντες ἀταραξίης ἐπιθυμίῃ. ὁκόταν γὰρ νοῦς ὑπὸ τῶν ἔξω φροντίδων κοπτόμενος ἀναπαύσασθαι θελήσῃ τὸ σῶμα, τότε ταχέως εἰς ἡσυχίην μετήλλαξεν. εἶτα ἀναστὰς ὄρθιος ἐν ἑωυτῷ περισκοπεῖ κύκλῳ χωρίον ἀληθείης, ἐν ᾧ οὐ γυνή, οὐ τέκνα, οὐ μήτηρ οὐ κασίγνητοι, οὐ συγγενεῖς, οὐ δμῶες· οὐ δ᾽ ὅλως οὐδὲν τὸν θόρυβον ἐμποιεόντων. πάντα δὲ ἀποκεκλεισμένα τὰ περίαστα ἕστηκεν ὑπὸ φόβον, οὐδὲ πλησιάσαι τολμέοντα ὑπὸ εὐλαβείης τῶν αὐτόθι οἰκεόντων. οἰκέουσι δὲ τὸ χωρίον ἐκεῖνο τέχναι, καὶ ἀρεταί, καὶ θεοί, καὶ δαίμονες, καὶ βουλαί, καὶ γνῶμαι, καὶ ὁ μέγας πόλος ἐν ἐκείνῳ τῷ χωρίῳ τοὺς πολυκινήτους ἀστέρας κατέστεπται. εἰς ὃ τάχα καὶ Δημόκριτος ὑπὸ σοφίης μετοικήσας, εἶτ᾽ οὐκ ἔθ᾽ ὁρέων τοὺς ἐν τῇ πόλει οἷά γε τηλοῦ ἐκδεδημηκώς, δοξάζεται μανίης νοῦσον διὰ τὸ φιλέρημον· σπεύδουσι δὲ Ἀβδηρῖται ἀργυρίου ἐλεγχθῆναι ὅτι οὐ ξυνιᾶσι Δημόκριτον, ἀλλὰ σύ γε ἡμῖν κατάρτυε τὴν ξενίην ἑταῖρε Φιλοποίμην. οὐ δὴ γὰρ ἐθέλω τεταραγμένῃ τῇ πόλει παρέχειν ὄχλησιν ἐκ παλαιοῦ ἴδιον ἔχων ξεῖνον σε ὡς οἶσθα.

Διονυσίῳ χαίρειν.

Ἢ περίμενόν με ἐν Ἁλικαρνασῷ, ἢ φθάσον αὐτὸς ἐλθὼν ὦ ἑταῖρε· κατὰ πᾶσαν γὰρ ἀνάγκην ἄπιμι εἰς Ἄβδηρα μοι Δημοκρίτου χάριν· ἐφ᾽ ὃν νοσέοντα μετεπέμψατό με ἡ πόλις. ἄλεκτος γάρ τοι ἡ συμπαθείη τῶν ἀνθρώπων Διονύσιε. ὡς μία ψυχὴ συννοσέει τῷ πολίτῃ. ὥστε μοι δοκέουσι καὶ αὐτοὶ θεραπείης δέεσθαι. ἐγὼ μὲν οἶμαι οὐδὲ νοῦσον αὐτὸ εἶναι, ἀλλ᾽ ἀμετρίην παιδείης· οὐκ οὖσαν δὲ τῷ ὄντι ἀμετρίην ἀλλὰ νομιζομένην τοῖσιν ἰδιώτῃσιν, ἐπεὶ οὐδέποτε βλαβερὸν τὸ ἀρετῆς ἄμετρον. δόξα δὲ νούσου γίνεται τοῦτο διὰ τὴν τῶν κρινόντων ἀπαιδευσίην. δοκιμάζει δὲ ἕκαστος ἐξ ὧν αὐτὸς οὐκ ἔχει, τὸ ἐν ἄλλῳ πλεονάζον περισσεύειν· καὶ ἴσως που καὶ ὁ δειλὸς ἀμετρίην τὴν ἀνδρείην ὑπολήψεται. καὶ οἱ φιλάργυροι τὴν μεγαλοψυχίην. καὶ πᾶσαι ἐλλείψιες ὑπερβάλλειν δοκέουσι τὸ ἀρετῆς σύμμετρον. ἐκεῖνον μὲν οὖν αὐτὸν ἰδόντες μετὰ τῆς ἐνθένδε προγνώσιος καὶ ἀκούσαντες τῶν λόγων αὐτοῦ ἄμεινον εἰσόμεθα. σὺ δὲ ἔπειξον ὦ Διονύσιε παραγενέσθαι. βούλομαι γάρ σε διαζῆναι τῇ πατρίδι μου μέχρις ἂν ἐπανέλθω. ὅκως τῆς τε ἡμετέρης φροντίζῃς καὶ περὶ τὴν ἐμὴν τῆς πόλιος ἔπειτ᾽ οὐκ οἶδ᾽ ὅπως ἐκ συντυχίης ὑγιεινὸν τὸ ἔτος ἐστὶ καὶ τὴν ἀρχαίην φύσιν ἔχει. ὥστε οὐ πολλὰ παρενοχλέουσι νοῦσοι. πλὴν ὅμως πάρεσο. οἰκήσεις δὲ τὴν ἐμὴν εὐκαιρεοῦσαν οἰκίην· ἅτε καὶ τῆς γυναικὸς μενούσης πρὸς τοὺς γονέας διὰ τὴν ἐμὴν ἀποδημίην· ἐπισκόπει δὲ καὶ τὰ ἐκείνης ὅκως διάγῃ σωφρόνως καὶ μὴ διὰ τὴν τοῦ ἀνδρὸς ἀπουσίην ἄλλους ἄνδρας νομίσῃ. κόσμιον μὲν οὖν ἦν ἐξ ἀρχῆς καὶ τοὺς γονέας ἀστείους εἶχε. ἦ πατέρα ἀνδρικόντα καὶ μισοπόνηρον ὑπερφυῶς γεραίτερον.

at vbi ſapientia in conſpectum ſe dederit, tanquam mancipia reliqui affectus diſcedunt. Non omnes amentes ſpeluncas & quietem expetunt, verumetiam qui res humanas negligunt, ob tranquillitatis deſiderium. Cùm enim mens curis externis fracta, corpus recreare voluerit, tunc eũ in quietem tradit, deinde erecta & ſtans circum ſeſe veritatis locum circumſpicit, in quo non pater, non mater, non vxor, non liberi, non frater, non cognati, non miniſtri, non fortuna, neque prorſus quicquam tumultum excitat, ſed perturbantia omnia reiecta præ timore ſubſiſtunt, neque appropinquare audent, pro eorum reuerentia qui illic inhabitant. Illum autem locum inhabitant artes, virtutum omne genus, dij, dæmones, conſilia, & ſententiæ. In illaque regione magnus polus ſtellis plurimùm ſe mouentibus tanquam corona cinctus eſt, in quam fortaſſis Democritus ob ſapientiam commigrauit. Deinde cùm eos qui in vrbe ſunt non videat, vt qui procul à domo agat, ob ſolitudinis amorem inſanire creditur. Cùm verò Abderitæ Democritum non intelligant, de argento periculum facere ſtudent. Tu verò amicè Philopœmen hoſpitium nobis præparato. Neque enim perturbatæ vrbi moleſtus eſſe volo, cùm te (vt noſti) veterem & proprium hoſpitem habeam.

Dionyſio S.

Aut me Halicarnaſſi expecta, aut me (ô amice) anteuerte. Neceſſariò enim mihi Democriti gratia in Abderam abeundum, ad quem ægrotantem vrbs me acceſſiuit. At mirabilis Dionyſi quædam eſt illorum hominum naturæ conuenientia & conſenſio, qui velut vnus animus, vnà cum ciue ſuo ægrotat, vt proinde mihi curatione indigere videatur. Equidem non ipſum morbum eſſe puto, ſed nimis exuperantẽ doctrinã, quæ reuera modũ ſuperare nõ poteſt, ſed ita vulgò exiſtimatur, cùm neq; modum exuperans virtus vnquam ſit noxia. Quòd verò exuperat, propter eorum qui iudicant inſcitiam, morbi opinionem præbet. Quiſque autem ex his quæ non habet, quod in alio abundat, modum excedere opinatur. Ita ſanè timidus fortitudinem & auarus animi magnitudinem modum excedere ſentit, omniſque defectus virtutis moderationem exceſſum eſſe putat. Illum igitur vbi viderimus cum ea quæ nobis inde ſuppetet prænotione, eiúſque ſermonem audiuerimus, meliùs cognoſcemus. Tu verò, Dionyſi, accedere feſtina. Volo enim te quoad rediero, in patria noſtra commorari, vt rerum noſtrarum inprimíſque vrbis noſtræ curam habeas, quandoquidem neſcio quo caſu ſalubris annus eſt, & priſtinam naturam retinet. Quare neque multi morbi moleſti erunt, veruntamen adeſto. Domum meam valde per opportunam inhabitabis, cùm mea vxor propter meam profectionem apud parentes maneat, illius tamen vitam obſerua, quò pudicè degat, & ne ob viri abſentiam alios viros vſurpet. Modeſta ab initio fuit, & probos habuit parentes, patrem autem mirum in modum virilem, & vehementer malos odio proſequentem, ac egregiè ſenem

Semper tamen eo qui modeſtè coërceat mulier opus habet. Natura enim inſitam intemperantiam habet, quæ niſi quotidie reſecetur, velut arbores ſuperuacuis frondibus & inutili fruticatione luxuriat. At ego amicum parentibus diligentiorem in muliere cuſtodienda exiſtimo. Neque enim hic, velut illi, beneuolentiæ affectu cum ea coniunctus eſt, quo plerunque admonitioni tenebras offundunt. In omni autem re, quod ſine affectu prudentius eſt, quòd nimirum beneuolentia frangi non poſſit.

Damageto S.

CVm apud te Rhodi eſſem Damagete, nauem illam vidi cui Solis inſcriptio inerat, quæ mihi perpulchra puppi probè & idonea carina inſtructa, multáque tranſtra habere viſa eſt. Tu verò eã commendabas, quòd ad nauigãdum velox eſſet. tuta, ad regendum bene fabricata, facilémque nauigationis curſum haberet. Eam ad nos mittito, ſed ſi fieri poſſit, non remis, ſed alarum remigio inſtructam. Res enim & amicitia vrget, vt quàm citiſſimè in Abderam traiiciam. Ægrotantem enim vrbem, propter vnum Democritum morbo affectum curare volo. Si quando de huius viri fama accepiſti, hunc patria dementiæ inſimulat. At ego volo, imò verò exopto, illum re vera non delirare, ſed eos ita opinari. Ridet ſemper inquiunt, neque in quouis negotio ridere ceſſat, hócque illis inſaniæ ſignum videtur. Quare noſtros qui Rhodi ſunt amicos moneto, vt ſemper modum teneant: neque multùm rideant, neque multùm tetrici ſint, ſed inter hæc modum teneant, vti his quidem gratiſſimus eſſe videaris, illis verò commentationi deditus, de virtute anxiè cogitans. Ineſt certè Damagete vitij aliquid, quòd ad ſingula rideat. Si enim immoderantia vitioſa eſt, quæ perpetua vitioſior. Eum autem ſic alloquar, Democrite, ſi quis ægrotet, ſi quis interficitur, moritur, & obſidetur, & ſi quid mali incidit, & quicquid ſit, materiam tibi riſus præbet. An non bellum dijs indicere videris, ſi cùm duo ſint in mundo; gaudium & triſtitia, alterum à te reieceris? Beatus certè mihi videaris, verùm id fieri nequit. ſi neque mater tibi ægrotet, neque pater, neque tandem liberi, aut vxor, aut amicus, ſed vt propter tuum riſum conſeruentur, omnia certè tibi proſperè cedũt. Sed quòd cùm ægrotant rides, cùm moriuntur gaudes, ſi quod malum audieris, exhilararis, maximè improbus es Democrite, longéque à ſapientia aberras, ſi hæc vitia non exiſtimas. Atra igitur bile vexaris Democrite, & periclitaris ne ipſe Abderitanus habearis. prudẽtior autem ſit ciuitas. Verùm de his quidem Damagete illic exactiùs diſſeremus. Nauis autẽ etiam hoc tempore quo ad te ſcribo moratur.

Philopœmeni S.

CVm cogitabundus & ſolicitus de Democriti ſalute eſſem, illáque ipſa nocte dormirem, ſub auroræ initium ſomnium mihi viſum eſt, ex quo nihil admodũ periculoſi euenturũ exiſtimo. Mirandũ enim in modũ excitatus ſum. Ipſũ enim Æſculapiũ corã præſentẽ mihi videre videbar, cùm iã ad Abderitanas portas perueniſſemus. At Æſculapius

ἀλλ' ὅμως ἀεὶ χρῄζει γυνὴ σωφρονίζοντος. ἔχει γὰρ φύσει καὶ τὸ ἀκόλαστον ἐν αὐτῇ ὅπερ εἰ καθ' ἡμέρην μὴ ἐκκόπτοιτο, ὥσπερ τὰ δένδρα καθυλομανέει. ἐγὼ δὲ φίλον ἀκριβέστερον οἶμαι εἰς φυλακὴν γυναικός· οὐ γὰρ ὡς ἐκείνοις καὶ τουτέοισι συνοικεῖ πάθος εὐνοίης. διὸ πολλάκις ἐπισκιάζονται τὴν νουθεσίην. φρονιμώτερον δὲ ἐν παντὶ τὸ ἀπαθέστερον ἐστὶ ἢ ἐπικλώμενον ὑπὸ εὐνοίης.

Δημαγήτῳ χαίρειν.

Οἶδα παρὰ σοὶ γενόμενος ἐν ῥόδῳ δημάγητε τὴν ναῦν ἐκείνην, ἡλίας ἐπιγραφὴ ἦν αὐτῇ, πάγκαλόν τινα καὶ διηρμοσμένον ἱκανῶς τε κεκοσμημένην. καὶ διάβασιν εἶχε πολλὴν, ἀπήεις δὲ καὶ τὸ ναυτικὸν αὐτῆς ὡς ὀξὺ καὶ ἀσφαλὲς καὶ ἔντεχνον ὑπουργῆσαι. καί τε τὸ οὖν τὴν εὐδρομέην. Ταύτην ἐκπέμψον ἡμῖν, εἰ οἷόν τε μὴ κώπαις, ἀλλὰ πτεροῖς ἐρετμώσας αὐτήν. ἐπείγει οὖν τὸ πρῆγμα φιλότης καὶ μάλα εἰς ἄβδηρα διαπλεῦσαι ποτὶ τάχος βούλομαι νοσέουσαν ἰήσασθαι πόλιν διὰ νοσεῦντα ἕνα δημόκριτον. ἀκούεις πού τι κλέος τοῦ ἀνδρός. τοῦτον ἡ πατρὶς αἰτιῆται μανίῃ κεκακῶσθαι, ἐγώ τε βούλομαι μὴ οὕτως αὐτὸν παρακόπτειν, ἀλλ' ἐκείνοις δόξαν γενέσθαι. γελᾷ φασιν ἀεί. καὶ οὐδέ ποτε παύεται γελῶν ἐπὶ παντὶ πρήγματι. σημεῖον αὐτὸ τοῦτο μανίης δοκέει. ὅθεν λέγε τοῖς ἐν ῥόδῳ φίλοις μετριάζειν καὶ μὴ πολλὰ γελᾶν. μηδὲ πολλὰ σκυθρωπάζειν. ἀλλὰ τουτέων ἀμφοῖν τὸ μέτριον κτήσασθαι. ἵνα τοῖς μὲν χαριέστατος εἶναι δόξειας. οἷς δὲ ἐς ἐπιστήμης περὶ ἀρετῆς μερμηρίζειν. ἔνι μέν τοι δημάγητε κακὸν παρ' ἕκαστον αὐτοῦ γελῶντος. εἰ γὰρ ἡ ἀμετρίη φλαῦρον, τὸ διὰ παντὸς, φλαυρότερον. καὶ εἴποιμι ἂν αὐτῷ, δημόκριτε καὶ νοσέοντος καὶ κτεινομένου καὶ τεθνεῶτος καὶ πολιορκουμένου, καὶ παντὸς ἐμπίπτοντος κακοῦ, ἕκαστον τῶν γινομένων ὕλη σοι γέλωτος ὑπόκειται. οὐ θεομαχεῖς δὲ, εἰ δύο ἐόντων ἐν κόσμῳ λύπης καὶ χαρᾶς σὺ θάτερον ἐκβέβληκας. μακάριος τ' ἂν ἦς. ἀλλ' ἀδύνατον εἰ μήτε ἡ μήτηρ σοι νοσέοι μήτε πατὴρ μήτε τὰ ὕστερον τέκνα. μὴ γυνὴ μὴ φίλος ἀλλὰ διὰ τὸν σὸν γέλωτα ἵνα σώζηται εὐτυχέως τὰ πάντα. ἀλλὰ νοσεόντων γελᾷς. ἀποθνησκόντων χαίρεις. ἤν τι πύθηαι κακὸν εὐφραίνεαι. ὡς πονηρότατος εἶ δημόκριτε καὶ πόρρω γε σοφίης. ἢ νομίζεις αὐτὰ μηδὲ κακὰ εἶναι. μελαγχολᾷς οὖν ὦ δημόκριτε. κινδυνεύω καὶ αὐτὸς ἀβδηρίτης εἶναι. φρονιμωτέρη δὲ πόλις. ἀλλὰ περὶ μὲν τούτων ἀκριβέστερον ἐκεῖ λέξομεν δημάγητε. ἡ δὲ ναῦς καὶ τὸν χρόνον τοῦτον ἐν ᾧ ἐπιστέλλω σοι χρονίζει.

Φιλοποίμενι χαίρειν.

Σύννους καὶ πεφροντικὼς ὑπὲρ δημοκρίτου ἐκείνῃ τῇ νυκτὶ καταδαρθεὶς, περὶ ἀρχομένην τὴν ἠῶ, ὄναρ ἐφαντάσθην. ἐξ οὗ νομίζω χάρτα, μηδὲν ἐπισφαλὲς γενήσεσθαι. ἐκπαγλῶς τι διηγέρθην. ἐδόκεον γὰρ αὐτὸν τὸν ἀσκληπιὸν ὁρᾷν. φαίνεσθαί τι αὐτὸν πλησίον· ἤδη δὲ πρὸς ταῖς ἀβδηριτέων πύλαις ἐτυγχάνομεν. ὁ δὲ ἀσκληπιὸς

οὐχ ὡς εἰώθασιν αὐτοῦ αἱ εἰκόνες, μειλίχιός τε καὶ πρᾶος ἰδέσθαι κατεφαίνετο, ἀλλὰ διηγερμένος τῇ σχέσει καὶ ἰδέσθαι φοβερώτερος· εἵποντο δὲ αὐτῷ δράκοντες, χρῆμά τι ἑρπετῶν ὑπερφυές, ἐπεκτεινόμενοι δὲ καὶ αὐτοὶ μακρῷ τῷ ἐπισύρματι· καί τι φρικῶδες ὡς ἐν ἐρημίῃ καὶ νάπῃ σκοιλήσι ὑποσυρίττοντες. οἱ δὲ κατόπιν ἑταῖροι κίστας φαρμάκων εὖ μάλα ἐσφηκωμένας ἔχοντες ἤεσαν. ὤρεξε δέ μοι τὴν χεῖρα ὁ θεός. κἀγὼ λαβόμενος ἄσμενος, ἐλιπάρεον συνέρχεσθαι· καὶ μὴ καθυστερέειν τι μου τῆς θεραπείης. ὁ δὲ οὐδέν τι ἔφη ἐν τῷ παρεόντι χρήζεις ἐμέο, ἀλλά σε αὕτη ξεναγήσει θεὸς ἀθανάτων τε καὶ θνητῶν· ἐγὼ δὲ ἐπιστραφεὶς ὁρέω γυναῖκα καλλίω τι καὶ μεγάλην ἀσφαλὲς πεπλοκισμένην λαμπροείμονα. διέλαμπον δὲ αὐτῆς οἱ τῶν ὀμμάτων κύκλοι καθαρόν τι φῶς ὡς ἀστέρων μαρμαρυγὰς δοκέειν. καὶ ὁ μὲν δαίμων ἐχωρίσθη. κείνη δὲ ἡ γυνὴ πιέξασά με τοῦ καρποῦ μαλθακῇ τινι δυτονίῃ διὰ τοῦ ἄστεος ἦγε φιλοφρονεομένη. ὡς δὲ πλησίον τῆς οἰκίης ἦμεν ἵνα τὴν ξενίην ἐδόκεον εὐτρεπίσθαι, ἄπεισιν ὡς φάσμα. μόνον εἰποῦσα αὔριόν σε παρὰ Δημοκρίτῳ καταλήψομαι. ἤδη δὲ αὐτῆς μεταστρεφομένης δέομαι, ἔφην, ἀρίστη τίς εἶ, καὶ τίνα σε καλέομεν. ἡ δέ, ἀλήθεια ἔφη. αὕτη δὲ ἣν προσιοῦσαν ὁρᾷς· καὶ γὰρ ἑτέρη τις καταφαίνεται οὐ κακὴ μὲν οὐδὲ αὐτή, θρασυτέρη δὲ καὶ σεσοβημένη, δόξα ἔφη καλέεται. κατοικέει δὲ παρὰ τοῖσιν Ἀβδηρίτῃσιν. ἐγὼ μὲν οὖν ἀναστὰς ὑπέκρινα ἐμαυτῷ τὸ ὄναρ ὅτι οὐδεήσοιτο ἰητροῦ Δημόκριτος, ὅπου γε αὐτὸς ὁ θεραπεύων θεὸς ἀπέστη, οὐκ ἔχων ὕλην θεραπείης· ἀλλ' ἡ μὲν ἀλήθεια τοῦ ὑγιαίνειν παρὰ Δημοκρίτῳ μένει. ἡ δὲ τοῦ νοσέειν αὐτὸν δόξα παρ' Ἀβδηρίτῃσιν ὄντως κατοικέει. ταῦτα πιστεύω ἀληθέα εἶναι Φιλοποίμην. καὶ ἔστι καὶ οὐκ ἀποσκορακίζω τὰ ὀνείρατα. μάλιστα δὲ ὁκόσα καὶ τάξιν διαφυλάττει. ἰητρικὴ δὲ καὶ πάνυ μαντικῇ συγγενής ἐστιν, ἐπεὶ τῶν δυεῖν τεχνέων εἷς πατὴρ ὁ Ἀπόλλων ὁ καὶ πρόγονος ἡμέων, ἐσομένας νούσους προαγορεύων καὶ νοσέοντας ἰώμενος.

Κρατεύᾳ χαίρειν.

Ἐπίσταμαί σε ῥιζοτόμον ἄριστον ἑταῖρε. καὶ διὰ τὴν ἄσκησιν καὶ διὰ τὸ προγόνων κλέος ὡς μηδὲν ἀποδεῖν σε τοῦ προπάτορος Κρατεύα· νῦν οὖν εἰ καί ποτε ἄλλοτε βοτανολόγησον ὁκόσα τε καὶ οἷα δύνασαι. ἀναγκαίη γὰρ ἐπείγει· καὶ διάπεμψαί μοι αὐτὰ ἐπ' ἄνδρα ὅλῃ πόλει ἰσοστάσιον Ἀβδηρίτην μέν, ἀλλὰ Δημόκριτον. νοσέειν γὰρ αὐτόν φασι καὶ καθάρσιος μάλα χρήζειν ἐπὶ τῆς μανίης ὄντα· μὴ χρησαίμεθα μὲν οὖν τοῖς φαρμάκοις ὥσπερ καὶ πέπεισμαι. ἀλλ' ὅμως εὐτρεπίσασθαι χρὴ πανταχόθεν. τὸ δὲ χρῆμα τῶν βοτανῶν πολλάκις παρὰ σοὶ ἐθαύμασα ὡς καὶ τὴν τῶν ὅλων φύσιν τε καὶ διάταξιν καὶ τὸ ἱερώτατον γῆς ἔρυμα. ἐξ ἧς τὰ ζῶα καὶ τὰ φυτὰ καὶ τροφαὶ καὶ φάρμακα καὶ τύχη καὶ ὁ πλοῦτος αὐτὸς ἀναφύεται. οὐδὲ γὰρ εἶχεν οὗ ἐπιβῇ ἡ φιλαργυρίη. οὐδ' ἂν Ἀβδηρῖταί με νῦν δέκα ταλάντοις ἐδελέαζον, αὐτὶ ἰητροῦ μισθωτὸν ἐλέγχοντες.

non ea lenitate ac facilitate, qua illius imagines conſpici ſolent, videbatur, ſed habitus erat commoto ſimilis, & aſpectus magis horrendus. Sequebantur autem eum dracones inter reptilia eximij, longóque tractu feſtinantes horrendum quiddam velut in ſolitudinibus & cauis vallibus ſubſibilantes. Ponè ibant comites medicamentorum ciſtas probè obturatas habentes. Deinde mihi manum Deus porrexit, qua lubenter arrepta, rogabam mecum vti veniret, neque me in curatione deſereret. Ille verò, nihil inquit mea opera in præſentia indiges, verùm hæc communis tum immortalium, tum mortalium dea, te nunc hoſpitem deducet. At ego conuerſus mulierem tum pulchram, tum magnam aſpicio, ſimplici capillorum ornatu, ſplendido cultu, cuius oculorum orbes claro lumine pellucebant, vti ſtellarum fulgores viderentur. Et Deus quidē diſceſſit, mulier verò illa appreſſa manu me leni quodam paſſu per vrbem perhumaniter complexa deduxit. Vbi verò ad domum venimus, vbi mihi hoſpitium paratum putabam, velut ſpectrum diſceſſit, dicere viſa, cras te apud Democritum offendam. Qua iam diſcedente, quæſo optima (inquam) quænam es, & quod tibi nomen eſt. Veritas inquit. Quàm verò accedentem vides, Opinio eſt (inquit) confeſtimque altera quędam mihi viſa eſt, neque mala hęc quidem ferociore tamen & faſtuoſo aſpectu, & apud Abderitanos habitat. Experrectus igitur mihi ipſi ſomnium explicaui, quòd ex quo ipſe Deus medendi author diſceſſiſſet, tãquam nullam curandi habeat materiam, Democritus medico non indigeat, ſed veritas ipſa, quòd ſanus ſit, apud Democritum manet, opinio verò quòd ægrotet, re vera apud Abderitanos habitat. Hæc vera eſſe, vt ſunt, credo Philopœmen, neque ſomnia reiicio, præſertim quæ ordinem conſeruant. Medicina autem & Diuinatio, magnam inter ſe cognationem habent, quandoquidem duarum artium pater eſt vnus Apollo progenitor noſter, qui & præſentes & futuros morbos prædicebat, & ægrotantes & ægrotaturos curabat. Vale.

Crateuæ S.

SCio te (ò amice) præſtantiſſimum eſſe herbarium, téque propter ſtudium & maiorum gloriam, nihil facultate Crateuæ proauo tuo cedere. Nunc igitur, ſi vnquam aliàs, quantas & qualeſcunque poteris herbas lege, cùm neceſſitas vrgeat, eáſque ad nos tranſmitte, ad virum curandum Abderitam quidem, verùm Democritum toti ciuitati æquiparandum. Eum enim ægrotare aiunt, & inſania detentum purgatione valde indigere. Ac vt ne medicamentis quidem (vt ſpero) vtamur, ſed tamen vndiquaque inſtructum eſſe oportet. Rem autem herbariam apud te ſemper miratus ſum, vt & rerum vniuerſarum naturam & ordinem, ſanctiſſimúmque terræ ſolum, ex qua animãtia, plantæ, alimenta, medicamenta, fortuna, diuitiæque ipſæ promanant. Neque enim alioqui pecuniæ cupiditas haberet, vbi conſiſteret, neque me nunc Abderitæ decem talentis illectaſſent, & pro Medico mercede conductũ deprehẽdiſſent.

Quòd

Quòd ſi Crateua amaram pecuniæ cupiditatis radicem excindere poſſis, vt ne vllæ eius reliquię reſtēt, hoc probè teneto, quod vnà cum hominum corporibus etiam malè affectos purgaremus. Sed hæc quidem in votis habenda. Tu verò nobis, quod præſens eſt, montanas & ex ſummis collibus herbas legito. Nam ob ſoli denſitatem, & aëris tenuitatem, aquoſioribus ſunt ſolidiores & vehementiores. Quòd enim attrahunt magis eſt animatum. Tenta tamen vt etiam ex his quæ circa ſtagna aut paludes naſcuntur flores colligas, & eas quæ apud nos fluuiales, aut fontanæ, aut ex aquis ſalientibus ſcatentes vocantur, quas ſanè imbecillas & remiſſas, ac dulci ſucci eſſe mihi perſuadeo. Succi autem omnes & fluidi liquores, in vitreis vaſis adferantur, ac rurſus folia, flores & radices in fictilibus nouis probè obturatis, vt ne ventis difflata vim medicam tanquam animo deficientes deſerant, verùm hæc ad nos confeſtim mitte. Anni enim tempeſtas commoda eſt, & dictæ inſaniæ neceſſitas vrget. Cùm enim ab omni arte aliena ſit procraſtinatio, tum verò maximè in Medicina, in qua dilatio vitæ periculum adfert. Temporũ autem opportunitates curationum ſunt animi, earùmque obſeruatio finis. Democritum ſanè quidem etiam citra medelam conualiturum ſpero. Si verò aliquod naturæ, aut occaſionis, aut alterius alicuius cauſæ erratum contingat (multa nanque nos mortales latent, cùm non admodum veritate præſtemus) ad id quod obſcurum eſt facultatem omnem congregatam eſſe opus eſt. Neque enim ei qui in periculo conſtitutus eſt, ſatis ſunt quæ poſſumus, verùm etiam quę non poſſumus expetit, ferèque ad duos fines bellum inferimus, vnum quidem hominis, alterum verò artis. Horum alter quidem obſcurus eſt, alter verò arte circumſcriptus eſt, & in his ambobus fortuna opus eſt. Nulla enim conjectura eorum quę ad purgationem cum cautione feruntur. Nam & ſtomachum malè affectum ſuſpectamus, & medicationis conuenientem modum ex ignota natura conijcimus. Neque enim eadem & vna eſt omnium natura, alterum autem ſemper etiam ſibi circumſer bens aſſimilat, interdum verò totum perdit. Quinetiam reptilia multa herbas ſuo veneno inficiunt, & ſuo circum hiatu cum interiore aura, malignitatem pro auxilio ipſis inſpirant. Idque ignorabitur, niſi certè macula quædam, aut inquinamentum, aut ferinus & iniucundus odor, eius rei quæ accidit notam dederit. Deinde ars ipſa propter fortunæ lapſum à via recta aberrat. Certiores autem ſunt per veratrum purgationes, quibus etiã Melampus ad Prœti filias, & Anticyreus in Hercule vſi fuiſſe traduntur. Ac optandũ nobis vt nullum ex his in Democrito vſurpemus, ſed ſapientia efficaciſſimum & præſtantiſſimum medicamentum illi contingat, & finem imponat.

Damageto S.

HOc ipſum conijciebamus Damagete, non delirat Democritus, ſed in omnibus ſapit, nóſque & per nos omnes homines ſapientiores reddit. Remiſi autem ad te amicè, re vera Æſculapij nauem, cui cum ſolis ſigno etiam ſanitatem apponito, cùm re vera proſpero numine vela fecerit,

εἴθε δὲ ἠδυνάσω κρατεύα φιλαργυρίης τὴν πικρὰν ῥίζαν ἐκκόψαι ὡς μηδὲν αὐτῆς λείψανον ἀφεῖναι. εὖ ἴσθι ἐκαθήραμεν ἂν τῶν ἀνθρώπων μετὰ τῶν σωμάτων τὰς ψυχάς. ἀλλὰ ταῦτα μὲν εὐχαί. σὺ δ' ἡμῖν τὸ παρεὸν μάλιστα τὰς ὀρεινὰς καὶ ὑψηλοφύτους ῥιζοτόμει βοτάνας. στεριφώτεραι γὰρ τῶν ὑδρηλοτέρων εἰσί. καὶ δριμύτεραι μᾶλλον διὰ τὴν τῆς γῆς πυκνότητα καὶ τὴν λεπτότητα τοῦ ἠέρος. ὅτι γὰρ ἕλκουσιν ἐμψυχότερόν ἐστι. πειρήθητι δ' ὅμως καὶ τὰς περὶ λίμνας ἢ λείους πεφυκυίας ἀνθολογῆσαι καὶ τὰς παραποταμίους ἢ κρηνίτιδας παρ' ἡμῖν καλεομένας ἀσθενείας καὶ ἀτόνους καὶ γλυκυχύλους εἶναι πέπεισμαι. πάντα δὲ ὁκόσα χυλοὶ καὶ ὀποὶ ῥέουσι, ἐν ὑελοῖς ἀγγείοις φερέσθωσαν. ὁκόσα δ' αὖ φύλλα ἢ ἄνθεα ἐν κεράμοισι πεφιμωμένοις. ὅκως μὴ διαῤῥιπιζόμενα τῇσι πνοιῇσιν ἐκλίπῃ τὸν τόνον τῆς φαρμακίης ὥσπερ ἀποψυχήσαντα. ἀλλ' εὐθὺ ἡμῖν ταῦτα πέμψον. καὶ γὰρ ἡ ὥρα τοῦ ἔτεος ἁρμόδιος. καὶ ἡ ἀνάγκη τῆς λεγομένης μανίης ἐπείγει. τέχνης δὲ πάσης μὲν ἀλλότριον ἀναβολή. ἰητρικῆς δὲ καὶ πάνυ. ἐν ᾗ ψυχῆς κίνδυνος ἡ ὑπέρθεσις. ψυχαὶ δὲ τῆς θεραπείης οἱ καιροί. ὧν ἡ παραφυλακὴ τὸ τέλος. ἔλπομαι οὖν ὑγιέα εἶναι Δημόκριτον καὶ δίχα ἰήσιος. εἰ δ' ἄρα τι σφάλμα φύσιος ἢ καιροῦ ἢ ἄλλη τι; αἰτίης γένοιτο, πολλὰ γὰρ ἂν ἡμᾶς θνητοὺς ἰδίας λάθοι ἅτε μὴ πόῤῥω μὴ δ' ἀτρεκίης ἀντιποιέονται ἐπὶ τὸ ἄδηλον. πᾶσαν χρεὼ δύναμιν τεθεῖσθαι. ἡ γὰρ ἀρκέεται ὁ κινδυνεύων οἷς δυνάμεθα, ἀλλ' ἐπιθυμεῖ καὶ ἃ μὴ δυνάμεθα, καὶ σχεδὸν ἀεὶ πρὸς δύο στρατευόμεθα τέλεα. τὸ μὲν, ἀνθρώπου. τὸ δὲ τέχνης. ὧν τὸ μὲν, ἄδηλον. τὸ δὲ, τῇ ἐπιστήμης ὥρισται. δεῖ δὲ ἐν ἀμφοτέροισι τουτέοισι καὶ τύχης. τὸ γὰρ ἀτέκμαρτοι ἐν ταῖσι καθάρσεσι δι' ἀλλεβόρου ἰόντες. καὶ στομάχου κάθαρσιν ὑφορώμεθα καὶ συμμετρίην φαρμακίης πρὸς ἀγνοουμένην φύσιν στοχαζόμεθα. οὐ γὰρ ἡ αὐτὴ καὶ μία φύσις ἁπάντων. ἕτερον δ' αἰεὶ πρὸς ἑωυτὴν ὁρίζουσαν οἰκείην. ἐνίοτε δὲ καὶ τὰς βοτάνας πολλὰ τῶν ἑρπετῶν ἐνιοβόλησε. καὶ περιχανόντα τῷ ἐντὸς αὔρῃ κέκροσιν ἀντ' ἀλέξιος αὐτοῖσι προσπέπνευκεν. εἰ μή τις ἄρα κηλὶς ἢ σπίλος ἢ ὀδμὴ θηριώδης καὶ ἀπηνὴς τοῦ γινομένου σύμβολον φανείη. εἶτα ἡ τέχνη διὰ τὸ σύμπτωμα τῆς τύχης τῆς κατορθώσιος ἀφῄρηται. βεβαιότεραι δ' αἰεὶ αἱ δι' ἐλλεβόρου διὰ τοῦτο καθάρσιες. αἷς καὶ μελάμπους ἐπὶ τῶν προίτου θυγατέρων καὶ ἀντικυρεὺς ἐφ' ἡρακλέα ἱστορέονται κεχρῆσθαι. μὴ χρησαίμεθα δὲ ἡμεῖς ἐπὶ Δημοκρίτου μηδενὶ τουτέων. ἀλλὰ γένοιτο ἐκείνῳ τὸ δραστικώτατον φάρμακον σοφίη.

Δημαγήτῳ χαίρειν.

ΤΟῦτο ἐκεῖνο Δημάγητε ὅπερ εἰκάζομεν. οὐ παρέκοπτε Δημόκριτος, ἀλλὰ πάντας ὑπερεφρόνει καὶ ἡμᾶς ἐσωφρόνιζε. καὶ δι' ἡμέων ἐσωφρόνιζε πάντας ἀνθρώπους. ἐξέπεμψα δέ σοι φιλότης ὡς ἀληθῶς τὴν ἀσκληπιάδα νῆα ἣν προσέθηκα μετὰ τῶ ἡλίου ἐπίσημον καὶ ὑγιείην. ἐπεὶ κατὰ δαίμονα τῷ ὄντι ἰσοδρόμηκε.

καὶ ἐκείνῃ τῇ ἡμέρῃ κατέπλευσα εἰς ἄβδηρα. ἧπερ αὐτοῖς ἐπεστάλκειν ἀφίξεσθαι. πάντας οὖν ἀολλέας περὶ τὰς πύλας εὕρομεν ὡς εἰκὸς ἡμέας περιμένοντας, οὐκ ἄνδρας μόνον ἀλλὰ καὶ γυναῖκας. ἔτι δὲ καὶ πρεσβύτας καὶ παιδία νὴ τοὺς θεοὺς κατηφέα καὶ τὰ νήπια. οὗτοι μέντοι ὧδε εἶχον ὡς ἐπὶ μαινομένῳ τῷ δημοκρίτῳ· ὁ δὲ μετ᾽ ἀκριβείας τότε ὑπερεφιλοσόφειν. ἐπεὶ δέ με εἶδον, ἔδοξαν μικροῦ ἑωυτῶν γεγονέναι καὶ χρηστὰς ἐλπίδας ἐποιέοντο. ὁ δὲ φιλοποίμην ἄγειν με ἐπὶ τὴν ξενίην ὥρμητο. κἀκείνοισι συνεδόκεε τοῦτο. ἐγὼ δὲ ἔφην ὦ ἀβδηρῖται οὐδέν ἐστι μοι προὔργου ἢ δημόκριτον θεήσασθαι. οἱ δὲ ἐπήνεον ἀκούσαντες καὶ ἥσθησαν. ἦγόν τε συντόμως διὰ τῆς ἀγορῆς· οἱ μὲν ἑπόμενοι. οἱ δὲ, προθέοντες ἐκεκράγεσαν ἕτεροι. ὦ ζεῦ βασιλεῦ λέγοντες βοήθει θεράπευσον. κἀγὼ παρηγόρειν θαρρέειν ὡς τάχα μὲν οὐδενὸς κακοῦ πιστεύων ἐτησίῃσιν ὥρησιν. εἰ δ᾽ ἄρα καί τινος βραχέος ἐπιδιορθωσομένου· καὶ ἅμα ταῦτα λέγων ᾔειν. οὐδὲ γὰρ πόρρω ἦν ἡ οἰκίη· μᾶλλον δὲ οὐδὲ ἡ πόλις. παρήειμεν οὖν πλησίον γὰρ τοῦ τείχεος ἐτύγχανε. καὶ ἀνάγουσί με ἠσυχῇ. ἔπειτα κατόπιν τοῦ πύργου βουνός τις ὑψηλὸς μακρῇσι καὶ λασίῃσιν αἰγείροις ἐπίσκιος· ἔνθεν ἑωρᾶτο τὰ τοῦ δημοκρίτου καταγώγια. καὶ αὐτὸς ὁ δημόκριτος ἐκάθητο ὑπό τινι ἀμφιλαφεῖ καὶ χθαμαλῇ πλατανίστῳ ἐν ἐξωμίδι παχείῃ. μοῦνος. ἀνήλειπτος. ἐπὶ λιθίνῳ θώκῳ. ὠχριακὸς πάνυ καὶ λεπτόσαρκος. κουριῶν τὰ γένεια. παρ᾽ αὐτὸν δὲ ἐπὶ δεξιῆς, λεπτόρρυτον ὕδωρ κατὰ πρανοῦς τοῦ λόφου ἠρεμαίως ἐκελάρυζεν. ἦν δέ τι τέμενος ὑπὲρ ἐκεῖνον τὸν λόφον, ὡς ἐν ὑπονοίῃ κατεικάζοντι νυμφέων ἱδρυμένον αὐτοφύτοισιν ἐπηρεφὲς ἀμπέλοισιν. ὁ δ᾽ εἶχεν ἐν εὐκοσμίῃ πολλῇ ἐπὶ τοῖν γονάτοιν βιβλίον· καὶ ἕτερα δέ τινα ἐξ ἀμφοῖν τοῖν μεροῖν αὐτῷ παρεβέβλητο. σεσώρευτο δὲ καὶ ζῶα συχνὰ ἀνατετμημένα δι᾽ ὅλων. ὁ δὲ ὁτὲ μὲν συντόμως ἔγραφεν ἐγκείμενος, ὁτὲ δὲ ἠρέμει. πάμπολύ τι ἐπέχων καὶ ἐν ἑωυτῷ μερμηρίζων. εἶτα μετ᾽ οὐ πολὺ τούτων ἐρδομένων ἐξαναστὰς περιεπάτει. καὶ τὰ σπλάγχνα τῶν ζώων ἐπεσκόπει. καὶ καταθεὶς αὐτὰ μετελθὼν ἐκαθέζετο· οἱ δὲ ἀβδηρῖται περιεστῶτές με κατηφέες. καὶ οὐ πόρρω τὰς ὄψεις δακρύων ἔχοντες, φασίν· ὁρᾷς μέντοι τὸν τοῦ δημοκρίτου βίον, ὡς μέμηνεν ὦ Ἱππόκρατες. καὶ οὔτε ὅ,τι θέλει οἶδεν, οὔτε ὅτι ἔρδει. καί τις αὐτῶν μᾶλλον ἐνδείξασθαι βουλόμενος τὴν μανίην αὐτοῦ, ὀξὺ ἐκώκυσεν. ἴκελον γυναικὶ ἐπὶ θανάτῳ τέκνων ὀλοφυρομένῃ. εἶτα ἐνώμωξεν ὑποκρινόμενος προσοδίτην ἄλλος ὀλέσαντα ὃν ἐκόμιζε. καὶ ὁ δημόκριτος ἀκούων τὰ μὲν ἐμειδία, τὰ δὲ ἐξεγέλα. οὐκ ἔτ᾽ οὐδὲν γράφων· τὴν δὲ κεφαλὴν θαμινὰ ἐπισείων. ἐγὼ δὲ, ὑμεῖς μὲν ἔφην ὦ ἀβδηρῖται αὐτοῦ μένετε. ἐγγυτέρω δὲ αὐτὸς καὶ λόγου καὶ σώματος τἀνδρὸς γενηθεὶς, ἰδὼν καὶ ἀκούσας, εἴσομαι τοῦ πάθεος τὴν ἀλήθειαν. καὶ ταῦτα εἰπὼν, κατέβαινον ἠσυχῇ· ἦν δὲ ὀξὺ καὶ ἐπίφορον ἐκεῖνο τὸ χωρίον. μόλις δ᾽ οὖν διαστηριζόμενος διῆλθον. ἐπεὶ δὲ ἐπλησίαζον, ἔτυχε τότε ἐπελθὼν αὐτῷ ὅ,τι δήποτε γράφειν ἐνθουσιωδῶς καὶ μεθ᾽ ὁρμῆς·

eóque die Abderam nauigarit, quò me peruenturum ſcripſeram. Omnes igitur pro portis congregatos offendimus, nos, vt eſt veriſimile, expectantes, nō viros ſolùm, verumetiam mulieres, atque etiam ſenes & pueros, per Deos triſtes, itémque infantes. Hi ſanè ſic affecti erant, quòd Democritus inſaniret, at ille tunc exacta quadam diligentia philoſophiæ incumbebat. Vbi autem me viderunt, paullùm ad ſe rediiſſe, & bene ſperare viſi ſunt. Philopœmen verò me ad hoſpitium ducere properabat, quod & communiter illis placebat. At ego (viri Abderitæ) inquam, nihil mihi prius faciendum exiſtimo, quàm vt Democritum videam. Quo audito collaudarunt & lætati ſunt, méque continuò per forum deduxerunt, alij quidem ſequentes, alij præcurrentes, aliáque ex parte alij clamantes vt ſeruarem, adiuuarem, medelam adhiberem. At ego bono animo eſſe iubebam, quòd Eteſiarum tempeſtate fretus, nullum quidem malum, aut certè breui & facilè corrigi poſſe ſperarem. Simúlque hæc dicens pergebam, neque enim procul domus erat, imò neque tota ciuitas. Adiuimus igitur, cùm iuxta mœnia eſſet, illúcque me placide deducunt. Deinde poſt turrim collis erat altus, longis & denſis populis nigris opacus, vnde Democriti domicilium conſpiciebatur. Ipſéque Democritus ſub vmbroſa & humillima Platano ſedebat, in breui & ſubſtricta tunica craſſa citra humeros deſinente (exomide dicta) ſolus, ſqualidus, in lapidea ſella, pallidus admodum & macilentus, barba promiſſa. Iuxta eum ad dextram tenuis aquula per decliuem tumulum decurrens placidè reſonabat. Erat autem delubrum quoddam ſuper tumulum illum, Nymphis quidem, quantùm coniicere licet, dedicatum, ſponte enatis vitibus circumdatum. Hic verò compoſitè admodum librum ſuper genua habebat, & alij quidam vtraque ex parte ei adiacebant, crebra autem animalium cadauera per totum diſſecta, accumulata erát. Hic autem interdum contento ſtudio ſcriptioni incumbebat, interdum multùm ſubſiſtens, & apud ſe anxiè cogitans quieſcebat. Deinde non multò pòſt his peractis, exurgens deambulabat, & animalium viſcera attentè inſpiciebat, hiſque depoſitis reuerſus rurſus deſidebat. At verò Abderitæ mihi triſtes, nec procul à lachrymantibus oculis aſſiſtentes. Vides certè (inquiunt) Hippocrates Democriti vitam, quàm inſaniat, neque quid velit, aut quid faciat nouit. Et ex his aliquis cùm adhuc eius inſaniam mihi magis demonſtrare vellet, altos eiulatus ad inſtar mulieris liberorum mortem lamentantis edidit, deinde rurſus ingemuit, viatoris perſonam gerens, qui quod ferebat perdidit. Quibus auditis Democritus partim riſit, partim ſubſannauit, nihilque amplius ſcribebat, caput verò crebrò concutiebat. At ego, vos quidem (inquam) viri Abderitæ hîc manete, vbi autem ipſe propiùs âcceſſero & viri verba audiero, corpúſque videro, affectus veritatem cognoſcam, hiſque dictis placidè deſcendi. Erat autem præceps locus ille & pronus, vix igitur greſſum retinens permeaui. Vbi verò propiùs acceſſi, fortè in eum incidi, cùm ſanè quid diuino furore act⁹ & concitatus ſcriberet.

Iſthic

Iſthic igitur conſtiti, tempus opportunum dum ipſe ceſſaret expectans. At ille non multò pòſt, depoſito impetu & ſtylo ſcriptorio, hoc accedentem aſpexit, & Salue, inquit, hoſpes. Et ego, tu quoque plurimùm (inquam) Democrite hominum ſapientiſſime. Ille verò pudore ſuffuſus (opinor) quòd me nomine non compellaſſet. Te verò (inquit) quonam nomine vocauero? Tui enim nominis ignoratio, occaſio fuit cur te hoſpitem appellarem. Hippocrates (inquam) Medicus vocor. At ille. Aſclepiadarum (inquit) nobilitas, tuæque in arte Medica ſapientiæ gloria crebris admodum hominum ſermonibus ad nos peruenit. Quodnam verò te negocium (ô amice) huc adduxit? Quin potiùs omiſſis omnibus conſideres. Cernis enim quàm nõ ſit iniucunda hæc foliis inſtrata ſedes, viridis ad hęc & mollis, & ad inſidendum blandior inuidiæ obnoxiis fortunæ ſellis. Cùm verò conſediſſem, rurſus inquit, priuatum igitur an publicum animo agitans negotium huc veniſti? eloquere apertè. Ad id enim te pro viribus adiuuabimus. Ego verò, iſta ſanè vera cauſa eſt, huc tui gratia venio, vt te virum ſapientem conueniam. Occaſionem autem patria dedit, cuius legationem obeo. At ille, Hoſpitio igitur primùm noſtro vtere. Ego verò pertentato per omnia viro, etſi eum minimè delirare iam mihi conſtaret, Philopœmenem, inquam, noſti, ciuem veſtrum? Ille verò, maximè, inquit, Damonis filiũ dicis, cuius ædes ſunt iuxta fontem Hermaïdas? Illum ipſum (inquam) cuius antiquus ſum & peculiaris hoſpes. Tu verò Democrite, potiore me hoſpitio excipito, imprimíſque quidnam ſcribas eloquere. Ille verò paulùm moratus, de inſania, inquit. Tum ego, Iuppiter Rex, inquam, peropportunè ſanè contra ciuitatem ſcribis. At ille, quam ciuitatem Hippocrates? Nihil inquam ô Democrite, ſed neſcio quo modo mihi excidit. Sed quid de inſania ſcribis? Quidnam verò, inquit, aliud, quàm quid ſit, & quomodo hominibus innaſcatur, & quanam ratione alleuetur. Hæc enim inquit, quæ vides animantia, huius certè rei gratia reſeco, nunnunè Dei opera odio proſequens, ſed bilis naturam & ſedem inquirens. Noſti enim quòd hæc vbi redundarit, vt plurimùm hominum inſaniæ cauſæ eſt. In omni quidem natura ineſt, ſed in aliis quidem minùs, in aliis verò copioſiùs. Huius autem immoderantia morbi exiſtunt, velut materia, partim quidem bona, partim verò mala ſubiecta. Tum ego, per Iouem, inquam, ô Democrite, verè & ſapienter ais. Proinde te beatum iudico, qui tanta quiete frueris, cuius participes eſſe nobis non liceat. At eo interrogante, cur Hippocrates non liceat? Quòd, inquam, aut ægri, aut res familiaris, aut liberi, aut æs alienum, aut morbi, aut mortes, aut ſerui, aut nuptiæ, aut eiuſmodi quædam huius opportunitatem nobis reſcindant. Tum ſanè vir ille inſolitam affectionem delapſus, & abundè in riſum effuſus eſt, & vehementiùs riſit, ac de cætero quieuit. At ego, quid ſanè Democrite (inquam) rides? num de bonis aut malis quæ dixi? Ille verò adhuc magis ridebat. Quod procul videntes Abderitæ, partim quidẽ capita, partim verò frontem cædebant. quidam etiam capillos euellebant. Nam quemadmodum poſtea narrarunt, copioſiore quàm ſolitus eſſet riſu

εἱστήκειν οὖν περιμένων αὐτὸν τὸν καιρὸν τῆς ἀναπαύσιος. ὁ δὲ μετὰ μικρὸν τῆς φορῆς λήξας τοῦ γράφειν, προσέβλεψέ τε εἰς ἐμὲ προσιόντα καί φησι. χαῖρε ξεῖνε. κἀγώ, πολλὰ δὲ καὶ σὺ Δημόκριτε ἀνδρῶν σοφώτατε. ὁ δὲ αἰδεσθεὶς οἶμαι ὅτι ἐξ ὀνόματος οὐ προσεῖπέ με, σὲ δὲ ἔφη τίνα καλέομεν. ἀγνοίη γὰρ τοῦ σοῦ ὀνόματος, πρόφασις τῆς τοῦ ξείνου προσηγορίας. ἱπποκράτης ἔφην ἔμοιγε ὄνομα ὁ ἰητρός. ὁ δὲ εἶπεν, ἡ τῶν ἀσκληπιαδῶν εὐγένεια πολύ τε σου τὸ κλέος τῆς ἐν ἰητρικῇ σοφίης παρεγένετο ὡς ἐμέ. τί δὲ σε χρέος δεῦρ' ἤγαγεν ἑταῖρε. μᾶλλον δὲ πρὸ πάντων καθίσον. ὁρᾷς δὲ τὸν ἕδρην οὐκ ἀηδῆ φύλλων θημῶνα ὡς χλωρὸς καὶ μαλακός ἐστι καθίσαι. καὶ προσηνέστερος τῶν τύχης ἐπιφθόνων θώκων. καθίσαντος δέ μου πάλιν φησὶν ἴδιον οὖν τι ἢ ἐπιδήμιον διζήμενος πρῆγμα δεῦρο ἀφῖξαι. φράζε σαφέως. καὶ γὰρ ἡμεῖς ὅτι δυναίμεθα συνεργοῖμεν. κἀγὼ τὸ μὲν κατ' ἀλήθειαν ἔφην ἥκω σοῦ. δεῦρο γὰρ ἥκω σοὶ συντυχεῖν ἀνδρὶ σοφῷ. ἔχει δὲ πρόφασιν ἡ πατρίς, ἧς πρεσβείαν τελῶ. ὁ δέ, ξενίῃ τοίνυν τῇ πρώτῃ κέχρησο ἡμετέρῃ. πειρώμενος δὲ κατὰ πάντα τἀνδρός, καίπερ ἤδη μοι δήλου μὴ παρακόπτειν, φιλοποίμενα οἶσθα ἔφην, πολίτην ἐόντα ὑμέτερον; ὁ δὲ καὶ μάλα ἔφη εἰ τὸν δάμωνος λέγεις υἱόν, τὸν οἰκέοντα παρὰ τὴν ἑρμαΐδα κρήνην, τοῦτον εἶπον ὦ τι ἡμῖν ἐστὶν ἐκ πατέρων ἰδιόξεινος. ἀλλὰ σὺ δημόκριτε τῇ κρείσσονί με ξενίῃ δέχου. καὶ πρῶτόν γε τί ἦν τοῦτο ὃ γράφων τυγχάνεις φράζε. ὁ δὲ ἐπισχὼν ὀλίγον, περὶ μανίης ἔφη. κἀγώ, ζεῦ βασιλεῦ, τῆς εὐκαιρίας γε ἀντιγράφεις πρὸς τὴν πόλιν. ὁ δέ, ποίην φησὶ πόλιν ἱππόκρατες. ἐγὼ μὲν οὐδὲν ἔφην ὦ δημόκριτε. ἀλλ' οὐκ οἶδ' ὅπως προὔπεσεν. ἀλλὰ τί περὶ μανίης γράφεις. τί γὰρ εἶπεν ἄλλο, ἢ τίς τέ ἐστι, καὶ ὅκως ἀνθρώποισιν ἐγγίνεται. καὶ τίνα τρόπον ἀπολωφοῖτο. τὰ γὰρ ζῶα ταῦτα ἔφη ὁκόσα ὁρᾷς, τούτου μέντοι γε ἕνεκα ἀνατέμνω. οὐ μισέων θεοῦ ἔργα. χολῆς δὲ διζήμενος φύσιν καὶ θέσιν. οἶσθα γὰρ ἀνθρώποισι παρακρουστικῆς ὡς αἰτίη ἐπιπολὺ αὕτη πλεονάσασα. ἐπεὶ πᾶσι μὲν φύσει ἐνυπάρχει. ἀλλὰ παρ' οἷς μὲν ἐλάσσων, παρ' οἷς δέ τισι πλείων. ἡ δὲ ἀμετρίη αὐτῆς νοῦσοι τυγχάνουσιν ὡς ὕλης ὁτὲ μὲν ἀγαθῆς, ὁτὲ φαύλης ὑποκειμένης. κἀγὼ νὴ Δί' ἔφην ὦ Δημόκριτε ἀληθέως τε καὶ φρονίμως λέγεις. ὅθεν εὐδαιμονίζω σε κείνω, ἀπολαύοντα τοσαύτης ἡσυχίας. ἡμῖν δὲ μετέχειν ταύτης οὐκ ἐπιτέτραπται. ἐρομένου δὲ διὰ τί ἱππόκρατες οὐκ ἐπιτέτραπται. ὅτι ἔφην ἢ νοσηλείη, ἢ τέκνα, ἢ δάνεια, ἢ νοῦσοι, ἢ θάνατοι, ἢ δμῶες, ἢ γάμοι, ἢ τοιαῦτά τινα τὴν εὐκαιρίην ὑποτέμνεται. ἐνταῦθα δὴ ὁ ἀνὴρ εἰς τὸ εἰωθὸς πάθος κατηνέχθη. καὶ μάλα ἀθρόον τι ἀνεκάγχασε, καὶ ἐπεγέλασε, καὶ τὸ λοιπὸν ἡσυχίαν ἦγε. κἀγὼ τί μέντοι ἔφην ὦ δημόκριτε καταγελᾷς. πότερον τὰ ἀγαθὰ ὧν εἶπον ἢ τὰ κακά. ὁ δὲ, ἔτι μᾶλλον ἐγέλα. καὶ ἀπόπροθεν ὁρῶντες οἱ ἀβδηρῖται, οἱ μὲν τὰς κεφαλὰς αὐτῶν ἔκοπτον. οἱ δὲ τὰ μέτωπα. οἱ δὲ τὰς τρίχας αὐτῶν ἔτιλλον. καὶ γὰρ ὡς ὕστερον ἔφασαν, πλεονάζοντι παρὰ τὸ

εἰωθὸς κατελεύχθη. καὶ μάλ' ἀθρόον τι ἐκχέοιτο τῷ γέλωτι. ὑποτυχὼν δὲ ἐγὼ ἔφην. ἀλλὰ μὴν σοφῶν ἄριστε Δημόκριτε. ποθέω γὰρ αἰτίην τῆς περὶ σὲ πάθεος καταλαβέσθαι, τίνος ἄξιος ἐφάνην ἐγὼ γέλωτος αὐτὸς ἢ τὰ λεχθέντα. ὅκως ἢ μαθὼν παύσωμαι τῆς αἰτίης, ἢ σὺ ἐλεγχθεὶς, διακρατήσῃ τοὺς ἀκαίρους γέλωτας. ὁ δὲ, Ἡράκλεις ἔφη. εἰ γὰρ δυνήσῃ με ἐλέγξαι, θεραπείην θεραπεύσεις οἵην οὐδένα πώποτε Ἱππόκρατες. καὶ πῶς οὐκ ἐλεγχθήσῃ ἔφην ὦ ἄριστε. ἢ οὐκ οἶσθα, ἄτοπος γὰρ εἶ γελῶν θάνατον ἀνθρώπου, ἢ νοῦσον, ἢ παρακοπὴν, ἢ σφαγὴν, ἢ ἄλλο τι χέρειον. ἢ τοὔμπαλιν γάμους, ἢ πανηγυρίας, ἢ τεκνογονίην, ἢ μυστήρια, ἢ ἀρχὰς, ἢ τιμὰς, ἢ τῶν ὅλως ὅσα ἀγαθόν. καὶ γὰρ ἃ δεῖ οἰκτείρειν, γελᾷς. καὶ ἐφ' οἷσιν ἥδεσθαι χρὴ, καταγελᾷς τούτων. ὥστε μήτε ἀγαθὸν μήτε κακὸν παρὰ σοὶ διακεκρίσθαι. ὁ δὲ, ταῦτα μὲν εὖ λέγεις Ἱππόκρατες. ἀλλ' οὐκ οἶσθά πω ἡμετέρου γέλωτος αἰτίην. μαθὼν δὲ, εὖ οἶδ' ὅτι κρείσσονα τῆς πρεσβείας αὐτὴν προνοησάμενος, ἀποίσῃ θεραπείην τὸν ἐμὸν γέλωτα τῇ πατρίδι. καὶ ἑαυτὸν καὶ τοὺς ἄλλους δυνήσῃ σωφρονίζειν. αἶθ' ἂν ἴσως κἀμὲ διδάξειας ἰητρικὴν ἀμοιβηδόν. γνοὺς οἵην περὶ τὰ ἀσπούδαστα φιλοτιμεόμενοι πρήσσειν τὰ μηδενὸς ἄξια πάντες ἄνθρωποι, τὸν βίον ἀχρήστως ἀναλίσκουσι, γέλωτος ἄξια διαπονεῦντες. ἐγὼ δ' ἔφημι, λέγε πρὸς θεῶν. μήποτε γὰρ διαλανθάνει νοσέων πᾶς ὁ κόσμος, καὶ οὐδὲ ἔχει ὅκη διαπέμψῃ πρεσβείην πρὸς θεραπείην; τί γὰρ ἂν εἴη ἔξω αὐτοῦ. ὁ δὲ, ὑπολαβὼν, πολλαὶ γάρ φησιν ἀπειρίαι κοσμέων εἰσὶν ὦ Ἱππόκρατες. καὶ μηδαμῶς ἑταῖρε καταμικρολόγει πλουσίην τὴν φύσιν ἐοῦσαν. ἀλλὰ ταῦτα μὲν ἔφην ὦ Δημόκριτε διδάξεις ἐν ἰδίῳ καιρῷ. εὐλαβέομαι δὲ μήπως καὶ τὴν ἀπειρίην διεξιὼν, γελᾷν ἄρξῃ. ἔστι τοίνυν περὶ τοῦ σοῦ γέλωτος τῷ βίῳ λόγον δώσειν. ὁ δὲ μάλα ξυντόνως ἀπιδών με, δύο φησὶ τοῦ ἐμοῦ γέλωτος αἰτίας δοκέεις ἀγαθὰ καὶ φλαῦρα. ἐγὼ δ' ἕνα γελῶ τὸν ἄνθρωπον. ἀνοίης μὲν γέμοντα. κενὸν δὲ ἐπιτηδευμάτων ὀρθῶν, πάσῃσιν ἐπιβολῇσι νηπιάζοντα. καὶ μηδεμιῆς ἕνεκεν ὠφελείης ἀνύοντα τοὺς ἀνηνύτους μόχθους. πείρατα γῆς καὶ ἀορίστους μυχοὺς ἀμετρίῃσι ἐπιθυμίῃ ὁδεύοντα. ἄργυρον τήκοντα καὶ χρυσόν. καὶ μὴ παυόμενον τῆς κτήσιος ταύτης. ἀεὶ δὲ θορυβεόμενον περὶ τὸ πλέον ὅκως αὐτὸς ἐλάσσων γένηται. καὶ οὐδὲν αἰσχύνεται λεγόμενος εὐδαίμων. ὅτι χάσματα γῆς ὀρύσσει δεσμίων χερσίν. ὧν οἱ μὲν ἐπὶ συμπεσούσης τῆς γῆς ἐφθάρησαν. οἱ δὲ πολλῷ χρόνῳ ταύτην ἄγοντες τὴν ἀνάγκην ὡς ἐν πατρίδι τῇ κολάσει καταμένουσιν, ἄργυρον καὶ χρυσὸν μαστεύοντες. ἴχνη κόνιος καὶ ψήγματα ἐρευνῶντες, ψάμμον ἄλλην ἀλλαχόθεν ἀγείροντες καὶ γῆς φλέβας ἐκτέμνοντες εἰς περιουσίην ἀεὶ βωλοποιοῦντες ἐκ γῆς μητρός. τὴν δὲ μίαν γῆν καὶ τὴν αὐτὴν ἐοῦσαν καὶ θαυμάζουσι καὶ πατέουσιν.

vſus fuerat. Tum ego. At verò ſapientem optime Democrite (huius enim tui affectus cauſam deprehendere cupio) quonam tibi riſu dignus viſus ſum, aut ea quæ dicta ſunt, vt hoc cognito, cauſa deſiſtam, vel tu reprehenſus, importunos hos riſus ſummoueas. Tum ille, ſi (mehercule) inquit, redarguere me poteris, curationem Hippocrates, qualem nullus vnquam, feceris. Et quomodo (inquam) optime, reprehenſione dignus non videaris, aut te abſurdũ non eſſe putas, ſi hominum mortẽ rides, aut morbum, aut dementiam, aut inſaniam, aut melancholiam, aut cædem, aut quid peius? Aut cõtrà, nuptias, aut conuentuum celebritates, aut liberorum natales, aut myſteria, aut magiſtratus, aut honores, aut aliud quid prorſus bonum? Quæ enim commiſeratione digna ſunt rides, & de quibus lætari oporteat, ea etiam derides, adeò vt apud te neque boni, neq; mali vllum ſit diſcrimen. At ille, rectè quidem dicis Hippocrates, verùm riſus noſtri, cauſam nondum noſti, quam cùm didiceris, certus ſum quòd meum riſum meliorem curationem pro tua legatione patriæ tibique ipſi viciſſim reportabis, qua etiam alios prudentiores reddere poteris. Pro quibus fortaſſe me etiam Medicinam mutuò docueris, vbi cognoueris quanto ſtudio omnes homines ad ea quæ negligenda ſunt & nullius pretij facienda contendunt, & in his quæ riſu digna ſunt conſectandis vitam conſumunt. Tum ego, dic per Deos, inquã, nunquid omnis mundus ſe ægrotare ignorat, neque habet vnde ſui curationem legatione accerſat? Quid enim extra eum eſſe poteſt? Quo audito, multæ (inquit) ſunt Hippocrates mundorum infinitates, nolique (amice) naturam diuitem vt paruam exiſtimare. Sed hæc Democrite (inquam) ſuo tempore docebis. Vereor enim ne ſi quando infinitatem percenſueris, ridere incipias. Nunc verò de tuo riſu in vita reddendam eſſe tibi rationẽ puta. At ille admodum perſpicuè in me intuens, Duas inquit, mei riſus cauſas exiſtimas, bona & mala. At ego vnum hominem rideo, amentia quidem refertum, rectè factis vacuum in omnibus conſilijs pueriliter agentem, nullius vtilitatis gratia immenſos labores tolerantem, terræ fines & infinitos receſſus agenti & auri comparãdi gratia immoderatis cupiditatibus peragrantem, & nunquam ab his comparandis ceſſantem, ſemper verò ad copiam tumultuantem, ne ſi ea deſtituatur, pudore ſuffundatur, quòd felix non dicatur. Quòd in terræ hiatus inquirens eorum manibus effodiat, qui partim quidem à terra manu irruente intereunt, partim verò diutiùs hac neceſſitate detenti, in ſupplicio tanquam in patria permanent, aurum & argentum perquirentes, pulueris veſtigia & ramenta peruestigantes, arenam aliam aliunde excitãtes, & terræ venas excindentes, ad opulentiam ſemper terram matrem tanquam hoſtilem in glebas proſcindunt, quam eandem etiam cum admiratione calcant. Quantùm verò rideri debet quòd terram latentem cum labore amant, apertam contumelia afficiunt. Canes emunt, quidam etiam equos, quidam verò multa circumſcripta regione eam ſibi adſcribant, & cum

ὅσος γέλως ἐπιμόχθου, καὶ κρυφίης γῆς ἐρῶσι καὶ τὴν φανερὴν ὑβρίζουσι. κύνας ὠνέονται, οἱ δὲ ἵππους, οἱ δὲ χώρην πολλὴν περιορίζοντες, ἰδίην ἐπιγράφουσι. καὶ

multis

multis dominari velint, ſibiipſis imperare nequeunt. Vxores ducere cupiunt, quas paulò pòſt repudiant. amant, deinde odio proſequuntur, cum cupiditate liberos ſuſcipiunt, deinde eos adultos abdicant. Quodnam hoc inane ſtudium & rationis expers, nihilque ab inſania diſcrepans? Bellum inteſtinum gerunt, quietem optabilem non ducunt, regibus viciſſim inſidias tendunt, homines necant, defoſſa terra argentum inueſtigant, argento reperto terram emere cupiunt, terra emta fructum diuendunt, fructibus diſtributis rurſus argentum capiunt. Quibus mutationibus & quantis vitiis obnoxij? Cùm opes non habeant, eas expetunt, ſi habent, abſcondunt, diſſipant. Eorum res aduerſas derideo, eorum infortunia intento riſu excipio. Veritatis enim inſtituta violant, contentionis ſtudio hoſtiles inter ſe rixas habent. Cum fratribus verò parentibus, & ciuibus mutuas cædes exercent, idque pro iis poſſeſſionibus quarum nemo poſt mortem dominus eſſe poteſt. Iniuſtam vitam conſectantes, amicorum & patriæ inopiam deſpiciunt, indigna & inanimata diuitiarum loco habent, pro vniuerſis facultatibus ſtatuam mercantur, quòd ſimulachrum loqui videatur, eos verò qui verè loquuntur odio habent. Res non faciles amore proſequuntur, in continente habitantes, maritima expetunt, rurſúſque inſulas tenentes, continentem affectant, cunctáque in ſuam cupiditatem peruertunt. Et in bello quidem fortitudinem laudare videntur, at in dies à libidinum indulgentia & auaritia vincuntur, & affectibus omnibus tenentur. Therſitis autem vitam omnes referunt. Qua verò in re riſum meum Hippocrates reprehendiſti? Neque enim quiſquam ſuam, ſed alter alterius amentiam deridet, hi quidem ebrios, cùm ipſi ſibi ſobrij videantur, alij amantes, cùm ipſi grauiore morbo laborent, hi verò nauigantes, alij agriculturæ deditos. Neque enim artibus, neque operibus inter ſe conſentiunt. Tum ego, hæc quidem, inquã vera ſunt Democrite, neque alia quæpiam oratio ad conuincendam mortalium miſeriam commodior eſſe poſſit. Verùm ipſæ actiones hanc neceſſitatem veluti decreto quodam imponunt, ad rei domeſticæ diſpenſationem, nauium fabricationẽ, & reliquam Reipublicæ adminiſtrationem, in qua verſari hominem oportet. Neque enim ad inertiã eum natura procreauit. Ex his rurſus latè ſparſa ambitio, multorum rectè ſentientem animum aberrare coëgit, qui ad omnia velut ſine lapſu ſummo ſtudio contendunt, non tamen obſcuritatem præuidere poſſunt. Quis enim (ô Democrite) vxorem ducens diuortium aut mortem cogitat? aut liberos educans, interitum? Sed neque in agricultura & nauigatione, regno, imperio, & omnibus quæ ſunt in vita. Nemo enim ſe aberraturum animo antè percepit, ſed quiſque horum bona ſpe paſcitur, deteriora verò ne meminit quidem. Num igitur tuus hic riſus his minimè conuenit? Tum Democritus. Tardo, inquit, es admodum ingenio, procúlque à mea ſententia peregrinaris Hippocrates, neque tranquillitatis & perturbationis modum propter ignorantiam proſpicis. Qui enim hæc ipſa prudenti cogitatione diſponunt, ij & facilè liberantur, & meum riſum ſubleuant. Nũc verò velut

πολλῶν ἐθέλοντες δεσπόζειν, οὐδὲ αὐτῶν δύνανται. γαμέουσιν ἃς μετ' ὀλίγον ἐκβεβλήκασιν. ἐρῶσιν, εἶτα μισέουσι. μετ' ἐπιθυμίης τεκνοῦσιν, εἶτα ἐκβάλλουσι τελείους. τίς ἡ κενὴ σπουδὴ καὶ ἀλόγιστος, μηδὲν μανίης διαφέρουσα. πολεμέουσιν ἔμφυλα. ἠρεμίην οὐχ αἱρετίζουσιν. ἀντεπιβουλεύουσι βασιλεῦσιν, ἀνδροφονέουσι. γῆν ὀρύττοντες, ἄργυρον ζητοῦσιν. ἄργυρον εὑρόντες γῆν θέλουσι πρίασθαι. ὠνησάμενοι γῆν, καρποὺς πιπράσκουσι, καρποὺς ἀποδιδόμενοι, πάλιν ἀργύριον μεταλαμβάνουσιν. ἐν ὅσῃσι μεταβολῇσιν εἰσὶν, ἐν ὅσῃ κακίῃ. οὐκ ἔχοντες πλοῦτον ποθέουσιν, ἔχοντες κρύπτουσιν, ἀφανίζουσι. γελῶ ἐφ' οἷσι κακοπραγέουσιν. ἐπιτείνω τὸ γέλωτα ἐφ' οἷς δυστυχέουσι. θεσμοὺς γὰρ ἀληθείης παραβεβήκασι. φιλονεικέοντες ἔχθρη πρὸς ἀλλήλους, φόνον ἔχουσι μετ' ἀδελφεῶν καὶ γονέων καὶ πολιτέων, καὶ ταῦτα ὑπὲρ τοιούτων κτημάτων, ὧν οὐδεὶς θανὼν δεσπότης ἐστί. ἀλληλεκτονέουσιν ἀθεσμα βίῳ φανεροῦντες. φίλων ἢ πατρίδος ἀπορίην ὑπερορῶσι. πλουτίζουσι τὰ ἀνάξια καὶ τὰ ἄψυχα, ὅλης τῆς οὐσίης ἀνδριάντας ὠνέονται. ὅτι δοκεῖ λαλεῖν τὸ ἄγαλμα. τοὺς δὲ ἀληθέως λέγοντας μισέουσι. τῶν μὴ ἰδίων ἐρῶνται. καὶ γὰρ ἤπειρον οἰκέοντες, θάλασσαν ποθέουσι, καὶ πάλιν ἐννησεύοντες ἠπείρου γλίχονται καὶ πάντα διαστρέφουσιν εἰς ἰδίην ἐπιθυμίην. καὶ δοκέουσι μὲν ἐν πολέμῳ ἀνδρείην ἐπαινέσαι. νικῶνται δὲ καθ' ἡμέρην ὑπὸ τῆς ἀσελγείης, ὑπὸ φιλαργυρίης, ὑπὸ τῶν παθέων ἁπάντων ἃ νοσέουσι. Θερσῖται δέ εἰσι τοῦ βίου πάντες. τί δὲ τὸν ἐμὸν ἱπποκράτες ἐμέμψω γέλωτα. οὐ γὰρ αὐτοὶ τῆς ἰδίης ἀνοίης, ἀλλ' ἄλλος ἄλλου καταγελᾷ. οἱ μὲν τῶν μεθυόντων ὅταν αὐτοὶ δοκέωσι νήφειν. οἱ δὲ τῶν ἐρώντων χαλεπωτέρην νόσον νοσέοντες αὐτοί. οἱ δὲ τῶν πλεόντων. ἄλλοι δὲ τῶν περὶ γεωργίην ἀσχοληθέντων. οὐ συμφωνέουσι γὰρ, οὔτε ταῖς τέχνῃσιν, οὔτε τοῖς ἔργοισιν. ἐγὼ δὲ ταῦτα μὲν ἔφην ἀληθέα Δημόκριτε. οὐδὲ ἄλλος τις ἂν εἴη λόγος ἁρμοδιώτερος ἐξαγγέλλειν ταλαιπωρίην θνητῶν. ἀλλ' αἱ πρήξιες νομοθετέουσι τὴν ἀναγκαίην. οἰκονομίης τε ἕνεκεν καὶ ναυπηγίης καὶ τῆς ἑτέρης πολιτείης, ἐν ᾗ χρεὼν εἶναι τὸν ἄνθρωπον. οὐ γὰρ εἰς ἀργὸν αὐτὸν ἡ φύσις ἐγεννήσατο. ἐκ τούτων δὲ πάλιν φιλοδοξίη χυθεῖσα ἐσφηλε πολλῶν ὀρθοτομέουσαν ψυχήν. σπουδαζόντων μὲν ἅπαντα ὡς ἐόντα ἀδιάπτωτα. μηκέτι δ' ἐπινοούντων δὲ τὴν ἀδηλότητα προορέεσθαι. ποῦ γάρ τις ὦ Δημόκριτε γαμέων, ἢ χωρισμὸν, ἢ θάνατον προσεδόκησε. τίς δ' ὁμοίως παιδοτροφέων ἀπώλειαν, ἀλλ' οὐδὲ ἐν γεωργίῃ, καὶ πλόῳ, καὶ ναυτιλίῃ, καὶ βασιλείῃ, καὶ ἡγεμονίῃ, καὶ πάνθ' ὅσα ὑπάρχει κατὰ τὸν αἰῶνα. οὐδεὶς γὰρ προσέλαβε πταῖσαι. ἀλλ' ἀγαθῇσιν ἕκαστος τούτων ἐλπίσι φέρβεται. τῶν δέ γε χειρόνων οὐ μέμνηται. μή ποτ' οὖν ὁ σὸς γέλως τούτοις ἀνάρμοστος. ὁ δὲ Δημόκριτος. μάλα νωθὴς ἔφη τὸν νόον ὑπάρχεις, μακρὰν γε τῆς ἐμῆς γνώμης ἀπόδημος Ἱππόκρατες, ἀταραξίης καὶ ταραχῆς μέτρα ἐπισκοπέων δι' ἄγνοιαν. ταῦτα γὰρ αὐτὰ διανοίῃ φρενήρει διοικέοντες, αὐτοί τε ῥᾳδίως ἀπηλλάσσοντο. καὶ τὸν ἐμὸν ἐλαφρὸν γέλωτα. νῦν δὲ ὡς

ἐπ᾽ ἀφιερέσι τουτέοισιν ἐν τῷ βίῳ φρενοβλαβέες τετύφωνται. ἀσυλλογίστῳ διανοίῃ τῆς ἀτάκτου φορῆς δυσδίδακτοι. νουθετέειν γὰρ αὐτάρκης ὑπῆρχεν ἡ τῶν συμβάντων μεταβολὴ, ὀξείῃσι τροπῇσιν ἐμπίπλουσα ἀφνιδίοις, τροχηλασίην παντοίην ἐλίσσουσα. οἱ δ᾽ ὡς ἐπ᾽ ἀφορμῇ καὶ βεβαίῃ ἐκλελησμένοι παθέων κατὰ τὸ συνεχὲς συμπιπτόντων ἄλλοτε ἄλλως, ποθέοντες τὰ λυπέοντα, διζήμενοι τὰ μὴ συμφέροντα ἐγκαλινδέονται πολλῇσι ξυμφορῇσιν. εἰ δ᾽ ἐμερμήριζε κατὰ δύναμιν ἰδίην τὰ ξύμπαντα ἔρδειν, ἀδιάπλωτον ἐξερύετο ζωὴν ἑαυτὸν ἐξεπιστάμενος καὶ σύγκρισιν ἰδίην σαφῶς κατανοήσας καὶ μὴ τῆς ἐπιθυμίης τὴν σπουδὴν ἀόριστον ἐκτείνων. τὴν δὲ πλουσίην φύσιν καὶ πάντων τιθηνὴν δι᾽ αὐταρκείης ὁδοιπορέων. καθάπερ δὲ τῶν παθέων ἐν εὐεξίῃ κίνδυνος προδηλος οὕτω τὸ μέγεθος τῶν εὐτυχημάτων ἐπισφαλέστερόν ἐστι. ἀρίσημοι δὲ ἐπὶ τῇσι κακοδαιμονίῃσι ξυνθεωρεῦνται. ἄλλοι δὲ τὰ τῶν πάλαι μηδὲν ἱστορέοντες ὑπὸ τῆς ἰδίης κακοπραγίης ἀπώλοντο. τὰ δὲ δῆλα καθάπερ ἄδηλα μὴ θεωρέοντες ὑπόδειγμα τὸν μακρὸν βίον ἔχοντες γινομένων καὶ μὴ γινομένων. ἐξ ὧν καὶ τὸ ἐσόμενον ἐχρῆν κατανοῆσαι. ταῦτα ὁ ἐμὸς γέλως. ἄφρενες ἄνθρωποι πονηρίης δίκας ἐκτίνοντες φιλαργυρίης, ἀπληστίης, ἔχθρης, ἐνεδρείης, ἐπιβουλῆς, βασκανίης. ἀργαλέον ἐξειπεῖν μηχανὴν κακῶν. ἀπειρίη γάρ τις ἐστί. καὶ τούτοισι δολοπλοκίῃσιν ἀνθαμιλλέονται σκολιόφρονες. ἀρετῆς δὲ παρ᾽ αὐτῆς τρόπος ἐστὶ τὸ χέρειον. φιλοψευδίην γὰρ ἔχουσι. φιληδονίην κόσμου νόμοισιν ἀπειθέοντες. ὁ δὲ, αὐτῶν καταγελᾷ τὴν ἀπροαιρεσίην. μήτε ὁράσιος, μήτε ἀκοῆς μετέχοντας. μούνη δ᾽ αἴσθησις ἀνθρώπου ἀτρεκὴς διανοίας τηλαυγοῦς. τό, τε ἐὸν καὶ τὸ ἐσόμενον προορεόμενοι, δυσαρεστεῦνται πᾶσι, καὶ πάλιν τοῖσιν αὐτοῖσιν ἐμπελάζονται. ἀρνησάμενοι πλόον, πλέουσι. γεωργίην ἀπωσάμενοι αὖθις γεωργοῦσιν. ἐκβάλλοντες γαμετὴν, ἑτέρην εἰσάγονται. θάψαντες ἃ ἐγέννησαν, πάλιν τρέφουσι. γῆρας εὔξαντο. εἶτα εἰς αὐτὸ ἀφικόμενοι στενάζουσιν. ἐν οὐδεμιῇ καταστάσει βεβαίαν ἔχουσι γνώμην. ἡγεμόνες καὶ βασιλέες μακαρίζουσι τὸν ἰδιώτην. ὁ δὲ ἰδιώτης ὀρέγεται βασιλείας. ὁ πολιτευόμενος τὸν χειροτεχνέοντα ὡς ἀκίνδυνον. ὁ χειροτέχνης ἐκεῖνον ὡς δυνατέοντα κατὰ πάντων. τὴν γὰρ ὀρθὴν κέλευθον τῆς ἐρημίης, οὐ θεωρέουσι καθαρὴν καὶ λείην καὶ ἀπρόσπταιστον. εἰς ἣν οὐδεὶς τετόλμηκεν ἐμβαίνειν. φέρονται δὲ ἐπὶ τὴν ἐναντίην καὶ σκολιὴν, ἐγκοβατεῦντες καὶ καταφερόμενοι καὶ προσκόπτοντες ἀσθμαίνοντες ὡς διωκόμενοι, ὀρίζοντες, ὑστερεῦντες προηγεύμενοι. καὶ οἷς μὲν αὐτέων ἔρωτες, ἀπαθάλοις ὑποπεπλήχασιν ἀλλοτρίης φωνὰς εὐνῆς. ἀναιδείῃ ποιεῦσι. οὓς δὲ πάντη φιλαργυρίη νοῦσος ἀόριστος, οἱ δὲ ἀλλήλοισιν ἀντιπάθονται οἱ δ᾽ ὑπὸ φιλοδοξίης εἰς ὕψος ἀναχθέντες,

in rebus vitæ conuenientibus mente capti cæcutiunt, neque mente ratiocinationis experte, inordinatum impetum facilè addiſcunt. Satis enim fuerit hæc admonitio, rerum omnium commutatio, quæ ſubitis conuerſionibus incidens, repentinam & omnimodam rerum velut rotarum agitationem in mentis notione reponit. Illi verò tanquam hæc adaptata ſit & firma, affectionum continenter incidentium obliti, aliter alius quæ triſtitiam adferunt expetentes, quæ ſunt incommoda inquirentes, in multis calamitatibus aſſiduè verſantur. Quòd ſi quis omnia quæ facit pro viribus mente verſaret, vitam ab omni caſu immunē ſeruaret, ſe ipſe probè noſcens, & ſuam ipſius concretionem apertè intelligens, cupiditatis ſtudium in infinitum non extēderet, ſed natiuam diuitem & omnium alumnam, per ea quæ abundè ſupperunt ſequeretur. Quemadmodum optimus corporis habitus affectionum periculum denunciat, ſic magnus rerum ſucceſſus lubricus eſt. Rebus autem in aduerſis inſignes conſpiciuntur. Alij verò antiquorum res minimè oculis ſubiicientes prauis ſuis actionibus pereunt, manifeſta velut obſcura non prouidentes, cùm tamen longam vitam exemplum habeant eorum quæ fiunt & non fiunt, ex quibus quod futurum eſt cognoſcere oportebat. Hæc eſt mei riſus materia, homines imprudentes, improbitatis ſuæ pœnâs dantes auaritiæ, inexplebilis cupiditatis, inimicitiarum, inſidiarum, ſubdolorum conſiliorum, inuidentiæ. Difficile eſt multorum malorum machinatricem ſolertiam verbis exprimere, cùm eorum ſit infinitas quædam, & in his cùm doloſis commentis praua mente inter ſe conuerſentur. Apud eos autem virtutis modus habetur, quod eſt deterius. Mendacia enim amant, & in his ſe exercent, voluptatis ſtudium extollunt, legibus minimè parentes. Hic autem meus riſus quæ ab his nullo propoſito conſilio fiunt, condemnat, cùm neque viſionis, neque auditionis participes ſint. At ſolus hominis ſenſus recta intelligentia eminus ſplendeſcens, quod præſens & futurum eſt præuidet. Omnia deteſtantur, ac rurſus ad eadem ſe adiungunt, nauigationem auerſantes, nauigant: agricultura propulſata, rurſus agrum colunt, abdicata vxore, aliam inducunt: ſuſceptos liberos ſepeliunt, & his ſepultis alios procreant, & rurſus educant, ſenectutem exoptant, cúmque eò peruenerint, gemunt, nullóque in ſtatu firma mente perſiſtunt. Principes ac reges priuatum beatum prædicant, priuatus regium imperium affectat. Qui Rempublicam regit artificem tanquam periculi expertem laudat, artifex verò illum velut in omnia potentiam exercentem. Rectam enim virtutis viā puram, miniméque aſperam, ac inoffenſam non cernunt, per quam nullus incedere ſuſtinet. Per inacceſſam autem & tortuoſam feruntur & per aſpera delati incedunt & offendunt, plærique etiam decidunt, velut ſi quis perſequatur anhelantes, partim ſequētes, partim precedētes contēdunt. Et eorū quoſdam impudentia fretos, nefandi alieni cubilis corrūpendi amores ſuccendūt, quoſdā etiā inordinat' auaritiæ morb. tabefacit, alij mutuas inſidias ſtruūt. Alij verò ambitionis ſtudio in aera ſubue-

cti,ſcele-

ctis, ſceleris grauitate in exitij profundum præcipites deferuntur, diruunt, deinde ædificant, beneficium conferendo gratiam demerentur, deinde pœnitentia ducti, amicitiæ iura violant, maléque afficiendo ad inimicitias deueniunt, & cognationis iura bello appetunt, horúmque omnium auaritia cauſa eſt. Quanam in te ab infantibus ludibundis diſcrepant? quos, cùm mens iudicio careat, quicquid ſeſe fortè obtulit, delectat. Quòd ad cupiditates attinet, non multùm à brutis animantibus differunt, niſi quòd feræ in eo quod ſatis eſt ſe continent. Quinam enim leo aurum defoſſum in terram abdidit? Quinam taurus alienum vſurpandi cupiditate, ad prælium impetu quodam delatus eſt? Quæ pardalis inexplebilem auiditatem admiſit? Sitit quidem aper, ſed quantùm aquæ appetit. Lupus verò dilaniato quod ſeſe obtulit neceſſario alimento, quieſcit. At ſi dies iungantur noctibus, hominem non capite comeſſandi ſatietas. Et anniuerſariorum temporum ordo, brutis quidem animantibus coitus finem adfert hic verò inſano libidinis ſtimulo continenter agitatur. Quomodo Hippocrates, eiulantem ob amorem quod ſuo commodo priuetur, non derideam? præcipuéque ſi quis nullo habito periculorum delectu per præcipitia & alta maria feratur, intenſo riſu nõ excipiam? Non ridebo eum qui nauem multis mercibus onuſtam demerſit, deinde mare incuſantem quòd eam plenam ſubmerſerit? Equidem hæc minimè ridicula duco, verùm in eos aliquid moleſti excogitare cuperem. Sed neque pro his medicinam eſſe oportuit, neq; aliquẽ qui Pæonia medicamẽta conficeret. Cuius rei te admonere debeat tuus ille progenitor Æſculapius, qui pro ſeruatis hominibus, gratam beneficij recordationem fulminis ictus reportauit. Non vides me quoque huius vitij participem eſſe, dum in inſaniæ cauſam inquirens, animantia macto ac reſeco, quam in hominibus perſcrutari oportuit? Nonne vides mundum ipſum humanitate redundare, & infinitas aduerſus hominem affectiones cumulare? Totus homo ab ipſo ortu morbus eſt. Dum educatur inutilis, auxilium ſupplex implorat; dum increſcit, improbus & demens eſt, inſtitutione puerili indigens; in ætatis vigore conſtitutus, audax; ætate mareſcens, miſerabilis, ſuos labores per imprudentiam excolens. Talis enim ex materno cruore ſanie permixto prodiit. Proptereàque hi quidem indignabundi & immodica ira referti in calamitatibus & pugnis, alij in adulterijs & ſtupris perpetuò verſantur, alij in ebrietatibus, alij in rerum alienarum cupiditatibus, alij in ſuis perdendis. Quòd ſi poſſemus nullo intus relicto velamento omnium habitationes detegere, deinde ita quæ intus aguntur inſpicere, hos quidem edere videremus, illos verò vomere, alios indignis verberibus torquere, alios venena miſcere, alios inſidias ſtruere, alios rationibus ſtudere, hos gaudere, illos plorare, hos amicorum accuſationem meditari, illos verò nimia ambitione deſipere. Et certè quædam ſunt in animis altiùs reconditæ actiones. Et in his partim quidem iuuenes, partim verò ſenes, petentes, denegantes, pauperes, rebus affluentes, fame oppreſſi. Hi luxu grauati, ſordidi, vincti illi verò delicijs geſtientes, multos alentes. Alij iugulantes, alij ſepelientes, ea quæ habent pro nihilo habentes

βρίθει κακίης, εἰς βυθὸν ἀπωλείης καταφέρονται. χαλκοκοπέουσιν ἐποικοδομέοντες. χαρίζονται εἶτα μεταγοοῦσι καὶ ἀφαιρέονται τὰ φιλίης δίκαια. κακοπραγέοντες εἰς ἔχθρην, τὰ συγγενείης πολεμοῦσι. καὶ τούτων αἰτίη ἡ φιλαργυρίη. τίνι πῶς ἀθυρεόντων διαφέρουσι; παρ' οἷσιν ἄκριτος μὲν ἡ γνώμη, τέρπει δὲ προσπεσὸν τερπνόν. ἐν δὲ τοῖσι θυμοῖς, τί προέχουσι ζώοις ἀλόγοισι; παραλελοίπασι. πλὴν ὅτι ἐν αὐταρκείῃ μένουσιν οἱ θῆρες. τίς γὰρ λεόντων εἰς γῆν κατέκρυψε χρυσόν; τίς ταῦρος πλεονεξίην ἐκορύξατο; τίς πάρδαλις ἀπλήστως κεχόρηκε; διψᾷ μὲν ἄγριος σῦς, εἶθ' ὕδατος κορέννυται. λύκος δὲ διαρπάξας τὸ περισσὸν τῆς ἀναγκαίας τροφῆς, ἀναπέπαυται. ἡμέρῃσι δὲ καὶ νυξὶ συναπτομένῃσιν οὐκ ἔχει κόρον ὁ ἄνθρωπος. χρόνων μὲν ἐνιαυσίων τάξις, ὀχείης ἀλόγων ἐστὶ τέρμα. ὁ δὲ τὸ διηνεκὲς οἰστρομανέων ἔχει τῆς ἀσελγείης ἐπίτασιν. μὴ γελάσω τὸν κλαίοντα δι' ἔρωτα ὅτι συμφέροντος ἀποκέκλεισται. μάλιστα δὲ εἰ ῥιψοκινδυνῇ καὶ φέρηται κατὰ βυθὸν ἢ κρημνῶν πλέων γε, ὅπη τινὰ τὸ γελῶ. μὴ γελάσω τὸν τὴν νῆα πολλοῖσι φορτίοισι βαπτίσαντα, εἶτα καὶ μεταμεμφόμενον τῇ θαλάσσῃ, ὅτι κατεβύθισε τὴν πλήρη. ἐγὼ μὲν οὐκ ἀξίως δοκέω γελᾶν. ἐξευρεῖν δὲ κατ' αὐτῶν ἤθελον τι λυπηρόν. ἀλλ' οὐδὲ ἰατρικὴν ἐπὶ τούτων ἐχρῆν εἶναι, μὴ τεχνωμένων παιώνια φάρμακα. ὁ σὸς πρόγονος Ἀσκληπιὸς νουθεσίη σοι γινέσθω. σώζων ἀνθρώπους, κεραυνοῖσι δ' ἀχαριστεῖται. οὐχ ὁρᾷς ὅτι κἀγὼ τῆς αὐτῆς μοίρης εἰμὶ, μανίης διζήμενος αἰτίην καὶ ζῶα κατακτείνων καὶ ἀνατέμνων. ἐχρῆν δὲ ἐξ ἀνθρώπων τὴν αἰτίην ἐρευνῆσαι. οὐχ ὁρᾷς ὅτι ὁ κόσμος μισανθρωπίης πεπλήρωται καὶ ἄπειρα κατ' αὐτοῦ πάθεα συνήθροισεν. ὅλος ἄνθρωπος ἐκ γενετῆς νοῦσός ἐστι· τρεφόμενος, ἄχρηστος ἱκέτης βοηθείας. αὐξανόμενος, ἀτάσθαλος. ἄφρων διὰ χρείης παιδαγωγίης. θρασὺς ἀκμάζων, παρακμάζων, οἰκτρός. τοιγάρτοι χθόνιος ἀλογιστίῃ γεωργήσας. ἐκ μήτρης γὰρ λύθρου ἐξέθορε τοιοῦτος. διὰ τοῦτο καὶ οἱ μὲν θυμικοὶ, καὶ ὀργῆς ἀμέτρου γέμοντες. οἱ δ' ἐν φθορῇσι καὶ μοιχείῃσι διὰ παντός. οἱ δ' ἐν ἐπιθυμίῃσι τῶν ἀλλοτρίων. οἱ δ' ἐν ἀπωλείῃ τῶν σφετέρων. ὤφελε δύναμις ὑπῆρχε τὰς ἁπάντων οἰκήσιας ἀνακαλύψαι, μηδὲν ἀφεῖναι τῶν ἐντὸς παρακάλυμμα. εἶθ' οὕτως ὁρᾷν τὰ πρησσόμενα ἔνδον. εἴδομεν ἂν, τοὺς μὲν, ἐσθίοντας. οὓς δὲ ἐμέοντας. ἑτέρους δὲ αἰκίῃσι στρεβλοῦντας. τοὺς δὲ φάρμακα κιρνῶντας. τοὺς δὲ συννοοῦντας ἐπιβουλήν. τοὺς δὲ, ψηφίζοντας. ἄλλους χαίροντας. τοὺς δὲ, κλαίοντας. οὓς δὲ ἐπὶ κατηγορίην ἰόντων φίλων συγγράφοντας. οὓς δὲ διὰ φιλοδοξίην ἐκφρενέας. καίτοι γε βαθύτεραι πρήξιες τῶν κατὰ ψυχὴν κεκευθμέναι. καὶ τούτων ὁκόσοι μὲν νέοι, ὁκόσοι δὲ πρεσβῦται, αἰτεῦντες, ἀρνεύμενοι, πενόμενοι, περιουσιάζοντες, λιμῷ θλιβόμενοι. οἱ δὲ ἀσωτίῃ βεβαρημένοι, ῥυπόωντες, δέσμιοι. οἱ δὲ τρυφῇσι γαυριῶντες, τρέφοντες. ἄλλοι δὲ θάπτοντες, ὑπερορέοντες ἃ ἔχουσι πρὸς τὰς

ἐλπιζομένας πρήξιας ὁρμεώμενοι. οἱ μὲν ἀναίσχυντοι, οἱ δὲ φειδωλοὶ, οἱ δὲ ἄπληστοι, οἱ δὲ μὴ φεύγοντες, οἱ δὲ τυπτόμενοι, οἱ δὲ ὑπερηφανέοντες, οἱ δὲ ἐπαιρόμενοι κενοδοξίῃ. καὶ οἱ μὲν, ἵπποισι παρεστῶτες, οἱ δὲ ἀνδράσιν, οἱ δὲ κυσὶν, οἱ δὲ λίθοισιν ἢ ξύλοισι. καὶ οἱ μὲν πρεσβείῃσιν, οἱ δὲ στρατηγίῃσιν, οἱ δὲ ἱερωσυνῃσιν, οἱ δὲ στεφαναφορέοντες, οἱ δὲ ἐν ὅπλοισιν, οἱ δὲ ἀποκτεινόμενοι. φέρονται δὲ τούτων ἕκαστοι, οἱ μὲν ἐπὶ ναυμαχίην, οἱ δὲ ἐπὶ στρατηγίην, οἱ δ' ἐπ' ἀγροικίην. ἕτεροι δὲ, ἐπὶ νῆας. οἱ δὲ ἐπ' ἀγορὴν, οἱ δὲ ἐπ' ἐκκλησίην, οἱ δὲ ἐπὶ θέητρον, οἱ δὲ ἐς φυγαδείην. ἄλλοι ἀλλαχόσε. οἱ μὲν ἐς φιληδονίην καὶ ἡδυπαθείαν καὶ ἀκρασίαν. οἱ δὲ ἐς ἀργίην καὶ ῥαθυμίην. τὰς οὖν ἀναξίους ἢν καὶ τὰς δυστήνους ψυχὰς τοιαύτας ὁρέοντες καὶ τοσαύτας, πῶς μὴ χλευάσωμεν τὸν ἀκρασίην ἔχοντα βίον αὐτῶν. κάρτα γὰρ ἔλπομαι, μηδὲ τὴν σὴν ἰατρικὴν ἀνδάνειν αὐτοῖς. δυσαρεστεῦνται γὰρ ἀκρασίῃ, καὶ μανίην τὴν σοφίην νομίζουσιν. ὑποπτεύω γὰρ ὑπὸ νοσεόντων σαφέως λωβάζεσθαί σευ τὰ πολλὰ τῆς ἐπιστήμης, ἢ διὰ φθόνον, ἢ δι' ἀχαριστίην. οἵ τε γὰρ νοσέοντες ἅμα τῷ σώζεσθαι, τὴν αἰτίην ἢ θεοῖσιν ἢ τύχῃ προσνέμουσι. πολλοὶ δὲ τῇ φύσει προσγράψαντες, ἐχθαίρουσι τὸν εὐεργετήσαντα μικροῦ δεῖν προσαγανακτοῦντες, οἱ νομιζονται χειρουφειλέται οἱ πολλοὶ τὸ τῆς ἀτεχνίης ἐν ἑωυτοῖς ἔχοντες. ἀιδριές τε ὄντες, ἐχθαίρουσι τὸ κρέασσον. ἐν ἠλιθίοισι γάρ εἰσιν αἱ ψῆφοι. οὔτε δὲ οἱ ταχόντες ἐξομολογέειν ἐθέλουσιν, οὔτε οἱ ὁμοτεχνέοντες μαρτυρέειν. φθόνος γὰρ ἐνίσταται. οὐκ ἄπειρος οὖν τῶν τοιούτων λεχίων ταῦτα σαφέως εἰδὼς, ἐν ἀναξιοπαθείῃσί σε πολλάκις γεγυμνάσθαι καὶ δι' ὑσίην τε καὶ βασκανίην φιλοπαθέουσαν. ἀρχὴ γὰρ οὐδεμιῆς γνώσιος, οὔτε μαρτυρίη. λέγοντος ταῦτα, ἐπεμειδία. καί μοι Δαμάγητε θεοειδής τις κατεφαίνετο καὶ τὴν προτέρην αὐτοῦ μορφὴν ἐξελελήσμην. καί φημι, ὦ Δημόκριτε μεγαλόδοξε. μεγάλας γὰρ τῆς σῆς ξενίας δωρεὰς εἰς Κῶν ἀποίσομαι. πολλῷ γάρ με τῆς σοφίης θαυμασμῷ πεπλήρωκας. ἀπονοστέω τὸ σεῦ κῆρυξ ἀληθείην ἀνθρωπίνης φύσιος ἐξιχνευσάντος καὶ νοήσαντος καὶ λαλήσαντος. θεραπείην τε λαβὼν παρὰ σεῦ τῆς ἐμῆς διανοίης, ἀπαλλάττομαι. τῆς ὥρης τοῦτ' ἀξιούσης καὶ τῆς τοῦ σώματος ἐπιμελείης. αὔριον δὲ καὶ τὸ ἑξῆς ἐν ταὐτῷ γενησόμεθα. ἀναστὰς μὲν ταῦτ' εἰπών. καὶ ὃς, ἕτοιμος ἦν ἐπακολουθεῖν. προσελθόντι δέ τινι, οὐκ οἶδ' ὅθεν, ἐπεδίδου τὰ βιβλία. κἀγὼ σπουδαιότερον ἐπείξας, πρὸς τοὺς ἔξω τὰς ἀβδηρίτας ἐπὶ τῇ σκοπῇ ἀναμένοντάς με, ἄνδρες ἔφην, τῆς πρὸς ἐμὲ πρεσβείης, χάρις πολλή. Δημόκριτον γὰρ εἶδον ἄνδρα σοφώτατον, σωφρονίζειν ἀνθρώπους μόνον δυνάμενον. ταῦτα ἔχω σοι περὶ Δημοκρίτου Δαμάγητε φράζειν, γηθόσυνος πάνυ. ἔρρωσο.

Δαμόκριτος Ἱπποκράτει.

Ἐπῆλθες ἡμῖν ὦ Ἱππόκρατες, ὡς μανέντα ἐλλέβορον δώσων πεισθεὶς ἀνοήτοις ἀνθρώποις παρ' οἷς ὁ πόνος μανίη κέκληται. ἐτυγχάνομεν δὲ περὶ κόσμου διαθέσιος καὶ πολογραφίης ἔτι τε ἄστρων

ſperatas poſſeſſiones captantes, alij quidem impudentes, alij parci, alij inexplebiles, alij quidem interficientes, alij verberibus afflicti, alij ſuperbe ſe iactantes, alij inani gloria attoniti. Et hi quidem equis addicti ſunt, alij hominibus, alij canibus, alij lapidibus aut lignis, alij ſtatuis ex ære, alij picturis. Et alij quidem legationib. alij rei militaris adminiſtrationibus, alij rebus ſacris. Alij coronas geſtat, alij armati ſunt, alij interficiuntur. Et horum ſinguli partim quidem in pugna nauali verſantur, partim in militari officio, partim verò in agricultura. Alij verò in nauibus onerariis, alij in foro, alij in concionibus, alij in theatro, alij in fuga, alij verò aliis quibuſdam rebus. Et alij quidem ad voluptatis ſtudium mollitiem & intemperantiam feruntur, alij ad otium ac deſidiam. Cùm igitur tot indignas & miſeras animas videamus, quomodo eorum vitam eiuſmodi intemperantiæ deditam ludibrio non habeamus? Valde quoq; metuo ne artem tuam Medicam ipſi non probent. Propter intemperantiam enim implacidè ſe habent ad omnia, & ſapientiam inſaniam exiſtimant. Et certè ſuſpicor plæraque in arte tua, aut per inuidiam, aut per ingratitudinem, palam contumelia affici. Ægrotantes enim ſimul ac ſeruati ſunt, cauſam diis vel fortunæ attribuunt. Plærique verò hoc ſuæ naturę aſſignantes, bene merentem odio proſequuntur, parúmque abeſt quin indignentur, ſi eis operam debeát. Multi etiam artis imperitiam præ ſe ferentes, cùm ſint ignorantes, quod melius eſt damnant. Calculorum enim ſuffragia ſtupidis attribuuntur, neque ægrotantes ſimul approbare volunt, neque eiuſdem artis ſocij teſtimonio confirmare, cùm inuidia obſtet. Neque tu huiuſmodi contumelias non expertus es, cùm probè ſciam hæc quæ in memorabilibus affectionibus fiunt, te per cauſam aut inuidiam nunquam lubenter conuitiis inſectatum. Veritatis enim nulla eſt cognitio, neque teſtimonij confirmatio. Quæ cùm diceret ſubridebat mihique Damagete diuina quadam ſpecie priorémque formam oblitus eſſe videbatur. Tum ego, Democrite præſtantiſſime, magna hoſpitalitatis tuæ munera mecum in Co reportabo, cùm multa me ſapientiæ tuæ admonitione compleueris. Præco enim tuarū laudum reuertor, quòd naturæ humanæ veritatem inueſtigaſti & mente complexus es. Accepta autem à te mentis curatione diſcedo, cùm id tempus poſtulet, vt corpori conſulatur. Cras verò ac deinceps, ad eundem locum reuertemur. Quæ cùm dixiſſem ſurrexi, ille verò me comitari paratus erat, cúmq; quidam, haud ſcio vnde, accederet, libros tradidit. Et ego ad Abderitas qui me ſpeculantes expectabant concitatiore greſſu redij. Viri, inquam, Abderitæ, pro veſtra ad me legatione magnas habeo gratias. Democritum enim virum ſapientiſſimum vidi, qui ſolus homines ad ſanam mentem reducere poteſt. Hæc habui Damagete quæ de Democrito tibi læto admodum animo narrarem. Vale.

Democritus Hippocrati. 5.

AD nos veniſti Hippocrates, vt tanquam inſanis veratrū exhiberes, à ſtultis hominib. perſuaſus, quib. virtutis labor inſania reputatur. Tū autē fortè de orbis ornatu, polorū, ac inſup de aſtrorū

cæleſtium

cæleſtium deſcriptione ſcribebamus. Cùm autem horum naturam cognouiſſes, quàm valde apte eſſent fabricata, & quàm procul ab inſania ac dementia eſſent poſita, oatutam qu dem meam laudaſti, illos verò amentes, immites, & inſanos iudicaſti. Quæ enim permotata per inane feruntur, & ſimulachris nos decipiunt, quæ ſanè mũdus eſſe conſpiciuntur, & viciſſitudine quadam ſibi ſuccedentia fabricata ſunt, ea mens noſtra dum naturæ veritatem indagatur, in lucem produxit. Harum rerum teſtes ſunt libri à me conſcripti. Minimè igitur Hippocrates cum huiuſmodi viris, quorum mens in ſummo fluctuat & inconſtans eſt, te congredi aut coouerſari oportet. Nam ſi ab his perſuaſus, mihi tanquam inſano veratrum propinaſſes, prudentia in inſaniam enaſiſſet, artemque tuam velut dementiæ cauſam increpauiſſent. Veratrum enim ſatis exhibitum, menti tenebras offundat, inſanis verò multùm prodeſſe conſueuit. Exiſtimo enim quòd ſi oon me ſcribentem, ſed recũbentem, aut fortè deambulantẽ offendiſſes & me cum cogitantem, modò quidem ea quæ animo ægitarem implacidè ferentem, modò etiam ridentem & me conuenientibus familiaribus uientẽ non adhibentem, ſed ſtupẽndum io modũ mente & cõtẽplatione in rem aliquam incumbentẽ, ex his ſanè quæ vidiſſes, Democritum inſaniæ imaginem præ ſe ferre oculis tuis iudicaſſes. Medicum igitur non ſolùm ex aſpectu, ſed ex rẽ ipſa affectus iudicare decet & modulos vt plurimùm, & oum morbus incipiat, aut in medio ſit, aut in fine, diſcernere, & conſiderata temporis & ætatis differentia, ac vniuerſa totius corporis natura affectus curare. Ex his enim omnibus facilè morbum deprehendas. Tuum autem de inſania ſcriptum ad te remiſi. Vale.

Hippocrates Democrito. S.

IN arte Medica quæ rectè fiunt, plærunque qoidem hominum vulgus non admodum laudat, ſæpe verò diis attribuit. At ſi in aliquo repugnans natura eum qui curatur interemerit, numen prætermittens, Medicos incuſat. Et ego ſanè plus reprehenſionis quàm honoris ex arte mihi conſecutus videor. Neque enim quantumuis iam ſenex, ad artis Medicæ ſummam perueni: neqoe etiam ipſius inuentor Æſculapius, ſed & ipſe a ſeſe in multis diſſenſit, velut eorum qui ſcripſerunt libri nobis tradiderunt. Tua ſanè qoidem ad nos miſſa epiſtola, per veratrum medicationem reprehendebat. Accitus igitur ſum Democrite, velut inſauientem veratro purgaturus, cùm conijcere non poſſem, qualis tandem eſſes. Poſtquam verò tecum verſatus, non per Iouem deſipientiæ opus, ſed omni prope fauore proſequendum cognoui, magnopere ingenium tuum laudaui, teque præſtantiſſimum naturæ & mundi interpretem iudicaui, eos verò qui me acciuerunt, tanquam inſanos accuſaui, cùm ipſi medicatione indigerent. Quandoquidem igitur caſu contigit vt nos vnà conueniremus, rectè feceris ſi ad nos crebriores literas dederis, & à te cõſcripta commentaria ad nos tranſmiſeris. Miſi autem etiam ad te de veratri vſu libellum. Vale.

ἀκριβίην συγγράφοντες. γνοὺς δὲ τὴν τούτων φύσιν, ὡς ἀτρεκέως κάρτα εἴηδε δημιουργημένα, καὶ ὡς πολὺ μανίης καὶ παραφροσύνης κεχωρίσται, ἐμὲ μὲν φύσιν ἐπῄνεσας, ἀτιμίας δὲ καὶ μεμηνότας ἐκείνους ἔκρινας. ὁκόσα γὰρ ἐν ἀλλήλοισι διαλλάσσοντα ἀνὰ τὸν ἠέρα, τὰ δὲ ζῇ ἡμέας, ἃ δὴ κόσμῳ συνορᾶται, καὶ ἔμμα μοίρης μοῦνης ἐόντα πέπονχε, ταῦτα νόος ἐμὸς φύσιν ἐρευνήσας ἀτρεκέως ἐς φάος ἤγαγε. μάρτυρες δὲ τούτων βίβλοι ὑπ' ἐμέο γραφεῖσαι. χρὴ ἦν καὶ σὲ, ὦ Ἱππόκρατες, μὴ τοιούτοισιν ἀνδράσι συνέρχεσθαι καὶ συνομιλέειν ὧν νόος ἀκρίτολοος καὶ ἀβέβαιος καθέστηκεν. εἰ γὰρ πεισθεὶς τούτοισιν ὡς μεμηνότα με ἐπότισας, ἡ σοφίη μανίη ἂν ἐγεγόνει. καὶ σέο τέχνην ἂν κατεμέμψαντο ὡς παράγουσαν παρακοπῆς γεγενημένην. ἐλλέβορος γὰρ ὑγιαίνουσι μὲν δοθεὶς ἐπισκοτεῖ διάνοιαν, μεμηνόσι δὲ δοθεὶς κάρτα ὠφελεῖ. γνῶθι γὰρ, ὡς εἰ μὴ κατέλαβές με γράφοντα, ἀλλ' ἀνακεκλιμένον ἢ σχολὴν περιπατοῦντα καὶ προσομιλοῦντα ἑαυτῷ, καὶ πολλάκις ὅτε μὲν δυσχεραίνοντα, ὅτε δὲ μειδιῶντα, ἐπὶ τοῖσιν ἐνθυμεομένοισιν ὑπ' ἐμέο, καὶ τοῖσι μὲν προσομιλεῦσι τῶν γνωρίμων οὐ προσέχοντα, ἐφιστάνοντα δὲ τὴν διάνοιαν καὶ σκιπτόμενον ἱκανῶς, ἔγνως ἂν Δημόκριτον κατὰ τὴν ὄψιος κρίσιν ἐν τῷ ὁρεομένῳ μανίης εἰκόνι ἐοικέναι. χρὴ οὖν τὸν ἰητρὸν μὴ μόνον ὄψει τὰ πάθεα κρίνειν, ἀλλὰ καὶ πρήγμασι τῆς περιστάσιος διακρίνειν ὡς ἐπὶ τὸ πλεῖστον. καὶ εἴτε μὲν ἄρχεται τὸ πάθος, εἴτε μεσάζει, εἴτε λήγει, καὶ διαφορὴν, καὶ ὥρην, καὶ ἡλικίην παρατηρέειν. εἶτα ἰατρεύειν τὸ πάθος ὁλομελίην τε τοῦ σκήνεος. ἐν γὰρ τουτέοισιν ἅπασιν διαγνώσῃ αὐτῆς νόσους εὑρήσεις. ἀπέσταλκα δέ σοι τὸν περὶ μανίης λόγον.

Ἱπποκράτης Δημοκρίτῳ.

Ἰητρικῆς τέχνης ὦ Δημόκριτε κατορθούμενα μὲν οἱ πολλοὶ τῶν ἀνθρώπων οὐ παντάπασιν ἐπαινέουσι. θεοῖσι δὲ πολλάκις προστιθέασι. ἢν δέ τι ἡ φύσις ἀντιπρήξῃ καὶ ἀπολέσῃ τὸν θεραπευόμενον, τὸν ἰητρὸν καταμέμφονται παρέντες τὸ θεῖον. καὶ ἐγὼ δοκέω πλείονα μεμψιμοιρίην ἢ τιμὴν κεκληρῶσθαι τὴν τέχνην. ἐγὼ μὲν γὰρ ἰητρικῆς εἰς τέλος οὐκ ἀφῖγμαι, καίπερ ἤδη γηραλέος καθεστώς. οὐδὲ γὰρ ὁ ταύτης εὑρετὴς Ἀσκληπιός. ἀλλὰ καὶ αὐτὸς διεφώνησε, καθάπερ ἡμῖν αἱ συγγραφέων βίβλοι παραδεδώκασιν. ἡ μὲν οὖν ὑπὸ σοῦ ἀποσταλεῖσα ἡμῖν ἐπιστολὴ, κατεμέμφετο τῆς φαρμακείης τοῦ ἐλλεβόρου. εἰσήχθην μὲν οὖν ὦ Δημόκριτε ὡς μεμηνότα ἐλλεβορίσων. οὐ καταμαθὼν ὁκοῖος τις εἴης. ὡς δὲ ἐντυχὼν εἶδον οὐ μάλα παραφροσύνης ἔργον, ἀλλὰ σχεδὸν ὑπερβολῆς πάσης, κάρτα τὴν φύσιν ἐπῄνεσα. ἄριστόν τε ἑρμηνέα φύσιος καὶ κόσμου ἔκρινα. τοὺς δὲ εἰσαγαγόντας με ἐμεμψάμην ὡς μεμηνότας. φαρμακείης γὰρ αὐτοὶ δέονται. ἐπειδὴ τοίνυν ταὐτόματον ἡμέας εἰς ταὐτὸ ξυνήγαγεν, ὀρθῶς ποιέοις ἐπιστέλλων ἡμῖν πυκνότερον. καὶ μεταδιδοὺς τῶν ὑπὸ σοῦ γραφίων συνταγμάτων. ἀπέσταλκα δέ σοι καὶ αὐτὸς τὸν περὶ ἐλλεβορισμοῦ λόγον. ἔρρωσο.

ΗΡΑΚΛΕΙΤΟΥ ΕΠΙΣΤΟΛΑΙ.

HERACLITI EPISTOLAE.

Βασιλεὺς Δαρεῖος Ηεράκλειτον ἐφέσιον ἄνδρα σοφὸν προσαγορεύει.

Καταβέβλησαι λόγον γραπτὸν περὶ φύσεως δυσνόητόν τε καὶ δυσεξήγητον. ἔν τισι μὲν οὖν ἑρμηνευόμενος κατὰ λέξιν σὴν, δοκεῖ μοι δύναμίν τινα περιφέρεσθαι θεωρίας κόσμου τοῦ σύμπαντος. καὶ τῶν ὑπὸ τούτου συμβαινόντων, ἅπερ ἐστὶν ἐν θειοτάτῃ κείμενα κινήσει. τῶν δὲ πλείστων ἐποχὴν ἔχοντα, πρὸς ζήτησιν καὶ μάθησιν. ὥστε καὶ τοὺς ἐπὶ πλεῖστον μετεσχηκότας γραμμάτων ἑλληνικῶν, καὶ τοὺς ἄλλους τοὺς ἀσχολουμένους περὶ τὴν τῶν μετεώρων προσοχὴν καὶ φιλομαθίαν, ἀπορεῖσθαι τῆς ἐν ὀρθῇ γνώμῃ παρὰ σοὶ δοκούσης καταγεγράφθαι διηγήσεως. βασιλεὺς οὖν Δαρεῖος ὑστάσπου βούλεται τῆς ἀκροάσεως μεταλαβεῖν καὶ παιδείας λογικῆς. ἔρχου δὴ συντόμως πρὸς ἐμὴν ὄψιν καὶ βασίλειον οἶκον. Ἕλληνες γὰρ ὡς ἐπὶ τὸ πλεῖστον ἀνεπισήμαντοι σοφιζομένοις ἀνδράσιν ὄντες, παρορῶσι τὰ καλῶς ὑπ' αὐτῶν ἐνδεικνύμενα πρὸς καλὴν ἀκοὴν καὶ διατριβήν. παρ' ἐμοὶ δὲ ὑπάρξει σοι πᾶσα μὲν προεδρία. καθημέραν δὲ καλὴ καὶ σπουδαία προσαγόρευσις, καὶ βίος εὐδόκιμος, ταῖς παραινέσεσιν.

Ἡράκλειτος Δαρείῳ βασιλεῖ πατρὸς ὑστάσπεως χαίρειν.

Ὁκόσοι τυγχάνουσιν ἐπιχθόνιοι τῆς μὲν ἀληθείης καὶ δικαιοσύνης ἀπέχονται. ἀπληστίῃ δὲ καὶ δόξῃ προσέχουσι κακῆς ἕνεκεν ἀνοίης. Ἐγὼ δὲ ἀμνηστίην ἔχων πάσης πονηρίης, καὶ κόρον φεύγων παντὸς οἰκειούμενον φθόνῳ διὰ τὴν ὑπερηφανίην, οὐκ ἂν ἀφικοίμην εἰς περσικὴν χώρην. ὀλίγοις ἀρκεόμενος κατ' ἐμὴν γνώμην.

Βασιλεὺς Δαρεῖος Ἐφεσίοις.

Ἀνὴρ ἀγαθὸς, μέγα ἀγαθὸν πόλει. λόγοις καλοῖς καὶ νόμοις, ψυχὰς ἀγαθὰς ποιεῖ, καιρίως ἄγων εἰς ἀγαθά. ὑμεῖς δὲ Ἑρμόδωρον οὐ μόνον αὐτῶν βέλτιστον, ἀλλὰ καὶ ἰώνων πάντων, ἐξεβάλετε ἐκ πατρίδος, αἰσχρὰς αἰτίας ψυχῇ ἀγαθῇ προσάψαντες. εἰ μὲν οὖν διεγνώκατε βασιλεῖ πολεμεῖν, διὰ τοῦτο ἑτοιμάζεσθε. ἀποστελῶ γὰρ στρατιάν, ᾗ ὑμεῖς οὐ δυνήσεσθε ἀντιτάσσεσθαι. αἰσχρὸν γὰρ βασιλεῖ μεγάλῳ μὴ ἀρκεῖν φίλοις. εἰ δὲ μηδὲν τοιοῦτον ἐγχειρήσετε, κατάξατε ἑρμόδωρον. ἀπόδοτε αὐτῷ πατρῴαν κτῆσιν μνημονεύοντες ἃ ὑμᾶς ἐκείνου εὐνοίᾳ εὐεργέτησα φόρους ἐλάττους τάξας ὧν ἐφέρετε. καὶ γῆν πολλὴν δοὺς πρὸς ἣν ἐκέκτησθε. ἣν οὐκ ἴσκατε χάριν ὀφείλειν. εἰ γὰρ αἴ ποτε ἑρμόδωρον φίλον βασιλέως ἐφυγαδεύσατε. ἀποστείλατε οὖν ἄνδρας τοὺς

Rex Darius Heraclitum Epheſium Sapientem virum ſaluto.

EMiſiſti ſcriptum ſermonem de Natura intellectu quidem & explicatu difficilem. In quibuſdam igitur tuam dictionem referens, videtur mihi quandam facultatem polliceri de totius mundi contemplatione, & eorum quæ ab hoc pendent, quæ ſunt in diuiniſſimo motu poſita, & plurimis, quæſtionibus ac doctrinis occaſionem dare, vt etiam his qui Græcorum literarum erant periti, & aliis Meteororum ſtudio ac ſcientiæ deditis, incertum eſſet de libelli vera ſententia qui videretur apud te ſcriptus. Rex itaq; Darius Hyſtaſpi filius particeps auſcultationis & ſapientis doctrinæ cupit fieri. Fac igitur vt breui in meum conſpectum & regiã domũ venias. Græci enim vt plurimũ, ſapiẽtib. viris pro nihilo habitis, contemnunt ea quæ ad rectam diſciplinam & educationem ab illis præcipiuntur. Apud me verò dignabaris omni honore præcipuo, & erit tibi quotidie honeſta & ſtudioſa congreſſio, & tuis adhortationibus vita celebris.

Heraclitus Dario Regi filio Hyſtaſpis ſalutem.

QVotquot ſunt terreni, à veritate iuſtitiáque abhorrent, gulæ verò & gloriæ tuæ mentes attendunt, malæ beneuolentiæ cauſſa. Ego verò expers omnis malitiæ & luxum fugiens, plenam omni inuidia propter ſuperbiam, in regionem Perſicam haud venero, paucis contentus mea ſententia.

Rex Darius Epheſiis.

VIr bonus, maximum bonum Reipublicæ, ſermonibus honeſtis ac legibus, mentes bonas efficit, vtiliter & tempeſtiuè ad bona impellẽs. Vos autem Hermodorum non modò veſtrum optimum ſed & vniuerſorum Ionum, eieciſtis è patria turpéſque calumnias in bonum animum contertis. Si igitur conſtituiſtis bellum aduerſus regem dominum ſuſcipere, paramini. Mittam enim copias, quibus reſiſtere vos non poſſitis. Turpe namq; eſſet regi magno, non opem amicis ferre. Sin tale nihil conati eſtis Hermodorum reducite, & paternam ei poſſeſſionem reſtituite, recordantes, quanta in vos illius amore beneficia contulerim, leuius tributum efficiendo, quàm pendere ſolebatis multámque terram vobis ad illam adiiciendo, quam antea tenebatis pro quibus nullam habere gratiam videmini. Alioquin enim, non in exilium Hermodorum amicum regis pepuliſſetis. Mittite igitur viros, qui me doceant,

quam

quam contra Hermodorum accuſationem afferatis, vt ſi coarguatur ille ſceleris aut ſtultitiæ pœnas dependat: ſin vos, quod optimum factu eſt, in animum inducam, & in poſterum caueam, ne peccetis in viros bonos & honeſtos. Etenim hoc & regi veſtro & vobis eſt emolumento.

Heraclitus Hermodoro.

NOn eſt nunc Hermodore, quod tuis ampliùs iraſcaris. Euthycles Nycophontis, qui ſacrilegium admiſerat filius, mihi impietatis diem dixit, hominum ſapientia præſtanti imperitia facilè omnes vincens, quod inſcripto in altari, cui aſtiti meo nomine deum ex homine memetipſum fecerim. Sic ab impio, in impius iudicabor. Quid cenſes? Videbor eis impius eſſe, qui diuerſam ab illis de diis opinionem habeam. Si etiam excæcatum viſum iudicarent, cæcitatem dicerent viſum. Sed ô homines imperiti, docete nos primùm quid ſit Deus, vt ex ſermone veſtro impietatis manifeſto coarguamini. Vbi verò Deus eſt in delubris ac tēplis concluſus. O pios, qui Deum in tenebris ſtatuiſtis. Homo conuitium facit lapideus, ſi dicatur. Deus autem verè prædicatur vt hoc Euonimum. Ex præcipitiis naſcitur. Indocti neſcitis Deum non manifeſtum eſſe, neque à principio veſtigium habet, neque circuitum vllum habet, ſed totus mundus ei domus eſt, animalibus, plantis & aſtris decoratus. Herculi Epheſio inſcripſi aram, in veſtrorum ciuium numerum Deum referens, non Heraclito. Sin vos literas non intelligitis, non mihi impietati vertenda eſt imperitia veſtra. Diſcite ſapientiam & intelligite, ſed non vultis, neque ego cogo. Seneſcitis cum inſcitia, & veſtris malis lætamini. Hercules autem non fuit quemadmodum Homerus mētitus eſt, hoſpitum interfector. Sed quid ipſum in deorum conſortium extulit? Integritas ipſius & probitas, & facta fortiſſima, quibus tot confecerit certamina ac labores adijt. Ego igitur ô homines non ipſe ſum bonus? Etiam qui vos interrogarim. Nā tametſi contrariū reſpondiſtis, attamē ſum bonus, & me multa difficillimáq; certamina ritè cōfecta ſūt: vici voluptates, vici pecunias, vici ambitionē, profligaui, timiditatē profligaui adulationem. Non contradicit mihi metus. Nihil mihi loquitur temulētia. Metuit me triſtitia, metuit me ira. Contra hos aduerſarios etiam ipſe coronā obtinui, mihimetipſi imperans, non ab Eurytheo. Non deſinetis iniuria ſapientiam afficere, qui veſtra peccata, veſtra crimina nobis impingitis. Si poſſetis poſt annos quingētos regenerati reuiuiſcere, depræhenderetis adhuc viuentem Heraclitum, veſtrorum verò nominis, ne veſtigium quidem. Vrbium & nationum vitā propter doctrinam æquabo. Nunquam ſilebo etiamſi ciuitas Epheſiorum diſtracta fuerit, & aræ deſtructæ omnes, hominum animi meam memoriam vt loci continebunt. Ducam & ipſe in vxorem Hebem, nō illam Herculis. Nam ipſe cum ſua perpetuò eſt. Alia verò in noſtrū coniugium veniet, multas virtus gignit & aliam elocauit Homero, aliam Heſiodo, & quotquot exiſtunt boni ſingulis deſpōſat, eruditionis celebritatē & decus. Nūquid nō ſum ſapiēs,

ἐρευνῶντας πρός με τὸ δίκαιον ὑπὲρ ὧν ἐγκαλεῖ ἑρμοδώρῳ. ἵν' ἐὰν μὲν ἐκεῖνος ἐπιδειχθῇ κακοφρονῶν, ἐπιτιμηθῇ. ἐὰν δὲ ὑμᾶς, ἐπὶ τὸ βέλτιον ἄγωμαι καὶ εἰς τὸ λοιπὸν ἁμαρτάνειν κωλύσω εἰς ἀγαθοὺς ἄνδρας. καὶ γὰρ βασιλεῖ ὑμετέρῳ συμφέρει ταῦτα καὶ ὑμῖν.

Ηράκλειτος Ερμοδώρῳ.

Ηδη μηκέτι τοῖς ἑαυτῶ χαλέπαινε ἑρμόδωρε. εὐθυκλέης ὁ νικοφῶντος ὁ συλήσας τὸν τοῦ θεὸν, ἀσεβείας με γέγραπται. αἴδρια σοφίᾳ προὔχοντα ἀπαιδευσίᾳ νικῶν. ὡς ὅτι ἐπέγραψα τῷ βωμῷ οὗ ἐπέστησα τὸ ἐμὸν ὄνομα. θεὸν ποιῶν ἄνθρωπον ὄντα ἐμαυτόν. εἶτα κριθήσομαι ὑπὸ ἀσεβοῦς ἐν ἀσεβέσι. τί οἴει; δόξω αὐτοῖς ἀσεβὴς εἶναι, ἐναντία φρονῶν οἷς αὐτοὶ περὶ θεῶν νομίζουσιν. εἰ καὶ πεπηρωμένην ἔκρινον ὄψιν, τυφλότητα ἂν ἔλεγον τὴν ὅρασιν. ἀλλ' ὦ ἀμαθεῖς ἄνθρωποι διδάξατε πρῶτον ἡμᾶς, τί ἐστιν ὁ θεός. ἵνα ἀσεβεῖς λέγοντες πιστευθῆτε. ποῦ δ' ἐστὶν ὁ θεὸς ἐν τοῖς ναοῖς ἀποκεκλεισμένος. εὐσεβεῖς γε οἱ ἐν σκότει τὸν θεὸν ἱδρύετε. ἄνθρωπος λοιδορίαν ποιεῖται λίθινος εἰ λέγοιτο. θεὸς δὲ ἀληθεύεται, ὡς τοῦτο τὸ εὐώνυμον, ἐκ κρημνῶν γίνεται. ἀπαιδευτοι οὐκ ἴστε ὅτι οὐκ ἔστι θεὸς χειρότμητος. οὐδὲ ἐξ ἀρχῆς βάσιν ἔχει. οὐδὲ ἔχει ἕνα περίβολον, ἀλλ' ὅλος ὁ κόσμος αὐτῷ ναός ἐστι ζώοις καὶ φυτοῖς καὶ ἄστροις πεποικιλμένος. Ηρακλεῖ ἐπέγραψα τῷ ἐφεσίῳ τὸν βωμὸν, πολιτογραφῶν ὑμῖν τὸν θεὸν οὐχ ἡρακλείτῳ. εἰ δὲ ὑμᾶς ἀξυνετεῖ τὰ γράμματα, οὐκ ἐμὴ ἀσέβεια τὸ ὑμῶν ἀπαίδευτον. μανθάνετε σοφίαν καὶ συνίετε. ἀλλ' οὐ θέλετε. οὐδ' ἐγὼ ἀναγκάζω. γηρᾶτε σὺν ἀπαιδευσίᾳ χαίροντες ἰδίοις κακοῖς. ἡρακλῆς δὲ οὐκ ἄνθρωπος ἐγένετο. ὡς μὲν ὅμηρος ἐψεύσατο καὶ ξενοκτόνος. ἀλλὰ τί αὐτὸν ἐθεοποίησεν; ἡ ἰδία καλοκἀγαθία, καὶ ἔργων τὰ γενναιότατα τοσούτους ἐκτελέσαντα ἄθλους. ἐγὼ οὖν ὦ ἄνθρωποι οὐκ αὐτὸς ἀγαθός εἰμι; καίτοι ἐρωτῶ ὑμᾶς. καὶ γὰρ εἰ τὰ ἐναντία ἀπεκρίνασθε, ὅμως ἀγαθός εἰμι καὶ ἔμοιγε πολλοὶ καὶ δυσχερέστατοι ἆθλοι κατώρθωνται. νενίκηκα ἡδονὰς, νενίκηκα χρήματα, νενίκηκα φιλοτιμίαν, κατεπάλαισα δειλίαν, κατεπάλαισα κολακείαν. οὐκ ἀντιλέγει μοι φόβος. οὐκ ἀντιλέγει μοι μέθη. φοβεῖταί με λύπη, φοβεῖταί με ὀργή. κατὰ τούτων αὐτὸς καὶ αὐτὸς ἐστεφανώμαι. ἐμαυτῷ ἐπιτάττων οὐχ ὑπ' εὐρυσθέως. οὐ παύσεσθε σοφίαν ὑβρίζοντες καὶ ἴδια ἁμαρτήματα, καὶ ἴδια ἐγκλήματα ἡμῖν περιτριβόμενοι, εἰ ἐδύνασθε μετ' ἐνιαυτοὺς ἑξακοσίους πεντακοσίους ἀναβιῶναι, καταλάβετε ἂν ἡράκλειτον ἔτι ζῶντα. ὑμῶν δὲ οὐδ' ἴχνος ὀνόματος. ἰσοχρονήσω πόλεσι καὶ χώραις διὰ παιδείαν. οὐδέποτε σιγώμενος. κἂν ἡ ἐφεσίων ἀναρπασθῇ πόλις καὶ οἱ βωμοὶ διαλυθῶσι πάντες, αἱ ἀνθρώπων ψυχαὶ τῆς ἐμῆς ἔσονται χωρία μνήμης. ἄξομαι καὶ αὐτὸς γυναῖκα ἥβην οὐ τὴν ἡρακλέους. ἐκεῖνος αἰεὶ ἔσται μετὰ τῆς ἑαυτοῦ. ἑτέρα δὲ ὑμῶν γαμήσεται. πολλὰς ἀρετὴ γεννᾷ, καὶ ὁμήρῳ ἔδωκεν ἄλλην, καὶ ἡσιόδῳ ἄλλην, καὶ ὅσοι ἀγαθοὶ γίνονται, ἐνὶ ἑκάστῳ συνοικίζει παιδείας κλέος. ἆρ' οὐκ εἰμὶ εὐσεβὴς

ὦ Εὐθύκλεις ὃς μόνος οἶδα θεόν, σὺ δὲ καὶ θρασὺς εἶ, οἰόμενος καὶ ἀσεβὴς τὸν μὴ ὄντα δοκῶν. ἐὰν δὲ μὴ ἱδρυθῇ θεῷ βωμός, οὐκ ἔστι θεός. ἐὰν δὲ ἱδρυθῇ μὴ θεοῦ, θεός ἐστιν. ὥστε λίθοι θεῶν μάρτυρες. ἔργα δεῖ μαρτυρεῖν οἷα ἡλίου. νὺξ αὐτῷ καὶ ἡμέρα μαρτυροῦσιν. ὧραι αὐτῷ μάρτυρες. γῆ ὅλη καρποφοροῦσα μάρτυς. σελήνης ὁ κύκλος ἐκείνου ἔργον. οὐράνιος μαρτυρία.

Ἡράκλειτος Ἀμφιδάμαντι.

Νόσου μὲν ἀμφιδάμα νόσον ὕδρωπα. ὅσα ἐν ἡμῖν, ἰσχύει τὸ κράτος νόσημα. ὑπερβολὴ θερμοῦ, πυρετός. ὑπερβολὴ ψυχροῦ, παράλυσις. ὑπερβολὴ πνεύματος, πνῖγος. ἡ νῦν ἐμὴ ὑγροῦ νόσος. ἀλλὰ θεῖόν τι ψυχὴ ἡ ἁρμόζουσα αὐτά. ὑγεία ἐστὶ τὸ πρῶτον ἰατρικώτατον, φύσις. ἡ γὰρ εἰκάζει ἡ πρώτη ἀτεχνία τὸ παρ' αὐτήν, ἀλλὰ ὕστερον. ἀλλὰ μιμούμενοι οἱ ἄνθρωποι ἐπιστήμας καὶ ἀγνοίας ἐκάλεσαν. Ἐγὼ εἰ οἶδα κόσμου φύσιν, οἶδα καὶ ἀνθρώπου. οἶδα νόσους, οἶδα ὑγείαν. ἰάσομαι ἐμαυτόν, μιμήσομαι θεόν, ὃς κόσμου ἀμετρίας ἐπανισοῖ ἡλίῳ ἐπιτάττων. οὐχ ἁλώσεται νόσῳ Ἡράκλειτος. νόσος Ἡρακλείτου ἁλώσεται γνώμῃ, καὶ ἐν τῷ παντὶ ὑγρὰ αὐαίνεται. θερμὰ ψύχεται. οἶδεν ἐμὴ σοφία ὁδοὺς φύσεως. οἶδε καὶ νόσου παῦλαν. ἐὰν δὲ φθάσαι ὑπέραντλον γενέσθαι τὸ σῶμα, δύσεται εἰς τὸ εἱμαρμένον. ἀλλὰ οὐ ψυχὴ δύσεται. ἀλλὰ ἀθάνατον οὖσα χρῆμα εἰς οὐρανὸν ἀναπτήσεται μετάρσιος. δέξονται δέ με αἰθέριοι δόμοι. καὶ Ἐφεσίους συκοφαντήσω. πολιτεύσομαι οὐκ ἐν ἀνθρώποις, ἀλλ' ἐν θεοῖς. καὶ οὐχ ἱδρύσω ἄλλων βωμούς, ἀλλ' ἐμοὶ ἄλλοι, οὐδὲ ἀπειλήσει μοι ἀσέβειαν Εὐθυκλῆς. ἀλλ' ἐγὼ ἐκείνου χολήν. θαυμάζουσι πῶς ἀεὶ σκυθρωπὸς Ἡράκλειτος· οὐ θαυμάζουσι πῶς ἀεὶ πονηροὶ ἄνθρωποι. μικρὰ τῆς κακίας ἀνάπαυσθε. καὶ ἐγὼ τάχα μειδιάσω. καί τοι πρᾳότερος ἐν τῇ νόσῳ νῦν ἐγενόμην. ὅτι οὐκ ἐντυγχάνω ἀνθρώποις, ἀλλὰ μόνος νοσῶ. τάχα καὶ ψυχὴ μαντεύεται ἀπόλυσιν ἑαυτῆς ἤδη ποτὲ ἐκ τοῦ δεσμωτηρίου τούτου. καὶ ὡς ἐκ μέσου τοῦ σώματος ἐκκύπτουσα, ἀναμιμνήσκεται τὰ πάτρια χωρία. ἔνθεν κατελθοῦσα περιεβάλλετο ῥευστὸν σῶμα τεθνειὸς τοῦτο, ὃ δοκεῖ τοῖς ἄλλοις ἐν φλέγμασι καὶ χολῇ, καὶ ἰχῶρι καὶ αἵματι, καὶ νεύροις, καὶ ὀστοῖς, καὶ σάρκεσι πεπλημμένον. εἰ γὰρ μὴ τὰ πάθη ἐσοφίζετο τὴν κόλασιν, οὐκ ἂν ἤδη πρόπαλαι καταλιπόντες τὸ σῶμα ἐξήλθομεν ἀπ' αὐτοῦ.

Τῷ αὐτῷ.

Συνῆλθον οἱ ἰατροὶ ἀμφιδάμα καὶ πάνυ προθύμως ἐπὶ τὴν ἐμὴν νόσον οὔτε τέχνην οὔτε φύσιν εἰδότες. ἀλλὰ τὸ μὲν οὐκ ἐβούλοντο, τὸ δὲ, ἐδόκουν, ἄμφω δὲ ἠγνόουν. οὐδὲν πλέον ἢ κατεμάλαξάν μου τὴν γαστέρα ταῖς ἀφαῖς ὡς ἀσκόν. οἱ δὲ καὶ θεραπεύειν ἤθελον. ἀλλ' οὐκ ἐπέτρεψα. ἀλλὰ λόγον αὐτοὺς πρότερον ᾔτουν τῆς νόσου καὶ οὐκ ἔδοσαν, οὐδὲ περιεγένοντό μου. ἀλλ' ἐγὼ αὐτῶν. πῶς ἂν οὖν ἔφην δύναισθε αὐληταὶ τεχνῖται εἶναι ὑπὸ μὴ αὐλητοῦ ἡττημένοι. ἐμαυτὸν ἰάσομαι ἢ ὑμᾶς. ἐάν με διδάξητε, πῶς ἐξ ἐπομβρίας αὐχμὸν ποιητέον. οἱ δὲ, οὐδὲ συνιέντες τὸ ἐρώτημα ἡσύχαζον ἀπορούμενοι ἐπιστήμης ἰδίου. ἔγνων ὅτι καὶ τοὺς ἄλλους οὐκ αὐτοί, ἀλλὰ τύχη ἰάσατο.

die Euthycles, qui ſolus Deum noui. Tu verò audacem te putas & impius eum qui non eſt, eſſe arbitraris. Et ſi non ædificata ſit Dei ara, non eſt Deus. Si verò ædificata ſit non Dei, eſt Deus: vt lapides etiam ſint deorum teſtes. Opera teſtimoniũ perhibere debent, vt ſolis. Nox & dies de eo teſtantur. Quatuor anni diſcrimina teſtimonium ei ferunt terra vniuerſa fructum producens teſtis eſt. Lunæ circulus illius opus, cæleſte teſtimonium.

Heraclitus Amphidamanti.

Laboramus Amphidama Hydrope morbo, vt quicquid eſt in nobis vniuſcuiuſque victoria morbus exceſſus calidi, febris: exceſſus frigidi paralyſis, exceſſus ſpiritus æſtus, meus nunc ex humido morbus eſt. Sed diuinũ quiddam anima quę ipſa cõiũgit ſanitatis eſt primum *ἰατρικώτατον*, natura. Nõ enim effingit prima ruditas quod in ipſa eſt. Sed poſterius: imitantes homines ſcientias & inſcitias appellauere. Ego verò noui mundi naturam, noui etiam hominis. Noui morbos, noui ſanitatem. Medebor ipſemet mihi, Deum imitabor, qui mundi inæqualitatem æquat mandans ſoli. Non occumbet morbo Heraclitus. Morbus occumbet Heracliti conſilio, & vbique humida areſcunt, calida frigeſcunt. Nouit mea ſapientia naturæ vias: nouit & morbi finem atque requiem. Quòd ſi corpus omnino redundarit, deſcendet ad fatalem locum. At animus non deſcendet, ſed cùm ſit immortalis in cælum euolabit ſublimis. Eum accipient æthera domicilia & Epheſios criminabor. Verſabor, non in hominibus, ſed in dijs, neque aliorum aras ædificabo, ſed alij mihi. Neque impietatis crimen minabitur Euthycles, ſed ego illi bilem & iram. Mirantur perpetuam Heracliti triſtitiam. Non mirantur iidem perpetuam hominum malitiam ac prauitatẽ. Pauliſper à vitiis requieſcite, & ego forſan ſubridebo. At nũc in morbo ſum factus remiſſior, quòd cũ hominibus nõ verſor, ſed ſolus ægroto. Forſitan etiam quòd animus præſagit, ſe ex hoc carcere ſolutum iri, & è quaſſato corpore ſe porrigẽs ac proſpiciens, patriam habitationem in memoriam reuocat. Inde progreſſa, complectebatur fluxum hoc & mortuum corpus, quod videtur aliis pituita, bile, ſanie, ſanguine, neruis, oſſibus & carnibus conſtrictũ. Niſi enim affectiones pœnas machinarentur, non iam relicto dudum corpore exiremus ex ipſo.

Eidem.

Conuenerunt Amphidama medici, ſummo etiam cum ſtudio ac promptitudine ad meam ægrotationem, neq; artem tenente neq; naturam. Sed alterũ ne volebant quidem alterum verò putabant: at vtrunq; ignorabant. Nihil equidẽ aliud quã mollierunt meum ventrem attactibus, perinde ac vtrem. Alij verò curationem etiam eius ſe ſuſcepturos profitebantur, at ego non conceſſi, ſed morbi rationem primùm ab illis petebam, nec mihi reddere poterant, neq; me ſuperabant ſed ipſos ego. Quomodo igitur aiebam poſſitis fiſtulãdi magiſtri eſſe, cùm à non fiſtulatore victi ſitis. Citiùs ipſe me quàm vos curauero, ſi me docueritis, quomodo ſit ex humiditate ſiccitas efficiẽda. At illi non intellectã quæſtione, quieſcebant & in ſua ſciẽtia perplexi & ancipites hærebant. Cognoui etiã alios non illorũ arte ſed à fortuna in priſtinã ſanitatẽ reſtitutos.

Hi ita-

Hi impiè faciunt Amphidama, mentiti artes, quas non tenent, & curantes quæ neſciunt, atque mortẽ hominibus afferentes artis prætextu ac nomine, qui faciunt iniuriam cùm naturæ tum arti. Turpe eſt, inſcitiam profiteri. Turpius adhuc, artem, quam non poſſideas. Quam eis voluptatem adfert mentiendi ratio, niſi vt per dolum ac fallaciam opes cumulent. Meliores eſſent, ſi mendicarentur. Tribueretur enim eis miſericordia. Nunc verò mentiendo & lædendo in odium hominum incurrunt. Feliciores reliquæ ſunt artes. Statim arguuntur. Difficiliùs arguuntur quæ ſunt præſtantiora. Huiuſmodi in ciuitate moti ſunt erga me miſericordia. Nemo illorum medicus. Omnes quadruplatores & impoſtores, qui artis ſophiſmata vendunt argento. Heracleodorum auunculum meum hi mercede accepta necauerunt, qui non poterant cauſſam mei morbi proferre, neque quemadmodum ex humoris redundantia, ſiccitas efficeretur. Neſciunt in mundo Deũ magna corpora curare, dum inæqualitatem eorum ad exæquationem reuocat. fracta in integrum reſtituit, labentia priuſquam concidant reprimit, ſparſa in vnum corpus redigit. Indecora expolit & ornat, capta cuſtodiæ mandat, fugientia perſequitur. Lumine tenebroſum illuſtrat, infinitum certis finibus terminat, informatis formam addit, quæ non ſentiunt, viſu imbuit. per omnem enim naturam commeat rumpendo, concinnando, ſoluendo, iungendo, fundendo, Aridum liquefacit, & illud ſoluit, guttas euaporat, condenſat laxatum aërem, & continenter ſuperna quidem ſummouet, inferiora verò ſtabilit. Hæc ægrotantis mundi curatio. Hunc egomet imitabor in meipſo. Reliquis vale dico.

Hermodoro.

AVdio Epheſios legem contra me laturos iniquiſſimam & ab omnibus legibus abhorrentiſſimam. Lex enim nulla duntaxat in vnum ſtatuitur ſed iudicium. Neſciunt Epheſij quo diſcrimine inter iudex & legiſlator diſtincti ſint. Et hoc quidẽ melius ſiquidem incertum eſt, quiſnam ſit facturus. At lex verò conſpicit ob oculos in iudicium adductum, cui pœna conſtituitur. Sciunt Hermodore me tibi legum ferendarum adiutorem ac ſociũ eſſe, & me volunt in exilium mittere. Sed non antè, quàm ipſis redarguerint, adhuc malè ſtatuunt, vt qui non ridet, & omnia humana ducit infeſta, ante ſolem exortum egrediatur ex vrbe. Hoc lege decreuere in animo fuit. Nemo eſt Hermodore qui non rideat præter Heraclitum. Itaque me exilio mulctant. O homines, non vultis diſcere, quam ob cauſſam à riſu me abſtineam? non quòd homines mihi ſint odio, ſed ob eorum malitiam ac ſcelera. Sic ſcribite legem. Si quis oderit malitiam, exeat ex vrbe & primus exibo. Non patriæ ſed malitiæ ſolum libenter vertam. Trãſcribite decretum. Si in Epheſiis nequitiã ac flagitia cõceditis eſſe & vos odio proſequor, cur ego non iuſtiorem legẽ ponã, vt qui propter flagitia in cauſſa ſunt, quamobrẽ Heraclitus nõ rideat, è vita exeãt. immò infinita pecunia mulctẽtur, ſi maior ad vos cruciatus ex argẽti mulcta perueniat. Hoc veſtrum eſt exilium. Hoc mors. Iniuriã mihi intuliſtis, qui quod Deus mihi cõceſſit, id ademiſtis. & me per iniuriã in exiliũ pellitis. Aut idcirco vos primũ diligã quòd hilaritatẽ mihi excuſſiſtis, neq; deſiſtitis quin ampliùs legib. & exiliis me afficiatis. Nam dũ in ciuitate maneo,

οὗτοι ἀσεβοῦσιν Ἀμφιδάμα, καταψευδόμενοι τεχνῶν ἃς οὐκ ἔχουσι, καὶ θεραπεύοντες ἃ μὴ ἴσασι, καὶ ἀποκτείνοντες ἀνθρώπους, δι' ὀνόματος τέχνης, ἀδικοῦντες καὶ φύσιν καὶ τέχνην. αἰσχρὸν δ' ἐστὶν ὁμολογεῖν ἄγνοιαν, αἴσχιον δ' ἐπιστήμην οὐκ ἔχοντα προσποιεῖσθαι. τί δὲ αὐτοῖς ἡδὺ ψεύδεσθαι, ἵνα διὰ ἀπάτης χρηματίσωνται; ἀμείνους ἂν ἦσαν μεταιτοῦντες· ἠλεοῦντο γὰρ ἄν. νῦν δὲ μισοῦνται καὶ βλάπτοντες καὶ ψευδόμενοι. εὐτυχέστεραι αἱ ἄλλαι τέχναι· ταχέως γὰρ ἐλέγχονται. δυσελεγκτότεραι αἱ κρείττους. τοιοῦτοί μοι οἱ ἐν τῇ πόλει. οὐδεὶς αὐτῶν ἰατρός, ἀλλὰ πάντες ἀπατεῶνες καὶ φένακες, σοφίσματα τέχνης ἀργυρίου πωλοῦντες. Ἡρακλεόδωρον τὸν ἐμὸν θεῖον οὗτοι ἀπέκτειναν καὶ μισθὸν ἔλαβον. εἰ οὐκ ἐδύναντο τῆς ἐμῆς νόσου λόγον εἰπεῖν, οὐδὲ ἐξ ἐπομβρίας, πῶς ἂν αὐχμὸς γένοιτο. οὐκ ἴσασιν ὅτι θεὸς ἐν κόσμῳ μεγάλα σώματα ἰατρεύει ἐπανισῶν αὐτῶν τὸ ἄμετρον, τὰ θρυπτόμενα ἑνοποιεῖ, τὰ ὀλισθάνοντα ὑποφθὰς πήγνυσι, συνάγει τὰ σκιδνάμενα, καλλύνει τὰ ἀπρεπῆ, χειροῦται τὰ ληφθέντα, διώκει τὰ φεύγοντα, καταλάμπει τὸ σκοτεινόν, περατοῖ δὲ τὸ ἄπειρον, καὶ μορφὴν ἐπιβάλλει τοῖς ἀμόρφοις. αἴσθησιν δὲ ἐμπιπλῆσι τὰ ἀναίσθητα. διὰ πάσης γὰρ ἔρχεται οὐσίας, πλήττων, ἁρμοζόμενος, διαλύων, πηγνύων, χέων. τὸ μὲν ξηρὸν εἰς ὑγρὸν πιέζει καὶ εἰς λύσιν αὐτὸ καθίστησι, καὶ λιβάδας μὲν ἐκθυμιᾷ. παχύνει δὲ χαλασθέντα τὸν ἀέρα καὶ συνεχῶς τὰ μὲν ἄνω διώκει, τὰ δὲ κάτω ἱδρύει. ταῦτα κάμνοντος κόσμου θεραπεία. τοῦτον ἐγὼ μιμήσομαι ἐν ἐμαυτῷ. τοῖς δ' ἄλλοις χαίρειν λέγω.

Ἑρμοδώρῳ.

Πυνθάνομαι Ἐφεσίους μέλλειν εἰσηγεῖσθαι νόμον κατ' ἐμοῦ ἀνομώτατον. οὐδεὶς γὰρ νόμος ἐφ' ἑνός, ἀλλὰ κρίσις. οὐκ ἴσασιν Ἐφέσιοι ὅτι ἕτερος δικαστὴς νομοθέτου. καὶ τὸ μὲν ἄμεινον, ἐπεὶ ἀμαθὴς ὁ νομοθέτης, τοῖς ἄδηλον τὸν μέλλοντα πράξειν. ὁ δικάζων δὲ ὁρᾷ τὸν κρινόμενον ᾧ συναρμόττεται τὸ πάθος. ἴσασί με Ἑρμόδωρε σοὶ συνθήσοντα τοὺς νόμους, καί με ἐλάσαι βούλονται. ἀλλ' οὐ πρότερον ἢ ἐλέγξαι αὐτούς. ἔτι ἀδικοῦσι ἐγνώκασι τὸν μὴ γελῶντα καὶ πάντα μισανθρωπεῖν, πρὸ ἡλίου δύνοντος ἐξιέναι τῆς πόλεως. οὕτω νομοθετεῖν βούλονται. οὐδείς ἐστιν ὃ μὴ γελῶν Ἑρμόδωρε, ἢ Ἡράκλειτος. διὰ τοῦτό με ἐλαύνουσιν. ὦ ἄνθρωποι, οὐ θέλετε μαθεῖν διὰ τί ἀεὶ ἀγέλαστος; οὐ μισῶν ἀνθρώπους, ἀλλὰ κακίαν αὐτῶν. οὕτω γράψατε τὸν νόμον· εἴ τις μισεῖ κακίαν, ἐξίτω τῆς πόλεως, καὶ πρῶτος ἐξελεύσομαι. φυγαδευθήσομαι οὐ πατρίδος, ἀλλὰ πονηρίας ἄσμενος. μεταγράψατε τὸ δόγμα. εἰ δὲ ὁμολογεῖτε Ἐφεσίοις κακίαν εἶναι, καὶ ὑμᾶς μισῶ, πῶς οὐκ ἂν ἐγὼ δικαιότερος νομοθέτης εἴην, τοὺς ποιήσαντας Ἡράκλειτον διὰ πονηρίας ἀγέλαστον ἐξιέναι τοῦ ζῆν. μᾶλλον δὲ μυρίοις ζημιοῦσθαι, εἰ πλέον αἰσθήσεσθε ἀργυρίῳ κολαζόμενοι. τοῦτο ὑμῶν ἐστι φυγή. τοῦτο θάνατος. ἠδικήκατέ με ἀφελόμενοι, ὃ θεὸς ἔδωκε. καὶ φυγαδεύετέ με ἀδίκως. ἢ τοῦτο ὑμᾶς πρῶτον ἀγαπήσω ὅτι μου τὸ ἥμερον ἐξεκόψατε. καὶ οὐ παύεσθε ἐπαγωνιζόμενοι νόμοις καὶ φυγαδείαις. ἐν γὰρ τῇ πόλει μένων

οὐ πέφευγα δι' ὑμᾶς ἀφ' ὑμῶν. τίνι συμμοιχεύω, τίνι συμμιαιφονῶ, τίνι συμμεθύω, τίνι συμπονηρεύομαι. οὐ φθείρω, οὐκ ἀδικῶ οὐδένα τῶν ἁπάντων. μόνος εἰμὶ ἐν τῇ πόλει. ἐρημίαν αὐτὴν πεποιήκατε διὰ κακίας, ἢ ἀγορὰ ὑμῶν Ἡράκλειτον ἀγαθὸν ποιεῖ; οὐκ. ἀλλ' Ἡράκλειτος ὑμᾶς, πόλιν. ἀλλ' οὐκ ἐθέλετε. ἐγὼ μὲν βούλομαι καὶ νόμος εἰμὶ ἄλλων. εἷς ὢν οὐκ ἀρκῶ, πόλιν κολάζειν. θαυμάζετε εἰ μηδέ ποτε γελῶ. ἐγὼ δὲ τοὺς γελῶντας, ὅτι ἀδικοῦντες χαίρουσι σκυθρωπάζειν δέον οὐ δικαιοπραγοῦντας. δότε μοι καιρὸν γέλωτος ἐν εἰρήνῃ, ὥστε μὴ ἐπὶ τὰ δικαστήρια στρατεύεσθαι. ἐν ταῖς γλώτταις ἔχετε τὰ ὅπλα ἀπεστερηκότες χρήματα, γυναῖκας φθείραντες, φίλους φαρμακεύσαντες, ἱεροσυλήσαντες, προαγωγεύσαντες, ὄχλοις ὀρθωθέντες ἄπιστοι, τυμπανίσαντες ἄλλος ἄλλης πλήρης κακίας. ταῦτα γελάσω ὁρῶν ἀνθρώπους ποιοῦντας ἐσθῆτα καὶ γένεια καὶ κεφαλῆς πόνους ἀτημελήτους. ἢ γυναῖκα φαρμακείαις ἐπειλημμένην τέκνου, ἢ μειράκια τὴν οὐσίαν ἐκβιβρωσκόμενα, ἢ πολίτην γαμετῆς ἀφῃρημένον, ἢ κόρην βίᾳ διαπαρθενευθεῖσαν ἐν παννυχίσιν, ἢ ἑταίραν οὔπω γυναῖκα τὰ γυναικῶν ἔχουσαν πάθη, ἢ διὰ ἀσέλγειαν νεανίσκον ἕνα πόλεως ἐραστὴν ὅλης, ἢ τὰς διὰ ἐλαίων φθορὰς ἐν μύροις, ἢ τοὺς ἐν ξυνδείπνοις γινομένους διὰ δακτύλων πλείονας, ἢ τὰς δι' ἐδεσμάτων πολυτελείας καὶ γαστέρας ῥηγνύσας, ἢ τοὺς ἐπὶ σκηνῆς ἀγωνοθετουμένους δήμους, τὰ μεγάλα δίκαια. ἀρετὴ δὲ μετὴν ὄψιν ἀρετῇ χυθῆναι, ὑστέρα πονηρίας τεταγμένη, ἢ τοὺς ἀληθινοὺς ὑμῶν πολέμους γελάσω. ὅτε προφάσεις ἀδικημάτων ποιησάμενοι, καταμιαιφονεῖσθε δύστηνοι. ἐξ ἀνθρώπων θηρία γεγονότες. αὐλοῖς καὶ μάστιξι διὰ μουσικῆς εἰς ἄμουσα πάθη παροξυνόμενοι. σίδηρος δὲ ἀρότροις καὶ γεωργίας ἐπιτηδειότερον ὄργανον σφαγῆς καὶ θανάτων ηὐτρέπισται. ὑβρίζεται δὲ ὑμῖν θεός, ἀθηνᾶ πολεμίστρια καὶ ἄρης ἐνυάλιος καλούμενος. φάλαγγας δὲ ἀντιστάντες ἄνθρωποι κατ' ἀνθρώπων, ἀλλήλων σφαγὰς εὔχεσθε, ὡς λειποτάκτας τοὺς μὴ μιαιφονοῦντας τιμωρούμενοι. καὶ ὡς ἀριστέας τοὺς ἐμπλεονάσαντας αἵματι τιμῶντες. λέοντες δὲ οὐχ ὁπλίζονται κατ' ἀλλήλων. οὐδὲ ξίφος ἀναλαμβάνουσιν αἱ ἵπποι. οὐδὲ τεθωρακισμένον ἴδοις ἀετὸν ἐπ' αἰετῷ. οὐδὲν ἄλλο ἔχει μάχης ὄργανον ἀλλ' ἑκάστῳ τὰ μέρη καὶ ὅπλα. τοῖς μὲν, κέρατα τὰ ὅπλα. τοῖς δὲ ῥύγχη. τοῖς δὲ πτερά. τοῖς δὲ τάχος, ἄλλοις μέγεθος, ἄλλοις ὀλιγότης. οἷς δὲ πάχος. οἷς δὲ νῆξις. πολλοῖς δὲ πνεῦμα. οὐδὲν ξίφος ἄλογα ποιεῖ ζῶα χαίρειν, ὁρῶν τὰ φυλαττόμενα ἐν αὐτοῖς φύσεως νόμον. ἀλλ' οὐκ ἐν ἀνθρώποις. μᾶλλον δὲ τοῦτο πλέον ἂν εἴη παράβασις. ἐν κρείττοσι τὸ ἀβέβαιον. τέλος δὲ πολέμων. τί ὑμῖν εὐκτέον ἄρα. ἢ δι' ἐκεῖνο παύσετε μεκαταπειρίας πόθεν. οὐχὶ δὲ πλέον ὁμοφύλων σφῶν. καὶ ἀνδραποδιζομένη καὶ ἀρπαζομένη πόλις. καὶ γέροντες προπηλακιζόμενοι καὶ γυναῖκες ἀπαγόμεναι. καὶ τέκνα ἐξ ἀγκαλῶν ἀποσπώμενα. καὶ θάλαμοι διαφθειρόμενοι. καὶ παρθένοι παλλακευόμεναι, καὶ μειράκια θηλυνόμενα, καὶ ἐλεύθεροι σιδηροδετούμενοι, καὶ ναοὶ

non ſum in exilium eiectus. Cum quo ſcortationes & adulteria patro, cũ quo cædibus me polluo, cum quo ebrietatem ſector, cum quo me ſcelerum ſocietate coniunxi. Non corrumpo, non iniuriam facio cuiquam ex omnibus. Solus in ciuitate ſum. Redegiſtis eam in ſolitudinẽ malitia ac nequitia. Forum ne veſtrum Heraclitum bonũ reddit? Nõ, ſed Heraclitus vos, ciuitatem, ſed non vultis. Ego quidem volo & lex ſum aliorum. Vnus non par ſum, qui à ciuitate pœnas repetam. Miramini quòd nunquam adhuc riſerim. Ego verò ridentes miror, quòd iniuria lætantur, cùm oporteret triſtitiam præ ſe ferre, qui non rectè neque iuſtè agunt. Date mihi ridendi tempus in pace, vt ne in iudiciis prælia committantur. In linguis arma tenentes pecunias, per vim eripitis, mulieres corrumpitis, amicos veneficio tollitis, ſacrilegia patratis, in vſuris populi, veſtram infidelitatem proditis, tormentis vita homines priuatis, alius alio ſcelere plenus eſt. Ridebo, cùm hæc videam ab hominibus fieri. Veſtem & barbas atque capitis ornamenta neglecta, aut vxorem veneſici: puerum in complexu tenere, aut adoleſcentes patrimonium in libidines & luxũ profundere, aut ciuem vxore priuatum, aut virgini nocturno tempore ſtuprum per vim illatum, aut ſcortum nondum vxorem, & tamen vxoris munia ſubire, aut propter impudicitiam iuuenem vnum totius amatorem ciuitatis, aut venenatorũ per vnguenta perditiones exitioſas, aut in conuiuiis plures veneno quàm ferculorum lautitiis, ventres fluentes, aut populum in ſcena de maximis negotiis ſententias pronunciari ſinet profectò viſum meum in perniciem ruere virtus à malitia victa ſi vera bella veſtra ridebo. Cùm prætextum criminibus daores, cædibus vos infœlices contaminatis, ex hominibus in beſtias euadentes. Fiſtulis & flagris per muſicam, ad abhorrentes à Muſica motus irritati. Ferrum verò aratris & agriculturæ magis idoneũ inſtrumentum, ad obeundas cædes & inferendam mortem paratum eſt. Iniuriam facitis Deo, Mineruæ bellicoſæ, & Marti, quem Enyalium dicunt. Phalangibus autem oppoſitis homines contra homines, mutuas cædes optatis, eóſque qui ſe non homicidio polluunt, quaſi fugitiuos ex acie punitis, & quaſi fortiſſimos viros eos, qui plurimùm ſanguinis effundunt, honore afficitis. Leones verò non in ſe inuicẽ armantur neque gladiũ equi capiunt, neque Thoracatum aquilam contra aquilam videas. Nullum habent pugnandi inſtrumentum: ſed ſingulis partes ſunt pro armis, aliis roſtra, aliis alæ, aliis celeritas, aliis magnitudo, aliis paruitas, nõ nullis craſſitas, quibuſdam natatio, multis etiam ſpiritus. Nullus enſis animalibus brutis gaudio eſt, quæ id ſpectant, vt ſuæ naturæ legem conſeruent. At non itidem homines: & hòc magis tranſgrediuntur, quòd præſtantiores cùm ſint, tam ſunt in eo leues, & inconſtantes. Finis bellorum aliquis vobis optandus eſt, ſiquidem iſto ne modo à ſeueritate quodammodo reuocaritis. Non autem illis internis crudelior aut fœdior eſt, depopulatio direptióque ciuitatis, vexatio ſenectutis, vxorum abductio, & liberorum ex vlnis abſtractio, Thalamorũ pollutio, virginũ ſcortatio, adoleſcẽtiũ turpiſſimus abuſus, liberorũ hominũ in vincula cõiectus, tẽplorũ Diis

ſacrorum

ſacrorum deſtructio, monumentorum heroibus ædificatorum effoſſio, pæanes rorum nefariarum, & gratulatoria diis pro iniuriis ſacrificia. De his extra riſum in pace orationibus verbiſque pugnatis, in bello ferro decernitis. Rapitis ius & æquitatem gladiis. Hermodorus ob ſcriptas leges expellitur. Heraclitus ob impietatem. Ciuitates ab omni iuſtitia ac probitate derelictæ ſunt. Solitudines ad inferendam iniuriam. Turbæ mœnia poſuerunt hominum ſigna, quæ à ſcelere violentiam veſtram continerent: ædes circumdatæ ſunt omnibus. Alia ſunt improbitatis mœnia. Interiores hoſtes, at ciues. Exteriores hoſtes, at peregrini. Omnes inimici. Nulli amici. Poſſum-ne ridere cùm tot hoſtes videam? Alienas diuitias pro veſtris habetis. Alienas coniuges veſtras putatis. Liberis ſeruitutis iugum imponitis. Viuentia deuoratis. Leges violatis. Scelera legibus confirmatis. Omnibus vim affectis, quæ nõ omnino veſtræ conſentire iuſtitiæ videtis. Leges iniurias coarguunt. Si enim hæ non eſſent, impunè, verſaremini. Nunc aliquantùm reprimitur impetus veſter, & metu ſupplicij ab omni ſcelere prohibetur.

Heraclitus Hermodoro.

FAc me certiorem Hermodore, quando decreueris in Italiam diſcedere. Dij dæmonéſque regionis eius te benignè ſuſcipiant. Per inſomnium mihi videbantur ab vniuerſo terrarum orbe diademata ad tuas leges accedere, & more Perſarum, incluſo ore ipſas adorare. At illæ ſumma in dignitate verſabantur. Adorabunt Epheſij te cùm è viuis exceſſeris, cùm tuæ leges omnibus imperabunt, & tũc eos neceſſitas ad vtendum illis compellet. Deus enim imperium eis ademit, & ſeipſos iudicarunt ſeruitute dignos. Hoc etiam ex maioribus didici. Tota Aſia ſub poſſeſſionem regis venit, & omnes Epheſij ceſſerunt in ſpolium. Inſueti ſunt veræ libertatis & imperij. Et nunc quod facilè credi poteſt dicto erunt audientes, ſi iubeantur qui non ſecti lugent, & deos homines incuſant, quòd ſe non bonis locupletent. Non ſuam ſtultitiam & inertiam accuſant. Cæcorum eſt non boni conſulere, quæ bona fortuna largitur. Sibylla in multis etiam hoc eſt vaticinata. Ex Iade natione ſapientem venturum in Italiam. Te ante tot ſecula Sibylla iſta nouit Hermodore, & tunc extitiſti. Epheſij verò ne nunc quidem videre volunt quem veritas per fœminam diuino numine percitam, perſpexit. Sapientiæ tibi datum eſt teſtimonium. Epheſij verò Dei teſtimonio contradicunt. Luent ſuam ipſorum iniuriam, & nunc morte afficiuntur, cùm praua ſententia & opinione nos replent. Non punit Deus ablatione diuitiarum: immò concedit etiam & largitur malis, vt cùm ſit quibus ſcelera perficere paſſim redarguantur, & affluentes opibus ſua flagitia ob omnium oculos ponant. Paupertas verò tegumentum eſt. Ne vos relinquat fortuna, vt omnium probris & conuitiis veſtra nequitia pateat. Hi quidem valeant. Tu verò tempus tui diſceſſus mihi ſignificato. Omnino te volo conuenire, & cùm de aliis multis, tum de legibus etiam pauca tecum colloqui. Scriptis ea mandaſſem, niſi plurimùm ad rem pertinere iudicarem, vt occulta manerent

θεῶν καταπαυόμενοι. καὶ ἱερὰ δαιμόνων κατορυττόμενοι καὶ παιᾶνες ἀνοσίων ἔργων καὶ χαριστήρια θεοῖς ἀδικίας. ταῦτα ἀγελασεῖς ἐν εἰρήνῃ πολεμοῦντες διὰ λόγων, ἐν πολέμῳ πολιτεύεσθε διὰ σιδήρου. ἁρπάζετε τὸ δίκαιον ἐν ξίφεσιν. Ἑρμόδωρος ἐλαύνεται νόμους γράψας. Ἡράκλειτος ἐλαύνεται ἀσεβείας. αἱ πόλεις ἔρημοι καλοκαγαθίας. αἱ ἐρημίαι πρὸς τὸ ἀδικεῖν. ὄχλοι τείχη ἔστησαν, ἀνθρώπων σύμβολα πονηρίας· ἀποκλείουσι τὰ τῆς βίας ὑμῶν. οἰκίαι περιβέβληνται πᾶσιν. ἕτερα τείχη τῆς πλημμελείας. οἱ ἔνδον, πολέμιοι. ἀλλὰ πολῖται. οἱ ἔκτος, πολέμιοι. ἀλλὰ ξένοι. πάντες ἐχθροί, οὐδεὶς φίλοι. δύναμαι γελάσαι ἐχθροὺς ὁρῶν τοσούτους; τὸν ἀλλότριον πλοῦτον ἴδιον οἴεσθε. τὰς ἀλλοτρίας γυναῖκας ἰδίας νομίζετε. τοὺς ἐλευθέρους ἀνδραποδίζετε. τὰ ζῶντα κατεσθίετε. τοὺς νόμους παραβαίνετε, παρανομίας νομοθετεῖτε, πάντα βιάζεσθε ἃ μὴ πεφύκατε. τὰ μάλιστα δοκοῦντα ὑμῶν δικαιοσύνης εἶναι σύμβολα, οἱ νόμοι ἀδικίας εἰσὶ τεκμήριον. εἰ γὰρ μὴ ἦσαν, εἴδομεν ἂν ἀνυποκρίτως· νῦν δέ τι καὶ μικρὸν ἐπισκιάζεσθε φόβῳ κολάσεως κατέχεσθε εἰς πᾶσαν ἀδικίαν.

Ἡράκλειτος Ἑρμοδώρῳ.

ΔΗλη μοι Ἑρμόδωρε ποτὲ ἀπαίρειν κέκρικας εἰς Ἰταλίαν. δέξαιντό σε οἱ ἐκείνης τῆς χώρας θεοὶ καὶ δαίμονες ἡδέως. ὄναρ ἐδόκουν τοῖς σοῖς νόμοις τὰ παρὰ πάσης τῆς οἰκουμένης διαδήματα προσιέναι. καὶ κατὰ τὸ ἔθος τῶν Περσῶν ἐγκλείοντας τὸ στόμα προσκυνεῖν αὐτούς. οἱ δὲ σεμνῶς πάνυ καθειστήκεσαν. προσκυνήσουσί σε Ἐφέσιοι μηκέτι ὄντα. ὅταν οἱ σοὶ νόμοι πᾶσιν ἐπιτάττωσι. καὶ τότε χρήσονται αὐτοῖς ἀναγκαζόμενοι. θεὸς γὰρ ἐκείνους ἀφείλετο ἡγεμονίας. καὶ ἑαυτοὺς ἐνόμισαν ἀξίους δουλεύειν. τοῦτο μεμάθηκα καὶ ἐκ πατέρων. ὅλη Ἀσία, καὶ μὴ ἐγένετο βασιλέως καὶ πάντες Ἐφέσιοι λάφυρον. ἀήθεις εἰσὶν ἐλευθερίας ἀληθινῆς τῆς ἀρχῆς. καὶ νῦν ὡς τὸ εἰκὸς ὑπακούσονται κελευόμενοι. οἱ μὴ περιεφθεῖτες οἰμώζονται καὶ μέμφονται θεοῖς ἄνθρωποι ὅτι αὐτοὺς οὐ πλουτίζουσιν ἀγαθά. ἢ μέμφονται ἴδιον ἦθος ἀφροσύνης. τυφλῶν ἐστι μὴ δέξασθαι ἃ δίδωσι χρηστὰ δαίμων. Σίβυλλα ἐν πολλοῖς καὶ τοῦτο ἐφθέγξατο. ἐξ Ἰάδος χώρης ἥξειν σοφὸν Ἰταλίηνδ'. εἶδέ σε πρὸ τοσούτου αἰῶνος Ἑρμόδωρε ἡ Σίβυλλα, κἀκείνη καὶ τότε ἦσθα. Ἐφέσιοι δὲ, οὐδὲ νῦν βούλονται ὁρᾶν, ὃν διὰ θεοφορουμένης γυναικὸς ἀλήθεια ἔβλεπε, σοφίας μεμαρτύρησαι Ἑρμόδωρε. Ἐφέσιοι δὲ ἀντιλέγουσι θεοῦ μαρτυρίᾳ. ἀποτίσονται ἑαυτῶν ὕβριν. καὶ νῦν ἀποτίνουσι θανατῶντες γνώμης ἀναπιμπλᾶσιν ἡμᾶς κακῆς. οὐκ ἀφαιρούμενος πλοῦτον κολάζει θεός. ἀλλὰ μᾶλλον δίδωσι πονηροῖς. ἵν' ἔχοντες δι' ὧν ἁμαρτάνουσιν ἐλεγχθήσονται. καὶ περιουσιάζοντες σκηνοβατῶσιν αὐτῶν τὴν μοχθηρίαν. ἡ δὲ ἀπορία παρακάλυμμά ἐστι. μὴ ἐπιλίπῃ ὑμᾶς τύχη, ἵνα ὀνειδίζησθε πονηροὶ ὄντες. οὗτοι μὲν χαιρέτωσαν. σὺ δέ μοι δήλου τὸν καιρὸν τῆς ἐξόδου. πάντως ἐντυχεῖν σοι βούλομαι. καὶ περὶ ἄλλων πάνυ συχνῶν καὶ περὶ αὐτῶν νόμων βραχέα εἰπεῖν. ἔγραφον δ' ἂν αὐτὰ εἰ μὴ περὶ παντὸς ἐποιούμην ἀπόρρητα μένειν.

οὐδὲν δὲ οὕτω σιωπᾶται, ὡς ἑνὶ λαλῶν εἷς. καὶ ἔτι μᾶλλον Ἡράκλειτος Ἑρμοδώρῳ. πολλοὶ οὐ διαφέρουσι κεραμίων σαθρῶν, ὡς μηδὲν στέγειν δύνασθαι. ἀλλ' ὑπὸ γλωσσαλγίας διαρρεῖν ἀθηναῖοι ὄντες αὐτόχθονες ἔγνωσαν φύσιν ἀνθρώπων, ὅτι γενόμενοι ἐκ γῆς, ἔσθ' ὅτε διερρωγότα ἔχουσι νοῦν. τούτοις ἐπήδευσαν φυλακὴν ἀπορρήτων διὰ μυστηρίων. ἵν' ὡς φόβῳ σιγῶσιν, ἀλλ' οὐ κρίσει. καὶ μηκέτι χαλεπὸν ᾖ μελετῆσαι τῇ ψυχῇ σιωπᾶν.

Nihil verò ita ſiletur, vt cum vnus vni loquitur, & hoc magis Heraclitus Hermodoro. Vulgus non differt à fractis vrceis, quòd nihil cõtinere poſſunt, ſed nugando diffluere Athenienſes, qui erant indigenæ iudicarunt hominum naturam, quoniam ex terra facti multoties diſſectum animum haberent. Hos inſtituerunt ad arcana cuſtodienda per myſteria, vt quaſi metu tacerent, non iudicio, & non amplius animæ difficile eſſet, excerceri ad ſilentium.

Heracliti Epiſtolarum finis.

Τοῦ Ἡρακλείτου ἐπιστολῶν τέλος.

ΕΠΙΣΤΟΛΑΙ ΔΙΟΓΕΝΟΥΣ ΤΟΥ ΚΥΝΙΚΟΥ ΣΙΝΩΠΕΥΣΙ.

EPISTOLAE DIOGENIS CYNICI SINOPENSIBVS.

Ὑμεῖς μὲν ἐμοῦ φυγὴν κατεψηφίσασθε. ἐγὼ δὲ ὑμῶν μονήν. οἰκήσετε γοῦν διὰ τοῦτο, ὑμεῖς μὲν σινώπην. ἐγὼ δὲ ἀθήνας. τουτέστιν ὑμεῖς μὲν μετὰ τῶν ἐμπόρων. ἐγὼ δὲ μετὰ σόλωνος καὶ τῶν τὴν ἑλλάδα ἠλευθερωκότων ἀπὸ τῶν μηδικῶν. καὶ ὑμεῖς μὲν ἠνιόχοις καὶ ἀχαιοῖς χρώμενοι ἀνθρώποις ἐκ τοῦ ἐχθροῦ γένους ἕλλησιν. ἐγὼ δὲ δελφοῖς καὶ ἠλείοις μεθ' ὧν καὶ θεοὶ πολιτεύονται. ἀλλ' ὤφελε τοῦτο μὴ νῦν ὑμῖν δόξαι. ἀλλ' ἔτι πάλαι καὶ ἐπὶ τοῦ πατρὸς ἱκέτου. νυνὶ δὲ ἓν τοῦτο δέδοικα μὴ διὰ τὴν πατρίδα ἀπιστηθῶ μέτριος εἶναι. τὸ μὲν οὖν πρὸς ὑμῶν με φυγαδευθῆναι συνηγορεῖ. καὶ πιστεύω αὐτῷ μᾶλλον τοῦ ἑτέρου. κρεῖττον γὰρ παρὰ πολὺ διαβάλλεσθαι πρὸς ὑμῶν, ἢ ἐπαινεῖσθαι. ὅμως μέντοι δέδοικα τοῦτο μή με ὁ κοινὸς περὶ πατρίδος λόγος βλάψῃ. ἄλλου δέ τινος, οὐδὲ λόγος. κρεῖττον γάρ που δήποτε οἰκεῖν, ἢ σὺν ὑμῖν οὕτως ὑμῖν προσενεχθεῖσι.

Vos me exilio damnaſtis, ego vos domo. Nam vos Sinopem habitatis, ego autem Athenas: hoc eſt, vos cum negociatoribus, ego cum Solone, & his qui Græciam à Medis liberauerunt. Vos quidem Argiuis & vicinis Achæis & hominum genere Græciæ inimico vtimini: ego Delphis & Elienſibus, quibuſcum & dij habent conſuetudinem. Sed hoc ne nunc vobis primum videatur vtile, nobis iam pridem fuit Icetæ patris temporibus. Nunc verò id vnum vereor, ne patriæ gratia non credar moleſtus eſſe. Quòd enim me exilio damnaſtis, hoc in meam facit defenſionem, & nihil hoc mihi magis perſuadet. Si quidem longè melius eſt, à vobis accuſari, quàm laudari. Verùm tamen timeo, ne communis, qui de patria mea ſermo habetur, mihi noceat, neque alterius rei vllam rationem habeatis. Melius enim eſt, vbicunque, quàm ita vobiſcum habitare.

Ἀντισθένει.

Ἀνέβαινον εἰς ἄστυ ἐκ πειραιῶς. καὶ περιτυγχάνουσί μοι μειράκια ἄττα θρυπτόμενα ἀπὸ συμποσίου τινὸς ἐγηγερμένα. ἐν σφίσιν αὐτοῖς, ἐπεὶ ἀγχοῦ ἐγγύς μου ἦσαν, ἀναγώμεθα ἔλεγον ἀπὸ τοῦ κυνός. κἀγὼ ἐπεὶ τοῦτο ἤκουσα, θαρρεῖτε ἔφην. οὗτος ὁ κύων τὰ τοιαῦτα οὐ δάκνει. οἱ δ' ὡς τοῦτο ἔλεξα ἐπαύσαντο ἀλύοντες. καὶ τοὺς στεφάνους οὓς εἶχον περὶ τῇ κεφαλῇ καὶ τὰ ζαχίλα διαρρήξαντες ἐξέβαλον, καὶ τὰς χλανίδας ἀκόσμως περιεβάλλοντο καὶ ἥσυχοι δὴ μάλα ἕως εἰς ἄστυ ἠκολούθουν, ἐπακροώμενοι τὸν λόγον, οὓς πρὸς ἐμαυτὸν διεξῄειν.

Antiſtheni.

Cvm ex Pireo, in vrbem aſcenderem, à conuiuio quodam adoleſcentuli, obuiam mihi facti ſunt, malè mihi cantu blandientes. Qui cùm tanquam hamus moratus eſſem, Abſcedamus à cane, dixerunt. Tunc ego: Eſto, inquam, bono animo, hic canis talia non mordet. Quòd ſimulac dixi, triſtitia quadam affecti, coronas capite deiectas, laniatáſq; & prætextatas, quas ad ornatum induerant, abiecerunt: & taciti, meis verbis auditis, continuò in vrbem reuerſi ſunt.

Ἱππαρχίᾳ.

Ἀγαμαί σε τῆς ἐπιθυμίας ὅτι τὸ φιλοσοφίας ὠρέχθης γυνὴ οὖσα. ἔστι τῆς ἡμετέρας αἱρέσεως ἐγλύθης, ἣν διὰ τὸ αὐστηρὸν καὶ οἱ ἄνδρες κατεπλάγησαν. ἀλλ' ὅπως καὶ τέλος ἐπιθῇς τῇ ἀρχῇ σπούδασον.

Hipparchæ.

Delector deſiderio tuo, quòd mulier philoſophiam expetas, & noſtram complexa ſis opinionẽ, cuius auſteritate etiã viri perterrẽtur. Verùm vt principij tui optatũ finẽ conſequaris, contende.

Quem

Quem conſequeris, ſcio, ſi à Crate, viro, perſapiente, & nobis, philoſophiæ auctoribus non diſceſſeris. Crebras autem nobis literas dato: multa nanque poſſunt epiſtolæ, neque minorem vim habent, quàm præſens diſputatio.

Antipatro.

NOli nos reprehendere, quod cùm nos in Macedoniam accerſiueris, tibi non paruimus: nō enim eò feci, vt Athenienſem ſalem tuæ menſæ prætulerim. Neque contentam in me ambitionem ſuſpiceris, quarum gratia alij fortaſſe id facerent, vt multitudini magnanimi viderentur, quòd reges paruifacerent. Sed nobis, quàm Macedonum menſa, Athenienſis ſal longè eſt familiarior. Noſtri igitur dogmatis obſeruantia, potiùs quàm tui contemptu, tibi non paruimus. Ignoſce igitur nobis. Siquidem ſi pecora eſſemus, ignoſceres non parentibus. Neque enim & regis & pecoris victus idem eſt. Quamobrem ſine fortunate, Antipater, vnum quemque ibi viuere, vbicunque ei licet, hoc enim præ cæteria regium eſt.

Perdicæ.

SI contra gloriam pugnare vis, quæ inimicorum fortiſſima, plus quàm Thraces & Pæones te offendit, abiectis hominum affectibus, me accerſe; poſſum enim hanc ſubire militiam. Verùm ſi quid adhuc aduerſus homines tibi faciendum relinquitur, & hoc fermè bellum non ſentis, ſine nos Athenis eſſe, & Alexandri milites ad te accerſito, quorum opera & auxilio, & Illyricos, & Scythas ſubegit.

Crateti.

CVm Thebas proficiſcereris, ſub meridiem, ex Pireo, vrbem aſcendi. Cùmque ob calorem vehementiùs ſitirem, fontem petij. Ibi promenti mihi ex pera, poculum, quidam Deorum, qui foſenſium curam habent, ante oculos aſtitit, qui iunctis in cauum manibus, è fonte aquam hauſit, bibitque. Tunc ego id mihi commodius poculum arbitratus, tam bono, & bonarum rerum præcepto vti non puduit, & ſapienter quidem. Abieci igitur, quod habebam poculum: & inuentis, qui Thebas venirent, tam præclarum inuentum tibi quàm primùm literis ſignificandum duxi, quippe qui nihil bonorum ſine te cognoſcendum mihi ſtatuerim. Tu autem hoc publicè in foro diſſemines, velim. Sunt & nobis alia præterea multa, ſapientiæ plena. Ampla nanque natura eſt, quam opinione & vita eiectam, in hominum ſalutem conuertimus.

Patri Icetæ.

NOn moleſtè fero, Pater, quòd canis appellor, & duplici induor pallio, & peram fero, & baculum. Siquidem potiùs lætandum tibi eſt, quàm iniquo animo ferendum, quòd paucis contentus ſit filius tuus, & iis liber opinionibus, quib. omnes ſeruiunt, & Græci & Barbari. Nomē enim cū rebus inſitū nō ſit, nota quædā eſt quodāmodo glorioſa. Cœli namq; canis appellor, quoniā illius ſimilis ſū.

ἐπιθύσοις ἀλλ' οἶδα εἰ κρατῆτος τε τοῦ συνδιέτριβες μὲν ἀπολίποιο, ἡμῶν τε τοῖς ἀρχηγέταις τῆς φιλοσοφίας θαμινὰς ἐπιστολάς. δύνανται γὰρ αἱ ἐπιστολαὶ πολλά, καὶ οὐχ ἧττον τῆς πρὸς παρόντας διαλέξεως.

Ἀντιπάτρῳ.

ΜΗ μέμφου με ὅτι σοι μεταπεμπομένῳ μέχρι ἡμᾶς ἐπὶ μακεδονίαν οὐκ ἐπεδημήσαμεν. οὐδ' ὅτι τοὺς ἀθήνησιν ἅλας προὐκρίναμεν τῆς παρὰ σοῦ τραπέζης. οὐ γὰρ δι' ὑπεροψίαν τοῦτ' ἐποιήσαμεν, ἀλλ' οὐδὲ διὰ φιλοδοξίαν δι' ἣν τάχ' ἴσως ἕτεροι ἂν ἐποίησαν, ἵνα παρὰ τοῖς πολλοῖς μεγάλοι δόξωσι βασιλεῦσι δυνάμενοι ἀντιλέγειν. συγγίνωσκε οὖν. καὶ γὰρ εἰ πρόβατα ἦμεν, συνέγνως ἂν μὴ πειθομένοις ὅτι οὐκ ἦν προβάτου τροφὴ καὶ βασιλεῦσιν ἡ αὐτή. φυλακῇ οὖν τῆς οὐσίας μᾶλλον ἀντείπομεν σοι. καὶ οὐχ ὑπεροψίας. ἔα οὖν ἕκαστον ὅπῃ δύναται ζῆν. βασιλικὸν γὰρ τοῦτο, καὶ οὐ τὸ ἕτερον.

Περδίκκᾳ.

ΕΙ μὲν ταῖς δόξαις ἤδη πολεμεῖς, λέγω δὲ ταῖς ἰσχυροτάταις ἐχθραῖς καὶ πλεῖστα καταβλάπτουσαί σε θρᾳκῶν τε καὶ παιόνων, καταστρεψάμενος τὰ τῶν ἀνθρώπων πάθη, μεταπέμπου με. δύναμαι γὰρ εἰς τὸν πρὸς αὐτὰ πόλεμον καὶ στρατεύεσθαι. εἰ δέ τι σοι τὰ πρὸς ἀνθρώπους ἔργα λείπεται καὶ τούτου τοῦ πολέμου χεῖρον αἰσθάνῃ, ἔα μὲν ἡμᾶς ἀθήνησι καθίζεσθαι. μεταπέμπου δὲ τοὺς ἀλεξάνδρου στρατιώτας, οἷς χρώμενος ἐκεῖνος ἰλλυριοὺς καὶ σκύθας ὑπέταξεν.

Κράτητι.

ΧΩρισθέντος σου εἰς θήβας, ἀνέβαινον ἐκ πειραιῶς ὑπὸ μέσην ἡμέραν. καὶ διὰ τοῦτο λαμβανομένου με δίψους καρτεροῦ, ὥρμησα ἐπὶ τὴν πάνοπος κρήνην. καὶ ἕως ἐγὼ τὸ ποτήριον ἐκ τῆς πήρας ἐξῄρουν, ἰδών τις θεράπων τῶν τὴν χώραν ἐργαζομένων, καὶ συνάψας κοίλας τὰς χεῖρας ἠρύετο ἀπὸ τῆς κρήνης καὶ οὕτως ἔπινε. καὶ ἐγὼ δόξας μοι ποτηρίου σοφώτερον εἶναι οὐκ ᾐδέσθην διδασκάλῳ αὐτῷ τῶν καλῶν χρήσασθαι. ἀπορρίψας οὖν τὸ ποτήριον ὃ εἶχον καὶ σοὶ ἀνθρώπους τινὰς ἐπὶ θηβῶν εἰσερχομένους τὸ σοφὸν τοῦτο ἐπέστειλα οὐδὲν βουλόμενος τῶν καλῶν δίχα σοῦ ἐπίστασθαι, ἀλλὰ καὶ σὺ διὰ τοῦτο πειρῶ εἰς τὴν ἀγορὰν ἐμβάλλειν, ἵνα πολλοὶ δὴ τρίβουσιν ἄνθρωποι. ἔστι γὰρ ἡμῖν ἔτι καὶ ἄλλα σοφὰ παρὰ τῆς κατὰ μέρος εὑρεῖν. πολλὴ γὰρ ἡ φύσις. ἣν ἐκβαλλομένην ὑπὸ τῆς δόξης ἐκ τοῦ βίου, ἐπὶ σωτηρίᾳ ἀνθρώπων κατάγομεν ἡμεῖς.

Τῷ πατρὶ Ἱκέτῃ.

ΜΗ αἰτιῶ ὦ πάτερ ὅτι κύων λέγομαι καὶ ἀμπέχομαι τρίβωνα διπλοῦν καὶ πήραν φέρω κατ' ὤμους καὶ ῥάβδον ἔχω διὰ χειρός. οὐ γὰρ ἄξιον ἐπὶ τοῖς τοιούτοις αἰτιᾶσθαι, μᾶλλον δὲ ἥδεσθαι, ὅτι ὀλίγοις μὲν ἀρκεῖται ὁ παῖς σου, ἐλεύθερος δὲ δόξης ᾗ πάντες δουλεύουσιν ἕλληνές τε καὶ βάρβαροι. τὸ γὰρ ὄνομα πρὸς τὸ μὴ συμπεφωνῆσθαι τοῖς πράγμασι, σύμβολον δ' ἐστὶν, ἔνδοξόν πως ἐστί. καλοῦμαι γὰρ κύων ὁ οὐρανοῦ, οὐχ ὁ γῆς. ὅτι ὁμοίως εἰκάζω

ἐμαυτὸν ζῶν οὐ κατὰ δόξαν, ἀλλὰ κατὰ φύσιν ἐλεύθερος ὑπὸ τὸν Δία. εἰς αὐτὸν ἀνατιθεὶς τἀγαθόν. τὴν δὲ στολὴν καὶ Ὅμηρος γράφει τὸν τῶν Ἑλλήνων σοφώτατον φορέσαι, ἡνίκα οἴκαδε ἐπανῄει ἐξ Ἰλίου Ἀθηνᾶς ὑποθημοσύνῃσι. καί τοι καλή ἐστιν ὡς μὴ ἀνθρώπων εὕρημα ὁμολογεῖσθαι, ἀλλὰ θεῶν. Φᾶρος μέν οἱ πρῶτα χιτῶνά τε εἵματ' ἔδωκε. Ῥωγαλέα ῥυπόωντα κακῷ μεμορυγμένα καπνῷ. Ἀμφὶ δέ μιν μέγα δέρμα ἕσ' ὠκέος ἐλάφοιο. Ψιλόν. δῶκε δέ οἱ σκῆπτρον καὶ ἀεικέα πήρην. Θάρρει οὖν πάτερ ἐπὶ τῷ ὀνόματι ᾧ καλοῦσιν ἡμᾶς ἐπί τε τῇ στολῇ. ἐπεὶ ὁ μὲν κύων ἐστὶ πρὸς θεῶν ἡ δὲ, εὕρημα θεοῦ.

Nam non ſecundùm opinionem, ſed ſecundùm naturam viuo, ſub Ioue, liber & in eo, non in proximo bonum repono. Et ſtola quidem Homerus Vlyſſem, Græcorum ſapientiſſimum, cùm domum rediret ex Ilio, Mineruæ monitu indutum ſcribit, quæ tam pulchra eſſet, vt non hominum, ſed Deorum inuentum profiteretur.

Et veſtem tunicamque dedit, velamina prima,
Vilia, migranti iam pridem ſordida, fumo,
Et lenta adiecit velocis tergora, cerui,
Et baculum, & turpem pertuſámque vndique peram,
Hanc anſa è tortis humero ſuſpenderat herbis.

Eſto igitur bono animo Pater: nec nominis, quo me appellant, nec ſtolæ te pigeat. Nam alterum canis inuentum eſt, alterum Dei.

Εὐγνησίῳ.

ΗΚον εἰς Κόρινθον ἐκ Μεγαρέων. ἔπειτα διαπορευόμενος τὴν ἀγορὰν παρίσταμαι διδασκαλείῳ τινὶ παίδων καί μοι ἐπεὶ οὐκ ἐρραψῴδουν ἔδοξε πυθέσθαι. τίς ἦν ὁ διδάσκων αὐτούς, κἀπεκρίνατο Διονύσιος ὁ τῆς Σικελίας τύραννος. κἀγὼ δόξας αὐτοὺς ἐρεσχελεῖν πρός με, καὶ τοῦτο οὐχ ἁπλῶς ἀποκεκρίσθαι παρελθὼν ἐπὶ τὸ βάθρον ἐκάθισα διακόσμως ἀναμένων αὐτόν. ἐλέγετο γὰρ πρὸς ἀγορὰν ἀφικνεῖσθαι. καὶ δὴ οὐ διεγένετο πολὺς χρόνος. καὶ ἐπιστρέφεται ὁ Διονύσιος. κἀγὼ ἐξαναστὰς προσαγορεύω τὸν αὐτὸν καὶ ἐπιλέγω ὡς οὐκ εὖ Διονύσιε διδάσκεις. ὁ δέ με δόξας συνάχθεσθαι αὐτῷ ἐπὶ τῇ πτώσει τῆς τυραννίδος καὶ τῷ παρόντι σχήματι τοῦ βίου, τοιαῦτα εἶπεν ὦ Διόγενες. εὖ ποιεῖς συναλγῶν ἡμῖν. κἀγὼ προσέθηκα τῷ οὐκ εὖ, τὸ ἀληθῶς. ἀλλ' ἐγὼ μὲν οὐχ ὅτι τῆς τυραννίδος ἀφῄρησαι, ἄχθομαι ὦ Διονύσιε, ἀλλ' ὅτι ἐλευθεριάζεις ἐν τῇ Ἑλλάδι ταυτοῦ καὶ ἀφίστασαι ἀπὸ τῶν ἐν Σικελίᾳ κακῶν. οἷς ἔδει σε ἀποθανεῖν τοσαῦτα ἐργασάμενον φαῦλα γῆν καὶ θάλατταν.

Eugneſio.

VEni Megaris Corinthum, vbi in forum profectus, ad puerorum ludum conſtiti. Qui cũ non rectè verſus canerent, ſciſcitanti mihi: Quiſnam ipſorum eſſet præceptor? reſponderunt, Dionyſium Siciliæ tyrannum. Quos quum me irridere, neque verum dicere arbitrarer, ludum ingreſſus, ſedato animo ſedi, illum expectans: hi in forum enim profectum dicebant. Non multò pòſt rediit. tum ego aſſurgens, his eum verbis compello: Quàm non bene Dionyſi doces. Ipſe verò me miſericordia motum exiſtimãs, ob amiſſam tyrannidem, & fortunæ mutationem: Hoc inquit, pacto, Diogenes, humanæ ſe res habent. Verùm tu perhumanè facis, cùm noſtræ miſereris calamitatis. Cui ego verum aperui: Non quòd tyrannidem, inquam, amiſeris, iccirco doleo, Dionyſi: ſed quòd liberè in Græcia verſaris, quódque à Syculis calamitatibus liberatus es, quibus te abſumi oportuit, cùm terra marique mala commiſeris.

Κράτητι.

ΕΠυθόμην σε τὴν οὐσίαν ἅπασαν κατατεθεικέναι εἰς τὴν ἐκκλησίαν, καὶ παραχωρῆσαι τῇ πατρίδι. καὶ στάντα ἐν μέσῳ κηρύξαι, Κράτης Κράτητος Κράτητα ἀφίησιν ἐλεύθερον. ἡσθῆναι οὖν ἐπὶ τῇ δωρεᾷ τοὺς πάντας ἀστοὺς καὶ ἀγασθῆναι ἡμᾶς τοὺς τῶν τοιούτων ἀνθρώπων ποιητάς. ἐθελῆσαι δὲ διὰ τοῦτο μεταπέμψασθαι ἡμᾶς Ἀθήνηθεν. σὲ δὲ ἐπιστάμενον τῆς ἡμετέρας κρίσεως κωλῦσαι. ἐνταῦθα μὲν οὖν ἐπαινῶ σε τοῦ νοῦ. ἐπὶ δὲ τῇ παραδόσει τῆς οὐσίας καὶ ἄγαμαι. ἐπεὶ θᾶττον ἢ προσεδόκησα κρείττων ἐγένου τῶν δοξῶν. ἀλλὰ διὰ ταχέων ἐπάνηκε. ἔτι γάρ σοι δεῖ πρὸς τἄλλα συνασκήσεως καὶ χρονίζειν ἔνθα μὴ εἰσὶν ὅμοιοι οὐκ ἀσφαλές.

Crateti.

AVdiui te vniuerſum patrimonium tuum in fiſcum contuliſſe, & in mediũ clara voce prædicaſſe: Crates, Cratetis filius, Cratetem liberũ fecit. & hoc dono vniuerſam ciuitatem delectari: nóſque admirari talium virorum artifices: & hac gratia voluiſſe nos Athenis ad ſe accerſere, niſi tu ſententiæ noſtræ haud ignarus, diſſuaſiſſes. Laudo animum tuum, & te res tuas in publicum contuliſſe maiorem in modum lætor: quippe qui ocyus, expectatione melior quàm opinarer, euaſeris. Verùm tu quamprimum ad nos redeas, velim: adhuc enim opus eſt in aliis exercearis. Si quidem minimè tutum eſt, vt illic moram trahas, vbi tui ſimiles non inuenias.

Μητροκλεῖ.

ΜΗ μόνον ἐπὶ τῇ στολῇ καὶ τῷ ὀνόματι καὶ τῇ διαίτῃ θάρρει Μητρόκλεις, ἀλλὰ καὶ ἐπὶ τῷ αἰτεῖν ἀνθρώπους τὰ συντήρια οὐ γὰρ αἰσχρόν. βασιλεῖς γέ τοι καὶ δυνάσται παρὰ τῶν ὑποτελουμένων αἰτοῦσι χρήματα, στρατιώτας, ναῦς, σῖτον, καὶ οἱ κάμνοντες παρὰ τῶν ἰατρῶν φάρμακα, καὶ οὐ μόνον πυρετοῦ, ἀλλὰ καὶ φρίκης καὶ λοιμοῦ. καὶ οἱ ἐρασταὶ παρὰ τῶν παιδικῶν φιλήματα καὶ ἀπαφήματα. τὸν δὲ Ἡρακλέα παρὰ τῶν ἀναισθήτων φασὶ καὶ ἰσχὺν λαμβάνειν.

Metrocli.

NOli ſtolæ, Metrocles, & nomini & vitæ tantùm confidere, etiam petendo ab hominibus neceſſaria, non enim turpe eſt. Nam reges & principes à ſubditis pecunias, milites, naues: & qui aduerſa laborant valetudine à medicis remedia: amantes ab iis quas in delicijs habent, oſcula & contactus poſtulant. Et herculem ferunt etiam à ſenſu carentibus vires accepiſſe. Non

tamen gratuitò petendum eſt, neque vt deteriora: Sed ad ſalutem omnium, naturæ neceſſitatem petere oportet. Quod cùm feceris, Herculem Iouis filium imitare, vt ſcilicet maiora reddas, quàm accipias. Quorſum hæc? Quòd non ad veritatem eſt gloria, pro qua vbique contende, & ſi nihil conſequaris. Bona enim quædam conſuetudo eſt huiuſmodi, aduerſum hæc bellum. Ferunt Socratem dicere: Bonos non petere, ſed poſtulare. Eorum enim omnia eſſe, quemadmodum & deorum. Quod hinc colligere conabatur, quoniam dij omnium domini ſunt, communia autem amicorum. Qui bonus eſt, is Deo amicus eſt. Petes igitur tua.

Crateti.

ET ad ſtatuas, quæ in foro ſunt accede, & panem: pete hæc enim cura quodammodo bona eſt. Inuenies enim homines, qui minus quàm ſtatuæ ſentiunt, & ſpadonibus potiùs, & ſcurris, quàm tibi, quicquam largiantur. Noli admirari: quiſque proximum ſibi, & non qui longè abeſt, veneratur. Proximi autem ſunt, & qui multitudini placent, ſpadones potiùs, quàm philoſophi.

Eidem.

MVlti cùm breuem & facilem viam, quæ ducit ad felicitatem, eſſe audiunt, volunt, quemadmodum, & nos, philoſophari: cùm verò ad eam perueniunt, & eius intuentur difficultatem, tanquam feſſi deſiſtunt. Inde non ſuam mollitiem, ſed torporem noſtrum accuſant. Verùm tu ſine eos dormire in ſuis voluptatibus, in quibus non eo labore viuunt, in quo nos eſſe dicunt: ſed longè grauiori, cuius gratia omni tempore turpiſſimè ſeruiunt. Tu verò perſeuera, vt cœpiſti, & reſiſte pariter voluptati, & annitere labori. Vtrunque enim nobis certare ſolet, & in primis nobis eſſe impedimento, illa quidem, quòd ad turpia nos allicit: hic quòd metu nos à Virtute abducit.

Apollexidi.

MVlta quæ peræ noſtræ oneri erant, abiecimus, Apollexis, catinum videlicet: & poculum: cùm alterius loco, pane; in quo concauum eſt, alterius, manu vti me poſſe intelligam. Neque me pudet huius doctrinæ auctorem, quemuis puerum oſtendere. Non enim decet vtile ad libertatem aſſequendam inuentum contemnere, ſed complecti.

Antipatro.

REprehendis vitam noſtram, tanquam laborioſam: & propter eius aſperitatem, omnibus odioſam. Ego autem ſponte mea eam complector, vt quicunque me imitantur, non omnino voluptatibus dediti videantur.

Eidem.

Afferis, vt audio, nihil mirum quòd duplex pallium & peram ferimus: ego autem neutrum horum admiratione dignum planè confiteor, ſed bonum vtrumq;, cùm ſponte proficiſcitur. Si quidē nō corpus duntaxat hac victus tenuitate vti oportet,

καὶ γὰρ προσήκει αἰτεῖν, οὐδὲ ἐπὶ χείροσιν ἀνταλλαγῇ, ἀλλ' ἐπὶ τῇ σωτηρίᾳ πάντων δεῖν, ὡς θεράποντας τὰ πρὸς τὴν φύσιν, καὶ ἐπὶ τῷ ταῦτα ποιεῖν Ἡρακλεῖ τῷ Διός. καὶ ἔχειν ἀμείβεσθαι πολὺ κρείττονα ὧν λαμβάνεις αὐτός. τίνα ταῦτα, μὴ πρὸς τὴν ἀλήθειαν εἶναί σοι τὴν μάχην τοῦτο προσάσσοντι, ἀλλὰ πρὸς τὴν δόξαν, ἣν πάντῃ μάχου, κἂν μηδέν σε ἐπινήῃ. καλὸν γάρ τοι ἔθος καὶ ὁ πρὸς τὰ τοιαῦτα πόλεμος. Σωκράτης δὲ ἔλεγε μὴ αἰτεῖν τοὺς σπουδαίους, ἀλλ' ἀπαιτεῖν. εἶναι γὰρ αὐτῶν τὰ πάντα ὡς καὶ τῶν θεῶν. καὶ τοῦτ' ἐπειρᾶτο συνάγειν ἐκ τοῦ κυρίους μὲν ὑπάρχειν τῶν πάντων τοὺς θεούς. κοινὰ δὲ τὰ τῶν φίλων. φίλον δ' εἶναι τῷ θεῷ τὸν σπουδαῖον. αἰτήσεις τοίνυν τὰ ἴδια.

Κράτητι.

ΚΑὶ τοὺς ἀνδριάντας τοὺς ἐν τῇ ἀγορᾷ προσιὼν αἴτει τὰ ἄλφιτα. καλὴ γάρ πως καὶ ἡ τοιαύτη μελέτη. ἐντεύξῃ γὰρ ἀνθρώποις ἀπαθεστέροις ἀνδριάντων. καὶ ὅταν σοῦ μᾶλλον γάλλοις καὶ κιναιδολόγοις μεταδιδῶσι, μὴ θαύμαζε. τιμᾷ γὰρ ἕκαστος τὸν πλησίον. εἰσὶ δὲ οἱ τοῖς πολλοῖς ἀρέσκοντες γάλλοι μᾶλλον ἢ φιλόσοφοι.

Τῷ αὐτῷ.

ΟΙ πολλοὶ τὸν εὐδαιμονισμὸν, ὅταν μὲν συντομον ὁδὸν ἐπ' εὐδαιμονίαν φέρουσαν ἀκούσωσιν, ἵενται καθάπερ ὑμεῖς ἐπὶ φιλοσοφίαν. ὅταν δ' ἐπὶ τὴν ὁδὸν ἀφίκωνται καὶ αὐτῆς τὴν χαλεπότητα θεάσωνται, ὡς οἱ ἀσθενοῦντες ὀπίσω ἀναχωροῦσιν, εἶτα μέμφονταί ποτε οὐχ αὐτὴν τῆς μαλακίας, ἀλλὰ τὴν ἡμῶν ἀμαθίαν. ἔα οὖν τούτους μὲν ὅπως ἐσπουδάσαν ταῖς ἡδοναῖς συγκαθεύδειν. καταλείψεται γὰρ αὐτοὺς ζῶντας οὐχ εἰς ὃν ἡμᾶς διαβάλλουσι πόνον, ἀλλ' οἱ μείζονες δι' οὓς πάσῃ περιστάσει δουλεύουσιν αἰσχρῶς. σὺ δὲ ἐπίμενε ἐν τῇ ἀσκήσει ὥσπερ ἤρξω καὶ σπούδαζε κατ' ἴσον ἡδονῇ ἀντιτάττεσθαι καὶ πόνῳ. ἐπεὶ καὶ κατ' ἴσον ἀμφότερα πολεμεῖν ἡμῖν πέφυκε. καὶ εἰς τὰ πρῶτα ἐμποδίζειν. ἡ μὲν, διὰ τὸ ἐπὶ τὰ αἰσχρὰ ἄγειν. ὁ δὲ, διὰ τὸ ἀπὸ τῶν καλῶν ἀπάγειν τῷ φόβῳ.

Ἀπολλήξιδι.

ΑΠεθέμεθα τὰ πολλὰ τῶν τῆς πήρας βαρυνόντων. πίνακα μὲν, διδαχθεὶς ἐν ἄρτῳ τὸ κοῖλον εἶναι. ποτήριον δὲ τὰς χεῖρας. καὶ οὐκ ἔστιν αἰσχύνη τὸν ἐπιστάτην εἰπεῖν ὅτι παῖς ἦν ἔτι. οὐκ ἔδει δὲ τὴν εὕρεσιν εὔχρηστον οὖσαν, διὰ τὴν ἡλικίαν παρελθεῖν, ἀλλὰ προσδέξασθαι.

Ἀντιπάτρῳ.

ΜΕμφῃ μου τὸν βίον ὡς ἐπίπονον. καὶ διὰ χαλεπότητα ὑπ' οὐδενὸς ἐπιτηδευόμενον. ἐγὼ δὲ ἑκὼν αὐτὸν ἐπετήδευσα, ἵνα γνῶσιν οἱ μιμούμενοί με μὴ τέλεον ἡδυπαθεῖς εἶναι.

Τῷ αὐτῷ.

ΑΚούω λέγειν σε μηδὲν με ποιεῖν παράδοξον διπλοῦν τρίβωνα φοροῦντα, καὶ πήραν ἐξημμένον. ἐγὼ δὲ θαυμαστὸν μὲν οὐδὲν φημι τούτων. καλὸν δὲ ἑκάτερον αὐτοῖν ἀπὸ διαθέσεως ἐπιτηδευόμενον. οὐ γὰρ μόνον τὸ σῶμα τῇ λιτότητι, ἀλλὰ

καὶ τὴν ψυχὴν σὺν αὐτοῖς ἐπαγγέλλεσθαι μὲν πολλά, πράττειν δὲ μηδὲ τὰ ἀρκοῦντα, ἀλλ' ἅμα τῷ λόγῳ τὸν βίον ἀκόλουθον ἐπιδείκνυσθαι. ὃ δεῖ πειρῶμαι ποιεῖν καὶ μαρτυρεῖν μοι. ἴσως ὑπολήψῃ με λέγειν, τὸν ἀθηναίων δῆμον ἢ τὸν κορινθίων ἀδίκους μάρτυρας. τὴν ἐμαυτοῦ ψυχὴν φημὶ ἣν οὐκ ἔστι λαθεῖν ἁμαρτάνοντα.

Ἀπολλήξιδι.

Ἐνέτυχόν σοι περὶ οἰκήσεως, καὶ χάριν ὑποσχομένῳ. κοχλίαν δὲ θεασάμενος εὗρον οἴκησιν ἀλεξήνεμον. ἀπολέλυσο οὖν τῆς ὑπηρεσίας, καὶ σύγχαιρε ἡμῖν τὴν φύσιν διζέσμασιν.

Ἀνταλκίδῃ.

Ἀκούω σε γράφειν περὶ ἀρετῆς πρὸς ἡμᾶς καὶ τοῖς γνωρίμοις ἐπαγγέλλεσθαι διὰ τῆς γραφῆς πείθειν ἡμᾶς περὶ σοῦ φρονεῖν τι. ἐγὼ δὲ οὐδὲ τὴν τοῦ Τυνδάρεω θυγατέρα ἐπαινῶ τὴν εἰς τὸν οἶνον τὸ νηπενθὲς βαλοῦσαν φάρμακον. ἔδει γὰρ αὐτὸ προσαιτεῖσθαι χωρὶς οἴνου. οὐδὲ σὲ ὃς παρόντων μὲν ἡμῶν οὐδὲν ἐπεδείξω σπουδῆς ἄξιον. διὰ γραμμάτων δὲ ὑπολαμβάνεις ἡμᾶς πείσειν. ταῦτά σοι γράφειν εἶχον ἵνα μὴ διὰ τῶν ἀψύχων ἡμῖν προσφωνῇς, ἀλλὰ παρὼν αὐτός.

Ἀπολλήξιδι.

Μηνόδωρον φιλόσοφον παρεκάλεσάν με συστῆσαί μοι Μεγαρικοὶ νεανίσκοι γελοιοτάτην σύστασιν. ὅτι μὲν γὰρ ἄνθρωπός ἐστιν, ἐκ τῆς εἰκόνος ἔστι. εἰ δὲ καὶ φιλόσοφος διὰ βίου καὶ λόγου. ὁ γὰρ καθ' ἡμᾶς σπουδαῖος δι' ἑαυτοῦ συνίσταται.

Ἀναξιλάῳ.

Πυθαγόρας ἑαυτὸν ἔλεγεν Εὔφορβον γεγενῆσθαι τὸν Πάνθου. ἐγὼ δὲ νέον ἐμαυτὸν ἐπίγνων Ἀγαμέμνονα. σκῆπτρον γὰρ ἐμοῦ ἐστι τὸ βάκτρον. καὶ χλαμὺς ὁ διπλοῦς τρίβων. ἡ δὲ πήρα διὰ τὸ δέρματος ἀλλαγὴν ἀσπίς. εἰ δὲ μὴ καρηκομῶ, νέος ἦν Ἀγαμέμνων. γέρων δ' αὖ γενόμενος ἐψιλοκόρσησα. τοιαῦτα γὰρ ἄξιον φρονεῖν καὶ λέγειν πρὸς τὸν αὐτὸς ἔφα λέγοντα.

Μελησίππῳ.

Ἤκουόν σε λελυπῆσθαι ὅτι τὰ Ἀθηναίων τέκνα πληγὰς ἐμοὶ ἐνέτειναν μεθύοντα. καὶ δεινὰ πάσχειν εἰ σοφία παροινῆται. σὺ δὲ ἴσθι ὅτι Διογένους μὲν ἐπλήγη σῶμα ὑπὸ τῶν μεθυόντων. ἀρετὴ δὲ οὐκ ἠχρειώθη. ἐπεὶ μήτε κοσμεῖσθαι πέφυκεν ὑπὸ φαύλων, μήτε αἰσχύνεσθαι. Διογένης μὲν δὴ οὐχ ὑβρίσθη. κακῶς δ' ἔπαθεν ὁ Ἀθηναίων δῆμος. ἐν ᾧ τινες ἔδοξαν ἀρετῆς ὑπεριδεῖν. διὰ γοῦν τὴν ἑνὸς ἀφροσύνην κοινῇ δῆμοι ἀφαιρεθέντες ἀπόλλυνται βουλευόμενοι τὰ μὴ προσήκοντα. καὶ στρατευόμενοι δέον ἠρεμεῖν, εἰ δὲ τὴν ἀρχὴν τὴν ἀπόνοιαν ἔστησαν, οὐκ ἂν ἔτι ταῦτα ἐχώρουν.

Ἀμυνάνδρῳ.

Γονεῦσι χάριτας οὐχ ἑκτέον, ἐπεὶ φύσει γέγονε τὰ ὄντα, οὔτε τῆς ποιότητος. ἡ γὰρ τῶν στοιχείων σύγκρασις, αἰτία ταύτης. καὶ μὴν καὶ τῶν κα-

ſed etiam vnà animam. Neque multa promittenda ſunt, facienda autem quibus contenti ſumus. Sed vitæ verba conſentanea oſtendere, & quæ audeo facere, ea & teſtari decet. Fortaſſe Athenienſem populum aut Corinthiorum, iniquos teſtes me dicere ſuſpicaberis: meam dico animam, quam mea peccata latêre minimè poſſunt.

Apollexidi.

PEtij abs te domum, & mihi gratiam habuiſti. Deinde cùm propius conſiderarem, inueni mihi domum, ventorum remedium, dolium videlicet, non muros. Ab hac igitur cura me abſolui: quare gratulare nobis, naturæ inuentoribus.

Antalcidi.

AVdio te de virtute ad nos ſcribere, & familiaribus polliceri, oratione tua nos adducturum, vt de te rectè ſentiamus. Ego autem Tyncari filiam non laudo, quæ medicamentum ad dolorem leniendum vino immiſcuit, quoniam ſine vino afferre id oportuit. Tu quidem nihil ſtudioſo homine dignum præ te tuliſti, ſed literis te nobis perſuaſurum arbitraris. Hoc habui quod ad te ſcriberem, ne per inania, ſed tu ipſe coram nos alloquaris.

Apollexidi.

ROgarunt me Megarenſes adoleſcentuli, vt tibi Menodorum philoſophum commẽdarem: ridiculam ſanè commendationem. Nam quòd homo ſit, ipſa hominis effigie: quòd philoſophus, vita & moribus cognoſces. Qui enim bonus eſt, per ſeipſum commendatur.

Anaxilao.

PYthagoras Ephorbium, Panthi filium, ſe fuiſſe dicebat. Ego autem, cùm eſſem iuuenis, Agamemnonem fuiſſe memini. Sceptrum namque meum, baculus eſt: & ſagum, duplex pallium, Sacculus verò ob pellis imitationem, clypeus. Quòd ſi comam non nutrio, iuuenis tunc eram Agamemnon: nunc ſenex, caluus factus ſum. Huiuſmodi meritò & ſentiri & dici poſſunt ad eum, qui ſe ſapientem profitetur.

Meleſippo.

AVdio, quàm iniquo animo feras, quòd Athenienſes ebrij me verberarunt: & grauibus cõtumeliis affici ſapientiam conquereris. Certò tamen ſcias velim, Diogenis corpus ab ebriis verberibus affectum, Virtutem verò minimè: quippe quæ neque honeſtari poſſit à prauis, neque vituperari. Diogenes igitur nullam accepit iniuriam, ſed Athenienſis populus, ex quo nonnulli virtutem cõtemnere videntur. Itaque propter vnius amentiam, publicè inſipientes pereunt, cùm quæ nulli omnino vſui ſunt, conſulant & exercitum parent, vbi quietè viuere oporteret. Quòd ſi à principio ſuam cohibuiſſent ſtultitiam, nunquam in huiuſmodi mala incidiſſent.

Amynandro.

NOn idcirco parentib. gratia habẽda eſt, quòd me genuerunt. Quoniam res humanæ natura non qualitate proueniunt. Confuſio enim elemẽtorum, procreationis cauſa eſt. Atqui eorum quæ

præter

præter ſententiam & voluntatem fiunt, nulla habenda eſt gratia. Generatio autem rem Veneream ſequitur, hoc eſt voluptatem. Non generationem meditatur, qui generat. Has ego voces omni penitus affectu vacuas, Vates, ſuperbæ vitæ contrarias eſſe profiteor. Quòd ſi cui fortaſſe duriores videbuntur. Natura eas & Veritas atteſtatur: & eorum præterea vita, qui nulla animi elatione, ſed cum laude vitam agunt.

Ageſilao.

ADeò mihi vita incerta eſt, vt dū hanc ad te epiſtulam ſcribam: me victurum dubitem: feci autem ea dignum monumentum. Diuina enim, quàm humana, maiora ſunt. At vnum nobis duntaxat, certiſſimum eſt, corruptio poſt generationem. Quod cùm mihi dubium minimè ſit, inanes corpuſculi noſtri ſpes, & breui euolantes abiiciendas, néue ſupra hominem ſapias, admoneo.

Alexandro.

SIgnificas mihi, Macedonum Regem videndi noſtri deſiderio teneri. Bene autem feciſti, quòd illi Macedonas prępoſueris. Noſtri enim, nos nullius imperio parituros. Videre autem meum animum, & me, tanquam hoſpitem accipere nemo velit. Quòd ſi Alexander & vitam, & vitæ noſtræ rationes cognuſcere cupit, & in memoriam reducat, tantùm Athenas à Macedonia, quantùm Macedoniam Athenis abeſſe.

Eidem.

SI vis bonus & benignus videri, tuis abiectis faſcultatibus, pallio indutus, ad nos venias. Sed nō potes, Hephæſtionis namque femoribus teneris.

Hippioni.

HOrtaris me, vt ad ſcribam, quid tandem de ſepeltura & morte ſentiam: ac ſi perfectus philoſophus minimè futurus ſis, niſi id à nobis didiceris. Ego autem ſatis nobis arbitror, ſi ſecundùm naturam & virtutem vixerimus, quod in noſtra eſt poteſtate. Quæ autem poſt mortem ſunt, ita à naturæ ratione ſeparari, quemadmodum quæ ante generationem, nobis perſuadendum eſt. Quo enim modo homo natus eſt, eodem diſſoluitur. Nulla igitur omnino futurorum formidine, moueare cùm nihil ſenſurus ſis. Ego cùm moriar, iuxta me baculum poneodum ſtatui, vt quæ me offenſum venerint, animalia abigam.

Anceridi.

LAcedæmonij contra nos legem tulerunt, ne Spartam accederemus: ſed tu nil nos reueritus, nomine tantùm Cynicæ ſectæ veteris. Miſeri ſanè, qui odio habent, quæ velle ſectari videntur. At ego ſolus virtutem ſequor nec quenquam noui, qui tenuiori victu vixerit, quàm ego. De difficilium autem rerum tolerantia, quiſ nam, præſente Diogéne, gloriabitur? Præterea non eſt conſentaneum vt Lacedæmonij, fortitudinis oſtendendæ gratia, ſine muris Spartam habitent: incuſtoditam autem animam, affectibus prædam relinquant, neque vllum ei præſidium imponant & cum finitimis maximo terrori ſint, ſuis ipſi morbis ſe perire patiantur.

τὰ προαίρεσιν ἢ βούλησιν οὐδεμία χάρις. ἡ γὰρ γένεσις, ἀφροδισίων ἐστὶ παρακολούθημα. ἀφροδισίων ἡδονῆς ἕνεκεν οὐ γενέσεως ἐπιτηδεύεται. ταύτας τὰς φωνὰς, ὁ τῆς ἀπαθείας προφήτης ἐγὼ ἀποφθέγγομαι ἐναντίας τῷ τετυφωμένῳ βίῳ. εἰ δέ που ἐνίοις φανοῦνται σκληρότεραι, φύσις αὐτὰς σὺν ἀληθείᾳ βεβαιοῖ καὶ ὁ βίος ὁ τῶν μὴ μετὰ τύφου, ἀλλὰ κατ' ἀρετὴν βιούντων.

Ἀγησιλάῳ.

ΕΜοὶ τὸ μὲν ζῆν οὕτως ἐστὶν ἀβέβαιον, ὡς μὴ πιστεύεσθαι περιμένειν ἕως τὴν ἐπιστολὴν γράφω. ἐποίησα δ' ἀξί' αὐτῇ ταμεῖον. τὰ δὲ τῶν νομιζομένων θεῶν μείζονα ἢ κατ' ἀνθρώπους. ἓν δὲ μόνον ἐμαυτῷ βέβαιον συνοιδα. τὴν μετὰ γένεσιν, φθοράν. ταῦτ' ἐπιστάμενος αὐτός τε τὰς κενὰς ἐλπίδας ἱπταμένας περὶ τὸ σωμάτιον ἀποφυσῶ. καὶ σοὶ παραγγέλλω μὴ πλέον ἀνθρώπου φρονεῖν.

Ἀλεξάνδρῳ.

ΕΠηγγέλθη μοι βασιλέα Μακεδόνων σπουδάζειν περὶ τῆς ἡμῶν ὄψεως· καὶ ἐποίησας προσθεὶς τῷ βασιλεῖ τοὺς Μακεδόνας. τὰ γὰρ ἡμέτερα ἤδη ἐς ἀβασίλευτα. ἰδεῖν δὲ τὸν ἐμὸν τρόπον μηδεὶς ὡς ξένον βούλεται. εἰ δὲ μεταλαβεῖν Ἀλέξανδρος βίου καὶ λόγου βούλεται, λέγε αὐτῷ ὅτι ὅσον ἐξ Ἀθηνῶν εἰς Μακεδονίαν, τοσοῦτον καὶ ἐκ Μακεδονίας εἰς Ἀθήνας.

Τοῦ αὐτοῦ.

ΕΙ θέλεις καλὸς καὶ ἀγαθὸς γενέσθαι, ἀπορρίψας ὃ ἔχεις ἐπὶ τῆς κεφαλῆς ῥάκος, παραγενοῦ πρὸς ἡμᾶς, ἀλλ' οὐ μὴ δυνηθῇς. κρατῇ γὰρ ὑπὸ τῶν Ἡφαιστίωνος μηρῶν.

Ἱππίωνι.

ΠΑρακαλεῖς με ἐπιστεῖλαί σοι ὅτι ποτὲ ἔγνωκα περὶ θανάτου καὶ ταφῆς. ὡς οὐκ ἂν τέλειος φιλόσοφος ἐσόμενος, εἰ μὴ ἔστι τὰ μετὰ τὸ ζῆν παρ' ἡμῶν μάθοις. ἐγὼ δὲ ἱκανὸν ἡγοῦμαι τὸ κατ' ἀρετὴν καὶ φύσιν ζῆσαι. καὶ τοῦτο ἐφ' ἡμῖν ἐστι. ὥσπερ δὲ τὰ πρὸ τῆς γενέσεως παρακεχώρηται τῇ φύσει, οὕτω καὶ μετὰ τὸ ζῆν ἐπιτρεπτέον ταύτῃ. αὐτὴ γὰρ ὡς ἐγέννησε καὶ διαλύσει. μηδὲν δὲ εὐλαβηθῇς ὅπως ποτὲ ἀναίσθητος ὤν. ἐγὼ γοῦν ἔγνωκα ἀποθανόντι μοι παρατεθῆναι τὸ βάκτρον, ἵνα τὰ δοκοῦντα λυμαίνεσθαι ζῷα ἀπελαύνοιμι.

Ἀνικερίδι.

ΛΑκεδαιμόνιοι καθ' ἡμῶν ἐψηφίσαντο ὡς μὴ τῆς Σπάρτης ἐπιβαίνοιμεν. ἀλλὰ σύ γε μηδὲν εὐλαβηθῇς. ὀνόματι γὰρ κέχρηνται κλεινοτάτῳ. ἀξιλεκτοί γε μήν, οἱ μὴ τοιοῦτοι ἃ δοκοῦσιν ἀσκεῖν ὑπ' ἐμοῦ μόνου κατορθοῦσθαι. βίου τὸ γὰρ λιτότητα οὐκ οἶδ' εἴ τις ἐμοῦ μᾶλλον εὕρηκε. ὑπομονὴν δὲ τῶν δεινῶν τίς ἂν καυχήσηται Διογένους φανέντος. ἀκόλουθα γοῦν καὶ ταῦτα τούτοις. ἀτείχιστοι δοκοῦντες δι' ἀνδρίαν οἰκεῖν τὴν Σπάρτην, ἀφύλακτον τὴν ψυχὴν τοῖς πάθεσιν ἐκδεδώκασι, μηδένα κατ' αὐτὸν βοηθὸν ἐπιστήσαντες. φοβεροὶ οὖν τοῖς ὁμόροις φανέντες ὑπὸ τῶν ἐν αὐτοῖς νοσημάτων πολεμοῦνται.

ἐξελαύνουσιν οἷον ἀρετὴν ὑφ' ἧς μόνης δύναιτ' ἂν ἐρρῶσθαι ἡ ψυχή. καὶ τῶν νοσημάτων ἀπηλλάχθαι.

Quippe qui virtutem expellont: qua ſola animo bene valere, & qui conficiuntur, motbo liberari p otuerunt.

Τοῖς Ἕλλησιν.

Ὑπάρχει δὲ τοῦθ' ὑμῖν κἂν ἐγὼ μὴ λέγω. ὄντες γὰρ τὴν μὲν ὄψιν ἄνθρωποι, τὰς δὲ ψυχὰς πίθηκοι, προσποιεῖσθε πάντα. γινώσκετε δὲ οὐδέν. διὸ γάρ τοι τιμωρεῖται μὲν ὑμᾶς ἡ φύσις. νόμους γὰρ ὑμῖν αὐτοῖς μηχανησάμενοι μέγιστον καὶ πλεῖστον τῦφον ἐφ' αὐτὴν διεκληρώσασθε μάρτυρας τῆς ἐμπεφυσιωμένης κακίας λαβόντες. καὶ οὐδέποτε ἐν εἰρήνῃ, ἀλλ' ἐν πολέμῳ τὸν ὅλον βίον καταγηρᾶτε. κακοὶ κακῶν ἐπιτήδειοι ὄντες, ἐὰν μικρὸν μαλακώτερον ἱμάτιον ἴδητε ἔχοντα ἢ κερμάτιον πλεῖον, ἢ ἐν λόγῳ δριμύτερον ἢ μᾶλλον πεπαιδευμένον. οὐδὲν γὰρ διακρίνετε ὑγιεῖ λόγῳ, ἀλλ' εἰς εἰκότα καὶ ἔνδοξα καὶ πιθανὰ καταλισθαίνοντες, πάντα μὲν ἀπατᾶσθε. οὐδὲν δὲ οἴδατε. οὐθ' οἱ πρόγονοι ὑμῶν οὐθ' ὑμεῖς, ἀλλ' ὑπὸ ἀγνοίας καὶ ἀφροσύνης τοὺς μακαρίους ἐκβάλλεσθε καλῶς ποιοῦντες. μισεῖ δὲ ὑμᾶς οὐ μόνον ὁ κύων, ἀλλὰ καὶ ἡ φύσις αὐτή. μικρὰ μὲν γὰρ εὐφραίνεσθε, πλείω δὲ λυπεῖσθε καὶ πρὸ τοῦ γῆμαι καὶ γήμαντες ὅτι ἐγήματε ὄντες σχέτλιοι καὶ δυσάρεστοι. ὅσους δὲ καὶ οἵους ἄνδρας ἀπεκτείνατε τοὺς μὲν ἐν πολέμῳ πλεονεκτοῦντες, τοὺς δὲ ἐν τῇ καλουμένῃ εἰρήνῃ αἰτίαν ἐπενεγκόντες. ἑκατὸν πολλοὶ μὲν ἐπὶ τῶν σταυρῶν κρέμανται. πολλοὶ δὲ ὑπὸ τοῦ δήμου ἀποσφαζόμενοι. ἕτεροι δὲ φάρμακον πίοντες. οἱ δὲ δημοσίᾳ ἐπὶ τοῦ τροχοῦ διελύθησαν ἄδικοι δόξαντες εἶναι. πότερον οὖν ἐπιχειρητέον ὦ κακαὶ κεφαλαὶ παιδεῦσαι τούτους ἢ ἀποκτεῖναι. νεκρῶν μὲν ἡμῖν οὐδεμία δήπου χρεία ἐτύγχανεν οὖσα, εἰ μὴ ὥσπερ ἱερείων σάρκας ἐσθίειν ἐμέλλομεν. ἀνδρῶν δὲ ἀγαθῶν πάντως δέοι ἂν οὖν ἔσται ὦ κακαὶ κεφαλαί. ἀγραμμάτους μὲν καὶ ἀμούσους παιδεύετε γράμματα τὰ καλούμενα μουσικά. ἵνα ὑπάρχωσιν ὑμῖν ὁπότε ἡ χρεία τούτων. ἄνδρας δὲ δικαίους διὰ τί οὐ παιδεύσαντες χρῆσθαι τούτοις ὁπότε ἡ χρεία δικαίων. ἐπεὶ καὶ ἀδίκων χρείαν ἔχετε ὁπόταν βούλησθε ἀφελέσθαι πόλιν ἢ στρατόπεδον. καὶ οὔπω μέγα τοῦτο. ἀλλ' ὅταν μετὰ βίας πράσσητε, τὰ καλὰ καὶ κρείσσονα λεηλατούμενα πάρεστιν ὁρᾶν. καὶ οὓς μὲν ὦ κακαὶ κεφαλαὶ ἐπιχειρήσετε, τούτους ἀδικεῖτε. καίτοι αὐτοὶ μείζονος τιμωρίας ἄξιοι ὄντες ἔν τε γυμνασίοις ὅταν τὰ καλούμενα Ἑρμαῖα, ἐσθίετε, πίνετε, μεθύετε, συνουσίας περαίνετε, ἐκ τοῦ ἐναντίου περαίνεσθε, συνδικοπαθεῖτε, ἀσεβεῖς ὑμεῖς ὅτι καὶ κρύφα καὶ φανερῶς ποιεῖτε ταῦτα. οὐδὲν μὲν μέλει τῷ κυνί. ὑμῖν δὲ πάντα ταῦτα ἐπιμελῆ ἐστι. καὶ ὅπου κύνας εἴργετε βίου φυσικοῦ, πῶς εἰς αὐτοὺς οὐκ ἂν πλημμελήσητε. κἀγὼ μὲν ὁ κύων τῷ λόγῳ. ἡ δὲ φύσις τῷ ἔργῳ ὁμοίως πάντας ὑμᾶς τιμωρεῖται. ὁμοίως γὰρ πᾶσιν ὑμῖν θάνατος ἐπικρέμαται ὃν ὑμεῖς φοβεῖσθε καὶ πολλάκις. εἰ δὲ πτωχοὺς ὑγιαίνοντας διὰ τὴν ἔνδειαν, πλουσίους δὲ νοσοῦντας δι' ἀκρασίαν τῆς δυστυχοῦς γαστρὸς κἀκείνων. χαριζόμενοι τεταρτοῦ τοῖς ὀλίγον ἐξαργυρείσθητε χρόνου ὑφ' ἡδονῆς, μεγάλας καὶ ἰσχυρὰς ἀνταποδιδομένης ἀλγηδόνας. καὶ τότε οὐδὲν ὠφελεῖ ὑμᾶς, οὔτε οἰκία, οὔτε τὰ ἐν αὐτῇ χιονόχροα, ἀλλ' ἐν τοῖς χρυσοῖς καὶ

Græcis.

Canis iis, qui Græci appellantut, gemitum dicit: qui quidem, & ſi nihil dixero, vobis eſt, qui facie homines, animo ſimiæ eſtis. Omnia ſimulatis, nihil cognoſcitis. Vos igitur, cùm leges vobis ipſis feratis, quibus in ſuperbiam elati, intumeſcentis malitiæ teſtem accepiſtis, nunquam in pace, ſed aſſiduo in bello conſeneſcitis, mali & malorum auctores, inuicem inuidentes, ſi paulò molliori veſte alio aliuin veſtitum, vel paulò ampliore argento, vel oratione facondiore, vel eruditiore potiùs præditũ conſpexeritis. Nihil enim ſana ratione iudicatis, ſed ad ea quæ fidẽ vel perſuaſionẽ faciunt, vel glorioſa videtur, procliues, omnia vitio datis. Nihil neq; vos, neq; progenitores veſtri cognoſcitis: ſed ignorantia & amentia veſtra bonos viros maledictis vrgetis, & perſequimini. Odio autẽ vos habet, non modò canis, ſed ipſa natura. Parua nanque lætitia, multo dolore afficimini: & ante ductam vxorem, & poſtquam ducta eſt, quòd duxeritis, perditi eſtis & moroſi. O, quot qualéſque viros, alios quidem bello victos, alios in pace, quam appellatis, oblata cauſa, interemiſtis. Molti cruci affixi ſont, multi à populo iugulati. Alij publicè venenum biberunt. Alij rota verſati ſunt. Vtrum igitur potius admittendum fuit, ô inſana capita, an vt interimerentur? Ex mortuis nullam ſanè accepimus, vtilitatem, niſi in quantum pecudum carne veſcimur: hominibus aotem bonis proculdubio opus eſt. Vos inſani illiteratos & rudes Muſicam doceatis, vt ea nobis aliquãdo vſui ſit: viris aotem iuſtis quamobrem veſtra doctrina imbutis non vtimini, quandocunque iis opus eſſet. An quoniam iniuſtis indigetis, quando ciuitatem vel exercitum placet diripere. Neque dum boc magnũ. Sed quotiens, vt bona operemini, etiã meliora intueri licet. Et quos attingere poteſtis, iniuria afficitis cùm maiori vos digni eſſetis ſupplicio. Et Mercuralium & Quinquatriorum ſollennitatibus in gymnaſiis, & medio foro comeditis, bibitis, inebriamini, concumbitis, deliratis, in vtramque partem conſulitis, muliebria patimini. Inde in nos impiè, clàm atque palàm facitis. Hæc nihil curat canis, ſed vobis omnia curæ ſunt. Et cùm à naturali vita canes prohibetis, quonam pacto in eos non peccatis? Ego quidem canis verbero: natura autem re ipſa, eodem modo vos omnes vlciſcitur. Æquo nanque iure omnibus mors imdendet, quam vos formidatis. Et pauperes ſæpenumero vidi ob inopiam ſanos eſſe: diuites minimè, ob infelicis veneris incontinentiam. Cui cùm indulgetis, breui titillatione, nimia cum voluptate affecti, vehementiorem poſtmodum dolorem ſubitis. Neque quicquam nobis prodeſt domus, neque quibus abundatis, pecuniæ: ſed cũ aureis & argenteis

argenteis toris diſcumbitis, in ipſa felicitate obduratis. Neque adduci poteſtis, vt bonorum reliquias cùm oleribus edatis mali & malorum amici. Qui, ſi quid vobis mentis ineſſet, ſi non ebrij deſiperetis, optimo illi Socrati ſanè fidem adhiberetis, & in communi omnium conſenſu aſſentiremini, & per omnes ætates aut continentiæ ſtuderetis, aut ſuſpendio vitam fineretis. Neque enim aliter in vita fieri poteſt, niſi tanquam in conuiuio, ſemper vino madidi vertiginibus, & inteſtinorum doloribus ab aliis duci velitis. Neque vos liberi fieri poteſtis. Et dum in luxuria & deliciis, quæcunque in poteſtate veſtra bona ſunt, animo complectimini, veniunt communes carnifices, quos vos Medicos appellatis: qui quicquid ſibi in mentem venerit, id dicunt, & faciunt. Hi autem, qui bene medentur, incidunt, vrunt, ligant, intus extráque medicinas exhibent. Et ſi conualueritis, nullam gratiam habetis, ſed dijs habendam profitemini: ſin minùs, medicos accuſatis. Potiùs autem mihi lætandum, quàm dolendum, quòd plus ſcio, quàm ignorem. Quod mihi contingit, ex quo cum Antiſthene ſapienti conſuetudinem habui, qui cum diis duntaxat, qui ſeipſum norant, diſputabat: cæteros: qui naturam, rationem, veritatẽ ignorabant, penitus contemnebat, nulla carẽtibus ratione, & ſtultis pueris cura adhibita. Allata eſt epiſtola tatiotanis Barbaris, cur eis gemendum ſit, eò vſque Græcè edocti, veri Græci efficiantur. Nam nũc longè elegantiores ſunt, qui Barbari vocãtur, & loci, quem habitant, & morum ratione. Nã qui Græci nuncupantur, apud Barbaros merent. Barbari autem & res ſuas conſeruandas, & ad ſeruandam ſe ſuffecturos arbitrantur. Vobis autem nihil ſatis eſt, qoippe qui ambitioſi, & ſine ratione, & perdite educati viuitis.

ἀργυραῖς κλίναις κατακείμενοι στρεβλοῦσθε καλῶς ποιοῦντες. οὐδὲ σωφρονισθῆναι δύνασθε, ἵνα τὰ τῶν ἀγαθῶν λείψανα μετὰ τῶν λαχάνων καταφάγητε κακοὶ κακῶν ἐπιτήδειοι ὄντες. ἀλλ' εἰ νοῦν εἴχετε ὥσπερ οὐκ ἔχετε, ἐὰν μὴ μεθύητε, συνεχωρεῖτε τῷ σοφῷ πεισθέντες, κἀμοὶ ἢ βιοῦν σύνεσιν ἔχοντες φρονεῖν μαθόντες, ἢ ἀπάγξασθαι. οὐ γὰρ δυνατόν ἐστιν ἄλλως ἐν τῷ ζῆν, εἰ μὴ θέλετε ὥσπερ ἐν συμποσίῳ, ἕως ἂν ὑπερπιόντες καὶ ὑπερμεθυσθέντες, ὑπὸ ἰλλίγγων τε στρόφων συνεχόμενοι ὑφ' ἑτέρων ἄγεσθαι καὶ μὴ αὐτοὶ δύνασθε σωθῆναι. ἀπαλῶσι δ' ὑμῖν καὶ ἐν θρύψεσιν ὅσα τὰ ἀγαθὰ ἐν δυνατῷ λέγεσθαι ἐστιν, ἔρχονται οἱ κοινοὶ δήμιοι, οὓς ὑμεῖς καλεῖτε ἰατρούς, οἷς ἂν αὐτοῖς ἐπὶ τὴν γαστέρα ἐπέλθῃ, ταῦτα λέγουσι καὶ πράττουσι. οὗτοι δὲ καλῶς ποιοῦντες τέμνουσι καὶ καίουσι καὶ δεσμεύουσι φάρμακά τε διδόασι καὶ ἔσω καὶ ἔξω τοῦ σώματος. καὶ ἐὰν ὑγιασθῆτε, οὐδὲ τοῖς καλουμένοις ἰατροῖς χάριν ἔχετε. ἀλλ' ἐὰν ὑγιασθῆτε, τοῖς θεοῖς φατὲ δεῖν ἔχειν χάριν. ἐὰν δὲ μή, τοῖς ἰατροῖς ἐγκαλεῖτε. πλεῖον δ' ἔμοιγε πάρεστι τὸ εὐφραίνεσθαι τοῦ λυπεῖσθαι, ὅτι τὸ εἰδέναι τοῦ ἀγνοεῖν. διετέλεσα γὰρ ἐντυγχάνων Ἀντισθένει τῷ σοφῷ. ὃς μόνος τοῖς εἰδόσιν αὑτὸν διεῖλε καὶ τοῖς ἀλλοτρίοις τοῖς οὐκ εἰδόσι φύσιν λόγον, ἀλήθειαν οὐ παρέβη. οὐδὲν φροντίσας κινδάλων νηπίων μὴ ἐπισταμένων ὡς εἴρηται ἐν ἐπιστολῇ λόγος κοινός. βαρβάροις δὲ ἔστιν οἰμώζειν λέγων, ἕως ἂν ἑλληνιστὶ μαθόντες Ἕλληνες ἀληθινοὶ γένωνται. νῦν μὲν γὰρ πολὺ χαριέστεροί εἰσιν οἱ καλούμενοι βάρβαροι, καὶ τόπῳ ἐν ᾧ εἰσι, καὶ τρόπῳ. καὶ οἱ μὲν καλούμενοι Ἕλληνες, στρατεύουσιν ἐπὶ τοὺς βαρβάρους. οἱ δὲ βάρβαροι διαφυλάττειν οἴονται τὰ ἑαυτῶν πάντες ὄντες αὐτάρκεις. ὑμῖν δὲ ἱκανὸν οὐδέν, καὶ γὰρ φιλόδοξοι καὶ ἄλογοι καὶ ἀχρήστως τρεφόμενοι ἐστέ.

ΕΠΙΣΤΟΛΑΙ ΚΡΑΤΗΤΟΣ ΙΠΠΑΡΧΙΑ ΤΗ ΓΥΝΑΙΚΙ ΑΥΤΟΥ.

EPISTOLAE CRATETIS VXORI SVÆ.

REdi ſumma cum celeritate. Adhuc potes viuum Diogenem inuenire. Iã enim prope finem eſt vitæ. Heri quidem ferè expirauit, vt eum poſtremò ſalutes, & cognoſcas, quantum etiam in maximè formidabilibus, momenti ac ponderis habeat philoſophia.

Amicis.

NE petatis à quibuſuis neceſſaria, neque ſi dentur à quibuſuis accipite. Non enim fas eſt virtutem à malis ali ac ſuſtentari. Solos verò & à ſolis philoſophia imbutis, & vobis licebit repetere propria, & non videri petere aliena.

Eiſdem.

CVræ ſit vobis animus. Corpus tantũ, quantum

ΕΠανῆκα ταχέως. ἔτι δύνασαι Διογένην καταλαβεῖν ζῶντα. ἐγγὺς γὰρ ἤδη ἐστὶ τοῦ βίου τελευτῆς. χθὲς γοῦν παρὰ μικρὸν ἐξέπνευσεν. ἵνα καὶ ἀσπάσῃ αὐτὸν τὸν ὕστατον ἀσπασμόν. καὶ γνῷς ὅσον δύναται καὶ ἐν τοῖς φοβερωτάτοις φιλοσοφία.

Τοῖς ἑταίροις.

ΜΗ πάντας αἰτεῖτε τὰ ἀναγκαῖα. μηδὲ παρὰ πάντων τὰ διδόμενα δέχεσθε. οὐ γὰρ θεμιτὸν ἀρετὴν ὑπὸ κακῶν τρέφεσθαι. μόνους δὲ καὶ παρὰ μόνων τῶν μεμυημένων φιλοσοφίαν, καὶ ὑμῖν ἐξέσται αἰτεῖν τὰ ἴδια, καὶ μὴ δοκεῖν αἰτεῖν τὰ ἀλλότρια.

Τοῖς αὐτοῖς.

ΜΕλέτω ὑμῖν τῆς ψυχῆς. τοῦ δὲ σώματος, ὅσον

ἀνάγκη. τῶν δὲ ἔξω μὴ δὲ ὅσον. ἡ εὐδαιμονία γὰρ οὐχ ἡδονὴ δι' ἣν τῶν ἐκτὸς χρεία, ἀλλ' ἀρετὴ μετ' οὐδενὸς τῶν ἐκτὸς τελεία.

Ἑρμαΐσκῳ.

Εἴτ' αἱρετὸν ὁ πόνος, πόνει. εἴτε φευκτὸν, πόνει, ἵνα μὴ πονῇς. διὰ γὰρ τοῦ μὴ πονεῖν, οὐ φεύγεται πόνος. τῷ δὲ ἐναντίῳ, καὶ διώκεται.

Τοῖς ἑταίροις.

Καλὸν νόμος. ἀλλ' οὐ κρείττων φιλοσοφίας. ὁ μὲν γὰρ βιάζεται μὴ ἀδικεῖν. ἡ δὲ διδάσκει. ὅσῳ δὲ χεῖρον ὑπ' ἀνάγκης τι ποιεῖν τοῦ ἑκουσίως, τοσούτῳ καὶ νόμος φιλοσοφίας. ὥστε διὰ ταῦτα φιλοσοφεῖτε καὶ μὴ πολιτεύεσθε. κρεῖττον γὰρ δι' οὗ διδάσκονται ἄνθρωποι δικαιοσύνην ἐπίστασθαι, ἢ δι' οὗ ἀναγκάζονται μὴ ἀδικεῖν.

Τοῖς αὐτοῖς.

Φιλοσοφεῖτε πολλάκις ἢ ἀναπνεῖτε. αἱρετώτερον γὰρ τὸ εὖ ζῆν ὃ ποιεῖ φιλοσοφία τοῦ ζῆν ὃ ποιεῖ ἀναπνοή. καὶ μὴ ὡς ἄλλοι, ἀλλ' ὡς ἤρξατο μὲν Ἀντισθένης, ἐτελείωσε δὲ Διογένης. εἰ δὲ δύσκολον τὸ οὕτω φιλοσοφεῖν, ἀλλὰ συντομώτερον. πρὸς δὲ εὐδαιμονίαν ὡς ἔλεγε Διογένης, κἂν διὰ πυρὸς βαδιστέον.

Τοῖς αὐτοῖς.

Ἀπάλλαξεσθε ὅτι θέρμους καὶ ἰσχάδας καὶ ὕδωρ ἔχοντες καὶ ἐξωμίδας μεγαρικὰς πλεῖτε, καὶ πολλὰ γεωργεῖτε, καὶ προδίδοτε καὶ τυραννεῖτε, καὶ φονεύετε καὶ ὅσα ἄλλα τοιαῦτά ἐστι ποιεῖτε δέον ἠρεμεῖν. ἡμεῖς δὲ εἰρήνην ἄγομεν τῆς πάσης. παντὸς κακοῦ ἐλεύθεροι γενόμενοι ὑπὸ τοῦ Σινωπέως Διογένους· καὶ ἔχοντες μηδὲν πάντα ἔχομεν. ὑμεῖς δὲ πάντα ἔχοντες, οὐδὲν ἔχετε διὰ φιλονεικίαν καὶ φθόνον καὶ φόβον καὶ κενοδοξίαν.

Διογένει.

Ἀπὸ μὲν δὴ τοῦ πλούτου ἤδη ἐλευθεριάζομεν. ἡ δὲ δόξα ἡμᾶς οὐδέπω ἔτι καὶ νῦν μεθίησι τῆς δουλείας. καίτοι νὴ τὸν Ἡρακλέα ἡμῶν πάντα ποιουμένων εἰς τὸ ἀφεθῆναι παρ' αὐτῆς. ἄλλως δὲ καὶ ταύτης δὲ ἐμαυτὸν τῆς δεσποίνης λυτρώσομαι πλεύσας Ἀθήναζε, φέρων σοι δωρεάν. εἰς ἣν ἐξείλετο ἡμᾶς ὁ παρὰ σοῦ λόγος ἐμαυτῷ τὸ κρεῖττον πάντων κτῆμα.

Μνασοῖ.

Μὴ ἀπέχου τοῦ καλλίστου κόσμου. ἀλλὰ κόσμει σεαυτὴν ἑκάστης ἡμέρας, ἵνα διαφέρουσα ᾖς. κάλλιστος δὲ κόσμος ἐστὶν, ὁ κάλλιστα κοσμῶν. κάλλιστα δὲ κοσμεῖ, ὁ κοσμιωτάτην ποιῶν. κοσμιωτάτην δὲ ποιεῖ, κοσμιότης. ᾗ μοι δοκοῦσι καὶ ἡ Πηνελόπη καὶ ἡ Ἄλκηστις κεκοσμῆσθαι· καὶ ἔτι καὶ νῦν ἐπ' ἀρετῇ ὑμνεῖσθαι, καὶ τιμᾶσθαι. ἵν' οὖν καὶ σὺ ταύταις ἐνάμιλλος γένῃ, πειρῶ τούτων ἀντέχεσθαι τῶν παραινουμένων.

Λυσίδι.

Ἀκήκοά σε ὦ Λυσὶ ἀπὸ τοῦ ἀγῶνος τοῦ ἐν Ἐρετρίᾳ συνεχῶς μεθύσκεσθαι. εἰ δὲ ταῦτά ἐστιν ἀληθῆ, πάρεστί γέ σοι μὴ καταφρονῆσαι ὧν Ὅμηρος ὁ σοφὸς λέγει. φησὶ γάρ.

Οἶνος καὶ κένταυρον ἀγακλυτὸν Εὐρυτίωνα.
Ὤλεσε καὶ κύκλωπα ὑπὲρ ἄνθρωπον καὶ τὸ μέγεθος

neceſſitas poſtulat. Externa etiam non tantù. Beatitas enim non in voluptate conſiſtit, ad quam externorum vſus pertinet. Sed virtus cum nullo externorum poteſt eſſe perfecta.

Hermaſco.

SIue expetendus eſt labor, labora, ſiue fugiendus eſt, laboro vt ne labores. Nam abſtinendo à labore non vitatur labor. Contrariò verò etiam fugatur.

Socijs.

EGregia res eſt Lex, non tamen præſtantior philoſophia. Nam illa per vim ab iniutia deterret. Hæc per doctrinam. Quantò autem deterius eſt aliquid neceſſitate coactum facere ſua ſponte, tantò lex etiam inferior eſt philoſophia. Quamobrē philoſophiæ operam date, non rebus in Repub. gerendis, præſtantius eſt enim, quo docentur homines, vt rectè agere ſciant, quàm quo cogũtur, vt ne iniuſta patrent.

Eiſdem.

PHiloſophamini ſæpius quàm reſpiretis. Magis enim expetendum eſt bene viuere, quod præſtat philoſophia, quàm viuere, quod præſtat reſpiratio, & non vt alij, ſed quemadmodũ incepit Antiſthenes, Diogenes perfecit. Sin arduum eſt ac difficile ad eum modum philoſophari, at compendioſius, ad beatitudinem vero, quemadmodum Diogenes ſolitus eſt dicere, vel per ignes eundum eſt.

Eiſdem.

ITe in malam rem, quòd cùm lupinos, caricas, & aquam habetis atque exomides megaricas, nauigatis, & multùm laboris colenda terra conſumitis, & proditis, atque tyranosidē exercetis homicidiaq; patratis, & quæcunque ſunt eiuſdē generis alia facitis, cùm otium agere oporteat. Nos verò quietē perfectam agimus, omni malo liberati à Sinopenſi Diogeni, & nihil habentes habemus omnia. Vos autem cùm habeatis omnia, nihil habetis, propter æmulationem & inuidiā & metum, & arrogantiā.

Diogeni.

A Diuitiis quidem iam liberè vitam degimus. Gloria verò nondum etiam nos manumittit, quanquam per Herculem noſtrum omnem adhibeam diligentiam & curam, vt ab ea dimittar. Alio verò modo etiā ab hac domina me liberabo, cùm Athenas nauigaro, munus tibi adferens, ad quod exemit nos & impulit tuus ſermo, nobis quidem omnium præſtantiſſima poſſeſſio.

Mnaſi.

NE abſtineas à pulcherrimo ornamento. Sed orna te quotidie vt excellas. Pulcherrimũ verò ornamentum eſt, quod ornat pulcherrimè. Ornat autem pulcherrimè, quod ornatiſſimā reddit. Ornatiſſimam autem reddit modeſtia, qua mihi vidētur Penelope & Alceſtis ornatæ fuiſſe, quarum etiamnum virtus celebratur, & colitur. Vt igitur etiam tu eis par ſias, totis viribus incumbe, vt hanc adhortationem exequaris.

Lyſidi.

AVdiui te ô Lyſi à pugna Erethrienſi frequenter inebriari. Quòd ſi vera ſunt hæc non contemnenda tibi ſunt quæ ſapiens Homerus dicit. Inquit enim.

Vinum etiam Centaurum glorioſum Arytionem.
Perdidit & Cyclopē ſupra hominē & magnitu-
(dinem &) robur

robur ferentem. Si igitur robuſtiores maioréſque nobis malo & incommodo eſt, quomodo putas nos id affecturum? Credo miſeris modis. Quare ne quid ab eo mali contrahas, moneo te, vt diſcens moderatè eo vtaris. Quoniam turpe eſt, plectro non cedendum putare, quòd eos qui ipſo rectè vtuntur, non de mente deiicit, neq; in furorem impellit. Vino autem cedendum putare, & vti ipſo . . . . . . quàm plectro contingit tantò maius Et eius eſt habenda cura. Annitere igitur vt diſcas, cum temperantibus viris temperanter vti, vt ne tunc dono Dei tibi abutenti per ignominiam, id in caput tuum redundet, ſed in precio habenti, voluptates non pœnitédæ contingant, & ab eo tibi ſint adiumenta, cùm fortè omne cum continentia perfecta, decenter te & iuſtè faciat viuere, nihil indignū neque malum committentem, ſed omnia rectè facientem atque dicentem, quorum poſſeſſione homines ter beati dicuntur fieri, tribus illis bonis in vita exuperantibus. Quorum enim animus temperantia præditus eſt & corpus ſuam valetudinem obtinet, & ſufficiant pecuniæ cur hi non ſint ter beati. Vt igitur his bonis fruare, moneo te ne ſcripta hæc deſpicatui ducas.

Amicis.

ASueſcite vt paucis vobis opus ſit. Hoc enim proximè ad Deum accedit, quia contrarium abeit longiſſimè, & vos ſequetur medios conſtitutos inter Deum quædā diuina ſimilitudo vt genere meliore & non ſecundùm proportionem deteriore ſimiles euadatis.

Origeni.

NOn rus bonos reddit, neque vrbs malos, ſed bonorum & malorum commercia. Quare ſi vis tibi bonos & non malos euadere liberos, mitte non in agrum, ſed ad philoſophi domum, quò & ipſi commeantes, honeſtatem didicimus. Conſtat enim exercitatione virtus, neque vltrò ſe in animos hominum ingerit, quemadmodum malitia.

Eumolpo.

IN gloria quidem audacia Diogenis, ſed tuta. Et qui vtitur ipſa, locupletior eſt iis, qui cū Carthaginenſibus faciunt. Et victus quidem frugalis, at ſalubrior opiparo ac lauto. Et laborioſa diſciplina, ſed liberalior Sardanapali. Quare ſi præſtantior eſt quàm Chartaginenſis ſtola, & ſanitas quàm vita ſplendida, & libertas quàm probroſa viuendi conſuetudo, etiam philoſophia quæ hæc efficit eſt præſtantior. Et ſi non quam alij profitentur, at certè quàm Diogenes, qui compendioſum ad beatitudinem aditum ac viam inuenit.

Adoleſcentibus.

AſSuefacite voſmetipſos edendis offis & aquæ potandæ. Piſcem & vinum ne guſtetis. Hæc enim ſenes quidem feros reddunt, quemadmodum Circes pharmaca, iuuenes verò effæminant atque eneruant.

FINIS.

καὶ τὴν ἰσχὺν φοροῦντα. Εἰ οὖν καὶ τοὺς ἰσχυροτέρους καὶ μείζους ἡμῶν κακῶς διατίθησι, πῶς οἴει ἡμᾶς αὐτὸν διαθήσειν. οἶμαι μὲν γὰρ ἀθλίως· ὅπως οὖν μὴ γένηται μηδὲν δυσχερὲς ἀπ' αὐτοῦ, παραινῶ σοι μαθόντα μετρίως αὐτῷ χρῆσθαι. ὡς ἄτοπόν ἐστι τῷ μὲν πλήκτρῳ μὴ εἴκειν οἴεσθαι, ὃ τοὺς χρωμένους αὐτῷ καλῶς οὐκ ἐξίστησι τῶν φρενῶν, οὐδ' εἰς μανίαν ἐμβάλλει. τῷ δὲ οἴνῳ οἴεσθαι εἴκειν δεῖν καὶ χρῆσθαι αὐτῷ . . . . . ἢ τῷ πλήκτρῳ ἀποβαίνει τοσούτῳ μεῖζον. καὶ τὴν μελέτην αὐτοῦ ποιητέον. πειρῶ δὴ τοῖς ἐγκρατέσι τῶν ἀνδρῶν ὁμιλῶν ἐγκρατῶς χρῆσθαι μανθάνειν. ὅπως σοι τότε δῶρον τοῦ θεοῦ μὴ ἀτιμάζοντι εἰς κεφαλὴν σοι γένηται, ἀλλὰ τιμῶντι ἡδοναὶ ἀμεταμέλητοι. καὶ ὠφέλειαί σοι ἀπ' αὐτοῦ ὦσιν ὅταν ἄλλαις πάσαις μετ' ἐγκρατείας τελείας μεμιγμέναις εὐσχημόνως σε καὶ δικαίως ποιεῖ βιοτεύειν, μηδὲν ἀσχημον μηδὲ φαῦλον ἐν τῷ βίῳ διαπραττόμενον, ἀλλὰ πάντα τὰ δίκαια λέγοντα καὶ πράττοντα. ἃ παρόντα οἱ ἄνθρωποι λέγονται τρισευδαίμονες γενέσθαι. τριῶν αὐτοῖς ἀγαθῶν πληθυνόντων ἐν τῷ βίῳ· οἷς γὰρ τά τε περὶ ψυχὴν ἐγκρατῶς διάκειται, τά τε περὶ τὸ σῶμα ὑγιῶς, τά τε περὶ κτῆσιν αὐταρκῶς, πῶς οὐ τρισευδαίμονες εἶεν· ὅπως οὖν τούτων τῶν ἀγαθῶν ἀπολαύῃς, παραινῶ σοι μὴ ὀλιγωρεῖν τῶν ἐπεσταλμένων.

Τοῖς ἑταίροις.

ΑΣκεῖτε ὀλίγων δεῖσθαι. τοῦτο γὰρ ἐγγυτάτω θεοῦ. τὸ γὰρ ἐναντίον μακροτάτω. καὶ ὑμῖν ἕψεται μέσοις γενομένοις θεοῦ καὶ ἀνθρώπων θεῖον, τῷ κρείττονι γένει. καὶ μὴ ὅτι ἀναλόγως τῷ χείρονι ὁμοίοις γενέσθαι.

Ὠριγένει.

ΟΥ ποιεῖ ἀγρὸς σπουδαίους οὐδὲ ἄστυ φαύλους· ἀλλ' αἱ συνουσίαι τοῖς ἀγαθοῖς καὶ κακοῖς διατριβαί. ὥστ' εἰ βούλει ἀγαθούς καὶ μὴ κακοὺς γενέσθαι σοι τοὺς παῖδας πέμπε μὴ κατ' ἀγρὸν, ἀλλ' εἰς φιλοσόφου. ἵνα καὶ αὐτοὶ βαδίζοντες, τὰ καλὰ ἐμάθομεν. ἀσκητὸν γὰρ ἀρετή. καὶ οὐκ αὐτόματον ἐμβαίνει τῇ ψυχῇ, ὥσπερ κακία.

Εὐμόλπῳ.

ΑΔοξος τόλμα διογένειος, ἀλλ' ἀσφαλής. καὶ πλουσιώτερος ὁ χρώμενος αὐτῇ τῶν τὰ καρχηδονίων φρονούντων. καὶ λιτὸς ὁ βίος, ἀλλ' ὑγιεινότερος τοῦ πολυτελοῦς. καὶ ἐπίπονος ἡ ἀγωγὴ, ἀλλ' ἐλευθεριωτέρα τῆς σαρδαναπάλου. ὥστε εἰ κρείττων τῆς καρχηδονίας στολῆς καὶ ἡ ὑγίεια τοῦ λαμπροῦ βίου καὶ ἡ ἐλευθερία ἐπονειδίστου διατριβῆς, καὶ ἡ ταῦτα φιλοσοφία ποιοῦσα τῶν πάντων ἐστὶ κρείττων. καὶ εἰ μὴ ἡ κατ' ἄλλους, ἀλλ' ἡ κατὰ διογένην τὴν εὑρομένην τὴν σύντομον ὁδὸν ἐπ' εὐδαιμονίαν.

Τοῖς νέοις.

ΕΘίζετε ἑαυτοὺς ἐσθίειν μάζας καὶ πίνειν ὕδωρ. ἰχθύων τε καὶ οἴνου μὴ γεύεσθαι. ταῦτα γὰρ τοὺς μὲν γέροντας ἀποθηριοῖ. ὥσπερ τὰ παρὰ τῆς κίρκης φάρμακα. τοὺς δὲ νέους ἀποθηλύνει.

Τέλος.

ΕΠΙΣΤΟΛΑΙ ΑΝΑΧΑΡΣΙΔΟΣ

ΑΘΗΝΑΙΟΙΣ.

EPISTOLAE ANACHARSIDIS

ATHENIENSIBVS.

Γελᾶτε ἐμὴν φωνὴν διότι οὐ τρανῶς ἑλληνικὰ γράμματα λέγει. ἀνάχαρσις παρ' ἀθηναίοις σολοικίζει. ἀθηναῖοι δὲ παρὰ σκύθαις. οὐ φωναῖς διήνεγκαν ἄνθρωποι ἀνθρώπων εἰς τὸ εἶναι ἀξιόλογοι, ἀλλὰ γνώμαις, ὥσπερ καὶ ἕλληνες ἑλλήνων. σπαρτιᾶται οὐ τρανοὶ ἀττικίζειν, ἀλλ' ἔργοις λαμπροὶ καὶ δόκιμοι. οὐ ψέγουσι σκύθαι λόγον ὃς ἐμφανίζει τὰ δέοντα, οὐδ' ἐπαινοῦσιν ὃς ἂν μὴ ἐφικνῆται τοῦ δέοντος. πολλὰ καὶ ὑμεῖς οἰκονομεῖτε οὐ προσέχοντες φωνῇ ἄρθρα οὐκ ἐχούσῃ. εἰσάγεσθε ἰατροὺς αἰγυπτίους. κυβερνήταις χρῆσθε φοίνιξιν. ὠνεῖσθε ἐν ἀγορᾷ, οὐ διδόντες πλεῖον τῆς ἀξίας τοῖς ἑλληνιστὶ λαλοῦσιν. οὐδὲ ὀκνηροὺς λαμβάνετε παρὰ βαρβάρων ἐὰν πρὸς τρόπου πωλῶσι. βασιλεῖς περσῶν κἀκείνων φίλοι μεγαλοφρονοῦντες ὅταν βούλωνται πρὸς ἑλλήνων πρεσβευτὰς ἑλληνικῇ φωνῇ φθέγγεσθαι, ἀναγκάζονται σολοικίζειν. ὧν ὑμεῖς οὔτε βουλὰς, οὔτε ἔργα καταμέμφεσθε. λόγος δὲ κακὸς οὐ γίνεται ὅταν βουλαὶ ἀγαθαὶ ὦσι. καὶ ἔργα καλὰ λόγοις παρακολουθεῖ. σκύθαι δὲ κρίνουσι λόγον φαῦλον ὅταν διαλογισμοὶ φαῦλοι γίνωνται. πολλῶν καθυστερήσετε, ἂν δυσχεραίνητε φωναῖς βαρβάροις. καὶ μετὰ τοῦτο μὴ ἀποδεχόμενοι τὰ λεγόμενα. πολλοὺς γὰρ ποιήσετε ὀκνηροὺς εἰσηγεῖσθαι ὑμῖν τὰ συμφέροντα. διατί βαρβαρικὰ τιμᾶτε ὑφάσματα. φωνὴν δὲ βάρβαρον οὐ δοκιμάζετε. αὐλούντων καὶ ᾀδόντων φωνὰς ζητεῖτε ἐμμελεῖς καὶ ποιητῶν ἔμμετρα ποιούντων ἐπιλαμβάνεσθε, εἰ μὴ ἀναπληροῦσι γράμμασιν ἑλληνικοῖς τὰ μέτρα. λεγόντων δὲ θεωρεῖτε αὐτὰ τὰ λεγόμενα. τὸ γὰρ τέλος τούτων εἰς ὄνησιν, καὶ βαρβάροις πειθόμενοι οὐκ ἐπιτρέψετε γυναιξὶ καὶ τέκνοις. καὶ προσέχουσιν ὑμῖν ἐὰν σολοικίζητε. κρεῖσσον γὰρ σολοικίζουσιν ἐπακολουθοῦντας σώζεσθαι, ἢ τρανῶς ἀττικίζουσιν ἐπακολουθοῦντας μέγα βλάπτεσθαι. ἀπαιδεύτων ταῦτά ἐστι καὶ ἀπειροκάλων ἄνδρες ἀθηναῖοι. σοφὸν γὰρ οὐδεὶς ἂν διανοηθείη ταῦτα.

Σόλωνι.

Ἕλληνες σοφοὶ ἄνδρες οὐδέν γε σοφώτεροι βαρβάρων. τὸ γὰρ ἐπίστασθαι καλὸν εἰδέναι, οὐκ ἀφείλοντο οἱ θεοὶ βαρβάρων. πεῖραν δ' ἔξεστι λαμβάνειν ἐξετάζοντας λόγοις, εἰ καλὰ φρονοῦμεν. καὶ βασανίζειν εἰ συμφωνοῦμεν. λόγοις γὰρ πρὸς ἔργ' ἀεὶ ὅμοιοι ἐσμὲν τοῖς ἀγαθοῖς ζῶσι. στῆλαι δὲ καὶ κόσμος σώματος μὴ γενηθῶσιν ἐμπόδιον ὀρθῆς κρίσεως. ἄλλοι γὰρ ἄλλως κατὰ νόμους πατέρων κεκοσμήκασι

Rideteis meam vocem, quoniam non planè neque exquiſitè Græcas litteras profert. Anacharſis apud Athenienſes balbutit. Atheoienſes verò apud Scythas. Non vocibus homines hominibus præſtant, ad promerendam laudem & gloriam, ſed animis ac ſententiis, quemadmodum Græci etiam Græcis. Spartiatæ, non exactè loquuntur Atticè, ſed rebus geſtis clari ſunt & celebres. Non vitupetant Scythæ ſermonē, qui quid faciendum ſit planum facit, neque laudāt, eum, qui nihil boni diſſerat. Multa vos etiam adminiſtratis, nihil curantes vocem, quæ non diſtinctè verba pronūciet. Adducitis medicos Ægyptios. Gubernatorib. vtimini Phœnicibus. Emitis in foro, neque plus æquo datis his, qui Græcè loquūtur, neque pigrè capitis à Barbaro, ſi iuſto precio vendāt. Reges Perſarum & illorum amici cū maximos animos gerant, tamen quando cum Græcorum legatis Græca voce loqui volunt, balbutiunt, quorum vos neq; conſilia, neq; res geſtas repræhenditis. Sermo autem non eſt malus, cùm ſunt conſilia bona, & rectè facta ſequuntur poſt verba. Scythæ verò iudicāt prauū ſermonem, cùm à prauis cogitationibus manat. Multis rebus deſtituemini, ſi Barbaris linguis ſuccenſebitis, & ideircò dicta nō accipietis. Multos enim reddetis ſegniores, ad conſulendū de veſtris commodis. Cur Barbaricas texturas in precio habetis, vocem autem Barbaram non probatis? Tibicinum & cantorū voces cōcinnas requiritis, & poëtis carmina facientibus animum attenditis, etiamſi non Græcis literis metra repleant, & loquentium dicta ſpectatis. Finis enim horum ad vtilitatem refertur & cùm Barbaris obediatis, vxoribus & liberis non permittetis. Et vobis obediunt ſi balbutiatis. Melius eſt enim balbutientibus morem gerere, vt ſis incolumis & ſaluus, quàm exquiſitè loquentibus Atticè obſequi, vt magnū accipias damnum & detrimentum. Imperitorum hoc eſt & inertium, viri Athenienſes. Sapiens enim id nunquam in animum induxerit.

Soloni.

GRæcorum ſapientes, nihil ſunt ſapientiores Barbaris. Non enim hoc dij Barbaris ademerunt, vt rectum ſcirent diſcernere. Licet periculum facere, verbis exquirere, ſi rectè ſapiamus: examinare, ſi rebus conſentiamus. Verbis enim ſimul & reb. ſemper rectè & honeſtè viuentibus: ſimiles ſumus. Columnæ verò & ornatus corporis non rectum iudicium impediuerint. Nam aliter alij iuxta morem à patribus acceptum ornant corpo-

corpora. Signa ſtupiditatis eadem ſunt Barbaris & Græcis, item induſtriæ. Tu verò cùm Anacharſis veniret ad ædes tuas & hoſpitium apud te quæreret, abnegabas, & reſpondebas in tua regione hoſpitium coniungere non licere. Quòd ſi tibi canem Spartiata quiſpiam dono dediſſet, non mandares vlli homini, vt eum Spartam reduceret ibique tibi donaret. Vbi verò aliquem alijs hoſpitia conſtituemus, ſi in hunc modum vnuſquiſque loqueretur. Mihi quidem id ô Solon ſapiens Athenienſis parum probatur, & me iubet indignatio rurſus ad tuam ianuam accedere, non rogatum quæ priùs ſed interrogatum quomodo habeant ea quę de hoſpitio reſpondiſti.

Hipparcho.

COpioſum vinum merum abhorret à capientis rectis conſilijs. Turbat enim mentem, in qua ſita eſt hominum ratio. Qui verò magnis rebus ſtudet, eum non facile eſt rectè perficere, quæ animo concepit, niſi ſobriam vitam, & curis plenam inſtituat. Relictis igitur talis & crapula transfer te ad ea, quibus imperium confirmes & augeas, atque patris inſtitutum in bene merendo ſequaris, vt in amicos & petitores beneficijs tibi obſtringas. Quòd ſi præter vitæ turpitudinē in corporis tui periculum veneris, tum amicis tuis in mentem veniet Scythæ Anacharſidis.

Medoco.

INuidia & ſtupor euidentiſſima praui animi ſunt argumenta. Inuidiam enim conſequitur dolor, ex amicorum & ciuium fœlicitate natus. Stuporem ſpes vanorum & inanium verborum. Scythis non probantur, homines, eiuſmodi, ſed gaudent aliorum proſpera fortuna, & ea quærunt, quæ ſe conſequi poſſe facilè putent. Odium verò & inuidiam & omnes moleſtas animorum perturbationes, tanquam hoſtes perſequuntur omnique robore ſe ſuſtentant.

Annoni.

MIhi quidem veſtimentum eſt chlæna Scythica. Calceamentum cutis pedum, lectus vniuerſa terra. Cœna atque prandium, lac & caſeus. & aſſata caro, potus aqua. Quamobrem cùm ego nūc otium agam, cuius gratia plurimi negotia gerunt, veni ad me ſi quid opus eſt tibi mea opera. Dona verò quibus vos luxuriamini, tibi reddo. Vos autē omnes Carthaginenſes in tuam gratiam dijs conſecratis.

Filio regis.

TIbi quidem fiſtulæ & marſupia, tibi verò tela ſcutaque. Proinde meritò tu ſeruus, ego verò liber & tibi multi hoſtes, mihi nemo. Quòd ſi vis abiecto argento ſcuta geſtare & pharetram, & cùm Scythis agere vitam, eadem etiam tibi erunt.

Teri.

NVllus bonus ac iuſtus princeps ſubditis exitio eſt: neque paſtor bonus oues deperdit. Tibi verò tota regio vacua ſubditis, & malè à principibus adminiſtrata. Omnis priuata domus ad nihilum eſt redacta, vt non poſſit ſummæ rerum emolumento eſſe. Te verò melius eſt parcere, quorum ſis dominus. Non enim priuatæ facultates accreſcunt regno & conſeruantur.

τὰ σώματα. σημεῖα δὲ ἀσυνεσίας τὰ αὐτὰ βαρβάροις καὶ Ἕλλησιν. ὁμοίως δὲ συνέσεως. σὺ δὲ ὅτι Ἀνάχαρσις ἐλθὼν ἐπὶ τὰς θύρας ἐβούλετό σοι ξένος γενέσθαι, ἀπηξίωσας. καὶ ἀπεκρίνω ἐν οἰκείᾳ χώρᾳ μὴ δεῖν ξενίας ποιεῖσθαι. εἰ δέ τις σοι κύνα Σπαρτιάτην ἐδωρεῖτο, οὐκ ἂν προσέταξας ἐκείνῳ αὐτὸν κύνα τοῦτον εἰς Σπάρτην ἀπαγαγόντα δοῦναί σοι. νῦν δὲ καὶ εἰσόμεθα ἐπειδὰν ἐπιτύχῃς ξένοι, ἐπειδὰν ἕκαστος τοῦτον τὸν λόγον λέγοι. ἐμοὶ μὲν οὐ καλῶς ἔχειν ταῦτα δοκεῖ Σόλων Ἀθηναῖε σοφέ. καί με καλὸς θυμὸς προβιβάζει πάλιν ἐπὶ τὰς θύρας οὐκ ἀξιώσοντα ἃ καὶ πρότερον, ἀλλὰ πευσόμενον πῶς ἔχει ἀπὸ ἀποκρίσεως ὑπὲρ ξενίας.

Ἱππάρχῳ.

ΟἾνος πολὺς ἄκρατος ἀλλότριος τῶν καλῶς παιδευθέντων καθήκοντα. συγχεῖ γὰρ φρένας ἐν αἷς ἵδρυται ἀνθρώποις τὸ λογίζεσθαι. τῷ δὲ ὀριγνωμένῳ μεγάλων, οὐκ εὐχερὲς καλῶς πρᾶξαι ἃ ἐπιβάλλεται, ἐὰν μὴ νήφοντα βίον καὶ μεριμνητικὸν ἐνστήσηται. ἀφεὶς οὖν κύβους καὶ μέθην, ἕπου πρὸς τὰ δι' ὧν ἄρξεις. κατὰ τρόπον δ' ἐργασίας ποιεῖς ἑαυτοῦ φίλους καὶ προστάτας ἂν ποιῇ. εἰ δὲ πρὸς τοῖς αἰσχροῖς εἴη κινδυνεύσεις ἰδίῳ σώματι, τότε μνησθήσονται οἱ φίλοι ἀνδρὸς σκύθου Ἀναχάρσιδος.

Μηδόκῳ.

ΦΘόνος καὶ ἔκπληξις μέγιστα τεκμήρια φαύλης ψυχῆς. φθόνῳ μὲν γὰρ ἕπεται λύπη, δι' εὐπραγίας φίλων καὶ πολιτῶν. ἔκπληξις δὲ ἐλπίδας κενῶν λόγων. Σκύθαι οὐκ ἀποδέχονται τοιούτους ἄνδρας, ἀλλὰ χαίρουσι τοῖς δι' εὐπραγίας καὶ ζητοῦσιν ὧν δύνανται αὐτοὶ τυχεῖν. μῖσος δὲ καὶ φθόνον καὶ πᾶν δύσκολον πάθος ὡς πολέμιον ἐκδιώκουσι καὶ παντὶ σθένει διαπλοῦσιν.

Ἄννωνι.

ΕΜοὶ μὲν περίβλημα χλαῖνα σκυθική. ὑπόδημα δέρμα ποδῶν, κοίτη δὲ πᾶσα γῆ. δεῖπνον καὶ ἄριστον, γάλα καὶ τυρὸς καὶ κρέας ὀπτόν. ποτὸν ὕδωρ. ὡς οὖν ἄγοντός μου σχολὴν ὧν οἱ πλεῖστοι ἕνεκεν ἀσχολοῦνται, παραγενοῦ πρός με εἴ τινά μου χρείαν ἔχεις. δῶρα δ' οἷς ἐντρυφᾶτε ἀποδίδωμί σοι. ὑμεῖς δ' ὅσοι Καρχηδόνιοι εἰς χάριν σὴν ἀνάθετε θεοῖς.

Υἱῷ βασιλέως.

ΣΟὶ μὲν αὐλοὶ καὶ βαλάντια. ἐμοὶ δὲ βέλη καὶ τόξα. διὸ εἰκότως σὺ μὲν δοῦλος, ἐγὼ δὲ ἐλεύθερος. καὶ σοὶ μὲν πολλοὶ πολέμιοι, ἐμοὶ δὲ οὐδείς. εἰ δὲ θέλεις, ῥίψας τὸ ἀργύριον φέρειν τόξα καὶ φαρέτραν καὶ πολιτεύεσθαι μετὰ σκυθῶν, ὑπάρξει καὶ σοὶ ταὐτά.

Τηρεῖ.

ΟὐΔεὶς ἄρχων ἀγαθὸς ἀπολλύει ἀρχομένους. οὐδὲ ποιμὴν ἀγαθὸς πρόβατα λυμαίνεται. σοὶ δὲ πᾶσα μὲν χώρα ἔρημος ἀρχομένων καὶ κακῶς προστατευθεῖσα ὑπ' ἀρχόντων. πᾶς δὲ οἶκος ἰδιώτης εἰς τὸ μηδὲν συνέσταλται. ὥστε μὴ δύνασθαι τοῖς πράγμασι χρήσιμος εἶναι. φείδεσθαι δὲ ἄμεινον ὧν εἶ κύριος. οὐ μὴ γὰρ ἴδια κτήματα ἐπαύξεται τῇ

βασιλεία καὶ διαμένει. νῦν δ' ὅταν ἀπαιτίζεις μὲν ἄνδρας εἰς πόλεμον, ἁρπάζεις δὲ χρήματα οἷς διοικεῖς. οἱ στρατιῶται καὶ δίκαιοι θεωροῦντες ἓν σῶμα ἐὰν μὴ καταλείπῃς τροφὴν ἀρκοῦσαν ἀπίασιν καὶ ἐν ὄρεσιν ἐν ἐρήμοις πεφυκόσιν ἐν τόποις οἰκήσουσι καὶ ἐργάσονται τὰ τῶν μελισσῶν.

Nunc ſicares viris quibus vtaris ad bellum, & pecunias rapis quibus geras. non milites & iuſtè ſpectantes vnum corpus, niſi relinqueris victum ſufficientem, auolabunt & in montibus, in deſertis naturalibus domicilia collocabunt, atque apum labores obibunt.

Θρασυλόχῳ.

Κύων ψυχῇ καλὸν ζῶον μνημονεῦον εὐεργεσιῶν. φιλεῖ τὴν εὐεργέτου οἰκίαν. διατηρεῖ εὐνομίαν ἕως θανάτου. σὺ δ' ἀπολείπῃ κυνὸς εὐεργεσιῶν δυνάμενος συλλογισμοῦ διακρίνεσθαι ἀνθρώποις. ζητεῖ οὖν λόγος ἐμὸς τίνος ἂν ἄξιον θυμοῦ δίκαιος ὅταν πρὸς τοὺς εὐεργέτας λέοντος ψυχὴν φορῇς. πειρῶ οὖν συνήθειαν ἡμετέραν ἣν ἔχομεν πρὸς σὲ σώζειν. καὶ γὰρ ἐλπίδας καλὰς ἀνδρὶ τοιούτῳ.

Thraſylocho.

Canis animo præclarum animalè beneficiorum memoriam conſeruat, domúmq; benefactorum amat, & æquitatem ad mortem vſque cuſtodit. Tu ſuperaris à cane beneficiis, cùm ratiocinatione hominibus poſſis æquari. Quęrit itaque meus hic ſermo, quam iram promerearis, ſi leonis animum erga benefactores geras. Quare da operam, vt familiaritatem quæ nobis tecum interceſſit tuearis. Etenim eiuſmodi vir bonam ſpem alere poteſt.

Κροίσῳ.

Οἱ ἐν Ἕλλησι ποιηταὶ λόγῳ κόσμον διαιροῦντες Κρόνου παισὶν ἀδελφοῖς λῆξιν, τῷ μὲν οὐρανοῦ, τῷ δὲ θαλάττης. τρίτῳ δὲ ζόφου προσέθεσαν. τοῦτο μὲν ἰδίου σχολῆς ἑλληνικῆς. κοινωνίαν γὰρ οὐδεμίαν χρήματος ἐπιστάμενοι τὸ ἑαυτῶν κακὸν θεοῖς προσένειμαν. γῆν δὲ ὅμως ἐξαίρετον καὶ οὗτοι κοινὴν ἄπασιν ὑπελείποντο. φέρε τοῦτο τί ποτε φέρει τὸ νόημα φροντίζωμεν. πάντας ἐβούλοντο θεοὺς τιμὰς πρὸς ἀνθρώπων ἔχειν καὶ πάντας ἀγαθῶν δοτῆρας καὶ κακῶν ἀποτρόπους ὑπάρχειν. κοινὸν δὲ θεῶν ἀτίμητα γῆ κοινὸν καὶ ἀνθρώποις τὸ πάλαι ἦν. χρόνῳ δὲ παρανόμησαν ἴδια ἐπονομάζοντες τεμένη θεοῖς, τὰ πάντων κοινά. θεοὶ δὲ ἀντὶ τούτων δῶρα πρέποντα ἀντεδωρήσαντο. ἔριν γὰρ καὶ ἡδονὴν καὶ μικροψυχίαν ἀνθρώποις. ἀπὸ τούτων μιγνυμένων τε καὶ διακρινομένων πάντα ἔφυ τὰ κακὰ τοῖς πᾶσι θνητοῖς, ἄροτοι, σπόροι, μεταλλεῖαι, πόλεμοι. καρποὺς τε γὰρ ἐπεισενέγκαντες πολλαπλασίους ἀποφέρονται μικρούς. τέχναις τε ποικίλαις ὀλιγόβιον εὕρηνται ξυφλὴν ἵνα τῆς γῆς.

Crœſo.

Græci poetæ fabulis mundum diſtribuentes Saturni filiis fratribus, primo cœli, ſecundo maris, tertio caliginis ſortem aſſignauerunt. Hoc quidem Græcorum otij & ingenij eſt. Cùm enim nullam ſcirent pecuniæ communitatē, ſuum malū diis attribuerunt. Terram tamen exceptam & hi communem reliquerunt. Age, quid ſibi velint, hoc conſideremus. Omnes deos voluerunt honore à mortalibus affici, & omnes bonorum datores, malorúmque auerſores eſſe. Communis autem diis terra, etiam hominibus olim erat. Temporis verò progreſſu ſceleratè fecerunt & propria dedicarunt fana diuis, omnium communia. Dij verò pro his conuenientia & conſentanea munera rependerūt, contentionem, voluptatem, & puſillanimitatē hominibus. Ab his mixtis, & diſcretis, omnia mala nata ſunt omnibus hominibus, arationes, ſeminationes, metallorum fodinæ, bella. Plurimis enim collatis fructibus, paucos referunt, & artibus adhibitis inuenerunt exiguum & penè ſterilem in terra prouentum.

ΕΠΙΣΤΟΛΑΙ ΕΥΡΙΠΙΔΟΥ

ΑΡΧΕΛΑΩ.

EPISTOLAE EVRIPIDIS

ARCHELAO.

Τὸ μὲν ἀργύριον ἀντιπέμψαμέν σοι, πάλιν ὅπερ ἡμῖν Ἀμφίας ἐκόμισεν· οὐ δόξαν κενὴν θηρώμενοι εἰ μή γε καὶ ἀχθεσθήσεσθαι μᾶλλον ἢ ἀποδέξασθαι ἡμᾶς δι' αὐτὸ ἐνομίζομεν. τοὺς δ' ἄλλους αὐτὸ τοῦτο δὴ καὶ μάλιστα συκοφαντεῖν ἐπιχειρήσειν ὡς ἐπίδειξιν οὖσαν τὸ πρᾶγμα. καὶ πρὸς χρῆμα μᾶλλον εἰς τοὺς πολλούς. οὐ μεγαλοφροσύνην οὐδεμίαν. ὥστε τούτων μὲν ἀμφοῖν ἕνεκα κἂν ἐδεξάμεθα καὶ Κλεῖτος δὲ ἐπέστειλεν ἡμῖν ὅπως λάβοιμεν ἀπειλήσας ὀργιεῖσθαι μὴ λαβοῦσιν. ἀλλ' ὡς τὸ μὲν αὔταρκες ἡμῖν τε καὶ τοῖς φίλοις παρῆν. τὸ δ' ὑπὸ σοῦ πεμφθὲν πλεῖον ἢ ὅσον ἡ τῆς κτήσεως ἥρμοζε.

Argentum iterū ad te remiſimus, quod Amphias nobis attulit, non vanā gloriam aucupantes. Alioquin enim certè vos ægrè laturos magis quàm probaturos exiſtimabam, alios verò maximè vitio mihi vertere conaturos, & oſtētationem ſpeciémq; magis in vulgus, quàm vllam magnificētiā rem eſſe dicturos. Quare horū vtrorúmq; cauſſa accepiſſem. Et Clito nobis ſcripſit, vt acciperemus, ſeque iratū fore niſi accepiſſemus, minatus eſt, ſed quod in præſentia ſatis nobis amicíſque ſuppeteret, miſſum verò à te munus ſplendidius eſſet & maius, quàm quantum noſtræ poſſeſſioni conueniret, & nos facilè poſſemus cuſtodire. De Pellæis adoleſcentibus, etiam antè ad te cum petitione ſcripſi-

ſcripſimus, & nunc iterum rogamus vt ſeruentur & vinculis ſoluantur. Dimiſſi enim non videntur vltra vel iniuriam vel damnum illaturi. Mediocre verò eſt & nobis precantibus largiri, & patrem illorũ ætate iam affectum, vt ſciſcitari licet, miſerari, nobilitate præcipuum pellæ, aliiſque ornamentis conſpicuus. qui ipſe venit Athenas & perfugium apud nos quæſiuit, ſpem habens nos alicuius apud te eſſe ponderis, atque, vt hæc ad te ſcriberem obſecrauit, ſed ne tu minùs nobis tribuas, quàm ille ſperauit.

Sophocli.

ALlatum eſt Athenas ô Sophocles de tua calamitate, quę te nauigantem in Chium excepe rit, & ſcito ſic totam ciuitatem affectam fuiſſe, vt non minorem inimici, quàm amici dolorem hauſerint. Quòd autem ex tanto impendente malo, tu incolumis euaſeris & quòd ex amicis qui tecum vnà fuerunt ne famulum quidem quenquam amiſeris, id ego non aliter quàm diuina prouidentia contigiſſe perſuaſum habeo. Dramatum igitur caſus, quem quis non ad communem Græciæ fortunam pertinere putet? grauis quidem, attamen ſuperſtite te facilè corrigetur. Vide igitur quemadmodũ tutiùs quàm celeriùs redire poſſis, & ſiue mare, ſiue frigus inter natandum aut poſt quid mali attuliſſe videtur, recreato priùs corpore, pedetentim reuertere. Familiæ negotia ſcito ex animi ſententia, & quæcunque mandaſti, perfecta eſſe. Saluta Chionidem & Lapretam, ſciántque non exiguam lætitiam ex illorum etiam ſalute cepiſſe. Antigenem medicum, ſi etiamnum eſt in Chio neque diſceſſit adhuc in Rhodum, ſaluta, ſciáſque eum virum optimum eſſe. Item Cratini filios.

Archelao.

VEnit ad nos pellenſis ſenex vnà cum ſuis adoleſcentibus & is quidem ô rex optime mihi ſupra modum iucundus fuit aſpectus, qui viderem & propter quem accidiſſet, vt id fieret. Honeſtus etiam tibi abſenti, magnámque gloriam ferens & Zelum apud omnes meos neceſſarios & Athenienſes quotquot viderunt. Viderunt autem plurimi neque fuit eorum quiſquam qui non tuam humanitatem ſuſpiceret, magnámque fortunam optaret. Circumuenerat enim ſenex non ita multis antè diebus hic ſordidatus, comáque demiſſa. Ita ſpem exiguam ac tenuem de vita filiorũ habebat, & ecce repentè comptus & ornatus cum duobus adoleſcentibus ſacrificia diis faciens, méque in cœlũ laudibus extollens & complectens quod filiorum ſalutem ſibi reſtituiſſem, vrbémque Athenienſium quòd eiuſmodi ciues aleret. Ego verò multa etiam alia dicere habeo. Sed nolo, ne cùm oſtendã quantò magis hoc beneficio tibimetipſi profueris, quàm vlli mortalium, ob hoc minorem tibi gratiam videar habere. Confiteor autem me maximum à te beneficium accepiſſe, & conaturum pro hoc pulcherrimo facto magnam multámque tibi gratiam relaturum, quòd neque timidi ſenis illius ſpem quã miſer in nobis habuit, neque noſtram quam in te poſitam habebamus, fefelliſti.

καὶ ἡμῖν ἡ φυλακὴ ῥᾳδία. περὶ τῶν πελλαίων νεανίσκων, καὶ πρότερον μὲν ἐπεστείλαμέν σοι, ὅμως καὶ νῦν δεόμεθα σῶσαι τοὺς παῖδας καὶ ἀνεῖναι τῶν δεσμῶν. οὐδὲν γὰρ ἀδικεῖν ἐοίκασιν, οὐδὲ βλάψειν ἀφεθέντες ἔτι. μέτριον δὲ καὶ τὸ χαρίσασθαι δεομένοις ἡμῖν. καὶ τὸ ἐλεῆσαι διὰ τὸν πατέρα αὐτῶν γέροντα ὡς ἔστι πυνθάνεσθαι, τῶν ἐπιφανεστάτων ἐν Πελλήνῃ καὶ κατὰ τἄλλα δοκίμων. ὃς αὐτὸς ἐλθὼν Ἀθήναζε ἐφ' ἡμᾶς κατέφυγεν, ἐλπίσας δύνασθαί τι παρὰ σοί. καὶ ἐδεήθη ταῦτα ἐπιστεῖλαί σοι. ἀλλὰ μὴ φαυλότερος γένῃ περὶ ἡμᾶς ἢ ἐκεῖνος ὑπέλαβεν.

Σοφοκλεῖ.

ΕΚομίσθη Ἀθήναζε ὦ Σοφόκλεις ἡ περὶ τὸν εἰς Χίον πλοῦν γενομένη σοι συμφορά. καὶ ἴσθι οὕτω διατεθεῖσαν τὴν πόλιν ἅπασαν, ὡς μηδὲ τοὺς ἐχθροὺς ἧσσον ἀχθεσθῆναι τῶν φίλων. τὸ δὲ ἐπὶ τοσούτου κακοῦ ἐνεστῶτος περισώζεσθαί σε καὶ τὸ τῶν συνόντων σοι φίλων μηδὲ θεραπόντων ἀποβαλεῖν μηδένα, οὐκ ἄλλο τι ἢ ἐκ θεοῦ προνοίας γενέσθαι πείθομαι. ἡ μέντοι περὶ τὰ δράματα συμφορά, ἣν τίς οὐχὶ κοινὴν ἁπάσης τῆς Ἑλλάδος νομίσειεν ἄν, δεινὴ μέν, ἀλλὰ περιόντος γε σοῦ ῥᾳδίως ἐπανορθωθήσεται. σκόπει δ' ὅπως ἀσφαλεστέραν ἢ ταχυτέραν ποιήσῃ τὴν ἐπάνοδον. καὶ ἤτοι ἀὴρ ἢ θάλασσα ἢ τὸ κρύος παρὰ τὸ νῆμα γενόμενον ἢ ὕστερον κακῶσαι δοκεῖ, ῥαίσας τι σῶμα πρότερον ἡσυχῇ ἐπάνιθι. καὶ τὰ οἴκοι ἴσθι κατὰ νοῦν καὶ ὅσα ἐπέστειλας ἐπιτελῆ ὄντα. ἄσπασαι Χιωνίδην τε καὶ Λαπρέτην καὶ εἰδέτωσαν ἡμᾶς οὐχ ἥκιστα καὶ ἐπ' αὐτοῖς χαίροντας ὅτι σώζονται. Ἀντιγένην τὸν ἰατρὸν εἴπερ ἔτι ἐν Χίῳ καταλαμβάνοις καὶ μὴ ἀπῆρκε πρὸς Ῥόδον, ἄσπασαι. καὶ ἴσθι ἀνδρῶν βέλτιστον ὄντα καὶ τοὺς Κρατίνου υἱεῖς.

Ἀρχελάῳ.

ΑΦίκετο Ἀθήναζε πρὸς ἡμᾶς ὁ Πελλαῖος γέρων ἅμα τοῖς ἑαυτοῦ νεανίσκοις. καὶ ἐγένετο μὲν ἡ ὄψις ὦ βέλτιστε βασιλεῦ ἡδεῖα μὲν ἐμοὶ τῷ θεωμένῳ τε καὶ δι' ὃν ταῦτα ἐγένετο. καλὴ δὲ καὶ σοὶ ἀπόντι καὶ φέρουσα δόξαν πολλὴν καὶ ζῆλον παρὰ πᾶσι τοῖς τε ἐπιτηδείοις τοῖς ἐμοῖς, καὶ Ἀθηναίων ὁπόσοι εἶδον. εἶδον δὲ πολλοί. καὶ οὐδεὶς ὅστις οὐκ ἠγάσθη τί σου τῆς φιλανθρωπίας καὶ συνεύξατό σοι τὰ ἀγαθά. περιῄει γὰρ γέρων οὐ πολλαῖς πάνυ ἡμέραις πρότερον ἐνθάδε ῥυπῶν τε καὶ κόμην ἔχων ἐν ὑστάτῃ πάνυ λεπτῇ τινι ἐλπίδι τιθέμενος τὴν σωτηρίαν τῶν παίδων. λαμπρός τε ἐξαίφνης καὶ μετὰ δυοῖν παίδοιν νεανίαιν. θύων τε τοῖς θεοῖς ἐμέ τε ὑμνῶν καὶ περιέπων ὅτι σώσαιμι αὐτῷ τοὺς υἱεῖς καὶ τὴν πόλιν τὴν Ἀθηναίων ὅτι τοιούτους πολίτας τρέφοι. ἐγὼ δὲ πολλὰ μὲν καὶ ἕτερα εἰπεῖν ἔχω. οὐ βούλομαι δὲ ἐπιδεικνὺς ὅσῳ πλείονα ἐκ τούτου σεαυτὸν ὤνησας ἢ ἄλλον τινὰ εὐεργέτησας, δοκεῖν διὰ τοῦτο ἐλάττω σοι χάριν ἔχειν. ὁμολογῶ δὲ αὐτός τε εὖ τὰ μέγιστα πεπονθέναι καὶ πειράσεσθαι τοῦ καλοῦ τούτου ἔργου πολλὰ πάνυ καὶ μεγάλα παρασχεῖν σοι χαριστήρια. ὅτι οὔτε τὸν δείλαιον γέροντα ἐκεῖνον ὅτε ἡ τύχη τῆς ἐφ' ἡμῖν, οὔτε ἡμᾶς τῆς ἐπὶ σοὶ γενομένης ἐψεύσω ἐλπίδος.

Τῷ αὐτῷ.

Καὶ τὰ περὶ τοὺς Πελλαίους, ὦ βέλτιστε Ἀρχέλαε, καὶ πολλὰ ἄλλα πεπολίτευταί σοι καλῶς. καὶ πρὸς ἐμὲ καὶ πρὸς ἑτέρους ἐπιεικεῖς τε καὶ σπουδῆς ἀξίους πολλούς. καὶ οὐχ ἧσσον αὐτὰ δὲ ἴσθι ὅσα πρὸς ἄλλους τινάς, ἢ ὅσα πρὸς ἡμᾶς ἴδια πέπρακταί σοι καλῶς, ἐπιμελὲς μοι εἰδέναι οὐ φιλοπραγμονοῦντι, ἀλλὰ χαίροντι ἐφ' οἷς εὐδοκιμοῦντα πυνθάνομαί σε. καὶ χάριν σοι οὐκ ἐλάττω ὑπὲρ αὐτῶν ἔχω. οὐ γὰρ ἄν, εἰ αὐτὸς ἔπαθόν τι ἴδια, δεῖν μᾶλλον ἡσθῆναι, ἢ ὅτι σε τοιοῦτον ὄντα ἔγνων, ἔγωγε νομίζω. ταυτὸ δὴ τοῦτό μοι περίεστιν ἀπὸ παντὸς ἔργου ὅτι ἂν εἰς ὀντινοῦν τῶν ἐπιεικῶν πυνθάνωμαί σε καλῶς πεπολιτευμένον. καὶ μέμνησο τούτων ὦ βέλτιστε Ἀρχέλαε, ὅτι τὰ μὲν ἄλλα οὐδὲν πλέον ἢ πολλοὺς πόνους καὶ πολλὰς φροντίδας ἔδωκέ σοι ὁ θεός. ἓν δὲ ἴδιον ἀγαθὸν δύνασθαι εὖ ποιεῖν οὓς ἂν ἐθέλῃς. θέλειν δὲ δεῖ τοὺς ἀξίους. καὶ τὰ μὲν ἄλλα ἐπ' αὐτῷ βουλομένῳ ἐστὶν ἀφελέσθαι. ἓν δὲ οὐδ' ἂν βουληθεὶς ποτε ἀφαιρήσεται τὸ πολλοὺς εὖ πεποιηκέναι. ὥστε δὲ ἴσθι ὅτι οὐδεμία μείζων ἀνδρὶ γενομένῳ ποτὲ ἐν δυνάμει μεταμέλεια καὶ πολυωδυνία γίνεται, ἢ εἰ διδόντος τοῦ θεοῦ μηδένα ἔδρασεν ἀγαθὸν μηδέν. βουλομένῳ δὲ δρᾶν πέπαυται διδοὺς ὁ θεός. ἀλλ' οὐ σύ γε οὐ τοῦτο, οὔποτε πάθοις. οὐδὲ αἰτιάσῃ ὅτι οἴχεται ὁ καιρὸς εἰς ἀνθρώπων εὐεργεσίαν αὖθις φροῦδος ἤδη καὶ πέπαυται παρὼν ὁ θεός, ἀλλὰ καὶ παρέσται μὲν ἀεὶ καὶ συστήσεται κατόπιν ἀξίῳ γε ὄντι καὶ χρωμένῳ ταῖς ἑαυτοῦ χάρισι δεξιῶς. ἀλλὰ δή τοι κἂν ἐπιλίπῃ πνέων, πάντως ἤδη καὶ πόλεις καὶ ἔθνη καὶ ἰδιῶται πολλοί. καὶ ᾔσθοντο τῆς σῆς δυνάμεως οὐ σὺν κακῷ, καὶ ἔχουσιν ἀπομοιρίαν τῆς σῆς εὐπραξίας. καὶ οἱ μὲν πόνοι παύσαιντ' ἂν ἐκπίπτοντός σου. καὶ τὸ κινδυνεύειν καὶ αἱ φροντίδες. τὸ δὲ συνειδὸς ὧν τι ἔπαθον τοῖς παθοῦσι καὶ σοὶ τῷ πεποιηκότι ἀεὶ μένει, οὐ μικρὸν οὔτε κτῆμα οὔτε ἀπόλαυσμα, ἀλλὰ ἀρκοῦν τῷ γε ἐν δυσπραγίαις ἡδονὰς παρέχειν. ταῦτα δὴ παρακελεύομαι πράσσειν τε ἀεὶ καὶ μὴ ἀποκάμνειν. ὥσπερ οὐδ' ἀποκάμοις ἂν οὐδ' ἔστι τις τούτου κόρος. τὰ δ' ἄλλα πράως ὁμοίως καὶ δεξιῶς χρῆσθαι τῇ παρούσῃ δυνάμει. καὶ γὰρ τοῦτο αὐτὸ οὐκ ἄλλον τινὰ ἀνθρώπων οὐδ' ὅστις τεθνήξεσθαι παραχρῆμα μέλλων, σοῦ κελεύσαντος ἀφεθῇ, ἐκεῖνον μᾶλλον ἢ σεαυτὸν εὐφρανεῖ τὸ τοιοῦτον εἶναι τὸν τρόπον. ἔτι γε μὴν καὶ τὸ τοὺς ἁπανταχόθι τιμῆς καὶ λόγου τῶν Ἑλλήνων ἀξίους καὶ μάλιστα τοὺς κατὰ τέχνας σπουδαζομένους. καὶ πάλιν αὖ μάλιστα τούτων ἁπάντων τοὺς ποιεῖν ἢ λέγειν τι κατὰ παιδείαν δυναμένους, μετακαλεῖσθαί σε πανταχόθεν καὶ χορηγίαις τῶν ἐπιτηδείων ἀφθόνοις καὶ τῇ ἄλλῃ φιλοφροσύνῃ τημελεῖν, ὅπως ἀπαλλαγέντες τῶν ἄλλων φροντίδων ἐπιδιδῶσιν ἀεὶ διὰ σὲ καὶ προΐωσιν ἐν ταῖς ἑαυτῶν ἕκαστοι τέχναις. καὶ τὸ τούτων ἐμπιμπλάναι τὸν οἶκον, ἀλλὰ μὴ κολάκων καὶ βωμολόχων ἀνθρώπων, καὶ τούτους θεραπεύειν αὐτὸν οὐχ ὑπ' ἐκείνων θεραπεύεσθαι μᾶλλον ὁμολογοῦντα, ὥσπερ ἐστὶ πυνθάνεσθαι πολλάκις ὅτι ἐπ' ἐκείνοις μᾶλλόν ἐστι τὸ σὲ εἶναι ὁποῖος εἶ, καὶ τὸ τοιοῦτο

Eidem.

Cum in Pellæorum adoleſcentium cauſſa optimè Archelao, tum in multiſque alijs negotijs præclaram operam nauaſti, mihi, alijſque bonis & honeſtis viris, &, crede mihi non minùs, quæ erga alios, quàm quæ priuatim erga nos egregie præſtitiſti, vt ſciam, laboro, non curioſitate quadam nimia, ſed vt gaudium percipiam cùm tuam laudem atque gloriam audio, neque tibi pro ipſis minorem gratiam habeo. Non enim ob collata priuatim in me merita magis lætandum cenſeo, quam quòd te cognoui talem, id mihi contingit ab omni beneficio, quod in quemlibet virum æquum & iuſtum à te collocatum audio Et hoc memoriæ mandes Archelae præſtantiſſime, cæteris in rebus, nihil præter Infinitos labores & curas innumeras Deum tibi præſtitiſſe. Solum verò & vnicum hoc bonum, vt bene mereri poſſis de quibus animo tuo collibitum ſit, & velis. Velle autem de dignis oportet, & cætera quidem in illius poteſtate ſita eſſe, ſi velit auferre. Vnum verò ne ſi velit quidem auferre poſſe, beneficia multis præſtita. Quamobrem ita tibi perſuadeas velim, nullam maiorem homini, qui ſit aliquando in imperio verſatus, pœnitudinem aut dolorem accidere, quàm ſi permittente Deo, neminem ſibi beneficijs obſtrinxerit, volent verò benemereri, Deus concedere deſtiterit. At nunquam in illum locum tu adduceris neq; dolebit, tempus ab beneficijs remiſſum vacuum iam euanuiſſe, & Deum adeſſe deſtitiſſe, ſed & preſtò erit omni tempore & ponè aſtabit digno, inque rectum vſum ſua munera conuertenti. Sed certè etiamſi ſpirare ceſſet omnino iam ciuitates & gentes, atque priuati plurimi, tuam potentiam experti ſunt, non cum damno, & quaſi partem tuæ fœlicitatis poſſident. Et labores quidem ſi tu è regno excideres, ceſſarent atque periculorum curarúmque moleſtia finem acciperet. Conſcientia verò beneficiorum, cùm iis qui acceperunt, tum etiam tibi qui præbuiſti, omni tempore permanet, non ſanè contèmnenda vel poſſeſſio vel fruitio, ſed quæ etiam in calamitatibus voluptatem poſſit & oblectationem præſtare. Hæc vt ſemper facias neque defatigeris, hortor, quemadmodū neque defatigaberis, neque eſt huius vlla ſatietas. Cæterùm manſuetè, conſtanter, & iuſtè in imperio præſenti te geras. Nam hoc ipſum non alij homini, neque ſi quis iam morte mulctandus te iubente liberaretur, illi maius quàm tibi gaudium adferret te eiuſmodi ingenio præditum eſſe. Preterea quòd omnes qui ſunt vſpiam Græcos honore, aut memoratu dignos, & maximè artium ſtudio deditos, atque rurſus ex his omnibus potiſſimū qui ex doctrina ſcribere vel diſſerere poſſunt, vndequaque acceſſis, & rerū neceſſariarum larga ſuppeditatione, omnique comitate foues, vt reliquis curis liberati, ſemper promoueant tua opera & in ſuis quilibet artibus progreſſus faciant, & in his imples domum, non adulatoribus, neque ſannionibus, & hos magis obſeruare, quàm ab ipſis non obſeruari vis quemadmodum eſt audire ſæpenumero, quòd illis potiùs te talem eſſe qualis ſis acceptum,

refert

referri debeat, & ita poſterorum etiam memoriæ prodi, quàm quod illi ſuam fœlicitatem tibi aſcribere. Illis quidem etiamſi ſua munera deficiant, tamen & diuitias ſatis magnas & gloriam eſſe & voluptatem in ipſis artibus, quis non ex his omnibus te admiretur & beatum prædicet? præſertim verò quod in confeſſo iam eſt & cognitum omnibus, ita benignitate tuos familiares à te tractari, vt etiam potentia admodum tibi conferant, nomen verò regis nihil obſit, quo minùs ab amicis diligaris.

Cephiſophonti.

VEnimus in Macedoniam optime Cephiſophon, corpore non malè affecti, & quàm fieri potuit, breuiſſimè, præter ſpem delati, atque excepit nos Archelaus ita vt credibile erat, nóſque ſperaueramus, non tantùm muneribus, quibus nos nihil indigebamus, ſed etiã comitate, qua nemo maiorem à regibus debeat optare, & Clitonem inuenimus optima valetudine præditum multúmque nobis cum illo commercij eſt, & quando cum Archelao ad ludicra deſcendit, neque nos ab ipſorum cõſortio prohibemur. Sed & plurimùm inſtat Clito. Plurimùm verò Archelaus quotidie meditari ſemper aliquid & ſcribere ſolito more nos cogentes. Vt mihi videatur mercedem non iniucundam, neque laboris expertẽ Archelaus exigere, cùm pro muneribus, quibus me ſimulac veniſſem affecit, tũ quòd me ſplendidiùs, quàm mihi gratum eſſet, quotidie tractaret. Sic verò ſtatue nõ maiori nobis, quę nunc Agathon & Meſatus dicit, curæ eſſe, quàm Ariſtophanis aliquando nugationes ſcis fuiſſe. Et ſũmam equidem nobis iniuriam facies, ſi vnquam reſponderis, etiamſi eos omnino non finem calumniandi facere videas. Sin verò quiſpiam ex eorum numero, quibus de Euripide dicere quippiam aut audire conuenit, noſtram ad Archelaum profectionem aliquis repræhenderit, quæ quidem antè diximus cùm nõ proficiſcendum nobis in Macedoniã diſſereremus, ſciens, quæ verò poſtea nos iter ſuſcipere coëgerint, ignorans, eum dignum Cephiſipho, cui exponas quæ noſtri iudicii: atque ſic ignorare cauſſas, & ſimul vt veriſimile eſt, quippe qui ex inſcitia peccarit, nos auaritiæ condemnare deſinet Non enim purpuram & ſceptrum ferre, neque in Triballis acceptis oppidis cum imperio eſſe cupiuiſſe quiſpiam, nos dixerit, & ob eam cauſſam profectionem ad Archelaum inſtituiſſe. Sed nimirum diuitiarum cauſſa. Cur igitur cùm in adoleſcentia, & in ætatis medio, & quo tẽpore mater adhuc nobis erat ſuperſtes, propter quam ſolam voluiſſemus opes cumulare ſi modò voluiſſemus, non modò nõ aucupati ſimus ſed repudiauerimus etiã oblatam, & vltrò propoſitam eandem hanc pecuniam, nunc ita ætate profectis nobis placere aut deſiderabilem eſſe, quiſquã iure poſſit exiſtimare, niſi idcirco magna dona capere cum maximo noſtro dedecore, neque ampliùs vllo fructu, cõcupiuimus, vt in Barbara terra vitam deponamus, & vt plures Archelao relinquamus pecunias. Præterea hoc etiã adieceris, poſtquã veniſſem° in Macedoniã paucis pòſt dieb. quadraginta argenti talenta offerenti Archelao,

ὄντα παρὰ τοῖς ἔπειτα ἀνθρώποις λόγου τυχεῖν, ἢ ὅτι σοὶ τὸ ἐκείνους εὐτυχεῖν, ἐκείνοις μέν γε κἂν ὑπολίπωσιν αἱ παρὰ σοῦ δωρεαὶ, καὶ πλοῦτον αὐτάρκη καὶ δόξαν εἶναι καὶ ἡδονὴν τὰς τέχνας, τίς οὐκ ἂν ἀγάσαιτο καὶ μακαρίσειε τούτων ἁπάντων, καὶ μάλιστα ὅτι ὁμολογοῦσιν ἤδη καὶ ἴσασι πάντες εἰς τοσοῦτον ἥκοντα τῆς πρὸς τοὺς συνόντας σοι φιλανθρωπίας, ὥστε τὴν μὲν ἰσχὺν καὶ πάνυ σοι συμβάλλεσθαι. τὸ δὲ ὄνομα μηδὲν ἀντιπεριστάσειν τὸ τοῦ βασιλέως, εἰς τὸ στέργεσθαι ὑπὸ τῶν φίλων.

Κηφισοφῶντι.

ΚΑὶ ἀφικόμεθα εἰς Μακεδονίαν ὦ βέλτιστε Κηφισοφῶν, τό, τε σῶμα οὐ μοχθηρῶς διατεθέντες καὶ ὡς οἷόν τε μάλιστα ἦν ἐπιεικῶς κομιζόμενοι συντόμως, καὶ ἀπεδέξατο ἡμᾶς Ἀρχέλαος ὡς εἰκός τι ἦν, καὶ προσεδεχόμεθα ἡμεῖς οὐ δωρεαῖς μόνον ὧν οὐδὲν ἐχρῄζομεν ἡμεῖς ἀλλὰ καὶ φιλοφροσύναις ὧν οὐδ᾽ ἂν εὔξαιτό τις μείζους παρὰ βασιλέων. καὶ κατελάβομεν Κλίτωνα ἐρρωμένον καὶ ἔστιν ἡμῖν σὺν ἐκείνῳ τὰ πολλά. καὶ ὅταν τύχῃ σὺν Ἀρχελάῳ ἀναμεμιγμένος ἡ διαγωγὴ πρός τε τοῖς ἔργοις οὐδὲν κωλυόμεθα τοῖς τούτων γίνεσθαι· ἀλλὰ καὶ πολὺς μὲν ἔγκειται ὁ Κλίτων πολὺς δὲ ὁ Ἀρχέλαος ἑκάστοτε φροντίζειν ἀεί τι καὶ ποιεῖν τῶν εἰωθότων ἀναγκάζοντες. ὥστε ἔμοιγε μισθὸν οὐκ ἀηδῆ μὲν οὐδ᾽ ἄπονον δοκεῖ Ἀρχέλαος ἀναπράσσεσθαι τῶν τε δωρεῶν ὧν ἔδωκέ μοι εὐθέως ἀφικομένῳ καὶ ὅτι εἰς τὰ μάλα λαμπροτέρως ἢ ἐμοὶ φίλον ἦν ἑκάστης ἡμέρας. περὶ δὲ ὧν ἐπέστειλας ἡμῖν, σὺ μὲν εὖ ποιεῖς ὅτι ἄλλων ἃ δοκεῖς ἡμῖν εἰδέναι διαφέρειν. ἴσθι μέντοι μηδὲν μᾶλλον ἡμῖν ὧν νῦν Ἀγάθων ἢ Μεσάτος λέγει μέλον, ἢ τῶν Ἀριστοφάνους φλυαρημάτων οἶσθά ποτε μέλον. καὶ τούτοις γε κἂν ἀδικήσαις ἡμᾶς ἐς τὰ μάλιστα ἀποκρινάμενός ποτε κἂν ὅλως μὴ παυομένους τῆς ἀγνωμοσύνης αὐτοὺς ὁρᾷς. ἢν μέντοι τις τῶν ἀξίων περὶ Εὐριπίδου λέγειν τι καὶ ἀκούειν αἰτιᾶται ἡμᾶς τῆς πρὸς Ἀρχέλαον ὁδοῦ. ἃ μὲν τὸ πρόσθεν εἴπομεν περὶ τοῦ μὴ δεῖν εἰς Μακεδονίαν ἡμᾶς ἀποδημεῖν ἐπιστάμενος, ἃ δὲ μετὰ ταῦτα ἡμᾶς ἀπηνάγκασε βαδίσαι ἀγνοῶν, τούτῳ δὴ ἄξιον νομίζω δηλοῦν αὐτὰ ἅπερ οἶσθα ὦ Κηφισοφῶν. καὶ ὅπως πεπαύσεται ἀγνοῶν τὰς αἰτίας καὶ ἅμα ὅπερ εἰκός ἐστι τὸν ἀγνοοῦντα πάσχειν, καταγνώσεσθαι ἡμῶν ὡς φιλοχρημάτων γενομένων. οὐ γάρ που δὴ πορφύραν καὶ σκῆπτρον φορεῖν ἢ φρούρια λαβόντας ἐν Τριβαλλοῖς ἡγεῖσθαι ὑπόχρεως καλουμένους ὀρεχθῆναί τις ἂν φήσειεν ἡμᾶς καὶ διὰ τοῦτο δὴ στείλασθαι τὴν πρὸς Ἀρχέλαον ὁδόν. ἀλλὰ δηλονότι πλούτου ἕνεκα· εἶτα πῶς οὐχ ὅτε νέοι τε καὶ ὅτε μέσοι τὴν ἡλικίαν ἦμεν, καὶ ὅτ᾽ ἔτι ζώσης ἡμῖν τῆς μητρὸς ἧς ἕνεκα οὐ μόνης ἐβουλόμεθα πλουτεῖν εἴπερ ἄλλως ἐβουλόμεθα οὐχ ὅπως ἐθηράσαμεν, ἀλλὰ καὶ ἀπεωσάμεθα ἐγκείμενον τὸν αὐτὸν τοῦτον πλοῦτον ἤδη τηλικοῖσδε οὖσιν, ἡμῖν ἱμερτὸν εἶναι εἰκότως ἄν τις νομίσειεν εἰ μὴ διὰ τοῦτο ἄρα πολλὰ λαβεῖν σὺν ἀδοξίᾳ τέ τινι ἡμετέρᾳ καὶ οὐδ᾽ ἀπολαύσει ἔτι οὐδεμιᾷ ἐπιθυμήσαιμεν, ἵνα ἐν βαρβάρῳ γῇ ἀποθάνωμεν. καὶ ἵνα πλείονα Ἀρχελάῳ καταλίποιμεν χρήματα.

ἔτι δὲ δὴ καὶ προσθείς, ὅτι ἐπειδὴ τάχιστα ἀφικόμεθα εἰς μακεδονίαν ὀλίγαις ὕστερον ἡμέραις πεντήκοντα τάλαντα ἀργυρίου διδόντος ἀρχελάου καὶ ἀγανακτοῦντος ὅτι οὐ λαμβάνοιμεν αὐτέχομεν μὴ λαβεῖν. τῶν τε ἄλλων δωρεῶν ὁπόσα ἢ Κλείτων ἐδίδου ἡμῖν ἢ Ἀρχέλαος ἔπεισε λαβεῖν, οὐκ ἔστιν ὅτι ἐνθάδε ὑπολελείμμεθα. ἀλλ' οἴχονται αὐτὰ φέροντες, οἵπερ καὶ ταύτην τὴν ἐπιστολὴν φέρουσιν ὑμῖν τοῖς αὐτόθι ἑταίροις καὶ ἐπιτηδείοις νεμήσοντες ἅπαντα. τίς ἂν οὕτως εὑρεθείη ἔτι σκαιὸς καὶ βάσκανος τὸν τρόπον, ὅστις ἂν φιλοχρηματίᾳ με ἐπελθόντα ταύτην ἀποδημῆσαι ὑπολάβοι τὴν ἀποδημίαν· ἀλλὰ δῆτα ἀλαζονείας τινά, ἢ τοῦ δύνασθαί τι μέγα ἐπιθυμίαν ἱερῶσιν; ἀλλ' ἡ μὲν δύναμις ἡμῖν καὶ μένουσιν Ἀθήνησιν ἡ παρὰ Ἀρχελάου καὶ πάλαι ἦν. ἄλλως τε καὶ Κλείτων οὐ τοσοῦτον ἐδύνατο μέγα, τὸ μὴ ἄλλον ὃν προῃρημένον ἐξ ἀρχῆς τρόπον βιοῦν ἐμέ, μὴ δὲ ὅπου μὴ ἐθέλοιμι ἀποθανεῖν. τελευταῖον δὲ καὶ παρέχειν λόγους ἱκανοὺς τοῖς κακῶς βουλομένοις ἡμᾶς λέγειν· εἰ δὲ δὴ καὶ δυνάμεώς τινος ὠρέχθημεν, τί ἄλλο ταύτῃ τῇ δυνάμει, ἢ πρῶτον μὲν εἰς τὰ τῆς πόλεως ἔπειτα εἰς τὰ τῶν φίλων χρῆσθαι ἐμέλλομεν. ἀλαζονείας τε ἕνεκα πολὺ ἂν μᾶλλον ἐν ὄψει τῶν τε φίλων καὶ οὐχ ἥκιστα τῶν ἐχθρῶν δύνασθαί τι ἐβουλόμεθα. καὶ μὴν δὲ μεταβολον ἐμὲ οὔτε εἰς τὰ ἐπιτηδεύματα οὔτε εἰς ὑμᾶς τοὺς φίλους καὶ οὐχ ἧσσον εἰς τοὺς ἐχθροὺς σκοπῶν εἴποι τις ἄν, οἷς ἅπασιν ἐκ νέου μέχρι τοῦ νῦν τοῖς αὐτοῖς κέχρημαι, πλὴν ἑνὸς ἀνδρὸς σοφοκλέους. πρὸς γὰρ δὴ τοῦτον μόνον ἴσασί με τάχα οὐχ ὁμοίως ἀεὶ τὴν γνώμην ἔχοντα. ὃν ἐγὼ ἐμίσησα μὲν οὐδέποτε. ἐθαύμασα δὲ ἀεί. ἔστερξα δὲ οὐχ ὁμοίως ἀεί. ἀλλὰ φιλοτιμότερον μέν τινα εἰδὼς ποτε δόξας ὑπεῖδον. βουληθέντα δὲ ἐκλύσασθαι τὰ νείκη, προθυμότατα ὑπεδεξάμην. καὶ ἀλλήλους μὲν ἐξ ὅτου συνέβη, στεργόμενοί τε καὶ στέρξομεν. τοὺς δ' ἐμβάλλοντας ἡμῖν πολλάκις τὰς ὑπονοίας ἴσμεν, ἐκ τοῦ ἡμᾶς ἀπεχθάνεσθαι. τὸν ἕτερον θεραπεύοντες αὐτοὶ πλεῖον ἔχειν διαβεβλήμεθα· καὶ νῦν ὦ βέλτιστε κηφισοφῶν οἶδ' ὅτι οὗτοι εἰσὶν οἱ τοὺς περὶ ἡμῶν λόγους ἐμβάλλοντες εἰς τοὺς ὄχλους. ἀλλ' ὥσπερ ἀεὶ ἄπρακτοι αὐτῶν αἱ κακαὶ γλῶσσαι ἐγένοντο καὶ γέλωτα ἐξ αὐτῶν καὶ μῖσος, οὐδὲν πλέον, ὠφλίσκανον, καὶ νῦν ἴσθι ὅτι οὐκ ἄπρακτοι μόνον, ἀλλὰ καὶ ἐπὶ κακῷ σφίσιν ἔσονται. σὺ μέντοι εὖ ποιεῖς περὶ τούτων ἡμῖν γράφων, ἐπειδὴ περ οἶδας ἡμῖν διαφέρειν. ἀλλ' ὥσπερ εὖ ποιεῖς γράφων, οὕτως ἀδικεῖν φήσαιμι ἂν ἡμᾶς, ἀντιλέγοντα ὑπὲρ αὐτῶν τοῖς οὐκ ἀξίοις.

Τέλος τῶν Εὐριπίδου ἐπιστολῶν.

atque ægrè ferenti quòd non acciperemus teſtiſſe, neque vt acciperemus adduci potuiſſe. Ex iis verò muneribus quæ nobis aut Clito largitus eſt, aut Archelaus, vt caperemus perſuaſit, nihil hic reliquũ fecimus, ſed abſtulerunt ijdam, qui etiam has literas ferunt, vt vobis amicis qui iſthic eſſetis & meis neceſſariis omnia diſpertirent. Quis etiamnum ſit tam importunus, aut ad mund á procliois, qui cupiditate pecuniarũ impulſum hoc me iter ingreſſum eſſe credat. Verum agenũ atrogantiã aliqua, aut amplíſſimæ potentiæ cupiditatẽ proferẽt? At potentia nobis etiam Athenis manentibus ab Archelao iam antea fuit parata. Præſertim verò ne Clito quidem tantùm poterat, vt diuerſam vitæ conditionẽ quam inſtitueram ſequerer, aut in quo locu minimẽ vellem, vitam clauderem, denique; vt materiam obtrectandi in perpetuum noſtris maleuolis & inimicis præberemus. Sin etiam potẽtiam aliquam affectaſſemus, in quem alium vſum hanc potentiam quàm primùm ad vtilitatem ciuitatis, deinde amicorum adhibituri eramus, & quòd ad oſtentationem pertinet, multò magis in conſpectu amicorum & non minimè maleuolorum poſſe aliquid voluiſſemus. At me inconſtantem & flexibilem, neque ſi ad ſtudia quiſpiam, neque ſi ad vos amicos, & non minùs ad inimicos reſpectum habeat, non facilè affirmabit, quibus omnibus ab iuuentute vſque ad hoc præſens tempus firmiter mihi conſtiti, niſi quãtũm ad vnum virum Sophoclem pertinet. Nam erga ſolum hunc ſciunt me fortaſſe non eodẽ animo ſemper affectum eſſe, quem ego vt odiſſem nunquam in animum induxi, vt mirarer, ſemper. Non tamen pari modo ſemper eum amaui. Sed cùm aliquando contentioſiorem perſpexiſſe viderer, ſuſpectum habebam. Cùm verò deponere controuerſiã vellet, lubentiſſimè ſum ei reconciliatus, & ab eo rem pro quo id factũ eſt mutuò nos amamus, & amabimus. Eos verò, qui ſæpe ſuſpiciones nobis mouent, vt nos in odium coniiciant, alter alterum colentes, ſi quid plus poſſint, redàrguimus. Et nunc optime Cephiſiphon, ſcio iſtos eſſe, qui hoſce de nobis rumores & infamiam in vulgus ſpargant. At quemadmodum ſemper prauis ipſorum linguis omnia ceciderunt in irritum, & riſum ex eis, odiúmque; ſui, nihil præterea, deportarunt, nunc etiam mihi crede non ſolùm nihil proficiẽt, ſed ſibiipſis damnum adferent ac detrimentum. Tu verò rectè facis, quòd de his nos per literas facis certiores, quoniã intereſſe noſtra exiſtimas. Sed quemadmodum ſcribendo tuum officium facis. Sic iniuriam te nobis inferre dixerim, ſi contradicas ex illis quibus non conuenit neque decet.

Finis Epiſtolarum Euripidis.

ΕΠΙΣΤΟΛΑΙ ΘΕΑΝΟΥΣ ΠΕΡΙ ΤΕΚΝΩΝ ΑΝΑΤΡΟΦΗΣ.

EPISTOLAE THEANVS DE LIBERORVM EDVCATIONE.

Theano Eubulæ ſalutem dicit.

AVdio te delicatam, & luxurioſam quandam rationem in educandis liberis tenere. Ad officiũ verò matris pertinet, non vt ad voluptatem ſuos liberos aſſuefaciat; ſed vt ad tẽperantiam modeſtiámq; inſtituat. Vide igitur ne non amantis, ſed adulatricis partes agas. Nam educata ſimul cum pueris voluptas, intẽperantes & prodigos reddit. Quid enim adoleſcẽtibus ſuauius aut iucũdius, cõſueta voluptate? Quamobrem amica, prouidendum eſt ſummoperè, ne educationem liberorum in ſeductionem cõuertas. Seductio verò & peruerſio naturæ eſt, cùm ad voluptatis amorem animi, corpora ad libidinem traſferuntur, & hæc laborem fugiunt, illi mollitiẽ amplectuntur. Sunt autem excercendi ad hæc dura & formidabilia liberi, vt cùm dolor ſit perpetiendus aut ſubeundus labor, ne his affectibus quaſi ſerui ſubiiciantur, & in voluptatibus libidinoſi, & à laboribus abhorrentes, ſed vt omnibus virtutem & honeſtatem anteponant, atque ab illis abſtineant, in his verò permaneant, neque in victu guloſi & voraces, neque in voluptatibus ſumptuoſi, & in nimiis luſibus prodigi ſunt efficiendi, neque quidlibet loquendi & omnis ſtudij poteſtas eis eſt permittenda. Prætereadelatum eſt mihi te metuere ſi fleant & ad riſum eos traducere conari, etiamſi nutricem percutiant, aut te perperam tidere dicant, & in æſtate refrigeratione, in hyeme æſtu fouere, multiſque delitiis, quarum inopes & egeni pueri nullas experiuntur & aluntur minori negotio, neq; verò minùs creſcunt, ſed habent ſe longè melius. Tu verò quaſi Sardanapali poſteritatẽ liberos nutris, & maſculorum vigorem, voluptatibus frangis. Quid enim faciendum ſit illi puero, qui ſi non confeſtim vt libitũ eſt edat, in fletũ ac gemitũ erumpit, & ſi comedat, ſuaues tantũ atque blandientes cibos quærit, ſi ſit æſtus, tabe corripitur, ſi frigus, contremiſcit: ſi quis obiurget, repugnat: ſi quis non ad voluptatem omnia miniſtret, indignatur: ſi non mundet, in iram concitatur: voluptati turpiter indulget, & vndiquaq; molliter ac effœminatè ſe gerit. Sed ô amica ſcias qui in inertia tam diſſolutè viuunt eos cùm ad virilem ætatem peruentum eſt, mancipia fieri ſolere, dáque operam, vt eiuſmodi voluptates de medio remoueas, atque ita duram acerbamque nõ tenerã & delicatam educandi viam inſtitue, & concede vt famem ſitimque ferant: præterea calorem algorémq;, & erga æquales aut præfectos verecundiam præſtent. Sic enim ingenuitatẽ quãdam in animi ſeu remiſſione ſeu cõtractione aſſequentur. Labores enim amica, ſunt quaſi præparationes quædam pueris ad virtutis perfectionẽ, quibus intincti quantùm ſatis eſt virtutis tincturã faciliùs deinde ferunt. Quamobrẽ amica, diligentiã adhibe, ne quemadmodum vites, quæ malè alũtur, fructu deſtituuntur, ſic etiã liberi, præ luxu, iniutię, & vanitatis plurimæ vitioſitatem pariant.

Θεανὼ Εὐβούλῃ χαίρειν.

Ἀκούω σε τὰ παιδία τρυφερῶς ἄγειν. ἔστι δὲ ἀγαθῆς μητρὸς οὐχ ἡ πρὸς ἡδονὴν ἐπιμέλεια τῶν παίδων, ἀλλ' ἡ πρὸς τὸ σωφρονεῖν ἀγωγή. βλέπε οὖν μὴ οὐ φιλούσης, ἀλλὰ κολακευούσης ἔργον ποιήσῃς. συντρεφομένη γὰρ ἡ ἡδονὴ παισὶν, ἀκολάστους ποιεῖ. τί γὰρ ἥδιον νέοις συνήθους ἡδονῆς. χρὴ οὖν ὦ φίλη τὴν τροφὴν τῶν παίδων μὴ διαστροφὴν εἶναι. ἡ δὲ διαστροφὴ τῆς φύσεώς ἐστιν, ὅταν φιλήδονοι μὲν τὰς ψυχάς, ἡδυπαθεῖς δὲ τοῖς σώμασι γίνωνται, καὶ τοῖς μὲν, φυγόπονοι, τοῖς δὲ, μαλακώτεροι. δεῖ δὲ πρὸς τὰ φοβερὰ γυμνάζειν τὰ ἐκτρεφόμενα κἂν λυπηθῆναι κἂν πονῆσαι δέῃ, ἵνα μὴ τῶν παθῶν ᾖ δοῦλα ταῦτα καὶ περὶ τὰς ἡδονὰς λίχνα καὶ περὶ τοὺς πόνους ὀκνηρά, ἀλλ' ἵνα τὰ καλὰ πρὸ πάντων τιμῶσιν. ὧν μὲν ἀπεχόμενοι, τοῖς δὲ ἐμμένοντες. σὺ δὲ πλησμονικὰ μὲν τῆς τροφῆς, πολυτελῆ δὲ τῆς ἡδονῆς. ἀκόλαστα δὲ τὴν αὐτὴν παιδιὰν αὐτοῖς ποιεῖν, καὶ πᾶν μὲν λέγειν, πᾶν δὲ ἐπιτηδεύειν ἐᾶσαι. ἔτι δὲ φοβουμένην μὲν τὴν κλαίῃ. φιλοτιμουμένην δὲ ἵνα γελᾷ κἂν τὴν τροφὸν παίῃ, κἂν σε κακῶς εἴπῃ γελῶσαν. καὶ τοῦ μὲν θέρους ψῦχος, τοῦ δὲ χειμῶνος καῦμα παρέχουσαν. καὶ πολλὴν χλιδήν, ὧν οἱ πενιχροὶ ἄπειροι παῖδες εὐδιινώτεροι τρέφονται, καὶ ἐκτρέφονται μὲν ῥᾷον, αὔξονται δὲ οὐχ ἧσσον. διάγονται δὲ πολὺ κρεῖσσον. σὺ δὲ ὡς Σαρδαναπάλου γένος τιθηνῇ τὰ τέκνα, τὴν τῶν ἀρρένων φύσιν θρύπτουσα ταῖς ἡδοναῖς. τί γὰρ ἄν τις ποιήσῃ παιδί, ὃ ἂν μὴ τάχιον φάγῃ, κλαίει. κἂν ἐσθίῃ, τὰ τερπνὰ τῶν ὄψων ζητεῖ. κἂν καῦμα, παρεῖται, κἂν ψῦχος πλωμαστίζει, κἂν ἐπιτιμᾷ τις, ἀντιμάχεται. κἂν μὴ πρὸς ἡδονὴν ὑπηρετῇ, λυπεῖται. κἂν μὴ μασᾶται, δυσκολαίνει. καὶ κακοχολεῖ πρὸς ἡδονὴν καὶ βατταλίζεται περιαγόμενον. ἐπιμελῶς δὲ ὦ φίλη εἰδυῖα ὅτι τὰ σπαταλῶντα τῶν παιδίων ὅταν ἀκμάσῃ πρὸς ἄνδρας, ἀνδράποδα γίνεται, τὰς τοιαύτας ἡδονὰς ἀφαίρει καὶ τὴν τροφὴν αὐστηρὰν μὴ τρυφερὰν οὕτω ποιοῦσα καὶ ἐῶσα καὶ λιμὸν καὶ δίψος ἐγκαρτερεῖν, ἔτι καὶ ψῦχος καὶ θάλπος καὶ αἰδεῖσθαι τοὺς ἀπὸ τῶν συνηλίκων ἢ τῶν ἐπιστατῶν. οὕτω γὰρ καὶ γενναῖα γίνεσθαι συμβαίνει τὰ κατὰ ψυχὴν ἀνατεινόμενα ἢ ἐπιτεινόμενα. οἱ γὰρ πόνοι φίλη προϋποσυμβαίνοντες εἰσὶ τοῖς παισὶν εἰς τελειουμένης ἀρετῆς, οἷς ἐμβαφέντες ἀποχρώντως τὴν τῆς ἀρετῆς βαφὴν οἰκειότερον φέρουσι. βλέπε οὖν φίλη μὴ καθάπερ τῶν ἀμπέλων αἱ κακοτροφούμεναι τὸν καρπὸν ἐλλείπουσι, καὶ ὑπὸ τῆς τρυφῆς οἱ παῖδες ὕβρεως καὶ πολλῆς ἀχρειότητος κακίαν γεννήσωσι.

Πρὸς τὴν ζηλοτυποῦσαν παραμυθητική. Θεανὼ Νικοστράτῃ χαίρειν.

Ἤκουον τὴν τῦ ἀνδρός σου παράνοιαν, ὅτι τὴν ἑταίραν ἔχει· σὺ δὲ ὅτι ζηλοτυπεῖς αὐτόν. ἐγὼ δὲ ὦ φίλη πολλοὺς ἔγνωκα τῆς αὐτῆς νόσου. θηρεύονται γὰρ ὡς ἔοικεν ὑπὸ τῶν γυναικῶν τούτων καὶ κατέχονται καὶ οὐκ ἔχουσι νοῦν· σὺ δὲ ἄθυμος εἶ καὶ νύκτα καὶ μεθ' ἡμέραν καὶ ἀδημονεῖς καὶ μηχανᾶσαι τι κατ' αὐτοῦ. μὴ σύ γε ὦ φίλη. γαμετῆς γὰρ ἀρετὴ ἐστὶν οὐχ ἡ παρατήρησις τ' ἀνδρὸς, ἀλλ' ἡ συμπεριφορά. συμπεριφορὰ δέ ἐστι τὸ φέρειν ἄγνοιαν. εἶθ' ἑταίρᾳ μὲν πρὸς ἡδονὴν ὁμιλεῖ. γαμετῇ δὲ πρὸς τὸ συμφέρον. συμφέρον δὲ κακοῖς κακὰ μὴ μίσγειν. μηδὲ παρανοίᾳ παράνοιαν ἐπάγειν. ἔνια δὲ ἁμαρτήματα φίλη ἐλεγχόμενα μὲν ἐπὶ πλέον ἐρεθίζεται, σιωπώμενα δὲ παύεται μᾶλλον. ὡς τὸ πῦρ ἡσυχῇ φασὶ σβέννυσθαι. ἔτι γὰρ βυλόμενόν σε λεληθέναι δοκεῖν ἐλέγχουσα ἀφαιρήσεις τὸ παρακάλυμμα τῦ πάθους καὶ φανερῶς ἁμαρτήσεται. σὺ δὲ τὴν φιλίαν ἡγῆ τῦ ἀνδρὸς οὐκ ἐν τῇ καλοκαγαθίᾳ. τοῦτο γὰρ ἡ χάρις τῆς κοινωνίας. νόμιζε οὖν πρὸς μὲν τὴν ἑταίραν ῥαθυμήσοντα πορεύεσθαι ἐκεῖνον. σοὶ δὲ συμβιώσοντα παρεῖναι καὶ σὲ μὲν φιλεῖν κατὰ γνώμην. ἐκείνην δὲ κατὰ πάθος. βραχὺς δὲ ὁ τούτου καιρός. ἅμα γάρ ποτε ἔχει καὶ κόρον. καὶ παρίσταται ταχὺ καὶ παύεται. ὀλιγοχρόνιος γὰρ ὁ καιρός ἐστι πρὸς ἑταίραν ἀνδρὶ μὴ σφόδρα κακῷ, τί γάρ ἐστι ματαιότερον ἐπιθυμίας ἀπολαυούσης ἀδίκου· διὸ καὶ μειῶν τὸν βίον καὶ διαβάλλων τὸ εὔσχημον αἰσθανθήσεταί ποτε. οὐδεὶς γὰρ ἐπιμένει φρονῶν αὐθαιρέτῳ βλάβῃ. καλούμενος οὖν ὑπὸ τῶν πρὸς σὲ δικαίων καὶ τὰς περὶ τὸν βίον ἐλαττώσεις ὁρῶν, αἰσθήσεταί ποτέ σου. καὶ τὴν ἀπὸ τῆς κατὰ γνώσεως ὕβριν οὐ φέρων, ταχὺ μεταγνώσεται. σὺ δὲ φίλη ζῆθι οὐχ ἑταίραις ἀποκρινομένη. τῇ μὲν εὐταξίᾳ πρὸς τὸν ἄνδρα διαφέρουσα. τῇ δὲ ἐπιμελείᾳ πρὸς τὸν οἶκον· τῇ δὲ συναλλαγῇ περὶ τὰς χρωμένας. τῇ δὲ φιλοστοργίᾳ περὶ τὰ τέκνα. οὐ ζηλοτυπητέον οὖν σοι πρὸς ἐκείνην. πρὸς γὰρ τὰς ἐναρέτους ἐκτείνειν τὸν ζῆλον καλόν. ἑαυτὴν δὲ παρέχειν ἐπιτηδείαν ταῖς διαλλαγαῖς. τὰ γὰρ καλὰ ἤθη καὶ παρ' ἐχθροῖς εὔνοιαν φέρει φίλη. καὶ μόνης καλοκαγαθίας ἔργον ἐστὶν ἡ τιμή. ταύτῃ γὰρ καὶ δυνατὸν ἀνδρὸς ἰσχύουσαν καθάπερ ἔχειν γυναικὶ καὶ τιμᾶσθαι πλεῖον ἢ θεραπεύειν τὸν ἐχθρόν. καταπειθόμενος οὖν ὑπὸ σοῦ, μᾶλλον αἰσχύνεται, τάχιον δὲ διαλλαγῆναι θελήσει. προσπαθέστερον δὲ φιλοστοργήσει συνεγνωκὼς τῆς ἀδικίας τῆς εἰς σὲ, κατανοῶν τὸ τῆς προσοχῆς ἐπὶ τοῦ βίου καὶ πεῖραν τῆς στοργῆς λαμβάνων τῆς περὶ αὐτόν. ὥσπερ δὲ αἱ κακοπάθειαι τῶν σωμάτων ἡδίας τὰς ἀναπαύσεις ποιοῦσιν, οὕτως αἱ διαφοραὶ τῶν φίλων οἰκειοτέρας τὰς διαλλαγὰς ὁρῶσι. σὺ δὲ καὶ τὰ βουλήματα τοῦ πάθους αὐτίδες. νοσοῦντος γὰρ ἐκείνου καὶ σὲ παρακαλεῖ νοσεῖν ταῖς λύπαις· καὶ ἁμαρτάνοντος περὶ τὸ εὔσχημον καὶ σὲ περὶ τὸν κόσμον ἁμαρτεῖν· καὶ καταβλάπτοντος τὸν βίον καὶ σὲ καταβλάπτειν τὸ συμφέρον. ἀφ' ὧν ἴσα αὐτὸν συντετάχθαι δόξεις καὶ κολαζομένη ἐκεῖνον καὶ σεαυτὴν κολάζειν.

Ad laborantem Zelotypia conſolatoria. Theano Nicoſtratæ ſalutem dicit.

ACcepi ex hominum ſermonibus, de mariti tui peruerſitate & amentia, eum cum ſcorto rem habere téque id indignè ac moleſtiſſimè ferre. Ego verò, amica, multos non eodem morbo genere ægrotos. Capiuntur enim, vt apparet, ab his mulieribus atque tenentur, neque quicquam animi poſſident. At tu dolore cruciaris, noctes ac dies, & mœſtitia conficeris, ſempérq; aliquid cõtra ipſum machinaris. Caue tu id faxis. Vxoris enim virtus eſt nõ obſeruatio & cuſtodia viri, ſed obedientia. Obediẽtiæ verò eſt, inſaniã perferre ac pati. Nã cum ſcorto voluptatis cauſſa conſuetudinem habet, cum vxore vtilitatis. Vtile eſt autem malis mala non miſcere, neque amentiam amẽtia cumulare. Quædam verò peccata ſunt, quæ carpta, magis magíſque irritantur, inuoluta ſilentio ſedantur & comprimuntur: quemadmodum ignem ſenſim ac paulatim aiunt extingui. Si enim te clàm habere vult, & tu carpiendo velum crimini detraxeris, palàm etiam delinquet. Tu verò ne ponas amicitiam mariti in probitate. In hoc enim ſita eſt ſocietatis gratia. Sic igitur perſuaſum habeas ad ſcortum quidem libidinis cauſſa eum accedere, tibi vt vnà viuat adeſſe atque te ex animo charam habere, illam tantummodo per libidinem Hæc autem exigui tẽporis eſt. Etenim aliquando ſatiatur, & quemadmodum commouetur ſubitò, ſic ſtatim deſunt. Breue nanque tempus cum ſcorto conſumit, vir nõ planè malus ac flagitioſus. Quid enim vanius eſt ea cupiditate quæ fruitur ſuo damno proinde ſentiet aliquando, ſe vitæ commoda diminuere, & famam proiicere. Nemo enim ſapiens in ſpontaneo damno permanet. Reuocatꝰ igitur per ius cõiugij quod ei tecum intercedit, & cùm vitę detrimentum animaduerterit, cognoſcet aliquando te, & cùm ſceleris iniuriam pati nõ potuerit, confeſtim animum mutabit. Verùm tu amica vitam age nequaquam meretriciæ reſpondentem, ſed modeſtia & probitate erga virum, cura erga familiam, cõmercio erga familiares, amore erga liberos, inſignem & excellentem. Non debes tu Zelotypia contra illam cõmoueri. Nam ad pudicas & honeſtas æmulationem dirigere pulchrum eſt. Sed teipſam reconciliationi ſemper idoneam & aptam præbere. Nam honeſti mores atque animi, etiam inimicorum ſibi beneuolentiam conciliant, amica. Et à ſola probitate atque integritate honor proficiſcitur. Hac enim ratione viri quaſi copiam habere vxor poteſt, & in precio potiùs eſſe quàm inimicum obſeruare. Sic obiurgatus à te, magis pudore ſuffunditur, & citiùs redire in gratiam volet. Vehementiùs etiam amabit cùm ſuam in te iniuriam cognouerit & vitæ ſanctimoniam præſtantiámq; animo reputarit, periculúmq; tui in ſe amoris fecerit. Quemadmodũ autẽ afflictionũ corporis, iucundus quidã eſt finis & exitꝰ, ſic amicorũ cõtrouerſiæ, in placidiorẽ gratiorémq; reconciliationẽ deſinunt. Tu verò etiam conſilia dãni inter ſe cõtende. Etenim ſi ægrotet ille, te quoq; facit ęgrotare mœrore, & ſi peccauerit in famã, te quoq; famæ iacturã facere, & ſi lædat vitæ cõmoda, te quoq; vtilitatẽ lædere dũ cũ ipſo cooiũcta eſſe videberis, & puniens ipſũ te quoq; punire.

Et etiamſi

Et etiamſi illum reliqueris, & à priore marito ſeiūcta ad alterum te applicabis? & ſi ſimiliter ille deliquerit, rurſus ad alium? Non eſt adoleſcentibus fœminis tolerabilis viduitas: aut ſola perſeuerabis abſque marito quaſi cœlebs? at negliges domum & virum perdes? Miſeræ & acerbæ vitæ ſimul damnū feres. Sed vleiſceris ſcortum? obſeruabit te nimirum & ſic vbi voles vlciſci, pugnax herclè mulier eſt quæ pudore vacat. At pulchrum eſt, quotidianas cum marito diſceptationes habere? Et quid magis. Diſceptationes enim & iurgia non finem imponūt intemperantiæ, ſed inimicitiis incremētum addūt. At aliquod contra ipſum conſilium inibis? Ne faxis amica. Zelotypiam vincere Tragœdia docet cōpoſitionem Dramatum continens, in quibus Medea ſcelus patrauit. Sed quemadmodum ab oculorum ægrotatione cohibēdæ ſunt manus, ita tu quoque da operam, vt à dolore ſimulationem abſtineas. Etenim patientia ac perſeuerantia, citiùs damnum extingues.

Theano Calliſti de famularum rectione adhortatoria.

VObis quidem iunioribus à lege datur poteſtas imperādi famulis ſimul & nubendi. Diſciplina verò a ſenioribus proficiſci debet, qui de rectè gubernāda familia ſemper præcepta dent & adhortentur. Bonum eſt enim priùs diſcere, quorum ſis rudis & ignara, atque ſeniorum conſilium prudentiſſimum optimúmq; iudicare. In his enim inſtitui adoleſcentem virginis animum oportet. Primum autem in domo mulieribus imperium eſt, imper ū famularum. At plurimùm ad ſeruiēdum poteſt beneuolentia. Hæc enim poſſeſſio non vnà cum corporibus emitur, ſed eam poſtea pariunt atque comparant prudentes domini. Hæc acquiritur iuſto vſu, vt neque ob laborem defatigentur, neque ob imbecillitatem deficiant. Etenim humana ſunt natura prǽditæ. Nonnullæ verò in lucro quæſtuoſiſſimo putant, famularum infirmitatem, eaſque premunt oneribus, & neceſſariis ad vitam rebus priuāt. Sic dum obuli lucrum faciunt, maximis mulctis afficiuntur, odiis atque inſidiis pernicioſiſſimis. Tu verò in promptu habeas menſuram ciborum ad numerum lanicij, quam laboribus quotidianis tribuas. Et quod ad victū pertinet, hoc modo. Quod ad inobedientiam quantùm te deceat, non quantū illis vtile ſit, eſt efficiendum. Etenim obiurgare famulas oportet pro dignitate. Crudelitas enim non adferet animo voluptatem. Odium verò malitiæ nihilo minus ratio ſuppeditat. Quòd ſi ſit incredibilis & immnta famularum malitia, exterminanda erit per venditionem. Nam quod alienum eſt vſu, alienetur etiam poſſeſsione. In ea verò re conſiliū ſequaris, quo peccati, veritatem ad condemnationis æquitatem exigas, delictorum verò magnitudinem ad ſupplicij dignitatem. Dominarum autem etiam ſententia beneficium, ſi meritam pœnam relinquat & condonet. Ad hunc modum in tuis rebus decorum conſeruabis. Quædam enim ô amica præ crudelitate verberibus corpora famularum afficiunt, vel æmulatione vel iracundia exaſperatæ, quaſi prodentes acerbitatis nimiam vehementiam. Quædam enim tempore ſunt abſumptæ,

εἰ γὰρ καὶ ἀφεμένη πορεύσῃ, ἑτέρῳ ἄρα πελασθήσῃ ἀνδρὸς τοῦ προτέρου ἀπαλλαγεῖσα, κἂν ἐκεῖνος ἁμάρτῃ τὰ ὅμοια πάλιν ἄλλῳ. οὐ φορητὴ γὰρ νέαις χηρεία ἢ μόνη μενεῖς ἀπ' ἀνδρὸς οἷόν περ ἄζυξ; ἀλλὰ ἀμελήσεις τοῦ οἴκου καὶ καταφθερεῖς τὸν ἄνδρα. ἐπανδύνου ἄρα βίου συνδιαιτήσῃ τὴν βλάβην. ἀλλ' ἀμυνῇ τὴν ἑταίραν; περιστήσεταί σε φυλαττομένη. κἂν ἀμύνῃ, μάχιμός ἐστιν ἡ ἐρυθριῶσα γυνή. ἀλλὰ καλὸν ὁσημέραι μάχεσθαι πρὸς τὸν ἄνδρα. καὶ τί πλέον. αἱ γὰρ μάχαι καὶ λοιδορίαι τὴν μὲν ἀκολασίαν οὐ παύουσι, τὴν δὲ διαφορὰν ταῖς προσκοπαῖς αὔξουσι. τί δὲ βουλεύσῃ τι κατ' ἐκείνου μὴ φίλη. ζηλοτυπίας κρατεῖν ἡ τραγῳδία ἐδίδαξε δραμάτων ἔχουσα σύνταξιν ἐν οἷς παρανομοῦσα Μήδεια. ἀλλ' ὥσπερ τῇ νόσῳ τῶν ὀφθαλμῶν ἀπέχειν δεῖ τὰς χεῖρας, οὕτω καὶ σὺ τοῦ πάθους χώριζε τὴν προσποίησιν. διακαρτεροῦσα γὰρ, θᾶττον τὸ πάθος σβέσεις.

Θεανὼ Καλλιστοῖ περὶ θεραπαινῶν προστασίας ὑποθετική.

ΤΑῖς νεωτέραις ὑμῖν ἡ μὲν ἐξουσία παρὰ τοῦ νόμου δίδοται τῶν οἰκετῶν ἄρχειν ἅμα τῷ γαμηθῆναι, ἡ δὲ διδασκαλία παρὰ τῶν πρεσβυτέρων ἀπαντᾶν ὀφείλει περὶ τῆς οἰκονομίας ἀεὶ παραινούντων. καλῶς γὰρ ἔχει πρότερον μανθάνειν ἃ μὴ γινώσκεται, καὶ τὴν συμβουλὴν οἰκειοτάτην τὴν τῶν πρεσβυτέρων ἡγεῖσθαι. ἐν τούτοις γὰρ παρθενοτροφεῖσθαι δεῖ νέαν ψυχήν. ἀρχὴ δέ ἐστιν οἴκου πρώτη γυναιξὶν ἀρχὴ θεραπαινῶν. ἔστι δὲ ὦ φίλη μέγιστον ἐπὶ δουλείᾳ εὔνοια. αὕτη γὰρ οὐ συναγοράζεται τοῖς σώμασιν ἡ κτῆσις, ἀλλ' ἐξ ὑστέρου γεννῶσιν αὐτὴν οἱ συνετοὶ δεσπόται. δικαία δὲ χρῆσις αἰτία ταύτης, ἵνα μήτε διὰ τὸν κόπον κάμνωσι, μήτε ἀδυνατῶσι διὰ τὴν ἔνδειαν. εἰσὶ γὰρ ἄνθρωποι τῇ φύσει. ἔνιαι δὲ κέρδος τὸ ἀκερδέστατον ἡγοῦνται τὴν τῶν θεραπαινῶν κακουχίαν. βαρύνουσαι μὲν τοῖς ἔργοις, ὑποστελλόμεναι δὲ τῶν ἐπιτηδείων. εἶτα ὀβολιμαῖα κέρδη περιποιούμεναι, μεγάλοις ζημιοῦνται τιμήμασι δυσνοίαις καὶ ἐπιβουλαῖς κακίσταις. σοὶ δὲ πρόχειρον ἔστω τὸ μέτρημα τῶν σιτίων πρὸς τὸν ἀριθμὸν τῆς ἐργασίας τοῖς ἐφ' ἡμέραν πόνοις. καὶ πρὸς μὲν τὴν δίαιταν, οὕτως. πρὸς δὲ τὰς ἀταξίας, τὸ σοὶ πρέπον, οὐ τὸ ἐκείναις συμφέρον ἐξυπηρετητέον. τιμᾶν μὲν γὰρ δεῖ θεραπαίνας τὸ κατ' ἀξίαν. τὸ μὲν γὰρ ὠμὸν οὐκ οἴσει τὴν τοῦ θυμοῦ χάριν. τὸ δὲ μισοπόνηρον οὐχ ἧττον ὁ λογισμὸς βραβεύει. ἐὰν δὲ ἡ ὑπερβολὴ τῆς κακίας τῶν θεραπαινῶν ἀνίκητος ᾖ, ἐξοριστέον μετὰ πράσεως. τὸ γὰρ ἀλλότριον τῆς χρείας, ἀλλοτριούσθω καὶ τῆς κυρίας. ἔστω δέ σοι γνώμη τοῦδε πρόεδρος. καθ' ἣν γνώσῃ τὸ μὲν ἀληθὲς τῆς ἁμαρτίας, πρὸς τὸ τῆς καταγνώσεως δίκαιον. τὸ δὲ τῶν ἡμαρτημένων μέγεθος, πρὸς τὸ κατ' ἀξίαν τῆς κολάσεως. δεσποτικὴ δὲ καὶ ἡ γνώμη χάρις ἐφ' ἡμαρτημένης ζημίας ἀπαλλάττουσα. οὕτω δὲ τὸ πρέπον ἐπὶ τοῦ οἰκείου τρόπου διαφυλάξει. ἔνιαι γὰρ ὦ φίλη ὑπ' ὠμότητος καὶ μαστίζουσι τὰ τῶν θεραπαινῶν σώματα θηριούμεναι διὰ ζῆλον ἢ θυμόν. οἷον ὑπομνηματογραφούμεναι τὴν ὑπερβολὴν τῆς πικρίας. αἱ μὲν γὰρ ἀνηλώθησαν χρόνῳ διαπονούμεναι

αἱ δὲ, φυγῇ τὴν σωτηρίαν ἐπορίσαντο. τινὲς δὲ ἐπαύσαντο τὸ ζῆν αὐτοχειρὶ θανάτῳ μεταστᾶσαι. καὶ λοιπὸν ἡ τῆς δεσποίνης μόνωσις ὀδυρομένης τὴν οἰκείαν ἀβουλίαν, ἔρημον μετάνοιαν ἔχει. ἀλλ᾽ ὦ φίλη, ἴσθι μιμουμένη τὰ ὄργανα ἃ φωνεῖ μᾶλλον ἀνειμένα. ἐκρήγνυται δὲ μᾶλλον ἐπιτεινόμενα. καὶ γὰρ ἐπὶ τῶν θεραπαινῶν ταυτόν. ἡ μὲν ἄγαν ἄνεσις διαφωνίαν ἐμποιοῦσα τῆς πειθαρχίας, ἡ δὲ ἐπίτασις τῆς ἀνάγκης, διάλυσιν τῆς φύσεως. καὶ ἐπὶ τούτου δεῖ νοεῖν. μέτρον δ᾽ ἐπὶ πᾶσιν ἄριστον.

Μέλισσα Κλεαρέτᾳ χαίρειν.

Αὐτομάτως ἐμοὶ φαίνῃ πλεῖστα τῶν καλῶν ἴσχειν. τὸ γὰρ ἐσπουδασμένως ἐθέλειν τι ἀκοῦσαι περὶ γυναικὸς εὐκοσμίας, καλὰν ἐλπίδα δίδοι, ὅτι μέλλεις πολιοῦσθαι κατ᾽ ἀρετάν. χρὴ ὦν τὰν σώφρονα καὶ ἐλευθέραν τῷ κατὰ νόμον ἀνδρὶ ποτῆμεν ἁσυχίᾳ κεκαλλωπισμέναν, ἀλλὰ μὴ πολυτελῶς. ἦμεν δὲ τᾷ ἐσθᾶτι λευχείμονα καὶ καθάριον καὶ ἀφελῆ, ἀλλὰ μὴ πολυτελῆ καὶ περισσάν. παραιτητέον γὰρ αὐτᾷ τὰν διαυγῆ καὶ διαπόρφυρον, καὶ τὰ χρυσόπαστα τῶν ἐνδυμάτων. ταῖς ἑταίραις γὰρ τάδε χρήσιμα ποτὶ τὰν τῶν πλεόνων θήραν. τᾶς δὲ ποθ᾽ ἕνα τὸν ἴδιον εὐαρεστούσας γυναικὸς, κόσμος ὁ τρόπος πέλει καὶ οὐχ αἱ στολαί. εὔμορφον γὰρ τὰν ἐλευθέραν ἰδέσθαι τῷ αὐτᾶς ἀνδρὶ, ἀλλ᾽ οὐ τοῖς πλησίον. ἔχοις δ᾽ ἂν ἐπὶ τᾶς ὄψιος ἐρύθημα μὲν σαμεῖον αἰδοῦς ἀντὶ φύκεος. καλοκαγαθίαν δὲ καὶ κοσμιότητα καὶ σωφροσύναν ἀντὶ χρυσοῦ καὶ σμαράγδου. οὐ γὰρ ἐς τὰν τᾶς ἐσθᾶτος πολυτέλειαν, φιλοκαλεῖν δεῖ τὰν γλιχομέναν τᾶς σωφροσύνας, ἀλλ᾽ ἐς τὰν οἰκονομίαν τῶ οἴκω. ἀρέσκειν δὲ τῷ αὐτᾶς ἀνδρὶ ἐπιτελέας ποιεῦσαν τὰς ἐκείνω θελήσιας. αἱ γὰρ τῶ ἀνδρὸς θελήσιες, νόμος ὀφείλει ἄγραφος ἦμεν κοσμίᾳ γυναικὶ, ποτ᾽ ὃν χρὴ βιῶν αὐτάν. νομίζειν δὲ προῖκα ποτενηνέχθαι ἅμα αὐτᾷ καλλίσταν καὶ μεγίσταν τὰν εὐταξίαν. πιστεύειν γὰρ χρὴ τῷ τᾶς ψυχᾶς κάλλει τε καὶ πλούτῳ μᾶλλον ἢ τῷ τᾶς ὄψιος καὶ τῶν χρημάτων. τὰ μὲν γὰρ φθόνος καὶ νόσος παραιρεῖται. τὰ δὲ, μέχρι θανάτω πάρεστι ἐντεταγμένα.

Μυῖα Φυλλίδι χαίρειν.

Γενομένᾳ τοι ματρὶ παίδων, τάδε παραινέω. τιθήναν μὲν ἐκλέξασθαι τὰν ἐπιτηδειοτάταν καὶ καθάρειον. ἔτι δὲ καὶ αἰδήμονα καὶ μὴ ὕπνῳ προσοικειουμέναν, μηδὲ μὰν μέθᾳ. ἁ τοιάδε γὰρ ἂν κρίνοιτο κρατίστα ποτὶ ἐκτροφὰν ἐλευθέρως παίδας. ἐάν γε δὴ γάλα τρόφιμον ἔχῃ καὶ μὴ τῷ περὶ ἄνδρα κοίταις εὐνικατὸς πέλῃ. μεγάλα γὰρ μερὶς ἐν τῷδε καὶ πρώτα καὶ προκαταρκτικωτάτα ἐς ὅλαν τὰν βιοτὰν πέλει ἐν τᾷ τροφοίσᾳ ποτὶ τὰν καλὰν τραφῆμεν. ποιήσει γὰρ πάντα καλὰ ἐν τῷ ποτὶ οἰκον καιρῷ. τὸν τιτθόν τε καὶ μαζὸν καὶ τροφὰν διδῶσα, μὴ κατ᾽ ἐνθύμιον, ἀλλὰ μετά τινος προνοίας. οὕτω γὰρ ἐς ὑγίειαν ἄξει τὸ βρέφος. μὴ ὅτε αὐτὰ θέλῃ καθεύδειν νικῆται, ἀλλ᾽ ὁπόταν τὸ νεογνὸν ἀναπαύσιος ἔρον ἔχει. ἡ μικρὸν γὰρ ἄκος τῷ παιδὶ προσοίσει. ἔστω δὲ μήτ᾽ ὀργίλα πιθανὰ μήτε προγλώσσος μήτ᾽ ἐν τῇ τῶν σιτίων λήψει ἀδιάφορος, ἀλλὰ τεταγμένα καὶ σώφρων.

aliæ ſibi fuga ſalutem quæſiuerunt, nonnullæ verò è vita diſceſſerunt, manúque ſibimetipſis mortem attulerunt. Ita in poſterum Dominæ ſolitudo lugentis domeſticam imprudentiam ac temeritatem, ad deſertam quandam atque deſperatam pœnitudinem recidit. Sed ô amica, fac vt imiteris organa quæ remiſſa nimium ſonum reddunt, intenta verò vehementiùs diſrumpuntur. Nam eodem omnino modo res cum ancillis habet. Nimia remiſſio diſſonantiam efficit obediendi. Intentio verò neceſſitatis, diſſolutionem naturæ. Et in eo cogitandum eſt. μέτρον δ᾽ ἐπὶ πᾶσιν ἄριστον: Modus in omnibus rebus eſt optimus.

Meliſſa Clareta ſalutem.

TVa ſponte videris mihi virtutis copia abundare. Nam quòd ſummopere cupis aliquid de muliebri decoro audire, id verò bonam ſpem præbet, te velle cum virtute ſeneſcere. Oportet igitur modeſtam & liberam, viro legitimo modeſtè ornatam eſſe, non magnificè, & veſtitum quidem candidum, mundum ac tenuem, non autem ſplendidum ac ſuperfluum geſtare. Nam reiiciẽdæ ſunt illæ pellucidæ totæ & purpureæ, & auro intertextæ veſtes, quoniam hæ lupas & ſcorta decent, vt quàm plurimos pelliciant atque capiant. Eius verò mulieris, quæ vni marito placere debet ornatus in moribus ac induſtria poſitus eſt, non in ſtolis. Decorũ eſt.n. & pulchrũ liberã vni marito placere, nõ quibuſuis obuiis. In vultu autem pudorem ruboréinque poſſis ſignum verecundiæ loco fuci adhibere. Probitatem verò, modeſtiam, & ingenuitatẽ, pro auro atque ſmaragdo. Non enim in veſtium magnificentia pulchritudinis amantem eſſe oportet, quæ ſtudet modeſtiæ: ſed in domus reique familiaris adminiſtratione, & mariti fauorem eius voluntati morem gerendo, conciliare. Voluntas enim mariti, pro lege non ſcripta debet eſſe honeſtæ mulieri, ad quam ei vita eſt exihenda, putandúmque ſe dotem aliquando ſecum pulcherrimam & ampliſſimam attuliſſe obedientiam & integritatem. Magis enim animi pulchritudini atque opibus, quã formæ pecuniarúmque credendum eſt. Hæc enim inuidia morbóque eripiuntur. Illa verò vſque ad ſupremum diem inſita permanent ac præſtò ſunt.

Myia Phyllidi ſalutem.

CVm mater liberorum facta ſis, hæc te moneo, vt nutricem deligas aptiſſimam atque mundã præterea verecundam & ſomno non deditam, neq; temulentiæ. Talis enim optima ac præſtantiſſima iudicatur, ad pueros ingenuè & liberaliter educandos, ſi lac ad alendum idoneum habeat, & vt cum viro concumbat impelli nullo modo poſſit. Magna enim pars in hoc & prima & euidentiſſima ad totam vitam poſita eſt in nutrice, præter rectam nutritionem. Faciet enim omnia ſuo & opportuno tẽpore, vt pupillam mammámque & nutrimentum non temerè cùm in mentem venit, præbeat: ſed cũ cura & prudentia. Sic enim valetudinem infantis confirmabit, vt non illi collibitum eſt ſomnum capiat, ſed cùm infantem quieſcendi deſiderium inceſſit. Nõ enim exiguam puero ſanitatem adferet. Neque verò iracunda ſit nutrix, neque balba, neque in ſumendo cibo nullam rationem aut diſcrimen adhibens, ſed compoſita & moderata.

Item

Item ex potentibus non Barbara ſed Græca. Optimom verò, ſi probè lacte impletus infans, ad ſomnum conuertatur. Iucunda eſt enim iunioribus remiſſio, & eiuſmodi cibi facilis concoctio. Quod ſi alius etiā dandus eſt, is ſit ſimpliciſſimus. Vino autem prorſus abſtinendum eſt, quoniam fortiorem vim habet, aut quòd rarò admittat temperaturam crepuſculum lacteum. Balnea verò non ſunt continuanda. Nam rarorum, eorúmque bene paratorum vſus melior eſt. In ipſis verò ſit aër idoneus ex frigoris & caloris iuſta proportione conſtans & habitatio, neque nimium flatibus obuia, neque nimium tecta. Sed & aqua neque dura neque mollis. Et ſtrata non aſpera, ſed quæ concinnè ſint ad corpus apta. In omnibus enim his ſuam quandam vim natura requirit, non magnificentiam. Hæc igitur in præſentia non ab re fuit tibi præſcribere ſpei nutritiones, quippe ad præeuntis arbitrium accommodatas. Deo verò iuuante de pueri educatione, quas poterimus etiam aliquando proprias adferemus admonitiones.

FINIS.

δ᾽ ὠναμ ἔστω μὴ βάρβαρος, ἀλλ᾽ ἑλληνίς. ἄριστον δ᾽ αἴκα καὶ τῷ γάλακτος χρησῶς πεπληρωμένον τὸ νεογνὸν, ὅπως ἐς ὕπνον τράπηται. ἁδεῖα γὰρ νέοις αὕτα καὶ εὐκατέργαστος ἁ τοιάδε σίτασις. αἰ δέ κα χρείη ἄλλας δίδομεν χρῆ, ἁπλουστάταν. οἴνω δὲ τὸ παράπαν ἀπέχεσθαι τὰν δύναμιν ἰσχυρὰν ἔχοντα, ἢ ὀλιγάκις μετριοδιδόμενον τῇ κρᾶσι δεῖλον γαλακτώδης. τὰ δὲ λουτρὰ μὴ ποιεῖν συνεχῆ. ἃ γὰρ τῶν σπανίων καὶ εὐκράτων χρήσις, ἀμείνων. παρέχεται δὲ καὶ ἀὴρ ἐπιτάδειος θάλπεος καὶ ῥίγεος ἔχων τὰν συμμετρίαν. καὶ οἴκησις δὲ μήτε ἄγαν ἐκπνευματουμένα μήτε ἄγαν καταστεγής. οὐ μὰν, ἀλλὰ καὶ ὕδωρ μήτε σκληρὸν μήτε μαλακὸν, καὶ στρώματα δὲ οὐ τραχέα, ἀλλὰ θεραπευτικὰ τοῦ χρωτὸς εὐαρμόστως. ἐν πᾶσι γὰρ τούτοις τὸ οἰκεῖον ἁ φύσις ἐπιποθεῖ, ἀλλ᾽ οὐ τὸ πολυτελές. ταῦτα μὲν ὦν ἐπὶ τῷ παρέοντος οὐκ ἀχρεῖον ὑπογράψαι τᾶς ἐλπίδος ἐχόμενα τὰς κατὰ τὰν ὑφαγεμόνα γενομένας. θεοῦ δὲ συλλαμβάνοντος ὕστερον τᾶς ἀγωγᾶς τῶ παιδὸς αὖθις, τὰς ἐνδεχομένας καὶ ποτὶ οἰκείας κομιοῦμες ὑπομνάσιας. Τέλος.

ΑΛΚΙΦΡΟΝΟΣ ΕΠΙΣΤΟΛΑΙ ΑΛΙΕΥΤΙΚΑΙ ΚΑΙ ΕΤΑΙΡΙΚΑΙ.

ALCIPHRONIS EPISTOLAE PISCATORIÆ ET AMATORIÆ.

Eudius Philoſcapho.

Opportunè nobis hodierno die mare tranquillitatem ſtrauit. Nam ad hũc vſque tertium diem iam procellæ tenuerunt & vehementi impetu ſe in pelagus ex promõtoriis venti immiſerunt, atq; inhorruit põtus caligine perfuſus, vnda verò ſpumas proferre, & vbiq; per mare ſibi mutuò fluctus infringi. Partim enim ſcopulis illidere, partim intus tumeſcere ac frangi, prorſus nihil eſſe quietum aut pacatum. atque depræhenſis in litore fragmentis quæ antea nautæ de quercubus deſecta reliquerant, exigua tegumenta fabricauimus & ex his igni incenſo, frigoris aſperitatem deuitauimus. Hic verò quartus nos quaſi Alcedonius excipiens vt opinor, poteſt enim ex puritate ſerenitatis coniectura ſumi, cumulo diuitias bonorum oſtendit ſimulac enim ſol viſus eſt & primos radius in pelagus illuxit, nauigium prius in ſtationem abſtractum ſummo ſtudio deduximus. Poſt impoſitis retibus operibus eramus intenti. Paulùm verò à litore progreſſi laxauimus, proh lætum aſpectum, quantum piſcem extraximus. Non multum etiā aberat, quin ſaxas, rete demerſum in mari & extentum rumperent. Mox itaque obſonatores præſtò erãt, qui multitudinem in humeros tollerent, & vtrinque ſportas implerent, numeratáque pro iis pecunia ad vrbẽ à mari deportarẽt. His nos omnibus ſuffecimus

Εὔδιος φιλοσκάφῳ.

Χρηστὴν ἡμῖν ἡ θάλασσα τήμερον ἐπὶ τῆς γαλήνης ἐστόρεσεν. ὡς γὰρ τρίτην ταύτην εἶχεν ὁ χειμὼν ἡμέραν, καὶ λάβροι κατὰ τοῦ πελάγους ἐπέπνεον, ἐκ τῶν ἀκρωτηρίων οἱ βορέαι, καὶ ἐπεφρίκει μὲν ὁ πόντος μελανούμενος, τοῦ ὕδατος δὲ ἀφρὸς ἐξηνθήκει, πανταχοῦ τῆς θαλάσσης ἐπ᾽ ἀλλήλων ἐπικλωμένων τῶν κυμάτων, τὰ μὲν γὰρ ταῖς πέτραις προσηράσσετο, τὰ δ᾽ εἴσω κοιλαινόμενα ἐρρήγνυντο, ἀεργία παντελὴς ἦν. καὶ τὰ ἐπὶ τῆς ἠιόνος καταλαβόντες καλύβια ὀλίγα ξυλισάμενοι κομμάτια, ὅσα οἱ ναυπηγοὶ πρώην ἐκ τῶν δρυῶν ἐξέτεμον, ἀπέλιπον, ἐκ τούτων πῦρ ἀνάψαντες τὸ πικρὸν τοῦ κρυμοῦ παρεμυθούμεθα. τετάρτη δ᾽ αὕτη ἐπιλαβοῦσα ἡμᾶς ἀλκυονὶς ὡς οἶμαι ἡμέρα. ἔστι γὰρ τοῦτο τῷ καθαρῷ τῆς αἰθρίας τεκμαίρεσθαι, πλοῦτον ἀθρόον ἀγαθῶν ἔδειξεν. ὡς γὰρ ὤφθη μὲν ὁ ἥλιος, πρώτη δ᾽ ἀκτὶς εἰς τὸ πέλαγος ἀπέσκηψε, τὸ πορθμεῖον πολλῷ χρόνῳ σκαφίδιον, ἀνασυρόμενον. εἶτ᾽ ἐνθέμενοι τὰ δίκτυα ἔξω εἰχόμεθα. μικρὸν δ᾽ ἄποθεν τῆς ἀκτῆς χαλάσαντες, εὖ τῆς εὐτυχίας, ὅσον ἰχθύων ἐξειλκύσαμεν. μικροῦ καὶ τοὺς φελλοὺς εἰς βυθὸν κατασύρειν ἐφ᾽ ἁλιεύοντες τὸ δίκτυον ἐξογκούμενον. εὐθὺς οὖν ὀψῶναι πλησίον καὶ τὰς ἀγέλας ἐπωμίους ἀνελόμενοι, καὶ τὰς ἑκατέρωθεν ἀνειδίας ἐξαρτήσαντες καὶ ὑπὲρ αὐτῶν καταβαλόντες ἀργύριον, ἄστυ δ᾽ ἐκ Φαλήρου ἐπείγοντο. πᾶσι δὲ τούτοις ἠρκέσαμεν ἡμεῖς

καὶ πρὸς τούτοις ἀπηνεγκάμεθα γαμεταῖς καὶ παιδίοις ὄψον οὐκ ὀλίγον ἔχειν τῶν λεπτομερῶν ἰχθύων, οὐκ εἰς μίαν, ἀλλ' εἰ χειμὼν ἐπιλάβοιτο, καὶ εἰς πλείους ἡμέρας ἐμφορῆσαι.

Γαληνὸς Κύρτωνι.

Μάτην ἡμῖν πάντα πονεῖται ὦ κύρτων. δι' ἡμέρας μὲν ὑπὸ τῆς αἴθρης φλεγομένοις. νύκτωρ δὲ ὑπὸ λαμπάσι τὸν βυθὸν ἀποξύουσι. καὶ τὸ λεγόμενον δὴ τοῦτο εἰς Δαναΐδων τοὺς ἀμφορέας ἐκχέομεν πίθους. οὕτως ἄπρακτα καὶ ἀνήνυτα μοχθοῦμεν. ἡμῖν μὲν γὰρ οὐδὲ ἀκαλήφης ἔστιν ἢ πελωρίδος ἐμπλῆσαι τὴν γαστέρα. ὁ δεσπότης δὲ συλλέγει καὶ τοὺς ἰχθύας καὶ τὰ κέρματα. οὐκ ἀπόχρη δὲ αὐτῷ τοσαῦτα ἔχειν παρ' ἡμῶν, ὁ δὲ διερευνᾶται καὶ τὸ σκαφίδιον συνεχῶς. καὶ πρώην ὅτ' ἐκ Μουνυχίας ἐπέμψαμεν αὐτῷ κομιοῦντα τὸ ὀψώνιον Ἕρμωνα τουτονὶ τὸν μειρακίσκον, σπόγγους ἡμῖν ἐπέταττε καὶ τὰ ἐκ τῆς θαλάσσης ἔρια ἃ φύεται ἐπιεικῶς ἐν Εὐρυνόμης εἰς Λῆμνον. ἕως θ' ὁ μὲν οὔπω ταῦτα προσέταττε καὶ ὁ Ἕρμων. ἀφεὶς τὸ φορτίον αὐτοῖς ἰχθύσιν, ἀφεὶς δὲ καὶ ἡμᾶς αὐτῷ τῷ σκάφει ᾤχετο ἐπὶ Λέσβον, κωπήρης Ῥοδίοις τισὶ βαλαντιουργοῖς ἀναμιχθείς. καὶ ὁ μὲν δεσπότης οἰκέτην. ἡμεῖς δὲ συνεργὸν ἀγαθὸν ἐπενθήσαμεν.

Γλαῦκος Γαλατείᾳ.

Χρηστὸν ἡ γῆ καὶ ἡ βῶλος ἀκίνδυνον. οὐ μάτην γοῦν Ἀθηναῖοι ταύτην ὀνομάζουσιν ἀνησιδώραν, ἐπειδὴ ἀνίησι δῶρα δι' ὧν ἐπὶ ζῆν καὶ σώζεσθαι. χαλεπὸν ἡ θάλαττα καὶ ἡ ναυτιλία ῥιψοκίνδυνον. ὀρθῶς ἐγὼ τοῦτο κρίνω πείρᾳ καὶ διδασκαλίᾳ μαθών. ποτὲ γὰρ ὄψον ἀποδόσθαι βουληθεὶς ἤκουσα ἑνὸς τῶν ἐν τῇ ποικίλῃ διατριβόντων ἀνυποδήτων καὶ ἐνωχρώτος, στιχίδιον ἀποφθεγγομένου τὴν ἀπόνοιαν τῶν πλεόντων ὀνειδίζοντος, ἔλεγε γὰρ ἄρα τοῦτό τινος εἶναι σοφοῦ τὰ μετέωρα. καὶ ἦν ὅσον ἀπομνημονεύοντα οὐχ ὅλον εἰπεῖν ὧδε εἰρημένον. ὀλίγον δὲ διὰ ξύλον αὐδ' ἐρύκει. τί οὖν ὦ γύναι οὐ σωφρονοῦμεν καὶ ὀψὲ τοῦ καιροῦ, φεύγομεν τὴν πρὸς τὸν θάνατον γειτνίασιν. καὶ ταῦτα ἐπὶ παιδίοις ζῶντες. οἷς εἰ καὶ μηδὲν μέγα παρέχειν δι' ἀχρηματίαν ἔχομεν, τὰ δὲ ἕξομεν καὶ χαριούμεθα, τὸ τὰς τρικυμίας καὶ τοὺς ἐκ βυθοῦ κινδύνους ἀγνοῆσαι. γεωργίᾳ δὲ συντραφῆναι, καὶ τὸν ἀσφαλῆ καὶ ἀδεᾶ βίον ἀσπάσασθαι.

Κύμωθος Τριτωνίδι.

Ὅσον ἡ θάλαττα τῆς γῆς διαλλάττει, τοσοῦτον καὶ οἱ ταύτης ἡμεῖς ἐργάται τῶν κατὰ πόλεις ἢ κώμας οἰκούντων διαφερόμεθα. οἱ μὲν γὰρ ἢ μέχρι τοῦ ἄστεος πολῖται τὰ δημοτικὰ διαπράττονται, ἢ γεωργίᾳ προσέχοντες τὴν ἐκ τῶν βώλων πρὸς διατροφὴν ἀναμένουσιν ἐπικαρπίαν. ἡμῖν δὲ οἷς βίος ἐν ὕδατι, θάνατος ἡ γῆ καθάπερ τοῖς ἰχθύσιν ἥκιστα δυναμένοις ἀναπνεῖν τὸν ἀέρα. τί δὴ οὖν παθοῦσα ὦ γύναι τὴν ἀκτὴν ἀπολιποῦσα καὶ τὰ νήματα τοῦ λίνου, ἄστυδε θαμίζεις, ὠσχοφόρια καὶ Λήναια τῶν πλουσίων Ἀθηναίων συνεορτάζουσα. οὐκ ἔστι τοῦτο σωφρονεῖν οὐδὲ ἀγαθὰ διανοεῖσθαι. οὐχ οὕτω δέ σε ὁ πατὴρ ἐκ τῆς Αἰγίνης, ἔνθα ἐτέχθης καὶ ἐτράφης, συνεῖναι μυεῖσθαι ὑπ' ἐμοὶ γάμῳ παρέδωκεν. εἰ τὴν πόλιν ἀσπάζῃ, χαῖρε.

& præterea coniugibus ac liberis non paruam turbam piſcium exiguorum attulimus, non quibus ad vnum, ſed ſi tempeſtas ingrueret, etiam complures dies veſcentur.

Galenus Cyrtoni.

Fruſtrà nobis omnis opera conſumitur ô Cyrto, qui interdiu procellis vrimur noctu cũ facibus, profundum vertimus. Hoc nimirum eſt quod dicitur. In Danaidarum amphoras effundimus cados. Sic in vanum & irritum labor noſter cadit. Nobis ne Acalephe quidem aut Pelotide ventrem implere datur. Dominus colligit & piſces & pecuniam. Neque verò ſufficit ei, quod tantum à nobis habet, niſi cymbam etiam continenter perueſtiget. Et antea cùm huic ad eum adoleſcentulum mitteremus Hermonem ex Munychia qui ferret obſonium, ſpongias nobis imperauit & marinas lanas, quę naſcuntur abundè in Eurynones, in Lemnum. Itaq; is nondum hæc repetit, & Hermon onere relicto cum ipſis piſcibus, & nobis cum nauigio diſceſſit in Leſbum remex factus & quibuſdam Rhodienſibus ſaccularijs permixtus. Atq; dominus ſeruum, nos autem fidelem operum laborúmque ſocium luximus.

Glaucus Galateæ.

Bona eſt terra, & gleba extra periculum conſtituta eſt. Proinde non malè vocarunt eam Athenienſes Ἀνησιδώραν quòd dona ex ſe proferat ac mittat, quibus ad vitam ſalutémque tuendam vtimur. Graue rurſus eſt mare, & nauigatio periculis omnibus expoſita eſt. Rectè quidem ego iudicium hoc fero, qui experiundo, diſcendóque cognouerim. Etenim cùm aliquando piſces vendere inſtituiſſem, audiui quendam ex his qui in Pœcile verſantur, diſcalceatis, & lurido colore præditum qui carmen recitabat, quo nauigantium deſperatio decantabatur. Dicebat enim hoc eſſe cuiuſdam in Meteororum diſciplina peritiſſimi. Et hoc modo, quippe quaſi in memoriam redigens tantum non totum proferebat, dictum habuit.

ὀλίγον διὰ δὲ ξύλον αὐδ' ἐρύκει.

Ligno exiguo demiſsum ad orcum.

Quid igitur ô coniux non ſapienter agimus, & ſerò tandem mortis vicinitatem fugimus, idque cum liberis ſuperſtites, quibus, quanquam ob inopiam & paupertatem nihil magni præſtare poſſumus, tamẽ illud poterimus & largiemur, vt procellas & è profundo ſolita venire pericula ignorent, & in agricolatione educentur, atque ſecuram, & metu carentem vitam amplectantur.

Cymothus Tritonidi.

Quantùm mare differt à tellure, tantùm etiam nos qui hoc opus facimus, ab iis qui in vrbibus ac pagis habitant, diſiuncti ſumus. Nam hi vel intra portas ſe cõtinentes, Rempublicã adminiſtrant, vel agris colendis dediti, fertilitatem è gleba ad vitæ ſuſtentationem expectant. Nobis autem, quibus in aqua vita eſt, mors eſt terra, quemadmodum piſcibus, qui minimè poſſunt aerem reſpirare. Quid igitur paſſa es ô coniux quòd relicto litore & lini ſtaminib. vrbẽ frequẽtas & Palladica Bacchinaliáq; cũ opulentis Athenienſium fœminis celebras. Non eſt hoc ſapere, neq; bene aut rectè ſentire. Non ita te pater ex Ægina, vbi naſci te, & educari contigit, vt ſacra obires, meæ poteſtati coniugio tradidit. Si vrbem amas, Vale,

& à vito diſcede. Sin te marina delectant, reuertere meliorem partem ſecuta: longaque tibi obliuio fallacium in vrbe ſpectaculorum veniat.

Naubates Rhodio.

TE ſolùm diuitiis affluere putas, quòd eos qui mihi ſuam in captando operam locarunt, inleſcatos ad teipſum traducis abundantia mercedis & meritò. Tibi naque iactus antea monetas auri Darici tulit, Salaminenſis pretij fortaſſe reliquias, ſubmerſæ opinor Perſicæ nauis cum hominibus vna & pecuniis, cùm in maioribus noſtris Themiſtocles, Neocle ſatus magnum contra Medos Trophæum ſtatueret. At ego neceſſariarum rerum affluentia contentus ſum, quas labore quotidiano, manibus comparo. At ſi diteſcis, fac vt iure diteſcas, & diuitiis non ad malitiam, ſed ad probitatem quaſi miniſtris vtare.

Panope Euthybulo.

Ἠ Βουλόμην μὲν ὑπὸ δακρύων ἑταίρας τρέφεσθαι οἰκίαν. λαμπρῶς γὰρ ἂν ἔπραττον ἀφθόνων τούτων ἀπολαύουσα παρὰ σοῦ. νῦν δὲ δεῖ χρυσίου ἡμῖν· ἱματίων. κόσμου. θεραπαινίδων· ἡ τοῦ βίου διοίκησις ἅπασα ἐντεῦθεν. οὐκ ἔστιν ἐν μυῤῥινοῦντι τὸ πατρῷόν μοι κτημάτιον, οὐδ᾽ ἐν τοῖς ἀργυρείοις ἐμοὶ μέταλλον, ἀλλὰ μισθωμάτια καὶ αἱ δυστυχεῖς αὗται καὶ κατεστεναγμέναι τῶν ἀνοήτων ἐραστῶν χάριτες. σοὶ δὲ ἐνιαυτὸν ἐντυγχάνουσα ἀδημονῶ· καὶ αὐχμηρὰν μὲν ἔχω τὴν κεφαλὴν μηδὲ ἰδοῦσα τὸν χρόνον τοῦτον μύρον· τὰ δὲ ἀρχαῖα καὶ τρίχινα περιβαλλομένη ταραντινίδια αἰσχύνομαι τὰς φίλας. οὕτως ἀγαθόν τί μοι γένοιτο· εἶτα οἴει μέ σοι παρακαθημένην πόθεν ζήσειν; ἀλλὰ δακρύεις; πεπαύσῃ μετὰ μικρόν· ἐγὼ δὲ ἂν μή τις ὁ διδοὺς ᾖ, πεινήσω τὸ καλόν. θαυμάζω δέ σου καὶ τὰ δάκρυα ὡς ἔστιν ἀπίθανα. ὦ δέσποινα ἀφροδίτη. φιλεῖς ἄνθρωπε φὴς, καὶ βούλει σοι τὴν ἐρωμένην διαλέγεσθαι· ζῆν γὰρ χωρὶς ἐκείνης μὴ δύνασθαι. τί οὖν οὐ ποτήρια ἐστὶν ἐπὶ τῆς οἰκίας ὑμῶν, μὴ χρυσία τῆς μητρὸς, μὴ δάνεια τοῦ πατρὸς κομιοῦμεν· μακαρία Φιλῶτις, τοῖς εὐμενεστέροις ὄμμασιν εἶδον ἐκείνην αἱ χάριτες, οἷον ἐραστὴν ἔχει Μενεκλείδην, ὃς καθ᾽ ἡμέραν δίδωσί τι· ἄμεινον γὰρ ἢ κλάειν· ἐγὼ δὲ ἡ τάλαινα θρηνῳδὸν οὐκ ἐραστὴν ἔχω. στεφάνιά μοι καὶ ῥόδα ὥσπερ ἀώρῳ τάφῳ πέμπει. καὶ κλάειν δι᾽ ὅλης φησὶ τῆς νυκτός. ἐὰν φέρῃς τι ἧκε μὴ κλάων, εἰ δὲ μή, σὺ σαυτὸν οὐχ ἡμᾶς ἀνιάσεις.

Μυῤῥίνη Νικίππῃ.

ΟΥ προσέχει μοι τὸν νοῦν ὁ Δίφιλος, ἀλλ᾽ ὅλος ἐπὶ τὴν ἀκάθαρτον Θεττάλην νένευκε, καὶ μέχρι μὲν τῶν ἀδωνίων καὶ ἐπίκωμος ποτὲ πρὸς ἡμᾶς καὶ κοιμησόμενος ἐφοίτα· ἤδη μέντοι ὡς ἄν τις ἀκκιζόμενος καὶ ἐρώμενον ἑαυτὸν ποιῶν καὶ τά γε πλεῖστα ὑπὸ τοῦ ἕλικος ὁπότε μεθυσθείη ὁδηγούμενος. ἐκεῖνος γὰρ τῆς ἑρπυλλίδος ἐρῶν τὴν παρ᾽ ἡμῖν ἠγάπα σχολήν. νῦν μέντοι δῆλός ἐστι μηδ᾽ ὅλως ἡμῖν ἐντευξόμενος. τέσσαρας γὰρ ἐξῆς ἡμέρας ἐν τῷ λυσίδος κήπῳ μετὰ Θεττάλης καὶ τοῦ κακῶς ἀπολουμένου στρογγυλίωνος, ὃς ταύτην αὐτῷ προεμνηστεύσατο τὴν ἐρωμένην ἐμοί τι προσκρούσας, κραιπαλᾷ. γραμματίδια μὲν οὖν καὶ θεραπαινιδίων διαδρομαὶ καὶ ὅσα τοιαῦτα μάτην ἀνήνυσται καὶ οὐδὲν ἐξ αὐτῶν ὄφελος· δοκεῖ δέ μοι μᾶλλον ὑπὸ τούτων τετυφῶσθαι καὶ ὑπερηφανεῖν ἡμῖν. λοιπὸν οὖν ἀποκλείειν. κἂν ἔλθῃ ποτὲ πρὸς ἡμᾶς κοιμηθησόμενος εἰ δὴ κνίσαι ποτὲ ἐκείνην βουληθείη διασοίσεσθαι. εἴωθε γὰρ ἡ βαρύτης τῇ ἀμελείᾳ καταβάλλεσθαι. ἐὰν δὲ μηδ᾽ οὕτως ἀνύσωμεν, θερμοτέρου τινὸς ἡμῖν ὥσπερ τοῖς σφόδρα κάμνουσι φαρμάκου δεῖ· δεινὸν γὰρ οὐ τοῦτο μόνον εἰ τῶν παρ᾽ αὐτοῦ μισθωμάτων στερησόμεθα, ἀλλ᾽ εἰ Θεττάλῃ γέλωτα παρέξομεν. ἔστι σοι πειραθὲν ὡς φὴς πολλάκις ἐφ᾽ ἡλικίας φίλτρον· τοιούτου τινὸς βοηθήματος δεόμεθα, ὃ τὸν πολὺν αὐτοῦ τῦφον ἀλλ᾽ οὖν καὶ τὴν κραιπάλην ἐκκορήσει.

ἐπικηρυκευσόμεθα δὲ αὐτῷ καὶ δακρύσομεν πιθανῶς, καὶ τὴν νέμεσιν δεῖν αὐτὸν ὁρᾶν εἰ οὕτως ἐμὲ περιόψεται ἐρῶσαν αὐτοῦ, καὶ τοιαῦτα ἄλλα ἐροῦμεν καὶ πλασόμεθα. ἥξει γὰρ ὡς ἐλεῶν δή που με κειμένην ἐπ' αὐτῷ. μεμνῆσθαι γὰρ τοῦ παρεληλυθότος χρόνου καὶ τῆς συνηθείας ἔχειν καλῶς ἐρεῖ, φυσῶν ἑαυτὸν ὁ λάσταυρος. συλλήψεται δὲ ἡμῖν καὶ ὁ Ἕλιξ. ἐπ' ἐκεῖνον γὰρ ἡ Ἑρπυλλὶς ἀποδύσεται. ἀλλ' ἀμφιβάλλειν εἴωθε τὰ φίλτρα καὶ ἀποσκήπτειν εἰς ὄλεθρον, βραχύ μοι μέλει. δεῖ γὰρ αὐτὸν ἢ ἐμοὶ ζῆν ἢ τεθνάναι Θετταλῇ.

Μενεκλείδης Εὐθυκλεῖ.

Οἴχεται Βακχὶς ἡ καλὴ, Εὐθύκλεις φίλτατε, οἴχεται. πολλά τέ μοι καταλιποῦσα δάκρυα καὶ ἔρωτος ὅσον ἡδίστου τὸ τέλος οὐ πονηροῦ μνήμην. οὐ γὰρ ἐκλήσομαί ποτε Βακχίδος. οὐχ οὕτως ἔσται χρόνος. ὅσην συμπάθειαν ἐνεδείξατο. ἀπολογίαν ἐκείνην καλῶν οὐκ ἄν τις ἁμαρτάνοι τοῦ τῶν ἑταιρῶν βίου. καὶ εἰ συνελθοῦσαι ἅπασαι πανταχόθεν εἰκόνα τινὰ αὐτῆς ἐν Ἀφροδίτης ἢ Χαρίτων θεῖεν, δεξιὸν ἔργον μοι ποιῆσαι δοκοῦσιν. τὸ γὰρ θρυλλούμενον ὑπὸ πάντων, ὡς πονηραί, ὡς ἄπιστοι, ὡς πρὸς τὸ λυσιτελὲς βλέπουσαι μόνον, ὡς ἀεὶ τοῦ διδόντος, ὡς τίνος γὰρ οὐκ αἴτιαι κακοῦ τοῖς ἐντυγχάνουσι, διαβολὴν ἐπέδειξεν ἀφ' ἑαυτῆς ἄδικον. οὕτω πρὸς τὴν κοινὴν βλασφημίαν τῷ ἤθει παρετάξατο. οἶσθα τὸν Μήδειον ἐκεῖνον τὸν ἀπὸ τῆς Συρίας δεῦρο καταίροντα μεθ' ὅσης θεραπείας καὶ παρασκευῆς ἐσόβει· εὐνούχους ὑπισχνούμενος καὶ θεραπαίνας καὶ κόσμον τινὰ βαρβαρικόν· ἢ ὅμως ἄκουσα αὐτὸν οὐ προσίετο, ἀλλ' ὑπὸ τοὐμὸν ἠγάπα κοιμωμένη χλανίσκιον τὸ λιτὸν τοῦτο καὶ δημοτικόν. καὶ τοῖς παρ' ἡμῶν γλίσχρως αὐτῇ πεμπομένοις ἐπανέχουσα, τὰς σατραπικὰς ἐκείνας καὶ πολυχρύσους δωρεὰς διωθεῖτο. τί δὲ τὸν Αἰγύπτιον ἔμπορον ὡς ἀπεσκοράκισεν ὅσον ἀργυρίου προτείνοντα· οὐδὲν ἐκείνης ἄμεινον οὐκ οἶδα ὅτι γένοιτ' ἄν. ὡς χρηστὸν ἦθος οὐκ εἰς εὐδαίμονα βίου προαίρεσιν δαίμων τις ὑπήνεγκεν· εἶτ' οἴχεται ἡμᾶς ἀπολιποῦσα καὶ κείσεται λοιπὸν μόνη ἡ Βακχὶς ὡς ἄδικοι αἱ φίλαι μοῖραι. ἔδει γὰρ αὐτῇ συγκατακεῖσθαί με καὶ νῦν ὡς τότε. ἀλλ' ἐγὼ μὲν περίειμι καὶ τροφῆς ψαύω, καὶ διαλέξομαι τοῖς ἑταίροις· ἡ δὲ, οὐκέτι με φαιδροῖς τοῖς ὄμμασιν ὄψεται μειδιῶσα. οὐδὲ ἵλεως καὶ εὐμενὴς διανυκτερεύσει τοῖς ἡδίστοις ἐκείνοις κολάσμασιν. ἀρτίως μὲν οἷον ἐφθέγγετο οἷον ἔβλεπεν· ὅσαι ταῖς ὁμιλίαις αὐτῆς σειρῆνες ἐνίδρυντο, ὡς δὲ ἡδύ τι καὶ ἀκήρατον ἀπὸ τῶν φιλημάτων νέκταρ ἔσταζεν. ἐπ' ἄκροις μοι δοκεῖ τοῖς χείλεσιν αὐτῆς ἐκάθητο ἡ πειθώ. ἅπαντα ἐκείνη γε τὸν κεστὸν ὑπεζώσατο. ὅλαις ταῖς Χάρισι τὴν Ἀφροδίτην δεξιωσαμένη. ἔρρει τὰ παρὰ τὰς πόσεις μινυρίσματα. καὶ ἡ τοῖς ἐλεφαντίνοις δακτύλοις κρουομένη λύρα ἔρρει. κεῖται δὲ ἡ πάσαις μέλλουσα χάρισι κωφὴ λίθος. καὶ σποδὸς καὶ Μεγάρα μὲν ἡ ἀπότροπος ζῇ οὕτω Θεαγένην συλήσασα ἀπηνῶς, ὡς ἐκ πάνυ λαμπρᾶς οὐσίας τὸν ἄθλιον χλαμύδιον ἁρπάσαντα καὶ πέλτην οἴχεσθαι στρατευσόμενον. Βακχὶς δὲ ἡ τὸν ἐραστὴν φιλοῦσα ἀπέθανε· ῥᾷον

Denunciabimus autem ei & lugebimus ad veritatem aptiſſimè, & vltionē oportere eū videre, ſi me ſic negliget ſui amantem, aliáque id genus dicemus atque fingemus. Veniet nimirum adductus miſericordia, quæ tátopere eū depeream. Meminiſſe enim præteriti temporis & conſuetudinis, æquū & honeſtum eſſe dicet inflans ſeipſum Laſtaurus. Accommodabit etiā ſuā operā nobis Elix. Ad illum enim Herpyllis ibit. At ſolēt includere Philtra & cõncere in interitum. Id parùm curo. Oportet enim eum aut mihi viuere, aut Thettalæ mori.

Meneclides Euthycli.

DIſceſſit Bacchys formoſa Euthycles amiciſſime, diſceſſit relictis mihi innumerabilibus lacrymis & amoris ſuauiſſimi fine, non mali memoria. Nunquam enim me Bacchidis capiet obliuio. Non veniet illud tempus. Quantū dolorē oſtendit. Defenſionem illam vitæ meretricum ſi quis appellet non aberrauerit. Et ſi conuenientes ex omnibus terrarum partibus vniuerſæ, ſtatuam quandam ei in Veneris, aut Gratiarum templo erigāt, dextrū quoddam & iuſtum facinus mihi facere videntur. Etenim quod vulgò iactatur, malitioſas eſſe, infidas, ad lucrum duntaxat reſpicere, ſemper danti adhærere, omnis denique mali cauſſas eſſe his qui cum ipſis verſantur, id ſuo exemplo vitáque iniuſtam eſſe calumniam redarguit. Adeò ſuos mores infamiæ communi opponebat. Noſti Medium illum qui à Syria nauigans huc appulerat, quanta cū famulorum turba & apparatu incedebat, Eunuchos pollicebatur, & famulas, & mundum quendam Barbaricum. At tamen eū inuita admiſit, ſed ſub mea quamuis tenui & vulgari hac veſte requieſcere volebat, & noſtris muneribus leuidenſibus acquieſcens, illa ſatrapica, & aurata dona repudiabat. Quid verò Ægyptium negotiatorem quemadmodum reiecit, quantam dij boni ſummam argenti promittentē. Nihil ſat ſcio melius illa fieri potuit. Quàm bonum animum non ad fœlicem vitæ conditionem aliqua fortuna extulit. Tum diſcedit nobis relictis, & iacebit in poſterum ſola Bacchis, quàm iniqua res ô charæ parcæ. Oportebat cum illa me nunc etiam iacere, quemadmodum tunc. At ego ſuperſtes ſum & victu fruor, & cum ſodalibus ſermones miſcendo. Illa verò non ampliùs hilaritatis plenis oculis me ſubridens, aſpiciet, neque propitia atque beneuola noctem perdet iucundiſſimis illis ſuppliciis. Nuper quidem quemadmodum loquebatur, quemadmodum vidit, quot in eius colloquiis inerant Sirenes. Quàm verò ſuaue & immortale nectar ab oſculis manabat in ſummis vt mihi perſuadeo eius labris ſuada ſedit. Toto illa ceſto cincta erat, totis Gratiis Venerem complexa. Euanuerunt illæ inter potandum cantationes & eburneis digitis pulſari ſolita Lyra euanuit. Iacet omnibus adamata gratiiſque muta, lapis & cinis. Et Megara quidem immane ſcortum viuit, quę Theagenem ita crudeliter deprædata eſt, vt ex tam ſplendidis facultatibus miſer arrepta Chlamydula & ſcuta in militiam profugerit. Bacchis verò ſuum amatorem amore proſecuta vitam obiit. Certè leuatus

lenatus ſum tibi conquerendo ac deplorando Euthycles amiciſſime. Volupè nanque mihi eſt de illa loqui tum ſcribere, quandoquidem præter memoriam nihil relinquitur. Vale.

γέγονα πρὸς σὲ ἀποδυρόμενος Εὐθύκλεις φίλτατε. ἡδὺ γάρ μοι τὸ δοκεῖ περὶ ἐκείνης καὶ λαλεῖν καὶ γράφειν. οὐδὲν γὰρ ἢ τὸ μεμνῆσθαι καταλέλειπται. Ἔρρωσο.

Megara Bacchidi.

Μεγάρα Βακχίδι.

Tibi ſoli amator contigit, quem ita charum habes, vt neque omnino disiungi ab illo poſſis. O moleſtiam domina Venus vocata à Glycera à diu. A Bacchinalibus enim nobis denunciauit, non te venire niſi propter ipſam neq; amicas fœminas videre poſſe. Modeſta euaſiſti & amas amatorem, Beata hoc nomine. Nos enim & meretrices & intemperantes. Fuit & Philoni Ficulneus baculus. Iraſcor enim per magnam Deam. Omnes enim aderamus Thethala, Myrrhina, Chryſium, Euxippe, vbi Philomene quamuis nupta recens, & Zelo laborans pulchro viro ſopito, ſerò quidem attamẽ aderat. Tu verò ſola Adonin fouebas. necubi relictum eum à te Venere, Proſerpina deprehenderet. Quale nos conuiuium agitauimus, quid enim non cor tuum pungam? quot Gratiis refertum, cantiones, ſcommata, compotatio vſque ad gallorum cantus, vnguenta, coronæ, bellaria, lauri obumbratæ accumbebamus. Vnum nobis ſolum deerat. Tu Quod ad reliqua pertinet non crebrò nos ingurgitauimus. Ita vero ſuauiter parce. Quod verò maximè nos exhilarauit, grauis quædã erat inter Thryallidem & Myrrhinam de natibus controuerſia, vtra meliores ac ſubtiliores oſtenderet. Atque prior Myrrhina ſoluto cingulo. Bombycinum verò erat induſium, per illud trementes quaſi melipectũ lac clunes ventilauit, reſpiciens poſt ſe ad culi agitationem. Clam verò ac furtim, quaſi patrans aliquod opus meretricium, ſuſpiria traxit, vt ego ita me Venus amet, ſtuperem. Noo autem recuſauit Thryallis. Sed impuritate proteruitate laudem ei præripuit. Non enim inquit ego per vela certabo, neque tergiuerſata, ſed quaſi in Gymnico. Non enim amat recuſationes certamen, exuit induſium, & paulùm motatis clunibus En aſpice colorem inquit, exactè ô Myrrhina, vt integrum, vt purũ. purpureum vertebrarum colorem hac parte, ac fœmora proportionem & concinnitatem, neque nimiam pinguedinem, neque maciem nimium: Gelaſinos in vertice. At non tremunt per Iouem vt Myrrhina: ſed ſubridens tantam effecit agitationem ac vibrationem podicis & totum ſupra lumbos huc illuc quaſi fluentem circumuoluit vt omnes applauderent & victoriam Thryallidis pronunciarent. Fuerunt etiam de aliis rebus comparationes, & de mamillis certamina. Nam Philomenæ vtero nulla ſe opponere auſa eſt. Sterilis enim erat & ſucculentus. Cùm totam igitur noctem triuiſſemus, amatoribus malè loquendo, & alios optando, ſemper enim ſuauior eſt & gratior recens Venus, diſceſſimus bene potæ. In via autem multũ titubantes ac per vinum ebrietatémque immoderatiùs nos gerentes, inciſimus in Deximachum, in aureo angiportu, velut ad Agnam euntem, prope domum Menephronis. Malè enim Thais eum deperit.

Σοὶ μόνῃ ἐραστὴς γέγονεν ὃν φιλεῖς οὕτως ὥστε τὸ μηδὲ ἀκαριαῖον αὐτοῦ διαζευχθῆναι δύνασθαι. τῆς ἀηδίας, δέσποινα Ἀφροδίτη. κληθεῖσα ὑπὸ Γλυκέρας εἰς τοσοῦτον χρόνον. ἀπὸ τῶν Διονυσίων γὰρ ἡμῖν ἀπήγγειλεν, οὐχ ἥκεις εἰ μὴ δι' ἐκείνην. οὐδὲ τὰς φίλας ἰδεῖν γυναῖκας ἀνεχομένη. σώφρων γέγονας σὺ καὶ φιλεῖς τὸν ἐραστήν. μακαρία τῆς εὐφημίας. ἡμεῖς δὲ καὶ πόρναι καὶ ἀκόλαστοι. ὑπῆρξε καὶ Φίλωνι συκίνη βακτηρία. ὀργίζομαι γὰρ νὴ τὴν μεγάλην θεόν. πᾶσαι γὰρ ἦμεν, Θεττάλη, Μυρρίνη, Χρυσίον, Εὐξίππη. ὅπου καὶ Φιλουμένη καίτοι γεγαμημένη προσφάτως καὶ ζηλοτυπουμένη τὸν καλὸν ἀποκοιμίσασα τὸν ἄνδρα, ὀψὲ μὲν, ὅμως δὲ παρῆν. σὺ δὲ ἡμῖν μόνη τὸν Ἄδωνιν περιέψυχες, μή που καταλειφθέντα αὐτὸν ὑπὸ σοῦ τῆς Ἀφροδίτης, ἡ Περσεφόνη παραλάβῃ. οἷον ἡμῖν ἐγένετο συμπόσιον, τί γὰρ οὐχ ἅψομαί σου τῆς καρδίας, ὅσων χαρίτων ἦν; ᾠδαί, σκώμματα. πότος εἰς ἀλεκτρυόνων ᾠδάς, μύρα, στέφανοι, τραγήματα, ὑπόσκιός τισι δάφναις ἦν ἡ κατάκλισις. ἓν μόνον ἡμῖν ἔλειπε, σύ. τὰ δ' ἄλλα, ἤ. πολλάκις ἐκραιπαλήσαμεν. οὕτω δὲ ἡδέως, ὀλιγάκις. τὸ γοῦν πλεῖστον ἡμῖν παρασκευάσαν τέρψιν, δεινή τις φιλονεικία κατέσχε Θρυαλλίδα καὶ Μυρρίνην ὑπὲρ τῆς πυγῆς. ποτέρα κρείττω καὶ ἁπαλωτέραν ἐπιδείξει. καὶ πρώτη Μυρρίνη τὸ ζώνιον λύσασα, βόμβυξ δ' ἦν τὸ χιτώνιον δι' αὐτοῦ τρέμουσαν οἷόν τι μελίπηκτον γάλα τὴν ὀσφὺν ἀνεσάλευσεν ὑποβλέψασα εἰς τοὐπίσω πρὸς τὰ κινήματα τῆς πυγῆς. ἠρέμα δ' οἷον ἐνεργοῦσά τι ἐρωτικὸν ὑπεστέναξεν. ὥστε ἐμὲ νὴ τὴν Ἀφροδίτην καταπλαγῆναι. οὐ μὴν ἀπεῖπέ γε ἡ Θρυαλλίς, ἀλλὰ τῇ ἀκολασίᾳ παρευδοκίμησεν αὐτήν. οὐ γὰρ διὰ παραπετασμάτων ἐγώ φησιν ἀγωνίσομαι. οὐδὲ ἀκκιζομένη, ἀλλ' οἷον ἐν γυμνικῷ. καὶ γὰρ οὐ φιλεῖ προφάσεις ἀγών, ἀπεδύσατο τὸ χιτώνιον. καὶ μικρὸν ὑποσιμώσασα τὴν ὀσφῦν, ἰδοὺ σκόπει τὸ χρῶμα φησὶν ὡς ἀκριβῶς Μυρρίνη, ὡς ἀκήρατον, ὡς καθαρόν. τὰ πορφυρᾶ τῶν ἰσχίων ταυτί. τὴν ἐπὶ τοὺς μηροὺς ἔγκλισιν τὸ μήτε ὑπέρογκον αὐτῶν μήτε ἄσαρκον. τοὺς γελασίνους ἐπ' ἄκρων. ἀλλ' οὐ τρέμει νὴ Δία. ἀλλ' ὑπομειδιῶσα ὥσπερ ἡ Μυρρίνη. καὶ τοσοῦτον παλμὸν ἐξειργάσατο τῆς πυγῆς καὶ ἅπασαν αὐτὴν ὑπὲρ τὴν ὀσφὺν τῇδε καὶ τῇδε ὥσπερ ῥέουσαν περιεδίνησεν, ὥστε αἱ ἀνεκροτήσαμεν πᾶσαι, καὶ νίκην ἀπεφήναμεν τῆς Θρυαλλίδος. ἐγένοντο δὲ καὶ περὶ ἄλλων συγκρίσεις καὶ περὶ μαστῶν ἀγῶνες. ὁ μὲν γὰρ Φιλουμένης γαστρὶ ἀντεξετασθῆναι οὐδ' ἡτισοῦν ἐθάρρησεν. ἄτοκος γὰρ ἦν καὶ σφριγῶσα. καταπαννυχίσασαι γοῦν καὶ τοὺς ἐραστὰς κακῶς εἰποῦσαι καὶ ἄλλων ἐπιτυχεῖν εὐξάμεναι, ἀεὶ γὰρ ἡδίων ἡ πρόσφατος ἀφροδίτη, ᾠχόμεθα ἔξω οἱ. πολλὰ δὲ κατὰ τὴν ὁδὸν κραιπαλήσασαι, ἐπεκωμάσαμεν Δεξιμάχῳ κατὰ τὸν χρυσοῦν στενωπὸν ὡς ἐπὶ τὴν Ἄγνου καμπὴν πλησίον τῆς Μενεφρονοικίας. ἐρᾷ γὰρ αὐτοῦ Θαῒς κακῶς.

ἔστι διὰ εἰκότως. ἄρτι γὰρ πλουσίου κεκληρονόμηκε πατρὸς τὸ μειράκιον. νῦν μὲν οὖν συγγνώμην ἔχομέν σοι τῆς ὑπεροψίας. τοῖς ἀλώοις δὲ ἐν Κολλυτῷ ἑστιώμεθα παρὰ τῷ Θετταλῆς ἐραστῇ. τῆς γὰρ ἀφροδίτης ἐρώμενον, ἡ Θετταλὴ στέλλει. ὅπως δὲ ἥξεις φέρουσα κῆπον καὶ κοράλλιον καὶ τὸν ἄδωνιν ὃν νῦν περιψύχεις. μετὰ γὰρ τῶν ἐραστῶν κραιπαλήσομεν. Ἔρρωσο.

Φιλουμένη Κρίτωνι.

ΤΙ πολλὰ γράφων ἀνιᾷς σεαυτόν. πεντήκοντά σοι χρυσῶν δεῖ καὶ γραμμάτων οὐδέν. εἰ μὲν οὖν φιλεῖς, δός, εἰ δὲ φιλαργυρεῖς, μὴ ἐνόχλει. Ἔρρωσο.

Et per Iouem meritò. Nuper enim opulenti patris bona ad adoleſcentem hæreditate peruenerunt. Nunc igitur veniam tibi tribuimus ſuperbiæ. Alois in collyto apud amatorem Thettalæ, epulabimur. Nam Veneris amatorẽ Thettala vitat. Sic vero venies cetiũ ferens & corallium & Adonin quem nũc foues. Etenim cum amatoribus potabimus. Vale.

Philumena Critoni.

QVid multa ſcribendo tibimet ipſi moleſtiam exhibes? Quinquaginta tibi aureis nũmis eſt opus, literis verò nihil opus eſt. Si igitur nos amas da. Sin es auarus ac tenax, ne ſis moleſtus. Vale.

ΑΡΧΗ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΜΗΜΑΤΟΣ.

INITIVM SECVNDAE PARTIS.

Λάμια Δημητρίῳ.

ΣΥ ταύτης τῆς παρρησίας αἴτιος, ὦ βασιλεῦ, εἶτα ἐπιτρέψας καὶ ἑταίρᾳ γράφειν σοι. καὶ οὐχ ἡγησάμενος δεινὸν ἐντυγχάνειν τοῖς ἐμοῖς γράμμασιν ὅλη μοι ἐντυγχάνων. ἐγὼ δέσποτα Δημήτριε ὅταν μὲν ἔξωθεν θεάσωμαι καὶ ἀκούσω μετὰ τῶν δορυφόρων καὶ τῶν στρατοπέδων, καὶ τῶν πρέσβεων καὶ τῶν διαδημάτων, νὴ τὴν ἀφροδίτην πέφρικα καὶ δέδοικα καὶ ταράττομαι καὶ ἀποστρέφομαι ὡς τὸν ἥλιον μὴ ἐπικαῶ τὰ ὄμματα. καὶ τότε μοι ὄντως ὁ πολιορκητὴς εἶναι δοκεῖς Δημήτριος. οἷον δὲ καὶ βλέπεις τότε ὡς μικρὸν καὶ πολεμικόν. καὶ ἀπιστῶ ἐμαυτῇ καὶ λέγω, Λάμια. σὺ μετὰ τούτου καθεύδεις; σὺ διὰ νυκτὸς ὅλης αὐτὸν καταυλεῖς; σοὶ νῦν οὗτος ἐπέσταλκε; σοὶ γνάθαιναν τὴν ἑταίραν συγκρίνει. καὶ ἠλογημένη σιωπῶ καὶ εὔχομαι θεάσασθαι παρ' ἐαυτῇ. καὶ ἐπειδὰν ἔλθῃς προσκυνῶ σε. καὶ ὅταν περιπλακεὶς μάλα φιλῇς, πάλιν πρὸς ἐμαυτὴν τἀναντία λέγω. οὗτός ἐστιν ὁ πολιορκητής; οὗτός ἐστιν ὁ ἐν τοῖς στρατοπέδοις; τοῦτον φοβεῖται μακεδονία; τοῦτον ἡ ἑλλάς; τοῦτον ἡ θρᾴκη. νὴ τὴν ἀφροδίτην σήμερον αὐτοῖς τοῖς αὐλοῖς ἐκπολιορκήσω. καὶ ὄψομαι τί με διαθήσει. μένον εἰς τρίτην. παρ' ἐμοὶ γὰρ δειπνήσεις δέομαι. τὰ ἀφροδίσια ποιῶ ταῦτα κατ' ἔτος. καὶ ἀγῶνα ἔχω εἰ τὰ πρότερα τοῖς ὑστέροις νικῶ. ὑποδέξομαι δέ σε ἐπαφροδίτως καὶ ὡς ἔνι μάλιστα πιθανῶς, εἴ μοι πρεμισθῶσαι γένοιτο ὑπὸ σοῦ, μηδὲν ἀνάξιον τῶν σῶν ἀγαθῶν ἐξ ἐκείνης τῆς ἱερᾶς νυκτὸς ἔτι πεποιηκυῖα. καίτοι σοῦ γε ἐπιτρέποντος ὅπως ἂν βούλωμαι χρῆσθαι τῷ ἐμῷ σώματι. ἀλλὰ κέχρημαι καλῶς καὶ ἀμίκτως πρὸς ἑτέρους. οὐ ποιήσω τὸ ἑταιρικόν. οὐδὲ ψεύσομαι δέσποτα ὡς ἄλλαι ποιοῦσιν. ἐμοὶ γὰρ ἐξ ἐκείνου μὰ τὴν ἄρτεμιν οὐδὲ προσέβλεψαν ἔτι πολλοί. οὐδὲ ἐπείρασαν αἰδούμενοί σου τὰς πολιορκίας. ὀξύς ἐστιν ὁ ἔρως ὦ βασιλεῦ καὶ ἐλθεῖν

Lamia Demetrio.

TV libertatis huius cauſſa es, qui cùm rex ſis, tamen meretrici ad te ſcribẽdi poteſtatem concedis, neque infame aut flagitioſum ducis meas literas accipere, qui me totam accipias. Ego domine Demetri ſi te foris cõtempler & audiam cum ſatellitibus & copiis, atque legatis, diadematiſque, per Venerem, horreo metuóque, & animo perturbor, ac veluti ſolem fugio, ne oculos aduram, tunc denique reuera mihi ſtrenuus & oppugnator ille Demetrius videris eſſe. Vt verò tum etiam vides, quàm acutè & militanter, mihíque ipſi diffido ac dico: Lamia, tu cum hoc dormis? tu tota nocte hunc exhilaras? Ad te iã hic literas dedit? tibi Gnathænam meretricem comparat? & ſpreta neglectáque taceo, etiam optans vt cùm ipſa videã & cùm veneris adoro te atque cùm complexa plurimùm oſcularis, rurſus apud me contraria dico Hiccine eſt bellator ille? Hiccine eſt ille, qui in exercitibus imperium gerit? Hunc timet Macedonia? Hunc Græcia? Hunc Thracia? per Venerem hodie fiſtulis ipſis expugnabo, & videbo, quid mihi facturus ſit. Mane ad tertiam vſque. Nam apud me cœnabis rogo. Hæc Venerea quotannis facio, & affligor, ſi à prioribus vincuntur Accipiam te iucundiſſimè, & quàm fieri poteſt cõuenientiſſimè, ſi mihi contigerit à te diuitiis abundare, nihilque tuis bonis indignum poſt illam ſanctam noctem ampliùs patrabo. Verùm te concedente, vt quemadmodum vellem vterer meo corpore, honeſtè vſus ſum, neq; aliis illud immixtim. Non faciã meretricium illud. Neque mentior domine, quemadmodum reliquæ faciunt. Ex illo enim me per Dianam ne aſpexerunt quidem multa ampliùs, neque ſollicitarunt, tuas bellicas laudes veriti. Velociſſimus eſt amor & veniendo & auolando ô rex

ſpera

ſperans volat,& deſperatis rebus mox alas ſolet dimittere poſtquam animum deſpondit. Propterea etiam præcipuum hoc eſt meretricum ſophiſma, vt ſemper procraſtinata præſentis temporis fruitione, ſpe iniecta, vincant amatores. Erga vos autem nulla datur procraſtinandi facultas. Itaque in metu eſt ſatietas. Oportet igitur nos partim iacere, partim molleſcere, partim cœnas inſtruere, partim tibi domum ornare. Reliqua verò, quæ quomodolibet aliter interpoſita officia ſtatim finiuntur, vt accendantur interuallis, captu faciliores ipſorum animi, dum metuunt, ne rurſus aliud fortunæ præſentis impedimentum accidat. Hæc igitur ô rex erga ſcortatores poſſim forſitan obſeruare ac machinari. Erga te verò, qui iam ita me complecteris, vt etiam oſtendas me, & apud alias meretrices iactites, me omnibus præcellere, ita mihi Charæ muſæ faueant, vt ego non poſſim tergiuerſari aut aliquid fingere. Non adeò ſunt lapidea, vt permiſſis omnibus etiam animo meo ad placendum, exiguam impendiſſe me exiſtimem. Neque enim me fugit, nõ ſolùm in Theripedi domo, in qua tibi epulum Venereum paratura ſum, celebrem atque illuſtrem fore apparatus, verùm etiam per vniuerſam Athenienſium vrbem, per Dianam, & Græciam. Et maximè Lacedæmones inuiſi atque odio digni, vt videantur viri eſſe, qui ſunt Epheſi vulpes, ſine intermiſſione in Taygetis montibus & ſolitudinibus ſuis, noſtras cœnas conuitiis exagitabunt, Lycurgi rigorem in tuis humanis affectionibus vituperandis ſequentes. Sed illi valeant Domine. Tu verò mihi memineris vt diem obſerues cœnæ & horam quam delegeris. Optima etenim quæ tibi placet. Vale.

Leontius Lamiæ.

Nihil eſt odioſius, vt apparet, repubeſcẽte ſene. Vt me Epicurus hic tractat, omnia conuitiis implens, omnia ſuſpicionibus, literas continuas mihi ſcribens, perſequens ex horto. Per Venerem ſi Adonia iam appropinquaſſet octoginta natus annos, non tuliſſem eum pediculoſum & morbidũ, & bene cõmatum velleribus pro pilis. Quouſque tollerari poteſt hic Philoſophus? Habeat ſuas de natura firmas opiniones & diſtortos Canones. Me verò permittat in mea Muſica ſtabilitate, ſine ſtomacho & iniuria permanere. Reuera oppugnatorem hunc habeo, non qualem tu Demetrium Lamia. Non enim licet moderatum ac ſapientem eſſe propter hunc hominem. Et Socratem imitari atque diſertus eſſe in loquendo vult, atque ſimulare. Et Alcibiadem quendam aut Pythoclem putat & Xanthippen me arbitratur facturum. Et tandem conſurgens quocunque terrarum pro terra fugiam potiùs, quàm laceratas eius epiſtolas patiar. Iam verò rem omnium grauiſſimam & intolerandam auſus eſt, in qua vt à te conſilium peterem, idcirco has literas adornaui. Timarchum illum elegantem noſti Cepiſienſem. Non inficias eo me longo tempore nihil rei cum adoleſcente habuiſſe. Apud te me verum fateri par eſt Lamia, & primam Venerem ab ipſo didici propemodum. Hic enim mihi pudorem ac virginitatem eripuit, in vicina habitanti. Ex illo tempore omnia mihi

καὶ ἀναπτεροῦται, ἐλπίσας τεύξεσθαι, καὶ ἀπελπίσας ταχὺ περιφρονεῖν εἴωθεν ἀπογνωσθείς. διὸ καὶ μέγα τὸ ἑταιρικόν ἐστι σόφισμα ἀεὶ τὸ παρὸν τῆς ἀπολαύσεως ὑπερτιθεμένας ταῖς ἐλπίσι διακρατεῖν τοὺς ἐραστάς. πρὸς ὑμᾶς δὲ οὐδὲ ὑπερτίθεσθαι ἔξεστιν. ὥστε φθόνον εἶναι κόρον. λοιπὸν ἡμᾶς δεῖ τὰ μὲν, ποιεῖν. τὰ δὲ, μαλακίζεσθαι. τὰ δὲ, ἡδυποτοποιεῖν. τὰ δὲ, κοσμεῖν σοι τὸν οἶκον. τὰς δὲ, ὅπως σου ἄλλως ταχὺ μαραινομένας μεσολαβούσας χρόνους, ἵνα μᾶλλον ἐξάπτωνται τοῖς διαστήμασιν ἀναλυόμεναι αὐτῶν αἱ ψυχαὶ φοβούμεναι μὴ ἄλλο πάλιν γένηται τὸ ἐν τῷ παρόντι τῆς χαρᾶς κώλυμα. ταῦτα δὲ πρὸς μὲν ἑταίρας τυχὸν ἂν ἐδυνάμην βασιλεῦ φυλάττεσθαι καὶ τεχνιτεύειν. πρὸς δὲ σὲ ὃς οὕτως ἤδη ἔχεις ἐπ᾽ ἐμοὶ ὡς ἐπιδείκνυσθαί με καὶ ἀγάλλεσθαι πρὸς τὰς ἄλλας ἑταίρας, ὅτι πασῶν ἐγὼ προφέρω, μὰ τὰς φίλας μούσας οὐκ ἂν ὑπομείναιμι πλάττεσθαι. οὐχ οὕτως εἰμὶ λιθίνη. ὥστε ἀφεῖσα πάντα ἐκ τῆς ψυχῆς ἐμαυτῆς εἰς ἀρέσκειαν, ὀλίγον ἡγήσομαι δαπανῆσαι. εὖ οἶδα γὰρ ὅτι οὐ μόνον ἐν τῇ Θηριππίδου οἰκίᾳ. ἐν ᾗ μέλλω σοι τὸ τῶν ἀφροδισίων διεξάγειν δεῖπνον, ἔσται διαβόητος ἡ παρασκευή, ἀλλὰ καὶ ἐν ὅλῃ τῇ ἀθηναίων πόλει νὴ τὴν ἄρτεμιν καὶ ἐν τῇ ἑλλάδι. καὶ μάλιστα οἱ μισητοὶ λακεδαιμόνιοι, ἵνα δοκῶσιν ἄνδρες εἶναι οἱ ἐν Ἐφέσῳ ἀλώπεκες, οὐ παύσονται τοῖς ταϋγέτοις ὄρεσι καὶ τῇ ἐρημίᾳ ἑαυτῶν, διαβάλλοντες ἡμῶν τὰ δεῖπνα καὶ τὰ λυκουργίζοντες τῆς σῆς ἀνθρωποπαθείας. ἀλλ᾽ αὐτοὶ μὲν χαιρέτωσαν δέσποτα. σὺ δ᾽ ἐμοὶ μέμνησο φυλάξαι τὴν ἡμέραν τοῦ δείπνου καὶ τὴν ὥραν ἣν αὐτὴ ἕλῃ. ἀρίστη γὰρ ἣν βούλει. Ἔρρωσο.

Λεόντιον Λαμίᾳ.

ΟΥδὲν δυσαρεστότερον ὡς ἔοικεν ἐστὶ πάλιν μειρακιευομένου πρεσβύτου. οἷά με Ἐπίκουρος οὗτος διοικεῖ πάντα λοιδορῶν. πάντα ὑποπτεύων. ἐπιστολὰς ἀδιαλύτους μοι γράφων. ἐκδιώκων ἐκ τοῦ κήπου. μὰ τὴν ἀφροδίτην εἰ ἄδωνις ἦν ἤδη ἐγγὺς ὀγδοήκοντα γεγονὼς ἔτη, οὐκ ἂν αὐτοῦ ἠνεσχόμην φθειριῶντος καὶ φιλονοσοῦντος καὶ καταπεπιλημένου ἐν πόκοις ἀντὶ πίλων. μέχρι τίνος ὑπομενεῖ τις τὸν φιλόσοφον τοῦτον. ἐχέτω τὰς περὶ φύσεως αὐτοῦ κυρίας δόξας. καὶ τοὺς διεστραμμένους κανόνας. ἐμὲ δὲ ἀφέτω τὴν μουσικὴν κυρίαν ἐμαυτῆς ἀστομάχητον καὶ ἀνύβριστον. οὕτως ἐπιπολιορκητὴν ἔχω τοιοῦτον, οὐχ οἷον σὺ λάμια δημήτριον. μὴ γὰρ ἔστι σωφρονῆσαι διὰ τὸν ἄνθρωπον τοῦτον. καὶ σωκρατίζειν καὶ στωμυλεύεσθαι θέλει καὶ εἰρωνεύεσθαι. καὶ ἀλκιβιάδην τινὰ ἢ πυθοκλέα νομίζει καὶ ξανθίππην ἐμὲ οἴεται ποιήσειν. καὶ πέρας ἀναστᾶσα ὅποι ποτὲ γῆν περὶ γῆς φεύξομαι μᾶλλον, ἢ τὰς ἐπιστολὰς αὐτοῦ τὰς διασπαράσσεις ἀνέξομαι. ὃ δὲ πάντων δεινότατον ἤδη καὶ ἀφορητότατον ἐτόλμησεν, ὑπὲρ οὗ καὶ γνώμην βουλομένη λαβεῖν, τί μοι ποιητέον, ἐπέσταλκά σοι. Τίμαρχον τὸν καλὸν οἶσθα τὸν κηφισιᾶθεν. οὐκ ἀρνοῦμαι πρὸς τὸν νεανίσκον οἰκείως ἔχειν ἐκ πολλοῦ. πρὸς σέ μοι τἀληθῆ λέγειν εἰκὸς λάμια. καὶ τὴν πρώτην ἀφροδίτην ἔμαθον παρ᾽ αὐτῷ σχεδόν. ἐπεὶ γάρ με διεπαρθένευσεν ἐκ γειτόνων οἰκοῦσαν. ἐξ ἐκείνου τοῦ χρόνου πάντα με

τἀγαθὰ πέμπων οὐ διαλέλοιπεν, ἐσθῆτα, χρυσία, θεραπαίνας, θεράποντας ἰνδούς, ἰνδάς. τἄλλα σιωπῶ, ἀλλὰ τὰ μικρότατα προκαταλαμβάνει τὰς ὥρας ἵνα μηδεὶς φθάσῃ με γευσάμενος. τοιοῦτον νῦν ἐραστὴν ἀπόκλεισον φησὶ καὶ μὴ προσδέχου, ποίοις δοκεῖς, οὐδ' ἀποκαλῶν ὀνόμασιν, οὔτε ὡς ἀττικὸς, οὔτε ὡς φιλόσοφος ἐκ καππαδοκίας πρῶτος τὴν ἑλλάδα ἥκων. ἐγὼ δὲ εἰ καὶ ὅλη γένοιτο ἡ ἀθηναίων πόλις ἐπικούρειος, μὰ τὴν ἄρτεμιν οὐ ζυγοστατήσω πάντας αὐτοὺς πρὸς τὸν τιμάρχου βραχίονα. μᾶλλον δὲ οὐδὲ πρὸς τὸν δάκτυλον. τί σοι λέγεις λάμια οὐκ ἀληθῆ ταῦτα οὐδὲ δίκαια φημί; καὶ μὴ δὴ δέομαί σου πρὸς τῆς ἀφροδίτης μή σοι ταῦτα ὑπελθέτω. ἀλλὰ φιλόσοφος, ἀλλὰ ἐπιφανής. ἀλλὰ πολλοῖς φίλοις κεχρημένος, λαβέτω καὶ ἃ ἔχω. διδασκέτω δὲ ἄλλους. ἐμὲ δὲ οὐδὲν θέλγει τι δόξα· ἀλλ' ὃν θέλω δὸς τίμαρχον δάματερ. ἀλλὰ καὶ δι' ἐμὲ πάντα ἠνάγκασται ὁ νεανίσκος καταλιπὼν τὸ λύκειον. καὶ τὴν ἑαυτοῦ νεότητα καὶ τοὺς συνεφήβους, καὶ τὴν ἑταιρείαν, μετ' αὐτοῦ ζῆν καὶ κολακεύειν αὐτὸν καὶ καθυμνεῖν τὰς ὑπηνέμους αὐτοῦ δόξας· ὁ ἀτρεὺς οὗτος ἔξελθε φησὶν ἐκ τῆς ἐμῆς μοναγρίας, καὶ μὴ πρόσιθι λεοντίῳ ὡς οὐ δικαιότερον ἐκείνῃ ἐρῶντος, σὺ μὲν οὖν μὴ πρόσιθι τῇ ἐμῇ. καὶ ὁ μὲν, νεανίσκος ὤν, ἀνέχεται τὸν ἕτερον ἀντεραστὴν γέροντα· ὁ δὲ, τὸν δικαιότερον οὐχ ὑπομένει. τί ποιήσω πρὸς τῶν θεῶν ἱκετεύω σε λάμια· νὴ τὰ μυστήρια. νὴ τούτων τῶν κακῶν ἀπαλλαγὴν ὡς ἐνθυμηθεῖσα τοῦ τιμάρχου τὸν χωρισμὸν, ἄρτι ἀπέψυγμαι. καὶ ἱδρῶ. καὶ τὰ ἄκρα καὶ ἡ καρδία μου ἀνέστραπται. δέομαί σου δέξαι με πρὸς σεαυτὴν ἡμέρας ὀλίγας. καὶ ποιήσω τοῦτον αἰσθέσθαι πηλίκων ἀπήλαυεν ἀγαθῶν, ἔχων ἐν τῇ οἰκίᾳ με. οὐκ ἔτι φέρει τὸν κόρον εὖ οἶδα· πρεσβευτὰς δ' εὐθὺς πρὸς ἡμᾶς διαπέμψεται μητρόδωρον καὶ ἕρμαχον καὶ πολύαινον. ποσάκις οἴει με λάμια πρὸς αὐτὸν ἰδίᾳ παραγενομένην εἰπεῖν τί ποιεῖς ἐπίκουρε. οὐκ οἶσθα ὅτι διακωμῳδεῖ σε τιμοκράτης ὁ μητροδώρου ἐπὶ τούτοις ἐν ταῖς ἐκκλησίαις ἐν τοῖς θεάτροις παρὰ τοῖς ἄλλοις σοφισταῖς; ἀλλὰ τί ἐστιν αὐτῷ ποιῆσαι; ἀναίσχυντός ἐστι τὸ ἐρᾶν; καὶ ἐγὼ ἔσομαι τοίνυν ὁμοίως αὐτῷ ἀναίσχυντος, καὶ οὐκ ἀφήσω τὸν ἐμὸν τίμαρχον. Ἔρρωσο.

Μένανδρος Γλυκέρᾳ.

Ἐγὼ μὰ τὰς ἐλευσινίας θεὰς, μὰ τὰ μυστήρια αὐτῶν ἃ σοι καὶ ἐναντίον ἐκείνων ὤμοσα πολλάκις γλυκέρα μόνος μόνῃ, ὡς οὐδὲν ἐπαίρω τὰ ἐμὰ οὐδὲ βουλόμενος σοι χαρίζεσθαι, ταῦτα καὶ λέγω καὶ γράφω. τί γὰρ ἐμοὶ χωρὶς σοῦ γένοιτ' ἂν ἥδιον. τί δὲ ἐπαρθῆναι μεῖζον τῆς σῆς φιλίας δυναίμην. εἰ καὶ τὸ ἔσχατον ἡμῖν γῆρας διὰ τοὺς σοὺς τρόπους καὶ ἤθη, νεότης ἀεὶ φανεῖταί μοι. καὶ συννεάσαιμεν ἀλλήλοις καὶ συγγηράσαιμεν καὶ νὴ τοὺς θεοὺς συναποθάνοιμεν. ἵνα μηδετέρῳ ἡμῶν ἐν ᾅδου συγκαταβαίη τις ζῆλος. ἢ τῶν ἄλλων ὅσων θεὶς πειράσεται ἀγαθῶν. μὴ δὲ γένοιτό μοι πειραθῆναι σοῦ μηκέτ' οὔσης. τί γὰρ ἂν ἔτι καταλείποιτο ἀγαθόν. ἃ δὲ νῦν ἠπείξε με ἐν πειραιεῖ μαλακιζόμενον, οἶσθα γάρ μου τὰς συνήθεις ἀσθενείας ἃς οἱ μὴ φιλοῦντές με τρυφὰς καὶ σαλακωνίας καλεῖν εἰώθασιν, ἐπιστεῖλαί σοι ἐν ἄστει μενούσῃ διὰ τὰ ἁλῶα τῆς θεοῦ, ταῦτ' ἐστίν. ἐδεξάμην ἀπὸ πτολεμαίου τοῦ βασιλέως αἰγύ-

bona mittere non ceſſauit, veſtem, aureos, ancillas, ſeruos Indos, Indas. Cætera ſilentio prætermitto. Sed minima ſuſpicatur horas ne quis me deguſtet. Eiuſmodi nunc amatorem exclude inquit, neque ad te accedat, qualibus putas eum appellans nominibus, neque vt Atticus, neque vt Philoſophus, è Cappadocia primus in Græciam veniens. Ego verò etiamſi tota ciuitas Athenienſium auxilio ſit, nõ per Dianam omnes cum Timarchi brachio comparabo, imò ne cum digito quidẽ. Cur tibi inquis Lamia non vera hæc neq; iuſta dico. Ne precor te per Venerem ne tibi ſic in mentem veniat. Sed Philoſophus ſed clarus, ſed multis amicis vſus. Accipiat & quæ habeo. Doceat alios: me verò nihil titillat gloria. Sed quem volo da Timarchum Ceres. Sed & propter me ad omnia coactus eſt adoleſcens relicto Licio, ſua ipſius iuuentute æqualibus ſodalitate ne cum ipſo vitam agere liceat, ipſi aſſentari & vētoſas eius glorìolas celebrare. Atreus hic egredere inquit, à mea Monagria, & ſi ille dicat, Ne ad Leontium accedas, quoniam non eſt iuſtum & æquum. Tu igitur ad meam ne accedas. Atque hic adoleſcens cùm ſit, patitur alium riualem ſenẽ. Ille verò iuſtiorem non patitur. Quid faciam, per deos oro te Lamia, per myſteria, per horum malorum liberationẽ. Etenim de diuortio à Timarcho cogitans iam penè emorior ac ſudo & vertex atque cor meum perturbatum eſt. Rogo te recipe me ad teipſam paucos dies, & efficiã vt hic ſentiat, quãtis bonis frueretur, cùm in domo ſua me teneret. Non amplius fert ſatietatem, ſat ſcio. Nuncios confeſtim ad nos mittet Metrodorum Hermachum & Polyenum. Quoties putas me Lamia cùm ſeorſum eſſem apud illum dixiſſe, quid facis Epicure? An neſcis Timocratem Metrodori filium te taxare ob hæc in concionibus, in Theatris apud reliquos ſapientiæ magiſtros atque doctores? Et ego ita quemadmodum ille pudorem omnem exuam, neq; deſeram meum Timarchum. Vale.

Menandrus Glyceræ.

Ego per Eleuſinas deas, per myſteria ipſarum, quæ tibi in conſpectu & ante ora ipſarum iuraui perſæpe Glycera, ſolus ſoli, nequaquam effero & extollo mea, neq; vt tibi gratificer hæc dico & ſcribo. Quid enim te mihi poſſit eſſe delectabilius. Quo modo verò magis ſupra tuam amicitiam extolli queam, ſiquidem & extrema ſenectus noſtra propter tuum ingenium ac mores, ſemper mihi iuuentus apparet eſſe. Atque iuueneſcamus & ſeneſcamus vnà, & per deos ſimul etiam mortem obeamus: ne alteri noſtrum apud inferos Zelus oboriatur, aut alter ſuperſtes alia quædam bona experiatur. Neque mihi contingat, vt te non amplius ſuperſtitem cogitem. Quid enim boni reliquum foret? Quæ verò nũc me impulerunt, in Peiræo ægrotantem. (Noſti enim conſuetas meas infirmitates, quas qui nõ amãt me delitias & mollitiem appellare ſolent) vt tibi ſcriberem, in vrbe manenti propter Aloa deæ, hæc ſunt. Accepi à Ptolemæo re-

ge Ægy-

pti literas in quibus mirum in modum me rogat, & adhortatur, regiè promittens vt dicitur vulgari prouerbio, terræ commoda, me atque Philomené. Nunc etiam illi literas allatas eſſe perhibent, atque ipſe Philemon mihi ſcripſit oſtendens ſuas leuiores & quaſi non Menandro ſcriptas minus ſplendidas, ſed videbit atq; deliberabit de ſuis ille. Ego verò conſilia non expectabo, ſed tu mihi Glycera, & ſententia & Areopagiticũ conſilium atq; Helienſe, omnia per Mineruam fuiſti & nunc eris. Literas itaque regis ad te miſi, ne bis tibi negotium faceſſam & mearum & illius literarum cognitione. Quæ verò decreui ei ſcribere, te quoque de his volui certiorem facere. Nauigare quidem & in Ægyptũ regnum tam longinquum & remotum proficiſci, per duodecem deos ne in animum quidem induco, ſed etiam ſi in Ægina hac ita propinqua ſita eſſet, Ægyptus tamen ne ſic quidem animus mihi eſſet, vt relicto meo regno tui amoris, ſolus in tanta Ægyptiorum turba ſine Glyceræ populoſam ſolitudinem viderem. Suauius enim & minore cum periculo tuas vlnas colo ac complector quàm Satraparum ac regum. Periculoſum eſt enim & illiberale, cùm aſſentatio ſit humilis & abiecta, fortuna infidelis. Ego enim Heraclios & Carcheſia atque phialas aureas, & omnia in aulis celebria bona quæ apud hos naſcuntur, cum ſolẽnibus antiſteriis Theatralibus Lenæis, heſterno pacto, ac Licei Gymnaſiis ſacràque Academia non permuto per Bacchũ & Bacchicas eius hederas, quibus potiùs coronari, quàm Ptolemæi diadematis volo, ſpectante atque ſedente in Theatro Glycera. Vbi enim in Ægypto videbo concionem & ſuffragium ferri. Vbi turbam popularem ita liberè ſe gerentem, vt legiſlatores in ſacris vicis hedera coronatos. Quale periſchœniſma qualem electionem quales Chytros, Ceramicum, forum, curias, vicinam Salaminem, Pſyttaliã, totam denique Marathonem, Athenis totam Græciam, Ioniam, omnes Cyclades. His ego ſimulque Glycera relictis in Ægyptum abeam, acquirendi auri argenti ac diuitiarum cauſa, quibus quo cùm vtar, cum Glycera tanto marium interuallo diſiũcta. An non hæc me etiam abſque illa pauperem efficient? Si autem audiam caſtis amoribus illam ad alium ſe applicuiſſe, nonne tunc in cinerem omnes hi Theſauri mihi abibunt, & è vita diſcedens dolores ipſe mecum auferam, pecuniæ verò his qui ſcrutantur per iniuriam, in medio erunt poſitæ. Aut præclarum eſt cum Ptolemæo vitæ rationes coniunctas habere, cum Satrapis & eiuſmodi faſtnoſis graſſatoribus quorum neque amicitia ſtabilis eſt, neque inimicitia periculo vacans. Quòd ſi mihi Glycera iraſcatur, ſemel ipſam arreptam oſculo demulceo. Quòd ſi adhuc iraſcatur potiùs eã cogo. Et ſi ſit ægrè animo affecta, lachrymor. Ad hæc cùm mœrorem meum pati nequeat, orat & obſecrat puſtea, cùm neque milites habeat, neque ſatellites, neque cuſtodes. Ego ſum enim ei omnia. Aut magnum & egregium eſt videre pulchrum Nilum. Non autẽ magnum eſt etiam Euphratẽ videre,

τὰ γράμματα, ἐν οἷς δεῖταί μου πάσας δεήσεις καὶ προτροπὰς, βασιλικῶς ὑπισχνούμενος τὸ δὴ λεγόμενον τοῦτο τὰ τῆς γῆς ἀγαθὰ ἐμὲ καὶ φιλήμονα. καὶ γὰρ ἐκείνῳ γράμματα κεκομίσθαι φασί. καὶ αὐτὸς δὲ ὁ φιλήμων ἐπέστειλέ μοι τὰ ἴδια δηλῶν ἐλαφρότερα καὶ ὡς οὐ μενάνδρῳ γεγραμμένα λαμπρά. ἀλλ' ὄψεται καὶ βουλεύσεται τὰ ἴδια φιλήμων. ἐγὼ δὲ οὐ περιμενῶ βουλάς. ἀλλὰ σύ μοι γλυκέρα καὶ γνώμη καὶ ἀρεοπαγῖτις βουλὴ καὶ ἡλιαία, ἅπαντα γὰρ ταῦτα τὴν ἀθηνᾶν ἀεὶ γέγονας, καὶ νῦν ἔσῃ. τὰς μὲν οὖν ἐπιστολὰς τοῦ βασιλέως σοι διεπεμψάμην. ἵνα μὴ κόπτω σε δὶς καὶ τοῖς ἐμοῖς καὶ τοῖς ἐκείνου γράμμασιν ἐντυγχάνουσαν. ἃ δὲ ἐπιστεῖλαι αὐτῷ ἔγνωκα, καὶ ταῦτα βούλομαί σε εἰδέναι. πλεῖν μὲν καὶ εἰς αἴγυπτον ἀπιέναι μακρὰν οὕτω καὶ ἀπῳκισμένην βασιλείαν ὤσπερ, μὰ τοὺς δώδεκα θεοὺς οὐδὲ ἐνθυμοῦμαι. ἀλλ' οὐδ' εἰ ἐν αἰγίνῃ ταύτῃ γε τῇ πλησίον ἔκειτο ἡ αἴγυπτος, οὐδ' οὕτως ἐν νῷ ἂν εἶχον ἀφεὶς τὴν ἐμὴν βασιλείαν τῆς σῆς φιλίας, μόνος ἐν τοσούτῳ ὄχλῳ αἰγυπτίων χωρὶς γλυκέρας ἐρημίαν πολυανθρωπίαν ὁρᾶν. ἥδιον γὰρ καὶ ἀκινδυνότερον τὰς σὰς θεραπεύω μᾶλλον ἀγκάλας, ἢ τὰς τῶν ἁπάντων σατραπῶν καὶ βασιλέων αὐλάς. ὅπου τὸ μὲν οὖν τὸ ἀνελεύθερον. κολακεῦον δὲ τὸ κολακεῦον ἄπιστον, δὲ τὸ εὐτυχούμενον. ἐγὼ δὲ καὶ τὰς θηρικλείους καὶ τὰ καρχήσια καὶ τὰς χρυσίδας καὶ πάντα τὰ ἐν ταῖς αὐλαῖς ἐπίφθονα τούτοις ἀγαθὰ φυόμενα, τῶν κατ' ἔτος χοῶν καὶ τῶν ἐν τοῖς θεάτροις ληναίων καὶ τῆς χθιζῆς ὁμολογίας καὶ τῶν τοῦ λυκείου γυμνασίων, καὶ τῆς ἱερᾶς ἀκαδημίας, οὐκ ἀλλάττομαι μὰ τὸν διόνυσον καὶ τοὺς βακχικοὺς αὐτοῦ κισσοὺς, οἷς στεφανωθῆναι μᾶλλον ἢ τοῖς πτολεμαίου βούλομαι διαδήμασι, θεωμένης καὶ καθημένης ἐν τῷ θεάτρῳ γλυκέρας. ποῦ γὰρ ἐν αἰγύπτῳ ὄψομαι ἐκκλησίαν καὶ ψῆφον ἀναδιδομένην. ποῦ δὲ δημοκρατικὸν ὄχλον οὕτως ἐλευθεριάζοντα. ποῦ δὲ θεσμοθέτας ἐν ταῖς ἱεραῖς κώμαις κεκισσωμένους. ποῖον περισχοίνισμα. ποίαν αἱρεσίαν. ποίους χύτρους. κεραμικὸν ἀγορὰν δικαστήρια. τὴν γειτνιῶσαν σαλαμῖνα· τὴν ψυτταλίαν. τὴν μαραθῶνα ὅλην. ἐν ταῖς ἀθήναις τὴν ἑλλάδα ὅλην. τὴν ἰωνίαν. τὰς κυκλάδας πάσας. ἀφεὶς ταῦτα καὶ γλυκέραν μετ' αὐτῶν εἰς αἴγυπτον διέλθω; χρυσὸν λαβεῖν καὶ ἄργυρον καὶ πλοῦτον; ᾧ μετὰ τίνος χρήσομαι μετὰ γλυκέρας τοσοῦτον διαπεπταμένος; οὐ πενία δέ μοι ἔσται χωρὶς αὐτῆς ταῦτα; ἐὰν διακούσω τοὺς σεμνοὺς ἔρωτας εἰς ἄλλον αὐτὴν μετατεθεικέναι, οὐ σποδός μοι πάντες οἱ θησαυροὶ γενήσονται καὶ ἀποθνήσκων τὰς μὲν λύπας ἐμαυτῷ συναπάξω, τὰ δὲ χρήματα τοῖς ἰσχύουσιν ἀδικεῖν ἐν μέσῳ κείσεται; ἢ μέγα τὸ συμβιοῦν πτολεμαίῳ καὶ σατράπαις καὶ τοιούτοις ψόφοις. ὧν οὔτε τὸ φιλικὸν βέβαιον, οὔτε τὸ διεχθρεῦον ἀκίνδυνον. ἐὰν δὲ ὀργισθῇ τί μοι γλυκέρα, ἅπαξ αὐτὴν ἁρπάξας κατεφίλησα. εἰ ἔτι ὀργίζεται, μᾶλλον αὐτὴν ἐβιασάμην. κἂν βαρυθύμως ἔχῃ, ἐδάκρυσα. πρὸς ταῦθ' οὐκ ἔτι ὑπομείνασα τὰς ἐμὰς λύπας δεῖται λοιπὸν οὔτε στρατιώτας ἔχουσα οὔτε δορυφόρους οὔτε φύλακας. ἐγὼ γὰρ αὐτῆς εἰμι πάντα. ἢ μέγα καὶ θαυμαστὸν ἰδεῖν τὸν καλὸν νεῖλον. οὐ μέγα δὲ καὶ τὸν εὐφράτην ἰδεῖν,

οὐ μέγαν καὶ τὸν ἴστρον οὕτω μεγάλον. καὶ ὁ θερμώδων. ὁ τίγρης· ὁ ἅλυς. ὁ ῥῆνος. εἰ μέλλω πάντας τοὺς ποταμοὺς ὁρᾶν, καταβαπτισθήσεταί μοι τὸ ζῆν, μὴ βλέπων γλυκέραν. ὁ δὲ νεῖλος οὗτος καίπερ ὢν καλὸς, ἀλλ' ἀποτεθηρίωται. καὶ οὐκ ἔστιν οὔτε προσελθεῖν αὐτῷ ταῖς δίναις ἐλλοχωμένων τοσούτοις κακοῖς. ἐμοὶ γένοιτο βασιλεῦ πτολεμαῖε τὸν ἀττικὸν αἰεὶ στεφθῆναι κισσόν. ἐμοὶ γένοιτο χώματος τοῦ πατρῴου τυχεῖν, καὶ τὸν ἐν ἐσχάρᾳ ὑμνῆσαι κατ' ἔτος διόνυσον. τὰς μυστηριώτιδας ἄγειν τελετάς. δραματουργεῖν τι καινὸν ταῖς ἐτησίοις θυμέλαις δρᾶμα γελῶντα καὶ χαίροντα καὶ ἀγωνιῶντα καὶ φοβούμενον καὶ νικῶντα. Φιλήμων δὲ εὐτυχείτω καὶ τἀμὰ ἀγαθὰ, γενόμενος ἐν αἰγύπτῳ. οὐκ ἔχει φιλήμων γλυκέραν τινά. οὐδὲ ἄξιος ἦν ἴσως τοῦ τοιούτου ἀγαθοῦ. σὺ δὲ ἐκ τῶν ἀλώων δέομαι γλυκέριον εὐθὺς πετομένη πρὸς ἡμᾶς ἐπὶ τῆς ἀστράβης φέρου. μακροτέραν ἑορτὴν οὐδέποτε ἔγνων. οὐδὲ ἀκαιροτέραν· δήμητερ ἵλεως γενοῦ.

Γλυκέρα Μενάνδρῳ.

Ὡς διεπέμψω μοι τοῦ βασιλέως τὰς ἐπιστολὰς, εὐθὺς ἀνέγνων. μὰ τὴν καλλιγένειαν ἐν ᾗ νῦν εἰμὶ κατέχαιρον μένανδρε ἐκπαθὴς ὑπὸ ἡδονῆς γενομένη. καὶ τὰς παρούσας οὐκ ἐλάνθανον. ἦν δὲ ἥτε μήτηρ μου καὶ ἡ ἑτέρα ἀδελφὴ εὐφόριον, καὶ τῶν φίλων ἣν οἶσθα καὶ παρὰ σοὶ ἐδείπνησε πολλάκις καὶ ἐπῄνεις αὐτῆς τὸν ἐπιχώριον ἀττικισμόν. ἀλλ' ὡς φοβούμενος αὐτὴν ἐπαινεῖν, ὅτε καὶ μειδιάσασα θερμότερόν σε κατεφίλησα. οὐ μέμνησαι μένανδρε, θαυμασάμεναι δέ με παρὰ τὸ εἰωθὸς καὶ τῷ προσώπῳ καὶ τοῖς ὀφθαλμοῖς χαίρουσαν, ὦ γλυκέριον ἤροντο. τί σοι τηλικοῦτον γέγονεν ἀγαθόν. ὅτι καὶ ψυχῇ καὶ σώματι καὶ πᾶσιν ἀλλοιοτέρα νῦν ἡμῖν πέφηνας· καὶ τὸ σῶμα γεγάνωσαι καὶ διαλάμπεις ἐπίχαρτόν τι καὶ εὐκταῖον. κἀγὼ μένανδρον ἔφην τὸν ἐμὸν ὁ αἰγυπτίων βασιλεὺς πτολεμαῖος ἐπὶ τῷ ἡμίσει τῆς βασιλείας τρόπον τινὰ μεταπέμπεται, μείζονι τῇ φωνῇ φθεγξαμένη καὶ σφοδροτέρᾳ, ὅπως πᾶσαι ἀκούσωσιν αἱ παροῦσαι. καὶ ταῦτα ἔλεγον ἐγὼ διατινάσσουσα καὶ σοβοῦσα ταῖς χερσὶ τὸ γράμμα τῆς ἐπιστολῆς σὺν τῇ βασιλικῇ σφραγῖδι. χαίρεις οὖν ἀπολειπομένη ἔφασαν; τὸ δὲ, οὐκ ἦν μένανδρε. ἀλλὰ τοῦτο μὲν οὐδενὶ τρόπῳ μὰ τὰς θεὰς οὐδ' εἰ βοῦς μοι τὸ λεγόμενον φθέγξαιτο, πεισθείην ἄν, ὅτι βουλήσεταί ποτε ἢ δυνήσεται μένανδρος ἀπολιπὼν ἐν ἀθήναις γλυκέραν τὴν ἑαυτοῦ, μόνος ἐν αἰγύπτῳ βασιλεύειν μετὰ πάντων τῶν ἀγαθῶν. ἀλλὰ καὶ τοῦτό γε δῆλος ἐκ τῶν ἐπιστολῶν ὧν ἀνέγνων, δῆλος ἦν ὁ βασιλεὺς τἀμὰ πεπυσμένος ὡς ἔοικε περὶ σοῦ καὶ ἀτρέμα δι' ὑπονοιῶν αἰγυπτίοις θέλων ἀττικισμοῖς σε διαπαιδαγωγεῖν. χαίρω διὰ τοῦτο, ὅτι πεπλεύκασι καὶ εἰς αἴγυπτον πρὸς αὐτὸν οἱ ἡμέτεροι ἔρωτες, καὶ πείθεται πάντως ἐξ ὧν ἤκουσεν ἀδύνατον σπουδάζειν, ἐπιθυμῶν ἀθήνας πρὸς αὐτὸν διαβῆναι. τί γὰρ ἀθῆναι χωρὶς μενάνδρου. τί δὲ μένανδρος χωρὶς γλυκέρας ἥτις αὐτῷ καὶ τὰ προσωπεῖα διασκευάζω καὶ τὰς ἐσθῆτας ἐνδύω καὶ τοῖς προσκηνίοις ἕστηκα, τοὺς δακτύλους ἐμαυτῆς πιέζουσα ἢ ἂν κροταλίσῃ τὸ θέατρον. καὶ τρέμουσα τότε νὴ τὴν ἄρτεμιν ἀναψύχω καὶ περιβάλλουσά σε τὴν ἱερὰν

Non magnum etiam Iſtrum ita vaſtum ac latum. Et Thermodon, Tigris, Alys, Rhenus. Si omnia flumina videre ſit animus mergetur ipſa vita cùm non aſpiciet Glyceram. Nilus autem iſte, quamuis præſtabilis, tamen beluis infeſtus eſt, neq; licet accedere, cùm gurgitibus ac voraginibus tanta mala quaſi in inſidiis occultet. Mihi contingat ô rex Ptolemæe ſemper Atticis hederis coronari, Mihi cõtingat aggere ac ſepulchro patrio potiri, & in foco quotannis Bacchum celebrare, Myſteriotica ſacra obire, & agere nouam aliquam annuis ſcenis fabulam, rideotem, lætantem, trepidantem, metuẽtem atque vincentem. Philemon autem meis etiã bonis fortunatus ſit in Ægypto. Non habet Philemon aliquam Glyceram, neq; fortaſſe dignus fuit tanto munere. Tu verò poſt Aloa quæſo Glyceriũ ſtatim aduolans ad nos in mula portabis. Longius feſtum nunquam cognoui, neque intempeſtiuius. Ceres eſto benigna atque propitia.

Glycera Menandro.

Cùm miſiſſes mihi regis epiſtolas, continuò legi. Equidem per Calligeniam, in qua nuc ſum gaudium maximum cepi Menandre, penè amens præ lætitia ac voluptate, neque præſentes alias celare potui. Erat autem mater mea, atque altera ſoror Euphorium, & ex amicis, quàm nouiſti & apud te cœnata eſt perſæpe atque laudare indigenam eius Atticiſmum ſolebas, ſed metuens ipſam laudare, cùm etiam ſubridens calidius tibi oſculum dedi, An non memoria tenes Menandre? Conſpicatæ autem me præter ſolitum, & vultu & oculis inſignem lętitiam præ me ferre, ô Glycerium rogabar. Quod tibi tantum bonum accedit, quod animo & corpore atque omnibus mutata nobis videris. Et corpore lætitiam oſtendis, atque gaudentem quendam optabilémque ſplendorem reddis. Atque ego Menandrum inquam meum Ægypti rex Ptolemæ* quodammodo dimidij regni pactione accerſit, maiori vehementiorique voce locuta, vt omnes præſentes exaudire poſſent. Atque hæc ego dicebam quatiens vibránſque meis manibus epiſtolam regio ſigillo obſignatam. Gaudes igitur te derelictũ iri aiebant? Id verò non erat Menandre. Sed hoc nullo modo, ne ſi bos quidem vt aiunt, mihi loqueretur, perſuaderi poſſim, Menandrũ velle aut poſſe relicta Athenis Glycera ſua, ſolum in Ægypto omnibus bonis affluentem regnare. Atque hoc ex epiſtola perſpicuum erat quam legi, perſpicuum erat regem, meam audiuiſſe, vt credibile eſt, quam tecũ habeo coniunctionem, & clàm velle per ſuſpiciones Ægyptiis Atticiſmis deridere. Eam ob cauſſam lætor, quod nauigarunt ad ipſum in Ægyptum etiam noſtri amores, & credit omnino ex his quæ audiuit, omne ſtudiũ irritũ fore, cupiens Athenas ad ſe traſire. Quid enim Athenæ ſine Menãdro? Quid verò Menãdrus ſine Glycera, quæ ipſi & vult* paro & veſtes induo, atq; in proſceniis ſto, digitos meos, premens quacunq; parte Theatrũ, ſtrepat & tremẽs tũc per Dianam refocillo atq; amplector te ſacrũ

fabularum illud caput, ſed quòd amicis meis cum me gaudere dixi, hoc erat Menandre, quòd non Glycera ſolùm, ſed etiam reges tranſmarini te amarent & tranſpontij rumores, tuas virtutes annũciaſſent & Ægyptus, Nilus, Proteus, arces & Phariæ ſpeculæ iam omnia ſe in ſublime extuliſſent deſiderio videndi Menandrum, & audiendi in proſcenium veniẽtes auaros, amantes, ſuperſtitioſos, infideles, patres, filios, ſeruos atq; omne genus hominumque audient quidem, non videbunt autem Menandrum, niſi in vrbe apud Glyceram fuerint, & meam fœlicitatem aſpiciant, & Menandrum illum qui in omnibus vrbis terrarum partibus eſt ſua gloria, noctes atque dies me amplexantem. At verò ſi te cupiditas tenet illorum bonorum quæ ibi ſũt, & eius terræ Pyramidum atque celebrium imaginum, & nobilis Labyrinthi, aliorúmque quæ vel tempore vel arte ſunt apud ipſos precioſa atq; ampla, rogo te ne me vt prætextu vtaris, neque me Athenienſes ob hæc habeant odio, iam modios numerante, quos eis rex miſſurus eſt propter te. Sed ab deorum omnium fauſtis auſpiciis, bona fortuna, ſecundis ventis, Ioue Vrio. Nam ego te non relinquã. Ne hoc me putes dicere, neque poſſum etiamſi velim. Sed relicta matre & ſororibus eius, nauim tecũ ingrediar, & ſat ſcio me commodam aptámque eſſe mari, & fracto remo ego nauigationem curabo. Fouebo tuam imbecillitatem in procellis atque æſtuationibus. Ducam te ſine fabulis Ariadnæ in Ægyptum, non Bacchum ſed Bacchi miniſtrum, & ſacerdotem, neque in Naxo aut marinis deſertis relinquar, tuam perfidiam lugens, atque deteſtans. Valeant illi Theſei, & gratuita ſeniorum ſcorta. Nobis verò firma omnia & vrbs & Peræus & Ægyptus. Nullus locus noſtros amores non capiet ſolidos, & ſi in petra habitemus, ſat ſcio Venerea res eam gratam atque acceptam faciet. Sic mihi perſuadeo te neque pecunias, neque opes, neque diuitias ſummè expetere, ſed in me atque Dramatis fœlicitatem ponere. Sed cognati, patria, amici, propemodum vt ſcis omnes vndique multis indigẽt. Diteſcere volunt & pecunias colligere. Tu nunquam vllo crimine me accuſabis, ſeu paruo, ſeu magno, id probè ſcio, qui olim te mihi dedidiſti victus, cùm omnibus rebus tum amore, Nunc verò iam etiam hæc iudicio ſtabiliuiſti, qua re magis ſuſtẽtor, cùm metuo inconſtantiam amoris vehementioris. Eſt enim vt violentius amor, vehementior ita etiam facilis diſſolutu. Quibus verò ſunt etiam adiecta cõſilia, in his iam fortius eſt & ſolidius opus, neque expers voluptatum propter multitudinem, neq; egés, vinces animum quemadmodum ſæpiùs de his ipſe me confirmans doces. Sed etiamſi tu neque conquereris de me quicquam, neque accuſabis, tamen Atticas veſpas, quæ vndique me cùm ſuis bombis circumuolabunt exeuntem ad ipſas è diſtracta Athenienſium ciuitate diuitias. Proinde rogo te Menandre quietus eſto, neque adhuc regi quicquam reſcribito. Amplius conſilium capito. Expecta donec in vnum conuenerimus, cum amicis & Theophraſto atq; Epicuro. Forſitan enim

τῶν δραμάτων ἱκέτιν κεφαλὴν ἐγκαλλίζομαι. ἀλλ' ὅτι τοῖς φίλοις τότε χαίρειν ἔφην, τοῦτ' ἦν Μένανδρε ὅτι οὐκ ἄρα Γλυκέρα μόνη, ἀλλὰ καὶ βασιλεῖς ὑπερθάλασσοι ἐρῶσί σου, καὶ διαπόντιοι φῆμαι τὰς σὰς ἀρετὰς καταγγέλλουσι. καὶ αἴγυπτος καὶ νεῖλος καὶ πρωτέως ἀκρωτήρια καὶ αἱ φάρου σκοπιαὶ πάντα μετέωρα νῦν ἐστι, βουλόμενα ἰδεῖν Μένανδρον καὶ ἀκροᾶσθαι φιλαργύρων καὶ ἐρώντων καὶ δεισιδαιμόνων καὶ ἀπίστων καὶ πατέρων καὶ υἱῶν καὶ θεραπόντων, καὶ παντὸς ἐνσκηνοβατουμένου ὧν ἀκούσονται μέν, οὐκ ὄψονται. δὲ Μένανδρον εἰ μὴ εἰς ἄστυ ἔλθοιεν καὶ παρὰ Γλυκέρᾳ γένοιντο. καὶ τὴν ἐμὴν εὐδαιμονίαν ἴδοιεν τὸν πανταχοῦ διὰ τὸ κλέος αὐτοῦ Μένανδρον καὶ νύκτωρ καὶ μεθ' ἡμέραν ἐμοὶ περικείμενον. οὐ μὴν ἀλλ' εἴγε ἄρα πόθος αἱρεῖ σέ τις καὶ τῶν ἐκεῖ ἀγαθῶν, καὶ εἰ μηδενὸς ἄλλου τῆς γε αἰγύπτου, χρήματος μεγάλου καὶ τῶν αὐτόθι πυραμίδων καὶ τῶν ἠχούντων ἀγαλμάτων καὶ τοῦ περιβοήτου λαβυρίνθου καὶ τῶν ἄλλων ὅσα ἀπὸ χρόνου ἢ τέχνης παρ' αὐτοῖς τίμια, δέομαί σου Μένανδρε μὴ ποιήσῃ με πρόφασιν. μηδέ με ἀθηναῖοι διὰ ταῦτα μισησάτωσαν ἤδη τοὺς μεδίμνους ἀριθμοῦντες οὓς ὁ βασιλεὺς αὐτοῖς πέμψει διὰ σέ. ἀλλ' ἄπιθι πᾶσι θεοῖς. ἀγαθῇ τύχῃ δεξιοῖς πνεύμασι. διὶ οὐρίῳ. ἐγὼ γάρ σε οὐκ ἀπολείψω. μὴ τοῦτο δόξῃς με λέγειν, οὐδ' αὐτὴ δύναμαι κἂν θέλω. ἀλλὰ παρεῖσα τὴν μητέρα καὶ τὰς ἀδελφὰς αὐτῆς ἔσομαι συμπλέουσά σοι. καὶ σφόδρα τῶν διαθαλασσῶν γεγένημαι εὖ οἶδα. καὶ ἐκκλωμένης κώπης ναυτίας ἐγὼ θεραπεύσω. θάλψω σου τὸ ἀσθενοῦν τῶν πλανησμῶν. ἄξω δέ σε ἄτερ μίτου ἀσφαλὴς εἰς αἴγυπτον οὐ διόνυσον ἀλλὰ διονύσου θεράποντα καὶ προφήτην. οὐδὲ ἐν νάξῳ καὶ ἐρημίαις ναυτικαῖς ἀπολειφθήσομαι τὰς σὰς ἀπιστίας κλαίουσα καὶ τιλλομένη. χαιρέτωσαν οἱ θησεῖς ἐκεῖνοι καὶ τὰ ἄμισθα τῶν πρεσβυτέρων ἀμπλακήματα. ἡμῖν δὲ βέβαια πάντα καὶ τὸ ἄστυ, καὶ ὁ πειραιεὺς καὶ ἡ αἴγυπτος. οὐδὲν χωρίον ἡμῶν τοὺς ἔρωτας οὐχὶ δέξεται πλήρεις κἂν πέτραν οἰκῶμεν, εὖ οἶδα ἀφροδίσιον αὐτὴν τὸ εὔνουν ποιήσει. πέπεισμαι μήτε χρημάτων σε μήτε τρυφῆς μήτε πλούτου τὸ καθάπαξ ἐπιθυμεῖν, ἐν ἐμοὶ καὶ τοῖς δράμασι τὴν εὐδαιμονίαν κατατιθέμενον. ἀλλ' οἱ συγγενεῖς ἀλλ' ἡ πατρίς, ἀλλ' οἱ φίλοι, σχεδὸν οἶσθα πάντη πάντες πολλῶν δέονται. πλουτεῖν ἐθέλουσι καὶ χρηματίζεσθαι. σὺ μὲν οὐδέποτε περὶ οὐδενὸς αἰτιάσῃ με οὔτε μικροῦ οὔτε μεγάλου, τοῦτο εὖ οἶδα, πάλαι μὲν ἡττημένος ἐμοῦ πάθει καὶ ἔρωτι. νῦν δὲ ἤδη καὶ κρίσει προστεθεικὼς αὐτοῖς. οἷς μᾶλλον περιέχομαι Μένανδρε φοβουμένη τῆς ἐμπαθοῦς φιλίας τὸ ὀλιγοχρόνιον. ἔστι γὰρ ὡς βίαιος ἡ ἐμπαθὴς φιλία, οὕτω καὶ εὐδιάλυτος. οἷς δὲ προσβέβληνται καὶ βουλαί, ἀρραγέστερον ἐν τούτοις ἤδη τὸ ἔργον οὔτε ἀμιγὲς ἡδοναῖς τε καὶ διὰ τὸ πλῆθος, οὔτε προσδεές. λύσεις δὲ τὸ γνώμην ὡς με πολλάκις περὶ τούτων αὐτὸς νουθετῶν διδάσκεις. ἀλλ' εἰ σὺ μήτε τι μέμψῃ μηδὲ αἰτιάσῃ, διὰ τοὺς ἀττικοὺς σφῆκας οἵ τινες ἄρξονται πάντη με περιβομβεῖν ἀξιοῦσιν ὡς αὐτὸν ἀφῃρημένης τῆς ἀθηναίων πόλεως τὸν πλοῦτον. ὥστε δέομαί σου Μένανδρε ἐπίσχες, μηδέπω τῷ βασιλεῖ μηδὲν ἀντεπιστείλῃς. ἐπὶ βουλεῦσαι. περιμένοντες ἕως κοινῇ γενώμεθα καὶ μετὰ τῶν φίλων καὶ Θεοφράστου καὶ Ἐπικούρου. τάχα γὰρ

ἀλλοιότερα κἀκείνοις καὶ σοὶ φανεῖται ταῦτα. μᾶλλον δὲ καὶ θυσόμεθα καὶ ἰδώμεθα τί λέγει τὰ ἱερά, εἴτε λῷον εἰς αἴγυπτον ἡμᾶς ἀπιέναι εἴτε μένειν. καὶ χρησμολογησώμεθα εἰς δελφοὺς πέμψαντες. πάτριος ἡμῶν ἐστιν ὁ θεός. ἀπολογίαν ἕξομεν καὶ πορευόμενοι καὶ μένοντες πρὸς ἀμφοτέρους τοὺς θεούς. μᾶλλον δὲ ἐγὼ τοῦτο ποιήσω. καὶ γὰρ ἔχω τινὰ νεωστὶ γυναῖκα ἀπὸ φρυγίας ἥκουσαν εὖ μάλα τούτων ἔμπειρον. γαστρομαντεύεσθαι δεινὴν τῇ τῶν σπαρτῶν διατάσει νύκτωρ καὶ τῇ τῶν θεῶν δείξει, καὶ οὐδὲ λεγούσῃ πιστεύειν, ἀλλ' ἰδεῖν ὥς φασι. διαπέμψομαι πρὸς αὐτήν. καὶ γὰρ ὡς ἔφη καὶ καθαρσίῳ τινὰ δεῖ προτελέσαι τὴν γυναῖκα καὶ παρασκευάσαι τινὰ ζῷα ἱερεῦσαι. καὶ λιβανωτὸν ἄρρενα καὶ στύρακα μακρὸν καὶ πέμματα σελήνης, καὶ ἄγρια φύλλα τῶν ἀνθρώπων. οἶμαι δὲ καὶ σὺ φθήσεσθαι πειραιόθεν ἐλθεῖν. ἢ δήλωσαί μοι σαφῶς μέχρι τίνος οὐ δύνασαι γλυκέραν ἰδεῖν. ἵν' ἐγὼ μὲν καταδράμω πρὸς σέ. τὴν δὲ φρυγίαν ταύτην ἑτοιμάσομαι ἤδη καὶ ἂν μέλλῃς τῶν πειραϊῶν ἀποσπᾶν μου τὸν πειραιᾶ καὶ τὸ ἀγρίδιον καὶ τὴν μουνυχίαν, καὶ κατ' ὀλίγον ὅπως ἐκπέσωσι τῆς ψυχῆς. οὐ δύναμαι πάντα ποιεῖν μὰ τοὺς θεούς. σὺ δὲ οὐ δύνασαι διαπεπλεγμένος ὅλως ἤδη μοι. κἂν οἱ βασιλεῖς ἐπιστέλλωσι πάντες, ἐγὼ πάντων εἰμὶ παρὰ σοὶ βασιλικωτέρα καὶ εὐσεβεῖ σοι κέχρημαι ἐραστῇ καὶ ὅρκων ἱερῶν μνήμονι. ὥστε πειρῶ μᾶλλον ἐμὴ φιλότης θᾶσσον εἰς ἄστυ παραγενέσθαι ὅπως ἔχῃς, εἰ μεταβουλεύσαιο τῆς πρὸς βασιλέα ἀφίξεως, ἕτοιμα εὐτρεπισμένα τὰ δράματα ἐξ αὐτῶν ἃ μάλιστα ὀνῆσαι δύναιτο πτολεμαῖον καὶ τὸν αὐτοῦ διόνυσον, οὐ δημοκρατικὸν ὡς οἶσθα. εἴτε θαΐδας εἴτε μισούμενον εἴτε θρασυλέοντα εἴτε ἐπιτρέποντας, εἴτε ῥαπιζομένην εἴτε σικυῶνα. . . . .

. . . . Ἀλλ' ὅτι καὶ ἐγὼ θρασεῖα καὶ τολμηρά τις εἰμὶ τὰ μενάνδρου διακρίνειν ἰδιῶτις οὖσα. ἀλλὰ σοφὸν ἔχω σου τὸν ἔρωτα καὶ ταῦτ' εἰδέναι δύνασθαι. σὺ γάρ μ' ἐδίδαξας εὐφυᾶ γυναῖκα ταχέως παρ' ἐρώντων μανθάνειν, ἀλλ' οἰκονομοῦσιν ἔρωτες σπεύδοντες. αἰδούμεθα τὴν ἄρτεμιν ἀνάξιοι ὑμῶν εἶναι μὴ θᾶττον μανθάνουσαι. πάντως δέομαι μένανδρε κἀκεῖνο παρασκευάσασθαι τὸ δρᾶμα, ἐν ᾧ με γέγραφας. ἵνα κἂν μὴ παραγένωμαι σὺν σοί, δι' ἄλλου πλεύσῃς πρὸς πτολεμαῖον, κἂν μᾶλλον αἴσθηται ὁ βασιλεὺς ὅσον ἰσχύει καὶ παρὰ σοὶ γεγραμμένους φέρειν ἑαυτοῦ τοὺς ἔρωτας. ἀφεὶς ἐν ἄστει τοὺς ἀληθινούς· ἀλλ' οὐδὲ τούτους ἀφήσεις εὖ ἴσθι. κυβερνᾶν ἢ πρωρατεύειν ἕως δεῦρο παραγένῃ πρὸς ἡμᾶς πειραιόθεν μελετήσομαι. ἵνα σε ταῖς ἐμαῖς χερσὶν ἀκύμονα ναυστολήσω πλέειν εἰ τοῦτο ἄμεινον εἶναι φαίνοιτο· φανείη δὲ ὦ θεοὶ πάντως ὃ κοινῇ λυσιτελὲς ἢ καὶ μαντεύσαιτο ἡ φρυγία τὰ συμφέροντα κρεῖσσον τῆς θεοφορήτου σου κόρης. Ἔρρωσο.

Τέλος.

PVlchram & honeſtam decet ex ingenio moribuſque amatorum delectum ſcribere, non à genere. Etenim peregrinus, æquus ac bonus eſſe poteſt, & ciuis prauus ac malitioſus, quò etiam ſapientiæ propior eſt. Indigena igitur nihil diſcrepat à lapidibus & omni permanente, quorũ ſtabilitas neceſſitate deuincta eſt. Peregrinus verò, celerrimis dijs ſimilis eſt ſoli, ventis, aſtris & amori, à quibus ego quoque volucer factus huc perueni, meliori cauſſa adductus. Ne meam ſupplicationem contẽnas. Non enim Hippodamia Pelopẽ aſpernata eſt, quamuis peregrinum ac barbarum, neque Helena eum quæ propter ipſam aderat, neque Phyllis illum de mari progreſſum, neque Andromeda eum qui ad ipſam aduolarat. Hoc enim viderunt, ab indigenis vnam ſe ciuitatem accipere, à peregrinis multas. Quòd ſi videtur, age, fœderibus cõſtituatur, aut hic vterque maneamus, aut ſimul illò diſcedamus Non accipis hanc conditionem. Intellige igitur, piſcem fieri peregrinum non poſſe. Gaudet autem eiuſdem & vnius terræ mutationibus. Quid enim ſunt aliud patriæ, quàm formidoloſæ commenſiones ſordidorum & illiberalium legiſlatorũ, terminis ac portis ſua deſcribẽtium, vt beneuolentiis & amoribus in anguſtum cogamur, & metu ne vltra tabellã localis amicitiæ fiat tranſgreſſio, prohibeamor. Atqui ego quoq; ſum amoris peregrinus & tu pulchritudinis. Nõ.n. nos ad hęc acceſſim⁹ ſed ipſa ad nos peruenerũt, & præſentiã illorũ nos libẽter ac ſuauiter excepim⁹, vt aſtrorũ pſentiã, qui naues agũt. Quòd ſi mihi pegrinitas nihil eſt ad amorẽ impedimẽto ne tibi quidẽ obſtet quo min⁹ amãtes intelligas ac ſcias mox fugitiuũ accipes ſpõſũ.

Μειρακίῳ.

Εἰ ξένος ὢν ἐρῶ σου, μὴ θαυμάσῃς· οὐκ ἔστιν ὀφθαλμοὺς ξενίας ἁλῶναι. καὶ γὰρ κάλλος αὐτὸ ὁμοίως καὶ πῦρ αἰσθάνεται. καὶ δεῖ τὸ μὲν λάμψαι. τὸ δὲ διθὶς ἵστασθαι. παρκείσονται δ' ἤδη σοι ὑπὲρ αὐτῶν, ὅτι ὄμμασιν. ἀλλ' εἰσὶ καὶ ξένοις καὶ πολίταις οἱ τῆς ψυχῆς ἄγγελοι. ἦν μὲν ὁ βράγχος ἱερεὺς τοῦ ἀπόλλωνα ὡς ξένον. οὐδ' ὁ ὕλλας τὸν ἡρακλέα. οὐχ ὁ λικύμνιος τὸν ῥαδάμανθυν. οὐ δὲ ὁ πάτροκλος τὸν ἀχιλλέα. οὐ δὲ ὁ χρύσιππος τὸν λάϊον. ἤρα δὲ σμερδίου πολυκράτης ὁ σάμιος. καὶ τοῦ πέρσου μειρακίου ὁ ἀγησίλαος. οὐκ οἶδα τοῦ μειρακίου τὸ ὄνομα. ξένοι καὶ οἱ ὄμβροι τῆς γῆς καὶ οἱ ποταμοὶ τῆς θαλάσσης· καὶ ὁ ἀσκληπιὸς ἀθηναίων. καὶ ὁ ζεὺς ἡμῶν. ὁ νεῖλος αἰγυπτίων. καὶ ὁ ἥλιος πάντων. ξένη καὶ ἡ ψυχὴ τοῦ σώματος. καὶ ἡ ἀηδὼν τοῦ ἀέρος, καὶ ἡ χελιδὼν τῆς οἰκίας. καὶ ὁ γανυμήδης τοῦ οὐρανοῦ. καὶ ἡ ἀλκυὼν τῆς πέτρας. καὶ ὁ ἐλέφας, ῥωμαίων. καὶ ὁ ὄρνις ὁ φοῖνιξ τῶν ἰνδῶν. οὗτος μὲν ὁ ξένος καὶ βραδύς. τὸν δὲ πελαργὸν οἱ πρῶτοι θεασάμενοι, καὶ προσκυνοῦσι. ξένα καὶ τὰ γράμματα. ἐκ φοινίκης γὰρ ἦλθε. καὶ σειρήνων νύμφαι. καὶ ἡ μάγων θεολογία· οἷς πᾶσιν ἥδιον χρώμεθα, ἢ τοῖς ἐγχωρίοις ὅτι τὸ μὲν, ἀπαίσιον τὸ ἐπίκτητον. τὸ δὲ ὀλίγωρον τὸ οἰκεῖον. ἀμείνων καὶ ἐραστής, ὁ ξένος. ὅσῳ καὶ αὐτὸ πλέον τῇ ἀγνοσίᾳ. καὶ πρὸς τὸ λαθεῖν ἀφανέστερος. εἰ δὲ δεῖ καὶ μένοντος, ἐγγραφόν με σύ. καὶ ζεὺς γίνου φράτριος. καὶ ὁ ἀπόλλων πατρῷος· ἡ δὲ φυλή, τοῦ ἔρωτος.

Γυναικί.

Τὴν καλλονὴν ἀπὸ τοῦ τρόπου, δεῖ τῶν ἐραστῶν ποιεῖσθαι τὸν κατάλογον. οὐκ ἀπὸ τοῦ γένους· καὶ γὰρ ξένος, ἐπιεικὴς δύναται γενέσθαι. καὶ πολίτης κακός. ὥσπερ καὶ τῶν φρονημάτων ἐγγύτερος ὢν. ὁ μὲν γὰρ ἐγχώριος, οὐδὲν διαφέρει λίθων καὶ παντὸς τοῦ μένοντος. ὧν τὸ ἑδραῖον ἀνάγκη προσέστηκεν. ὁ δὲ ξένος, ἔοικε τοῖς ὀξυτάτοις θεοῖς. ἡλίῳ καὶ ἀνέμοις, καὶ ἄστροις, καὶ ἔρωτι. ὑφ' ὧν κἀγὼ πτηνὸς γενόμενος, δεῦρο ἐλήλυθα, κινηθεὶς προφάσει κρείσσονι. μὴ μὴν τῆς ἱκεσίας ὑπερίδῃς. οὐδὲ γὰρ τὸν πέλοπα ἱπποδάμεια ἠτίμησε ξένον ὄντα καὶ βάρβαρον. οὐδὲ ἡ ἑλένη τὸν δι' αὐτὴν παρόντα. οὐδ' ἡ Φυλλὶς τὸν ἐκ θαλάττης, οὐδ' ἡ ἀνδρομέδα τὸν πρὸς αὐτὴν καταπτάντα. ἤδεισαν γὰρ ὡς παρὰ μὲν τῶν ἐγχωρίων, μίαν πόλιν λαμβάνουσι. παρὰ δὲ τῶν ξένων πολλάς. εἰ δὲ δοκεῖ, φέρε ἐπὶ συνθήκαις γινέσθω τὸ πρᾶγμα. ἢ ἐνταῦθα ἀμφότεροι μένωμεν, ἢ μετ' ἀλλήλων ἐκεῖσε ἀπέλθωμεν. οὐ δέχῃ τοῦτο. γνῶθι οὖν ὡς γενέσθαι μὲν ἰχθὺς ξένος, οὐκ ἀνέχεται. χαίρει δὲ μεταβολαῖς τῆς γῆς οὔσης μιᾶς. τί γὰρ ἄλλο αἱ πατρίδες ἢ μέτρα δειλὰ ἀγεννῶν νομοθετῶν, ὅροις καὶ πύλαις διαχαραττόντων τὰ οἰκεῖα. ἵνα ταῖς εὐνοίαις συγχωρώμεθα ὑπερβαίνειν ὀκνοῦντες τὸ πινάκιον τῆς χωροφιλίας. καὶ μὴν κἀγὼ τοῦ ἔρωτος ξένος καὶ σὺ τοῦ κάλλους. οὐ γὰρ ἡμεῖς πρὸς ταῦτα ἀπήλθομεν. ἀλλ' αὐτὰ πρὸς ἡμᾶς κατῆλθε. καὶ τὴν παρουσίαν αὐτῶν ἐδεξάμεθα ἡδέως. ὡς τὴν τῶν ἄστρων οἱ πλέοντες. εἰ δὲ μοι τὸ, ξένῳ εἶναι μὴ γέγονεν πρὸς τὸν ἔρωτα ἐμποδών, μὴ δὲ σοὶ κώλυμα ἔστω πρὸς τὸ συνεῖναι τῷ ἐρῶντι· ταχὺ γὰρ φυγάδα ἕξεις νυμφίον.

ὥσπερ ἄδραστος τὸν πολυνείκην καὶ τὸν τυδέα οὓς γαμβροὺς ἐποιήσατο ἐπὶ τῆς βασιλείας ἔκπτωσιν. εἴ τις ἀποκλείει καὶ ξένον πυρὸς ἐναῦσαι θέλοντα, ἀλλὰ τὸ καιόμενον σβέσαι. μὴ λακώνιζε ὦ γύναι. μὴ δὲ μιμοῦ τὸν λυκοῦργον. ξενηλασίαν ἔρως οὐκ ἔχει.

Μενεχκίῳ.

ΠΟσάκις σοι τοὺς ὀφθαλμοὺς ἀνέῳξα ἵνα ἀπέλθῃς ὥσπερ οἱ τὰ δίκτυα ἀναπτύσσοντες τοῖς θηρίοις εἰς ἐξουσίαν τῆς φυγῆς. καὶ σὺ μένεις ἑδραῖος κατὰ τοὺς δεινοὺς ἐποίκους. οἳ χώραν ἅπαξ ἀλλοτρίαν καταλαβόντες, οὐκ ἔτι δέχονται τὴν ἀπανάστασιν. καὶ δὴ πάλιν ὥσπερ εἴωθα ἐπαίρω τὰ βλέφαρα. ἀπόπτηθι ἤδη ποτὲ καὶ τὴν πολιορκίαν λῦσον. καὶ γενοῦ ξένος ἄλλων ὀμμάτων. οὐκ ἀκούεις, ὅς γε καὶ μᾶλλον ἔχῃ τοῦ πρόσω καὶ μέχρι τῆς ψυχῆς, καί τι; ὁ καινὸς ἐμπρησμός. κινδυνεύω· αἰτῶ ὕδωρ· κομίζει δὲ οὐδείς. ἐπεὶ τὸ σβεστήριον εἰς ταύτην τὴν φλόγα, ἀπορώτατον· εἴτε ἐκ πηγῆς κομίζοι τις εἴτε ἐκ ποταμοῦ λαμβάνοι. καὶ γὰρ αὐτὸ ὑπὸ ἔρωτος τὸ ὕδωρ καίεται.

Γυναικί.

ΤΙ τὸ καινὸν ἀνδρολήψιον τοῦτο; τίς ἡ τυραννίς. ἕλκεις με ἀπὸ τῶν ὀμμάτων, καὶ οὐ μένεις μὴ θέλοντα ὥσπερ τοὺς πλέοντας ἡ χάρυβδις ἀνερρόφα. ἦσαν ἄρα καὶ ἔρωτος πέτραι καὶ ὀφθαλμῶν ἀνεύματα, αἷς τις ἅπαξ ἐνσχεθεὶς, καταδύεται. τοῦτο μὲν οὖν οὐκ ἔσχεν οὐδ' ἡ χάρυβδις. [illegible] μοι ἐκεῖνο τὸ ναυάγιον. καὶ μικρόν τις ἀναμείνας, σωτηρίας εὐπορεῖ, δένδρον εὑρὼν ἐν πελάγει μέσῳ. ὁ δὲ εἰς ταύτην ἅπαξ τὴν θάλασσαν καταρρυεὶς, οὐκ ἔτ' ἐξέρχεται.

Μενεχκίῳ.

ΤΟὺς ὄρνεις αἱ καλιαὶ δέχονται. τοὺς ἰχθύας αἱ πέτραι. τὰ ὄμματα τοὺς καλούς. κἀκεῖνα μὲν πλανᾶ, μεθισταμένων καὶ μετοικούντων ἄλλοτε ἐπ' ἄλλους τόπους. ἄγουσι γὰρ αὐτοὺς ὡς ἄγουσιν οἱ καιροί. κάλλος δὲ ἅπαξ ἐπ' ὀφθαλμοὺς ῥυὲν, οὐκ ἔτ' ἄπεισιν ἐκ τούτου τοῦ καταγωγίου. οὕτως κἀγώ σε ὑποδεξάμενος καὶ φέρω πανταχοῦ τοῖς τῶν ὀμμάτων δικτύοις· κἄν τε ἐμπορίας τις ἐλθὼν ποιμαίνειν μοι δοκῇς, κἂν καθίσῃς πείθων τοὺς λίθους. κἂν τι ἐπὶ θάλασσαν, ἄγει σε ἡ θάλασσα, ὥσπερ τὴν ἀφροδίτην ὁ βυθός. εἴ τε ἐπὶ λειμῶνα, αὐτὴν τῶν ἀνθῶν ἐξέχεις. καίτοι, οὐδὲν τοιοῦτον ἐκεῖ γίνεται· καὶ γὰρ εἰ καλὰ καὶ χαρίεντα ἄλλως, ἀλλὰ μιᾶς ἡμέρας. καὶ μὴν καὶ ποταμοῦ πλησίον γενόμενος, τὸν μὲν οὐκ οἶδα ὅπως ἀφανίζεσθαι, σὲ δὲ ῥεῖν ἀντ' ἐκείνου νομίζω καλὸν καὶ μέγα καὶ πολὺ μεῖζον τῆς θαλάττης. ἀποδὼν δὲ εἰς οὐρανὸν, τὸν μὲν ἥλιον ἡγοῦμαι πεπτωκέναι, καὶ κάτω που βαδίζειν. ἀντ' ἐκείνου δὲ φαίνεσθαι ὃν ἐγὼ βούλομαι. εἰ δὲ γένοιτο καὶ νύξ, δύο βλέπω μόνους ἀστέρας, τὸν ἕσπερον καὶ σέ.

Γυναικί.

ΠΟθεν μου τὴν ψυχὴν κατέλαβες. ἢ δῆλον ὅτι ἀπὸ τῶν ὀμμάτων. ἀφ' ὧν καὶ τὰ ἐρυμνὰ οἱ βασιλεῖς. καὶ τὰ ὑψηλὰ οἱ θεοὶ καταλαμβάνουσιν, οὕτω καὶ ὁ ἔρως τὴν τῶν ὀφθαλμῶν ἀκρόπολιν οὐ ξύλοις οὐδὲ πλίνθοις, ἀλλὰ μόνοις βλεφάροις τειχίσας, ἡσυχῇ κατὰ μικρὸν τὴν ψυχὴν εἰσδύεται. ταχέως μὲν

quemadmodum Adraſtus Polynicem & Tydeum quos generos aſciuit, ad regni vindicationem. Si quis excludit etiam peregrinum, volentem accendere ignem, at vrentem ac flagrantem extinguere. Ne Laconiſſes ô vxor, neque Lycurgum imiteris. Peregrinorum expulſionem amor non patitur.

Delius.

QVoties tibi oculos patefeci, vt abires, quemadmodum qui retia pandunt feris, vt fugiendi poteſtatem habeant. Et tu manes ſtabilis apud iniquos & malos accolas, qui poſtquam ſemel alienā regionem inuaſerunt, non poſſunt adduci amplius vt emigrent. Et iterum vt ſoleo palpebras tollo. Auola nunc tandem, & oppugnationem relinque & eſto peregrinus aliorum oculorum. Nō audis, cùm etiam magis teneas eum qui ante te eſt, & vſque ad animum atque noua quædam eſt inflammatio. In ſummo periculo conſtitutus, aquā peto. Sed nemo fert, quoniam quæ flammam hanc extinguat reperiri omnino non poteſt, ſiue quis adferat ex fonte, ſiue quis è fluuio ſumat. Nam ab amore ipſa quoque aqua ſentit incendium.

Vxori.

QVodnam hoc nouum eſt Androlepſium? Quæ Tyrannis? Ducis me aſpectu, & trahis nolentem, quemadmodum nauigantes Charybdis abſorbuit. Erant equidem & amoris ſaxa & oculorum venti, quibus ſi quis ſemel implicatus ſit, demergitur. Hoc igitur ne Charybdis quidem potuit. Definitum illud naufragium, & ſi quis pauliſper ſuſtineat, ſalutis copiam adipiſcitur, ardore reperta in medio pelago. Qui verò in hoc mare ſemel delatus eſt huic exitus in poſterum non patet.

Delius.

AVes excipiunt nidi, piſces ſaxa, formoſos oculi. Atque illorum quidem ſunt errores, traductorum & transmigrantium aliâs in alia loca. Ducit enim illa tēporū opportunitas quocūq; venerint. At pulchritudo, ſi ſemel in oculos influxerit, non amplius diſcedit ex hoc diuerſorio. Sic et tū ego te excepi & foro vndiquaque in oculorū retibus, & ſiue mercaturæ cauſa iter ingrediar, tu mihi paſcere videris atque adeò ſedens lapides perſuadere, ſiue in mare, te mare abducit, vt Venerem profunditas, ſiue in pratum, ipſos etiam flores ſuperas. Atqui nihil tale ibi naſcitur. Etſi enim ſunt pulchri gratioſique, tamen vnius tantùm diei. Atq; etiā ſi prope fluuium, ſim, hic quidem neſcio quo pacto euaneſcit. Te verò illius loco fluere puto pulchrum & magnum atque multò etiam maiorē mari. Quòd ſi in cœlum reſpiciam, ſolem exiſtimo decidiſſe, & inferius obambulare, at illius loco te apparere quem volo. Sin nocteſcat, duas video duntaxat ſtellas, Heſperum atque te.

Vxori.

VNde meum animū cepiſti, quàm nimirū ab oculis, a quib. & caſtella reges, & alta dij capiunt. Sic etiam amor oculorum arce nō lignis neque lateribus, ſed ſolis palpebris firmata paulatim atque ſenſim in animū ingreditur, celeriter quidē,

vt volucris

vt volucris, liber verò vt nudus, pugnax vt ſagittarius. Oculi verò quamprimum pulchritudinẽ ſentiunt, ob hanc ipſam vruntur maximè, deo quodã crẽdo volente eandem eis viam eſſe, cùm voluptatis ad videndum, tum ad mœrendum occaſionis. Quid enim ô peſſimi faciferi, amoris & corporum elegantiæ teſtes operoſi, primi nobis pulchritudinẽ igneam reddidiſtis, primi meminiſſe animum docuiſtis, extraneæ influxionis primi coëgiſtis, ſole prætermiſſo, alienum ignem laudare. Itaque vigilate & vrimini atque liberationem eorum quæ delegiſtis cogitate, quam reperire non poteſtis. Beatos ô dij à natiuitate cęcos, ad quos amor aditũ aut acceſſum non habet.

Delicijs.

CLauſerunt tibi oculos, quomodo tibi dicam quas portas oppugnantes, & tu clàm præſidio intus es. Dic quis te introduxit, niſi quid oculi habent amatorum atque animo repugnans, qui olim ſola cogitabat quæ volebat, & in pulcherrimis philoſophiæ præceptis omnem operam ac diligentiã conſumebat. Atque hic eum inceſſerat amor, vt cœli terga contemplaretur & de ſubſtantia circa hæc minimè, falſa inquireret, & quæ vniuerſi circuitiones, quæque regeret hæc neceſſitas, quæſtio videbatur iucundiſſima, cum ſole vnà currere, & cum luna recedente quidem periclitari, completa verò gaudere, & cum reliquo ſyderum choro ſimul errare, nihilque inuium aut inconſpectum relinquere ex iis quæ circa hæc ſunt, myſteriis. A quo verò humano amori dedit operam & formoſitatis aſpectu captus eſt, omnibus illis poſthabitis atq; neglectis, in hanc vnam rem omne ſtudium impendit, & quantùm ab exteriore forma traxerit, tantũ intus concinnat & componit, atque monumenta mandit. Quòd autem intrò acceſſerit, lumen quidem interdiu eſt, nocte verò in ſomnium abit.

Vxori.

TVos equidem oculos, amo. Mei verò mihi ſũt exoſi. Nam in illis magnã intelligentiam ac prudentiam animaduerti, in his nimiam ac penè ſceleratam operoſitatem. Impudentes ſunt, ſed neque occultum habere quicquam poſſunt, quod ſemel viderunt. Non igitur deſierunt animo meo dicere. Non vidiſti illam coma excellentem formæ ſingulari elegantia præditam? Veni, aſcende, ſed & ſcriptis rem age, lachrymis ac precibus. At ille promptiſſimè morem gerit. Morem autem gerit, quia nõ poteſt negligere mandata cupidiſſimorũ ſatellitũ. Etenim nolentem extrahũt & per vim adigunt in eam ſententiam, quam ipſi laudibus antea vexerũt. Equidem priuſquam amor in terram deuolaret, nihil præter vnicum ſolem animus pulchrũ nouerat. Atque in eo contemplationem omnem & admirationem ponebat. Deguſtata verò pulchritudine humana, ab illo ſtudio recidit, & in acerbam ſeruitutem deductus eſt, cuius opera ſunt Thyraulia, recubitiones humi, & cum æſtu atque frigore certamen & ἢ μ' ἀνάειρ' ἢ ἐγὼ σε: aut me roga aut ego te, cum riuali contentio. Horũ omnium tu es remẽdium, pro opere diurno, poëmata ſempiterna, & pro breui corporis voluptati perpetuã memoriã adipiſcens. Quę enim dabis, cõmunia ſunt & facilia omni fœminæ. Quæ verò pro his cõſecutura es, ne dicẽdo quidẽ exprimere poſſim, quãta beneuolẽtia.

ὡς πτηνός. ἐλεύθερος δὲ ὡς γυμνός. ἄμαχος δὲ ὡς τοξότης. τὰ δ' ὄμματα ἐπειδὰν πρῶτα συνίησι κάλλους, διὰ τοῦτο μάλιστα καὶ κάεται. θεῶν τινὸς οἶμαι, ὅτι λάσαιτος αὐτοῖς τὴν αὐτὴν ὁδὸν καὶ τῆς εἰς τὸ βλέπειν ἡδονῆς εἶναι καὶ τῆς εἰς τὸ λυπεῖσθαι προφάσεως. τί γὰρ ὦ κακοὶ διάκτορες ἔρωτος καὶ τῆς σωμάτων ὥρας περίεργοι μάρτυρες, πρῶτοι μὲν ἡμῖν τὸ κάλλος ἐπυρώσατε; πρῶτοι δὲ μεμνῆσθαι τὴν ψυχὴν ἐδιδάξατε τῆς ἔξωθεν ἐπιρροῆς. πρῶτοι δὲ ἐβιάσασθε τὸν ἥλιον καταλιποῦσι, πῦρ ἀλλότριον ἐπαινεῖν. τοιγαροῦν ἀγρυπνεῖτε καὶ κλαίετε καὶ λογίζεσθε ἀπαλλαγὴν ὧν εἵλεσθε εὑρεῖν μὴ δυνάμενοι. μακαρίων ὦ θεοὶ τῶν ἐκ γενετῆς τυφλῶν ἐφ' οὓς ἔρως ὁδὸν οὐκ ἔχει.

Μειρακίῳ.

ἈΠέκλεισέν σοι τὰ ὄμματα, παῖ, ὅτι, ὡς οἱ πολιορκούμενοι τὰς πύλας. καὶ σὺ τὴν φρουρὰν λαθὼν, ἔνδον εἶ. λέγε τίς σε εἰσήγαγεν, εἰμή τι τὰ ὄμματα, ἐρωτικὰ καὶ κατὰ τῆς ψυχῆς γενόμενον. ἡ γὰρ πάλαι μὲν μόνα ἐνεθυμεῖτο ἃ ἤθελε καὶ περὶ τὰ κάλλιστα ἐσπουδάκει φιλοσοφῆσαι. καὶ ἦν αὐτῆς ὁ ἔρως τὰ οὐρανοῦ νῶτα ὁρᾶν. καὶ περὶ τῆς κατ' ταῦτα οὐσίας πολυπραγμονεῖν καὶ τίνες αἱ τοῦ παντὸς περίοδοι καὶ τίς ἡ ταῦτα ἄγουσα ἀνάγκη. τὸ σκέμμα ἐδόκει χαριέστατον. ἡλίῳ συνδραμεῖν καὶ σελήνῃ συγκινδυνεῦσαι μὲν ἀπιούσῃ. συνησθῆναι δὲ πληρουμένῃ καὶ τῷ ἄλλῳ χορῷ τῶν ἀστέρων συμπλανηθῆναι καὶ μηδὲν ἄβατον μηδὲ ἀθέατον καταλιπεῖν τῶν ὑπὲρ γῆν μυστηρίων· ἀφ' οὗ δὲ ἀνθρωπίνῳ πλησιάσασα ἔρωτι ἑάλω κάλλους ὄμμασι, πάντων ἀμελήσασα ἐκείνων, περὶ ἓν τοῦτο ἐσπούδακε. καὶ ὅσον ἂν τῆς ἔξω μορφῆς ἀνασπάσῃ, τοσοῦτον ἔνδον συντίθησι· καὶ μνήματα μάττεται. τὸ δ' εἴσω παρελθὸν, φῶς μὲν ἐστὶν ἐν ἡμέρᾳ. νύκτωρ δὲ ὄναρ γίνεται.

Γυναικί.

ΤΆ μὲν σὰ ὄμματα, φιλῶ· τὰ δὲ ἐμαυτοῦ μισῶ· τοῖς μὲν γὰρ σύνεσιν πολλὴν συνέγνωκα. τοῖς δὲ, δεινὴν περιεργίαν. ἀναίσχυντά ἐστιν. ἀλλὰ καὶ κρύπτειν οὐδὲν δυνάμενα ὧν εἰσήνεγκεν ἅπαξ. οὐκ ἀφέστηκε γοῦν μου τῇ ψυχῇ λέγοντα. οὐκ εἶδες τὴν κόμην, τὴν διαφέρουσαν; ἧκε. ἀνάβηθι ἀλλὰ καὶ γράψον καὶ κλαῦσον καὶ δεήθητι. ὁ δὲ, δὴ μάλα πείθεται. πείθεται δὲ ὑπακούειν μὴ δυνάμενος λίχνων δορυφόρων. καὶ γὰρ μὴ βουλόμενον, σύρουσιν ἔξω καὶ βιάζονται φρονεῖν, ὅσα αὐτοὶ προλαβόντες ἐπῄνεσαν. ἀμέλει πρὶν ἔρωτα εἰς γῆν καταπτῆναι, μόνον τὸν ἥλιον ἠπίστατο ἡ ψυχὴ καλόν. καὶ τοῦτο αὐτῇ τὸ θέαμα καὶ θαῦμα ἦν. γευσαμένη δὲ ὥρας ἀνθρωπίνης, ἐκ μὲν τῆς σπουδῆς ἐκείνης κατέπεσεν. εἰς δὲ θητείαν ὑπήχθη πικράν. ἧς ἔργα θυραυλίαι καὶ χαμαικοιτίαι καὶ ἡ πρὸς θάλπος καὶ χειμῶνα ἀντίταξις καὶ ἤ μ' ἀνάειρ' ἢ ἐγὼ σε. πρὸς τὸν ἀντεραστὴν μάχη. τούτων δὲ οὖν πάντων σὺ τὸ φάρμακον. ἔργων μὲν ἀντὶ ποιήματα ἀθάνατα, καὶ βραχείας σώματος ἡδονῆς, μνήμην ἀντιλαβοῦσα ἀγήρω. ἃ μὲν γὰρ δίδως, κοινὰ καὶ ῥᾴδια τῶν θηλειῶν πασῶν. ἃ ἐκτίσῃ ἀντὶ τούτων, οὐδ' ἂν εἰπεῖν μοι ὅσα δύναμις.

καὶ μνήμη καὶ νὺξ ἀφ᾽ ὧν καὶ μήτηρ καὶ πατὴρ γίνεται.

& memoria & nox quibus mater ac pater efficitur.

Μειρακίῳ.

Ὁ Ἀγαμέμνων ὅτε μὲν ὀργῆς ἐκρατεῖ, καλὸς ἦν καὶ οὐχ ἑνὶ θεῷ ἀλλὰ πολλοῖς ὅμοιος. ὄμματα καὶ κεφαλὴν ἴκελος Διὶ τερπικεραύνῳ. Ἄρεϊ δὲ ζώνην, στέρνον δὲ Ποσειδάωνι. ὅτε δὲ ἐνεχυμόνει τῇ γλυκύτητι τοῦ θυμοῦ, καὶ πρὸς τοὺς ἑταίρους ἠγριοῦτο, ἔλαφος καὶ κύων ἐνομίζετο. καὶ τὰ τοῦ Διὸς ὄμματα ἠφάνιστο. σῦς μὲν γὰρ ὀργίζονται καὶ κύνες καὶ ὄφεις καὶ λύκοι καὶ ὅσα ἄλλα οὐκ ἔχει λογισμοῦ θηρία. καλὸς δὲ ἄνθρωπος καὶ μὴ γελάσας μόνον λυπεῖ. μήτοι γε καὶ σκυθρωπότερος ἑαυτοῦ τὴν ὀργὴν ὤν. οὐ πρέπει δὲ οὐδὲ ἡλίου τῷ προσώπῳ νεφέλην περιβάλλεσθαι. τίς ἡ κατήφεια αὕτη; τίς ἡ νύξ; τί τὸ συγνὸν σκότος τοῦτο; μειδίασον, κατάστηθι. ἀπόδος ἡμῖν τὴν τῶν ὀμμάτων ἡμέραν.

Γυναικί.

Ἐχθὲς σε ὀργιζομένην κατέλαβον καὶ ἔδοξα ἄλλην βλέπειν. τούτου δὲ αἴτιον, ἡ τοῦ θυμοῦ ἔκστασις, ἀκριβῶς σοι συγχέασα τὴν τοῦ προσώπου χάριν. νῦν δὲ μεταποίει σεαυτήν. μὴ δὲ ἀγρίαν βλέπε. οὐδὲ τὴν Ἀφροδίτην καλὴν ὅταν ὀργίζηται ἢ δακρύῃ. οὐδὲ τὴν Ἥραν βοῶπιν ὅταν χαλεπαίνῃ τῷ Διί. οὐ δὲ τὴν θάλατταν ὅταν ταράττηται. ἡ δὲ Ἀθηνᾶ καὶ τοὺς αὐλοὺς ἔρριψεν. ὡς τὸ πρόσωπον αὐτῆς συγχέοντας. ἤδη καὶ τὰς ἐριννῦς εὐμενίδας καλοῦμεν ὡς τὸ σκυθρωπὸν ἀρνούμενοι. καὶ ταῖς ἀκάνθαις τῶν ῥόδων χαίρομεν ὅτι ἐξ ἀγρίου θάμνου καὶ λυπεῖν καὶ κεντεῖν εἰδότος γελῶσιν ἐν τοῖς ῥόδοις. ἄνθος ἐστὶ καὶ γυναικὸς ἡ τοῦ προσώπου γαλήνη. μὴ τραχεῖα γίνου μηδὲ φοβερά. μὴ δὲ ἀποστεφάνου τὸ κάλλος. μὴ δὲ ἀφαιροῦ ῥόδων σεαυτὴν ἃ ταῖς καλαῖς ὑμῖν ἐν τοῖς ὄμμασι φύεται. εἰ δὲ ἀπιστεῖς οἷς λέγω, τὸ κάτοπτρον λαβοῦσα, ἴδοισθ τὸ πρόσωπον ἀλλαγμένον. εὖ γ᾽ ὅτι ἐπεστράφης. ἢ γὰρ ἐμίσησας ἢ ἐφοβήθης ἢ οὐκ ἐγνώρισας. ἢ μετανενόησας.

Μειρακίῳ.

Πέπεισαι μὲν ὡς εἰκάζω. τὸ δὲ ἔργον τὴν αἰσχύνην ὀκνεῖς. εἰς ἃ περιέπταισας ἀποδιδράσκεις. ἀφ᾽ οὗ τις φίλος γίνεται. οὐκ ἐν τοῦθεν ἐπληρώθη καλῶν τὰ ὁμήρου ἔπη, τὸν νιρέα τὸν ἀχιλλέα εἰς Τροίαν ἄγοντος; οὐκ ἐντεῦθεν ἁρμόδιοι καὶ ἀριστογείτονος ὅσοι φίλοι καὶ μέχρι τοῦ ξίφους; ὁ δὲ Ἀπόλλων οὐκ Ἀδμήτῳ καὶ Βράγχῳ ἐθήτευσεν; ὁ δὲ Ζεὺς οὐ τὸν Γανυμήδην ἥρπασεν ᾧ χαίρει καὶ πρὸ τοῦ νέκταρος; μόνοι γὰρ ὑμεῖς οἱ καλοὶ καὶ τὸν οὐρανὸν οἰκεῖτε ὡς πόλιν. μὴ ὑπερίδῃς ἐραστοῦ σεαυτῷ δοῦναι μὲν ἀθανασίαν οὐκ ἔχοντος. τὴν δὲ αὐτοῦ ψυχὴν ἔχοντος. εἰ δὲ ἀπιστεῖς, ἕτοιμος ἀποθνήσκειν, εἰ ἐπιτάττοις τοῦτο νυνί. εἰ δὲ πλέκω τὸν βρόχον ἄνθρωπε οὐ καθαιρήσεις;

Γυναικί.

Κελεύεις μοι μὴ βλέπειν, κἀγὼ σοὶ μὴ βλέπεσθαι. τίς τοῦτο κελεύει νομοθέτης. τίς δὲ ἐκεῖνο. εἰ δὲ μηδέτερον κεκώλυται, μήτε σεαυτὴν ἀφαιροῦ τῆς εἰς ἐπίδειξιν εὐδοκιμήσεως, μήτε ἐμὲ τῆς εἰς τέρψιν ἐξουσίας. οὐ δὲ πηγὴ λέγει μὴ πίῃς. οὐ δὲ ὀπώραν μὴ λάβῃς. οὐδὲ λειμὼν μὴ προσέλθῃς. ἕπου

Deliciis.

Agamemnon cùm iram vinceret, egregius erat, neque vni, ſed multis diis ſimilis. Oculis capitéque ſimilis Ioui Terpicerauno, cingulo Marti, pectore Neptuno, cùm verò turpiter animi libidinem expleret, & ſe crudelem inimanémque erga ſocios præberet, ceruus & canis putabatur, neque Iouis vultus vllibi conſpici. Sus enim in iram rapitur, & canes atque ſerpentes lupique & quæcunque aliæ ſunt rationis expertes beſtiæ. Formoſus autem homo & non ridens tãtùm moleſtia afficit, nequaquam ſemetipſo rigidior. Non decet autem, vt ſolis vultus nubibus obducatur. Quæ verò rigiditas iſta, quæ nox, quæ lugubris hæc caligo, ſubride, conſiſte, Redde nobis oculorum diem.

Vxori.

Heri te commotam ira deprehendebam atque videbar aliam videre. Huius autẽ cauſſa erat, mentis alienatio, quæ planè tibi perturbauerat vultus elegantiam & gratiam. Nunc verò muta temetipſam neque trucem vide, neque formoſã Venerẽ cùm iraſcitur aut lachrymatur, neque Iunonem Boopem cùm Ioui ſuccenſet, neque mare, cùm turbatur. Minerua verò etiam tibias abiecit, quòd vultum eius deformarent. Iam etiam Erinnes Eumenides vocamus, vt toruitatẽ detrahamus, & ſpinis roſarum delectamur, quòd ex agreſti frutice qui & triſtitiam adferre & ſtimulare poteſt, rident inter roſas. Flos eſt etiam in muliere vultus tranquillitas. Ne ſis aſpera neque formidabilis, neque elegãtiæ coronam demas, neque tibi ipſi roſas eripias, quæ vobis formoſis in oculis naſcuntur. Quod ſi fides apud te eorũ quæ dico nihil valet, cape ſpeculum & vultum immutatum contemplare. Rectè eſt quòd conuerſa es. Aut enim odiſti aut metuiſti, aut non cognouiſti, aut pœnitudo te cœpit.

Deliciis.

Perſuaſus es vt conijcio. Sed rei turpitudinẽ metuis. Ad quas res aufugis. Vnde tibi amicus efficitur. Non hinc pulchris referta ſunt Homeri carmina, qui Nireum Achillem ad Troiam ducit. An non hanc Harmodij & Ariſtogitonis omnes amici fuerunt etiam vſque ad enſes. Apollo verò an non Admeto & Brancho precio ſeruiuit? Iuppiter an non Ganymedem rapuit, quo plus etiam quàm Nectare delectatus? Soli enim vos pulchri cœlum quaſi ciuitatem inhabitatis. Ne ſpernas amatorem, qui tibi dare immortalitatem non poteſt, ſuam verò animam poteſt. Quòd ſi incredibile tibi videtur, paratus ſum ad obeundam mortem, ſi tu iubeas hoc, etiam nunc. Quòd ſi laqueum necto, an non occides ô homo?

Vxori.

Ivbes mihi ne videam & ego tibi ne videaris. Quid hoc iubet legiſlator. Quis verò illud. Quòd ſi neutrum eſt prohibitum, neq; tu tibi metipſi laudem oſtentationis adimas, neq; mihi delectationis facultatẽ, neq; fons ait, ne bibas, neq; autumnus ne capias, neq; pratum ne accedas. Sequere

mulier

mulier tu etiam leges & ſitim viatoris æſtuantis ſeda, queoi tuum ſydus perdidit.

Fœminæ maritatæ.

RES quidem eſt eadẽ & vna, ſiue à marito, ſiue ab adultero contingat. Quod verò periculo eſt minus ſecurum id gratiam habet maiorem. Nun enim adeò manifeſta poteſtas exhilarat, vt illic ta & arcana voluptas. Omne verò furtiuum ſolet eſſe delectabilius. Sic etiã Neptunus, pupureo fluctu ſubiit & Iuppiter auro, aquæ, boui, draconi, atque aliis integumentis vnde Bacchus & Apollo & Hercules exiſtunt ex adulterio nati dij. Dicit autem Homerus etiã Iunonem tum eũ libenter vidiſſe & cum voluptate quando cum ea clàm coit. Mariti enim poteſtatem mutauit in furtum adulterij.

Delicius.

FAmoſus, ſi ſit crudelis & immanis, ignis eſt. Sin placidus & manſuetus lumen Ne igitur vras, ſed ſerues, & miſericordiæ aram in animo poſitam habeas, & pro minùs diuturno munere, ſtabilẽ & cõſtantem amicũ accipias, & tempus anteuerte quod ſolũm formoſos deſtruit, quemadmodum populares Tyrãnos. Vt ſollicitus ſum (Quod ſentio enim, dicam:) ne te cunctante, moramque nectente, prima barba ſubeat, & elegãtiam vultus obũbiet, quẽadmodum ſolem occultare nubium cõcurſatio ſolet. Quid timeo quæ iam eſt videre? Serpit quidem lanugo, maxillæ verò pubeſcunt. Vultus vniuerſus floret ac viget. Proh cunctando conſenuimus, tu quidem, celeriter obſequi nolens, ego verò precari atque rogare metuẽs. Antequam igitur totum vertuum abeat, & Hyems ad fores præſto ſit, da hoc per amorẽm, per hanc lanuginem, quæ mihi cras eſt iuranda.

Vxori.

ADulter & ſi perſuadeat, periculoſum ſumptũ facit, & mœrore plenum, ſi non impetret. Fœlicitati enim periculum lex minatur. Mœroris autẽ precium eſt amor. At ſatius eſt iis quæ quiſpiam cõcupiuit impetratis eſſe in metu ac ſollicitudine, quàm ſpretum & contemptum mœrore confici.

Delicio.

LAudo te qui tempus eludas technis, & lanuginem releces. Quod enim natura diſceſſit, id arte manet. Iucundiſſima verò eſt eorum quæ amiſſa ſunt, recuperatio. Itaque meum conſilium audi ac ſequere. Capite comam nutri, & capillorum tibi cura ſit, alij cum maxillis ſenſim conueniant. Et hanc tuam lanuginẽ, paruo negotio, cùm quis vult, auferet, alij verò cõſidant in humeris, quemadmodum Homerus aut Eubæos comam in poſterioribus partibus alere. Nam caput florens multò iucundius eſt planta Mineruæ, ſiquidem ne hanc quidem arcem nudam videri conuenit, neque inornatam. Lanugines verò tibi ſint nudæ, neque quiſquam huic lumini officiat, neque nubes, neque caligo. Quemadmodum enim nequaquam iucundum aſpectum præbent oculi clauſi, ſic neque lanugo in formoſo comata. Siue igitur medicamẽtis, ſiue cultellis exilibus, ſiue ſummis digitis, ſiue purgationibus & herbis, ſiue alia quapiam machinatione, effice vt tibi pulchritudo ſit diuturnior. Sic enim imitaberis eos expertes ſenectutis.

γίνεαι καὶ σὺ τοῖς νόμοις. καὶ διψῶντα παῦσαι ὁδοιπόρον ὃν τὸ σὸν ἄστρον ἀπώλεσεν.

Γυναικὶ ὑπάνδρῳ.

ΤΟ μὲν ἔργον ἓν εἴτ' ἐπὶ ἀνδρὸς εἴτ' ἐπὶ μοιχοῦ γίνεται. τὸ δὲ κινδύνῳ σφαλερώτερον, τῇ χάριτι μεῖζον. οὐ γὰρ οὕτως τὸ φανερὸν διερεθίζει τῆς ἐξουσίας, ὡς τὸ ἀπόρρητον τῆς ἡδονῆς. πᾶν δὲ τερπνότερον τὸ κεκλεμμένον· ἐπεὶ καὶ ποσειδῶν ὑπῆλθε πορφυρῷ κύματι καὶ ζεὺς χρυσῷ ὕδατι καὶ βοῒ καὶ δράκοντι καὶ ἄλλοις περικαλύμμασιν. ἀφ' ὧν διόνυσος καὶ ἀπόλλων καὶ ἡρακλῆς εἰσὶ μοιχείας θεοί. λέγει δὲ ὅμηρος καὶ τὴν ἥραν ἰδεῖν αὐτὸν τότε ἡδέως, ὅτε αὐτῇ συνῆλθε λάθρα· τὴν γὰρ ἀνδρὸς ἐξουσίαν τέθηκεν εἰς κλοπὴν μοιχείας.

Μειρακίῳ.

ΟΚαλὸς εἰ μὲν ᾖ θηριώδης, πῦρ ἐστιν· εἰ δὲ ἥμερος, φῶς. μὴ καῖε οὖν ἀλλὰ σῶζε. ἔτι ἐλέου βωμὸν ἐν τῇ ψυχῇ ἔχε. ἀντὶ πλειόνων βέβαιον φίλον ὠνούμενος δωρεᾶς. καὶ φθάσας τὸν χρόνον ὃς μόνος καταλύει τοὺς καλούς, ὥσπερ οἱ δημοτικοὶ τοὺς τυράννους. ὡς δέδοικα γὰρ, ὃ φρονῶ γὰρ εἰρήσεται, μὴ μέλλοντός σου καὶ βραδύνοντος, τὰ γένεια ἐπέλθῃ καὶ τὴν τοῦ προσώπου συσκιάσωσι χάριν, ὥσπερ εἰώθε τὸν ἥλιον ἀμβλύνειν ἡ νεφῶν συνδρομή. τί δέδοικα ἃ πάρεστιν ἤδη βλέπειν; ἕρπει μὲν ὁ ἴουλος, αἱ δὲ παρειαὶ χνοάζουσι. τὸ δὲ πρόσωπον ὅλον ἀνθεῖ φλῶν· μέλλοντες ἐγηράσαμεν. σὺ μὲν θᾶττον εἶξαι μὴ θελήσας, ἐγὼ δὲ ὀκνήσας δεηθῆναι. πρὶν οὖν σου τὸ ἔαρ ἀπελθεῖν ὅλον καὶ χειμῶνα ἐπιστῆναι, δὸς αὐτὸ πρὸς ἔρωτος. πρὸς τούτων τῶν γενείων ἃ δεῖ με αὔριον ὀμνύναι.

Γυναικί.

ΟΜοιχὸς καὶ πείσας, σφαλερώτατον ἀνάλωμα. καὶ ὀδυνηρὸν μὴ τυχών. τῆς μὲν γὰρ δυσπραγίας κίνδυνος ὁ νόμος. τῆς δὲ λύπης μισθὸς ὁ ἔρως. φοβεῖσθαι δὲ ἄμεινον τυχόντα ὧν βούλεταί τις, ἢ ἀπάγξασθαι ἀμελούμενον.

Μειρακίῳ.

ΕΠαινῶ σε ἀποσοφιζόμενον τὸν χρόνον καὶ περικόπτοντα τὰ γένεια· ὃ γὰρ ἀπῆλθε φύσει, τοῦτο μένει τέχνῃ. ἡδίστη δὲ ἡ τῶν ἀπολλυμένων ἀνάκτησις. ὥς τε ἐμοὶ συμβουλεύοντι πείθου· τῇ μὲν κεφαλῇ, κόμα καὶ μελέτω σοι τῶν βοστρύχων· οἱ δὲ ταῖς παρειαῖς συγκαταβαινέτωσαν ἠρέμα. καὶ ταῦτά σου τὰ γένεια, τις ἀφαιρήσεται ῥᾳδίως ὅτε βούλεται. τοὺς δὲ, τοῖς ὤμοις ἐπικαθῆσθαι καθάπερ φησὶν ὅμηρος τοὺς ἄβαντας ὄπιθεν κομᾶν. κεφαλὴ γὰρ ἀνθοῦσα ἡδίων πολὺ τοῦ τῆς ἀθηνᾶς φυτοῦ. εἴπερ γε δεῖ καὶ ταύτην τὴν ἀκρόπολιν μὴ ψιλὴν ὁρᾶσθαι μηδὲ ἀκόσμητον. τὰ δὲ γένειά σοι ψιλὰ ἔστω καὶ μηδεὶς ἐνοχλείτω τῷ φωτὶ τούτῳ μήτε νεφέλη μήτε ἀχλύς. ὡς γὰρ οὐχ ἡδὺ θέαμα κεκλεισμένα ὄμματα, οὕτως οὐδὲ γένεια καλῶς κομῶντα. εἴτε οὖν φαρμάκοις εἴτε μαχαίραις λεπταῖς εἴτε ἄκροις δακτύλοις, εἴτε ξύμμασι καὶ πόαις, εἴτε ἄλλῃ τινὶ μηχανῇ στρατήγει σεαυτῷ τὸ κάλλος μακρότερον. οὕτως γὰρ ἔσῃ μιμούμενος τοὺς ἀγήρως θεούς.

Γυναικί.

Ἐχθὲς συγκλείσας τὰ βλέφαρα ὅσον ἡσυχῆ σκαρδαμύξαι πολλὴν ἡγούμην τὸν χρόνον. ἀμελεῖ τοῖς ὀφθαλμοῖς ὡς ἀγεράστοις ἐνεκάλουν. τὰ δὲ αὐτῆς ἐπιλέλησθε· τί δὲ τὴν φρουρὰν ἐξελίπετε. ποῦ δ' ἐστὶ καὶ τί γέγονε κἂν τοῦτο αὐτὸ μηνύσατε· νομίσας δ' ἀκηκοέναι, ἀπῆλθον ἔνθα σε ὄψεσθαι ᾤμην. καὶ τοῦτο ἐκεῖνο ἐζήτουν ὡς ἡρπασμένην. τί οὖν μέλλω ποιεῖν ἐὰν ἐξελάσῃς εἰς ἀγρὸν ὡς πέρυσι καὶ πολλῶν ἡμερῶν τὰς ἐν ἄστει διατριβὰς καταλίπῃς· ἡγοῦμαι ἀναγκαῖον σαφῶς ἀπολωλέναι μηδὲν ἔχοντα ἡδὺ μήτε ἀκούειν ἔτι μήτε ὁρᾶν. ἐγὼ μὲν γὰρ ἕψεσθαί σοι νομίζω καὶ τὴν πόλιν ἐξιούσῃ καὶ αὐτοὺς τοὺς ἐν ἄστει θεοὺς ἑλκομένους ὑπὸ τῆς θέας· τί γὰρ ἐνταῦθα μόνοι ποιοῦσιν. εἰ δὲ κἀκεῖνοι κατὰ χώραν μένουσιν, ἀλλ' ἔγωγε οὐκ ἀπολειφθήσομαι τοῦ ἔρωτος ἐφόλκιος. εἰ δὲ καὶ σκάπτειν δέοι, λήψομαι τὴν δίκελλαν· εἴτε κλᾶν, θεραπεύσω τὰς ἀμπέλους· εἴτε ἐπάγειν λαχάνοις ὕδωρ, ὁδοποιήσω τὸν δρόμον. τίς γὰρ οὕτω τυφλὸς ποταμὸς ὡς σὴν γῆν μὴ γεωργεῖν. ἓν ἐξόμνυμαι τῶν ἐν ἀγροῖς εἰθισμένων. ἀμέλγειν γάλα. μόνων ἡδέως τῶν σῶν μαστῶν ἅπτομαι.

Vxori.

Heri clauſis palpebris tantū vt pauxillū intueri poſſem longum tempus exiſtimabā præteriiſ-ſe. Deinde oculos, vt rudes amoris obiurgabam. Cur eius vos cepit obliuio? cur præſidiū deſtituiſtis? Vbi ſit & quid factum ſit, hoc ſaltem ipſum ſignificate. Arbitratus autem audire, diſceſſi eò, vbi viſurum te putabam, & hoc eſt illud quod quærebam vt raptam. Quid igitur ſum facturus, ſi in agrum egreſſa fueris, vt anno præterito, & multis diebus vrbanam conſuetudinem reliqueris? Equidem neceſſariò meeum actum eſſe arbitror, ſi nihil poſſim iucundum neque audire neq; videre. Ego enim futurum opinor vt te ſequar & vrbē egredientem etiam ſequantur ipſi qui ſunt in vrbe dij à dea tracti atque commoti. Quid enim hîc ſoli faciunt? Atque etiam illi locis ſuis manſerint, tamen ego non relinquar amoris Epoleium. Quòd ſi etiam fodere oporteat ſumam in manus ligonem, ſiue frangere, colam vites, ſiue olera lympha ſpargere, conficiā curſum. Quis enim ita cæcus fluuius, vt tuū ſolum non riget. Vnum deprecor ac deteſtor, à me quod ruri fieri ſolet, lac mulgere. Solas tuas mammillas libenter & cum delectatione tango.

Μειρακίῳ.

Τί μοι τὰ γένεια ὦ παῖ δεικνύεις. οὐ παύῃ κάλλους ἀλλ' ἄρχῃ· τὸ μὲν γὰρ ὀξὺ τῆς ὥρας παρελήλυθεν ὥσπερ τι πτηνὸν καὶ ἄπιστον. καὶ καθάπερ πυρὸς ὁρμὴ σβέννυται. τὸ δὲ ἑδραῖον καὶ βέβαιον μένει. χρόνος δὲ οὐκ ἐλέγχει τοὺς ἀληθῶς καλούς. ἀλλὰ δεικνύει καὶ μαρτυρεῖ μᾶλλον αὐτοῖς ἢ φθονεῖ. τὸν δὲ ὑπηνήτην καὶ Ὅμηρος λέγει χαριέστατον. ποιητὴς εἰδὼς κάλλος καὶ βλέπειν καὶ ποιεῖν. οὐκ ἂν δέ ποτε τοῦτο ἀπεφαίνετο, εἰ μὴ πρῶτος αὐτὸς ἐρώμενον καὶ ἥψατο γενείων καὶ κατεφίλησεν. πρὶν μὲν γὰρ ἀνθεῖν, οὐδὲν ἀπεῖχες γυναικὸς αἱ σαὶ παρειαὶ οὖσαι ἁπαλαὶ καὶ διαυγεῖς. ὅτε δὲ ἤδη χνοάζεις, ἀνδρικώτερος εἶ σεαυτοῦ, καὶ τελειότερος. ἀλλὰ τί. ἤθελες μηδὲν εὐνούχου διαφέρειν οἷς τὰ γένεια ἄκαρπα καὶ σκληρὰ καὶ λιθώδεσιν ὅμοια. αἰσχύνονται γοῦν οἱ ἀλιτήριοι ταύτῃ τῇ τομῇ μᾶλλον ἢ ἐκείνῃ. τὴν μὲν ἀπόρρητον νομίζοντες· τὴν δὲ, σαφέστατον ἔλεγχον τῆς ὄψεως.

Τέλος.

Delicio.

Qvid mihi lanuginem ô puer oſtendis. Non relinquis elegantiam, ſed incipis formoſus iam fieri. Nam temporis celeritas tranſit, quaſi volucre quiddam & infidū, & vt ignis impetus extinguitur. Stabilitas autem ac firmitas permanet. Tempus verò non arguit eos qui reuera ſunt elegantes ac formoſi, ſed monſtrat & teſtimonium potiùs illis perhibet, quàm inuidet. Pubeſcentem etiam Homerus appellat gratiſſimum, poeta non imperitus elegantiam & contemplandi & faciendi. Non autem hoc vnquam pronūciaſſet, niſi priùs ipſe amaſij tetigiſſet ſimul lanuginem & exoſculatus eſſet. Antequam enim florerent, nihil diſcreparūt à mulieris maxillis tuæ nimirum teneræ & dilucidæ. Cùm verò iam pubeſcis, virilior es teipſo & perfectior. Sed quid? Voluiſti nihil ab Eunucho differre, quibus menta ſunt ſterilia duráque & ſimilia lapideis. Ignominiam igitur grauiorē accipiunt ſcelerati hac ſectione quàm illa poſteriorem ſecretam putantes eſſe & tectam, priorem verò manifeſtiſſimum in vultu argumentum.

FINIS.

EPISTO-

ΘΕΟΦΙΛΑΚΤΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ
ΤΟΥ ΣΙΜΟΚΑΤΟΥ ΕΠΙΣΤΟΛΑΙ ΗΘΙΚΑΙ
Ἀγροικικαὶ δὲ Ἐρωτικαί.

THEOPHILACTI SCHOLASTICI
SIMOCATI EPISTOLÆ ETHICÆ,
agreſtes & amatoriæ.

Eth. Critias Plotino.

CICADA muſica ſimulac ver apparuit, cantandi facit initium. Promptior autem cantionibus & natura loquacior circa meridianum tempus animaduertitur, quaſi ſolaribus radiis inebriatus. Cantillat igitur Melodus arborē habens pro ſuggeſtu, agrum pro Theatro ac viatoribus Muſices ſpecimen exhibet. Canere igitur nos quoque tuas virtutes ſummo ſtudio conamur. Extimulant enim, & quaſi excitant ad laudem veſtros animos. Olim enim emortuos nos ſordido vitæ genere, tuis literis ad virtutem animaſti. Sic ex Critia Plotinus fieri poſſim, aut extra corpus philoſophatur, qui in terra eſt, aut philoſophia corpus aſſumēs cum hominibus, quaſi homo verſatur.

Agr. Dercon Moſchoni.

TRibunus ouium egregius mihi aries interiit, & paſtorio ductu oues carent. Maximum damnū fecimus. Et mihi quidem Pan infenſus quodammodo videtur ac infeſtus. Non enim aluearum primitiis eū venerati ſumus. Itaque ad vrbem proficiſcor, vt iratum placem, & ciuibus crudelitatem narrabo dicens, ob apiariam placētam mihi ducem gregis à Pane perditum eſſe.

Am. Theano Euridicæ.

NAturale tibi ornamentum præteriit & ad rugas appropinquat elegantia. Tu verò obſcurare veritatem conaris fictitio ornatu, atq; amatores pro nihilo habes. Obedias tempori anus. Non enim decent prata in autumno flores. Memineris etiam mortis cui vicina es, & modeſtiam ex neceſſitate colere diſce. Nam & ſenium & iuuentam afficis iniuria. Hanc enim promittens fruſtraris. Illam verò poſſidens adulteraſti.

Eth. Euagoras Antipatro.

TErminos etiam marinis fluctibus ac tempeſtatibus fabricator deſcripſit, atque littoribus pelagi vnda quaſi frenis arcetur, & arena quædam in exigua Epiro atq; mari quaſi inter duas acies intercapedo eſt. Non n. permiſsū eſt mari vt vicinā terrā affligat. Recurrit autē ad ſeipsā vnda forēs, & æſtuās maximā & grauiſſimā impreſſionē telluri minata. Terminos igitur, ô Antipater animo tuo deſigna.

Ηθ. Κριτίας Πλωτίνῳ.

ὉΤΕΤΤΙΞ ὁ μουσικὸς ἔαρος φανέντος τῆς μελῳδίας ἀπάρχεται. ᾠδικώτερος δὲ τοῖς ᾄσμασι καὶ τὴν φύσιν λαλίστερος ὥρᾳ μεσημβρίας ἱστορεῖται. ἀκτίνων ὥσπερ ἡλιακῶν μεθυσκόμενος. τερετίζει γοῦν ὁ μελῳδὸς βῆμα τὸ δένδρον ποιούμενος· θέατρον τὸν ἀγρόν. καὶ τοῖς ὁδίταις τὴν μουσικὴν ἐπιδείκνυται. ᾄσαι γοῦν καὶ ἡμεῖς τὰς σὰς ἀρετὰς ἐπιχειρόμεθα. ἐκθήλγουσι γὰρ τὰς καὶ ζωπυροῦσι πρὸς ἐγκώμιον τὰ ὑμέτερα. πάλαι γὰρ νενεκρωμένους ἡμᾶς, τοῦ ῥυπώδους βίου, ἐκ τῶν σῶν γραμμάτων πρὸς ἀρετὴν ἐψύχωσας. οὕτω γενοίμην ὁ Κριτίας Πλωτῖνος. ἢ σώματος ἐκτὸς φιλοσοφεῖν ἐπὶ γῆς· ἢ φιλοσοφία σῶμα περιθεῖσα μετ' ἀνθρώπων ὡς ἄνθρωπος ἀναστρέφεται.

Αγρ. Δόρκων Μόσχῳ.

Ὁ Ταξίαρχος τῶν προβάτων ὁ θαυμαστός μοι κριὸς ἀπόλωλε. καὶ ποιμαντικῆς ἡγεμονίας χηρεύει τὰ θρέμματα. κακόν τι πεπόνθαμεν μέγιστον· καί τι μοι δοκῶ χαλεπαίνειν τὸν Πᾶνα· οὐ γὰρ ταῖς σμβλων αὐτὸν ἀπαρχαῖς ἐτιμήσαμεν. διὸ πρὸς ἄστυ χωρῶ τὸν ὀργίλον πρεσβευσόμενος. καὶ τοῖς πολίταις τὴν ἀπήνειαν διηγήσομαι. φήσας, διὰ μελιττοῦττου ὁ Πὰν τὸ ποίμνιον μου τὸν ἡγεμόνα, διώλεσεν.

Ερ. Θεανὼ Εὐρυδίκῃ.

Ὁ Φυσικός σοι κόσμος παρῴχηκε, καὶ ῥυτίδων ἐγγὺς ἡ εὐπρέπεια. σὺ δὲ χαρακτῆρσιν ἐπιχειρεῖς τὴν ἀλήθειαν ἐπιπλάστῳ κόσμῳ τοὺς ἐραστὰς ἐκφαυλίζουσα. πειθάρχει χρόνῳ γραΐδιον. οὐ γὰρ εὐπρεπεῖς οἱ λειμῶνες ἐν μετοπώρῳ τοῖς ἄνθεσι. μέμνησο καὶ θανάτου. τούτῳ γὰρ ἐγγειτνιάσας καὶ σωφροσύνην ἐξ ἀνάγκης ἀσκεῖν ἐπιτήδευε. καὶ γῆρας γὰρ ἀδικεῖς καὶ νεότητα. τὴν μὲν γὰρ ἐπαγγελλομένη διέψευσαι τὴν δὲ κεκτημένη ἐνόθευσας.

Ηθ. Εὐαγόρας Ἀντιπάτρῳ.

ὍΡοις ὁ δημιουργὸς καὶ τὸν θαλάττιον διετάξατο κλύδωνα. καὶ τοῖς αἰγιαλοῖς τὸ πελάγιον χαλινοῦται ῥεῖθρον· καὶ ψάμμος τις ἐπὶ μικρᾶς ἠπείρῳ καὶ θαλάσσῃ μεταίχμιον. οὐ γὰρ ἀδικεῖν ἡ θάλασσα τὴν γείτονα γῆν συγκεχώρηται· παλινδρομεῖ δὲ πρὸς ἑαυτὴν τὸ ῥεῖθρον μαινόμενον. μεγάλην ἀπειλοῦσα τῇ χέρσῳ τὴν ἔφοδον. ὅρους τοιγαροῦν ὦ Ἀντίπατρε τῷ σῷ νομοθέτει θυμῷ,

ὑπηρέτιν χεῖρα τῆς ὀργῆς μὴ ποιούμενος· τὸ μὲν οὖν συμφιλοσοφεῖν ταῖς χερσὶ καὶ τὴν γλῶτταν, ἐν πολλοῖς ἀρρετῆς ὅρος ἀκρότατος· εἰ δὲ μὴ ταύτης κρατεῖν οἷός τε εἶ, ὕβρεσι τὸν θυμὸν ψυχαγώγει εἰκυσὶν ὑλακτοῦσιν ἐοικέναι βεβούλησαι. οὕτω γὰρ καὶ χαλεπαίνουσα θάλαττα, ἀφροῦ παραιτέρω καὶ σάλου τὰ τῆς ὀργῆς οὐκ ἐνδείκνυται.

Αγρ. Αἴγρεος Πλατάνῳ.

ΚΑκαὶ γείτονας ὦ φίλος τοὺς γεράνους κεκτήμεθα. πόλεμον ἀθάνατον περὶ τὸ χωρίον ἔχουσιν· οὔτε γὰρ τοῖς πατράσι τοῖς ἡμετέροις ἐσπείσαντο. οὔτε τοῖς μετ' ἐκείνους ἡμῖν τὸν πόλεμον διελύσαντο. καίτοι ἀπαρχαῖς τοῦ θερισμοῦ πολλάκις αὐτοὺς ἐτιμήσαμεν. ἀλλὰ καὶ μοῖραν τοῦ χωρίου τινὰ ὥσπερ ὀργάδα θεοῦ ταῖς ἀχαρίστοις δεδώκαμεν. ἀλλ' οὐκ ἀξιόσιμα τὰ δῶρα παρ' ἐκείνοις ὡς ἔοικε. τοιγαροῦν ἅπαντες τῆς ἐντεῦθεν ἀπαίρωμεν· πέτρας γὰρ ἡμῖν γεωργεῖν συμφορώτερον, ἢ πεδία καὶ γηλόφους οἰκεῖν, χαλεποὺς κεκτημένοις τοὺς γείτονας.

Ετ. Ερατὼ Τερψιθέᾳ.

ΤΟν χρυσοῦν Καλλικράτην εἰκόνα σοι γεγραφέναι φασί. τὴν δὲ γραφὴν οὐ Τερψιθέαν οἶμαι δηλοῦν, ἀλλὰ τὴν Λάκαιναν Ἑλένην. καὶ μὰ τοὺς ἀψευδεῖς Παρρασίου πίνακας· τοιγαροῦν καὶ τὴν τέχνην καὶ τὴν φύσιν ἠδίκηκας· τὴν μὲν ἐνυβρίσασα. τὴν δὲ, σοφισαμένη. ψεύσασθαι γὰρ τὴν Παρρασίου τέχνην ἠνάγκασας· καὶ τὰ μὴ προσόντα σοι διαποικίλαι τοῖς πίναξιν, ὥσπερ τὰ τῆς φύσεως καλλωπίζουσα σφάλματα. καὶ πολλὴν ἐκείνης τὴν ἀτοχνίαν δεικνύουσα. ἐγὼ δὲ καὶ τοῦ ζωγράφου ἐπαινέτης εἰμί. οὐ γὰρ τῆς σῆς ἀμορφίας ἦν ζωγράφος ἐνήγετο. καὶ τῆς φύσεως τὴν σοφίαν τεθαύμακα, κακίστῃ ψυχῇ σώματος εὐπρέπειαν μὴ πιστεύσασαν.

Ηθ. Σωσίπατρος Τερπάνδρῳ.

ΝΟμος ἐστὶ ταῖς ἵπποις ὥς γέ μοι δοκεῖ, καὶ μάλα σοφός, ἐπαινῶ γὰρ ἐγὼ τὸ περὶ ταύτας λίαν φιλόστοργον, ἀλλὰ τῆς ὁ νόμος αὐτῆς. τὴν ὑπομάζιον ἵππον ὅταν ἐνδεᾶ τοῦ θρεψαμένης θεάσονται, καὶ πόρρω που τὴν τεκοῦσαν οἷα συμβαίνει τὴν τοῦ γεννήματος, δρῶσί τι γενναῖον· οὐ γὰρ τῆς ἑαυτῶν ἐπιλανθάνονται φύσεως· καὶ περιθάλπουσαι τὸ μονωθὲν κατ' οὐδὲν δυσχεραίνουσαι, ὥσπερ ἴδρυνα συνεχέτω καὶ γνήσια. καὶ φύσις μὲν ταύταις οὕτω φρονεῖν. οὐ γὰρ ὁ Σόλωνος ἠνάγκασε νόμος. μεταχετεύσω τὸν λόγον πρὸς σέ. τὸν ἀδελφιδοῦν ὑπεροφᾷς θύρας ἐκ θύρας ἀμείβοντα. ἀθλιώτατον τριβώνιον ἀμπεχόμενον· τῶν ἀλόγων ὄντως ἀλογώτερόν σοι τὸ φρόνημα. κύνας ἀλλοτρίους σιτίζεις. οὕτω γὰρ τοὺς περὶ σὲ κόλακας εἰπεῖν οἰκειότερον. εὐνούστατοι γάρ εἶναί σοι δόξουσι μέχρις ὅτου τοῖς σοῖς ἐντρυφῶσιν ὦ δείλαιος· ὑλακτήσουσι δὲ πάντως καὶ σέ, ἔτι τῆς κραιπάλης τοὺς ἰχῶρας ἐρευγόμενοι. κολάκων γὰρ φύσις καὶ μνημονικοὶ πρὸς κακίαν, καὶ τῶν ἀγαθῶν ἐπιλήσμονες· ὀψέποτε τὸν ἀδελφιδοῦν περίθαλπε Τέρπανδρε. εἰ δὲ μὴ, τὴν πρόνοιαν ἀναπαυσάμενον ἕξεις πολέμιον τοῖς δακρύοις τῆς φύσεως τὴν ἑαυτῆς ἀκονήσασαν μάχαιραν.

neque miniſtrariæ manum ſuppedita. Itaque ſi cũ manibus coniunctim etiam lingua philoſophetur, is eſt perfectæ virtutis extremus terminus. Quòd ſi hanc reprimere & compeſcere non potes, iniuriis animum aſſuefacito. & erudito, ſi latrantibus canibus vis comparari. Sic enim etiam indignabundum mare, vltra ſpumam & fluctuationes iram non effert.

Agr. Ægetrus Platano.

MAlas vicinas o amice Grues nacti ſumus. Perpetuum bellum circa agros gerunt. Neque enim fœdus cum patribus noſtris ſanciuerunt, neq; nobiſcum qui poſt eos venimus bellum compoſuerunt. At verò ſæpe meſſium primitiis eas donauimus, ſed & particulam quandam agelli, tanquã orgadem ingratis dedimus. At non ſunt aliquo precio apud eos munera vt apparet. Quamobrem omnes hinc abeamus, ſuadeo. Nam ſaxa nobis colere præſtat, quam campos & colles habitare, cùm infeſtos habeamus vicinos.

Ant. Fratho Terpſithea.

AVreum Callicratem, imaginem aiunt tibi pinxiſſe. Picturam autem non Terpſitheam exiſtimo referre, ſed Lacænam Helenam. Equidem per certiſſimas Peraſij tabulas. Itaque & arti, & naturæ vim attuliſti, huic iniuriam inferendo, illam falſam reddendo. Nam artem Peraſij fallere coëgiſti, & quæ tibi non inſunt ea tabulis variare, veluti naturæ defectum ac fallacias ornans, magnamque illius inertiam oſtendens. Ego verò etiam pictorem laudo. Non enim tuæ deformitatis pictor eſſe potuit, & naturæ ſapientiam admirata ſum, quę peſſimæ animæ corporis elegantia non credidit.

Eth. Soſipater Terpandro.

LEx eſt equis, vt quidem mea fert opinio, ſapientiæ plena. Laudo enim affectum in his naturæ vehementiorem. Sed quæ ipſis lex eſt. Lactentem equũ cùm indigere vident altricis, & procul matrẽ, vt aliquando contingit, à prole abeſſe, generoſum quiddam faciunt. Non enim obliuiſcuntur ſuæ naturæ, atque partum relictum fouent nulla re indignantes, vt fœtum naturalem ac genuinum. Atque hunc natura ipſis ſenſum inſeuit. Non enim Solonis lex coëgit. Transferam orationem ad te. Fratris filium negligis iamiam, ianua permutantem, miſerrima tunica indutum. Reuera tibi mens eſt rationis carentior, quàm brutis. Canes alienos alis. Sic enim eos qui circa te ſunt adulatores dicere conuenientiùs. Beneuolentiſſimi tibi videbuntur eſſe, donec in tuis luxuriam agitant ô miſer. Latrabunt autem omnino etiam te, adhuc nouiſſimam crapulam eructantes. Addulatorum enim ſic eſt ingenium, vt mala firma memoria complectatur, & facilè in bonorum obliuionem adducatur. Serò tandem nepotem complectere Terpander. Sin minus, prouidentiam iniunctam habebis hoſtem lachrymis naturæ ſuum gladium acuentem.

Agr. Daphnon Myroni.

QVouſque excauas agellum, & depluentem aquā abſorbebis ô infœlix. Forſitan hoc machinaris, ut propter ariditatē mei pueri fameſcāt. Tuus enim circumlutus agellus. Noſter verò etiam naturam ignorat aquæ. Rogentur per deos nubes ſolo Daphnoni aquam demittāt. Homo inuidus maximum malum, quòd ſi ſors etiam hunc vicinum tulerit inexorabile infortunium, & vix morte poterit ſedari.

Ant. Eurippe Dexicrati.

AD decimum calendas Auguſti redituram te ad nos pollicita es, & fefelliſti promiſſa Dexicrates. Mihi verò cor etiam exuſtum eſt amore, & inſtar torris, pectus inflammatum eſt. Quotidie lachrymas cum gemitu profundebam, & tuum reditum ſomniabam. Ianuę pulſus ſemper mihi tuę pręſentiæ phantaſiam peperit. At tu Dexicrates abdraduc.s amorem, & ſemper tibi peregrinum antiquius. Nam celerrima ſatietate ignauorum animi ſubigi conſueuerunt. Infida res eſt deſiderium & amores. Iacieris etiam tu aliquándo. Eorum enim qui patiuntur iniuriam, calamitates & miſeriæ, ad iniuriæ autores tranſeunt.

Eth. Hermagoras Sopatro.

PRorſus indecorè audiui te paupertatem lugere, & diuitias probris afficere, quaſi imparem apud mortales, quòd aliis impetrabilé, aliis inacceſſam ſui poſſeſſionem præſtet, quaſi inuidentem in hoc hominibus naturam. Si enim Solis ſplendores mortalibus ex æquo & ignis copia vniuerſis eſt promptiſſima, & fluminum fluenta, torrentum mixta ac perpetuorum, omnibus ſunt acquiſitu facilia, quid tandem aiebas aurum ita natura exactum, & exquiſitum hominibus dedit, & contentiuſum donum iis qui ſub luna ſunt, diſpertiit, per quod maxima damna hominibus contingunt. Ego verò vaſtiſſimum riſum cōtra tua dogmata effundo. Ipſam enim naturæ laudem, argumentum vituperii ſumpſiſti, idémque tibi accidit quod noctuæ. Nam illa vitij in videndo cauſſam putat claros ac lucidos Solis fulgores. Vtiliter eſurit aurum humana gens ô Soſipater. Hinc enim & artes in vitā inductæ ſunt, & vrbes conditæ, & conuentorum facilitas. Et ſi breuiter atque comprehenſim dicendum eſt, omni ordine ac decore careret vita terreſtris, niſi aurum homines mutuis operis indigentes feciſſet. Non enim remex nauigaret, non viator proficiſceretur, non bouem aratorem agricolæ poſſiderent. Non regij imperij ſceptra ferrentur. Non magiſtratibus etiam vtilibus ſubditi in officio continerentur. Non dux exercitum duceret. Quòd ſi etiam arcanam rationem vis diſcere, virtutis & vitij lora ſunt auro credita, & probatur animi cupiditas per ipſum, & Celtico fluuio, ſimile eſt. Etenim ſpuriæ virtutis & vitij veriſſimam habet explorationem.

Αγρ. Δάφνων Μύρωνι.

ΜΕχρι τίνος ἐπικοιλαίνεις τὸ γήδιον καὶ τὸ κατομβρῆσαν ὕδωρ ἐπιρροφήσεις ὦ δείλαιος. ἢ τάχα μοι καὶ λιμώττειν τοὺς παῖδας διὰ τὸ κατάξηρον μηχανᾷ· τὸ σὸν μὲν γὰρ περιλιμνάζει γήδιον, τὸ δὲ ἡμέτερον καὶ φύσιν ἠγνόησεν ὕδατος. ἱκετευθῶσιν πρὸς θεῶν αἱ νεφέλαι, αἳ μόνῳ τῷ Δάφνωνι ἀφιᾶσι τοὔδωρ. ἀνὴρ ἐπίφθονος μέγα κακόν. εἰ δὲ καὶ τὸ γείτονα ἕξει κληρωτάς. ἀπαραίτητον τὸ δυστύχημα, καὶ θανάτῳ μόγις παυσόμενον.

Ετ. Εὐρίππη Δεξικράτει.

ΕΝάτῃ φθίνοντος αὐγουστιῶνος ἐπανήκειν πρὸς ἡμᾶς ἐπηγγείλω. καὶ διεψεύσω τὰς συνθήκας Δεξίκρατες. ἐμοὶ δὲ καὶ ἀπηθαλώθησαν αἱ φρένες τῷ ἔρωτι. καὶ δαλοῦ δίκην τὸ στέρνον ἐκπεφλόγισται. ἀπεκοπτόμην δὲ καθημέραν τὰ δάκρυα. καὶ τὴν σὴν ὠνειροπόλουν ἐπάνοδον. ὁ δὲ τῆς θύρας ψόφος, ἀεὶ μοι φαντασίαν τῆς σῆς παρουσίας ἐγέννα. σὺ δὲ Δεξίκρατες μεταχειρίσεις ἐφ᾽ ἕτερα τὸν ἔρωτα· καί σοι τὸ ξένον ἀεὶ τιμιώτερον. τῷ γὰρ τάχιστα κόρῳ αἱ τῶν ῥαθύμων ψυχαὶ δουλαγωγεῖσθαι εἰώθασιν· ἄπιστόν τι χρῆμα πόθος καὶ ἔρωτες. βληθήσῃ καὶ αὐτός ποτε. τῶν γὰρ ἀδικουμένων αἱ συμφοραὶ ἐπὶ τοὺς ἀδικήσαντας μεταβαίνουσιν.

Ηθ. Ερμαγόρας Σωπάτρῳ.

ΛΙαν ἀγεννῶς ἀκήκοά σε τὴν πενίαν ὀδύρεσθαι καὶ κακίζειν τὸν πλοῦτον ὡς ὄντα παρὰ τοῖς ἀνθρώποις ἀνώμαλον, τοῖς μὲν ἐφικτὸν, τοῖς δὲ δυσέφικτον τὴν ἑαυτοῦ παρεχόμενον κτῆσιν· ὥσπερ βασκαίνουσαν ἐπὶ τούτῳ τοῖς ἀνθρώποις τὴν φύσιν. εἰ γὰρ ἡλίου λαμπηδόνες τοῖς ἀνθρώποις ἐπίσης καὶ πυρὸς ἀφθονία τοῖς ὅλοις ἐστὶ προχειροτάτη, καὶ ποταμῶν ῥεῖθρα χειμάρρων τε καὶ ἀενάων ἅπασιν ἐστὶν εὐπόριστα, τί δήποτε ἔφης τὸν χρυσὸν ἡ φύσις οὕτως ἀπηκριβωμένον τοῖς ἀνθρώποις δίδωσιν. καὶ φιλόνεικον δῶρον τοῖς ὑπὸ σελήνην ἀπένειμε. δι᾽ οὗ μέγιστα κακὰ τοῖς ἀνθρώποις φοιτῶσιν· ἐγὼ δὲ πλατὺν γέλωτα τῶν σῶν καταχέω δογμάτων. αὐτὸν γὰρ τὸν τῆς φύσεως ἔπαινον ὑπόθεσιν ψόγου πεποίησαι. καὶ ταὐτὸν πέπονθας τῇ γλαυκί. ἀβλεψίας γὰρ αἴτιον ἐκείνη δοκεῖ τὰς λαμπρὰς ἡλίου ἐκλάμψεις. λυσιτελῶς λιμώττει χρυσοῦ τὸ ἀνθρώπειον γένος ὦ Σώπατρε. ἐντεῦθεν γὰρ καὶ τέχναι τῷ βίῳ εἰσηνέχθησαν καὶ πόλεις ᾠκίσθησαν. καὶ συναλλαγμάτων εὐμάρεια. εἰ δὲ δεῖ συλλήβδην εἰπεῖν, πάσης ἀκοσμίας ἐγέμιστο ἂν τὸ περίγειον ἐν διαίτημα, εἰ μὴ χρυσὸς τοὺς ἀνθρώπους ἀλλήλων ἐπιδεεῖς ἐποιήσατο. οὐ γὰρ ἂν πλωτὴρ ἐναυτίλλετο· οὐχ ὁδοιπόρος ἐπορεύετο· οὐκ ἀροτῆρα βοῦν οἱ γεωργοῦντες ἐκέκτηντο. οὐ βασιλικῆς ἡγεμονίας ἐφέρετο σκῆπτρα, οὐκ ἀρχαῖς καὶ θεσμοφόροις τὸ ὑπήκοον ἐκεκόσμητο. οὐ στρατηγὸς ἐδημαγώγει τὸ στράτευμα. εἰ δὲ καὶ ἀπόρρητον λόγον θέλεις μαθεῖν, ἀρετῆς καὶ κακίας ὁ χρυσὸς τὰς ἡνίας πεπίστευται. καὶ βασανίζεται ἔφεσις ψυχῆς δι᾽ αὐτοῦ. καὶ τῷ Κελτικῷ ποταμῷ ἐστὶν ἐφάμιλλος. νόθου γὰρ ἀρετῆς καὶ κακίας ἔλεγχός ἐστιν ἀληθέστατος.

Ἀγρ. Καλλίσταχος Κυπαρίσσῳ.

Τῶν ἀκάρπων καὶ ἀνημέρων δένδρων τὴν φύσιν ὁ Σιμιχίδας χθέσπου ἐνέπρησε. τοιαύτην γὰρ τὴν καταδίκην τοῖς ἀτελεσφορήτοις ἐψηφίσατο δένδροις. ἡ δὲ τοῦ παμφάγου πυρὸς φύσις τὴν ὁρμὴν εἶχεν ἀκόλαστον καὶ τοῦ ἀγροῦ γείτονος ἄφνω τὸ χωρίον ἀπώλεσεν. ὁ δὲ, τὴν διφθέραν ἀφεὶς καὶ τὴν δίκελλαν, πρὸς ἄστυ χωρεῖ ῥήτορα ληψόμενος σύμμαχον· καὶ τῷ Σιμιχίδᾳ δικαστήριον συγκεκρότηται. τοῦτο κἀγὼ Κυπαρίσσων κατὰ σοῦ σκευάσομαι. εἰ μὴ ταῖς σαῖς μελίτταις προστάξειας τῶν ἐμῶν λειμώνων ἀπέχεσθαι. καὶ μαθήσῃ ἀλλοτρίοις πόροις μὴ κεκτῆσθαι πρόσοδον ἄδικον.

Ἑτ. Μελπομένη Πραξιμίλλῃ.

Ἐπὶ τὸ Λεωκόριον τὰς διατριβὰς ἡ αὐλητρὶς Χρυσογόνη πεποίηται. τάχα που καὶ τέρπειν οἴεται τοὺς ἐμοὺς ἐραστάς· καὶ φησὶν ἡμᾶς τὸ περίδειπνον ἄγειν δυσαναχετοῦντ' ἐπὶ τῷ πράγματι· ἐγὼ δὲ οὐ περὶ πολλοῦ πεποίημαι τὸ πραττόμενον· τοὺς γὰρ ἐραστὰς ὁποῖοι ὄντες τυγχάνουσι πρὸς ἡμᾶς τὰ τῆς Χρυσογόνης βασανίσειν ἤθη. ἀλλὰ γλυκύ μοι πρὸς θεῶν ἀψευδοῦς ἀποκρίσεως σαφέστατος ἄγγελος. καὶ τῇ Λακαίνῃ φράσον. μεγίστας σοι χάριτας τούτου γε ἕνεκα Χρυσογόνῃ ὀφείλομεν. τῇ σῇ γὰρ ἀμορφίᾳ σεμνότερα δειχθήσεται τὰ ἡμέτερα. ἐπεὶ καὶ κολοιοῦ μὴ φανέντος καὶ κόραξ τοῖς εὐπρεπέσι καταλογισθήσεται ὄρνισιν.

Ηθ. Ἀρίστων Νικίᾳ.

Φιλομαθέστατον ζῷον φασὶ τὸν ἐλέφαντα. καὶ ἀνθρωπίνων διδαγμάτων μαθητὴν ἐπιδέξιον· οὐ γὰρ ὁ τοῦ σώματος ὄγκος θαυμαστὸς παρ' αὐτῷ, ὅσον ὁ τῆς παιδείας κόσμος τετίμηται· καὶ ταῦτα μὲν παῖδες περιθρυλλοῦσιν Ἰνδῶν. ἐγὼ δὲ τοῦ Νικίου τεθαύμακα τῶν ἀλόγων ζῴων ἔχοντος τὸν λογισμὸν ἀλογώτερον. ὑπάρχων γὰρ παῖς ἀνδρὸς σοφιστοῦ τὰ πατρῷα ἐκλελάκτικας περὶ δὲ κύβους καὶ παλαίστρας τὴν τοῦ βίου σχολὴν καταναλώσας· καὶ γέγονας πέρας δυσγενείας τῷ γένει· εἰ τοίνυν παῖς ἀκούειν Ἑρμαγόρου ἐθέλεις, ὀψέ ποτε πρὸς τὸν ἐκείνου βίον ἐπάνηκε. ἀγαθὸν κἂν ἐς γῆρας σοφία τε καὶ φρόνησις παρῇ. καθὰ δοκεῖ καὶ τῷ Πλάτωνι. εἰ δὲ τῇ πάλαι κακίᾳ δυσαναχετεῖς μεθιστάναι καὶ παῖδα σαυτὸν Ἑρμαγόρου κηρύττεις, τυμβωρύχος ἴσθι τοῦ πατρῴου τάφου γινόμενος. τῇ σῇ γὰρ κακίᾳ τὰς ἐκείνου ἀρετὰς καθυβρίζεις.

Ἀγρ. Μυρωνίδης Δαμάλλῳ.

Τὸ ποίμνιον ἅπαν ὁ σὸς ἐλυμήνατο παῖς, τὸ κισσύβιον ἀεὶ πληρώσας τοῦ γάλακτος. ἐπὶ τὰς πλατάνους ὁ λωποδύτης χωρεῖ. καὶ στιβάδα ποιήσας, ἀμερίμνως ἀναπέπτωκε. καὶ τὸν ἁβροδίαιτον βίον ἀσπάζεται. εἶτα τὴν σύριγγα κομισάμενος, ὥσπερ ἐπιδείπνιον ᾠδὴν τὴν εὐθυμίαν προβάλλεται· καὶ τοὺς ἀγροικικοὺς παραχαράττει θεσμούς. τὰ δὲ θρέμματα τῇδε κἀκεῖσε διασπᾶρται. καὶ πρὸς ἔφοδον ἔστιν εὐάλωτα. καὶ δὴ καὶ τοὺς ὄνθους εὐώνους διαπιπράσκει ὁ δείλαιος· καὶ Μυρωνίδην ἀδικῶν οὐκ αἰσχύνεται· εἱστιῶν χθὲς τὴν Τρυγίαν λαμπρῶς. ἰσχάδες γὰρ ἦσάν μοι καὶ ἀκρίδες τὰ ὄψα. ὁ δὲ θαυμάσιος οὑτοσὶ νεανίας τῶν ἰσχάδων τὰ πλεῖστα ἐκβέβρωκε.

Agr. Calliſtachus Cypariſſoni.

STerilium & incultarum arborum naturam Simichidas her. flamma ignique conſumpſit. Talē enim pœnam ac damnationem irrogans arboribus quæ redditus non ferrent. Ignis autem omniuori natura impetum habuit effrenatum ac immoderatum, atque vicini ruris locum confeſtim perdidit. At ille ſago relicto & ligone properè ſe in vrbem confert, vt oratorem ſibi patronum deligeret, & Simichidæ iudicium applauſit. Hoc etiam ego Cypariſſon contra te moliar niſi tuis apibus mandaris, vt à meis pratis abſtineant, & diſces alienis opibus non iniuſtos redditus parare.

Anti. Melpomene Praximillæ.

AD Leocorium habitationem tibicina Chryſogone inſtituit Forſitan etiam ſe meos amatores arbitratur delectare, & ait nos meretriculam illam indigniſſimè rem ferre. Ego verò non magni æſtimo factum. Amatores enim quo ſint erga nos animo, Chryſogonæ mores probabunt. Sed præbe te mihi per deos veri reſponſi nuncium euidentiſſimum, & Lacœnæ planum fac. Maximam pro hac re tibi gratiam Chryſogone debemus. Nā tua deformitate noſtra oſtendentur gratioſiora ſiquidem non apparente monedula etiam coruus in elegantium ac pulchrarum auium numero reputatur.

Eth. Ariſton Niciæ.

CVpidiſſimum diſcēdi animal ferunt Elephantem eſſe, & humanorum dogmatum non ſiniſtrum diſcipulum. Non enim corporis moles apud eum eſt tā admirabilis, quàm precioſum eruditionis ornamentum. Et hæc quidem Indorum pueri ſermonibus circumferunt. Ego verò Niciam admiror qui Brutis animalibus inferiorem rationem habeat. Cùm enim Sophiſtę ſis filius paterna bona ſaltationibus perdidiſti. Et in taſis ac palæſtra totū vitę otium conſumpſiſti, & in finem nobilitatis attuliſti generi. Si igitur fili° Hermagoræ vis audire, ſerò tandem ad illius vitam reuertere bonam ac probam, & quamuis ſenectutem ſapientia ac prudētia accedat, quemadmodum etiam Platoni videtur. Sin ab inueterata malitia deſiſtere moleſtè pateris, & filium Hermagoræ teipſum prædicas, ſcias te paterni ſepulchri prædatorem eſſe. Nam tua nequitia virtutibus eius vim ac manus infers.

Agr. Myronides Damallo.

VNiuerſum gregem filius tuus perdidit, ſemper lactè implens vas paſtorale, & platanos ſubit capit, & compoſito ſtragulo ſine cura recumbit, & deliciosis cibis verſatur. Deinde fiſtulam adſerens quaſi cœnalem cantionem animi lætitiam præfert, & agreſtes leges violat. Pecora verò hinc inde diſperguntur, & ad irruptionem ſunt captu procliuia. Certè fumum etiam vili, precio vendit infœlix, & Myronidem iniuriis afficere non pudet. Heſterno die ſplendido conuiuio Trygiam accipiebam. Carycæ enim mihi erant cibis & locuſtæ. Diuinus autem hic adoleſcens plurimas Carycas deuorabat,

& locu-

& locuſtas ne[illegible] ſponte do [illegible]bebat. [illegible] verò [illegible]at, & [illegible] aliq[illegible] quam [illegible] eſt, petit [illegible]uam [illegible]mum auferre. Abeat in [illegible] poſterum de a[illegible] Clinias, Nam ſ[illegible]ius eſt [illegible] qua mala perferre ac pati quam domi clandeſtinum hoſtem alere.

Ann. Atalanta Corinna.

Ἑτ. Χρυσογόνη Τερπάνδρῳ.

ΜΗ μέμφου λοιδορουμένην τε καὶ ὑβρίζουσαν. οἱ γὰρ ποθοῦντες γλυκείας καὶ τῆς τέρψεις προσφέρονται. καὶ πληγαῖς δὲ καὶ μώλωψι πολλάκις ὡραΐζονται. εἰ δὲ δυσανασχετεῖς ὑβριζόμενος, οὐδὲ ῥόδον τρυγήσεις τὴν ἄκανθαν εὐλαβούμενος.

Ἠθ. Λεωνίδης Περιάνδρῳ.

ΗΔέσθη καὶ Πρίαμον ὁ τῆς Θέτιδος πρεσβευόμενον καὶ πολιὰν γὰρ ἐχθροῦ ὁ τοῦ Πηλέως ᾐδέσατο. καὶ δίδωσι τῷ πατρὶ τεθνηκότα τὸν παῖδα, δυστυχέστατον φιλοτιμούμενος δώρῳ τὸν Πρίαμον. καὶ τοῦ μὲν, τὸ τολμηρὸν τεθαύμακα. τοῦ δὲ τὴν φιλανθρωπίαν ἐπαινέσαι. γίνου μοι καὶ αὐτὸς Αἰακίδης. καὶ πολιὰς ἐλέησον δάκρυα, τὸν παῖδά μοι ζῶντα δωρούμενος. δυστυχοῦμεν γὰρ καὶ ἡμεῖς ὥσπερ καὶ ὁ Πρίαμος. οὐ γὰρ ὡς ἐχθρὸν σε πολέμιον ὑπὲρ παιδὸς ἐπρεσβεύσαμεν δακρύοις οὐ μέλανι τὰ τῆς ἐπιστολῆς ὑποχαράξαντες γράμματα. ἀλλ' εἰ μὲν τῆς καὶ σὺ φιλανθρωπίας ἱερᾶς ἐπιτυχεῖν δέξασθαι, προφθανέτω τὸ δῶρον τὴν αἴτησιν. εἰ δὲ μὴ λόγος παρὰ σοὶ βασιλεύει, ἀλλὰ θυμός τε καὶ λύπη τὰ πρεσβεῖα κεκλήρωται, πρὸς ὀλίγον μὲν εὐφρανθήσῃ. λυπηθήσῃ δὲ μειζόνως ἀφιλοσόφου θυμοῦ μεγάλας καὶ τὰς ποινὰς εἰσπραττόμενος.

Ἀγρ. Καλάμων Σπείρωνι.

ΕΙ γεωργὸς εἶναι βεβούλησαι, τῶν πολιτικῶν θορύβων ἀπόστηθι. εἰ δὲ ῥήτορας παρὰ σοὶ καὶ δικαστήρια καὶ βήματα προτιμᾶσαι, τὴν δίκελλαν ἀφεὶς, καλαμίδα καὶ χάρτας ἀράμενος ἐς κόρακας χώρει γερόντιον. οὐ γὰρ συκοφάντας ἄνδρας, καὶ τὸ, ἄνδρες δικασταὶ φθεγγομένους πυκνότερον, ἡ τῶν γεωργῶν πολιτεία προσίεται.

Ἑτ. Ῥοδόπλεια Ὑψιπύλῃ.

ΤΟν πειραιᾶ χθὲς τῇ νυκτὶ περιπολοῦσα, καὶ τὸν σὸν ἐραστὴν μετὰ τῆς Χρυσίππης ἑώρακα καὶ μειράκιον ἐδᾳδούχει. καὶ προηγούμενος ὁ φιλία, γραῦς ὑπῆρχεν ἀβροτόνου. ὅτε δὲ τὴν προαγωγὸν προσεῖπον, ἐκελεύετο ὁ σὸς ἐραστὴς, ἵνα τῷ σκότῳ τὸ πραττόμενον διαλάθοι. οὐκοῦν μήτε

δημηγοροῦντι μήτε κολακεύοντι πείθου. γλώττης γὰρ σόφισμα διὰ ἀμφοτέρων ἐκάτερον.

Ηθ. Σωκράτης. Κλέωνι.

Ὅταν οἱ λύκοι μεγάλης περιτύχωσι θήρας καὶ τῷ κόρῳ φιλοσοφήσωσιν, ὥσπερ ἐγκράτειαν παρὰ τῶν ἀρνῶν ἔχουσι· τὸ ἦθος καὶ τὸ ἄγριον πρὸς φιλάνθρωπον μεταβάλλουσι. καὶ θαυμαστήν τινα δικαιοσύνην ὁ κόρος ἐκδιδάσκει τοὺς λύκους· μετὰ τῶν προβάτων συνέμονται. καὶ γεραίρουσιν ἄχρις ἂν αὐτοῖς ἡ γαστὴρ ἀναπνεύσειεν. ἀλλὰ σὺ καὶ τῶν λύκων τὸν τρόπον ἀναιδέστερος κέκτησαι. καὶ μᾶλλον πλεονεκτικώτερον τὸ ἀκόλαστον ἔχεις, ὅταν ὁ χρυσὸς ὑπεραναβλύζῃ τὴν σὴν θησαυροφυλακίαν, ὥσπερ οἱ μέθυσοι. διψῶσι γὰρ ὅταν κορεσθῶσι τοῦ οἴνου. καὶ σοφίζονται τῇ μέθῃ μέθης ἐπίτασιν. διὰ γὰρ τὴν ἐς ἄκρον δεξίαν πρὸς τὴν ἐναντίαν διάθεσιν μεταπίπτουσι περιγανέντος τοῦ οἴνου τοὺς οἰνόφλυγας καὶ ἐκκαίοντος. ἄπαγε τῆς ἀκολάστου μέθης ἀκόλαστε· ἵνα μὴ πρὸς τὴν ἐναντίαν ῥοπὴν μεταχθῇς, ἀφαιρούμενος καὶ τῆς τύχης ἅπερ καὶ δέδωκε. τοιαύταις γὰρ τοὺς ἀχαρίστους ποιναῖς σωφρονίζεται.

Αγρ. Μίνθη Ῥίζωνι.

Ὁ Ποταμὸς χρύσιππος τῆς γηδίου τῆς ἡμετέρου μοῖραν ἐσύλησε καὶ τῇ σῇ ἀγρῷ προσεχώρησε. μωρὸν τι ποιῶν καὶ ἠλίθιον, ἀλλότριον ἐπαγγέλλεται. ἀλλ᾽ εἰ μὲν δικαστηρίου φόρτον ἐπὶ τοῖς ὤμοις φέρειν οὐχ οἷός τ᾽ εἶ, δῶρα ποταμοῦ μὴ προσίεσο. εἰ δὲ τῶν ἀλλοτρίων ἐρᾷς, μετ᾽ οὐ πολὺ δακρύσεις τὴν ἰδίαν στερούμενος.

Ερ. Μήδεια. Ἰάσονι.

Οὐδὲν τοῖς ἀνθρώποις περισπούδαστον οὕτως, οὔτε δὲ προσκορέστερον ἐρωτικῆς καθέστηκε σχέσεως. ποῦ σοι τῶν δακρύων τὰ ῥεῖθρα, ἃ τοῖς ἡμετέροις ποσὶν ἐπεκύμαινε. ποῦ σοι διέπτησαν τὰ μυρία γένη τῶν λόγων ἐκλιπαρούντων τὸ ῥημάτων τὸ ὑφειμένον τε καὶ χαμαίζηλον. οἶμαι μήτε τοὺς δανειζομένους τοιούτοις πρὸς τοὺς δανειστὰς κεχρῆσθαι τοῖς ῥήμασι, μήτε τραυματίαν τῶν πολεμίων ἁλόντα χερσίν. ἡ συντονος ἀγρυπνία παρῴχηκε. τὰ ἑωθινὰ καταλέλοιπας ᾄσματα. παρέδραμες τὰς μυρίας πρεσβείας, τὰς σπονδὰς, τοὺς ὅρκους, ἃς διὰ τῶν προσαγωγῶν γυναικῶν ἐπρεσβεύσω μοι. πρὸς ἑτέραν ἀφνω παρθένον ὠλίσθησας· ὥσπερ οἱ καθεύδοντες ἀμέσως ἀπ᾽ ἑτέρας πρὸς ἑτέραν ἐνυπνίων ὑπόθεσιν μεταβαίνοντες. ἐπαινῶ τοὺς ζωγράφους. ὑποπτέρους γὰρ τοὺς ἔρωτας ἀναγράφουσι. καὶ τέχνῃ διαμορφοῦσι τὰ πράγματα. καὶ τοῖς πλάσμασι τὴν ἀλήθειαν περιτιθέασι.

Ηθ. Παρμενίδης Χρυσοσθένει.

Τὸ μὲν ἐγρηγορέναι διὰ παντὸς, ἀθανάτου φύσεως ἴδιον. ὑπνοῦν δὲ μετρίως, τῶν καθ᾽ ἡμᾶς ἐστὶν ὡς ἔοικε καὶ ἀνθρώπινον. τὸ δὲ πέρα καθεύδειν τοῦ πρέποντος, τοῖς τεθνηκόσι μᾶλλον ἤπερ τοῖς ζῶσιν ἁρμόδιον. τὰς πλείστας Χρυσόσθενες τῆς σῆς ζωῆς μοίρας ἀφῄρησαι. ἀεὶ γὰρ καθεύδεις, καὶ τῶν ἐνθάδε μεταβέβηκας λήξεως, οἷά τις Ὀδυσσεὺς, τῆς καθ᾽ ἡμᾶς οἰκουμένης ἔξω πλανώμενος. ὠκεανῷ τινι τῷ ὕπνῳ χρώμενος. καὶ μήτε ἀνίσχοντα μήτε δυόμενον προσβλέπων τὸν ἥλιον.

Eth. Socrates Cleoni.

CVm lupi magnam prædã adepti ſunt, & ſatietate philoſophantur quaſi temperantiam quandam ab ouibus habent, ingenium ferũ ad manſuetudinem conuertunt, & egregiam quandam Iuſtitiam lupos docet ſaturitas. Cum ouibus vna paſcuntur & honorant eas donec ipſis venter reſpirauerit. At tu impudẽtiori quàm lupi ingenio præditus es, & multo effrenatiùs & cupidiꝰ te geris, cùm aurum abundat in theſauris tuis, non aliter quàm temulenti. Sitiunt enim cùm ad ſatietatem vſq; vino ſunt impleti, & ebrietatis vim ebrietate pellũt. Nam è ſumma optimáque valetudine, in contrariam incidunt, exhilarante vino temulentos & exurente. Relinque intemperantem illam temulẽtiam intemperans, ne in contrariam inclinationem traducaris, ſpoliatus omnibus etiam quæ fortuna largita eſt. His enim pœnis ingratos caſtigat ac ſapientes reddit.

Agr. Mintha Rhizoni.

FLuuius Chryſippus agri noſtri bonam partẽ abduxit, & tuo iuri adiunxit. Stolidè faciens & inſipiẽter, alienum promittit: ſed ſi iudiciorum onus ferre humeris non potes, ne fluminis dona admittas. Sin aliena concupiſcis, non multò pòſt, etiam tuis priuatus lugebis.

Am. Medea Iaſoni.

NIhil ab hominibus ita colitur, neq; verò quicquam ſatietati propinquius eſt quàm amatorius affectus. Vbi tibi lachrymarum flucta, quę noſtris pedibus alluebant. Quò tibi auolarunt infinita genera ſermonum illorum verborúmq; ſubmiſſio & ſupplicatio. Equidem opinor, neque eos qui pecunias mutuò ſumunt eiuſmodi verbis vti apud creditores, neq; vulneratũ, ſi manibus hoſtium ſit captus. Illa diligens vigilia præterijt. Matutinas cantiones reliquiſti. Deſeruiſti innumerabiles petitiones, fœdera, iuramenta, quæ mihi per internuncias fœminas detuliſti. Ad aliam repentè virginem decidiſti quemadmodum dormientes immediatè ab alia ſomniorum materia ad aliam tranſgrediũtur. Laudo pictores. Alatos enim pingunt amores & arte rem exprimunt, & figmentis portendunt veritatem.

Eth. Parmenides Chryſoſtheni.

PErpetuò vigilare, immortalitatis eſt proprium. Dormire verò mediocriter, noſtrûm eſt, vt opinor, & humanum. At vltra dormire, quàm ſatis eſt, mortuis potiùs quàm viuentibus conuenit. Plurimis tuæ vitæ partibus ô Chryſoſthenes priuaris: ſemper enim dormis, & his eſſe deſiſti, velut Vlyſſes quiſpiam extra noſtrum orbem oberrans, oceano quodam ſomno vſus, & neque orientem, neque occidentem ſolem aſpiciens.

Agr. Da-

Agr. Daphnon Aegeiro.

Ficus tuæ ad meum agrum radices protulerũt, neque volunt amplius eſſe tuæ poteſtatis, atque à tuo iure abſtractæ, mihi fructum fœtúoſque donat. Mea enim opera tranſierunt, Atq; hæc lex eſt agricolis, & legibus quæ iam ſenuerunt, morem gere ſenex. Quod ſi conſuetudine, quæ nobis eſt, vis contradicere, velut nouum te recentem legiſlatorem è ruſticis concilijs te eijcimus & è noſtris finibus te exterminamus, quaſi alienum.

Am. Pyrrhias Philonidæ.

SI amas, ne deformitatem in Amaſia repræhendas. Nõ enim poteſt nõ cęcutire animus amore captus. quoniam inuicta eſt amantium affectio. Sin non amas, quid lachrymaris & ingemiſcis, atque tibimetipſi ſpontaneam tempeſtatem accerſis. Iniuriam igitur facis vtroque modo, nunc vt amator cõcupiſcens, nunc vt inimicus execrans ac deteſtans.

Eth. Damaſcus Antigono.

SI non habet Socrates vitæ pignora, ne præficiatur tuo filio pædagogus. Pignora autem vitæ intelligantur liberi. Quem enim natura docuit eſſe patrem, hunc etiam pueros educare atq; inſtituere credibile eſt, cùm experientia didicerit generationis affectum & amoris in liberos dolorem.

Agr. Cepias Corianno.

QVæſo te Corianne, meridiano tempore tuam operam accõmodare mihi velis. Spinis enim rus meum circumſepiam. Nam peruerſos habemus viatores. Non poſſum eadem opera cum animantibus brutis & hominibus contendere. Lepus vites. Brucchus olera perdit. Quid iam de talpis loquar? Meticuloſum enim agricolæ malum eſt, & hoſtis penè inexpugnatus. Quare me adiuua, & in laboribus mihi ſis adiumento, atque ego te rurſus eiuſmodi rebus iuuabo. Sic enim etiã formicæ ſe mutuò iuuando moleſtiam fallunt, & maximos labores peragunt.

Ama. Antheia Brioni.

OMnia muliebri generi ſubiecta ſunt. Laidem Diogenes. Soſtratem Phrygius. Philoſophiæ gloriatio periit, grauitatem abiecerunt, cœleſtem animum reliquerunt, ſublimem profeſſionem fruſtrati ſunt. Omnia vana ſunt eis quæ prius ad exercitationem meditati ſunt. Importunum ludicrum mihi videtur eſſe, virum ſenem canis venerandis præditum, ſingularem iactantem ac præ ſe ferentẽ grauitatem, iuuenis meretriculæ amore teneri. Ego verò cacchinnor, & riſum ſuſtinere non poſſum, cùm in ſenes incido. Nam plurimis verbis olim in Venerem inuehebantur, & ad amatores dicebant eos ſuſcepta inſania laborare, cupiditatem intemperantis animi amorem definientes, omnia ferre ſapientẽ. Sperare verò multò prudentius eſt. Multùm enim tempus & fortuna poſſunt.

Eth. Soſtratus Lyſiſtrato.

QVoniam multis & egregiis rationib. te adhortati Penelopes telam videmur texere, age dũ

Ἀγρ. Δάφνων Αἰγείρῳ.

Αἱ συκαῖ σου πρὸς τὸ ἐμὸν χωρίον τὰς ῥίζας ἠπλώσαντο, ὑπὸ τῆς σῆς ἐξουσίας ἐπὶ πλεῖον οὐκ ἐθέλουσαι. καὶ τὸ σὸν ἀφῃρημέναι δίκαιον, φιλοτιμοῦνταί μοι τὰ κτήματα. τοῖς ἐμοῖς γὰρ αὐτομολήσαντα ἔργοις. καὶ τοῦτο νόμος ἐστὶ γεωργοῖς. καὶ γεγηρακόσι τοῖς νόμοις πείθη γέρων. εἰ δὲ τοῖς παρ' ἡμῖν ἔθεσιν ἀντιφθέγγεσθαι θέλεις, ὡς καινὸν ὄντα σε νομοθέτην καὶ πρόσφατον τῶν γεωργικῶν συλλόγων ἐκβαλλόμεθα. καὶ τῶν ἡμετέρων ὅρων ἐξοστρακίζομεν ὡς ἀλλότριον.

Ἐτ. Πυῤῥίας Φιλωνίδῃ.

Εἰ ἐρᾷς, μὴ κατηγόρει τῆς ἐρωμένης ἀσχημοσύνην. οὐ δύναται γὰρ μὴ τυφλώττειν ἐρῶσα ψυχή. ἀήττητος γὰρ ἡ τῶν ἐρώντων προσπάθεια. εἰ δὲ οὐκ ἐρᾷς, τί δακρύεις καὶ στένεις. καὶ κλύδωνα σαυτῷ προσφέρεις αὐθαίρετον. ἀδικεῖς οὖν ἑκατέρως. ποτὲ μὲν, ὡς ἐραστὴς ἐπιθυμῶν, ποτὲ δὲ ὡς ἀνταγωνιστὴς βδελυττόμενος.

Ἠθ. Δαμάσκος Ἀντιγόνῳ.

Εἰ μὴ βίου Σωκράτης ἐνέχυρα κέκτηται, παιδαγωγὸς τῷ σῷ μὴ προχειριζέσθω παιδός. ἐνέχυρα δὲ βίου, παῖδες νοείσθωσαν. ὃν γὰρ εἶναι πατέρα φύσις ἐδίδαξε, τοῦτον καὶ παιδαγωγεῖν ὅσιον ἀξιόπιστον. πεῖρα μαθόντα γεννήσεως χάριν καὶ στοργῆς ἀλγηδόνα.

Ἀγρ. Κηπίας Κοριάννῳ.

Συνέριθος ἐσο μοι μεσημβρινῆς ὥρᾳ κορίαννε. αἱμασιᾷ γὰρ τὸν ἀγρὸν περιέρξομαι. καὶ γὰρ τοὺς ὁδίτας κακοὺς κεκτήμεθα. οὐχ οἷός τε εἰμὶ καὶ ζώοις ἀλόγοις καὶ τοῖς ἀνθρώποις συμπλέκεσθαι. ὁ λαγωὸς τὰς ἀμπέλους, ἡ κάμπη τὰ λάχανα ὄλλυσι. τί δεῖ τὰ περὶ τῶν ἀσπαλάκων λέξαιμι. φοβερὸν γὰρ τῷ γεωργῷ τὸ κακὸν καὶ δυσανταγώνιστον τὸ πολέμιον. διό μοι συμμαχοῦ ἀπάτου. καὶ τῶν πόνων συναντιλαμβάνου κἀγὼ δέ σε αὖθις τοιούτοις ἔργοις ἀμείψομαι. οὕτω γὰρ καὶ οἱ μύρμηκες συμμαχοῦντες ἀλλήλοις, καὶ τὸν μόχθον σοφίζονται καὶ τῶν μεγίστων πόνων ἐφάπτονται.

Ἐτ. Ἀνθεία Βρίωνι.

Ἅπαντα τῷ γυναικείῳ φύλῳ δεδούλωται. Λαΐδος ὁ Διογένης ἐρᾷ. Σωστράτης, ὁ Φρύγιος. ἡ τῆς φιλοσοφίας κουφότης δεδούλωται. τὸ σεμνὸν ἦθος παρέωσαν. τὸ αἰθέριον καταλελοίπασι φρόνημα. τὸ μετάρσιον ἐπάγγελμα διεψεύσαντο. ἅπαντα φροῦδα τὰ πρὶν αὐτοῖς μεμελετημένα πρὸς ἄσκησιν. ἄωρόν μοι παίγνιον εἶναι δοκεῖ, ἄνδρα πρεσβύτην πολιὰς αἰδεσίμους ἔχοντα, ὠφρυωμένον ἐπὶ σεμνότητι, ναΐδος ἑταίρας ἐρᾶν. ἐγὼ δὲ καγχάζω καὶ τὸν γέλωτα στέγειν οὐ δύναμαι, ὁπηνίκα συναντήσαιμι τοῖς γέρουσι. πολλὰ γὰρ τῆς ἀφροδίτης κατηγόρουν πάλαι. καὶ πρὸς τοὺς ἐρῶντας μανίαν νοσεῖν αὐθαίρετον ἔφασκον. ἔρωτα ἀκολάστου ψυχῆς τοὺς ἔρωτας ὁριζόμενοι. ἅπαντα φέρειν σοφόν. τὸ δὲ ἐλπίζειν λίαν ἐστὶν ἐμφρονέστερον. πολλὰ γὰρ χρόνος καὶ τύχη δύνανται.

Σώστρατος Λυσιστράτῳ.

Ἐπειδή σοι πολλὰ καὶ θαυμαστὰ διηγησάμενος τὸν πηνελόπης ἐδόξαμεν ὑφαίνειν ἱστὸν, φέρε δὴ τὸ

φέρε καὶ μυθικῶν ἀπαρξώμεθα λόγων. ἴσως γὰρ τῆς σῆς διανοίας ὑφίκοιτο ἂν τὰ λεγόμενα. ἐν τοῖς νεοβλάστοις τῶν δένδρων ὁ τέττιξ ὀχούμενος, ὥρᾳ καύματος ἐνελάλει, καὶ τῆς ἑαυτοῦ ἁρμονίας αἰσθανόμενος ἐτέρπετο. ὁ δὲ μύρμηξ παρῆν τοῖς θερίζουσι καὶ περὶ τὴν ἅλω τὰς διατριβὰς ἐποιεῖτο. καὶ τοῖς κόλποις τῆς γῆς τὴν ἑαυτοῦ τροφὴν ἐθησαύριζεν, οἷα φρενηρέστερος ὢν ὁ μύρμηξ τοῦ τέττιγος. παραμείβει τοίνυν ἐκ τῶν βορείων ὁ ἥλιος. ἀπῆν τὸ μετόπωρον. καὶ ὁ χειμὼν ἀπήντα τῇ γῇ. ἡ δὲ θάλαττα τὰς γαληναίας σπονδὰς διελύσατο. οἱ πλωτῆρες τοὺς λιμένας ὡς σωτῆρας ἠσπάζοντο. καὶ ὁ γεωργὸς ἐπὶ τὴν ἑαυτοῦ ἀλέαν κατέφυγε. καὶ ὁ μύρμηξ ἐν τοῖς λαγόσι τῆς γῆς καὶ τοὺς πόνους εἶχεν ἰάσιν ἐπιτηδείων. ἱκέτευε δὲ ὁ τέττιξ τὸν φιλόπονον μύρμηκα τῶν θησαυρῶν μεταχεῖν. ὁ δὲ τὸ μελῳδὸν τοῦ ἑαυτοῦ θερινὸν ἀπεπέμπετο ποιῶν αὐτοῦ τῆς ἀργίας καταγελῶν τὸν γέλωτα. καὶ τῶν θερινῶν ᾀσμάτων αὐτὸν ἀνεμίμνησκε. διόπερ ὁ μὲν εἶχε λιμὸν τὴν ᾠδήν. ὁ δὲ τοὺς πόνους τρυφήν. ἁρμόττει σοι ὁ μῦθος Λυσίστρατε. ἀργὸς γὰρ ὢν ἀθλιώτερος εἶ τοῦ πυρέσσοντος. ἐσθίεις μάτην διπλάσια. ἄπαγε δῆτα τῆς ἀργίας ὦ βέλτιστε. τὰ τῆς φύσεως γὰρ δῶρα καταισχύνεις. τηλικαύτην ῥώμην καὶ δύναμιν τοῦ σώματος ἀκόσμητον παρεὶς ἐπιστήμῃ πόνων ἀσκεῖν μὴ βουλόμενος.

Τεττίγων Πορφυρίωνι.

Ὁ Κορύδων εὐδαίμων ἀνὴρ καὶ τῆς τύχης φίλος ὡς ἔοικεν. αἱ ἄμπελοι τοῖς βότρυσιν ἄχθονται. αἱ ἀχράδες βρίθουσι καὶ τῶν τρυγώντων ὀρέγονται. αἱ ἐλαῖαι τῇ γῇ προσνενεύκασι. καὶ τῷ πλήθει τοὺς ἐγκαμένους κλάδους βιάζονται. οἱ λειμῶνες κατάκομοι. ἡ ἅλως ταῖς τίλοις ἐφάμιλλος αὔλαξιν. ἀλλὰ καὶ τὸ γύναιον μετὰ τῶν ἄλλων εὐφραίνει τὸν ἄνδρα. τοσοῦτοι γὰρ παῖδες αὐτῷ, ὥστε καὶ Δαναὸν καὶ Αἴγυπτον ταῖς εὐτεκνίαις νικᾶν. ἄλλος μὲν γάρ ἐστιν ὑπομάζιος. ἄλλος τῆς γαλουχίας ἐπαύσατο. ἕτεροι δὲ ἕρπουσι μήπω τῆς ὀρθῆς βαδίσεως ἀπαρξάμενοι. ἔνιοι δὲ τραυλίζουσι καὶ τοὺς ὀδόντας ἀμείβουσιν. ἄλλοι τῆς ἀκμῆς ἐπιβαίνουσι. καὶ τὸ βούπαιδος ἤδη κεκληρώκασι. σύριγγος δίκην αὐλῶν ἡ τῆς ἡλικίας αὐτοῦ τάξις συντέτακται. σὺ δὲ παρῄνεις τὸ θυγάτριον μὴ παρεγγυᾶν τῷ Κορύδωνι. καὶ τὴν ἀγχιστείαν ἐνάκιζες ὥσπερ ἀφοσιούμενος τὴν δυσγένειαν. οἴμοι βεβουκόλημαι ὁ δείλαιος. καὶ κενὸν ἔσχον τὸ φρόνημα. τοῖς ἀνθρώποις ἀνόνητον ἡ εὐγένεια. πλούτου γὰρ παρὰ πᾶσιν οὐδὲν ἐνδοξότερον.

Χρυσὶς Ἡφαιστίωνι.

Οὐκ ἔτι τῆς Διδοῦς ἐρᾷς. τὰς ἐρωτικὰς θρυαλλίδας ἀπέσβεσας. ἡ γὰρ ζηλοτυπεῖς ἐπ' αὐτῇ, ὁμιλοχωροῦσαν τῷ Λυσιστράτῳ θεώμενος. ζηλοτυπώτερον ἔρωτος οὐδέν. καὶ πῶς ἐρᾷς τηλικαύτης ἀλγηδόνος φιλοσόφως ἀνεχόμενος.

Ἠθ. Σωκράτης Μελαμπαίδῃ.

Γυμνασταὶ μὲν παιδοτρίβαι ἀνθρώποις παισί. τῆς σωφροσύνης δὲ διδάσκαλοι. ἐπειδὴ γὰρ φρονήσεως ἔτι καὶ νόμων οἱ παῖδες εἰσὶν ἀνεπίδεκτοι, ἀπειλαῖς χαλινοῦμεν τὸ τούτων ἀκόλαστον. τοὺς γὰρ παῖδας λόγοις μᾶλλον ἢ μάστιξιν ἐκταράττομεν.

age fabuloſos etiam ſermones, incipiamus. Forſitā enim animum tuum perpulerunt, quæ dicemus. In germinantibus iam arboribus, inſidens cicada, æſtiuo tempore canebat, atque ſuum ipſius concentum audiens delectabatur. Formica vero meſſoribus aderat, & iuxta aream opus faciebat atque in terræ gremiis ſuum victum recondebat. quòd formica cicadam, prudentia anteiret. Diſceſſit igitur ſol ex aquilonaribus plagis præteriit autumnus & iam hyems terræ ingruebat. Mare tranquillitatis fœdera rupit. Nauigantes portus quaſi ſaluatores amplectebantur, & ruſticus ad focum confugiebat. Ibi tum formica in cauernis terræ ſuis laboribus parto victu fruebatur. Rogabat autem laborioſam formicam cicada, vt ſibi de ſeruatis opibus impertiret. At illa cantorem cū magno pigritiæ deriſu à ſuis ianuis ablegauit, & æſtiuos concentus in memoriam ei reuocauit. Itaque huic quidem famem attulit cantus, illi verò labor delicias. Conuenit in te Fabula Lyſiſtrate. Etenim piger cùm ſis, miſerior es febricitante, fruſtra duplum comedens. Miſſam igitur fac pigritiam optime. Etenim naturæ dona pudeſcis, qui tantum robur ac vires corporis inexercitatas ſinis, neque laborum ſcientia vis excolere atque erudire.

Agr. Tettigon Porphyrioni.

Corydon homo beatus eſt, & fortunæ amicus, vt apparet. Vites grauantur Botris, Pyri onuſtæ ſunt & meſſores poſtulant. Oliuæ ad terram inclinant, & multitudine ferentib. ramis vim adhibent. Prata comis plena ſunt. Area paleis æqualis eſt ſulcis. Sed & vxorcula cum reliquis hominem oblectat. Tot enim ſunt ei liberi, vt etiam Ægyptum ac Danaum liberorum fœlicitate ſuperet. Alius enim adhuc mammillis adhæret, alius iam lactere deſiit. Cæteri repunt qui nouam rectè ingredi cœperunt. Quidam balbuciunt & dētes efferunt Reliqui ad vigorem ætatis accedunt. & iam adoleſcentiam grandiorem ſortiti ſunt. Ad nodum diſtinctionum tibiæ, ſeries ætatis eſt ei compoſita. Tu verò monebas ne Corydoni filiolam traderem, & affinitatem vituperabas, quaſi generis ignobilitatem auerſans. Heu mihi perſuaſum infœlix & leuem animum habui. Nihil prodeſt hominibus nobilitas. Diuitiis enim apud omnes nihil glorioſius.

Ama. Chryſis Hephæſtioni.

Non amplius Didotam amas, extinctis amatorii flammis. Non enim tibi zelum mouet quòd eam cùm Lyſiſtrato tem habere conſpicaris. Nihil magis æmulationum plenus quàm amores. Et quomodo amas, cùm tantum dolorem ſapienter perferas ac patiaris.

Eth. Socrates Melamppi

Gymnaſtæ quidem ſunt Pędotribæ pueris qui non perſuadentur, ſapientiæ vero doctores. Cùm enim prudentiæ ac legum poeri nondum ſuiit capaces, minis, refrenamus horum libidinem, Pueros enim verbis magis quàm flagris terremus.

Ego ye-

Ego verò tuam impudentiam admir or. Non enim ſuplicia iudiciorum tibi metum incutiunt, neq; orationem adhortatoriam revereris. Pueris ſtultiorem in ſenectute mentem poſſides. Eas igitur ſi bibet ad Barathrum. Quem enim neque verba, neq; verbera ad ſapiendum reuocare poſſunt, hunc perſuadere vt malitiam remittat nimis operoſum eſt & difficilius quàm Augiæ fimum ac ſordes expurgare aut cyatho totum mare Atlanticum exhaurire.

Agr. Bubalion Ciſsybioni.

GOrgiæ filius in nos iniurioſus eſt. Vagatur enim equitans omnium ſceleratiſſimus & venationis prætextu, nequitiam tegit peſſimus. Neq; enim lepus apud nos currit, neque dama verſatur, neque bubali, neque cerui, neque alia fera quæ ſit ad venationem apta. Etenim retia & laquei lepores expellunt, quibus & capiuntur. Damas verò aut bubalos vicini leones, & quid tibi infinita ferarum genera recenſeam, cum quibus etiam nos vnà fæmemus. Nos enim quòd non ſumus, beſtiæ verò quòd feræ non ſunt puniuntur. Quoniam igitur tibi familiaritatis cum iniurioſo eſt neceſſitudo ciſſybie, ſuade ei quod vtile ſit, & tui ſermones eum reddant in his moderatiorem. Scis enim eum canibus laceratum iri, ſi poſthac in meos agros inuaſeris. Iam enim etiam fœmina canis cum catulis ad cuſtodiendum agrum locata eſt, non potens ab humano adipe ſe continere.

Am. Pitho Hippolyte.

ELegantiam, magis quàm morum grauitatem amantes diligunt. Non enim ſapientiam amores profitentur, ſed venuſtate corporis, impudicum oculum inescant. Si igitur ob mores Rhodocliam amas, tuis voluptatibus non dominantur ac imperant amores.

Eth. Eratoſthenes Aeſchyni.

DEuoras iuſiuranda perinde ac holera, & dentium fragor tibi executio eſſe videtur, & accuſantibus contradicis omnium flagitioſiſſime. Lingua iurauit, mẽs verò iniurata eſt. Neſcis effrenatã linguã grauiores delicti pœnas dare. Quæ enim verbis delinquimus, rebus plectemur. Itaque modeſtam linguam poſſide, iurare vel ad veritatem confirmandam metuens. Leuis enim res Iuſiurandum eſſe videtur, cùm omni onere ſit grauior. Hinc etiã Tantalus pœnis afficiebatur. Nam in diuinis rebus linguam habuerat immodeſtam.

Agr. Senthion Coriaine.

VIdi tandem ſerò peſſimam vulpem, captámq; & variis vinculis vexam cuſtodio ſceleſtiſſimam, & in publicam viam ducã conuocatis omnibus ruſticis, & de hoſte triũphabo, ac publicè dabit pœnas pro multis iniuriis vno ſupplicio affecta.

Am. Calliope Laidi.

COrymbo & cicada gloriat̃ Gorgias, nõdũ lanugine vultũ obtegẽs, & formæ pulchritudine

ἐγὼ δὲ τὴν σὴν ἀναίδειαν ἄγαμαι. οὐ γὰρ κολάσεις δικαστηρίων σοι φοβεραί. οὔτε λόγος εἰσηγητικὸς ἐστὶν αἰδέσιμος. τὴν παίδων ἀφρονεστέραν ἐν γήρᾳ τὴν διάνοιαν ἔχεις. ἴθι τοίνυν εἰ βούλοιο πρὸς βάραθρον. ὃν γὰρ λόγος καὶ μάστιγες σωφρονεῖν οὐ διδάσκουσι, τοῦτον πείθειν κακίας ἀπέχεσθαι λίαν ἐργῶδες. καὶ τοῦ καθαίρειν τὴν Αὐγείου κόπρον ἐστὶ δυσχερέστερον. ἢ κοτύλῃ τὸ Ἀτλαντικὸν ἅπαν ἐκροφῆσαι πέλαγος.

Αγρ. Βυβαλίων Κισσυβίωνι.

ΟΓοργίου παῖς εἰς ἡμᾶς ἀδικεῖ. ἐξωνείχεται γὰρ ἱππαζόμενος ὁ παμμίαρος. καὶ προσχήματι θήρας περιπτύσσει τὴν πονηρίαν ὁ κάκιστος. οὔτε γὰρ λαγῶς φοιτᾷ παρ' ἡμῖν, οὔτε δορκὰς ἐνδημεῖ, οὔτε βυβαλίδες. οὐκ ἔλαφοι, οὐκ ἄλλο τι τῶν πρὸς θήραν ἐπιτηδείων ἐστίν. αἱ μὲν γὰρ εἱρκταὶ καὶ πάγαι τοὺς λαγωοὺς ἀπελαύνουσι δι' ὧν καὶ ἁλίσκονται. δορκάδας δὲ ἢ καὶ βυβαλίδας οἱ γείτονες λέοντες. καὶ τί δεῖ τὰ σοι τὰ μυρία τῶν θηρίων ἀπαριθμήσασθαι γένη, οἷς καὶ ἡμεῖς συλλυμαινόμεθα. ἀνανδρία γὰρ ἡμᾶς, ἀθηρία δὲ τοὺς θῆρας κολάζεται. ἐπειδὴ οὖν ἀγχιστεία σοι πρὸς τὸν ἀδικοῦντα κισσύβει, εἰσηγοῦ τὸ συμφέρον. καὶ σωφρονέστερον τοῦτον οἱ σοὶ διδασκέτωσαν λόγοι. ἴσθι γὰρ αὐτὸν κυσὶ σπαραξόμενον, εἰ ἐν τοῖς ἐμοῖς ἀγροῖς τὸ λοιπὸν ἐνδημήσειεν. ἤδη γὰρ καὶ ἡ θήλεια κύων σὺν τοῖς τέκνοις φρουρεῖ μου τὸ χωρίον ἀνθρωπίνης ὀργῶσα πιμελῆς ἐφάψασθαι.

Ετ. Πειθὼ Ἱππολύτῃ.

ΕΥπρέπειαν οὐκ ἤθους σεμνότητα οἱ ποθοῦντες μᾶλλον ἀσπάζονται. οὐ γὰρ σωφροσύνῃ οἱ ἔρωτες ἐπαγγέλλονται. ἀλλὰ κάλλει σώματος, ὀφθαλμὸν ἀκόλαστον δελεάζουσιν. εἰ τοίνυν διὰ τοὺς τρόπους τῆς Ῥοδοκλείας ἐρᾷς, τῶν σῶν ἡδονῶν οὐ βασιλεύουσιν ἔρωτες. φιλοσοφοῦντος γὰρ λογισμοῦ βέλος ἀφροδίσιον οὐχ ἅπτεται.

Ηθ. Ἐρατοσθένης Αἰσχίνῃ.

ΕΣθίεις τοὺς ὅρκους ὡς λάχανα. καὶ κτύπος ὀδόντων εἶναί σοι δοκεῖ τὸ τελούμενον. καὶ τοῖς ἐγκαλοῦσιν ἀντιφθέγγῃ παμπόνηρε. ἡ γλῶττα ὀμώμοκεν. ἡ δὲ φρὴν ἀνώμοτος. οὐκ οἶδας, ἀχαλίνωτον γλῶτταν, μείζονα τοῦ πλημμελήματος, εἰσπραττομένην τὴν κόλασιν. ἃ γὰρ λόγοις ἁμαρτάνομεν, ἔργοις τὴν τιμωρίαν ὑφέξομεν. τὴν γλῶτταν δῆτα σώφρονα κέκτησο, ὀμνύειν καὶ πρὸς ἀλήθειαν εὐλαβούμενος. ἀβαρές τι γὰρ χρῆμα ὁ ὅρκος εἶναι δοκεῖ καὶ παντὸς ἄχθους ἐστὶ δυσφορώτερον. ἐντεῦθεν καὶ Τάνταλος ἐκολάζετο. περὶ τὰ θεῖα γὰρ εἶχε τὴν γλῶτταν ἀκόλαστον.

Αγρ. Σαλτλίων Κοριαίνῃ.

ΕΙλον ὀψέ ποτε τὴν κακίστην ἀλώπεκα. καὶ λαβὼν, ποικίλοις δεσμοῖς περιφρουρῶ τὴν παμμίαρον. καὶ ἄξω ἐπὶ τὴν λεωφόρον κορύναισι τοὺς ἀγροίκους συγκαλεσάμενος ἅπαντας. καὶ τὴν πολεμίαν θριαμβεύσω καὶ δημοσίᾳ δίκας παρέξεται αὐτὴ πολλῶν ἀδικημάτων μίαν ὑφέξουσα κόλασιν.

Ετ. Καλλιόπη Λαΐδι.

ΚΡωβύλῳ καὶ τέττιγι ὁ Γοργίας σεμνύνεται, μήπω τοῖς ἰούλοις κατασκιάσας τὸ πρόσωπον. καὶ

βρενθύεται τῷ κάλλει. καὶ δέλεαρ ἀνοίας προτίθησιν ἡμῖν τὴν εὐπρέπειαν. ἐγὼ δὲ γῆρας καὶ νόσον καὶ λύπην, πινάξιν ἐγχαράξομαι. καὶ πρὸ τῶν θυρῶν ἀναθήσομαι τοῦ ἀγνώμονος. ταῦτα γὰρ ἕξει ποτὲ τῆς εὐπρεπείας τὰ ἀντίπαλα.

Ηθ. Πλάτων Αξιόχῳ.

Ηνίαις καὶ μάστιγι τοὺς ἵππους ἰθύνομεν. καὶ ναυτιλλόμεθα ποτὲ μὲν τοῖς ἱστίοις τὴν ναῦν ἐκπετάσαντες. ποτὲ δὲ ταῖς ἀγκύραις χαλινώσαντες καθυβρίζομεν. οὕτω κυβερνητέον τὴν γλῶτταν ἀξίοχε. ποτὲ μὲν τοῖς λόγοις ὁπλίζοντες. ποτὲ δὲ σιωπῇ κατευνάζοντες.

Αγρ. Ρόδων Κυπαρίσσῳ.

Τοὺς λυκάνους ἐπιέναι πάλιν φασί. καὶ τὸ δρέπανον ἀπορρίψας, λόγχην καὶ σκαρτῆρα χαλκεύσομαι. καὶ τὴν ἐνυάλιον τέχνην ἀσκήσαιμι. οὐκ ἐᾷ γὰρ ἠρεμεῖν ὁ δαίμων ἡμᾶς. ἐμοὶ τοῦ χειμῶνος τὸ θέρος ἐστὶ κρυωδέστερον. τί γὰρ τοῦ πολέμου γένοιτ' ἂν φρικωδέστερον. ἦρος φανέντος ἐδάκρυσα. ὡς κομᾷ τοῖς ἄνθεσιν ὁ ἀγρός. ὡς εὐώδης ἐν ταῖς μυρρίναις τὸ γήδιον. ὡς κοσμία κομῶσα ἡ πλάτανος. χλοάζει τὸ λήιον. πάντα μοι πρὸς εὐετηρίαν ἐπείγεται. ἀλλ' ἀδικοῦσιν ἡμᾶς οἱ πολέμιοι. ἀρότρου γὰρ αὐτοῖς ἡ μάχαιρα ποθεινοτέρα.

Ετ. Σώπατρος Τελεσίλλῃ.

Εἰ μὴ ταῖς ἀφροδισίαις ἡδοναῖς τὸν ἀτερπῆ κόρον ἡ φύσις ἐνέμιξεν, ἐδουλαγωγεῖτο τὸ ἄρρεν τῷ γυναικείῳ φύλῳ Τελέσιλλα. μὴ τοίνυν μέγα φρόνει πορνίδιον. ὁ τῆς ἀφροδίτης μοι πυρσὸς ἀπηθάλωται. οὐ γὰρ ἀθανάτους τὰς ἀλγηδόνας τὰ τῶν ἐρώτων βέλη παρέχεται.

Ηθ. Πρόκλος Αρχιμήδει.

Τοὺς πολύποδας φασὶν ἀθυρίας τυγχάνοντας, τοὺς ἑαυτῶν κατεσθίειν πλοκάμους ὄψον ὥσπερ ἀληθῶς ἑτοιμασάμενοι τὰ ἑαυτῶν δυστυχέστατα μέλη. ἐσθίουσι γοῦν οἱ τάλανες τῶν ἑαυτῶν μορίων τὰ χρέα. καὶ δαιτυμόνες τῶν ἰδίων σαρκῶν ἀναδείκνυνται. ἆρά γε Ξανθίππη οὐ πολύπους τῇ γνώμῃ εἶ τοῖς ὅλοις δοκεῖς. ἐγὼ μὲν οἶμαι τοῦτο σαφέστατον. ἀδικεῖς γὰρ λίαν ἀπανθρωπότατον σὸν πατέρα. μήτε τὴν φύσιν αἰδούμενος, μήτε τὴν δίκην ὡς βάραθρον διευλαβούμενος. ἀλλ' εἰ μὲν μεταγνοίης, ἀμνήμονα τῶν παρῳχηκότων κακῶν ἕξεις τὴν πρόνοιαν. εἰ δὲ τὴν φιλοχρύσου ἐριννὺν ἀμετακίνητον πάθος κεκλήρωσαι, τὴν ἰσόρροπον πλάστιγγα τὸ θεῖόν σοι ταλαντεύεται. καὶ παῖδας ἕξεις πατρικῆς κακίας εἰκόνας ἀληθεῖς καὶ ἰνδάλματα. οὕτω γὰρ καὶ τὰ τῆς ἐχίδνης κυήματα, μητέρα τὴν ἀνοσιώτατα διαδέχεται. τὴν κυοφόρον καὶ τιθηνὴν γαστέρα διαρρηγνύοντα.

Αγρ. Ελάφων Δόρκωνι.

Γόνιμος πρὸς εὐκαρπίαν ὁ τῶν θρεμμάτων ὄνθος καθέστηκεν. οὐκοῦν δίδου μοι τῶν σῶν θρεμμάτων τὴν κόπρον. καὶ λήψῃ καὐτὸς μισθοὺς εὐπορίας ἀχράδας καὶ λάχανα. καὶ τὸ σὸν φιλότιμον λαμπροτέραις ἀμείψομαι χάρισιν.

Ετ. Αριστόξενος Πολυξένῃ.

Εταιρικῶν ἡδονῶν οὐδὲν ἀστατώτερον. ἄπιστα τὰ τῶν σῶν χειλέων φιλήματα. ἀφύτευτος γὰρ

ſuperbit atque nobis eſcam ſtoliditatis obiicit elegantiam. Ego verò ſenectutem morbũ & dolorẽ tabulis inſcribam, & ante ianuam faſtuoſi nebulonis ſuſpendam. Hos enim babebit aliquando pulchritudinis hoſtes.

Eth. Plato Axiocho.

Loris & flagello dirigimus equos, & nauigamus aliquando velis nauem explicantes, aliquando ancoris frenantes retinemus. Eadẽ gubernatio ad linguã adhibenda eſt Axioche, vt aliquando eam verbis armemus, aliquando ſilentio reprimamus.

Agr. Rhodon Cypariſſo.

LVcanos iterum aduentare dicunt, & abiecta falce haſtam iterum & remum fabricabo atque martinum opificium excercebo. Non enim permittit quieſcere nos fortuna. Mihi æſtas eſt hyeme borribilior. Quid enim fieri poteſt horribilius bello. Apparente vere lachrymatus ſum, quòd ornatus floribus ager, quòd flagrans Myrrhinis prædium, quàm decora folijs platanus. Viret ſeges. Omnia mihi ad vbertatem annonæ properant. Sed iniuriam nobis hoſtes inferunt. Optatior enim eſt eis gladius aratro.

Am. Sopater Teleſillæ.

NIſi Venereis voluptatibus non iniucundam ſacietatem natura adomſcuiſſet, mas à muliebri genere in ſeruitutem redigeretur Teleſilla. Ne igitur altum ſapias meretricula. Veneris flamma mihi abſterſa eſt. Nõ enim immortales dolores amorum iacula efficiunt.

Eth. Proclus Archimedi.

POlypodes aiunt cùm ſe ludo dedunt, ſuas ipſorum ſquamas deuorare, quaſi verè paratum cibũ infœliciſſima ſua membra. Veſcuntur igitur pernicie ſuarum partium, & propriarũ carnium ſe cõuiuas præbent. Nonquid Xanthippe Polypos animo atque ſeotentia ſummæ rerum eſſe cenſes. Ego verò manifeſtiſſimum hoc arbitror. Nam contra omnem humanitatem tuum patrem afficis iniuria, neque naturam reueritus, neq; iudicium quaſi Barathrum perhorreſcens At ſi pœnitentiam egeris, immemorem præteritorum malorum habebis prouidentiam. Sin auaræ furiæ immutabili damno deſtinatus es, æquilibram lancem tibi numen ponderabit & liberos habebis, qui veras imagines paternæ malitiæ & ſimulachra referant. Sic enim viperæ quoque fœtus maternam ſceleratiſſimè exprimunt matricem, & nutricem ventrẽ diſrumpentes.

Agr. Elaphon Dorconi.

VTile eſt ad vberem bonúmque frugum prouentum ſtercus ouium. Itaque da mihi tuarũ ouium ſordes, atq; tu quoq; mercedem accipies de fertilitate Pyra & olera, ac tuam liberalitatem ſplendidioribus donis remunerabor.

Am. Ariſtoxenus Polyxenæ.

MEretriciis voluptatibus nihil inconſtantius. Infida ſunt tuorũ labiorũ oſcula. Amor enim non pla-

non planè inſitus, citiùs areſcit. Ego pudicitiam in poſterum voluptatis expertem apud vulgus magis probabo. Promittit enim ſtabilitatem, & dotibus coniugium emam. Nam meretriciam fidem emere difficile eſt ac arduum.

Eth. Diogenes Sotioni.

HÆc vilis & abiecta glóriola pro falſo inſónio à ſapientibus putatur, & fictis fabulis móſtroſior atque deterior, inconſtans, efferens, ludicrũ fremitibus ac ſpiritibus inanius. Hæc abſens parit moleſtiam, & poſtquam acceſſit vehemẽtiorem dolorem adfert. Pauló enim pòſt amatoribus ſuis ingrata eſt. Et antequam fiat, ad nihilum ac vanitatem tranſeurrit. Ne te fortunæ flatus efferant. Deludit enim homines pro libito. Imagines enim imaginum ſunt res hominum.

Agr. Bucolion Myronida.

NEpos tuus Myronida nimis luxurioſè vitã inſtituit Rubro panno paſcua boum perturbauit, & egregiam vaccam præcipitem egit. Æquales verò damnum ludibrio habuerunt. Ne præbeas adoleſcenti vltra duos Chœnices. Iuuenes enim & luxuriando petulantes & laſciuiendo ſunt immodeſtiores.

Am. Pericles Calliopæ.

VIrgines adipiſci voluptates prorſus eſt difficile & omnino. Ego verò pigro ſum animo. Et Quid faciam? Implacabilis enim eſt amor, tela immittendo. Tu inter me & amorem eſto iudex atque mihi ſuffragium humanitatis tribue. Inuident enim amores, deſiderium quidem præbentes, at conſecutionem adimentes.

Eth. Iſocrates Dionyſio.

DVces quidem & virgiferi atque præcones, ſublimiorúmque ſedium adeptio philoſophiæ tenebras & caliginem offendunt, ac maximè procliuem habent à virtute ſeparationem. Non mutaſti cum fortuna naturam. Adhuc Pelliceũ habes marſupium. Mortalem enim ab initio compoſitionem habes. Quid tandem hæc vana gloriola luteum verè tantum inflauit? Magna ſtultitia plenus es infœlix, & ingenij tui cognitionẽ amiſiſti. Ita ſublimes fortunæ motus, deſiſtere te à veteri ſpeculatione coëgerũt & vt à moderato illo furore diſcederes effecit. Erat tibi olim excelſum, erat tibi abiectũ. Nunc verò & humili & terrenũ ſummus fortunæ gradus. Itaque falſam beatitudinem relinque, & fugitiuam fortunã fuge, ſi enim præuerteris ingratam, ſtatim viciſſitudinem non ægrè feres accidentem.

Agr. Cremylion Ampeloni.

NIhil eſt in rerum natura miſerius agricolis. Etiam venti nos infœlices Tyrannide premunt. Perdit nos Auſter. Spicas mihi ad nihilum redegit. Vites perdidit & vuas corrupit. Atque in iudicium trahere non poſſum autorem iniuriæ. Propterea falcem & ſarculum auferam, atque ſcutum, galeam gladiúmque in eorum locum capiam,

πόθος ϑᾶττον μαραίνεται. ἐγὼ τὴν σωφροσύνην λοιπὸν ἀηδόνου οὖσαν παρὰ τοῖς πολλοῖς μᾶλλον προσδέξομαι. τὸ γὰρ σταϑερὸν ἐπαγγέλλεται καὶ προῖκαι τὸν γάμον ὠνήσομαι. πρίασθαι γὰρ πίστιν ἑταιρικὴν χαλεπώτατον.

Ηθ. Διογένης Σωτίωνι.

ΤΟ μικρὸν τοῦτο δοξάριον ὄναρ ἐνύπνιον εἶναι τοῖς εὖ φρονοῦσι δοκεῖ. καὶ τῶν πεπλασμένων μύθων τερατωδέστερόν ἐστι καὶ φαυλότερον, ἄστατον, κουφοποιόν, παίγνιον ἤχων καὶ πνευμάτων φαντασιωδέστερον. τοῦτο καὶ μὴ παρὸν αἰτιᾷ. καὶ προσγενόμενον πλέον ἐλύπησε. μετ' οὐ πολὺ γὰρ τοὺς ἐραστὰς ἠγνωμόνησε. καὶ πρὶν γενέσθαι πρὸς τὸ μὴ εἶναι μετέδραμε. μή σε καταπληττέτω τὰ τῆς τύχης φυσήματα. διαπαίζει γὰρ τοὺς ἀνθρώπους ὥσπερ καὶ βούλεται. εἴδωλα γὰρ εἰδώλων τὰ τῶν ἀνθρώπων τετύχηκε πράγματα.

Αγρ. Βουκολίων Μυρωνίδῃ.

Ο Σὸς ἔγγονος ὑπερ μαζᾷ ὦ Μυρωνίδη. Ἐρυθρῷ ῥάκει τὰ βουκόλια διετάραξε. καὶ τὴν δαμάλην τὴν ποθεινὴν κατεκρήμνισεν. οἱ δὲ ἡλικιῶται τὴν συμφορὰν ἐποιήσαντο παίγνιον. μὴ παρέχε δυοῖν χοινίκοιν τῷ παιδὶ περαιτέρω. οἱ γὰρ νέοι καὶ σφριγῶντες ἀκόλαστοι καὶ ξυφῶντες εἰσὶν ἀκρατέστεροι.

Ερ. Περικλῆς Καλλιόπῃ.

ΠΑρθενικῶν ἡδονῶν ἐπιτυχεῖν ἄγαν ἐστὶ δύσχερὲς καὶ λίαν. ἐγὼ δὲ ῥάθυμος τὴν ψυχήν. καὶ τί δράσαιμι ἄν. ἀσύμβατος γὰρ ὁ ἔρως ἐπιπέμπων τὰ βέλη. αὐτὸ μοι δίκαζε καὶ τῷ ἔρωτι καὶ δίδου μοι ψῆφον φιλανθρωπίας. βασκαίνουσι γὰρ οἱ ἔρωτες τὸ μὲν ποθεῖν παρεχόμενοι. τὸ δὲ τυχεῖν ἀφαιρούμενοι.

Ηθ. Ισοκράτης Διονυσίῳ.

ΠΡόπομποι καὶ ῥαβδοῦχοι καὶ κήρυκες καὶ θρόνων ὑψηλοτάτων ἐπίδειξις, φιλοσοφίας εἰσὶν ἀχλὺς καὶ διαιρετικώτατος πέφυκε τῆς ἀρετῆς χωρισμός. οὐκ ἤμειψας μετὰ τῆς τύχης τὴν φύσιν. ἔτι τὸν θύλακον ἔχεις δερμάτινον. θνητὴν γὰρ ἔχεις ἐκ προοιμίων τὴν σύστασιν. τί δῆτα τὸ κενὸν τοῦτο δοξάριον ἐπὶ τοσοῦτον τὸν πήλινον ἀσκὸν διεφύσησε. μεγάλης ἀνοίας ἐνεφορήθης ὦ δύστηνε καὶ τῆς φύσεως τὴν γνῶσιν ἀφῄρησαι. οὕτω τὰ μετέωρα τῆς τύχης κινήματα ἐκστῆναί σε τῆς πάλαι θεωρίας ἠνάγκασαν. καὶ τῆς σώφρονος ἐκείνης μανίας ἀποχωρεῖν παρεσκεύασαν. ἦν σοι πάλαι μετάρσιον τὸ χαμαίζηλον. νῦν δὲ καὶ χθαμαλὸν καὶ ἐπίγειον ὁ τῆς τύχης ὅρος ἀκρότατος. οὐκοῦν τῆς ψευδοῦς εὐδαιμονίας ἀφίστασο. καὶ τὴν δραπέτιν τύχην δραπέτευε. προφθάνων γὰρ τὴν ἀγνώμονα, ἄφνω τὴν μεταβολὴν οὐ δυσφορήσεις προσπίπτουσαν.

Αγρ. Κρεμύλων Αμπελίωνι.

ΟΥκ ἔστι τι γεωργῶν ἀθλιώτερον. τυραννούμεθα καὶ τοῖς ἀνέμοις οἱ τάλανες. ἀπόλλυσιν ὁ νότος ἡμᾶς. τοὺς ἀστάχυας ἐξιτήλους μοι ἀπειργάσατο. τὴν ἄμπελον ἐλυμήνατο. καὶ τὰς ῥᾶγας διέφθορε. καὶ πρὸς δικαστήριον ἕλκειν οὐχ οἷός τε εἰμὶ τὸν λυπήσαντα. διὸ καὶ τὸ δρέπανον καὶ τὴν ἄμμην ἀποίσομαι. ἀσπίδα καὶ κράνος καὶ ξίφος ἀράμενος,

καὶ στρατιώτης γενήσομαι καὶ τὴν τέχνην ἀμείψας, τὴν τύχην σοφίσομαι.

Ετ. Λέανδρος Καλλικόμῃ.

Εἰ μέν τι τοῖς ἀνθρώποις χρυσοῦ τιμιώτερον, δίδασκε καὶ μείζοσι δώροις ἀμείψομαι τὴν ἀπόλαυσιν. εἰ δὲ μὴ, δίδου μοι θᾶττον τὰς χάριτας. οὐ γὰρ Δανάης ἔχεις τὸ κάλλος σεμνότερον, οὐδὲ Διὸς ἐγὼ πλουσιώτερος, χρυσῷ τὴν παρθενίαν ὠνούμενος.

Ηθ. Σωκράτης Αλκιβιάδῃ.

Καὶ τὰ τῆς ποιήσεως παίγνια, πάσης σύμπλεα σοφίας καθέστηκε. κηρῷ τοὺς Ὀδυσσέως ἑταίρους διαβῦσαι τὰ ὦτα φησὶν ὁ τοῦ μέλητος, ὅτε ταῖς ὁλκάσι πρὸς τὰς ἀκολάστους σειρῆνας ἀνήγοντο. τὸν δὲ Λαέρτου δεσμοῖς ἀπειργάσασθαι ὡς ἐν εἱρκτῇ δυσφύκτῳ τινί. μυθολογεῖται τὰ τῆς φιλοσοφίας ἀπόρρητα. σειρῆνας γὰρ δοκῶ τὰς αἰσχίστας ἡδονὰς τὴν ποίησιν ἀναπλάττεσθαι. καὶ θαυμάζω λίαν τὸν Ὅμηρον συγκερνῶντα τοῖς πράγμασι τὴν ἀλήθειαν. καὶ κυκεῶνα νέκταρος προσηνέστερον ταῖς ἀκοαῖς ἡμῶν ἀναμίξαντα. οἷά περ ὕδωρ τὸ ψεῦδος οἴνῳ τονικωτάτῳ τινὶ τῇ ἀληθείᾳ κεράσαντα. οὔτε γὰρ οὔτε τοῖς πλάσμασιν ἀπατώμεθα. οὔτε τῇ δυσκρίτῳ τῶν ὄντων καταλήψει τὸν νοῦν μεθυσκόμεθα. διὸ κηρὸν μὲν τὴν ἀπειρίαν, δεσμὸν δὲ τὴν φιλοσοφίαν ἐδήλωσεν. ἐντεῦθεν Ὀδυσσεία μόνον τὴν ἐμφυχοτάτην μελῶν ἀκούοντα παρεισάγεται, καὶ τοῖς δεσμοῖς τὴν ἔφεσιν διακόπτεσθαι. ἡ μὲν γὰρ τῶν κακῶν σαφήνεια, ἡ φιλόσοφος ἀρετή. ἡ δὲ τῶν ἡδονῶν ἀναχώρησις φιλοσοφίας ἐναγώνιον τρόπαιον. Ἐπειδὴ τοίνυν Ἀντίμαχε τῆς Ὀδυσσέως πλάνης ὁ παρὼν βίος εἰκόνισμα, καὶ τῇ θαλάττῃ τῶν θορύβων ὁ δείλαιος ἄνθρωπος περινήχεται, καὶ σειρηναίων ἡμᾶς ἡδονῶν περιπολοῦσιν ἠχήματα, καὶ πνευμάτων δίκην, ποτὲ μὲν ἐνθένδε, ἄλλοθεν δέ ποτε προσκρατοῦσιν ἐξαίσια, τὸν Πηνελόπης ὁμόζυγα μιμησώμεθα ἄρρηκτόν τινα τῶν ἀρετῶν καὶ θεῖον δεσμὸν τὴν φιλοσοφίαν ἀσκήσαντες.

Αγρ. Ανθῖνος Αμπελίνῳ.

Ὁ τρυγητὸς ἤδη προσκέκυφε. καὶ ὁ βότρυς γλεύκους πεπλήρωται. περίφραττε γοῦν τὴν λεωφόρον κάλλιστα. καὶ τὴν Κρῆσσαν κύνα συνέριθον κέκτησο. ὁδίται γὰρ χεῖρες ἀκόλαστοι. καὶ γεωργικοὺς ἱδρῶτας ἀδικεῖν ἑτοιμόταται.

Ετ. Χρυσίππη Σωσιπάτρῳ.

Ἐρωτικοῖς δικτύοις οὐχ ἑάλως Σωσίπατρε. τῆς ἀνθούσης ἐρῶν. φρονίμων ὀφθαλμῶν ὅδε τεκμήριον νεανίδος ἐρᾶν εὐπρεποῦς. μὴ στέναζε κάλλει νικώμενος. μείζονα γὰρ τῶν πόνων τὴν ἀπόλαυσιν ἕξεις. ἐρωτικὸν δάκρυον προσηνές. ἡδονῇ γὰρ τὰ τῆς ἀνίας κεκέρασται. καὶ τέρπουσι λυποῦντες οἱ ἔρωτες. ποικίλοις γὰρ πάθεσιν ὁ τῆς Ἀφροδίτης κεστὸς ἐγκεχάρακται.

Ηθ. Πλάτων Διονυσίῳ.

Εἰ λύπης ἐθέλεις κρατεῖν, περιπόλει τοὺς τάφους. καὶ τοῦ πάθους ἕξεις τὸ φάρμακον. καὶ τὰς μεγίστας τῶν ἀνθρώπων εὐδαιμονίας ἐπόψει περαιτέρω κόνεως κεκτημένας τὸ φύσημα.

Τῶν Θεοφυλάκτου Ἐπιστολῶν Τέλος.

miles fiam, ac arte mutata, fortunam circumſcribam.

Am. Leander Callicomæ.

SI quid eſt hominibus auro precioſius, doce me, & maioribus donis fruitionem cõmutabo. Sin minus, refer mihi ſtatim gratias. Non enim aut tu habes elegantiam Danaë nobiliorem, aut ego Ioue ſum opulentior, auro virginitatem emens.

Eth. Socrates Alcibiadi.

ETiam Poeſos ludicra plena ſunt omni ſapientiæ genere. Cera ſocios Vlyſſis aures obturaſſe dicit Homerus, cùm nauibus ad luxurioſas ſirenes deducerentur, Vlyſſem verò ſe vinculis ligaſſe, quaſi in carcere aliquo, vnde non patet aditus. Sub fabula explicantur philoſophiæ myſteria. Sirenas enim exiſtimo turpes voluptates Poëſin fingere, atq; admiror Homerum ſupra modum, conferentẽ rebus veritatem, & Cyceonem nectare ſuauiorẽ noſtris auribus immiſcentem, quaſi aqua mendacio, vinum fortiſſimum quoddam veritatem temperãtem. Sic enim neq; figmentis decipimur, neque difficili rerum compræhenſione animũ defatigamus. Itaque cera quidem imperitiam, vinculis autẽ philoſophiam oſtendit. Hinc Vlyſſem ſolum dulciſſimas cantiones audientẽ introducit ac vinculis cupiditatem reprimere. Malorum enim declaratio eſt philoſophica virtus. Diceſſio verò à voluptatibus, id philoſophiæ partum è certamine trophæum eſt. Quoniam igitur Antimache Vlyſſis errorum præſens vita imago eſt, & in mari tumultuum ac perturbationum, homo miſer circumnauigat, & Sirenicarum nos voluptatum circumeunt figuræ, & inſtar ventorum nunc hinc nunc aliunde dominantur nimium. Penelopes coniugem imitemur, irruptum quoddam virtutum ac diuinum vinculum parantes philoſophiam.

Agr. Anthinus Ampelino.

VIndemiæ iam appropinquarunt & botrus moſto plenus eſt. Muni igitur publicam viam quã optimè, & Creſſam canem in auxiliũ adhibe. Viatoris enim manus intemperantes ſunt, & ad inferendam iniuriam ruſticis laboribus promptiſſimæ.

Am. Chryſippe Soſipatro.

AMatoriis retibus non captus es, Soſipater, florentem amans. Peritorum oculorum eſt indicium, amare iuuenem ac formoſam puellam. Ne ingemiſcas victus pulchritudine. Maiorem enim laboribus fructum reportabis. Amatoria lachryma ſuauis eſt. Etenim cum voluptate moleſtia permiſta eſt, & oblectant dolorem inferendo amores. Variis enim affectibus Ceſtus Veneris inſculptus eſt.

Eth. Plato Dionyſio.

SI vis dolorem vincere, circuito ſepulchra & habebis affectus remedium. Et maximas hominũ fœlicitates intuebere vltra puluerem etiam ſuperbiam retinentes.

Theophylacti epiſtolarum finis.

EX ÆLIA-

ΕΚ ΤΩΝ ΑΙΛΙΑΝΟΥ ΑΓΡΟΙΚΙ-ΚΩΝ ΕΠΙΣΤΟΛΩΝ.

EX AELIANI RVSTICIS EPISTOLIS.

Euthycomides Blepæo.

REficienti mihi ad ſolis ſplendorẽ botros accedens. Magna deliciabatur atque ſeſe oſtẽtans multis ſcommatis vtebatur. Ego verò iam olim eius deſiderio captus, audax quoddam facinus in animum induxi vt facerem. Cùm igitur lubens appropinquans præhendiſſem, vuas miſſas feci, & ad formæ me vendemiã contuli. Hæc tibi per Pana magna ſint myſteria.

Comarchides Dropæo.

DElicatus Hemeron crux in ſaxũ impegit admodum rectè. Et calor eum inuaſit ingoéque tollebatur. Malim autem ipſum conualeſcere quàm mihi quatuor eſſe Caryearũ modios. Ouem mollibus lanis præditam, quam apud te laudibus veho, meo nomine ſaluta & duos boues atque Canẽ. Maniam & ipſam quoque ſaluere iube.

Eupithides Timonida.

INiuriam mihi facit ancilla tua. Aufert enim de manipulis & clàm ſurripit. Si igitur deſierit, benè tibi & amici manebimus. Sin in facto perſeuerarit, damni dati tibi actionem intendam. Meritò enim maiorum ſepulchra mihi ingemiſcerent, ſi Eupithides Corydalleus, ſi meipſum affigi per negligentiam pateter, idque à mancipio fortè duabus minis digno.

Anthemion Draceti.

QVid tu boni effeciſti. Quid egregiũ tibi laboratum eſt. Ego enim vitium ordines compoſui, deinde ficuum teneros fœtus applantaui atq; vndique circa vineam oliuas circumdedi. Poſt mihi cœnam & piſeum ius atque tres plenos ac magnos calices exhauſi placidéque dormiui.

Baton Anthemioni.

ALuearia mihi ſunt apibus vacua & diſceſſerunt à laribus, nõ hactenus fugitiuæ. Enimuero & fideles permanſerunt, & quaſi in domibus ſic in ſuis cellulis habitauerunt, atque pratum habuerunt roridum & floribus copioſum ac exceptuus eas omni ferculorum genere. Illę verò nimio penè ſtudio laboris iterũ nobis conuiuiũ præbuerũt, multo & egregio melle. Et nũquã huius ſuauiſſimi partus ſteriles fuerũt. Nunc autẽ diſceſſerũt nihil à nobis mali paſſæ. Nõ per Ariſtęũ & Apollinem ipſum, atque exules ſunt, domúſque ipſarũ orba eſt, & flores

Εὐθυκωμίδης Βλεπαίῳ.

ΙΣχυρῶς μοι πρὸς τὴν εἵλην τοῖς βότρυς, ἡ Μανία προσελθοῦσα ἐθρύπτετο. καὶ ἀνεκάγχαζε μὲν, πολλοῖς ἔβαλλε τοῖς σκώμμασιν. ἐγὼ δὲ πάλαι δὴ τι ἐπιτεθυμηκὼς αὐτ, διενοούμην τι δρᾶσαι θερμόν. ὡς οὖν ἀσμένως ἔλαβον αὐτὴν, πλησιάσας. τὰς μὲν ῥᾶγας εἴασα. ἐφερπύσας δὲ καὶ μάλα ἀσμένως, τὰς ὥρας ἐτρύγησα. ταῦτά σοι πρὸς τοῦ Πανὸς μυστήρια τὰ μεγάλα ἔστω.

Κωμαρχίδης Δρωπαίῳ.

ΗΜίερον ὁ μαλακὸς φελλία ἐπέκοψε τὸ σκέλος πάνυ χρηστῶς. καὶ θέρμη ἐπέλαβεν αὐτὸν. καὶ βουβὼν ἐπήρθη. βουλοίμην δ' ἂν αὐτὸν ἀναρρωσθῆναι, ἤ μοι μεδίμνους ἰσχάδων ὑπάρξαι τέτταρας. τὴν οὖν ὄιν τὴν τὰ μαλακὰ ἔρια ἣν ἐπαινῶ πρὸς σὲ, παρ' ἐμοῦ προσειπὲ. καὶ τὼ βοιδίω καὶ τὸν κύνα καὶ τὴν Μανίαν καὶ αὐτὴν χαίρειν κέλευε.

Εὐπειθίδης Τιμωνίδῃ.

ΑΔικεῖ με ἡ θεράπαινα σου Σκύλλη παραιρουμένη τὰ δράγματα καὶ παρακλέπτουσα. εἰ μὲν οὖν παύσεται, καλῶς σοι. καὶ μενοῦμεν φίλοι. εἰ δ' ἐπιχειρεῖ ἔργῳ, δικάσομαί σοι βλάβης. καὶ γὰρ ἂν εἰκότως μοι στενάξαι τὰ τῶν προγόνων ἠρία, εἰ δὲ Εὐπειθίδης ὁ Κορυδαλλεὺς ἐμαυτὸν περιόψομαι προσπηλακιζόμενον. καὶ ταῦτα ὑπ' ἀνδραπόδου ἴσως δυεῖν μναῖν ἀξίου.

Ἀνθεμίων Δρακέτι.

ΤΙ σοι καλὸν εἴργασαι καὶ τί σοι πεπόνηται χρηστόν; ἐμοὶ γὰρ ἀμπελίδος ὄρχον ἐλάσας. εἶτα μοσχίδια συκίδων παραφυτεύσας ἁπαλά· καὶ ἐν κύκλῳ περὶ τὸ αὐλίον κατέπηξα ἐλαίας. εἶτά μοι δεῖπνον καὶ πίσινον ἔτνος καὶ τρεῖς ἀκράτους ἐξεκάναξα κύλικας. καὶ ἀσμένως κατέδαρθον.

Βαίτων Ἀνθεμίωνι.

ΤΑ σμήνη μοι τῶν μελιττῶν κενά. καὶ ἀποφοιτῶσαι τῆς ἑστίας οὐκ οὖσαι τέως δραπέτιδες. ἀλλὰ γὰρ καὶ πισταὶ διέμενον. καὶ ᾤκουν ὡς οἰκίαις εἰς τοὺς αὑτῶν σίμβλους. καὶ εἶχον λειμῶνα εὔδροσον καὶ δὴ καὶ ἀνθῶν εὔπορον. καὶ εἱστιώμεθα αὐτῶν παρὰ δαισία. αἱ δὲ ὑπὸ τῆς φιλεργίας τὸ ἄγαν αὖθις εἱστίων ἡμᾶς πολλῷ καὶ καλῷ τῷ μέλιτι. καὶ οὐδέποτε τῆς ᾠδῖνος τῆς γλυκείας ἦσαν ἄγονοι. νῦν δὲ ᾤχοντο ἀπιοῦσαι λυπηθεῖσαι πρὸς ἡμῶν οὐδέν. ἀλλὰ μὰ τὸν Ἀρισταῖον καὶ τὸν Ἀπόλλω αὐτόν. καὶ αἱ μὲν εἰσι φυγάδες. ὁ δὲ οἶκος αὐτῶν χηρεύει, καὶ τὰ ἄνθη

τὰ ἐν τῷ λιμῶ... εἶξε αὐτὰ γηρᾶ. ἐγὼ δὲ αὐτῶν ὅταν ὑπομνησθῶ τῆς πτήσεως καὶ τῆς εὐχαρίστου χορείας, οὐδὲν ἄλλο ἢ νομίζω θυγατέρας ἀφῃρῆσθαι. ὀργίζομαι μὲν οὖν αὐταῖς. τί γὰρ ἀπέλιπον τροφέα αὐτῶν καὶ ἀτεχνῶς πατέρα καὶ φρουρὸν καὶ μελεδωνὸν οὐκ ἀχάριστον. δεῖ δέ με ἀνιχνεῦσαι τὴν πλάνην αὐτῶν καὶ ὅποι ποτὲ ἀποδρᾶσαι κάθηνται. καὶ τίς αὐτὰς ὑπεδέξατο. καὶ τοῦτο. ἔχει γάρ τοι τὰς μηδὲν προσηκούσας. εἶτα εὑρὼν ὀνειδιῶ πολλὰ τὰς ἀχαρίστους καὶ ἀπίστους.

Κάλλαρος Καλλικλεῖ.

Καὶ ποῖ τις ἀποστρέψῃ τὸ ῥεῦμα. εἰ γὰρ μήτε εἰς τὴν ὁδὸν ἐμβαλεῖ, μήτε εἰς τὴν τῶν γειτόνων διαβήσεται, οὐ δήπου κελεύσεις ἡμᾶς ἐκπιεῖν αὐτό. πάλαι μὲν οὖν λέλεκται κακὸν εἶναι γείτονα κακόν. πῆ πιστὸς δὲ ἐστι ἡ νῦν ἥκιστα ἐπὶ σοῦ. ἀλλ' οὐδέν σοι πλέον τῆς βίας. οὐ γὰρ ἀποδωσόμεθά σοι τὸ χωρίον. δικάσεται δὲ πρότερον ὑπὲρ τούτων πρός σε ὁ δεσπότης εἴπερ τῆς διανοίας ὑγιαίνει.

Δέρκυλλος Ὀπώρᾳ.

Οὐχ ὅτι καλὴ λέγεις εἶναι, οὐδ' ὅτι πολλοὺς ἐραστὰς λέγεις ἔχειν, διὰ τοῦτο ἐπαινῶ σε. ἴσως μὲν γὰρ ἐκεῖνοι διὰ τὸ εἶδος θαυμάζουσιν. ἐμὲ δὲ ἀρέσκεις διὰ τὸ ὄνομα. καὶ σὲ ὥσπερ καὶ τὴν γῆν τὴν πατρῴαν ἐπαινῶ. καὶ τεθαύμακα τὸν οὕτω σε καλέσαντα τῆς ἐπινοίας. ἵνα μὴ μόνοι σε προσμαρτυρῶνται δηλονότι οἱ ἐν τῇ πόλει. ἀλλὰ γὰρ καὶ ἀγροῖκος λεὼς τῆς ὀπώρας οὖν καταγελάσας, τί ἀδικῶ. ἐπεὶ τά γε ἄλλα καὶ ἐφολκὸν εἰς ἔρωτα τὸ ὄνομα. καὶ ταῦτα ἀνδρὶ γεωργίᾳ ζῶντι. ἀποστελῶ οὖν σοι τῆς ὁμωνύμου τῆς ἐν ἀγρῷ σῦκα καὶ βότρυς καὶ γλεῦκος ἀπὸ ληνῶν. ἦρος δὲ ἀποπέμψω καὶ ῥόδα τὴν ἐκ τῶν λειμώνων ὀπώραν.

Ὀπώρα Δερκύλλῳ.

Σὺ μὲν εἴτε σπουδάζεις εἰς τὸ ὄνομα τὸ ἐμόν, εἴτε παίζεις, οἶσθα δήπου αὐτός. ἐγὼ δὲ εἰς πόμπεις οὐκ ἀξιῶ πρός με ὡραΐζεσθαι. καλὰ γάρ σου τὰ δῶρα καλὰ ἀκρόδρυα δυοῖν ὀβολοῖν. ὁ ὑβριστὴς οἶνος διὰ νεότητα. πίοι δ' ἡ Φρυγία αὐτόν. ἐγὼ δὲ λέσβιον πίνω καὶ θάσιον καὶ ἀργυρίου δέομαι. ὀπώραν δὲ ὀπώρᾳ ἀποστέλλειν, αὐτὸ χρῆμα πῦρ ἐπὶ πῦρ φέρειν ἐστί. κἀκεῖνο δέ σε οὐ χεῖρον εἰδέναι ταὐτὸ περ ἡμῶν καὶ αὐτὴν νοῶ. τῆς γὰρ χρηματίζεσθαι παρὰ τῶν βουλομένων μοι προσιέναι καὶ τὸ ὄνομα αἴτιον, παρεδύξ γάρ με ὅτι καὶ τὸ κάλλος τῶν σωμάτων ὀπώρᾳ ἔοικεν. ἕως μὲν ἀκμάζει, καὶ τῶν ὑπ' αὐτῆς χάριν προσηκόν ἐστιν ἀπολαμβάνειν. ἐὰν δὲ ἀπορρυῇ, τί ἂν ἄλλο εἴη τὸ ἡμέτερον ἢ δένδρον καρπῶν ἅμα καὶ φύλλων γυμνόν. καίτοι γε ἐκείνοις μὲν ἡ φύσις δίδωσιν ἀναθηλεῖν. ἑταίρας δὲ ὀπώρα μία. δεῖ τοίνυν ἐν τῷ θέρει ταμιεύεσθαι πρὸς τὸ γῆρας.

Χρέμης Παρμένωνι.

Ὀψὲ μὲν ἀλλ' ὅτι μοι συνεβούλευσας καλῶς. παραδοῦσα με ἀποδιδράσκειν τὰς ἑταίρας. λαβεῖν γὰρ κεχήνασι καὶ προσποιοῦνται φιλεῖν. καὶ ἀποκλείουσι συνεχῶς. καὶ τὸ πάντων μοι βαρύτερον πρὶν ὑπὸ πλησθῆναι καὶ γενέσθαι διακορεῖς, οὐ βούλονται συγκαθεύδειν.

in prato circumeir.a ſenio conficiuntur. Ego verò cùm tecotdor eatum volatum & gratiſſin.á choreã, nihil aliud opinor, quàm filias abſtuliſſe. Iraſcor igitur eis. Cur enim reliquerunt altorem ſuum & manifeſtò patrem atque cuſtodem ac procuratorem minimè ingratum Oportet itaque me inveſtigare, quò errabundæ peruenerint, atque vbi poſt fugam conſederint, etiam hoc quiſnam eas receperit Habet enim prorſus alienas & nihil ad ſe pertinentes. Deinde cùm inuenero, multis verbis exprobrabo eis ingratitudinem & infidelitatem.

Callarus Callidi.

QVò tandem auertat quiſpiam flumen. Si enim neque in viam irrumpere debet, neq; in terram vicinorum tranſgredi, non ſanè iubebis vt nos illud ebibamus Olim igitur dictum eſt. Damnum eſt malus vicinus, nunc verò non parùm momẽti ad fidem acquiſiuit abs te. At nihil tibi proderit violentia. Non enim tibi prædium reddemus. Priùs autem iure tecum aget dominus, ſi ſana mente eſt.

Dercyllus Operæ.

NOn quoniam te venuſtam eſſe dicis, neq; quia multos amatores te habere aſſeris, idcirco te laudo. Fortaſſis enim illi formam admirantur, mihi verò propter nomen places. Et quemadmodum agros paternos ita te laudo, atque eius qui hoc tibi numen impoſuit, induſtriam demitor, vt non ſolùm qui in vrbe viuunt à te caperentur, verùm etiã ruſticus populus. Operam igitur deridens, quid iniuriæ facio? Quoniam cùm alia, tum etiam nomen ipſum ad ſui amorem pertrahit. Atque hæc homini ex agricultura vitam agenti. Miſi igitur tibi de cognomine in agro ficus, botros & muſtum de torcularibus. Vere autem mittam etiam roſas & pratorum prouentus.

Opera Dercyllo.

TV quidem ſiue de nomine meo ſeriò loqueris ſiue ludis, ipſe quidẽ noſti. Ego verò quę mitto, nolo vt apud me verbis ornentur. Pulchra enim ſunt tua dona, pulchra acrodrya duorum obolorum. Et vinum iniurioſum ob nouitatem. Bibat illud Phrygia. Ego Lesbium & Thaſium bibo atq; argentum poſtulo Oporam autem Oporæ mittere, nimitum hoc ipſum eſt igni ignem inferre. Atque illud te non malum eſt noſſe ea ratione, quemadmodum ego intelligo. Ipſum etiam nomen cauſſa eſt pecuniæ colligendæ ab his qui mecum cõſuetudinem habere volunt. Docet enim me pulchritudinem etiam corporum, fructibus ſimilẽ eſſe. Donec igitur viget, conſentaneum eſt etiam atque æquum, beneficium pro eo recipere. Si verò defluxerit, quid aliud nos erimus quàm arbor fructibus & folijs iuxta carens. Atqui natura datum eſt illis vt reuireſcere poſſint, Meretricis autem vnum eſt frugum tempus. Hinc igitur oportet prouidere ac conſulere ſenectuti.

Chremes Parmenoni.

SErò tandem cognoui te mihi optimum conſilium dediſſe, docentem vt fugerem ac vitarem meretrices. Ad accipiendum enim inhiant, & ſe amare ſimulant, atque excludũt cõtinenter, & quod omnium eſt mihi grauiſſimum, antequam impleantur, & ſaturæ efficiantur, volunt concumbere.

Sed ter-

Sed tergiuerſantur ac ſeipſas cōminuūt, deinde comedunt rurſus & clàm omnia comminuunt ac deuorant plus etiam quàm qui opus ruri faciunt. Nobis verò præſentibus deliciantur. At Ego manu facio omnia & feſtino appræhendere ſublatam in duo crura atque reuerti ad capras. Volebam artem perditiſſimam Thebaidem canentem apud me arreptam mediam in lectulum proſternere aque opus peragere. Dij perdant militem qui me impediuit. Thraſyleon arbitror erat ei nomen, aut aliud tale compoſitum beſtiæ.

Phileriſtus Simylo.

CRedo tibi ſuem eſſe laſciuum. Quid igitur eū non vi correptum ſectione affeciſti, quemadmodum nos hircos ſolemus. Hoc enim etiam bruta animalia perſuadet, vt quieta ſint, & modum tēperantia. Ego verò ſum hac in re peritus. Statim enim integros ſale condio & pice inungo. Deinde ſanior erit vicino & cucurbita. Atq; amare deſinet tibique rem perdere. Enorchen verò libidinoſum, valens quiſpiam alat.

Lamprias Thryphe.

CAnes ad inſequendum expeditas adoleſcentes alunt. Celeriorem autem leporem, neque obeſiorem vnquam vidi. Mirabile eſt enim etiam quemadmodum eum ceperim. Poſtquam enim excoriatus eſt & pellem exuit, tum maximè apparuit, immò (non enim rectè dico) magis nunc diſparuit. Tu verò Tryphæ deſine mihi arridere. Si enim te ô infœlix pater viderit, malum aliquod prorſus accipies. Ego quidem ſubmetuo, quamuis præſentem. Tu verò neſcio quomodo te meretriciè geris & contemnis ipſum.

Thrypha Lampriæ.

AFfigam ô Lampria leporis pellem, vt hoc tibi venationum imaginem referat, iuxta magnos illos venatores. Tua quoque venandi facilitas ac ſollertia ſcriptis mandabitur. Verum verò tu ipſe cepiſti, an dono accepiſti. Quomodo potuit ab initio videri ob prauitatem. Sanè fuerunt bonis naribus canes prædite. Non enim potuerunt eum videre, ſed odoratæ ſunt eum. Tu autē ex quo venationi operam dare cœpiſti, ipſe nobis Hippolytus euaſiſti, caue Venerem, ne tibi quoque ob ſuperbiam iraſcatur.

Callippides Cnemoni.

CVm alia ſunt in agreſti vita laudabilia, tū præſertim morū facilitas ac māſuetudo. Quies enim, & otium agere rebus ruſticis pulcherrimā efficit placiditatē. Tu verò neſcio quomodo agreſtis es, & vicinis non bonus propinquus. Iacis nos glebis ac pyris, & homine viſo maximū clamorē tollis, quaſi lupum perſequens & difficilis es atq; hoc nimirum quod dicitur ſalſa vicinitas. Ego verò niſi paternum rus colerem lubens illud venderem tantùm vt vicinum malum effugerē. Sed quæſo te Cnemon ſi ruſtrum illud ingenium ac mores depone, neque te ita in obliuionē adducat, ne teipſum quoque lateas inſaniens. Hæc ab amico tibi amica ſint præcepta, & morum remedium.

ἀλλὰ ἀκκίζονται καὶ θρύπτουσιν ἑαυτάς, εἶτα μεταστρέφονται πάλιν. καὶ λάθρα μὲν ἀλέσωσι πάντα καὶ καταπίνουσιν ὑπὲρ τοὺς ἐργαστῆρας τοὺς ἐν ἀγρῷ. παρόντων δὲ ἡμῶν ὡραΐζονται. ἐγὼ δὲ κατὰ χειρὸς ποιῶ πάντα. καὶ σπεύδω καταλαβεῖν ἐς δύο τὰ σκέλη ἄρας. καὶ ὑποστρέφειν ἐπὶ τὰς αἶγας πάλιν. ἐμέλλησα δὲ αὖ τὴν κάκιστα ἀπολουμένην Θηβαΐδα, αὐλοῦσαν παρ' ἐμοὶ ἀράμενος μέσην, εἶτα ῥίψας εἰς τὸ κλινίδιον ἔχεσθαι τῶν ἀφροδισίων. ἀπόλοιτο δὲ ὁ στρατιώτης ὁ διακωλύσας με. Θρασυλέων εἶναι τοὔνομα αὐτῷ, ἢ ἄλλο τι τοιοῦτον συμπεπλεγμένον θηρίῳ.

Φιλέριστος Σικύλῳ.

ΠΕπυσμαί σοι τὸν ὗν εἶναι λάγνον. τί οὖν αὐτὸν οὐ βίᾳ συλλαβὼν τομίαν εἰργάσω, ὥσπερ εἰώθαμεν τοὺς τράγους ἡμεῖς. τοῦτο γάρ τοι καὶ τὰ ζῷα ἀναπείθει ἡσυχίαν τε ἔχειν καὶ σωφρονεῖν δὴ μάλα. εἰμὶ δὲ ἐγὼ περὶ ταῦτα δήπου δεινός. ἀποφαίνω γὰρ παραχρῆμα ὁλοκλήρους, σάξας ἁλῶν καὶ ἐπαλείψας πίττῃ. εἶτα ὑγιέστερος ἔσται γείτονος, δήπου καὶ κολοκύντης. καὶ ἐρῶν παύσεται καὶ ἐπιτρίβων σοὶ τὴν οὐσίαν. ἐνόρχην δὲ ἀσελγῆ, ὑγιαίνων τρέφοι τις ἄν.

Λαμπρίας Τρυφῇ.

ΑΓαθὰς δήπου οἱ νεανίσκοι τρέφουσι κύνας. δρομικώτερον δὲ λαγὼ οὐδὲ ἀκούσας ἔχω, οὐδέ ποτε ἐθεασάμην. θαῦμα γὰρ ὅπως καὶ κατέλαβον αὐτόν. ἐπεὶ γὰρ ἐδάρη καὶ τὸ δέρμα ἀπεδύσατο, φανερὸς πανταχοῦ ἐγένετο. μᾶλλον δὲ οὐ γὰρ ὀρθῶς λέγω, ἀφανὴς ἐστὶ νῦν ἔτι πλέον. σὺ δὲ ὦ Τρυφὴ κιχλίζουσα παῦσαι πρὸς με. ἐὰν γάρ σε ὁ κακοδαίμων ὁ πατὴρ ἴδῃ, λήψῃ πάντως κακόν. ἐγὼ δὲ αὐτὸν ὑποδέδοικα καίτοι παρόντα ὄντα. σὺ δὲ οὐκ οἶδα ὅπως διατέθρυψαι καὶ καταφρονεῖς αὐτοῦ.

Τρυφὴ Λαμπρίᾳ.

ΠΡοσαπεκλαύσομαι ὦ Λαμπρία τοῦ λαγὼ τὸ δέρος, ἵνα σοὶ τῶν κυνηγεσίων ἄγαλμα ἢ τοῦτο, κατὰ τοὺς μεγάλους ἐκείνους δήπου θηρευτάς. ἴσως δὲ καὶ τὸ σὸν δέρος εὐάγκαπτον. πότερον δὲ αὐτὸς ᾕρηκας ἢ δῶρον εἴληφας. πῶς δὲ καὶ ὤφθη τὴν ἀρχὴν διὰ σμικρότητα. δοκεῖν ἄρα ὄντως ἦσαν αἱ κύνες. οὐ γὰρ ἦν αὐτὸν ἰδεῖν, ἀλλ' ᾔσθοντο αὐτοῦ. σὺ δὲ ἐξ οὗ θηρᾶν ἤρξω, γέγονας ἡμῖν αὐτὸ χρῆμα Ἱππόλυτος. ὅρα δὲ τὴν Ἀφροδίτην μὴ καὶ σοὶ διὰ τὴν ὑπεροψίαν μηνίσῃ.

Καλλιππίδης Κνήμωνι.

ΑΓροίκου βίου πολλὰ ἄλλα ἐστὶ καλά, καὶ δὴ καὶ τὸ ἥμερον τῶν τρόπων. ἡ γὰρ ἡσυχία καὶ τὸ ἄγειν σχολὴν τοῖς τῆς γῆς, καλλίστην πραότητα ἐνεργάζεται. σὺ δὲ οὐκ οἶδ' ὅπως ἄγροικος εἶ καὶ γείτων οὐκ ἀγαθὸς πάροικος. βάλλεις οὖν ἡμᾶς τοῖς βώλοις καὶ ταῖς ἀχράσι. καὶ μέγα κέκραγας ἰδὼν ἄνθρωπον ὡς διώκων λύκον. καὶ ἀργαλέος εἶ. καὶ τοῦτο δὴ τὸ λεγόμενον ἁλμυρὸν γειτόνημα. ἐγὼ δὲ εἰ μὴ πατρῷον ἀγρὸν ἐγεώργουν, ἄσμενος ἂν αὐτὸν ἀπεδόμην φυγῇ φοβεροῦ γείτονος. ἀλλ' ὦ βέλτιστε Κνήμων τὸ σκαιὸν τῆς τρόπου κατάλυσον. μὴ δέ σε ὁ θυμὸς εἰς λήθην περιαγέτω. μὴ καὶ μαινόμενος, σεαυτὸν λάθῃς. ταῦτά σοι φίλα παρὰ φίλου παραγγέλματα ἔστω καὶ ἴαμα τοῦ τρόπου.

Κνήμων Καλλιππίδῃ.

Ἔδει μὲν μηδὲν ἀποκρίνασθαι. ἐπεὶ δὲ εἶ περίεργος καὶ βιάζῃ με ἄκοντά σοι προσδιαλέγεσθαι, τοῦτο γοῦν κεκέρδακα τὸ δι' ἀγγέλων σοι λαλεῖν, ἀλλὰ μὴ πρὸς σαυτόν σε. ἔστω σοι τοίνυν ἡ ἀπὸ Σκυθῶν λεγομένη ἀπόκρισις αὕτη. ἐγὼ μαίνομαι καὶ φωνῶ καὶ μισῶ τὸ τῶν ἀνθρώπων γένος. ἔνθεν τοι βάλλω τοὺς εἰσφοιτῶντας εἰς τὸ χωρίον καὶ βώλοις καὶ λίθοις. μακάριον δὲ ἡγοῦμαι τὸν Περσέα κατὰ δύο τρόπους ἐκεῖνον. ὅτι τε πτηνὸς ἦν καὶ οὐδενὶ συνηντᾶτο. ὑπεράνω τε ἦν τοῦ προσαγορεύειν τινὰ καὶ ἀσπάζεσθαι. ζηλῶ δὲ αὐτὸν καὶ τοῦ κτήματος ἐκείνου εὖ μάλα, ᾧ τοὺς συναντῶντας ἐποίει λίθους. οὗπερ εἴ μοι τις εὐμοιρία κατατυχεῖν ἐγένετο, οὐδὲν ἂν ἦν ἀφθονώτερον λιθίνων ἀνδριάντων· καὶ σὲ δ' ἂν εἰργασάμην τοῦτο πρῶτον. τί γὰρ μαθὼν ῥυθμίζεις με καὶ πρᾶον ἀποφῆναι γλίχῃ, ὅπως ἐχθρὰ πᾶσι νοοῦντα. ἔνθεν τοι καὶ τὴν χώραν τὸ παρὰ τὴν ὁδὸν ἀργὸν εἴασα, καὶ τὸ μοι τῆς γῆς χεῖρόν ἐστι καρπῶν. σὺ δὲ ἵνα σεαυτὸν τῶν ἀναγκαίων ἀποφανεῖς. καὶ σπουδάζεις με φίλον ἔχειν μηδὲ ἐμαυτῷ φίλον ὄντα. τί γὰρ καὶ μαθὼν εἰμὶ ἄνθρωπος.

Καλλιππίδης Κνήμωνι.

Σὺ μὲν τῶν ἀπεφράδων διαφέρεις οὐδέν. οὕτως ἄγριος εἶ καὶ πονηρὸς τὸν τρόπον. δεῖ δέ σε ὅμως καὶ μὴ βουλόμενον ἥμερον ἡμῖν γενέσθαι αἰδοῖ καὶ ταύτης γειτνιάσεως καὶ θεῶν ὁρίων τιμῇ, οἵπερ οὖν εἰσι κοινοί. θύω τοίνυν τῷ Πανὶ καὶ Φυλασίους τοὺς μάλιστα ἐπιτηδείους εἰς τὴν ἱερουργίαν παρακαλῶ. ἐν δὴ τούτοις καὶ σὲ ἀφικέσθαι βουλοίμην ἄν. σὺ δὲ καὶ ἐμπιὼν καὶ κοινωνήσας σπονδῶν ἔσῃ τι καὶ πρᾳότερος. ὁ γάρ τοι Διόνυσος φιλεῖ τὰς μὲν ὀργὰς μαραίνειν τε καὶ κατακοιμίζειν, τὰς δὲ εὐφροσύνας ἐγείρειν. ἔσται δέ σοι ὁ αὐτὸς οὗτος θεὸς καὶ παιὼν καὶ ἀπολύσει σε τῆς ἀκράτου χολῆς, οἴνῳ σβέσας τὸ τοῦ θυμοῦ ὑπέκκαυμα. καὶ αὐλητρίδος δὲ ἀκούσας ἴσως ὦ Κνήμων καὶ εἰς ᾠδὴν ἐμπεσὼν, καὶ εἰς μέλος ὑπολισθὼν, ἕξεις τι καὶ γαλήνιον ἐν τῇ ψυχῇ. οὐ χεῖρον δ' ἂν εἴη καὶ οἰνωμένον σε καὶ μασχάλην αἴρειν. εἰ δὲ πῃ καὶ μεθύων κόρῃ περιπέσοις ἄβραν ἀνακαλούσῃ ἢ τὴν τίτθην ἀπολειφθεῖσαν εὑρεῖν πειρωμένῃ, τάχα πῃ τι καὶ θερμὸν δράσεις καὶ νεανικὸν ἔργον. οὐδὲν ἀπεοικὸς ἂν εἴη καὶ τοιοῦτό τι πραχθῆναι, ἐν τῇ τοῦ Πανὸς θυσίᾳ. καὶ γάρ τοι κἀκεῖνος ἐρωτικὸς εὖ μάλα καὶ οἷος ἐπανίστασθαι παρθένοις. λῦσον δὲ καὶ τὴν ὀφρῦν. καὶ τὸ σκυθρωπὸν τοῦτο καὶ συννεφὲς χάλασον εὐθυμίᾳ. φίλου ταῦτα παραινέσεις νοοῦντος εἰς ἀγαθόν.

Κνήμων Καλλιππίδῃ.

Ἵνα σοὶ καὶ λοιδορήσωμαι, ταῦτ' ἐπιστέλλω. καὶ ἀφῶ τι τῆς ὀργῆς εἰς σέ. μάλιστα γὰρ ἐδεόμην παρόντος, ἵνα σοῦ καὶ αὐτόχειρ γένωμαι. τί γάρ με διαφθεῖραι γλίχῃ, τί δὲ σπουδάζεις ἀπολέσαι με, εἰς ἑστίασιν καὶ θοίνην παρακαλῶν. πρῶτον μὲν γὰρ τὸ πολλοὺς ὁρᾶν καὶ συνεῖναι πολλοῖς, δεινῶς πέφρικα. φεύγω δὲ κοινὴν θυσίαν ὡς οἱ δειλοὶ τοὺς πολεμίους. ὑφορῶμαι δὲ καὶ τὸν οἶνον ὡς ἐπιβουλεῦσαι καὶ ἐπιθέσθαι, γνώμην δεινῶς καρτερόν. τοὺς δὲ θεοὺς

Cnemon Callipedi.

Nihil equidem reſponſo opus erat. Poſteaquã verò nimis es operoſus & me inuitũ cogis tecum diſſerere, hoc ſaltem lucratus ſum quòd per nuncios tecum loquor, non coram tecum ipſe. Hoc igitur à Scythis profectum tibi reſponſum volo. Ego inſanio & vociferor & hominum genus odio habeo. Hinc eſt quòd ingredientes in agrum glebis ac lapidibus iacio. Beatum autẽ illum Perſea duobus modis fuiſſe iudico cùm quòd volucer erat, neq; in quenquam incidebat, tum quòd ſuperior eſſet quã vt aliquem alloqueretur aut ſalutaret. Imitor autẽ eũ & illo capite egregiè, quã eos qui ſibi fierent obuiam lapides faciebat, cuius ſi mihi copiam aliqua fortuna faceret, nihil eſſet copioſius aut frequentius lapideis ſtatuis, & te primum hoc malo afficerem. Quid enim accidit tibi vt me Rythmis conſtringis, & manſuetum ac cicurem cupis reddere, qui ſic omnia infeſta ducam. Ob hanc etiam cauſſã eam agri partem, quæ viam attingit, incultam relinqui, & hæc mihi terra deterior eſt fructibus. Tu verò te ipſum vnũ ex neceſſariis meis facies, & me cupis amicum habere, qui ne mihi quidem ipſi ſum amicus. Quid enim etiam didici vt homo ſim?

Callipedes Cnemoni.

Tv quidem nihil à ſceleratis differs. Adeò ferocis es & mali tibi ſi ingenij. Oportet autem te quamuis nolentem nobis manſuetum fieri pudore nempe vicinitatis, & terminalium deorum reuerẽtia, qui ſunt communes. Rem igitur diuinam Pani inſtituo & ex Phylaſiis maximè idoneos ad ſacrificium obeundum voco. Inter igitur te quoque venire velim. Tu verò poſtquam biberis & libaminũ particeps fueris, eris aliquantò mitior. Bachus enim ſolet iras arefacere ac ſopire, & gaudia excitare. Erit tibi idem hic deus tibi & medicus & liberabit te ab immoderata bile, vino furoris incendium extinguens ac tibicina audita fortaſſe Cnemon etiam in cantum raptus atque in carmen prolapſus, habebis aliquid etiam in animo tranquillum. Non autem fuerit deterius vt vino repletus axillas tollas. Quòd ſi ebrius etiam in aliquam puellam incideris ancillam reuocantem aut amiſſam nutricem quærentẽ, forſitan etiam calidũ, aliquod & iuuenile facinus deſignabis. Nihil diſſentaneum fuerit etiam tale aliquid in ſacrificio Panis committi. Nam & ille admodum eſt amoribus deditus, & virgines ſubigere poteſt. Solue tu verò ſupercilium & hanc auſteritatem atque obnubilationem laxa animi remiſſione. Hæc eſt amici admonitio, nihil niſi bonum cogitantis.

Cnemon Callipedi.

Vt tibi etiam conuitium faciam, hæc tibi reſcribo, & remittam aliquid de ira in te. Maximè enim opus erat mihi te præſente, vt tibi mortẽ mea manu afferrem. Quid enim corrompere me in animum inducis? Quid me perdere ſtudes dum ad conuiuium & epulas vocas. Primùm enim aſpectũ multorum & conſuetudinẽ grauiter perhorreſco. Fugio autẽ cõmune ſacrificiũ perinde ac timidi hoſtẽ. ſuſpectũ etiã habeo vinũ quod ad inſidiandũ & dolos ſtruendos animo potentiſſimũ eſt. Deos verò

cum aliis

cùm alios tú etiam Pana diligo, & ſaluto tantummodo cùm acceſſero. Nihil ſacrifico. Neque enim eis volo moleſtiam faceſſere. At tu mihi tibicinas & carmina admoues, ô ſtulte. Propter hæc nouo modo non attigero te. Egregia verò ſunt tua etiam illa ſaltare & cum puella laſciuiſſimè rem habere. Tu mihi videris etiam in ignem inſulturus & gladios. Mihi verò, neque ſacrificando amicus eris, neque aliter.

Dercillus Æſcheæ.

NOn dicebam ego te diuitias acriter vidêtes ac minimè cęcas inueniſſe & derides me terrámque & fortunam, quoniam bonorum etiam curam habet. Tu igitur oſtende te de fœlicium illo numero eſſe, quos imperante Saturno ferunt ex terra omnia habere ſua ſponte, & in commune hæc vbera, & liberè referre, & morum ſimplicitate prædiros, vnámque domum habitare omné qui ſub cælo compræhenditur locum. Quis igitur tam ſit amans obtrectationis aut malus, qui tibi ſic diuitias cumulanti inuideat, aut æmulatorem animum in te gerat. Nondum tanta malitia ruſticorum animi ſunt imbuti, vt doleant alienis diuitiis & pecuniæ rationem habeant. Hæc in agreſtes capras vertantur & in oratores qui in iudiciis verſantur.

Demylus Blepſiæ.

AGriculturam, & agri colendi opificio relicto vicinus Laches, nauem conſcẽdit, & Ægeum, vt aiunt, nauigat, aliaque maria metitur, & in fluctibus verſatur ac Lari vitam viuit atque cum variis ventis prælиatur, & promontorium eum à promontorio decernit. Circumſpiciens enim lucrum ingens, & diuitias maximas animo verſans, longũ vale dixit illis caprariis, & paſtorali priſtinæque vitæ. Sordidè enim & parcè ex agris viuere non poteſt, neque præſentibus contentus Ægyptios ac Syros imaginatur, & circumſpicit argumentum, multúmque in eo eſt vt vſuras vſuris auctas reputet, & pecunias pecuniis annumeret: atq; inflammat eius animum & exurit lucrum nauticum. Hyemes verò non conſiderat, neque ventos contrarios, neq; maris inſtabilitatem, neque temporum importunitates. Nos verò tametſi lucrum exiguum facimus magnos labores obeundo, tamen multò ſtabilior ac firmior eſt terra quàm mare, & hæc fidelior ſolidiorem de ſe ſpem cultoribus præbet.

Mormias Chremeti.

EGo quidem celebraui nuptias aureus fruſtra & circumiui coronatus, cùm non opus eſſet & interiores exterioréſq; deos obſequenter honoraui. Filius autem deduxit etiam ipſe iugum ex agris, vt è ciuitate ſponſam ad paternum rus reduceret, at tibicinam recipiẽs, cuius amore flagrabat, ſponſæque tunica amictam adduxit mihi palumbum pro columba, vt dicitur, meretricem pro ſponſa, & primum in morem virginis admodum pudibunda, & pro nuptarum lege celabat artem, vix autem rupta eſt illorum ſollertia, & intentæ in me machinæ. At non planè me contemptui habebunt, quaſi latericium. Alioquin enim egregium ſponſum ad coruos ablegabo, niſi deſiſtens à nimio luxu me-

τοὺς δὲ ἄλλους καὶ τὸν Πᾶνα ἀσπάζομαι καὶ προσαγορεύω παριὼν μόνον. θύω δὲ οὐδέν. οὐδὲ γὰρ αὐτοὺς ἐνοχλεῖν ἐθέλω. σὺ δέ μοι καὶ αὐλητρίδας προσάγεις καὶ ᾠδὰς ὦ καταγέλαστε. ἐπὶ μὲν δὴ τούτοις καινῶς οὐχ ἅψομαί σου. καλὰ δέ σοι κἀκεῖνα. ὀρχήσασθαι καὶ ὁμιλῆσαι κόρῃ θερμότατα. σὺ μέν μοι δοκεῖς κἂν εἰς πῦρ ἅλλεσθαι, κἂν εἰς μαχαίρας κυβιστῆσαι. ἐμοὶ δὲ μήτε θύων εἴης φίλος, μήτε ἄλλως.

Δερκύλλος Αἰσχέᾳ.

ΟΥκ ἐγὼ ἔλεγόν σοι ὅτι πλοῦτον ὁρῶντα ὀξὺ καὶ οὐ τυφλὸν εὑρήσεις, καὶ καταγελᾷς μου καὶ τῆς γῆς καὶ τῆς τύχης, εἰ ποιεῖ τὸ χρηστὸν καὶ ἐπιμέλειαν πόθεν. σὺ γοῦν ἀπόδειξον τῶν εὐδαιμόνων ἐκείνων εἷς ὤν, οὓς ἐπὶ Κρόνου φασὶν ἐκ τῆς γῆς αὐτόματα ἔχειν πάντα καὶ κοινωνίαν ἐν αὐτοῖς ἀφθόνως πολιτεύεσθαι. καὶ ἀφελείᾳ τρόπων καὶ ἕνα οἶκον οἰκεῖν τὸν ὑπ' οὐρανοῦ τόπον πάντα. τίς οὖν τίς γοῦν σοι τίς οὕτω φιλαίτιος ἢ κακὸς ὡς ἀχθεσθῆναι καὶ ζηλοτύπως νοεῖν. μήπω τοσαύτης κακίας ἀναπλησθείη γεωργῶν ἤθη. ζηλοτυπεῖν τι εἰς πλοῦτον καὶ ὑπὲρ χρημάτων φρονεῖν. εἰς ἀγρίας αἶγας ταῦτα, ἀπίοι ταῦτα καὶ εἰς τοὺς ἐν δικαστηρίοις ῥήτορας.

Δημύλος Βλεψίᾳ.

ΓΕωργίαν καὶ γεωργεῖν ἀπολιπὼν ὁ γείτων Λάχης, ἐπέβη νεώς. καὶ πλεῖ τὸ Αἰγαῖον φασί, καὶ ἄλλα πελάγη μετρεῖ καὶ ἐπικυματίζει. καὶ λαμβάνει ζῆν καὶ ἀνέμοις μάχεται διαφόροις. ἄκρα τε αὐτὸν ἐξ ἄκρας διαλαμβάνει. καὶ περιβλέπων ἁδρὸν κέρδος καὶ περιουσίαν πλούτου ἀθρόαν μακρὰ εἶπε χαίρειν αἰγιδίοις ἐκείνοις καὶ νομευτικῷ τῷ προτέρῳ βίῳ. γλίσχρως τε καὶ κατ' ὀλίγον ἐκ τῶν ἀγρῶν ἀποζῆν οὐ δυνάμενος, οὐδὲ ἀρκούμενος τοῖς παροῦσιν, Αἰγυπτίους καὶ Σύρους φαντάζεται. καὶ περιβλέπει τὸ λῆμμα καὶ πολύς ἐστιν ἰδίᾳ τόκους ἐπὶ τόκοις λογιζόμενος, καὶ χρήματα ἐπὶ χρήμασιν ἀριθμῶν. καὶ διαφλέγει τὴν διάνοιαν αὐτοῦ καὶ ἐκκάει κέρδος ἀμφοτερόπλουν. χειμῶνας δὲ οὐκ ἐννοεῖ, οὐδὲ ἐναντία πνεύματα, οὐδὲ τῆς θαλάσσης τὸ ἀστάθμητον. οὐδὲ τῶν ὡρῶν τὰς ἀκαιρίας. ἡμεῖς δὲ εἰ καὶ μικρὰ κερδαίνομεν μεγάλα πονοῦντες, ἀλλὰ πολὺ ἡ γῆ τῆς θαλάττης ἑδραιότερον καὶ αὕτη πιστοτέρα, βεβαιοτέρας ἔχει τὰς παρ' ἑαυτῆς ἐλπίδας.

Μορμίας Χρέμητι.

ΕΓὼ μὲν ἔθυον γάμους ὁ χρυσοῦς μάτην καὶ περιῄειν ἐστεφανωμένος, οὐδὲν δέον. καὶ τούς τε ἔνδον καὶ τοὺς ἔξω θεοὺς ἐκολάκευον. ὁ δὲ παῖς, κατήγαγε μὲν καὶ αὐτὸς τὸ ζεῦγος ἐκ τῶν ἀγρῶν ὡς τὴν νύμφην ἐξ ἄστεος εἰς τὸ πατρῷον χωρίον ἐπανάξων. αὐλητρίδα δὲ λυσάμενος ἧς ἐτύγχανεν ἐρῶν, νύμφης στολὴν αὐτῇ περιβαλὼν, ἐπανήγαγέ μοι φάτταν ἀντὶ περιστερᾶς φασιν ἑταίραν ἀντὶ νύμφης. καὶ τὰ μὲν πρῶτα αἰδουμένη κορικῶς εὖ μάλα καὶ κατὰ τὸν τῶν γαμουμένων νόμον ὑπεκρύπτετο τὴν τέχνην. μόλις δὲ ἀπερράγη ἡ σοφία τε αὐτῶν καὶ αἱ κατ' ἐμοῦ μηχαναί. οὐ μὴν εἰς τὸ παντελές μου καταφρονήσουσιν ὡς περισσοῦ πλανῶν. ἐπεί τοι, τὸν μὲν καλὸν νυμφίον ἐς κόρακας ἀποκηρύξω ἐὰν μὴ τῆς ὑπερβαλλούσης τρυφῆς

παυσάμενος, σὺν ἐμοὶ ταφρεύῃ καὶ βωλοκοπῇ. τὴν δὲ νύμφην ἀποδύσομαι κἀκείνην ἐπ' ἐξαγωγῇ, εἰ μή τι καὶ αὐτὴ τῶν ἔργων τῇ φρυγίᾳ τε καὶ τῇ θρᾴττῃ συναπολαμβάνῃ.

Φαιδρίας Σθένωνι.

Φύεται μὲν ἐν τοῖς ἀγροῖς καλὰ πάντα καὶ κόσμιά τε ἡ γῆ τούτοις καὶ τρέφει πάντας. καὶ τὰ μέν ἐστι τῶν καρπῶν διετήσια. τὰ δὲ καὶ πρὸς ὀλίγον αὐτόχροντα ἐστὶ βρωτὰ ὡραῖα. πάντων δὲ τούτων, θεοὶ μὲν ποιηταί, ἡ γῆ δὲ μήτηρ ἅμα καὶ τροφὸς αὕτη. φύεται δὲ καὶ δικαιοσύνη καὶ σωφροσύνη, καὶ ταῦτα ἐν τοῖς ἀγροῖς δένδρων τὰ κάλλιστα καρπῶν τὰ χρησιμώτατα. μὴ τοίνυν γεωργῶν καταφρόνει. ἔστι γάρ τις καὶ ἐνταῦθα σοφία, γλώττῃ μὲν οὐ πεποικιλμένη οὐδὲ καλλωπιζομένη λόγων δυνάμει, σιγῶσα δὲ εὖ μάλα καὶ δι' αὐτοῦ τοῦ βίου τὴν ἀρετὴν ὁμολογοῦσα. εἰ δὲ σοφώτερα ταῦτα εἶπον, ἢ κατά σοι ἢ κατὰ τὴν τῶν ἀγρῶν χορηγίαν, μὴ θαυμάσῃς. οὐ γὰρ ἐσμὲν οὔτε λίβυες οὔτε λυδοί, ἀλλ' ἀθηναῖοι γεωργοί.

Τοῦ Αἰλιανοῦ Ἐπιστολῶν

Τέλος.

mecum fodiat, & glebas ſcindat. Sponſam verò etiã illam repudiabo, niſi ipſa quoque cum Phrygia, & Threſſa opus aggrediatur.

Phædrias Sthenoni.

NAſcuntur quidem in agris omnia bona, & his ornatum eſt, ſolum ac omnibus alimentum ſuppeditat. Et quidẽ alia ſunt ex malis quæ in annum permanent, alia exiguo tempore durantia ſunt eſculenta matura. Omnium autem horum dij ſunt factores. Terra mater ſimul, & nutrix eadem. Naſcuntur autem & iuſtitia, & temperãtia, & hæ ſunt in agris arbores pulcherrimæ, fructus vtiliſſimi. Ne igitur contemnas agricolas. Eſt enim etiã hic quædam ſapientia, lingua non variata neque ornata dicendi facultate ac vi, ſed egregiè tacens, & ipſo vitæ genere virtutem præ ſe ferens. Quòd ſi hæc ſcripta ſunt ſapientiùs, quàm pro agrorum cultura, ne tibi mirum videatur. Non enim ſumus aut Lybici aut Lydi, ſed Athenienſes agricolæ.

Æliani Epiſtolarum.

Finis.

ΑΙΝΕΙΟΥ ΣΟΦΙΣΤΟΥ ΕΠΙΣΤΟΛΑΙ.

AENEAE SOPHISTAE EPISTOLAE.

Ἰωάννῃ.

Εἰ σὸν ἐτύγχανε τὸ βιβλίον, ἤρων δέ, παρ' ἐμοὶ δικαίως ἂν ἦν. τοιοῦτον ἡ φιλία. νῦν δὲ δεσπότης ἐγώ. σὺ δ' οὐ δίδως. ἀλλὰ μὴ πρὸς φιλίου διός. μὴ γάρ μοι τοῦτο ὅτι βιβλίον. ἐμοὶ γὰρ οὐσία τοῦτο. καί μοι τῶν κροίσου κτημάτων σεμνότερον εἶναι τὸ κτῆμα δοκεῖ. ἄλλος μὲν γὰρ σμινύης ἐρᾷ. γεωργὸς οὗτος. ἑτέρῳ πρὸς κύνας ὁ ἔρως. κυνηγέτης οὗτος. ἄλλο τόξον ἐν ἡδονῇ. τῷ δέ, ἵππος τὰ παιδικά. ἐμοὶ δὲ βιβλία καὶ λόγοι. ἀλλ' ὃ μᾶλλον τῶν ἄλλων τὸν κεκτημένον χαίρειν ποιεῖ, τοῦτο μᾶλλον τῶν ἄλλων ἀφῃρημένον λυπεῖ. εἰ μὲν οὖν ἀποδώσεις, πείθομαί σοι τῇ διανοίᾳ τὸ βιβλίον ἐγγεγράφθαι. εἰ δὲ μή, δόξεις οὐ τῶν γεγραμμένων ἐπιθυμεῖν, ἀλλὰ τὸ βιβλίον κεκτῆσθαι δοκεῖν. ἀλλὰ τί ταῦτά φημι. οὐχ ὅθεν πολλάκις εὐφράνθην, ἐντεῦθεν ἀνιάσομαι.

Ioanni.

SI tuus eſſet liber & amarem, penes me optimo iure eſſet. Talis res eſt amicitiã. Nunc ego dominus ſum. Tu verò non das. At nõ per amicum Iouem librum hunc iudico, ſed ſubſtantiam Cræſi facultatibus melior & maior poſſeſſio eſſe videtur. Alius enim ligonẽ amat. Is eſt colonus. Alij canes cordi ſunt. Is venator. Aliud in voluptate telum. Huic equus ludo eſt. Mihi verò libello & orationes: ſed quod ſua poſſeſſione maiorẽ reliquis voluptatem affert, hoc ereptum maiori dolore afficit quàm cætera. Si igitur reſtitues, credo tibi in animo librum eſſe inſcriptum. Sin minùs, videberis non ſcripta concupiſſe, & librum poſſidere voluiſſe. Sed quid hæc dico? Non vnde ſæpe mihi delectatio & voluptas parta eſt, inde dolorem ac triſtitiam auferam.

Κάσσῳ.

Λαέρτης ὁ γέρων οὐκ ἔτι ἤθελεν εἶναι βασιλεύς, οὐδ' ἀνθρώπων ἄρχειν. ἀλλὰ κηπουρὸς εἶναι καὶ τῶν δένδρων ἐπιμελεῖσθαι. σὺ δέ μοι δοκεῖς ἐζηλωκέναι τὸν ἄνθρωπον. οὐ γὰρ ἂν τὴν πόλιν καὶ τοὺς σαυτοῦ ἀπολιπών, χρόνον οὕτω μακρὸν ἐν ἀγρῷ προσκαθήμενος τοῖς φυτοῖς διῆγες λαλῶν. ἔδει δὲ οὐ τὸν Λαέρτου μεμνῆσθαι. ἀλλὰ Σωκράτους καὶ τῶν Σωκράτους δογμάτων, ἐν οἷς ἐκεῖνος χαριέντως καὶ σεμνῶς λέγων φιλοσοφεῖ, ὅτι τὰ χωρία καὶ τὰ δένδρα οὐδὲν ἐθέλει διδάσκειν. οἱ δ' ἐν τῷ ἄστει ἄνθρωποι, τούτοις μᾶλ-

Caſſo.

LAcertes æſtate affecta non volebat ampliùs regẽ agere, nãq; mortalib. imperare, ſed hortulanu te gerere, & arboribus operã dare. Tu verò mihi videris imitatus hominẽ eſſe Nõ enim vrbe & tuis relictis tã longo tempore ruri deſideres, cum plantis colloquens. Oportebat autem non Laertis meminiſſe, ſed Socratis & dogmatum Socraticorum in quibus ille iucumidè & grauiter loquens philoſophatur quòd agri & arbores nihil doceant, ſed homines qui in vrbe verſantur, huic potiùs

obtempe-

obtemperans, neglectis agris & contemptis, in quibus non poſſunt agricolæ ſapientiæ fructum metere, recordare ſolitam illam vitam, in qua licet ſapientiam aliquam diſcere & docere, & quod maximum eſt, amicos exhilarare.

Alphæo Presbytero.

COntrarium accidit. Anaſtaſius quietem agit. Tu bellum geris, ſed neque alioqui pulchrũ eſt. Vis tibi deſcribam etiam belli modum. Cornelius Anaſtaſij cepit quo tempore ille bellum adminiſtrabat. Et poſtquam reuenit, hic quidem campum recipere dominus volebat. Alter agricola voluit poſſidere at non gratis. Sed & precium definiuit. Viſum eſt. Et de contractu conficiuntur literæ. Iam vero etiam aurum afferens Cornelius paratus erat ſoluere agri precium. At tu confeſtim interpellens, iuſſiſti ne hoc faceret, tuum eſſe peculium affirmans. Hinc indignatio ac bellum. Si igitur facis iniuriam priuſquam etiam res ad nos perueniat, deſine. Sin putas veni celerrimè vt rationem apud iudices reddas. Neque enim facere cuiquam iniuriam, neque putare velim amicos.

Zenoni Sophiſtæ.

MVlta bona contingant egregio & laudabili Epiphanio, quod nos impleuit voluptate. Nã te bonum oratorem nominans magis tuum ingenium ac mores quã in dicendi vim ac facultatẽ admiratus eſt. Caput, hoc eſt ſimplex amicus videbaris, & ſæpe me ſalutabat, iocans ſimul verbis, id quod tuo nomine faciebat. Tu enim hoc eum iuſſeras. Scis autem qualis ille ſit, quòd etiam gratiæ ſit amator. Certè etiam moleſtus ſimul mihi, tuis verbis ſalutem nunciando. Tu verò in cauſa. Si enim exiguam miſiſſes epiſtolam, accepiſſem ſanè libenter paruam ſalutem dicens audiénſque.

Vlpiæ.

MAli malè pereant, quicunque tandem ſunt, qui tanto malo noſtram domum affecerunt. Quantum enim dolorem perceperim verbis, ita me dij ament, non poſſim exprimere. Sed mihi ſerò tandem aliqua conſolatio oblata eſt, cuius vos participes facere æquum eſſe duxi, non ex omni parte inutilem eſſe calamitatem. Nũc enim liquidius cognoſcetis aurum & argentum ac ſplendidas veſtes quæ ſumma contentione vulgò expetuntur, infirmam eſſe rem & minimè conſtantẽ, neq; reuera in poſſidentis poteſtate, ſiquidem qui vult diripere ac diſtrahere poteſt. Doctrinas verò & ſapientiã quæ ab imperitis deridetur ac contemnitur ſtabile eſſe bonum & fixum atque incõſumptum, ac in vniuerſum ſuperbius ac præſtantius quàm vt à latronibus eripi poſſit. In hoc magis incumbite, neque amplius ad cuſtodiam vobis opus erit, aut mœnius, aut armis, aut cuſtodium acie.

Pampo Grammatico.

ADemit epiſtolæ meæ voluptatem, dolor ex latrocinio quod non minorem attulit mihi perturbationem, quàm ſi ego ipſe damnum accepiſſem. Neque eſt incredibile. Nam ſi amicorum bona ſunt communia, communis etiam horum ſcilicet eſt ereptio. Sed quid hæc doleo,

λον πειθόμενος, μακρὰν τὴν ἀγρῶν ὑπερίδων ἐν οἷς ἄπορον σοφίας καρπὸν τοῖς γεωργοῦσι δρέπεσθαι, ἀναμνήσθητι τὴν συνήθη ἐκείνην διατριβὴν ἐν αἷς ἔνεστι σοφόν τι μαθεῖν καὶ διδάξαι. καὶ τὸ δὴ μέγιστον εὐφραίνειν τοὺς φίλους.

Ἀλφείῳ Πρεσβυτέρῳ.

ΤΟὐναντίον γέγονεν, ὁ μὲν Ἀναστάσιος ἡσυχίαν ἄγει. σὺ δὲ πολεμεῖς. ἀλλ' οὔτε σοὶ πρέπον, οὔτ' ἄλλως καλόν. βούλει σοι φράσω καὶ τοῦ πολέμου τὸν τρόπον. ὁ Κορνήλιος Ἀναστασίου χωρίον κατέλαβεν, ὃν ἐκεῖνος ἐπολέμει χρόνον. καὶ ἐπειδὴ ἀφίκετο, ὁ μὲν ἠξίου τὸ πεδίον λαβεῖν ὁ δεσπότης. ὁ δὲ γεωργὸς ἠξίου κεκτῆσθαι, ἀλλ' οὐ προῖκα. ἀλλὰ καὶ τιμὴν εἶπεν, ἔδοξε, καὶ περὶ τῆς ὠνῆς γράμματα γίνεται. ἤδη δὲ καὶ τὸ χρυσίον φέρων ὁ Κορνήλιος ἕτοιμος ἦν καταθεῖναι τὴν τοῦ χωρίου τιμήν. σὺ δὲ προσαναστὰς ἐξαίφνης ἐκώλυες μὴ τοῦτο ποιεῖν. σὸν εἶναι τὸ κτῆμα φάσκων. ἐντεῦθεν ὀργὴ καὶ πόλεμος. εἰ μὲν οὖν ἀδικεῖς καὶ πρὶν εἰς ἡμᾶς ἐλθεῖν τὸ πρᾶγμα, διάλυσον. εἰ δὲ δοκεῖς, ἧκε τὴν ταχίστην, ὡς παρὰ δικασταῖς ἀποδώσων εὐθύνας. οὔτε γὰρ ἀδικεῖν οὔτε δοκεῖν βουλοίμην τοὺς φίλους.

Ζήνωνι Σοφιστῇ.

ΠΟλλὰ κἀγαθὰ γένοιτο Ἐπιφανίῳ τῷ καλῷ. ὅτι περ ἡμᾶς ἐνέπλησεν ἡδονῆς. ἀγαθὸν γάρ σε ῥήτορα καλῶν, μᾶλλόν σου τὸν τρόπον ἢ τὸν λόγον ἐθαύμαζε. τὸ δ' οὖν κεφάλαιον, φίλος ἐδόκεις ἀληθινός. καί με προσεῖπε πολλάκις παίζων ἅμα τῷ λόγῳ ὑπὲρ σοῦ τοῦτο ποιῶν. σὺ γὰρ τοῦτο προστέταχας ἐκείνῳ. οἶσθα δὲ τοῖος ἐκεῖνός ἐστιν ὅτι τῶν χαρίτων ἐραστής. ἀμέλει καὶ ὀχληρὸς ἦν ἅμα μοι παρὰ σοῦ χαίρειν καλεύων. σὺ δὲ αἴτιος. εἰ γάρ μοι σμικρὰν ἐπεπόμφεις ἐπιστολήν, ἐπελάβετο ἂν ἡδέως μικρὸν χαίρειν εἰπεῖν καὶ ἀκοῦσαι.

Οὐλπίᾳ.

ΚΑκοὶ κακῶς ἀπόλοιντο. οἵτινές ποτ' ἦσαν οἱ τὸν ὑμέτερον οἶκον οὕτω πονηρῶς διαθέντες. ὅσον γὰρ ἠνιάθην ἐγὼ μὰ τοὺς θεοὺς οὐκ ἂν δυναίμην εἰπεῖν. ἀλλά μοι τις εὐτυχὴς ὀψέποτε, παραπέπτωκε παραμυθία. ἧς καλὸν ὑμᾶς κοινωνεῖν ἐνεθυμήθην. ὡς οὐ παντελῶς ἄχρηστος ἡ συμφορά. νῦν γὰρ βεβαιότερον γνώσεσθε ὅτι χρυσὸς καὶ ἄργυρος καὶ περιφανεῖς ἐσθῆτες, τοῖς μὲν πολλοῖς περιμάχητον. ἀβέβαιον δέ τι χρῆμα καὶ οὐχ ἑστηκὸς οὐδὲ τοῦ ἔχοντος ὡς ἀληθῶς. εἴγε τῷ βουλομένῳ διαρπάζειν ἔξεστι. τὰ δὲ μαθήματα καὶ ἡ σοφία τοῖς μὲν ἀνοήτοις καταγέλαστον, βέβαιον δέ τι κτῆμα καὶ πεπηγὸς καὶ ἀνάλωτον καὶ τὸ ὅλον κρεῖττον λῃστείας. τούτων μᾶλλον ἀντέχεσθε. καὶ οὐκέτι πρὸς φυλακὴν δεήσεσθε, οὐ τείχους, οὐχ ὅπλων, οὐ φυλαττόντων φάλαγγος.

Πάμπῳ Γραμματικῷ.

ἈΦείλετό μου τῆς ἐπιστολῆς, τὴν ἡδονήν, ἡ τῆς λῃστείας ἡ λύπη. δι' ἣν οὐχ ἧττον ἠνιάθην ἐγώ, ἢ εἴπερ αὐτὸς ἐτύγχανον ὁ πεπονθώς. καὶ οὐκ ἀπίθανος ὁ λόγος. εἰ γὰρ κοινὰ τὰ φίλων, κοινὴ δήπου καὶ ἡ τούτων ἀφαίρεσις. ἀλλὰ τί ταῦτα συνάχθομαι. πάν-

πος ὁ τοῦ κέρδους κρείττων, καὶ ζημίας ἰσχυρητίς. ἐντεῦθεν ἡμῖν ἡ παραμυθία. εἰ δ' ὀρθῶς γνοίσκω, βουλοίμην παρὰ σοῦ μανθάνειν.

Διοδώρῳ Σχολαστικῷ.

Διήλλαξεν ἡμᾶς ὁ καλὸς Ἡρόδοτος ὅτι μουσικὸς τυγχάνων. ὑπὲρ τὸν Ὀρφέα καὶ Θάμυριν ἐκεῖνον, ἡ τοῦ ἀνδρὸς μουσική. νῦν γοῦν ἔγνωμεν ἀλλήλους ὥσπερ ἐν νυκτομαχίᾳ πρότερον πολεμοῦντες. καὶ εἰρήνη συχνή, ἀλλὰ κρατῆρα στήσαντες, οἷον ἐν εἰρήνῃ, σπονδὰς ποιησώμεθα θεῶν μὲν Ἑρμῇ, ἀνθρώπων δὲ Ἡροδότῳ. οἳ τὴν στάσιν ἡμῖν μόλις διέλυσαν. τοίνυν ἄγοντες τὴν ἑορτὴν, τὴν μὲν κωμῳδίαν ἣ ἀναιδῶς περιέχουσα ἐκλαλεῖ τὰ τῶν φιλτάτων, αὐτῇ σκευῇ τῶν ἐπιστολῶν ἐξελάσωμεν, εἰσκαλεσάμενοι δ' ἣ πᾶσαν φιλίαν δορυφορεῖ, τὴν πειθὼ, τὴν χάριν, τὴν ἡδονὴν, τὸν κρότον, τὸν ἔπαινον. τούτοις καθιστῶμεν σεμνότερον θέατρον ἀπειπόντες κωμῳδίᾳ μηδὲν ἐνοχλεῖν.

Ζωσίμῳ Πριγκιπι.

Ὅτι πλέων διεσώθης, εὖ οἶδα. οὐ γὰρ κατὰ λῃστείαν τῆς νηὸς ἐπέβης. ὅπερ οἱ δυνατώτατοι τῶν παλαιῶν. οὐδ' αὖ κατ' ἐμπορίαν ὅπερ οἱ πολλοὶ τῶν νῦν θνητῶν. ἀλλὰ πόθῳ φιλτάτων ἀνδρῶν τε καὶ τόπων. ὥστε σοι τὸ φίλιον μὴ οὐχὶ συμπλεῖν, λέγειν ἀθέμιτον. ἀλλά σοι γένοιτο καὶ ἡ πόλις εὐμενὴς μετὰ τὴν θάλατταν. καὶ τυχὼν τοῦ ἔρωτος παρὰ φίλων πρὸς φίλους ἐπανήκοις.

Σωπάτρῳ Σοφιστῇ.

Ἐπῄνεσα τοῦ καλοῦ Κωνσταντίνου τὸν τρόπον, τὴν τύχην μεμψάμενος. ἔδει γὰρ εἰ μακάριος ἦν μιᾶς ἀπολαύειν πόλεως τῆς πατρίδος. νῦν δὲ. οὐ γὰρ ἔδοξε τῇ τύχῃ, πολλῶν ἀνθρώπων ἴδεν ἄστεα. πλανᾶται δὲ κατὰ ζήτησιν βίου. καὶ τὴν ἀπορίαν ἀποσεμνύνειν ἀναγκάζεται ποιητικὴν ἐπαγγελλόμενος οὐκ ἐκ τῆς Ἑλλάδος, ἀλλ' ἐξ Ἰταλίας πεποιημένην. ψοφεῖ γοῦν βαρύτερον καὶ ὑπὲρ ὄγκον. μετὰ ταύτης προσελθὼν ἐδεῖτό μου συμμαχεῖν. ἐγὼ δὲ σοῦ. πάντως δὲ καὶ σὺ διασώσεις πρὸς ἕτερον.

Ζωσίμῳ Σοφιστῇ.

Εἰ μὲν νέος ἦν ὁ χρηστὸς Παῦλος, ποιητὴς δὲ, τιμῆς ἄξιος ἦν. νῦν δὲ ποιητὴς καὶ γέρων. ἀμφότερα δὲ ταῦτα τοὺς θεραπεύειν εἰδότας ἐπιζητεῖ. τούτων ἐθέλεις εἶναι καὶ πρῶτος καλῶς ποιῶν. ἔχεις οὖν ἐν ᾧ ποιήσεις.

Μαριανῷ ἀπὸ ὑπάτων.

Τῶν ἐμῶν γυμνασίων ὁ καλὸς Πίσων, φιλοπονίαις ἄλλους παραδραμὼν, μέγα δὲ τοῦτο συμβάλλεται πρὸς μαθημάτων σύλληψιν, ἀμέλει ῥητορικῆς ἔγνω παλαίσματα. καὶ νόμων προσέθηκε ποικιλίαν, καὶ οὔπω τῶν πόνων ἐμπίπλαται. ἀπῆρε δὲ πρὸς ὑμᾶς ὥσπερ ἀγαθὸς ἀθλητὴς εἰς Ὀλυμπίαν ἀποδημῶν, ἤδη μὲν εἰς ἀγῶνα παρεσκευασμένος καλῶς. εἰ δὲ ὑμεῖς ἐμπνεύσοιτε, ὀλυμπιονίκην ἔσεσθαι τὸν νέον μαντεύομαι. γένοιτο δὲ ὑμᾶς λαμπρῶς ἀγωνοθετεῖν καὶ ἆθλα τιθέναι, οὐ πυγμῆς ἢ πάλης, ἀλλὰ λόγων καὶ σωφροσύνης. προσφθέγγομαι τὸν ἐνδοξότατον Βίκτωρα καὶ τὸν περίβλεπτον Στέφανον καὶ τὸν χαριέστατον Ἰωάννην. καὶ τοὺς ὑμετέρους οἰκείους καὶ ἐμοὺς ἑταίρους.

qui ſum planè omni lucro ſuperior, & damni moderatè patiens. Hinc nobis ſolatium. Au vetò rectè ſentiam, abs te cupio diſcere.

Diodoro Scholaſtico.

Reduxit nos in gratiam præclarus Herodotus quippe Muſicæ ſciētiæ peritus. Supra Orpheū & Thamyrin illū, eſt hominis Muſica. Nunc igitur nos inuicem agnouimus, antea quaſi nocturno prælio confligentes & pax abundè eſt. ſed Craterē ſtatuentes vt in pace, libamina faciamus ex dijs Mercurio, ex hominibus Herodoto, qui controuerſiam inter nos vix tandem compoſuerunt. His feſtum agentes, Comœdiam, quæ impudenter circūiens effutit res amiciſſimorum; ipſo literarū apparatu repellamus introducentes quæ omnem amicitiam ſtipāt ac cuſtodiunt, perſuaſionem, gratiam, voluptatem, plauſum, laudem. His grauius & honeſtius Theatrum conſtituamus, renunciantes Comediæ ne moleſta ſit.

Zoſimo Principi.

Quòd è nauigatione ſalu' euaſeris, probè ſcio. Non enim conſtituendi latrocinij cauſſa nauem conſcendiſti, quemadmodum apud veteres, qui potentia valebant præ cæteris, neq; verò negotiandi, quemadmodum hoc noſtro ſeculo plurimi mortales, ſed deſiderio amiciſſimorum hominum ac locorum, vt Philium non tibi inter nauigandum adfuiſſe, dicere nefas ſit Sed precor vt etiam ciuitas tibi poſt mare propoſita ſit, & amore munitus, ab amicis ad amicos reuertare.

Sopatro Sophiſtæ.

Laudatiui præclari Conſtantini mores, fortunā reprehendi. Oportebat enim ſi beatus eſſet vna ciuitate patria frui. Nunc autem. Aliter enim viſum eſt fortunæ, multorum hominum vrbes luſtrauit. Oberrat autem parandi victus cauſſa, & egeſtatem gloriari cogit, poeticā artem profitēs, nō è Græcia ſed ex Italia profectam. Strepit igitur grauiter & vltra dignitatem. Cum hac accedens rogabat me vt ſibi auxilio eſſem Ego rurſum te. Non dubium eſt mihi quin tu quoq; ſaluum ſis ad alium perducturus.

Zozimo Sophiſtæ.

Si iuuenis eſſet optimos Paulus & poëta, honore dignus eſſet. Nunc & poëta eſt, & prouectus ætate. Hæc ambo requirūt qui ſe colere ſciant. In horum ſocietate cupis eſſe vel primus benemerendo. Habes igitur de quo benè merearis.

Mariano à conſulibus.

In his exercitiis quæ ſunt apud me, egregius Piſon, ſtudio ac labore cæteris prægteritis, (Multū autē hoc ad diſciplinarum comprachēſionē prodeſt,) deinceps Rhetorices imbibit exercitamenta & legum adiecit varietatem, neq; adhuc vnquam laboribus impletur. Profectus eſt autem ad vos tanquam bonus pugil ad Olympia contendens, iam ad certamen meundum bene paratus & inſtructus. Quòd ſi vos inſpicaueritis, equidem Olympionicē fore iuuenem vaticinor. Liceat autem vobis ſplēdidè ludos inſtituere ac præmia ponere nō cæſtuū ac luctæ, ſed orationis ac ſapientiæ. Saluto nobiliſſimum Bictorem, & inclytum Stephanum, item gratioſiſſimum Ioannem, & veſtros familiares meóſque ſodales.

Epiphanio

Epiphanio Sophiſtæ.

REliquis amatoribus, ſi etiam calceum amati videre liceat, ſatis eſt ad dandam amori conſolationem. Tu verò, & animi, & corporis imagines requiris. Sermones igitur mentem perſpicuè explicantes, ipſum animum apertè deſcribunt, & quaſi videndum ſubiiciunt. Huius igitur ipſius rei cauſſa ad vos profecti ſunt. Ego verò certum conſtitutúmque habebam nondum imaginis imaginem inſcribere, ſed tamen amore veſtro ac reuerentia motus, accerſito eo qui pingit animalia, & exaduorſum ſedens quieto vultu planè ſeriò taceus, & meipſum componens permiſi vt artem naturæ coniungeret, atque meam formam arreptam pictoris dextera coloribus format, & nunc eſt apud te, vt poſſis & colloqui & videre neq; minùs habere iis quæ mihi præſtò ſunt. Inſeruit nobis optimus Euthymius, & eius cauſſa, lubenter & cùm voluptate mare tolerat, quod riualibus, arduum eſſe videtur, ſed obſeruatione & cura labores ei mitigamus & quaſi occultabimus.

Encratio.

HEri pædagogus erat qui à pueris hodie ducitur, & magna autoritate erat apud pueros, qui nunc adeò miſerabilis apparet. Eiuſmodi res eſt fortuna. Quid igitur nos miſeremur at auxilium opémque non adferimus. Nonne tu ſi cuipiam qui militiam ſequitur, repentè dextrã, qua ſe ſtrenuum præbuerat, eripuiſſet fortuna, an non cenſes pugnantes milites, de ſpoliis ei partem ad lucrum eſſe tributuros. Ne igitur nos, quibus victus ex diſciplinis ac artibus eſt, deteriores ad amicitiã videamur quàm qui in armis vitam degunt.

Ioanni Presbytero.

NOn iam primùm, ſed olim tecũ locutus ſum. Erat autem nobis ſermo apud Nilum, ad cuius ripas tum Muſis colludebamus. Iocabatur autẽ & ridere videbatur ſeria oratio. De pulchritudine certamen erat Iudicium dabatur Græcis. Certabãt verò Nireus, qui formoſiſſimus fuit omnium hominum ſupra terram & Therſites, qui turpiſſimus omnium ſub ſolem venit, & quod iucundiſſimum erat, Therſites palmam volebat auferre & præbuit ei premium oratio neque quicquam impedimento fuit. Homeri comœdia, quamlibet corporis partem ab incommodo ac peruerſitate nominans, & vſque ad capillos hominem deridens. Tunc igitur iocabare cum auditoribus. Nunc autem audio te ſeriò rem agere, atque ſacris præclarum dogma prædicare, & oratione ciuium mores tranſmutare. Et nunc ædificator atque faber poſſunt de diuinis verba facere, & de virtute inter opus faciũdũ diſſerunt, quibus ante tuas orationes lapides ac ligna erant in ore. Sed bene ſit optimo Euſtratio,

Ἐπιφανίῳ σοφιστῇ.

ΤΟῖς μὲν ἄλλοις ἐρασταῖς καὶ ὑπόδημα τῆς ἐρωμένης φανὲν, ἱκανὸν παραμυθεῖσθαι τὸν ἔρωτα. σὺ δὲ καὶ ψυχῆς καὶ σώματος εἰκόνας ἐπιζητεῖς. οἱ μὲν οὖν λόγοι τὴν διάνοιαν σαφῶς ἑρμηνεύοντες, αὐτὴν ἀτεχνῶς ὑπογράφουσι τὴν ψυχήν. ἐπ' αὐτό γε μὴν τοῦτο, πρὸς ὑμᾶς ἀπῆραν. ἐμοὶ δὲ ἦν δεδογμένον μηκέτι τοῦ εἰδώλου τὸ εἴδωλον ἐγκαταγράφειν· ἀλλ' ὅμως αἰσχυνθεὶς τὸν ὑμέτερον ἔρωτα, προσκαλεσάμενος τὸν τὰ ζῷα γράφοντα, καὶ ἐναντίον καθήμενος, ἀξιομίζοντι τῷ προσώπῳ σεμνῶς πάνυ σιγῶν καὶ ἐμαυτὸν περιστέλλων, ἀφῆκα τὴν τέχνην τῇ φύσει συναπτεῖσθαι. καὶ τὴν μὲν εἴδους ἀναρπασθεῖσαν ἡ τοῦ ζωγράφου δεξιὰ, τοῖς χρώμασιν ἐγκατατίθεται ζέρησα καὶ νῦν ἐστι παρὰ σοὶ, ὡς ἐξεῖναι καὶ διαλέγεσθαι καὶ ὁρᾶν. καὶ τῶν ἐμοὶ παρόντων μηδὲν ἔλαττον ἔχειν. διακονεῖ δὲ ἡμῖν ὁ καλὸς Εὐθύμιος. καὶ ὑπὲρ τούτου θαλάττας ἡδέως ὑπομένει ὃ τοῖς ἀντερασταῖς χαλεπὸν εἶναι δοκεῖ. ἀλλὰ θεραπείᾳ τοὺς πόνους αὐτοῦ συγκαλύψομεν.

Εὐκρατίῳ.

ΧΘὲς παιδαγωγὸς ἦν, ὁ σήμερον ὑπὸ παιδὸς ἀγόμενος. καὶ σεμνὸς ἐδόκει τοῖς νέοις, ὁ νῦν ἐλεεινὸς οὕτω φαινόμενος. τοιοῦτον ἡ τύχη. τί οὖν ἡμεῖς συναχθόμεθα μὲν, οὐ βοηθοῦμεν δέ. μὴ σύ γε. εἰ στρατιώτης ὢν, εἶτ' ἐξαίφνης αὐτὴν τὴν δεξιὰν δι' ἧς ἠρίστευσεν ἡ τύχη παρείλετο. ἆρ' οὐκ οἴει τοὺς μαχομένους τῶν στρατιωτῶν, τῶν λαφύρων αὐτῷ εἰς ἔρανον φέρειν τὸ μέρος. μὴ τοίνυν ἡμεῖς οἷς ἀπὸ τῶν λόγων ὁ βίος, τῶν ἐν τοῖς ὅπλοις ζώντων φαυλότεροι πρὸς φιλίαν ὀφθείημεν.

Ἰωάννῃ Πρεσβυτέρῳ.

ΤΑ λάχανα νῦν μᾶλλον εἶδον ἡδέως, ἢ πάλαι τὰ ἐκ μέλιτος καὶ ἀμυγδάλων συμπλακέντα κύκλον. τότε μὲν γὰρ ἡ κατὰ τοῦ παιδὸς διαβολὴ ἀφῃρεῖτο τοῦ μέλιτος τὴν ἡδονήν. νῦν δὲ ἡ τοῦ τρόπου πρᾳότης, χρυσᾶ μοι δοκεῖν ἐποίει τὰ λάχανα. ἤδη γὰρ πατὴρ οὐκ ἐκ διαβολῆς ὀργιζόμενος, ἀλλ' ἐπ' ἀρετὴν διανοίας εἶναι παρακαλῶν. καὶ ἐγείρεται ἐκ προθυμίας αὐτῷ τὸν διδάσκαλον.

Στεφάνῳ Πρεσβυτέρῳ.

ΟΥ νῦν πρῶτον, ἀλλά σοι πάλαι διελέχθην. ἦν δὲ ἡμῖν ὁ λόγος παρὰ τῷ Νείλῳ. οὗ παρὰ τὰς ὄχθας τότε ταῖς μούσαις συνέπαιζον. ἐνεκόμψατο δὲ καὶ γελᾶν ἐδόκει σπουδάζων ὁ λόγος. κάλλους ἦν ἀγών. κεῖται δ' ἆθλον οἱ Ἕλληνες. ἀγωνισταὶ δὲ Νιρεὺς ὃς κάλλιστος ἦλθεν ἐπιχθονίων ἀνθρώπων, καὶ Θερσίτης ὃς αἴσχιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθε. καὶ τὸ χαριέστατον, τὸ πλεῖον ἔχειν ὁ Θερσίτης ἠξίου καὶ παρεῖχεν αὐτῷ τὸ ἆθλον ὁ λόγος. καὶ οὐδὲν ἐκώλυσεν ἡ τοῦ Ὁμήρου κωμῳδία μέρος ἕκαστον τοῦ σώματος ἀπὸ τοῦ πάθους ὀνομάζουσα καὶ μέχρι τριχὸς γελῶσα τὸν ἄνθρωπον. τότε μὲν οὖν τότε συνέπαιζες τοῖς ἀκροαταῖς. νῦν δέ σε σπουδάζειν ἀκούω καὶ τοῖς ἱεροῖς τὸ καλὸν δόγμα κηρύττειν καὶ λόγῳ μεταρρυθμίζειν τῶν πολιτῶν τὸν τρόπον καὶ νῦν ὁ οἰκοδόμος καὶ τέκτων ἔχουσί τι περὶ τῶν θείων εἰπεῖν. καὶ περὶ ἀρετῆς, μεταξὺ τῆς ἐργασίας διαλέγονται οἱ πρὸ τῶν σῶν λόγων λίθους καὶ ξύλα λαλοῦντες. ἀλλὰ πολλὰ τἀγαθὰ γένοιτο Εὐστρατίῳ τῷ καλῷ

ὅτι πολλὰς πόλεις διαδραμὼν, τοῦ σοῦ ὀνόματος πάσας ἐνέπλησε. μηδεὶς γὰρ ἀγαθὸς λανθανέτω. οὗτος καὶ ταύτην εἶπέ μοι τὴν ἐπιστολὴν ὡς ὑμᾶς ἰέναι. ἐλπίδι μετεωρίσας καὶ μεῖζον ὑποσχόμενος. χρύσεα χαλκείων αὐτὴ τῆς ἡμετέρας τὴν ὑμετέραν ἐπιστολήν. ἀλλὰ μὴ καλῆς ἐλπίδος διαμάρτοιμεν.

Σαραπίωνι.

ΤΟ παρ' ὑμῖν ἀκήκοα δρᾶμα καὶ αὐτὴν ἐδάκρυσα τὴν γῆν. εἰ ἐκ τῶν ἱερέων ὁ πόλεμος ἄρχεται, παρ' οἷς εἰρήνη τὸ κήρυγμα. εἰ γὰρ ὅθεν ἔδει σωθῆναι, ἐντεῦθεν ἀπολλύμεθα, τίς πόρος σωτηρίας ἡμῖν καταλείπεται; ταῦτα μὲν οὐκ ἔστι τις ἂν οἶμαι θρηνῶν. ἐγὼ δὲ συνάχθομαι καὶ συνήδομαι. ἀνιαρὸν μὲν γὰρ τῶν κινδύνων ἡ πεῖρα. ἀκριβεστάτη δὲ μεγαλοψυχίας βάσανος ἡ ἐν τοῖς κινδύνοις εὐψυχία. ποία γὰρ ἀρετῆς κτῆσις, ἧς ἀγὼν μὴ προηγήσατο. εἰ μὴ καὶ στρατηγὸν φαίης ἄριστον, τὸν μηδέποτε καταιδόντα πολέμιον. στέρξειν δὲ δεῖ καὶ μὴ ἀθυμεῖν. ἐκ πολέμου γὰρ ἡμῖν εἰρήνη βεβαιοῦται. εἰ δὲ μὴ, ἀγεννῶς τὸν πόλεμον διενέγκοιμεν. ἀλλ' οἷα δρᾶτε τοὺς φίλους. ἐγὼ τῆς ῥητορικῆς ἐρᾶν πρὸς ὑμᾶς ὡμολόγουν, ἐλπίσας παρ' ὑμῶν εὑρήσειν τὸ φάρμακον, ἀλλὰ τοὐναντίον γέγονεν. ηὐξήσατε γὰρ μᾶλλον ἢ διελύσατε τὸν ἔρωτα. θέατρον τῇ ἐπιστολῇ συλλέγοντες καὶ κρότον διεγείροντες. πῶς οὖν ἄν τις ἀτιμάσοι τὸ παρ' ὑμῶν ἐπαινούμενον.

Διονυσίῳ Σοφιστῇ.

ΠΆλαι μὲν τὸ Πήλιον κοινὸν διδασκαλεῖον τῶν ἡρώων ἐδόκει. νυνὶ δὲ ἡ ὑμετέρα καὶ τῶν μουσῶν πόλις. καὶ ἐπίστευσαν οἱ πατέρες τοὺς υἱεῖς αὐτοῖς, ὡς ὑμᾶς φοιτῶντας ἢ λόγους μανθάνειν ἢ λόγους εἰδέναι δοκεῖν. καὶ θαυμαστὸν οὐδέν. ἡ γὰρ πόλις ἀρχαία καὶ παλαιᾶς μυθολογίας γέμουσα περὶ ἧς ᾄδεται ἄλλα τε πολλὰ καὶ καλὰ, καὶ ὅτι καλλιόπη θαυμάζουσα τὴν πόλιν, ὑμῖν παρακάθηται τὸν ἑλικῶνα προδοῦσα καὶ τὰς ἀδελφὰς αὐτῇ πείθει συνοικεῖν. ὁ δὲ ἑρμῆς πάντως οὐκ ἀνέξεται μὴ οὐ συμπαίζειν ταῖς ἀδελφαῖς. ἀλλὰ καὶ ἀπόλλων μουσικὸς ὢν θεὸς ταύτης ἐρᾷ μᾶλλον ἢ τοῦ παρνασοῦ. οὐ γὰρ παραπλήσιον αὐτῷ δοκεῖ μάχαιρα δελφῶν καὶ τὸ κάλλος παιδικῶν. οὐδὲ πέτρα δελφῶν καὶ τῆς δάφνης τὸ ἄλσος. ἔνθα καὶ τὸ ὕδωρ ἐπαισθάνεσθαι τοῦ θεοῦ, καί τι μουσικὸν ὑπηχεῖν λέγεται. τὸ δὲ κάλλιστον, ὁ διόνυσος διδάσκων ὡς ἀληθῶς τὰς τῶν θεῶν τελετάς. ταῦτα διεγείρει πρεσβύτας. ταῦτα συγκαλεῖ νέους. διὰ ταῦτα καλὴν ἐλπίζω τὴν ἀποδημίαν γενέσθαι τοῦ νέου. ἄλλως τε ὅτι προτετελεσμένος καὶ τῶν παρ' ἡμῖν καλῶν ἐν παρασκευῇ γενόμενος, ἀπῄει ὡς ἀθήνησιν οἱ τὰ μικρὰ μυστήρια προειλημμένοι τῶν μεγάλων. δέχου τοίνυν εὐμενῶς τὸν νεανίσκον, δοκιμάζων αὐτοῦ τὴν φύσιν ἐκ τῆς νῦν ἐπιθυμίας. δι' ἣν καὶ θάλατταν πλεῖ καὶ πολλὴν ἤπειρον ἐλαύνει οὐ μάλα ἐρρωμένῳ τῷ σώματι. ἐχέτω δέ τι καὶ μεῖζον διὰ τὴν ἐπιστολήν. δεῖ γὰρ ταύτην θαρρεῖν. μηδαμῶς τι ἐρυθριᾶν νῦν πρῶτον ὡς ὑμᾶς ποιοῦσαν. ἐρωτικῶς τι προσίεσθαι καί τι πρὸς αὐτὴν ἡδέως λαλεῖν, οὕτω πολλάκις ὡς ὑμᾶς ἴοι.

qui multis vrbibus peragratis, tuo nomine omnes impleuit. Nemo enim bonus lateat. Hic etiam perſuaſit vt hanc epiſtolam ad vos mitterem, in ſpem adducens & maiora promittens, aurea pro æneis, pro noſtra veſtram epiſtolam. Sed tu operam dato, ne pulcherrima ſpes nos fallat.

Sarapioni.

DRama quod apud vos cõtigit audiui, & ipſam terram luxi, ſi à ſacerdotibus bellum initium ducat, apud quos pax prædicatur: ſi enim vnde ſalus proficiſci debeat, hinc pernicies ac perditio exiſtit, quænam ratio ſalutis nobis reliqua eſt? Hæc igitur nemo vt opinor ſine lachrymis dicere poſſit. Ego verò ſimul doleo & vnà gaudeo. Triſtis eſt enim periculorum experientia at exquiſitiſſima magnanimitatis probatio, bonum animum in periculis gerere. Qualis enim virtutis poſſeſſio quam certamen non præceſſerit, niſi etiam ducem ſtrenuum ac præſtantem dicas, qui nunquam in hoſtium cõſpectum venit. Ferendum eſt autem, neque animus eſt abiiciendus. Ex bello enim pax nobis confirmatur & vires colligit. Sin minùs, inſtrenuè ac illiberaliter bellum tulerimus: ſed quemadmodum amicis facitis? Ego me Rhetoricam facultatem amare profeſſus ſum apud vos, ſpem habens, me impetraturũ à vobis remedium, ſed contrarium euenit. Auxiſtis enim magis, quàm extinxiſtis amorem, Theatrum epiſtola colligentes & plauſum excitantes. Quomodo igitur poſſim hoc non in precio habere, quod à vobis laudibus afficitur?

Dionyſio Sophiſtæ.

OLim Pelium communis docendorum Heroũ ludus videbatur. Nunc veſtra & Muſarum ciuitas. Et crediderunt parẽtes liberos ſibi qui ad vos accederẽt, aut artes liberales ac diſciplinas diſcere, aut tenere iam videri. Neque mirum. Vrbs enim antiqua & veteris doctrinæ plena, de qua cùm alia multa & egregia celebrantur, tum quòd Calliope admirata ciuitatem apud vos conſederit, Helicone relicto & ſorores ſecum habitandum perſuaſerit. Mercurius autem facere omnino non poterit, quin cum ſororibus colludat. Sed & Apollo qui Muſicus deus eſt plus hanc amat, quàm Parnaſſum. Nõ enim ei ſimile videtur gladius Delphorum & amaſiorum formoſitas. Neq; Delphorum rupes, & lauro conſitus lucus, vbi etiam aqua deum ſentit & muſicum quiddam ſonare dicitur. Quod verò pulcherrimum eſt, Bacchus docens reuera deorum ceremonias ac myſteria. Hæc cõparata ſunt ad excitandos ſenes, ad conuocandos iuuenes. Ob hæc in ſpem venio optimam iuueni copiã fore, præſertim quod priùs initiatus, & noſtris muneribus inſtructus, profectus eſt quemadmodum Athenis, qoi paruis myſteriis ante magna initiantur. Recipe igitur benignè iuuenem, & eius ingenium ex præſenti cupiditate perſpectum habe, ob quam & mare nauigat, & per magnam Epiri partem iter facit, non admodum valenti corpore. Tribuatur etiam propter epiſtolam aliquanto magis. Hanc enim audacem eſſe oportet, neque vlla ratione pudore affici, nunc primùm ad vos euntem, ac ſummo cum amore accipere & quiddam etiam cum ea loqui. Sic ad vos commeabit ſæpius.

Theodoro Sophiſtæ.

SIt Smyrnenſis Homerus. Ariſtides veniat in ſocietatem honoris meus Rhetor Theodorus. Planè meum eſt etiam hoc, ſiquidem liberorũ bona patris eſſe iudicantur. Sed Euge noſtram veſtrã orationis concinnitatem. Propter quam Athenienſium liberi non à patribus, verùm à Syris, Atticam linguam cupiunt perdiſcere. Non ampliùs igitur in Piræum appellunt, amantes Academiæ, neque Lyceum frequentant, apud nos Academiam & Lyceũ arbitrantes eſſe. Mihi igitur ſatis à vobis redditum eſt gratiæ, ſi etiam me patrem Iones propter vos celebrabunt, & animi mei ſimulachra dilucidè cernentes, iam etiam corporis formam deſcribunt & effingunt. Stola verò à vobis profecta, mihi ſplendidiorem grauioremque figuram addit, tibi illuſtriorem clarioremque famam efficit.

Geſſio Iatroſophiſtæ.

MEus Procopius. Sit autem tui Elpidij filius, quem velim adhuc in vita permanere, propter quem viguit apud nos medendi ſcientia. Etenim difficile eſt diſciplinis ſtudium operámque nauare & corpus integrum conſeruare. Quæ igitur paſſus ſum, ego quidem depinxi. Vos autem quaſi ſpectatores incommodi & calamitatis vos præbuiſtis. Sed quid faciam? Graues enim ſunt renum dolores & moleſti. Vos autem tardi, vt apparet, ad dandum beneficium, aut quamdiu etiam ſcribo. Ægrotanti verò dies vnus etiam annorum eſt circuitus. An non philoſophanti morbus grauiſſimus? Non ars apud te non inſtructa eſt medicamentorum apparatio. Quid igitur obſtat niſi quod amicitiæ ac beneuolentiæ oblitus es? Melius eſt enim imprudentiæ quàm malitiæ aſcribere. Succenſet igitur iudex, non qui per imprudentiam, ſed qui vltrò ac ſua voluntate ſcelus patrauit. Sed quaſi amiciſſimorum proditio ſit, morbus adhuc eſt mecum, remedium verò tecum: ſed inter loquendum morbo perculſum.

Eidem.

PRæclarus Nemeſius, ob legum peritiam laudatus, maiorem de ſuis moribus admirationem omnibus præbet. Quodnam huius euidentiſſimũ ſignum? Amicorum colere nouit & ſecundis eorum rebus lætatur, cùm autem ſecus quàm oportebat aliquid accidit, dolet. Velim te præter reliquam philoſophiam hoc etiam ſtudere. Studebis autem ſi abſentium & præſentium amicorum memoriam æquè tenueris. Donec enim morbi latent, etiam remedia in medio poſita latent, & dominatur in curatione error. Morbi verò cognitio, quaſi lumen quoddam arte refulget & aperit remediorum copiam, neque dubiam ampliùs & ancipitem curationem adfert. Deſcripſimus morbum, ſi quid meminiſti, quod creber anteceſſerit motus, quod copioſus inſecutus ſit pro ſuperflua humiditate, ſanguinis fluxus, quos ſomnus & cibus morbum alleuarint. Et iterum motus iterúmq; ſanguinis fluxus, & rurſum quies ac cibus, & quod nõ ampliùs receſſerit morb. ſed cõſtrictio vrſerit, primò mediocris, deinde nõ exigua poſtremò intolleranda verberans intúſq; premẽs & vmbiciliũ cõuellẽs. Quid. o. quis

Θεοδώρῳ Σοφιστῇ.

Ἔστω σμυρναῖος Ὅμηρος. Ἀριστείδης κοινωνείτω τῆς φιλοτιμίας. ὁ ἐμὸς ῥήτωρ Θεόδωρος. πάντως ἐμὸν καὶ τοῦτο. εἴγε τὰ τῶν παίδων καλὰ τοῦ πατρὸς εἶναι νομίζεται. ἀλλ' εὖγε τῆς ὑμετέρας εὐφωνίας. δι' ἣν τὴν Ἀθηναίων οἱ παῖδες. οὐ παρὰ τῶν πατέρων, παρὰ δὲ τῶν σύρων ἀττικίζειν ἀξιοῦσι μανθάνειν. οὐκέτι γοῦν εἰς τὸν πειραιᾶ καταίρουσι τῆς ἀκαδημίας ἐρῶντες. οὐδὲ φοιτῶσι παρὰ τὸ λύκειον, παρ' ὑμῖν τὴν ἀκαδημίαν καὶ τὸ λύκειον εἶναι νομίζοντες. ἐγὼ γοῦν ἱκανὰς ἔχω παρ' ὑμῶν τὰς ἀμοιβάς. εἰ κἀμὲ πρόγονον δι' ὑμᾶς ᾄδοντες Ἴωνες, καὶ τῆς ἐμῆς ψυχῆς τὰς εἰκόνας καθαρῶς θεωρήσαντες, ἤδη καὶ τοῦ σώματος τὸ εἶδος ὑπογράφουσιν. ἡ δὲ παρ' ὑμῶν στολή, ἐμοὶ μὲν λαμπρότερον ἀποφαίνει τὸ σχῆμα. σοὶ δὲ καλλίω τὴν φήμην ἐργάζεται.

Γεσσίῳ ἰατροσοφιστῇ.

Ἐμὸς Προκόπιος. γινέσθω δὲ σὸς Ἐλπιδίου παῖς, ὃν ἐβουλόμην ἔτι ζῆν. δι' ὃν ἤκμασε παρ' ἡμῖν ἰατρική. ἀλλὰ γὰρ χαλεπὸν περὶ τοὺς λόγους φιλοπονεῖν καὶ τὸ σῶμα καλῶς διασώζειν. οἷα γοῦν πέπονθα. ἐγὼ μὲν ὑπέγραφον. ὑμεῖς δὲ ὥσπερ θεαταὶ τῶν παθῶν γεγόνατε. ἀλλὰ τί δράσω. βαρεῖαι μὲν αἱ τῶν νεφρῶν ὀδύναι καὶ ὀξεῖαι. ὑμεῖς δὲ βραδεῖς ὡς ἔοικε χάριν διδόναι. ἢ πόσον χρόνον ἐπιστέλλομεν. τῷ δὲ κάμνοντι καὶ ἡμέρα μία πολλῶν ἐτῶν περίοδος. ἢ οὐ φιλοσοφοῦντι τὸ πάθος βαρύτατον. οὐχ ἡ τέχνη παρὰ σοί, οὐχ ἕτοιμος ἡ τῶν φαρμάκων κατασκευή. τί οὖν ἐμποδών. πλὴν εἰ μὴ τῆς εὐνοίας ἐπιλέλησαι. εἴγε ἄμεινον ἀγνοίας μᾶλλον ἢ κακίας κρίνεσθαι. χαλεπαίνει γοῦν ὁ δικαστὴς οὐ πρὸς ἀγνοοῦντα, ἀλλὰ πρὸς ἐθελοκακοῦντα. ἀλλ' ὡς τῶν φιλτάτων προδοσίας. ἔτι μὲν ἡ νόσος παρ' ἐμοί. ἔτι δὲ τὸ φάρμακον παρὰ σοί, ἀλλὰ μεταξὺ λόγου τῷ πάθει πληττόμενον.

Τοῦ αὐτοῦ.

Ὁ καλὸς Νεμέσιος ἀπὸ τῶν νόμων ἐπίσημος ἐπαινούμενος ἀπὸ τοῦ τρόπου μᾶλλον ἔτι θαυμάζεται. τί τούτου κάλλιον σημεῖον. φίλους οἶδε θεραπεύειν. καὶ εὖ πράττουσι μὲν συνήδεται. πεπονθόσι δὲ οἷά περ οὐκ ἔδει συνάχθεται. βουλοίμην δὲ καὶ σὲ πρὸς τῆς ἄλλης φιλοσοφίας καὶ τοῦτο μελετᾶν. μελετήσεις δὲ τῶν ἀπόντων φίλων ἢ τῶν παρόντων μεμνημένος. ἕως μὲν γὰρ τὰ πάθη λανθάνει, καὶ τὰ φάρμακα ἐν μέσῳ κείμενα λανθάνει. καὶ ἀκμάζει περὶ τὴν θεραπείαν ἡ πλάνη. ἡ δὲ τοῦ πάθους διάγνωσις, οἷον φῶς ἐκλάμψαν τῇ τέχνῃ. καὶ διανοίγνυσι τῶν φαρμάκων περιουσίαν. καὶ οὐκ ἔτ' ἀμφίβολον τὴν θεραπείαν συνεισφέρει. ὑπεγράψαμεν τὸ πάθος εἴπου μέμνησαι, ὡς συχνὴ προηγήσατο κίνησις. ὡς πολλὴ συνηκολούθηκεν αὐτῇ τῆς περιττῆς ὑγρότητος, ἡ τοῦ αἵματος ῥύσις, ὡς ἡσυχία καὶ δίαιτα τὸ πάθος συνεσκίαζε. καὶ πάλιν κίνησις καὶ πάλιν αἵματος ῥύσις καὶ αὖθις ἡσυχία καὶ δίαιτα. καὶ ὡς οὐκ ἔτι τὸ πάθος συνεκρύπτετο. ἀλλὰ στύψις ἐπῄειτο. τὸ μὲν πρῶτον μετρία. εἶτ' οὐκ ὀλίγης. τελευτῶσα δ' ἀφόρητος. αἰκιζομένη καὶ ἔνδοθεν ὑβρίζουσα καὶ ὅλως τὸν ὀμφαλὸν σπαράττουσα. τί γὰρ αὖ τις

πρὸς ὑμᾶς ἀποκρύπτοιτο, ἃ δημοσιεύειν ἡ φύσις οὐκ αἰσχύνεται. μᾶλλον ἓν ἔτι καταλείπεται φάρμακον τῷ πάθει μονομαχεῖν. πλὴν εἰ μὴ ὑμεῖς ὑπὸ σοφίας ἕτερον ἐξευρήσετε. ὁ διὰ τῆς πόας συμπεπλεγμένος κύκλος ἣν φυσαλλίδα μάλα σεμνῶς ὀνομάζουσι τῶν ἰατρῶν οἱ παῖδες· τοῦτο γὰρ μόνον ἱκανὸν τὰς τοῦ νοσήματος ἐνέδρας καὶ λόχους ἀμύνεσθαι.

Δωροθέῳ Πρεσβυτέρῳ.

ΟἹ μὲν πολλοὶ τὸ δὴ λεγόμενον ἀνίπτοις ποσὶν ἐπιπηδῶσι τοῖς ἱεροῖς, καθάπερ ὁ τοῦ Πλάτωνος χαλκεὺς ἐκεῖνος ὁ φαλακρός, ὃς ἔτι καπνοῦ καὶ δυσωδίας ὄζων ἐπανίει τῇ δεσποίνῃ. σὺ δὲ ἐξ ἱεροῦ διαβαίνεις εἰς ἱερόν, ἐκ φιλοσοφίας εἰς ἱερωσύνην. ὁ δὲ τὴν ἐπιστολὴν κομίζων, ἱερῶν ἐστιν ὑπηρέτης. οὐκοῦν σὸς οὗτος. ἐρᾷ δὲ ἡσυχίας. καὶ οὐκ οἶδ' ὅπως μαθὼν ὄρος εἶναι θεῷ κεχαρισμένον διὰ ἐρημίαν εἰς ἡσυχίαν ἐπιτήδειον, πρὸς ἐκεῖνο πορεύεται. ἀλλ' ἡ ἐμποδὼν ἀπορία καὶ τῆς ἀπορίας αἱ μηχαναί. ἃς δύνασαι διαλύειν τοῖς ἐν μέσῳ τῆς χώρας ἱερεῦσι κελεύων, μέχρι τοῦ ὄρους διασώζειν τὸν ἄνθρωπον.

Διοδώρῳ Σχολαστικῷ.

ΕἸ πόλεμος ἡμᾶς πρὸς ἀλλήλους πολλὰ κελεύοι λαλεῖν. εἰρήνη δὲ σιγὴν ἐπάγοι τὴν σιωπήν, μόνος ἂν ὁ πόλεμος εἰρήνης κρείττων ἐστί. τί γὰρ χαριέστερον ἢ θαμὰ παιδικοῖς ἀδολεσχεῖν. λύσωμεν τοίνυν ἢ τὴν εἰρήνην ἢ τὴν σιωπήν. μὴ γὰρ τοὺς φίλους. μὴ γὰρ τοὺς ῥήτορας σιωπῶντας ὁ ἥλιος κατίδοι.

Ἐπιφανίῳ Σοφιστῇ.

ΕἸς κάλλος ζῆν ἢ γράφειν μεμελέτηκεν, ᾧ δεδώκαμεν τὴν ἐπιστολήν. δύναται δὲ καὶ εὐδαιμονοῦσαν οἰκίαν τῷ κεκτημένῳ διασώζειν καλῶς. πόσοι γοῦν τοῦ βίου κοινωνὸν ἔχειν ἐβούλοντο. ὁ δὲ τῆς πατρίδος μᾶλλον ἢ περιουσίας ἐρᾷ. πολλὰς δὲ πόλεις καταμαθών, οἷά τις Ὀδυσσεύς, ὡς ὑμᾶς οἷα πρὸς Ἀλκίνουν ἀφῖκται. καὶ ὁ μὲν ὑμῖν διηγήσεται τὴν πλάνην, ὡς ἐκεῖνος ἐκείνῳ. ὑμεῖς δὲ καταλύσαντες τὴν πλάνην, οἴκαδε διασώσατε. ὥσπερ ἐκεῖνοι ἐκεῖνον. μὴ γὰρ διαμάρτοι τῆς δόξης δι' ἐμοῦ πρὸς ὑμᾶς καταφυγών.

Μαρκιανῷ.

ΦΙλεῖν ἐκέλευες. ἐγὼ δὲ καὶ αἰτεῖν ἄρχομαι. ἠδίκηται γὰρ ᾧ δεδώκαμεν τὴν ἐπιστολήν. κατέβαινεν ἐπὶ φοίνικας ὠνήσων. φέρων χρυσίον τὴν τῶν φοινίκων τιμήν. ἀλλ' ὦ τῆς τύχης. οὐδὲ πενίαν ἀκίνδυνον ἔστιν ἀμύνεσθαι. ὁ μὲν γὰρ ἤλαυνεν ἀγαθαῖς ἐλπίσιν ἐποχούμενος. τὴν δὲ φιλίαν ὑποκρινομένων βαρβάρων οἱ λῃστρικώτατοι προσπεσόντες, πληγαῖς τε καὶ στρεβλώσεσι καὶ γυμνὸν τὸ ξίφος ἐπανατείναντες, ἀποσφάττειν ὅλως ἠπείλουν. τέλος δὲ τὸ χρυσίον λαβόντες, ἐκέλευον χάριν εἰδέναι, ὅτι τὴν τύχην οὐ τὸν βίον μετήλλαξε. δίκη δ' ὑπόπτερος οὖσα τῶν ἠδικηκότων ἐνίους συλλαμβάνει. ἤκουσεν ὁ στρατηγός. ἐχαλέπαινε μισῶν ἀεὶ τοὺς κλέπτας μᾶλλον, ἢ τοὺς φανερῶς πολεμίους. καὶ μάλα γε εἰκότως, τοὺς μὲν γὰρ ἔστι πόρρωθεν φυλάττεσθαι, οἱ δὲ τοῖς φίλοις ἐξ ἀφανοῦς

cælet apud vos, quæ in publicum efferre naturam non pudet. Immò vnum adhuc reliquum eſt remedium, cum morbo ſolitariam pugnam facere, niſi vos pro veſtra ſapientia aliud quippiam inueneritis. Ex herba conſtans & complexus orbis, quam Phyſallidem grauiter admodum nominant medici. Hoc enim ſolùm poterit ægrotationis inſidias ac dolos repellere.

Dorotheo Presbytero.

VVlgus illotis, vt aiunt, pedibus ad ſacra accedit, quemadmodū, Platonis faber ærarius ille caluus, qui adhuc fumi plenus & grauiter redolēs ad dominam acceſſit. Tu verò à ſacro ad ſacrum tranſis, à philoſophia ad ſacerdotium. Qui verò tibi literas tradit, ſacrorum eſt miniſter. Igitur hic tuus eſt. Amat otium & tranquillitatem, ac neſcio quomodo cùm didiciſſet montem eſſe deo conſecratum propter ſolitudinem otio conuenientem, ad illum proficiſcitur. Sed obſtat egeſtas, & egeſtatis machinæ, quas poteris reprimere, ſi mandaueris ſacerdotibus, qui ſunt in media regione, vt ad mōtem vſque hominē alant & conſeruent.

Diodoro Scholaſtico.

SI bellum nos multa inuicem cōferre & colloqui iuberet, pax autem ſilentium inferret, ſolū hoc bellum eſſet præſtantius pace. Quid enim iucundius, quàm vnà iocos ac nugas agere. Soluamus igitur aut pacem aut ſilentium. Ne enim amicos, ne oratores taciturnos ſol aſpiciat.

Epiphanio Sophiſtæ.

ELeganter viuendi & ſcribēdi rationem docuit, cui tradidimus hanc epiſtolam. Poteſt etiā domum locupletem patrifamilias rectè gubernare & cuſtodire. Multi igitur vitæ ſociū eū aſciſcere cupiebant. At ille patriæ magis quàm opum deſiderio tenetur. Multis vrbibus perluſtratis & cognitis tanquam Vlyſſes quiſpiam, ad vos quaſi Alcinum iter ſuſcepit. Et hic vobis narrabit ſuam peregrinationem ac errorem, quemadmodum ille illi. Vos autem finem imponentes errori domum deducite, quemadmodum illum ille. Ne enim fallat eum opinio, qui mea opera ſibi apud vos perfugium ſperauit fore.

Marciano.

AMare iubebas. Ego verò etiā petere incipio. Hic enim cui dedimus perferendam epiſtolā iniuria affectus eſt. Deſcendit empturus caricas, ferens aurum pro caricarum precio. Sed ô Fortunā. Ne paupertatem quidem ſine periculis licet propulſare. Ille equitabat bona ſpe vectus. Ex barbaris verò qui amicitiam præ ſe ferunt, latrones immaniſſimi incidentes plagis afficiunt & tormentis cruciāt. ac ſtrictum gladiū intēdētes mortē omnino minati ſunt. Poſtremò pecuniis ereptis, gratiam habere iuſſerunt, quòd fortunam tantùm non etiam vitam amiſiſſet. Dice autem volucris & alata quoſdam ex autoribus iniuriæ comprehendit. Audiit dux. Indignabatur, ſemper maiori odio fures proſequens, quàm hoſtes manifeſtos, & quidem meritò. Hi enim procul venientes caueri poſſunt. Illi verò amicos ex inſidiis aggrediuntur.

aggrediuntur, ac iuſſit vt pauperi damnum Sarciretur, ac tantum reciperet quantum ereptum eſſet. Dux quidem ſic imperauit. At pauper adhuc egeſtatem luget. Sed illis latrocinandi conſuetudinem finite, huic egeſtatem. Saluto magnificentiſſimum ac ſanctiſſimum ducem.

Iuliano Architecto.

ALcini hortum credo te poſſidere, propter eximiam ſollertiam, quam tu quidem, iuueniſti, faber autem perfecit. Ego verò deſcribam oratione. Elyſium enim ſpectaculum. Duo maximi circuitus tabulis & claui s ſunt coniuncti, vt in his, qui extra inſpicati eſſe videantur. In tabulato verò intrinſecus planicies excurrit circà eundem locum, longo quodam curſu. Locus autem certaminis, quem maximus circuitus ambit ibi manens vertitur, & ſimul mouet aliquantulum, alterum circulum qui eſt ad puteum. Huic funes, & Choes impoſiti ſunt viciſſim connexi. At celerrima eſt agitatio. Parui circuli medium anguſtum ſpacium cõtinet, vt ſolùm primitias effluxionis accipiat Maior verò aquæ pars in puteum effuſa, facilè turſus defluxa magno negotio vix reducitur. Hoc igitur corrigendum eſt Qui autem Principiũ inuenit, ei finis non eſt difficilis. Ne enim patiamur tam egregium ſpectaculum alterius indigere ſapientia, ne idem nobis accidat, vt ſi pictor quiſpiam Helenam pulcherrimè pingens, capitis obliuiſcatur.

Epiſtolarum Æneæ Sophiſtæ Finis.

ἐπιτίθεσθαι. καὶ προσέταξεν ἐπανορθῶσαι τῷ πένητος τὴν ζημίαν. καὶ ἀναλαμβάνειν ὅσων ἀφῄρηται. ὁ μὲν προσέταξεν ὁ στρατηγός. ὁ δ᾽ ἄπορος ἔτι πενίαν ὀδύρεται. ἀλλὰ σήσατε τοῖς μὲν τὴν λῃστείαν. τῷ δὲ, τὴν ἀπορίαν. προσφθέγγομαι τὸν μεγαλοπρεπέστατον καὶ θεοφιλέστατον στρατηγόν.

Ἰουλιανῷ Ἀρχιτέκτονι.

ΤΟῦ Ἀλκίνου τὸν κῆπον οἶμαι κεκτῆσθαι διὰ τὴν καλὴν μηχανὴν, ἣν σὺ μὲν ἐξεῦρες, ἐποίησε δὲ ὁ τέκτων. ἐγὼ δὲ γράψω τῷ λόγῳ. ἠλύσιον γὰρ τὸ θέαμα. δύο μὲν οἱ μέγιστοι κύκλοι σανίσι καὶ γόμφοις συμπεπλεγμένοι. ὥστε ἐν αὐτοῖς ἔξωθεν θεωμένοις δοκεῖν εἶναι. ἐπὶ δὲ τῷ καταστρώματι πεδίον ἔνδοθεν ἐκτέταται, τὸν αὐτὸν τόπον μακρόν τινα δρόμον. ὁ δὲ κύκλος συμπεριφέρεται καὶ τοσοῦτον ἀκολουθεῖ, ὅσον τὸ πεδίον κυκλοῦται. ὁ δὲ ἀγῶνος χωρίον ὃ ὁ μέγιστος κύκλος, αὐτοῦ μένων στρέφεται καὶ συγκινεῖ μικρὸν ἕτερον κύκλον τὸν ἐπὶ τοῦ φρέατος. ἐπὶ τούτου τὰ σχοινία καὶ οἱ χόες ἐπίκεινται καὶ μέσοις συνδεδεμένοι. ἀλλ᾽ ὀξυτάτη μὲν ἡ κίνησις. τοῦ δὲ μικροῦ κύκλου τὸ μέσον στενοχωρία. ὥστε μόνας τὰς ἀπαρχὰς τῆς ἀπορροῆς ὑποδέχεσθαι. τὸ δὲ πλεῖον τοῦ ὕδατος ἐπὶ τὸ φρέαρ ἐκχεόμενον, ῥᾳδίως αὖθις καταδυθὲν, μόλις ἀνάγεται. τοῦτο μὲν οὖν ἐπανορθωτέον. τῷ δὲ τὴν ἀρχὴν εὑρόντι, οὐ χαλεπὸν τὸ τέλος γενέσθαι. μὴ γὰρ περιίδωμεν οὕτω καλὸν θέαμα τῆς ἑτέρας σοφίας δεόμενον. μὴ ταυτὸν πάθοιμεν ὥσπερ ἂν εἴ τις ζωγράφος τὴν Ἑλένην εἰς κάλλος γράφων τῆς κεφαλῆς ἐπιλάθοιτο.

Τῶν Αἰνείου τοῦ σοφιστοῦ ἐπιστολῶν Τέλος.

ΕΠΙΣΤΟΛΑΙ ΠΡΟΚΟΠΙΟΥ ΤΟΥ ΣΟΦΙΣΤΟΥ.

EPISTOLAE PROCOPII SOPHISTAE.

Nephalio.

VEſtris literis aceptis magnó gaudio ſum affectus. Cùm autem in eas opus producere vellem, nõ habui miniſtrantem prõptitudini facultatẽ. Caoſſam verò, non ego fortunã dixerim, & præſertim apud vos, ſed omnino Dei prouidentiam, quæ pro libito omnia noſtra regit & gubernat.

Philippo Fratri.

BOnis vitis ſufficiunt ad amicitiæ contractionẽ mores. Sed quoniam neceſſe eſt vt aliqua detur occaſio, qua primùm ad ſermones veniendum eſt, deinde facto periculo admirari conuenit, huius rem gratia erudito Theon· Epiſtolam tradidi. Primùm enim ob hanc eum beneuolè & libenter videbis. Poſtea verò ſuperuacaneas ducens literas, ipſius cauſſa hominem miraberis.

Νηφαλίῳ.

ΗΣθην δεξάμενος τὴν ὑμετέραν ἐπιστολήν. εἰς ἔργον δὲ ταύτην ἄγειν βουλόμενος, οὐκ εἶχον ὑπουργοῦσαν τῇ προθυμίᾳ τὴν χρείαν. τὸ δ᾽ αἴτιον τύχην μὲν οὐκ ἄν ποτε εἴποιμι καὶ μάλιστα πρὸς ὑμᾶς, θεοῦ δὲ πάντως προνοίαν κυβερνῶσαν ὡς βούλεται τὰ ἡμέτερα.

Φιλίππῳ ἀδελφῷ.

ΤΟῖς ἀγαθοῖς τῶν ἀνδρῶν ἀρκεῖ μὲν εἰς σύστασιν φιλίας ὁ τρόπος. ἀλλ᾽ ἐπειδὴ καὶ ἀφορμὴν δεῖ προσεῖναί τινα, δι᾽ ἧς δεῖ πρῶτον εἰς λόγους ἐλθεῖν, εἶτα πειραθέντας θαυμάζειν, τούτου χάριν ἐπέδωκα τῷ λογίῳ Θέωνι τὴν ἐπιστολήν. πρῶτον γὰρ διὰ ταύτην ὄψει μὲν ἀσμένως αὐτὸν ὅλως, ὕστερον δὲ περιττὰ νομίσας τὰ γράμματα, δι᾽ αὐτὸν οἶμαι θαυμάσεις τὸν ἄνδρα.

Καισαρείῳ καὶ Εὐβούλῳ.

Πυθαγόρας ὁ σάμιος. τοῦτον φασὶν ὡς οὐ μέχρι παντὸς ἐτίμα σιγήν. ἀλλ' ὥριστο χρόνος αὐτῆς μεταβολὴν ἄγων ἐπὶ λόγους καὶ μετεβάλλοντο. ἀλλ' οὐδὲ παρ' ὃν ἐσιώπων χρόνον, ἔδει δήπουθεν μηδὲν παρ' ἀλλήλων εἰδέναι· ἀλλὰ τὰς μὲν γλώττας εἶχε σιγή· ἡ δὲ χεὶρ διηκονεῖτο τῇ γλώττῃ. καὶ διὰ τῶν γραμμάτων πάλιν ἐφθέγγοντο. ὑμεῖς δὲ εἰ μὲν τὸν Πυθαγόραν ζηλοῦτε, καὶ δὴ πέρας ἔστω σιγῆς. λύσει γὰρ αὐτὴν εἰκότως ὁ χρόνος. εἰ δέ τι πλέον φέροντες ἥκετε, σκληροί τινες ὑμεῖς καὶ ἀντερᾷν οὐκ εἰδότες. καίτοι τὸν Ἀλφειὸν λόγος ποταμὸν ὄντα καὶ τοσοῦτον Ἀρεθούσης ἀπῳκισμένον, μέχρι καὶ νῦν ἐκ Πελοποννήσου τὴν Σικελίαν ὁρᾶν. καὶ διὰ μέσης θαλάττης ἀγόμενον, σκοπεῖν πῶς καλός τε εἴη καὶ διαμένοι γλυκὺς τῇ πηγῇ. ἡ δὲ δέχεται τὸν ἐραστὴν κεκμηκότα· καὶ δίδωσιν ἑαυτήν. καὶ ἴδοις ἂν τό τε ξένην Ἀφροδίτην ποταμοῦ καὶ πηγῆς. ὑμεῖς δὲ οὔτε φοιτᾶτε πρὸς ἡμᾶς τοῖς λόγοις, οὔτε φοιτῶντας ἀμείβεσθε. ἀλλὰ γὰρ, δοίητε τέλος ἐγκλημάτων ἡμῖν· εἰ δὲ μή, ἀλλ' οὐ βούλομαι λέγειν ἵνα μὴ λυπήσας ἀπέλθω.

Γερμανῷ.

Ὅσον ἀγαθοὶ λυποῦσιν ἄνδρες πεῖραν αὐτῶν παρέχοντες καὶ ἀφιστάμενοι τῶν ἐγνωκότων, νῦν ἔργῳ μαθὼν καὶ διηγοῦμαι τοῖς ἄλλοις· ὑμᾶς γὰρ ᾔδειν μὲν καὶ πρὶν εἰς λόγους ἐλθεῖν. εἰ δὲ θαυμάζεις ἐπόθεν, διδασκάλους εἶχον ὅσοι πειραθέντες ἐθαύμαζον. ὡς δὲ κἀγὼ συμμίξας ἐμάνθανον, χάριν μὲν ὡμολόγουν τῇ τύχῃ. πάλιν δὲ ταύτην ἐμεμφόμην εἰ τοσούτου γεύσασα πράγματος ἄκρῳ δακτύλῳ φασὶν, εἶτα τὴν ἡδονὴν ἀφαιρήσεται. καὶ οὐ τοσοῦτον εὔφραινε τὸ παρὸν ὅσον αἱ τοῦ μέλλοντος ἐλπίδες ἐλύπουν. ἐλογιζόμην γὰρ ὅτι δὴ θᾶττον ἡμᾶς οἰχήσῃ καταλιπών. τοῦτο καὶ γέγονε καὶ συμβὰν λυπεῖ. καὶ ἀποροῦμαι τῷ πράγματι. σὺ δὲ φιλονεικεῖς ἐπὶ τῷ μείζονι ἡμῖν ἐξάπτειν τὸν ἔρωτα καὶ πόρρω γινόμενος. τῇ γὰρ εἰς ἐμὲ σπουδῇ καὶ τὰς ἐμὰς ἐλπίδας ὑπερβάλλων ἐνίκας· ἀλλ' εἴθε γάρ τις θεῶν εὐμενὴς ἡμῖν γένοιτο· καὶ σὲ θᾶττον ὡς ἡμᾶς αὖθις ἐπάξοι.

Ἰωάννῃ.

Εἰ τῆς περὶ φίλους ὀλιγωρίας ἦσαν γραφαὶ, καί μέ τις εἰσῆγεν εἰς τὸ δικαστήριον αὐτὸ δὴ τοῦτο κατηγορεῖν, ὡς ἀδικοίην οὐ μετρίως, ἐν οὐδενὶ φίλον ποιούμενος, οὐκ ἂν ἄλλως ᾤμην τὴν νικῶσαν λαβεῖν, ἢ σὲ παρεχόμενος μάρτυρα τὸν οὐκ οἶδ' ὅπως ὀφθέντα κατήγορον. οὕτω μοι παρ' ἐλπίδας ἐξέβη τὰ παρὰ σοῦ. εἰ βραχύ τι σε πρᾶγμα διϊστάζειν ἔστ' ἐμοὶ παρεσκεύασεν. ἐγὼ γὰρ οἶδα καὶ μὴ φίλους πολλάκις τοῖς γράμμασι βάλλοντας ὅταν λανθάνειν ἐθέλωσι καὶ φίλους σιωπῶντας, ὁπόταν τῇ μνήμῃ τῶν ἀπόντων ἀρκούμενοι πρὸς ἑτέροις ἠσχόληνται. οὐκοῦν οὔτε τὸ γράφειν εὐνοίας, οὔτε τὸ σιωπᾶν ἐγκλήματος, μὴ τῆς γνώμης βεβαιούσης ἀμφότερα. οὐκοῦν ταῦτα παρεὶς, ὁπόσα δὲ σκόπει. εἰ μηδέν μοι τῶν ὑμετέρων δίδωσι λήθην, εἰ διὰ παντὸς ἄγω λόγου καὶ θαύματος.

Cæſario & Eubulo.

PYthagoram Samium aiunt, non ſemper atq; in omne tempus ſilentium coluiſſe. Sed definitum erat ſpacium, quod viciſſitudinem ad facienda verba adferret, & quo mutarentur. Sed ne illo quidem tempore quo ſilentium agebant, oportuit nihil à ſe mutuò ſciſcitari, ſed linguam tenebat ſilentium. At manus inſeruiebat linguæ, & rurſus per literas loquebantur. Vos autem ſi Pythagoricos imitamini, ſit etiam terminus quidam ac finis ſilentij. Merito enim tempore finẽ accipiet. Sin plus quiddam adfertis duri vos eſtis & redamare neſcij. Atqui Alpheum fama eſt, cùm fluuius ſit, & tanto interuallo ab Arethuſa diſiunctus, vſque ad hoc tempus etiã ex Peloponneſo Siciliam ſpectare. & per medium æquor ductum videre vt pulcher ſit, & permaneat dulcis ad aquam fontis. Illa verò recipit amatorẽ defeſſum, ac præbet ſeipſam, ibiq; videres peregrinam Venerem fluuij ac ſcaturiginis. Vos autem neque ſermonibus ad nos accedetis, neque accedẽtibus parem gratiam refertis. Sed enim, præbeatis finem criminum nobis. Sin minùs. At nun dicam, ne vobis offenſis diſcedam.

Germano.

QVantum dolorem adferant boni ac probi viri, ſi cùm ſui dederũt experiẽtiã, deinde ab his quibus cogniti ſunt, diuellantur, nunc reipſa doctus etiam aliis commemoro. Vos enim noram quidem etiã antè quàm ad colloquia veniſſem. Quòd ſi miraris vnde præceptores habebam, qui experti vos admirabantur. Cùm verò etiam ipſe communicatis rebus ac ſermonibus didiciſſem, gratias quidẽ agebam fortunæ. Rurſus eam accuſabam, ſi tanta re guſtata ſummo, quod aiunt, digito, confeſtim ademptura voluptatem eſſet. Neque tanta me voluptate præſentia perfundebant, quantum mæroris futuri temporis metus apportabat. Cogitabam enim. Statim nobis relictis diſcedet. Hoc & contigit & factum dolorem peperit, atque re dubius pẽdeo quid agam. Tu verò contendis, vt magis magiſque nobis amorem incendas etiã procul remotus. Tuis enim officiis erga me, ſpem quoque meam longè vincebas. Verùm vtinam Deus quiſpiam nobis propitius ſit, & te mox ad nos reducat.

Ioanni.

SI conſtituta eſſent iudicia de negligentia erga amicus, & me quiſpiam in iudicium adduceret, atque hoc ipſo nomine accuſaret, quòd peccarem non mediocriter, pro nihilo ducens amicum non aliter me cauſſam vincere poſſe arbitror, quã ſi te adhiberem teſtem, qui neſcio quomodo nunc accuſatoris perſonam ſuſcepiſti. Adeò præter omnẽ ſpem & expectationem hoc mihi abs te contigit, ſi res nullius momenti te mihi aduerſarium effecit. Ego verò ſcio etiam eos qui non ſunt amici, frequenter literis interpellere, ſi latere velint, & eos qui ſunt amici, ſilentium agere, cùm abſentiũ memoria contenti, aliis negotiis occupati & diſtricti ſunt. Itaque neque ſcribere, in amore: neque tacere, in crimine ponitur, cùm nõ vtraq; animo ac ſentẽtia ſtatim cõfirmẽtur. His igitur omiſſis, ſic animo volue. An me nihil in veſtrarum obliuionem poſſit adducere, an ſemper oratione & admiratione celebrem

celebrem, quaſi memoria glorians, an Ioannis nomen appellans, ſemper etiam iucundum in oratione apponam, hæc animo conſiderans magis amabis me tacentem, quàm loquentem alium, etiamſi Dodones templum ei cum lingua ſonet. Verùm ne hanc te excuſationem habere putans, taceas, caue, ne contraria dicamus.

Philippo.

LOngo nobis tempore ſiluiſti, neque ferre hanc rê poſſum. Sic enim cogita. Hyems erat, & hercle non mediocriter ferebamus. Apparuerunt hirundines, & cum harum aduentu nihil locutus es. Nunc cicadæ canunt & præter ſpem nobis tuum ſilentium eſt. Si hæc vti dolorê nobis moueas facis, neſcimus quid acciderit, vt dolorem volueris mouere. Tamen non arbitror te maius ſupplicium exigere potuiſſe. Sin à priſtino ſtudio ad negligentiam ac pigritiam conuerſus es, peccas in cognationis legem, & amicitiæ præcepta tráſgrederis. Quòd ſi non abſurdum dictu ſit, fortè quiſpiam te tui ipſius accuſatorem factum eſſe affirmet. Quæ enim in noſtram taciturnitatem, conferre ſolebas, his ipſe iam captus & implicatus eſſe videris. Et quàm abſurdum eſt orationem quæ loquendum ſuaſerit, eius qui perſuaſus ſit ſilentium in ſe recipere atque imitari. Sed vide in poſterum, vt & ſophiſtam me voces, & orationi iocos ac ſales miſceas. Nihil hoc omnino moleſtiæ nobis faceſſet & quicquid dixeris feram moderatè, ſi loquentem ſolum audiam.

Eidem.

TEmpus ob taciturnitatem moleſtum, finê habet & deſiit aliquando. Ego verò gloriari volens ſpe tuarum literarum, mecum animo cogito, & præteritorum memoriam repeto. Quantus quâtus enim nobis ſub te ſilente exactus eſt annus totus hyems fuit. Immò nobis optatiorem etiã veram hyemem facis, quoniam in illa nobis conſolationê adfert, quod ſilentium temporis neceſſitati refertur acceptum. Æſtate verò nobis relinquitur lachrymari, quòd nulla à te ratio ducitur tui amantium. Nam abeſſe neceſſitatem, te verò rurſus tacere, id eiuſmodi opinionem affert vt contemni nos exiſtimemus. Sed ô amores vniuerſi quæſo ducite hunc in experientiam rerum noſtrarum, vt ſentias, quã graue ſit, amantem contemni ac negligi.

Zacharia.

FInem impone ſilentio poſt hyemem. Nam ambo quidê ſunt grauia ac moleſta. At ſi te loquêtem ſemper audiendi facultas daretur, hyems non in tantas moleſtias nos coniiceret. Sed enim toto flumine tuum fontem nobis immitte. Vicit enim is apud me præceptum ex vere voluptatem, quanquam ſit in hoc nouum lumen, quanquam in hoc hirundines impleant aures cantando, mea quidem ſententia celebrantes, ac laudibus vehentes temporis iucunditatem, & roſæ progrediêtes è bacca, medium quoddam & mixtum ſpectaculum exhibent, & in recordationem veterum fabularum ducunt, vt Adonis erat formoſus & huius amore laborabat Venus, & quæ pepererat amores, neſcio, quomodo amare diſcebat. Fruſtrata autem Amaſio, ferit pedem, ac roſam exhibet, ſed nobis amantibus ad tuã vocem hæc exigua putantur.

ὥσπερ ἐπὶ τῇ μνήμῃ καλλυνόμενος, εἰ τὸν Ἰωάννην εἴποιμι, τὸ γλυκὺ πάντως τῷ λόγῳ προσθήσω, ταῦτα σκοπῶν, ἀγαπήσεις σιωπῶντα μᾶλλον ἢ φθεγγόμενον ἕτερον, εἰ καὶ τὸ Δωδώνης αὐτῷ χαλκεῖον ἐπὶ τῆς γλώττης ἠχεῖ. ἀλλ' ὅπως μὴ ταύτην ἀπολογίαν ἔχειν ἡγούμενος, σιωπήσεις, ὡς ἂν μὴ τἀναντία φθεγξώμεθα.

Φιλίππῳ.

ΜΑκρὸν ἡμῖν ἐσιώπησας χρόνον καὶ τὸ πρᾶγμα φέρειν οὐκ ἔχω. σκόπει γάρ. χειμὼν ἦν καὶ οὐ μετρίως ἐφέρομεν. ἀφίκοντο χελιδόνες καὶ μετὰ τούτων ἐφθέγξω. καὶ νῦν ᾄδουσι τέττιγες. καὶ παρ' ἐλπίδας ἡμῖν ἡ σιγή. εἰ μὲν πρὸς λύπην ταῦτα, ἀγνοοῦμεν ὅ,τι πεπονθὼς ἐλύπησας. ὅμως οὐκ ἂν οἶμαι μείζω τιμωρίαν λαβεῖν. εἰ δὲ τῆς πάλαι σπουδῆς εἰς ῥαθυμίαν μετέστης, ἀδικεῖς μὲν συγγενείας νόμον, παραβαίνεις δὲ φιλίας θεσμόν. εἰ δὲ μὴ δυσχερὲς εἰπεῖν, τάχα τις φαίη καὶ σαυτοῦ κατήγορον γεγενῆσθαι. οἷς γὰρ ἡμῖν σιωπῶσιν ἐπέπληττες, τούτοις ὤφθης αὐτὸς ἁλισκόμενος. καὶ πῶς ἔχοι λόγον τὸν πεπεικότα λαλεῖν, τὴν τοῦ πεισθέντος μεταλαμβάνειν σιωπήν. ἀλλ' ὅρα λοιπὸν καὶ σοφιστήν με καλεῖν καὶ παίζειν ἅμα τῷ λόγῳ. οὐδὲν τοῦτο πρᾶγμα πόνου. καὶ ὅ,τι ἂν λέγῃς, οἴσω μετρίως, εἰ φθεγγομένου μόνον ἀκούσομαι.

Τῷ αὐτῷ.

ΗΜὲν λυποῦσα διὰ τὴν σιγὴν ὥρα, καὶ δὴ πέρας ἔχει καὶ πέπαυται. ἐγὼ δέ τι μέγα φρονεῖν ἐθέλων ἐλπίδι γραμμάτων τῶν παρὰ σοῦ, ἐμαυτοῦ γίνομαι καὶ μνήμην λαμβάνω τῶν παρελθόντων. ὅσον γὰρ τοὐπὶ σοὶ σιωπῶντι τὸ πᾶν ἡμῖν ἔτος, ἔτος χειμὼν. μᾶλλον δὲ καὶ ποθεινότερον ἡμῖν τὸν ὄντως χειμῶνα ποιεῖς. ὅσον ἐν ἐκείνῳ μὲν φέρει παραμυθίαν, τὸ τὴν σιγὴν ἀναφέρειν τῇ τῆς ὥρας ἀνάγκῃ. τοῦ δὲ θέρους λοιπὸν ἡμῖν δακρύειν, ὅτι μηδεὶς παρὰ σοὶ λόγος τῶν ἐρώντων. τὸ γὰρ ἀπεῖναι μὲν τὴν ἀνάγκην. σὺ δὲ πάλιν σιγᾶν, ἡμῖν τὸ καταφρονεῖσθαι παρέστησε δόξαν. ἀλλ' ὦ πάντες ἔρωτες εἰς πεῖραν ἄγετε τοῦτον τῶν ἡμετέρων. ὅπως αἴσθησιν λάβῃ ποτὲ, δεινὸν ὅσον ὑπάρχειν ἐραστὴν παρορώμενον.

Ζαχαρίᾳ.

ΛΥσον ἡμῖν μετὰ τοῦ χειμῶνος τὴν σιωπήν. ἀμφότερα μὲν γὰρ ἐπαχθῆ. εἰ δὲ ἦν διὰ παντός σου λαλοῦντος ἀκούειν, ὁ χειμὼν ἂν ἡμᾶς οὐδὲν ἐλύπει τοσοῦτον. ἀλλὰ γὰρ ὅλῳ ῥεύματι τὴν σὴν ἡμῖν ἐπάφες πηγήν. νικᾷ γὰρ αὐτὴ παρ' ἐμοὶ τὴν ἐκ τοῦ ἔαρος ἡδονήν, εἰ καὶ νέον ἐν τούτῳ τὸ φῶς. εἰ καὶ χελιδόνες ἐν τούτῳ πληροῦσι τὰς ἀκοὰς τῇ ᾠδῇ, ἐμοὶ δοκεῖν ὑμνοῦσαι τὴν ὥραν. καὶ τὰ ῥόδα τῆς κάλυκος ἀναδυόντα, μέσην τινὰ καὶ κεκραμένην παρέχει τὴν θέαν. καὶ εἰς μνήμην ἄγει διηγημάτων ἀρχαίων. ὡς ἦν Ἄδωνις καλὸς, καὶ Ἀφροδίτη τοῦτον ἐζήτει. καὶ τεκοῦσα τοὺς ἔρωτας, οὐκ οἶδ' ὅπως ἐρᾶν ἐπαιδεύετο. τῆς δὲ παιδικῶν ἀποτυχοῦσα, πλήττεται τὸν πόδα καὶ φαίνει τὸ ῥόδον. ἀλλ' ἡμῖν ἐρῶσιν ὡς πρὸς τὴν σὴν φωνὴν, μικρὰ ταῦτα νομίζεται.

Τῷ αὐτῷ.

Ἰδού σοι καιρὸς πάλιν ἀπαιτῶν τὴν πρὸς τοὺς δεομένους ῥοπήν. ὁ δὲ τὴν ἀφορμὴν πάλιν διδοὺς, πάλιν εἰμὶ αὖθις ἐγώ. δῆλον δὲ οἶδ' ὅτι χάριν ὁμολογήσεις, ὅτι περ δὲ ποιεῖν εὗρες. καὶ ὅτι σοι τοῦτο γέγονε δι' ἐμοῦ. χαίρεις γὰρ, ὅπως εὖ ποιῶν, ἢ παρέχοντος ἑτέρου. καὶ τὸν τὴν ἀφορμὴν δεδωκότα κἂν εὐεργέτην προσειπεῖς. ὡς τοίνυν σοι χάριν δώσων μᾶλλον ἢ ληψόμενος, οὕτω σε μνήσομαι. ἀλλὰ τί τὸ πρᾶγμα; γελῶν δὲ οἶδ' ὅτι πυνθάνῃ. Ἀλέξανδρός τις παρ' ἡμῖν ἐπὶ ξύλοις τὴν ἐμπορίαν ποιεῖται. κἀντεῦθεν ἔχει τὸν βίον. οἷα δὲ εἰκὸς τοὺς τοιούτους, κοινωνίαν τινὰ ποιεῖται τοῦ πράγματος Εὐθύμιος αὐτῷ τοὔνομα. ὅπως ὁ μὲν πέμποι τὰ δοκοῦντα, ὁ δὲ μένων δέχοιτο. καὶ τὴν ἐμπορίαν οὕτω ποιῶνται. οὗτος τοίνυν τὴν Ῥοδίων οἰκεῖ παρ' ὑμῖν, ὦ Ζεῦ. καὶ ὅμως φησὶ μὴ δίκαια πάσχειν. τὸν δὲ ἀδικοῦντα Ῥωμαίων γλώττῃ κορισσῶνα εἴποις. νομοθετεῖ γὰρ μὴ εἰωθότα. καὶ καινοτέρου κέρδους ἀφορμὴν μηχανᾶται. ὥσπερ οὐχ ὑμῶν ἀρχόντων τῆς Ῥόδου. ἀλλὰ ταῦτα μὲν ὡς εἰκὸς ὑμῶν οὐκ εἰδότων. ἐκεῖνος παυέσθω μαθόντων. ὅπως ἐγὼ μέν σοι χάριν εἰδείην, ὁ δὲ τυχὼν τῶν δικαίων ἐμοί. διηγούμενος ὡς ἠδίκητο καὶ πέπαυται.

Φιλίππῳ.

Πάλιν γράμματα παρ' ὑμῶν καὶ πάλιν τὸ σιωπῶντας ὑμᾶς. καὶ δέδοικα μὴ καὶ φλυαρίαν τινὰ καταγνῷς. παντελῶς γὰρ σιγῶν, καὶ τοὺς ὁπωσοῦν λαλοῦντας φλυάρους εἶναι δοκεῖς. εἰ δὲ σὺ τοὺς φίλους ἀπὼν παρορᾷς, πᾶσι τοῖς ἀποῦσι λείπεται τὸ σιγᾶν. νῦν οὖν ἡμῖν πάλιν ἐκεῖνος καὶ φθέγγου πρὸς ἡμᾶς. οἱ γὰρ ἀγαθοὶ τὸ προσῆκον ποιοῦντες, παράδειγμα πρόκεινται τοῖς πλημμελεῖν βουλομένοις. σὲ δ' ἂν βουλοίμην καὶ γνώρισμα φέρειν ἀνδρός. μηδ' ἄν, εἴ τι γένοιτο τῶν προσηκόντων, ὑπερορῶντος. πρὸς δὲ τὴν χρείαν τῶν ὑμῖν γραφέντων οὕτω σπουδαίους ἑαυτοὺς ἐπιδείξατε, ὡς ἡμῖν ταύτην ἀνύοντες. ὀκνῶ γὰρ εἰπεῖν ὡς καὶ πλείονα τὴν προθυμίαν γενέσθαι βούλομαι παρ' ὑμῶν. αὐτὴ γὰρ πλείστων χαρίτων μίαν ταύτην ἐκτινόμεθα τῷ δεομένῳ τῆς χρείας.

Στεφάνῳ καὶ Ἰλασίῳ.

Πάλιν ὑμῖν ἐκ τῶν ἀμπέλων ἰχθῦς. καὶ ἀγροὶ τὰ τῆς θαλάσσης ὡς ἔοικε χορηγοῦσι. καὶ ἅμα χωρία καὶ θάλατταν ὑμῖν ὑπάρχει τρυγᾶν. καὶ νῦν μὲν βότρυς λαμβάνειν, νῦν δὲ πάλιν ἰχθῦς. καὶ ἔοικεν ἡ θάλαττα τοὺς ὑμετέρους τρόπους μιμεῖσθαι. ὑμεῖς τε γὰρ προθύμως χορηγεῖτε, κἀκείνη πρὸς τὴν ὑμετέραν ὑπουργεῖν ἐθέλει φιλοτιμίαν. ἡ δὲ παρ' ἡμῖν θάλαττα ἴσα καὶ ἠπειρώτας ἡμᾶς ἀπεργάζεται. πλὴν ὅτι παρέχει τὰ κύματα, καὶ χορηγεῖ τὴν ἐξ αὐτῶν ἀπειλὴν ἰχθύων χωρίς.

Ἰωάννῃ.

Ὁ λογιώτατος Διόδωρος, λύσις ἡμῖν ἔστω τῆς πρὸς ἀλλήλους σιγῆς, καὶ σὲ γράφειν ἀπαιτῶν, καὶ τὰ παρ' ἡμῶν σοι διδούς. φίλος μὲν γὰρ οὗτος ἐμός. ἤδη δὲ πρὶν ἰδεῖν καὶ σὸς ἐτύγχανεν ἐραστής. οἱ γὰρ ἐξ ἡμῶν λόγοι τὰ περὶ σοῦ διηγούμενοι, καὶ πρὸ τῆς θέας ἐποίουν τὸν ἔρωτα. ὁ γὰρ ἀνὴρ ἐρωτικός ἐστι τῶν καλῶν

Eidem.

EN tibi, iterum tempus quod requirat erga egenos opem & auxilium. Qui vero occaſioné iterum dedit, iterum ego ſum. Itaq; ſat ſcio dupliciter gratias ages, & quòd bene merendi viam adeptus ſis, & quod idem tibi per me contigerit. Etenim revera tu maius gaudium capis beneficium collocãdo, quàm accipiendo cæteri, & eum qui occaſioné dederit benefactorem etiam audeas appellare. Itaque vt magis daturus quàm accepturus beneficiũ, ita glorior. Sed quæ res ea eſt, ſat ſcio ridens interrogabis. Alexander quidam apud nos lignis mercaturam excercet, & inde victum habet. Vt autem plerunque ſolent huiuſmodi ſocietatem negotij cum eo coit, quidam Euthymius nomine, vt alter mitteret quæ conſtruxiſſent, alter manens acciperet, & ita mercaturam facerent. Hic igitur in Rhodiorum ſolo apud nos habitat, ô Iuppiter, & tamen ſibi iniuriam fieri dicit. Autorem autem iniuriæ Romanorum lingua Coriſſonam dixeris. Statuit enim noua quædam & inſolita, atque noui lucri occaſionem machinatur, prorſus quaſi vos non imperium Rhodi gereretis, ſed hęc, vt credibile eſt, vobis neſcientibus. Itaque coërceatur poſtquam didiceritis, vt ego quidem tibi gratiam habeam, ille verò cùm ſuũ ius tenuerit mihi, cõmemorans quemadmodum iniuriam acceperit, & repulerit.

Philippo.

ITerum à vobis literæ, atque iterum vos tacetis. Et quidem vereor ne ineptiarum etiã nos damnes. Prorſus enim tacens, eos quoque qui quomodocunque loquuntur, ineptos ac multiloquos eſſe putas. Quòd ſi tu abſens amicos negligis & contẽnis abſentibus omnibus reliquũ eſt vt taceant. Itaque fac vt rurſum ſis ille & nos alloquaris. Boni enim facientes officium, exemplum propoſitũ ſunt his qui delinquere volunt. Te verò velim etiam exemplar ferre hominis, qui ne tũ quidé ſi quid accidat, quod ſit iuſtum & æquum, negligat. Ad vſum autem vobis ſcriptum ita ſtrenuos vos ac diligẽtes præbete, quaſi nobis eum præſtantes. Vereor enim dicere, me velle vt maior à vobis alacritas & promptitudo adhibeatur. Pro plurimis enim beneficiis, vnum hoc rependimus opus habenti.

Stephano & Iliſo.

ITerum vobis è vitibus piſces, & agri marinos fœtus, vt videtur, adferunt. Prædia atque mare iuxta vos poteſtis vindemiare, ac iam botros accipere, aliàs iterum piſces. Equidem mare videtur mores veſtros imitari. Vos enim paratis animis rem peragitis, atque illud ad veſtrum laborem ac liberalitatem vult reſpondere. Noſtras autem mare idem nobis facit, etiam continentem incolentibus, niſi quòd fluctus mouet, & ſuas minas abſque piſcibus perficit.

Ioanni.

SApientiſſimus Diodorus finem imponat mutuo inter nos ſilentio, & abs te ſcripta flagitans & tibi noſtra reddens. Hic enim in mea amicitia eſt. Iam autem antè etiam te quàm videret, dilexit. Noſtri enim ſermones de te habiti, etiam ante aſpectum incitauerunt amorem. Nam eſt homo natura bonorum virorum amans,

& probos

& probos ſumma cum diligētia & cura inueſtigat, quaſi metuens, ne quis cū eiuſmodi ſit, lateat. Quid verò me hæc opus eſt tibi dicere. Non enim dubium eſt, quin, cum experientia didiceris, inferiorē ac minus dignam hanc laudem ſis exiſtimaturus, & me inualidum oratorem dicas, qui ne ea quidem conſequi verbis potuerim, quæ veritas ipſa probaret.

Euſebio.

SI amantibus etiam vna dies ſenium affert, quanto iam tempore me ſenuiſſe putas, ita tui deſiderio affectum. (Quem enim tua conſuetudo non in amorem pellicit.) tanto verò tempore etiam aſpectu priuatum. Sed rectè facis, qui miſſis literis moleſtiam leues, ſapientes medicos imitatus, qui cùm ſanare non poſſunt, ſolùm mitigant ac leniunt morbū. Talem nobis te præbes, dum pro teipſo literas exhibes. Iam igitur vehementes, & planè captos amatores imitor, & amorem per ſimulachrum ac imaginem conſolor. Egregio verò Megalo te quidem natura me ars parentem dedit. Itaque per me præſt[illegible] eſſe f[illegible]ium iudica. Quòd ſi quid præter[illegible]itta[illegible], ſic ſtatue me id facere non potuiſſe. Et quidem fortunam incuſo, quòd non poſſim omnia, vt tibi gratificaret tantùm, quant[illegible] etiam vellem. Sed o dij ne fruſtremur ambo ſpe quam de puero concepimus.

Iaſoni.

SI res amicorum vult communes eſſe vetus prouerbium, & mihi amicus eſt, ſumma præditus ſapientia, & eruditione Petrus, tuus etiam meritò cenſeatur. At verò iure hunc d[illegible]gam, ſæpe probabit experientia. Quod ſi videbis, hactenus mores teſtabitur. Is veſtræ quadam in re opis indigens, & magni faciens ſe id à vobis impetrare, me ad hanc epiſtolam ſcribendam impulit, arbitratus me tantùm apud vos poſſe vt meritò nunquam à vobis repulſam ferre debeam. At ſi veram exiſtimat, tu ampliùs ſententiam eius confirma. Sin falſa, ſic etiam ei tuam operam accommodabis, ne apud alios mutuam inter nos amicitiam fing[illegible]re ſaltem declaremur. Habet autem iuſtitiam quoque ipſam pro ſe facientem, quæ tibi quamuis nemine petente grata & amica eſt. Cùm verò poſſis iniuriam repellere, negligentem in eo eſſe, idem habet momentum vt ſi tu ipſe facias, quòd à tuo animo abhorret. Omnino autem aſſentier[illegible]s, aut meis literis, aut præſentiæ morem gerens. Vna ſola re moleſtum fore ſcias, ſi virtutem cunctando tardiorem aut hebetiorem declaraueris.

Philippo Fratri.

HVi quantam vim poſſident, & quantam mutationem adferunt amores, ac reipſa probant nihil eſſe quod ſe plus poſſit. Videntur enim dicere. Maxime omnium infenſi ſumus faſtui ac ſupercilio? Aſpernitur quiſpiam aut negligit amores. Hi mutant ordinem & grauis ille confeſtim in amore [illegible]idit ac humiliter loquitur. Sed quorſum hæc dico? Iam quidem planè intellig[illegible] ac rides. At tamen [illegible]orum honoris cauſſa dicetur. Etenim toto impetu tu deſiderium in me irruens, omnem ſibi cogitationem ſubijciebat,

καὶ πολυπραγμονεῖ τοὺς χρηστούς· ὥσπερ δεδιὼς μή ποτέ τις τοιοῦτος ὢν διαλάθῃ. καὶ τί σοι περὶ τούτου λέγειν με δεῖ. πάντως γὰρ τῇ πείρᾳ τοῦτο μαθὼν, ἐλάττω νομίσεις τὸν ἔπαινον. καὶ ἀσθενῆ με καλέσειας ῥήτορα, ὡς οὐδὲ τὰ προσήκοντα λέγειν δυνάμενον.

Εὐσεβίῳ.

ΕΙ τοὺς ποθοῦντας καὶ μία γηράσκειν ἡμέρα ποιεῖ, ἐξ ὅσου με χρόνου γεγηρακέναι δοκεῖς. οὔτε μέν σου βλέπεσθαι τοῦ πόθου (τίς γὰρ πειραθεὶς οὐκ ἐρῶν ἀπαλλάττεται) τοσοῦτον δὲ χρόνον ἐστερημένον τῆς θέας. ἀλλ᾽ εὖ γε ποιῶν τοῖς γράμμασιν ἐπικουφίζεις τὰ δυσχερῆ. τοὺς σοφοὺς ζηλώσας [illegible] ἰατρῶν. οἳ μηδὲ θεραπεύειν ἔχοντες μ[illegible]θοῦνται τὸ πάθος. τοιοῦτον ἡμῖν γέγονας αὐτὸς σαυτοῦ παρέχων τὰ γράμματα. κἀγὼ νῦν τοὺς σφοδροὺς μιμοῦμαι τῶν ἐραστῶν. καὶ διὰ τῆς εἰκόνος παραμυθοῦμαι τὸν ἔρωτα. τοῦ δὲ καλοῦ Μεγάλου σὲ μὲν φύσις, ἐμὲ δὲ τέχνη πατέρα ποιεῖ. ὥστε δὴ ἐμοῦ παρεῖναι νόμιζε τὸ παιδίον. εἰ δέ τι παραλείψω, τοῦτο νόμιζε μὴ δύνασθαί με ποιεῖν. καὶ μέμφομαι τὴν τύχην μή, καὶ πάντα δυναμένους ἵνα σοι χαρίσωμαι τοσοῦτον, ὅσον καὶ βούλομαι. ἀλλ᾽ ὦ θεοὶ μὴ διαμαρτοίημεν ἄμφω τῆς ἐλπίδος ἣν ἐπὶ τοῦ παιδίου πεποιήμεθα.

Ἰάσονι.

ΕΙ τὰ τῶν φίλων κοινὰ παλαιὸς μὲν βούλεται λόγος, ἐμοὶ δὲ φίλος ὁ λογιώτατος Πέτρος, καὶ σὸς ἂν εἰκότως νομίζοιτο. εἰ δὲ δικαίως τοῦτον ἀσπάζομαι, δείξει μὲν πολλάκις ἡ πεῖρα. εἰ δὲ θεάσῃ πῶς μαρτυρήσει τὸν τρόπον. οὗτος ὑμῶν τι δεόμενος, καὶ βουληθεὶς πάντως τυχεῖν, ἐμὲ πρὸς ταύτην ἐκίνησε τὴν ἐπιστολήν. νομίζων τοσοῦτόν με δύνασθαι παρ᾽ ὑμῖν, ὡς μηδὲν ἂν εἰκότως διαμαρτεῖν. ἀλλ᾽ εἰ μὲν ἀληθῆ νομίζει, βεβαίωσον ἔτι τὴν γνώμην. εἰ δὲ ψευδῆ, καὶ οὕτως ὑπούργησον. ἵνα μὴ δειχθῶμεν ἐν τοῖς ἄλλοις τὴν πρὸς ἀλλήλους φιλίαν πλαττόμενοι. ἔχει δὲ καὶ τὸ δίκαιον σύμμαχον. ὑπὲρ σοὶ καὶ μηδενὸς αἰτοῦντος καθέστηκε φίλον. τὸ δὲ δυνάμενον ἀδικίαν κωλῦσαι παραμελεῖν, ἐν ἴσῳ καθέστηκε τῷ ποιεῖν. ὅπερ τῆς σῆς γνώμης ἀλλότριον. ἴσθι δὲ ὡς πάντως ἐπινεύσεις ἢ τοῖς γράμμασι τοῖς ἐμοῖς ἢ τῇ παρουσίᾳ πειθόμενος. ἓν μόνον λυπήσεις. ἀμβλυτέραν τῇ ἀναβολῇ τὴν ἀρετὴν ἐνδεικνύμενος.

Φιλίππῳ ἀδελφῷ.

Ὦ πόσα δύνανται καὶ μεταβάλλουσιν ἔρωτες. καὶ βεβαιοῦσι τοῖς ἔργοις ὡς οὐδὲν αὐτῶν ἐκείνων μεῖζον ἰσχύει· ἐοίκασι δὲ λέγειν ὡς μάλιστα πάντων μισοῦμεν ὑπεροψίας καὶ τῆς ὀφρύος. τίς ἀνασπάσῃ καὶ παρίδοι λόγους ἐρῶντος· ἐνήλλαξεν οὗτος τὴν τάξιν. καὶ ὁ σεμνὸς ἐκεῖνος ἐξαίφνης ἐρᾷ καὶ φθέγγεται ταπεινόν. ἀλλὰ τί μοι βούλεται ταῦτα. ἤδη μὲν πάντως ἐπίστασαι καὶ γελᾷς· ἀλλ᾽ ὅμως τιμῆς ἕνεκα τῆς ἐκείνων εἰρήσεται. ἐμοὶ γὰρ ὁ σὸς πόθος ὅλῳ ῥύματι προσβαλὼν, εἷλε τὸν λογισμὸν ὑφ᾽ αὐτῷ,

καὶ ὀδυνάς ὑπομένειν καὶ οὐκ εἶχον ὅτι καὶ γένωμαι. μίαν τοίνυν ἐδόκουν εἶναι παραμυθίαν εἴ τι λέξεις ἀπὼν, καὶ φθεγγομένου πολλάκις ἀκούσαι. ὡς οὖν ἔγνως τὸ πρᾶγμα πέπονθάς τι ξένον οἶμαι καὶ πρὸς ἀλαζονείαν ἐπήρθης. καὶ ἐγὼ μὲν ἤρων. σὺ δὲ παντάπασιν οὐ προσεῖχες. ἐδεόμην· καὶ ἦν μοι πλέον οὐδέν. προὔφερον τὴν συγγένειαν. ἀδελφὸν προσεῖπον. ὑπέμνησα φιλίου διός· σὺ δὲ καὶ πάλιν ἐσίγας. ἀμήχανον ἦν τὸ πρᾶγμα λοιπόν. τί οὖν καὶ γέγονεν. εἶπόν τι πρὸς τοὺς ἔρωτας καὶ ἐδάκρυσα. καὶ παρεκάλουν ἐπὶ τὰ τόξα. καὶ πείθονται. καὶ οἱ μὲν ἔβαλλον. σὺ δὲ πληγεὶς μετέβαλου. καὶ ὁ πρὶν ἡμῖν ἀλαζὼν, ἤτεις με γενέσθαι φιλάνθρωπον. ὅπως μὴ τὴν αὐτὴν πληγεὶς παρ' ἡμῶν, ὥσπερ ἡμεῖς παρὰ σοῦ. ἀλλ' ὦ φίλοι ἔρωτες ἐγὼ μὲν πείθομαι καὶ πρὶν ἀμείψασθαι διαλλάττομαι. εἰ δέ τι πάλιν νεανιεύσεται, ἀλλ' οὐκ ὡς οἶμαι τολμήσει.

Ἡλία.

Τῆς ὑμετέρας δωρεᾶς ἡ μὲν πεῖρα τοὺς ἐγνωκότας, ἡ δὲ μνήμη τοὺς ἄλλους εἰς θαῦμα κινεῖ. ἐμὲ δὲ ἀμφότερα πρὸς τὸ ἀνάγραπτον ἐσάγει τὴν ὑμετέραν ἔχειν εὐεργεσίαν. καὶ θαυμαζόμενος ἐφ' οἷς τοιούτων ἀγαθῶν γέγονα τῇ πατρίδι ὑπηρέτης, εἰς ὑμᾶς ἀνάγω τῇ μνήμῃ τὴν ἀγαθῶν τὴν αἰτίαν. ὅθεν ἀεὶ παρὰ τὸ προσῆκον παρρησιάζομαι τὰ μικρὰ προσάγων ὑμῖν. οὐδὲ γὰρ οἱ τοῖς θεοῖς λιβανωτὸν ἐπιθύοντες πρὸς ἀξίαν τὴν χάριν. πρὸς δὲ δύναμιν τοῦ δοκεῖν εὐγνώμονες ἐπιδείκνυνται. καὶ ἐπὶ τῶν ὑμῖν προσαγομένων τὰ μέγιστα τοῖς ἐλαχίστοις τὴν αὐτὴν ἔχει δύναμιν πρὸς τὴν εὐεργεσίαν μεζούμενα.

Θωμᾶ.

Νῦν ὄντως ἡμῖν ἀνθοῦσι δίκη καὶ μοῦσαι· καὶ συνοίκοι γίνονται τὴν σὴν εὑροῦσαι ψυχήν, μεριζομένην ψήφῳ δικαίᾳ καὶ λόγοις· συνοικοῦσι τοίνυν ἀλλήλαις ὥσπερ εἰκὸς, ἀδελφαί τε οὖσαι καὶ κοινὸν ἔχουσαι πατέρα τὸν Δία. ἐξ οὗ γὰρ ἀπέλιπες πάλαι διὰ χειρὸς οὐκ ἔχων ἔτι τὴν καίσαρος, οἷα δήπου καὶ γέγονεν, ἀπέλιπον μὲν τὰς πόλεις ἡμῶν, ὠλιγωρεῖτο δὲ τὰ ὑμέτερα. ἦσαν δὲ παρὰ τῷ πατρὶ κατηγοροῦσαι τῶν ἐπὶ γῆς. ἀλλ' ἐπένευσε πάλιν καὶ γέγονας παρ' ἡμῖν. καὶ νεάζει πάλιν τοῖς ὑπηκόοις ἡ τύχη. κἂν γὰρ ψῆφον εἰσενέγκῃς οὐκ ἀρνεῖται ταύτην ἡ δίκη. κἂν λόγον εἴπῃς, ἐπαινοῦσι πάντως αἱ μοῦσαι. ὃ δὲ μάλιστα τεθαύμακα λέξω. τὸ γὰρ τοσούτων προὔχοντα, μὴ τῶν ἐλαττόνων ὑπεριδεῖν, ἀλλὰ καὶ λόγων ἄρχειν καὶ φιλίας μεμνῆσθαι, καί τι λεγόντων θέλειν ἀκούειν, σοὶ μὲν προσθήκη τις τοῦ θαύματος τὸ σωκρατικῶς οἶμαι φιλοσοφοῦντι. ἐμοὶ δὲ τὸ χρῆμα βαρὺ κατ' ἐμαυτὸν ὡς δύναμαι ζῶντι καὶ εὐχομένῳ λαθεῖν· καὶ εἰ μὴ παραγαγεῖν ἐβουλόμην ἑτέραν αὖθις ἐπιστολήν, ἐσίγων ἂν ἀπορῶν ὅ,τι φθέγξωμαι. νῦν δὲ καὶ γράφειν ἐρυθριῶ καὶ σιωπᾶν οὐκ αἰσχύνομαι. τὴν σὴν ἐγείραν γλῶτταν μνηστικὸν αὖθις ἠχῆσαι, καὶ μικροῖς τὰ μεγάλα θηρῶ

& omnino animi pendebam, neque quid agerem habebam. Vnam igitur conſolationem arbitrabar eſſe, ſi quid diceres abſens, & loquentem te ſæpiùs audirem. Cùm igitur intellexiſſes rem, Heu mihi, nouum quiddam feciſti, & in ſuperbiam es elatus. Atque ego quidem amabam. Tu verò prorſus nihil curabas, neque mihi quicquã ſupererat, proferebã cognationẽ. Fratrem appellabam. Admonui Iouis Philij. At tu rurſus tacebas. Equidem res mihi in poſterum nihil cogitationis aut cõſilij dabat. Quid accidit igitur? Dixi quiddam amoribus cum lachrymis, & hortatus ſum ad capienda tela. Morem gerunt. Iaculati ſunt. Tu verò ſimul ac ſenſiſti mutatus es, & qui priùs nobis ſuperbus fueras, petebas à me, vt tibi propitius ac beneuolus eſſem, ne idem tibi à nobis accideret, quòd à te nobis. Sed ô Chari amores. Ego quidem, me facilè præbeo, & antequam vlciſcar, in gratiam redeo. Sed ſi iterum quid molietur. At non opinor audebit.

Helia.

VEſtrum munus eos qui cognouerunt experiẽtia, memoria reliquos in admirationem impellit. Me vero vtrumque adducit, vt veſtrum beneficium ac liberalitatem ſcriptis mandem, & admirans qualium bonorum exiterim autor ac miniſter patriæ, vobis memoria bonorum cauſſam acceptam refero. Vnde fit, vt ſemper præter decorum liberè loquar, dum exigua quædam vobis adfero. Neque enim qui dijs Thure ſacrificium faciunt, pro dignitate gratiam, ſed pro virili parte, vt grati eſſe videantur comparant. Et in his quę vobis tribuuntur, maxima ſunt æquali pondere cum minimis ad beneficium æſtimata.

Thome.

NVnc reuera nobis florent Dice ac Muſæ, & domicilium ac habitationem conſtitutam habent, poſtquam tuum animum nactæ ſunt, iuſto ſuffragio ac eruditione diſtinctum. Cohabitant igitur, vt par eſt, quippe ſorores ſunt, & communem patrem habent Iouem. Ex quo enim reliquiſti olim, neque amplius in poteſtate habuiſti regionem Cæſaris, hoc etiam contigit, vt ciuitates noſtras nobis relinquerent, & veſtri ratio nulla duceretur. Erant autem apud parẽtem accuſantes, eos qui ſupra terram viuebant. Sed aſpirauit iterum, & ad nos veniſti, atque redit ſubditis fortuna. Siue enim ſententiam feras, non hanc improbat Dice, & ſi verba facias, omnes omnino Muſæ collaudant. Quod verò me præ cæteris mirum habuit, id dicam. Nam cùm tot homines excellas, inferiores non contemnere, ſed & colloquia cum illis incipere, & amicitiæ mentionem facere, ac dicentes benigna & porrecta mente audire, tibi quidem additamentum hoc admirationis ex eo eſt, vt opinor, quòd Socratis philoſophiam ſequeris. Mihi verò durum onus eſt, [illegible] ipſe quantùm poſſum viuo, & [illegible] cupio, ac niſi aliam rurſus epiſtolam [illegible] vellem, tacerem, ignorans quid pro te loquerer. Nunc verò & ſcribere erubeſco, & vt ſileam facere non poſſum, tuam linguam [illegible], ad [illegible] aliquid [illegible]andum [illegible] exiguis magna venans.

Optimè

Optimè ſit ei qui noſtrarum vrbium præfecturam ſortitus eſt. Voleiis enim ante experientiã quid futurum eſſet demõſtrare, & in priſtinæ fortunæ memoriam renouans, vos adiutores vocauit, & de futuro ſtatim vaticinatus eſt. Optimum verò, Magnum etiam antea diligebam, & quantùm par eſſet, quantúmque poſſem, donabam. Hæc enim lex ad artem pertinens eſt voluntas ac ſenſus. Sed & pater eſt, & affinis, qui ſua virtute vel negligentem, ad ſummam curam & diligentiam adhortari poſſunt. Nunc autẽ cùm vos iuueni ſitis additi, iuſtum ſanè votum facio, Iuppiter aliiq; dij. Poſſim aliquid maius, quàm antea, & tantùm emolumenti. Magnus à nobis percipiat, vt eius voluntati in cuius curam traditus eſt, reſpondeat.

Stephano.

ETiamnum ad Nilum habitas. Etiamnum amãtium tui rationem nõ ducis. Quid dic mihi tantũ paſſus es. Si enim cunctatione magis incendi nobis amorem exiſtimas, probè ſcito iam ad ſummum perueniſſe, neque quicquam addi poſſe. Sin te Macedonis vrbs ad ſe trahit, gratiarũ cauſſa, & quòd videatur ipſum iam Heliconẽ habere, Vlyſſem imitare, & præteritis Sirenibus, Ithacæ memineris. Etenim cupiens te iam veterum habitu videre Tettigophorũ inhio mari & circumluſtro naues. Si fortè te adeſſe cõſpiciam. Tu verò mihi Theſei filium illum videris imitari, idque puerorum ludimagiſte. Sponſe Demophon hoſpes inique neque filij meminiſſe vis qui & formoſus eſt, & ſi aduenias iam te patrem appellare poterit.

Philippo.

SI parentibus officium reddere, cùm veterum dicta tum lex naturæ præcipit, quantam æquum eſt patriæ gratiam rependere, è qua parentibus etiam viuendi initium prodiit. Ad eam te nunc tempus vocat, & crede patriam hanc per me vocem ad te mittere. Sic enim & officio ſatisfeceris, & nobis memoriam rei dabis, quoniam in maximis rebus eſt opus. Malum verò aut graue nihil expecta. Sed tibi quidem facillimum eſt dare, magnum verò accipientibus conſequi. Regi magno ſupplicationes pro ciuitate per te reddi volumus, & apud vos ſummum pontificem & regis fratrem, vt reddentis dignitas momentum aliquod apud recipientem habeat. Hæc enim ſi feceris communem gratiam inibis cùm ab iis qui rogarunt tum à nobis qui rogati ſumus.

Zachariæ.

ACcepi veſtras literas, quod quidem olim factũ oportebat. Attamen tunc factum aliquid gratiæ detraxit. Eiuſmodi vim habet amantiũ affectus. Si res cadat ſecus quæ velint, moleſtum eis videtur, & ferre nõ poſſunt. Cùm verò quod cupierant, quaſi nihil paſſi in obliuionem veniũt priorum laborum. Sed ne iam hac re cognita, priuſquã aliquid à te ſcribatur, nobis ſilentio mœrorem ac moleſtiam adſeras. Neque enim velim iterũ multis exhauſtis moleſtiis pòſt recreari ac gaudio affici. Neque enim Delphi longiſſimè ab ipſis abeſſe Pythium velint, quanquam præſente ſtatim feſtum agunt indigenæ Apolline.

μενος. πολλὰ δὲ κἀγαθὰ γένοιτο τῷ τὰς πόλεις ἡμῖν ἐπιτροπεύειν λαχόντι· δεῖξαι γὰρ πρὸ τῆς πείρας τὸ μέλλον βουλόμενος καὶ παλαιᾶς τύχης ἄγων ἐς μνήμην, ὑμᾶς ἐκάλει συνεργοὺς καὶ πρὸς τὸ μέλλον εὐθὺς ἐμαντεύετο. τὸν δὲ καλὸν Μάγνον ἠγάπων μὲν καὶ πρότερον ὅσον εἰκὸς καὶ ὅσον εἶχον ἐδίδουν. ὁ γὰρ τῆς τέχνης οὕτω βούλεται νόμος· ἀλλὰ καὶ πατὴρ ὑπάρχει καὶ κηδεστὴς, ἱκανοὶ δι' ἀρετὴν ἐκποιῆσαι καὶ τῷ ῥαθυμοῦντι σπουδήν. ὑμῶν δὲ νῦν προστεθέντων τῷ νέῳ, εὔχομαι δικαίαν εὐχήν. Ζεῦ ἄλλοι τε θεοί. δυναίμην τι μεῖζον ἢ πρότερον καὶ ὄναιτο Μάγνος ἡμῶν ὁπόσον ὁ κηδόμενος βούλεται.

Στεφάνῳ.

ΕΤι παρὰ τὸν Νεῖλον οἰκεῖς. ἔτι ποθοῦντας ὑπερορᾷς. τί τοσοῦτον εἰπέ μοι παθών. εἰ μὲν γὰρ οἴει τὸ βραδέως ἐπὶ πλεῖον ἡμῖν ἐξάπτειν τὸν ἔρωτα, ἴσθι δὴ καλῶς ὡς εἰς ἄκρον ἀφῖκται· καὶ οὐκ ἂν ἔχοις ἔτι προσθήσεις ἔτι τῷ πράγματι. εἰ δέ σε τοῦ Μακεδόνος ἡ πόλις ἐφέλκεται, χαρίτων ἕνεκεν καὶ τοῦ δοκεῖν αὐτὸν ἔχειν ἤδη τὸν Ἑλικῶνα, ζήλου τὸν Ὀδυσσέα. καὶ παρελθὼν τὰς σειρῆνας μέμνησο τῆς Ἰθάκης. καὶ γάρ σε νῦν ἐπιθυμῶν ἀρχαῖον σχήματι τεττιγοφόρον ἰδεῖν, καί ἦνα τῇ θαλάττῃ καὶ περισκοπῶ τὰς ὁλκάδας εἴποτε παρόντα θεάσωμαι. σὺ δέ μοι δοκεῖς τὸν Θησέως ἐκεῖνον ἐζηλωκέναι. καὶ ταῦτα τοῖς παισὶ καθηγούμενος. νυμφίε Δημοφῶν ἄδικε ξένε ὃς οὐδὲ παιδὸς, θέλεις ἐπιμεμνῆσθαι καλοῦ τε ὄντος καὶ εἴγε παρείης ἤδη σε δυναμένου πατέρα καλεῖν.

Φιλίππῳ.

ΕΙ τοῖς γονεῦσι τὸ προσῆκον ἀποδιδόναι, παλαιοί τε λόγοι καὶ ὁ τῆς φύσεως βούλεται νόμος· πόσον εἰκὸς πατρίδι χάριν ἐκτίνειν, ἐξ ἧς προῆλθε καὶ τοῖς γονεῦσιν ἀρχή. ἐπὶ ταύτην σε νῦν ὁ καιρὸς καλεῖ καὶ δόκει τὴν ἐνεγκοῦσαν ταύτην σοι δι' ἐμοῦ φωνὴν ἀφιέναι, οὕτω γὰρ καὶ τὸ δέον ἔσῃ πεπληρωκὼς, καὶ μνήμην ἡμῖν παρέξεις τοῦ πράγματος, ὅσοις καὶ περὶ τὰ μέγιστα ἡ χρεία. βαρὺ δὲ προσδόκα μηδέν. ἀλλὰ σοὶ μὲν ῥᾷστον διδόναι. μέγα δὲ τοῖς λαβοῦσι τυχεῖν· βασιλεῖ τῷ μεγάλῳ τὰς ὑπὲρ τῆς πόλεως δεήσεις ἐπιδοθῆναι βουλόμεθα διὰ σοῦ παρ' ὑμῖν ἀρχιερέως ἢ τοῦ βασιλέως ἀδελφοῦ. ἵνα τὸ τοῦ ἐπιδιδόντος ἀξίωμα ῥοπήν τινα προσέχῃ τῷ δεξαμένῳ· ταῦτα γὰρ ποιῶν κοινὴν καταθήσῃ χάριν καὶ τοῖς αἰτήσασι καὶ τοῖς αἰτηθεῖσιν ἡμῖν.

Ζαχαρίᾳ.

ΤΗν παρ' ὑμῶν ἐδεξάμην ἐπιστολήν. ὅπερ ἔδει μὲν καὶ πάλαι γενέσθαι. ὅμως δ' οὐ δὴ νῦν γενόμενον ἀπήμβλυνε χάριτος· τοιοῦτόν τι τὸ τῶν ἐρώντων πάθος. ἐπειδὰν μὲν ἀτυχῶσι, δυσχερὲς αὐτοῖς τὸ πρᾶγμα δοκεῖ. καὶ φέρειν οὐ δύνανται. ἐπειδὰν δὲ λάβωνταί τι τοῦ ποθουμένου, ὡς μηδὲν παθόντες τῶν προλαβόντων πόνων ἐπιλανθάνονται. ἀλλ' ὅπως μὴ νῦν τοῦτο μαθὼν, πρίν τι γράφειν αὖθις ἡμᾶς αἰτιάσῃς τῇ σιωπῇ. οὐδὲ γὰρ βουλοίμην ἔγωγε πολλὰ παθὼν, εἶτα πάλιν εὐφραίνεσθαι. οὐδὲ γὰρ οἱ Δελφοὶ ὅλως αὐτῶν ἀπεῖναι τὸν Πύθιον ἕλοιντο, καὶ παρόντος εὐθὺς ἑορτὴν ἄγουσι τὴν ἐπιδημίαν Ἀπόλλωνος.

Phedro.

SIc animi præ ſe fert imaginem ſermo & qualem abſentes habeant ſententiam oſtendit, non minus quàm pictor ea quæ vult effingit. Cùm enim literas veſtras perlegerem, quem experientia nó nouerã, hunc ipſum tenere videbar, vt ſi quis inſcriptione ſublata, epiſtolam tradidiſſet beneuoli patris ac humani literas ad filium eſſe putaſſem. Eiuſmodi ſuos alumnos virtus reddere videtur. Quòd enim tu qui neque vidiſti me vnquam neque antea cognouiſti & ſermonis initium facis, & omnia præſentia bona mecum communicas, qua laude non id dignum habeatur. Sed tamé ſtatui etiam ſi quid accidat, meam Ithacam non deſtituere. Sed Homericum Vlyſſem hac in re ſequor quòd poſthabitis omnibus, paruam inſulam amabat, & cuius inter optimas ne mentio quidem exiſtat.

Hieronymo.

ITerum Ægyptus & luxus, atque nos apud te pauperes, neq; eſt abſentium vlla ratio. Hoc nihil refert. Ride ſaltem, fluentem auro. Nilum aſpiciens. Quòd ſi magis etiam ſupercilium contraxeris, patiemur omnino nos vilipendi. Erit enim dies cùm iterum videbis Eluſam, & lugebis arenam diſſipatá à ventis, & diſſectam radicibus vitem. Ibi nymphæ quædam peregrinæ & marinæ atque Iuppiter Pluuius nuſquam. Tum ego ridebo, & fortunam taxabo. Tu verò me beatum putabis, animo abiectum atque contemptum. Attamen dum tibi Nilus diuitias luxúmque concedit, ſcribe duntaxat, & nos exiguos nomina atque humi repentes. Sic enim etiam tuis ſcriptis fruar, & tuam inſolentiam, ſpe futuri apud me conſolabor.

Ilaſio.

VEſtrum ſolum fructus optimos videtur progignere, ſolis verò corporibus aduerſari. Nam illos miraculum videntibus exhibet, & temporis naturã penè non adhibet. Hæc autem cùm accepit bona valetudine prædita, paulò pòſt reddit infecta pallore. Vnde non ſanè vt fruerer paucis fructibus, ægrotare vellem & cauſſam interrogatus erubeſcere atque tacere, quod facere conſueuiſti ſilentio fundos ornás. At te volo, & plurimus bonis frui, & corporis firmitate, ac robore, naturam loci ſuperare.

Diodoro.

ACcepi iterum tuam epiſtolam, verbis quidem perſpicuam & elegantiſſimam, literis verò obſcuram, & verborum gratiam obfuſam. Mihi enim videris metuere quando in obliuionem naturæ venias, ſi ad perſpicuitatem eam per vim adigas & idcircò literarum figura notitiam ac dilucidítaté verborũ temperare, vt iterum ex conſueta obſcuritate notitiam habeas. Ita prærogatiuã ré iudicas. Et mihi videris timere ne excidas ab ſalutatione. Confide igitur, quoniã nunquã meã de te exiſtimationé mutarim, aut aliter ſenſerim. Non equidem lubens te præclara gloria priuarim. Tantùm ne me cogas Apollinem adire, & oſtenſis literis. Explica dicere ô vates Pythiæ, quidnam ſcriptor dicere voluerit.

Φαίδρῳ.

ΟΥτως ἄρα τῆς ψυχῆς εἰκόνες ἦσαν οἱ λόγοι, καὶ τοὺς ἀπόντας ἐδείξαν οἵαν ἔχουσι γνώμην, οὐχ ἧττον ἢ ζωγράφος ἅπερ ἂν ἐθέλῃ μιμεῖσθαι. τοῖς γὰρ ὑμετέροις γράμμασιν ἐντυχὼν, ὃν ἠγνόουν τῇ πείρᾳ, τοῦτον ἐκεῖνον ἐδόκουν ἔχειν. ὡς εἴ τις ἐξελὼν τὸ προγεγραμμένον τὴν ἐπιστολὴν ἐπεδίδου, ὡμολόγουν ἂν πατρὸς εἶναι φιλοστόργου πρὸς παῖδα τὰ γράμματα. τοιούτους ἡ ἀρετὴ τοὺς ἑαυτῆς ἔοικε τροφίμους δεικνύναι. τὸ γάρ σε μήτε ἰδόντα μήτε προπεπειραμένον, καὶ λόγου προκατάρχειν, καὶ κοινὰ πρός με ποιεῖσθαι τὰ παρόντα τῶν ἀγαθῶν, τίνος εὐφημίας οὐκ ἂν τύχοι δικαίας. ἀλλ' ὅμως προῄρημαι μὴ δ' ἂν εἴ τι γένοιτο τὴν ἐμὴν Ἰθάκην ἀπολιπεῖν· ἀλλὰ καὶ τὸν ὁμηρικὸν Ὀδυσσέα διὰ ταῦτα ζηλῶ, ὅτι πάντα παριδὼν, τὴν μικρὰν ἐπόθει νῆσον. καὶ ἧς οὐκ ἄν τις ἐπὶ βελτίστοις ἐμνήσθη.

Ἱερωνύμῳ.

ΠΑλιν αἴγυπτος καὶ τρυφή. καὶ πένητες ἡμεῖς παρὰ σοὶ καὶ λόγος ἀπόντων οὐδείς· οὐδὲν τοῦτο πρᾶγμα. γέλα μόνον χρυσῷ ῥέοντα τὸν νεῖλον ὁρῶν· κἂν ἔτι μᾶλλον τὴν ὀφρῦν ἀνασπάσῃς, οἰσόμεθα πάντως ὑβριζόμενοι. ἔσται γὰρ ἡμέρα ὅτε πάλιν ὄψει τὴν ἔλουσαν. καὶ δακρύσεις ψάμμον μαθὼν σκεδαννυμένην τοῖς πνεύμασι καὶ τέμνουσαν εἰς ῥίζας τὴν ἄμπελον. ἐνθα καὶ νύμφαι ξέναι τινὲς καὶ θαλάτται καὶ ζεὺς ὑέτιος οὐδαμοῦ· τότε γελάσομαι μὲν ἐγὼ καὶ κωμῳδήσω τὴν τύχην. σὺ δὲ νομίσεις εὐδαίμονα τὸν νοῦν ἀπερριμμένον ἐμέ. τέως δὲ ἐν ὅσῳ ἄν σοι διδῷ ὁ νεῖλος τρυφᾶν, γράφε μόνον καὶ καλεῖ σμικροὺς ἡμᾶς καὶ χαμαὶ ἐρχομένους. οὕτω γὰρ καὶ σοῦ γράφοντος ἀπολαύσομεν. καὶ τὴν σὴν ἀλαζονείαν τῇ τοῦ μέλλοντος ἐλπίδι παραμυθήσομαι.

Ἰλασίῳ.

ΤΟ παρ' ὑμῖν χωρίον καρποὺς μὲν τίκτειν ἔοικεν ἀγαθούς. ἀντικεῖσθαι δὲ μόνοις τοῖς σώμασι. τοὺς μὲν γὰρ θαῦμα τοῖς ὁρῶσι παρέχει, καὶ τὴν τῆς ὥρας βιάζεται φύσιν. τὰ δὲ λαβὸν ἐρρωμένα, μικρὸν ὕστερον ἀποδίδωσιν ὠχριῶντα. ὅθεν οὐκ ἂν ἑλοίμην ὀλίγων καρπῶν ἀπολαύσας νοσεῖν. καὶ τὴν αἰτίαν ἐρωτώμενος αἰσχύνεσθαι καὶ σιγᾶν· ὃ δὴ πάσχειν εἴωθας σιγῇ τὰ χωρία κοσμῶν· σὲ δὲ βούλομαι καὶ πλείστων ἀγαθῶν ἀπολαύειν καὶ τῇ τοῦ σώματος ῥώσει τὴν τοῦ χωρίου φύσιν νικᾶν.

Διοδώρῳ.

ΔΕδεγμαί σου πάλιν ἐπιστολὴν τοῖς μὲν λόγοις σαφῆ καὶ λίαν καλὴν· τοῖς δὲ γράμμασιν ἀσαφῆ καὶ τῶν λόγων τὴν χάριν καλύπτουσαν. δοκεῖς γάρ μοι δεδιέναι μή ποτε πρὸς λήθην ἔλθῃς τῆς φύσεως πρὸς τὸ σαφὲς αὐτὴν βιαζόμενος, τῷ τύπῳ τῶν γραμμάτων παραμυθεῖσθαι τῶν ῥημάτων τὸ γνώριμον. ὅπως ἂν πάλιν ἐκ τῆς συνήθους ἀσαφείας ἔχῃς τὸ γνώρισμα. οὕτως σοι πλεονέκτημα τὸ πρᾶγμα φαίνεται. καὶ δεδιέναι μοι δοκεῖς ἐκ πεσεῖν τοῦ προσρήματος. θάρρει τοίνυν ὡς οὔποτε μεταθείμην τῆς δόξης ἥντινα φρονῶ περὶ σοῦ. οὐ δὴ ἑκὼν εἶναί σε τῆς θαυμαστῆς εὐκλείας στερήσαιμι· μόνον μή με ἀναγκάσῃς πυθῶδε φοιτᾶν καὶ δεικνύντα τὰ γράμματα, φράσον λέγειν ὦ μαντικὴ πυθὴ τί ποτε λέγει ὁ γράφων ἐβούλετο.

ταῦτα δέ μοι πεπαίχθω πρὸς σὲ τὴν ὑμετέραν χάριν ἐκμιμουμένῳ.

Μακαρίῳ.

Τῆς περὶ ἡμᾶς εὐνοίας γλυκύ σοι καθέστηκεν καὶ τὸ σύμβολον καὶ μιμεῖται τὴν γνώμην τὸ δῶρον τῷ μέλιτι συμπλεκόμενον. λόγων γὰρ γενόμενος ἐραστὴς καὶ τούτων ἐμφορηθεὶς, ἔγνως ὡς μέγα δή τι χρῆμα φιλία συμπροϊοῦσα χρόνῳ καὶ μὴ τῇ διαστάσει δεχομένη τὴν λήθην. ὅθεν σὲ καὶ πρὶν ἐπαινῶν, νῦν ἔτι πλέον τι θαυμάζω, ὅτι καὶ μὴ παρὼν, καθέστηκας παραπλήσιος. ἀλλά μοι πρᾶττε καλῶς καὶ τῶν νόμων ἐμφοροῦ. καὶ γενοῦ δὴ θᾶττον ἵνα τι καὶ λέξω ποιητικὸν, πατρί τε σῷ μέγα χάρμα πόληΐ τε παντί τε δήμῳ.

Στεφάνῳ.

Ἥσθην δεξάμενος τὴν ὑμετέραν ἐπιστολὴν. ὃν ἡδόμενον ἀεὶ τῇ μνήμῃ λαβὼν, τοῦτον διὰ τῶν γραμμάτων θεώμενος. εἴγε ψυχῆς εἰκόνες ὄντως οἱ λόγοι. καὶ εἴ μοι δίδως εἰπεῖν, μείζων ἢ κατ' ἐμαυτὸν ἐδόκουν γενέσθαι. σκοπεῖν δὲ· με φίλων ἐγκατέλεγες χορῷ, καὶ λόγους ἐμοὶ παρὰ σοί. καὶ γραμμάτων ἀρχὴν προσκαλουμένην τὰ παραπλήσια. δι' ὧν δὴ θαυμάζειν ἐδόκεις. σαυτὸν ὁρᾶν παρεῖχες τοῖς γράμμασι. δι' ἐμοῦ μὲν τοῦ τὰ σαυτοῦ διηγούμενος. ὥστε με μειδιῶντα λέγειν πρὸς ἐμαυτὸν, ὡς ἀληθεῖς, εἰ λόγοι τινὲς θεοὶ εἰ περὶ τοῦ γεγραφότος ἐλέγοντο. νῦν δὲ λέγων ἐλάνθανες οὐχ οἷος ἐγώ. ἀλλ' οἷον εἶναί με δεῖ τοιούτων ἐπαίνων τευξόμενον. πολλὰ δέ σοι κἀγαθὰ γένοιτο καὶ σπουδῆς ἕνεκα καὶ τρόπων πραότητος. καὶ μνήμης εὐνοίας. καὶ τὸ δὴ μέγιστον ὅτι καὶ μὴ παρὼν καθέστηκας παραπλήσιος.

Παγκρατίῳ.

Οἱ τὰς σειρῆνας ποτὲ παραπλέοντες, καὶ τὰ μέλη ταῖς ἀκοαῖς ἀρυόμενοι, οὐ πατρίδας ἐπόθουν οὐ παίδων ἀνεμιμνήσκοντο. πάντα δὲ πάσχειν αὐτοῖς ἐδόκει καλὸν, ἢ τούτων ἀπαίρειν ὧν τῆς ἡδονῆς ἐπειράθησαν. ἡμεῖς δὲ τῆς σῆς μούσης ἄκρῳ φασὶ δακτύλῳ γευσάμενοι, οὕτως ὅλῳ πόθῳ πρὸς αὐτὴν ἐβακχεύσαμεν, ὡς μικρὸν μικροῦ ἀπεῖναι ταύτης αἱρεῖσθαι, κἂν ἀνάγκη διεστάναι τοῖς σώμασι. ἀναγομένοις δὲ ἡμῖν τῇ διανοίᾳ συνανηγόμεθα. καὶ τὴν Ἀλεξάνδρου νῦν οἰκοῦμεν, τὸ σὺν ὑμῖν εἶναι τῇ φαντασίᾳ πλαττόμενοι. τοιαύτην μοι γνώμην ἐναπέτικτον οἱ ἔρωτες. κἂν πρὸς ὀλίγον ἀνανήψω, ἐν ἐμαυτῷ πάλιν γένωμαι, τοῖς σοῖς ἐντρυφῶ διηγήμασι. καὶ πάντες ἀνὰ μέρος τὰ ὑμέτερα ἀπομνημονεύουσιν. ὁ μὲν τοῦ λόγου τὸ ἥμερον· ὁ δὲ τῶν τρόπων τὸ σεμνόν· ἄλλοι γλυκὺν προσωνόμασαν. ὁ δὲ τῆς γνώμης λέγει τὸ μέτριον. ὁ δὲ σε φέρειν ἐπὶ τῆς γλώττης εἶπε τὰς μούσας. καὶ πᾶς τις φιλονεικεῖ φθάσαι τοὺς ἄλλους, μόνος τὰ σὰ διηγούμενος. σὺ δὲ γράφε τὴν ἀπουσίαν θεραπεύων τοῖς γράμμασι. καὶ τὸν φέροντα τὴν ἐπιστολὴν ἡδέως ἰδεῖν καταξίωσον.

Νηφαλίῳ.

Ὅσον ἡμῖν πάλαι τὸν θυμὸν ἐπαφῆκας τοῖς

Hæc tecum iocatus ſim, qui mutando veſtram gratiam ac leporem exprimo.

Macario.

TVi erga nos moris gratum etiam & ſuaue fuit ipſum ſignum atque mentem imitatur donũ melle permixtum. Eruditionis enim amator, & hac impletus ſtatuiſti rem egregiam eſſe procedentem vna cum tempore amicitiam neque interuallo recipientem obliuionis. Vnde cùm etiã antea te laudarim, nunc etiam plus admiror, quod quamuis nõ præſens, tamen præſenti ſimillimus ſis. Sed mihi bene age ac legibus ſatiare & da operam vt ſtatim de te poſſim aliquid etiam poeticum dicere. Et patri ſummum gaudium, ciuitatique & omni populo.

Stephano.

CVm epiſtolam veſtram acciperẽ, magno gaudio ſum affectus eum quẽ ſemper capiẽs memoria ac mente delectatus fueram, cum per literas etiam viderem atque aſpicerem, ſiquidẽ animi reuera imagines exiſtunt ſermones. Et ſi mihi permittis vt dicã maior quàm pro mea fortuna videbar eſſe, cùm animo voluerem, quemadmodum in amicorum cœtu me numerares, & literas quæ ſimilem petitionem continerent mitteres. In quib. autem mirari videbare, teipſum conſpiciendum præbuiſti: literis me quaſi ſumpto, tua narrans ac recenſens, vt ego ſubridẽs ad meipſum dicerẽ, hercle, quàm vera ſunt hęc verba ſi ad eum qui ſcripſit referantur. Nunc verò dicens etiam latuiſti, non qualis ego. Sed qualem eſſe me oportet, vt huiuſmodi laudes merear. Multa tibi bona contingant, tum propter ſtudium tuum, tum propter ingenij mãſuetudinem, & amoris memoriam, & quod maximum eſt, quòd etiam non præſens, ſimillimum præſenti te præbueris.

Pancratio.

QVi Sirenas præterlegerent nauigando & carmina auribus perciperent, non patriæ deſiderio tenebantur, neque liberorum recordabantur. Omnia verò pati eis pulchrius & honeſtius videbatur, quàm ab his diſcedere, quarum voluptatem erant experti. Nos verò tuam muſam ſummo, quod aiunt, digito guſtantes, ſic omni cupiditate ad eam delati cùm furore ſimus, vt paulùm abſit quin ab ea capiamur, quanquam corporibus diſtare neceſſe ſit. Soluentibus autem nobis cogitatione, vnà ſoluimus. Et nunc Alexandri vrbem habitamus, atque vobiſcum eſſe per imaginationem fingimus. Eiuſmodi ſententiam amores mihi ingenerarunt. Et ſi paulìſper reſipiſcens ad meipſum redeam, in narrationibus de te comparatis, voluptatem ac delicias habeo & omnes viciſſim de vobis commemorant, alius facilitatem ſermonis, alius morum grauitatẽ, alij ſuauem appellant, alius moderationem animi rec ẽſet, alius te Muſas in lingua ferre dicit, & quilibet alios præuertere contendit, ſolus tuis virtutes prædicando. Tu verò ſcribe, literis abſentiam fouens, & eum qui adfert epiſtolam libenter videre dignare.

Nephalio.

QVantùm in nos olim iræ immiſiſti per literas,

tantùm nūc bonitatem noſtram expectationem viciſti. Nam preterita corrigere, & cōſolari eum qui amicitię confidens iniuriam patitur, quomodo non ſapienti animo præditi viri ſit, & qui moleſtiam ac dolorem ſanare poſſit. Vnum ex veſtris duntaxat mihi dolorem attulit, quòd tantum me paſſum arbitraris, vt etiam muneribus opus ſit, quæ ſententiā mutarēt, quemadmodum Agamemnon alibi Theſſalum militem. Attamen lubenti ac procliui animo dona capio, non his magis permotus, quàm eius qui miſit voluntate & conſilio. Qui verò adfert epiſtolam veſtram, amicitiam expetens, impetret eam, dummodo petendi non moleſtus ſit.

Ioanni.

ACcepi tuam amicam, & plenam omnino Veneris epiſtolam qua diuturni ſilentij Socratico more dæmonium incuſat. Me verò poſitum humi & ad celſitudinem virtutis reſpicere non valentem, quid enim aliud quàm Sophiſtam, vt tu fortaſſe ludas, ad ipſam vſque philoſophiam laudibus euehis, immò aures circumuenis, vt furtim ornatæ laudibus nihil ad ſe pertinentibus, ferant moderatè Rhetoricam accuſari. Et patitur ſanè conſuetas has cantillationes, ſimulachrum partis politicæ, & colloquium cum populo & quicquid ludentium ſermonibus placet, non enim dixerim inuidentium pudore philoſophiæ ac Platonis. Et tu ipſe, vt opinor, cùm de arte, ô ſapientiſſime, contrariam ſententiam habeas, Scommatum vt apparet gratiam, aſini, nimirum, vt dicitur, vmbram exprobas, Thraſymachos nobis & pullos aſſignas, & quæcunque Platonis Gratiæ finxerunt. Sed deſine in poſterum ô optime maximis rebus malè loqui. Sin minus: at in opportunius tempus reſeruo minas.

Diodoro.

CVm veſtras literas legiſſem, in veteris beatitudinis recordationem ſum adductus. Nilum illum & apud ipſum veſtri ſpectaculi voluptatem, animo cogitans. Et mihi deplorare venit in mentem fortunæ viciſſitudinem, in ſuperiorem inferioremque partem inclinantem. Iam conducit homines, quemadmodum nemo ſperarit, iam iterum diſiungit, quos preter ſpem coniunxerat. At ſapiens quoddam remedium contra eam excogitarunt, epiſtolis amorem reuoluentes ac incitantes, & præſentiam quodammodo literis machinantes.

Eidem.

EIs qui dant operam amicitiæ, ſufficere beneuolentiam arbitror, & neceſſarijs vſibus promptè, & alacriter inſeruire. At ſtatim omnia profundere, neque aliàs iuſtum eſt, neque ei qui beneficium accipit honeſtum. Qui enim ſemel mulctatur ad ſecūdum vſum tardior efficitur. Quòd etiamſi vobis nō accidit, amicitiæ lege ſemper confirmatis, attamen ego de his quæ mihi videntur ſcribere, pudore prohibeor. Vnde ſi me vultis libertate loquendi, apud vos ſemper gaudere, non recuſabis æs alienum vobis debitum accipere.

Iulio.

QVæ mihi acciderint, veſtrā epiſtolā accipienti,

γράμμασι, τοσοῦτον τῇ χρηστότητι τὰς ἡμετέρας ἐλπίδας ἐνίκησας. τὸ γὰρ διορθοῦσθαι τὰ φθάσαντα καὶ παραμυθεῖσθαι τὸν εἰς φιλίαν ἀδικεῖσθαι πιστευόμενον, πῶς οὐ σοφοῦ τὴν γνώμην ἀνδρὸς καὶ τὸ λυποῦν θεραπεύειν εἰδότος; ἓν μὲν μόνον τὴν ὑμετέραν ἠνίασεν. εἰ τοσοῦτον ἐμὲ πεπονθέναι δοκεῖς, ὡς καὶ δώρων δεῖσθαι μεταβαλλάττειν τὴν γνώμην. ὥς που καὶ Ἀγαμέμνων τὸν Θετταλὸν στρατιώτην. πλὴν καὶ τὰ δῶρα δέχομαι προθύμως, οὐ ταῦτα ζηλώσας μᾶλλον, ἢ τὴν τοῦ πεπομφότος προαίρεσιν. ὁ δὲ φέρων τὴν ἐπιστολὴν τῆς ἡμετέρας εὐνοίας δεόμενος, τυγχανέτω ταύτης, ἐν οἷς αὐτῇ οὐ λυπεῖ.

Ἰωάννῃ.

εἶχεν ἐν ἀπορρήτῳ. καὶ τὸν πέμψαντα ὡς ἀληθῶς ἐμιμοῦντο. γελοῖον δὲ ὅτι καὶ σημεῖον ἐπέθηκας αὐτοῖς, οἷον εὐφρᾶναι τὸν ἀπατώμενον, οὐδὲν δὲ ἀπεικὸς ἐπεπόνθειν αὖ, πολλάκις ἐφ᾽ οἷς ἐπίστευον διημαρτών.

Τῷ αὐτῷ.

ΟἹ κέραμοί σου κενοὶ μὲν ἦσαν ἀρθέντες. ὄξος δὲ ἔφερον ἀνοιχθέντες. οὕτω καὶ ὀλίγον ἐν αὐτοῖς ὑπῆρχε καὶ πονηρόν. ὥς τι εἰ τοιαῦτα τιμᾷς, ἀμείνων ἂν εἴης ἀγνωμονῶν.

Τῷ ἄρχοντι Ἱεραπόλεως.

ΟἹ τὰς ἀρχὰς ἐνδόξως μετιόντες ὥσπερ ὑμεῖς, πλεῖον τοῦτο ἐπιτηδεύουσι. φίλους ποιεῖσθαι πλείους ἐν ταῖς ἀρχαῖς. γενώμεθα τοίνυν φίλοι τῆς μεγαλοπρεπείας τῆς σῆς, ἐγώ τε καὶ ὁ τὴν ἐπιστολὴν ὑμῖν ἐπιδιδούς. ἐγὼ μὲν ὡς γεγραφώς. ὁ δὲ ἑταῖρος Μόδεστος ὧν βούλεται ῥᾳδίως ἐπιτευξόμενος.

Εὐσταθίῳ.

ΑΡα μὴ φαίνομαι βραδὺς εἰς ἐπιστολὴν; ἢ τοὐναντίον καὶ ἐχληρός. ἀλλ᾽ εἰ καὶ τὸ δεύτερον δοκοίην, αὐτὸς αἴτιος ἐπιστέλλων, ὅτι μετέωρος ἡ χάρις ἐστὶ τὴν ἐμὴν ἀπόκρισιν περιμένουσα.

Θεοδώρῳ.

ΕἸθε ἦν καὶ πυθέσθαι, ὅπως ἡμῖν τοῦ σώματος ἔχεις. ἐπειδή σοι τοῦτο καὶ μόνον ἐνοχλεῖ. τὰ γὰρ τῆς ψυχῆς ἀμείνω καὶ θειότερα πέφυκε. κἂν δεξαίμην οὕτως ἔχειν ἑτέρους. ὥς τι εὐδαιμονέστερον ἐντεῦθεν εἶναι τὸν χρόνον. γράφε οὖν ὁσάκις ἐνδιδῶσι τὸ νόσημα, καὶ πότε καὶ ὅσον νενίκηται, καὶ ὅπως παρεχώρησε ταῖς ἡμετέραις εὐχαῖς. τὸν δὲ ἑταῖρον Ἀρχέλαον ἐκ τῶν ὑμετέρων γραμμάτων ἔχω διὰ νοίας ἀεί, μεγάλην σύστασιν ἡγησάμενος ἐπιστολὴν ἀνδρὸς ἀγαθοῦ.

Ἰλασίῳ.

ΑΡα μὴ λέληθα ἐμαυτὸν εἰς παροιμίαν ἐλθὼν; καὶ γέγονα λύκος χανὼν διὰ κενῆς; καί τις ἂν πιστεύσειε ταύτην ἐπ᾽ ἐμοὶ τὴν παροιμίαν ἰσχύειν, ὅτε ὑμεῖς αὐτὴν προσδοκίαν ἐποιήσατε, συζεύξαντες τὰ ἆθλα τοῖς ἐπιτάγμασιν. εἰ μὲν οὖν ὡς ἔχρην ἠγωνισάμεθα καὶ λαμπρὰν αἰτοῦμεν τὴν δωρεάν. εἰ δὲ ἧττον ἐξελέξαμεν ἢ νομίζομεν, ἀλλ᾽ οὐ χεῖρον ἠβουλήθημεν ἢ προεφαινόμεθα. βούλησις δὲ ἴσως ἅπαντα κρίνεται. ἀπόδοτε τὴν σύνταξιν ἀνθρώποις ἢ δυναμένοις ἢ βουλομένοις. καὶ δότε πρόφασιν ὑμνῆσαι τὴν φιλότιμον καὶ σοφωτάτην ἀρχήν. αὐτοὶ πρὸς ἕκαστον ὑφηγούμενοι τῶν πεπραγμένων.

Ἀζυγίῳ.

ΔΌς μοι τὰς ὑποσχέσεις ἢ μᾶλλον ἀπόδος. λέγω δὲ ἀπόδος, οὐ κατὰ τὸν τῶν ὑποσχέσεων νόμον, ἀλλ᾽ ὅτι τὸ θεραπεύειν ἡμᾶς, ὡς ὄφλημα σαυτοῦ ἀπαιτεῖς. καὶ περὶ ὧν ἤδη τυγχάνω αἰτήσας ἐπίστελλον ἀκριβῶς ὡς ὅτι τὸ θέρος ἐνδίδωσιν ἢ θαρρεῖν δι᾽ ἡμᾶς ἢ διαμεῖναι ὡς ἡμᾶς.

Ῥωμύλῳ.

ΕΚ μὲν τῆς ἤδη γραφείσης ἐπιστολῆς, καὶ περιττὸν σε διὰ τῆς προθυμίας ἐνόμισα. χρόνου δὲ ἤδη

καὶ πεμφθέντος εὐθέως ἐν προσεδόκησα, γράφειν εὐθὺς ἐγκλήματα πρὸς ἐμὲ [illegible] πάλαι δὲ ἔτι, ἀνύσειν. ἡ πάντως ἐλπὶς τα[illegible] λήμματα.

Φιλο[illegible].

Τί οὖν [illegible] παλαιὰς ἐξετάζεις. τοῦτο μέντοι ἐξῆς ὑπὸ προτέρας οὔτε δευτέρας [illegible] ἐπιστολῆς. καίτοι φιλοῦντός τι ἦν καὶ ἴχνη λέγειν. μαρτυρεῖ γὰρ ἡμῖν τὸ πέμπειν ἐπιστολάς. πῶς οὖν τοῦτο ποιεῖς. ἀποκρίνασθαι γράφων. εἰ μὴ καὶ τοῦτο μεμψιμοιρεῖς. ἀλλ' ἐνταῦθα καὶ σεαυτὸν ἀδικεῖς καὶ ἐμέ. σεαυτὸν μέν, κυρίαν ἰδὼν καὶ σοῦ τὴν αἰτίαν. ἐμὲ δὲ μηδὲ [illegible] ἐν ἧ πασαμένην ἀπολογίας ἀξιῶν.

Πλακιδιανῷ.

Ἤδη σοι γράψας ἐπιθυμοῦντι, τὴν μὲν ἡδέως εἰληφέναι τὴν ἐπιστολὴν παρὰ τοῦ κομίσαντος ἔμαθον. παρὰ σοῦ δὲ οὐδέν. ὥστε ἐξ ἂν μὲν οὐκ ἀποκρίνασθαι, συμβουλεύεις ἔτι μὴ γράφειν. ἐπεὶ δὲ καὶ ὁ νῦν αἰτήσας ἀπὸ τῶν ὁμοίων ὧνπερ καὶ ὁ πρότερος ἤτει, πάλιν σοι γράφω. τὰ δὲ ἐγκαλοῦντα οὐ πέμψω.

Εὐτοκίῳ.

Πρὸς σαυτοῦ καὶ τῆς παλαιᾶς φιλίας ἡμῶν, οὐ δοκῶ σοι γράφειν, ἀναισχυντεῖν; ἀνδρὶ μηδὲ εἰδέναι με βουλομένῳ τὰ γράμματα; ἀλλ' ἔτι μὲν ἐλπίζων μεταθήσειν ὑμᾶς καὶ ἐπὶ τοῦ παρόντος ἐπέστειλα. ἀποτυχὼν δὲ νῦν αὖθις, ἀναιδὴς οὐκ λήσομαι. τοῦ Μοδέστου δὲ πλεῖστα ἐπαινοῦντος σου κηρύσσοντος παρὰ πολλοῖς, ἀναγκαῖον ἡγησάμην καὶ δι' αὐτοῦ, καθάπερ διὰ τῆς ἐπιστολῆς, ὑμῖν ὁμιλῆσαι.

Λεοντίῳ.

Εἶχον μέν τινα λύπην ἄχρι τοῦ παρόντος καὶ δικαίαν πρὸς σέ. τὴν δὲ αἰτίαν ἀγνοεῖς. εἰ δὲ ἀγνοεῖς, ἀναμνήσω. γεωργοῖς ἐμοῖς ἐβοήθεις ἀδικουμένοις. παυσάμενος οὖν τοῦ λυπεῖν, ἐπανήγαγες αὖθις εἰς τὸ φιλεῖν. φιλήσω δὲ ἔτι μᾶλλον ἐγώ, εἰ μελήσει σοι τῶν ἐμῶν, ἀλλὰ μὴ τῶν ἀδικούντων ἐμέ.

Δημοφίλῳ.

Ἄρχε μὲν εὐτυχῶς. εὐτυχήσεις δὲ ὢν ἀγαθός. ἐπεὶ καὶ φιλεῖ τὸ θεῖον τοὺς ἀγαθούς. τὸ δὲ μεμνῆσθαι τῶν φίλων, εἴπερ ἄλλο τι καὶ τοῦτο βέβαιον παρὰ σοί. ἀλλὰ τῶν πραγμάτων ἀφελκόντων εἰς λήθην, ἔδωκα διπλῆν ἀνάμνησιν ἂν παρεκάλεσα καὶ τὸν ἐπιδιδόντα καὶ τὸ διδόμενον.

Ἀραβιανῷ.

Ἡ μὲν ἐπιστολὴ γέγραπται παρ' ἐμοῦ. τὴν χάριν δὲ οὐκ αἰτῶ μόνος, ἀλλὰ πολλοὶ δέχονται μετ' ἐμοῦ. σκόπησον οὖν. ὅπως μήτε τὴν ἐπιστολὴν τοῖς αἰτήσασι καταλίπωμεν. μήτε οἱ δεηθέντες ὑμῶν ἀποτύχωσι δι' ἐμοῦ.

Ἀμμωνίῳ.

Ἄνδρα ἐπιεικῆ καὶ παρὰ τῆς ὄψεως αὐτῆς μεμαρτυρημένον, τὸν ἀναγνώστην Οὐλπιανόν, εὖ ποιησάτω τὸ μέγεθος τὸ σὸν. καὶ δι' ὑμᾶς μὲν ὡς ἡγουμένους δεξιῶς, δι' ἐμὲ δὲ ὡς ἱκανὸν εἶναι νομίζοντα περὶ ὧν ἐπιστέλλω παρ' ὑμῖν. ἡ δὲ τῆς εὐεργεσίας αἰτία, φιλοπραγμόνος ἀντιδίκου καὶ ἀδικοῦντος ἐπηρεάζειν ἐλευθερῶσαι.

neque quicquam mitteretur, quod expectaueram, [illegible] me [illegible] & accusat[illegible] acerbum duxi. Adhuc autem adh[illegible]. F[illegible] on[illegible] ſpes in crimin[illegible] mu[illegible].

[illegible]

HOccine eſt vetu[illegible] Hoc Rhetor peritus? Neq; prior [illegible], neque poſterius ad ſcripta reſpondes. At [illegible] antis er[illegible] eius qui ea faculta[illegible] præ[illegible] tu[illegible]. Te[illegible] fi[illegible] n[illegible] obis id c[illegible] C[illegible] Cur [illegible] itur [illegible] fac[illegible] Reſpondeo per [illegible] teras niſi et[illegible] in hac in [illegible] me mulctabis. Sed hic tibi [illegible] hiq; pariter in [illegible] facis. Tibi ipſi, crimine in te collatum nú purgans, Mihi vero quod ne accuſationem quidem meam dignam putas cōtra quam ac[illegible] nſionem pares.

Placidiano.

IAm tibi cupienti ſcripſi, & epiſtolam cum voluptate acceptam eſſe ab eo qui attulerat percepi. A te nihil. Quoniam enim non reſpondiſti, delib eras ſcribere ne velis an non etiam. Poſtquam verò qui nunc petit ab iiſdem à quib. prior petebat, rurſus tibi ſcribo. Accuſatorias verò literas non mittam.

Eutocio.

PEr teipſum, & veterem conſuetudinem noſtram, non videor impudens eſſe qui ſcribá homini, qui ne nouiſſe quidem me vult, literas? Sed adhuc ſperans vos animum mutaturos, etiam in præſentia ſcripſi. Quòd ſi nunc iterum nihil proficero, ſciam me impudentem videri. Cùm autem Modeſtus maximas de te laudes vulgo prædicet, neceſſarium duxi, etiam per ipſum quaſi per epiſtolam vobiſcum loqui.

Leontio.

GEſſi quendam vſque ad præſens tempus, eúmque iuſtum aduerſus te dolorem. Cauſſam verò ignoras. Quòd ſi neſcis, redigam in memoriam. Meis agricolis auxilio fuiſti, cùm iniuria me premerent. Adempto igitur dolore rurſus in gratiam reduxiſti. Amabo autem eò amplius ego te, ſi tibi meæ res curæ fuerint, non eorum, qui mihi iniuriam inferunt.

Demophilo.

IMpera fœliciter. Fœliciter autem ages, ſi bonum ac iuſtú te geſſeris. Quoniá etiam numen bonos amat. Memoriam autem amicorum, præter cætera firmiſſimam ac ſtabiliſſimam habeto. Sed earum rerum quæ in obliuionem abſtrahunt, duplicem admonitionem dedi, his quibus adhortatus ſum, & eum qui dat, & id quod datur.

Arabiano.

EPiſtola quidem à me ſcripta eſt. Beneficium autem non peto ſolus, ſed multi hoc negotium vnà mecum ſuſcipiunt. Videbis igitur, vt neque epiſtolam petentibus prętermittamus, neque qui petierunt à vobis per me repulſam patiantur.

Ammonio.

VIrum æquum & ipſa facie teſtimonium prę ſe ferentem, lectorem Vlpianum, tua celſitudo beneficiis proſequatur, & propter vos quidē, vt rectè ritéque præeuntes, propter me vt exiſtimantē poſſe me id quod peto à vobis impetrare. Beneficij autem cauſſa eſt, vt à contentioſo aduerſario, & ad lædendos homines propenſo eum liberes.

Anthemio

Anthemio.

NOn deſinam ſcribere, donec vterque renunciemus, ego quidem literis, tu vero moleſtiis quas ex his percipis, vt exactè diſcam an me de his quæ petiui, ſpem oporteat conſeruare aut potiùs abiicere.

Nilo.

CVm nobiſcum eſſes, moleſtia nos afficiebas. Nunc peregrinans, iniuriis. Nam conſuetudinis voluptate nos priuas. Atuero ſcriptis etiam grauiorem te præbuiſti. Spei enim iucunditatem ſuſtuliſti, vt non poſſis dicere, quando nobis non moleſtiam attuleris.

Calliopio.

MAiori dolore me afficis, cùm non ſcribis, quàm commodo ex quo nos iuuiſti. Itaque ſi bonis potiri amicis ſilentiū imponit, videor magis amare tarditatem quàm feſtinationem debere, ſi optimi diſcipuli velint, quia non ſtatim gratificātur, crebriùs litteras mittere. Hoc igitur ô doctiſſime facere ne ceſſes. Neq; hoc mihi adime, quo minùs fructibus meis fruar epiſtolis ſcilicet veſtris. Quid autem de me faciendum ſit committo Deo & vobis, ne videar inſolens eſſe, ſi de iiſdem identidem loquar.

Seuero.

NEque pater vnquam poſſis liberos de ſe prognatos odio habere, & eruditionis ac morum præceptor videtur præſtantior eſſe patre. Nam ille cum voluptate operā dat progignendis liberis. Hic verò artis conſilio, bonos efficit. Perſiſte igitur bonū animū habete neque dubita de meo in te amore, quoniā artis pater eſt melior, neq; diffidere vnquam depræhendaris, num quis etiam fuerit. Nā & qui natura ſunt patres, aliquādo ſolent liberos ad iram commouere, at non etiā inuicē belligerantur.

Philoxeno.

OPto tibi ſalutem amicorum optimè & Rhetorum. Sic enim ego de te ſemper tum, vota facio, tum expecto. Et te quidem amicorū memoriā retinere, & omnia noſtra cauſſa velle, ſunt qui cōtinuò huc nuncient. At his adiice quod deeſt, & fac vt ſemper à vobis literæ adferantur.

Euſtathio.

QVi ſcripſit epiſtolam, ego ſum amicus veſter, Qui perfert, amicus meus. Efficiatur verò per me etiam tuus. Et hinc etiam, cuiuſmodi ſim, intellige: qui amicos amicis commendem. Quamobrē autem veniat, & quemadmodum ea conficienda ſint, cauſſas ipſe recenſebit. Alterius autem vos ei adiutores eſte, & plurimū amātes & ſatis prudētes.

Ioanni.

SEmper meam ad vos epiſtolam metus præcedit. Eum curat ac tollit manſuetudo quæ in vobis eſt. Scribo igitur ſpe in vos infixa, quemadmodum gubernatores, qui ad dirigentem ſtellam intentos oculos habent. Quandoquidem igitur vos etiam ita ſplendetis, ſic quoque benefacere ne ceſſetis.

Ἀνθημίῳ.

ΟΥ παύσομαι γράφων ἕως ἂν ἀπείπωμεν, ἐγὼ μὲν γράφων, αὐτὸς δὲ ἐνοχλούμενος, ὅπως ἂν καὶ μάθω βεβαίως εἰ δεῖ με περὶ ὧν ἐδεήθην τὴν ἐλπίδα τηρεῖν, ἢ μᾶλλον ἀποβαλεῖν.

Νείλῳ.

ΣΥνὼν μὲν ἐλύπεις. ἀποδημῶν δὲ νῦν ἀδικεῖς. τὴν γὰρ ἐν τῇ συνουσίᾳ τέρψιν ἀπεστέρεις. ἀλλὰ μὴν καὶ γράφων ἐγένου βαρύτερος. τὸ γὰρ ἡδὺ τῆς ἐλπίδος ἀφῄρηκας. ὥστε οὐκ ἂν ἔχοις εἰπεῖν, πότε ἡμᾶς οὐκ ἠνίασας.

Καλλιοπίῳ.

ΜΕῖζόν με λυπεῖς, ἢ ὠφέλησας οὐ γράφων ἐξ ὅτου ὠφέλησας. ὥστ᾽ εἰ τὸ τυχεῖν ἀγαθῶν, τοὺς τεθυμηκότας παρασκευάζει σιγᾶν, κινδυνεύω μᾶλλον ἀγαπᾶν τὴν βραδυτῆτα τοῦ τάχους, εἰ μάλιστα γνησιώτατοι φοιτηταί, διότι μὴ ταχὺ χαρίζονται, συχνότερον ἐπιστέλλειν. τοῦτο μὲν οὖν ὦ μουσικώτατε μὴ παύσῃ ποιῶν. μηδὲ ἀφαιροῦ με τοῖς ἐμοῖς καρποῖς ἐντυγχάνειν, ὑμετέραις ἐπιστολαῖς. ἃ δὲ ὑπὲρ ἐμοῦ πρακτέον, ἀφίημι τῷ θεῷ καὶ ὑμῖν. ὡς ἂν μὴ δοκοίην ἀπειρόκαλος εἶναι, περὶ τῶν αὐτῶν πλειστάκις διαλεγόμενος.

Σεβήρῳ.

ΟΥτε πατὴρ οἷός τε εἴη μισῆσαι τοὺς ἐξ αὐτοῦ φύντας, οὐδέποτε, καὶ παιδευτὴς ἀμείνων ἔοικεν εἶναι πατρός. ὁ μὲν γὰρ ἐν ἡδονῆς τύχῃ παιδοποιεῖται. ὁ δὲ ἐν προαιρέσει τέχνης, ἀγαθοὺς εἶναι παρασκευάζει. μένε οὖν θαρρῶν ὡς ἀγαπῶσε κατὰ τὸ ἀμείνω πατέρα τὸν τῆς τέχνης. καὶ μηδέποτε μικροψυχίας ἁλῷς. εἴ τις ἄρα καὶ γέγονεν. ἐπεὶ καὶ πατέρες οἱ τῆς φύσεως, ἐνίοτε παραλυποῦσι τοὺς παῖδας, ἀλλ᾽ οὐκ ἔτι καὶ πολεμοῦσιν ἀλλήλοις.

Φιλοξένῳ.

ΕΥ πρᾶττε φίλων ἄριστε καὶ ῥητόρων. οὕτω γὰρ ἐγὼ διατελῶ περὶ σοῦ, τὰ μὲν εὐχόμενος, τὰ δὲ προσδοκῶν. καὶ σὺ μὲν ὅτι μέμνησαι φίλων καὶ σπουδάζεις ὑπὲρ ἡμῶν, εἰσὶν οἱ δεῦρο ταῦτα συνεχῶς ἀπαγγέλλοντες. πρόσθες δὲ τούτοις τὸ λειπόμενον καὶ δίδου συνεχῶς ὑμετέραις ἐντυγχάνειν ἐπιστολαῖς.

Εὐσταθίῳ.

ΟΓράφων ἐγὼ τὴν ἐπιστολὴν, φίλος ὑμῖν. ὁ κομίζων φίλος ἐμοί. γενέσθω τοίνυν καὶ σοὶ δι᾽ ἐμέ. καὶ γνῶθι κἀνταῦθα, ποδαπός τις εἰμὶ φίλους εἰσάγων τοῖς φίλοις. ἐφ᾽ οἷς δὲ ἥκει καὶ ὅπως αὐτῷ χρὴ διατεθεῖναι, τὰς μὲν αἰτίας αὐτὸς διηγήσεται. πρὸς δὲ τὸ δεύτερον ὑμεῖς ὑφηγήσασθε καὶ φιλοῦντες ἄγαν καὶ φρονοῦντες ἱκανῶς.

Ἰωάννῃ.

ΑΕὶ μὲν φόβος ἡγεῖταί μοι τῆς πρὸς ὑμᾶς ἐπιστολῆς. θεραπεύει δὲ αὐτὴν ἡ πραότης ἡ παρ᾽ ὑμῖν. γράφω τοιγαροῦν τῆς εἰς ὑμᾶς ἐλπίδος ἐχόμενος, ὥσπερ οἱ κυβερνῆται βλέποντες εἰς τὸν ἀπευθύνοντα τὸν ἀστέρα. ἐπεὶ οὖν καὶ ὑμεῖς οὕτω καταλάμπετε, μένετε καὶ οὕτως εὐεργετοῦντες.

Εὐσταθίῳ Κοιαίστορι.

Καὶ προθυμία καὶ προσδοκία, οὐ μικρὰ παρ' ἡμῖν. πρότερον μὲν ἰδεῖν ὑμᾶς. ἔπειτα δὲ καὶ εἰπεῖν εἰς ὑμᾶς. ἀλλὰ τὸ μὲν πρότερον ἐν ὑμῖν. τὸ δὲ δεύτερον ἐν τῇ πόλει κἀμοί. μᾶλλον δὲ καὶ τοῦτο ἐν ὑμῖν. οὐ γὰρ δὴ μικρὸν κώλυμα εἰς πανήγυριν, πόλις ἀθυμοῦσα. καὶ παιδευταὶ ματαΐζειν οὐκ ἀνεχόμενοι.

Ἐλισσαίῳ.

Μία πρὸς ἡμᾶς ἐπιστολή. παρὰ σοῦ παρ' ἐμοῦ δὲ εἴ τις ὑμῖν ἀποδέδωκεν, αὕτη τετάρτη. πρᾶττε τοίνυν καλῶς, καὶ μέμνησο τῶν φίλων. κἄν τί σοι δεξιὸν συμβῇ, γράφε πρὸς ἐρῶντα μαθεῖν.

Πλακιδιανῷ.

Ὁ πρότερον πιστεύσας σοι δι' ἐμέ, νῦν ἐμὲ μέμφεται διὰ σέ. λῦσον οὖν τὸ χρέος. ἵνα μὴ κἀγώ σοι μέμψωμαι δι' ἐκεῖνον.

Σαλβιανῷ.

Τὰς ἐπιστολὰς οἱ τὴν ἀρχὴν εὑρόντες, δοκοῦσί μοι διὰ πρόσρησιν εὑρεῖν. πραγμάτων δὲ ἴσως ἐγγινομένων, παρηκολούθηκέ τι καὶ νεώτερον ὑπὲρ αὐτῶν ἐν ταῖς ἐπιστολαῖς διαλέγεσθαι. ἢν οὖν μὲν ἐμπίπτοι πράγματα καὶ μακρολογεῖν ἀνάγκη. τούτων δὲ ἀπόντων πῶς ἄν τις χαρίσαιτό σοι μακροτέρας ὁμιλίας ἐρῶντι. καλοῦσι γὰρ ὁμιλίαν καὶ τὴν ἐν τοῖς γράμμασιν. οὐδὲν πολὺ συνουσίας διαφέρουσαν.

Ἱερίῳ.

Εἶτα ὦ σοφώτατοι τῶν ἐν τῇ γῇ, χρήματα μὲν αἰτήσας ἔλαβον ἂν ῥᾳδίως. ἐπιστολὴν δὲ ὑμετέραν ἰδεῖν, πολλάκις μὲν εὐξάμενος, πολλάκις δὲ ἱκετεύσας, ἀνάξιος εἶναι τοῦ τυχεῖν ὑπωπτεύομαι; καίτοι φιλῶ μὲν ὡς ὀλίγοι, τιμῶ δὲ ὑπὲρ τοὺς ὀλίγους.

Ἡσυχίῳ.

Ἐγὼ καὶ σοῦ κήδομαι καὶ Τιμοθέου. σοῦ μὲν ὡς μὴ ἀδικοίης. Τιμοθέου δὲ ὡς μὴ ἀδικοῖτο. εἰ δὲ καὶ σοὶ δοκεῖ μετὰ Πλάτωνος τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι μεῖζον εἶναι κακόν, ἔοικα σοὶ μᾶλλον ἢ τούτῳ χαρίζεσθαι, δεόμενος ὑπὲρ αὐτοῦ προτίσειν δίκας ὑπὲρ ὧν οὐκ ἐξήμαρτε.

Σεργίῳ.

Πολλῆς ἐνέπλησέ με φροντίδος κομίσας τις περὶ ὑμῶν ἀγγελίαν ἐπαχθῆ. καίτοι τὰ βελτίω προσεδεχόμην ἀκούειν. πέμψον οὖν θᾶττον ἐπιστολὴν πρὸς ἐμὲ μέλλοντί μοι συνδιατεθῆναι τοῖς γεγραμμένοις.

Λεωνίδᾳ.

Ἔρρωσο. τοῦτο γὰρ ἐγὼ καὶ συνεύχομαί σοι. καὶ ἀκοῦσαι ποθῶ περὶ σοῦ. κἂν ὅτι τοῦτό ἐστι παρ' ὑμῖν ἐπιστείλῃς, οὐ μικρὰν ἔχειν δωρεὰν ἡγοῦμαι παρὰ τῆς τύχης.

Καλλιοπίῳ.

Τοῖς σοῖς ἀπαντῶν ἀεὶ καὶ ὅπως ἔχεις ἐρωτῶ, καὶ εἴ του δέοιο, μὴ συνὼν ἀπαντῶν. λεγόντων δὲ ἀμφότερα, σὲ μὲν ὑγιαίνειν, αὐτοὺς δὲ χρῄζειν οὐδενός, χαίρων ἐγὼ δικαίως ἀπέρχομαι.

Euſtathio Quæſtori.

ET ſtudiũ & expectatio apud nos haud exigua, primùm quidem vos videndi, deinde etiam ad vos loquendi. Sed primùm in vobis ſitum eſt. Alterum in vrbe atque me, immò etiam hoc in vobis. Non enim vulgare impedimentum ad vniuerſales conuentus. ciuitas mœrore depreſſa & ludi magiſtri iuuare nolentes.

Eliſſæo.

VNa ad nos à vobis epiſtola data eſt. A me verò, ſi quis vobis reddidit, hæc eſt quarta. Bene igitur vale, & amicorum memor eſto, ac ſi quid tibi proſperum acciderit, perſcribas ad amantem vt ſciat.

Placidiano.

QVi priùs tibi credidit mea cauſſa, nũc tua cauſſa me accuſat. Solue igitur debitum, ne & ego te illius cauſſa accuſem.

Salniano.

QVi literas à principio inuenerunt, appellandi cauſſa ac ſalutandi mihi videntur inueniſſe. Rebus autem forte fortuna intercedentibus, factum eſt deinceps, vt ad nouum etiam vſum illis adhiberetur, déque iiſdem homines per epiſtolas diſſererent. Itaque ſi res incidant, opus eſt longis verbis. His autem deficientibus, quo longiora colloquia quiſpiam amanti tibi largiatur? Voco enim colloquium, etiã literis comprehẽſum ſermonem, cùm non multùm à conſuetudine præſentia differat.

Hierio.

ITa-ne ô ſapientiſſimi mortalium, facilè acceperim, ſi vel pecunias petam. Veſtram autem epiſtolam videre cùm ſæpè optarim, ſæpè rogarim, indignus qui impetrẽ eſſe videor? Atqui amo vt pauci, colo verò etiam plus quàm pauci.

Heſychio.

EGo & tui & Timothei curam gero. Tui ne inferas iniuriam, Timothei, ne iniuriã accipiat. Quòd ſi etiam cum Platone putas. Iniuriam auferre grauius malum quàm accipere, equidẽ tibi magis quàm illi gratificari videor, cùm pro illo rogem ne pœnas dependat, cùm nihil peccarit.

Sergio.

MAgnam ſollicitudinem attulit mihi quidam grauem nuncium de vobis apportans. Atqui meliora me auditurum ſperabam. Quare fac vt celeriter epiſtolam ad me mittas, qui ad ſcripta ſum animi affectionem applicaturus.

Leonidæ.

VAle. Hoc enim & ego tibi precor & de te audire cupio. Atq; ſi id vobis ſuppeditari ſcripſeris, non leue munus à fortuna puto habere.

Calliopio.

QVoties in tuos incido, & quomodo tecum agatur, interrogo, & num qua re opus habeãt, requiro. Dicentibus autem vtrunq; te quidem optimè valere, ſe verò nullius indigere, iure gaudens ac lætus ego diſcedo.

Sergio.

VEhemẽter tuas literas exoſculat' ſum, & philoſophantes & adhortantes. Sic autem ſtatue nihil eſſe, neq; temporibus, neque vtilitate fortius.

Moternio.

ETiam pauca tuæ celſitudini ſcribens, quòd amo & memor ſum veſtrûm, oſtẽdo. At tu quoque me imitatus, oſtẽdes idem quemadmodũ ego.

Ægyptio.

SCio ſuperbas & inſolentes meretrices ita facere ſolere, & quiduis amatorib. imperare velle. Sed illæ norunt etiam obedire cùm iubent. Tu verò Laïdem Corinthiam, promptè quidem iubendo, imitaris, vix autem obediendo.

Ioanni.

VIni Gnidij magna copia vos aiunt abundare, vt etiam in foro venum exponatis. Nos autẽ, qui Syrum incolimus, aliis vitibus vtimur. Veſtras autem beatas prædicamus, tantò fœliciùs, quantò magis neceſſariò. Mittite igitur mihi cados qui ad annum ſufficiant, aut precium accepturi, aut beneficium aliud pro beneficio repetituri.

Abramio Epiſcopo.

OPortebat eos qui ad viri virtutem ſcripturi eſſent, & temporis longitudinẽ quęrere, & verborum dignam facultatem inuenire. Peccatum eſt enim non tolerandum, eiuſmodi res ſuſcipere, quibus & temeritas arguitur, & virtus humilitate verborum iniuriá patitur. Hoc igitur nobis & moram iniecit, & crimen in opinione poſitum attulit. Amicorum enim memoriam abieciſſe videbamur quòd ne literis quidem ipſis nos videndos præberemus. Cognita igitur cauſſa ſi perpendas amicitiá, non planè inſtabilem meum animum putabis. Etenim ne tu quidem ipſe, vt opinor, omnino meum conſilium improbabis, quod exiguæ tantùm ſecuritatis curam habet. Quamobrem ora pro nobis. Hoc enim & mihi optatum atque ſalutare, & tibi commodum atque iuſtum.

Dionyſio Epiſcopo.

ACcepi tuam epiſtolam bona valetudine prælitus, reſcribo autem tibi ægrotus. Laboro enim illo conſueto morbo, in quo inſunt pedũ dolores intolerabiles, & ex eo quod dormire nõ poſſum, exiſtentia mala & amor mortis. Ad hæc veſtris precibus eſt opus. Precibus autem dico ſolitis, placandi Dei cauſſa. Nam ego ſæpenumero iam cùm publicè tum primatim fruſtrà precatus ſum. Adeò ſunt peccata grauia & multa. Quòd ſi quid à vobis inuentum eſt quod poſſit, etiam ſi non omnes in vniuerſum labores tollere, at ſaltem partem adimere, mitte quàm celerrimè, & amici corpori fer auxilium.

Euſebio.

ET equos præſtantiſſimos ferunt, cùm in certamen venerint, ad extremum curſu meliores eſſe quàm à principio, & præclarus Aquilinus multò nunc eſt in laboribus alacrior & ſtudioſior quàm antea, & ſumma contentione eo incumbit, vt nullum eruditionis genus ignoret,

Σεργίῳ.

ΣΦόδρα μὲν σου περιεπτυξάμην τὰ γράμματα φιλοσοφήσαντα καὶ παραινέσαντα. γίνωσκε δὲ ὡς οὐδὲν οὔτε τοῦ καιροῦ, οὔτε τοῦ συμφέροντος ἰσχυρότερον.

Μοτερνίῳ.

ΚΑὶ βραχέα τῷ μεγέθει σου γράφων, ὅτι φιλῶ καὶ μέμνημαι δείκνυμι. ποιῶν δὴ καὶ αὐτὸς ὥσπερ ἐγώ, τοῦτο δείξεις ὥσπερ ἐγώ.

Αἰγυπτίῳ.

ΟΙδα καὶ τὰς ὑπερηφάνους τῶν ἑταιρῶν οὕτω ποιούσας καὶ πάντα ἐπιτάττειν βουλομένας τοῖς ἐρασταῖς. ἀλλ' ἐκεῖναι μὲν ἴσασι καὶ θεραπεύειν ὅταν κελεύωσι. σὺ δὲ Λαΐδα τινὰ Κορινθίαν ἀπομιμῇ, κελεύων μὲν ἑτοίμως, ὑπακούων δὲ οὐδὲ μόλις.

Ιωάννῃ.

ΤΟν οἶνον τὸν κνίδιον φασὶν οὕτω πολὺν ἔχειν ὑμᾶς, ὥστε καὶ ἐπ' ἀγορᾶς αὐτὸν διαπιπράσκειν. ἡμεῖς δὲ οἱ τὴν Συρίαν οἰκοῦντες, ἄλλαις μὲν ἐντυγχάνομεν ἀμπέλοις. τὰς δὲ παρ' ὑμῖν μακαρίζομεν, ὅσῳ εὐδαιμονέστεραι, ὅτι καὶ ἀναγκαιότεραι. πέμψατε οὖν μοι κεράμια αὐταρκοῦντα εἰς ἔτος, ἢ ληψόμενοι τὴν τιμὴν ἢ χάριν ἀντὶ χάριτος ἀπαιτήσοντες.

Αβραμίῳ ἐπισκόπῳ.

ΕΔει τοὺς ἀνδρὸς ἀρετὴν μέλλοντας γράφειν, καὶ χρόνου μῆκος ἐπιζητεῖν, καὶ δύναμιν λόγων ἀξίαν εὑρεῖν. ἁμάρτημα γὰρ ἡ φορὰ τὸ τοιούτοις πράγμασιν ἐγχειρεῖν. ἀφ' ὧν καὶ τὰ τῆς προπετείας ἐλέγχεται, καὶ τὰ τῆς ἀρετῆς ἐκ τῆς μικρολογίας ὑβρίζεται. τοῦτο τοίνυν ἡμῖν καὶ τὴν ἀναβολὴν πεποίηκε, καὶ τὸ δοκοῦν ἔγκλημα προσέθηκε. φίλων γὰρ ἐδόξαμεν ἀμνημονεῖν πρὸς αὐτοὺς μηδὲ γράμμασι φανέντες. γνοὺς τοίνυν τὴν αἰτίαν καὶ σκοπῶν τὴν φιλίαν, μὴ παντελῶς τὴν ἐμὴν ἀβέβαιον νομίσῃς διάνοιαν. οὐδὲ γὰρ οὐδὲ αὐτὸς οἶμαι, τὴν τοιαύτην κακίζεις ἐπι[illegible] προαίρεσιν, ἥτις μικρᾶς γοῦν ἀσφαλείας πεφρόντικεν. εὔχου τοίνυν ὑπὲρ ἡμῶν. τοῦτο γὰρ κἀμοὶ ποθεινὸν καὶ σωτήριον, καὶ σοὶ προσφιλὲς ἅμα καὶ νόμιμον.

Διονυσίῳ Ἐπισκόπῳ.

ΕΛαβόν σου τὴν ἐπιστολὴν ὑγιαίνοντος. ἀντεπιστέλλω δέ σοι νοσῶν. νοσῶ δὲ ἐκεῖνα τὰ εἰωθότα. ἐν οἷς ἀλγήματά τε ἀφόρητα τῶν ποδῶν, καὶ τὰ ἀπὸ τοῦ μὴ δύνασθαι καθεύδειν κακά, καὶ τὸ ἐρᾶν θανάτου. πρὸς ταῦτα εὐχῶν δεῖ τῶν ὑμετέρων. εὐχῶν δὲ λέγω τῶν ἐθάδων. τοῦ δυσωπεῖν τὸν θεόν. ὡς ἐγὼ πολλάκις ἤδη καὶ τὰ κοινὰ καὶ τὰ ἴδια μάτην εὐξάμην. τοιοῦτον ἐστὶν ἁμαρτίαι βαρεῖαί τε καὶ πολλαί. εἰ δέ τι παρ' ὑμῖν εὕρηται τοιοῦτον ὃ δύναται, εἰ καὶ μὴ τὸ πᾶν ἀνελεῖν τοῦ πόνου, ἀλλ' ἀφαιρεῖν μέρος, πέμπε τάχιστα, καὶ βοήθει φίλου σώματι.

Ευσεβίῳ.

ΚΑὶ τῶν ἵππων λέγουσι τοὺς ἀρίστους, ἐπειδὰν εἰς ἀγῶνα ἔλθωσιν, εἶναι τὰ τελευταῖα βελτίους ἢ τὰ πρῶτα τῶν δρόμων. καὶ ὁ καλὸς Ἀκυλῖνος, φιλοτιμότερός ἐστιν ἐν τοῖς πόνοις νῦν μᾶλλον, ἢ πάλαι. καὶ προθυμεῖται μὲν οὐδὲν εἶδος ἀγνοῆσαι, παι-

δείας. τοὺς δὲ περὶ αὐτὸν παλαιοὺς ἐπαίνους ἐπισκιάζειν μακρούς. αἱ τοιαῦται δὲ τῶν νέων ἐπιθυμίαι, βίβλων ἐπιδέονται πλήθους. τοῦτο δὲ οὐκ ἂν γένοιτο, εἰ μὴ παρείη χρυσός.

Ιουλιανῷ.

ΕΠεδήμησέ τις ἡμῖν ἐκ τῆς ὑμετέρας. καὶ τὸν υἱὸν ἐπαγόμενος ἐπὶ λόγους. ἐγὼ δὲ ἰδὼν ἄνδρα λίαν ἀτηρῆ, καὶ ὡς ἂν τύχῃ ταῖς ἀπάταις ἀγόμενον, ἠρόμην τί τοὔνομα εἴη τοῦ ξένου. τῶν παρόντων δέ τις εἰδέναι δοκῶν, Μακάριος ἔφησεν. ἐγὼ δὲ ὡς ἤκουσα τό, Μακάριος, πάνυ γε ἔφην, εἴπερ οὐκ ἐπεδήμησεν.

Τῷ αὐτῷ.

ΕΠέστειλά σοι γαμοῦντι. καὶ συγγνώμην ἔχω μετὰ τὸν γάμον σιγῶντι. οὐδὲ γάρ ἐστιν ὡς ἔοικεν οὐδενὶ παῤῥησία, δεδεμένῳ γυναικείαις ἀπάταις.

Ρούφῳ Σχολαστικῷ.

ΛΟγος ἐστὶ παλαιός. μὴ ῥαδίως κίλικας ἀληθεύειν. καὶ δέδοικα μὴ κιλικίαν ἰδὼν, ἐκοινώνησας αὐτῇ καὶ τῶν τρόπων. ποῦ γὰρ τὰ γράμματα. ποῦ δὲ τὸ συνεχῶς ἐπιστέλλειν. ἢ οὐχ αὕτη μὲν ἦν ἡ ὑπόσχεσις, μεμένηκε δὲ λόγος ὑπόσχεσις. ἐμὲ μὲν λυπεῖσθαι ποιῶν. σὲ δὲ κίλικα δεικνύων.

& veteres ſuas laudes nouis & maioribus obſcuret. Eiuſmodi iuuenum cupiditates, opus habent librorum multitudine. Hoc verò non poteſt fieri, niſi præſtò ſit aurum.

Iuliano.

DIuerſatus eſt quidam apud nos de veſtris ciuibus & filium ad bonas literas ac diſciplinas adduxit. Ego verò cùm viderem hominem admodum eſſe ſimplicem, & quibuſuis fraudibus expoſitum, rogabam quodnam eſſet hoſpiti nomē. Tum Quidam ex præſentibus qui ſcire videbatur Macarius, inquit, beatus. At ego cùm audiſſem Macarius, planè inquam ſi non peregrinaretur.

Eidem.

SCripſi tibi nuptias agenti. Et quidem veniam tibi do tacenti poſt nuptias. Neq; enim eſt vlli, vt videtur, libertas loquendi, qui mulieris illecebris vinctus tenetur.

Rupho Scholaſtico.

VEtus dictum eſt. Cilices non facilè dicere verùm. Et ſanè metuo ne conſpecta Ciliſſa, in morum etiam communionem cum ea veneris. Vbi enim literæ? Vbi frequēs & crebra literarū miſſio? Aut nō fuit illa promiſſio, ſed manſit ſermo tātùm promiſſio, mihi quidē adferens mœrorem, te verò Cilicem efficiens.

ΛΥΣΙΔΟΣ ΠΥΘΑΓΟΡΕΙΟΥ

LYSIDIS PYTHAGORICI.

Επιστολὴ πρὸς Ιππαρχον.

ΜΕτὰ τὸ Πυθαγόραν ἐξ ἀνθρώπων γενέσθαι, οὐδέποτα διασκεδασθήσεσθαι τὸ ἄθροισμα τῶν ὁμιλητῶν, ἐς τὸν ἐμαυτοῦ θυμὸν ἐβαλόμαν. ἐπεὶ δὲ παρ' ἐλπίδας ὥσπερ ἀπὸ ναὸς μεγάλας φορτίδος ἐν ἐρήμῳ πελάγει λυθείσας, ἄλλος ἄλλοσε φορεύμενοι διεσπαρμένοι, ὅσιον καὶ μὰ μνᾶσθαι τῶν τήνου θείων καὶ σεμνῶν παραγγελμάτων, μηδὲ κοινὰ ποιεῖσθαι τὰ σοφίας ἀγαθὰ, τοῖς μηδ' ὄναρ τὰς ψυχὰς κεκαθαρμένοις. οὐ γὰρ θέμις ὀρέγειν τοῖς ἀπαντῶσι τὰ μετὰ τοσούτων ἀγώνων πορισθέντα. οὐδὲ γὰρ βεβάλοις τὰ ταῖν ἐλευσινίαιν θεαῖν μυστήρια διηγεῖσθαι. κατ' ἰσότητα δὲ ἄδικοι καὶ ἀσεβέες ἀμφότεροι οἱ ταῦτα πράξαντες. καλὸν δὲ ἀναλογίζεσθαι ὅσον χρόνου μᾶκος διεγάγομες ἐκματξίσαντες, ἄχρ' ὑπιόμενοι ἀείλοις τοῖς ἐν τοῖς στάθεσιν ἁμῶν ἐγκεκολαμμένοις. ἕως πέντε διελθόντων ἐτέων, ἐγενόμεθα δεκτικοὶ τῶν τήνου λόγων. καθάπερ γὰρ οἱ βαφέες προεκκαθάραντες ἔστυψαν τὰ βάψιμα τῶν ἱματίων, ὅπως ἀνέκπλυτον τὰν βαφὰν ἀναπίωντα, καὶ μηδέποκα γενησομέναν ἐξίταλον, τὸν αὐτὸν ὁ δαιμόνιος τρόπον ἀνὴρ, παρεσκεύαζε τοὺς φιλοσοφίας ἐρασθέντας, ὅπως μὴ διαψευσθῇ περί τινα τῶν ἐλπιζομένων ἐσεῖσθαι καλῶν κἀγαθῶν.

Epiſtola ad Hipparchum.

POſtquam ex hominum cōſortio Pythagoras deceſſit, nunquam in animum induxi vt diſcipulorum cōgregationem diſperſum iri putarē. Quoniam verò præter ſpem, quaſi à naui magna, Phorcide in deſerto pelago abſtracta, alius aliò delati diſgregati ſunt, ſanctum eſt etiam me diuinorum & grauiſſimorum eius præceptorū memorem eſſe, neque communicare ſapientiæ bona, his qui ne in ſomnio quidem animis mūdati ſunt ac purgati. Non enim fas eſt quibuſuis porrigere, quæ tantis laboribus comparata ſunt, neque enim prophanis duarum Eleuſiniarum Dearum myſteria commemorare. Æquè verò ſunt iniuſti & impij, vtrique qui hæc faciunt. Par eſt autem animo reputare, quàm longum tempus emetientes conſumpſerimus, abijciendis maculis, quæ in pectoribus noſtris inſederant, donec quinque præteritis annis, capaces eius diſputationum ac ſermonum euaderemus. Quemadmodū enim tinctores ea veſtimenta quæ tincturam accipere debent ſtringendo expurgant vt ineluctam tincturam imbibant, & quæ nunquam eximi poſſit, ad eundem modum vir diuinus, præparabat eos qui amore philoſophiæ tenerentur, ne falleretur ab his, quos bonos honeſtóſque futuros eſſe ſpem habuiſſet.

Non enim

Non enim adulte: nam eruditionem tractabat, neque laqueos quibus ſophiſtarum vulgus adoleſcentes implicat, nihil boni aut veri docentes, ſed diuinarum humanarúmque rerum ſcientiam tenebat. Illi verò in prætextum adhibentes eius doctrinam, multa & mirabilia faciunt inerte non recte erudientes adoleſcentibus. Quæ cauſſa eſt quamobrem diſficiles & impudentes efficiant ſuos auditores. Inculcant enim moribus confuſis & turbidis, theoremata & orationes liberales. Quemadmodum, ſi quis in profundum puteum cœno ac luto plenum, infundat puram, & dilucidam aquam, & cœnum perturbat, & aquam ad nihilum redigit, eadem etiam ratio eſt eorum qui ſic docent & docentur. Dei ſi enim ac profundi cæpites circa mentem & cor eorum qui non purè initiantur, nati ſunt quę omnē modeſtiam & manſuetudinem ac rationem obſcurant, in conſpectu quidem & foris aucta. ſunt autem huic cumulum, omnis generis malitiæ, excreſcentes, & impedientes, neque ſinentes proſpicere rationem. Nominabo autem primùm matres earum, recenſens intemperantiā & auaritiam. Ambæ verò ſunt fœcundiſſimæ. Ex Intemperantia igitur progerminant ſcelera, & temulentiæ ac perditiones, & abhorrentes à natura voluptates, atque impetus quidam vehementiores, ad mortē & præcipitia impellentes. Iam enim quibuſdam vim adhibuerunt libidines, vt neque à matribus, neque à filiabus abſtinerent, & violantes legem, patrem, ciuitatem atque regem, & educentes cubitos quaſi captiuos ad extremum exitium vim & violentiam rapiunt. Ex Auaritia progignuntur rapinæ, parricidia, ſacrilegia, veneniorum ſparſiones & quæcunq; ſunt his affinia. Oportet igitur primum Syluas in quibus hi affectus nutriuntur, igni, ferro, & omnib. inſtrumentis expurgare, & rationē ab his affectib. vindicare, ac tum demum boni aliquid miſcere atque tradere. Quæ didiciſti quidem Hipparche ſummo ſtudio, at non executus es ô præclare, poſtquam Siculas lautitias deguſtaſti à quibus vinci ac ſuperari non oportebat. Multi verò dicunt, te publicè etiam philoſophari, quod Pythagoras recuſauit, qui Damæ ſuæ filiæ propoſitis monumentis ac præceptis, vetuit cuiquam extra familiam tradere. Illa verò cùm multis pecuniis ſermones poſſet vendere, noluit. Sed egeſtatem & parentis imperiū iudicauit auro potius & antiquius eſſe. Aiunt autem Damo morientem Baſtiliæ ſuæ filiæ hoc idē præceptum. At nos cùm ſimus viri, non rectè nos erga illum gerimus, ſed conuentorum ſumus tranſgreſſores. Si igitur mutatus fueris, lætabor: ſin minus, obiiſti mihi.

Epiſtola Amaſidis regis Aegypti ad Polycratem Principem Samii amicum ſuum Omnia proſpera & ſecunda.

AMaſis Policrati ſic dicit. Iucundum eſt audire amicum & hoſpitem bene agere. Mihi

οὐ γὰρ λαβυρίνθους ... προέπειτο λόγους ... αἷς οἱ πολλοὶ τῶν σοφιστᾶν τὼς νέους ἐμπλέκοντι. τὸν οὐδὲν χρήσιμον ... λογιζόντες. ἀλλὰ θείων τε καὶ ἀνθρωπίνων πραγμάτων ἐπιστάμων ἦς. οἱ δὲ προσχήματα ποιησάμενοι τὰς τήνω διδασκαλίας, πολλὰ καὶ δεινὰ ποιέοντι, οὐ κατὰ κόσμον, οὐδ' ὡς ἔπρεπε τὼς νέους. τοιγαροῦν χαλεπούς τε καὶ προπετέας ἀπεργάζονται τοὺς ἀκρόατας. ἐγκιρνάντι γὰρ ἤθεσι τεταραγμένοις τε καὶ θολεροῖς θεωρήματα καὶ λόγους ἐλευθέρους. καθάπερ εἴ τις ἐς φρέαρ βαθὺ βορβόρου πλῆρες ἐγχέαι καθαρὸν καὶ διειδὲς ὕδωρ, τόν τε βόρβορον ἀνετάραξε καὶ τὸ ὕδωρ ἠφάνισεν, ὁ αὐτὸς δὲ τρόπος τῶν ἐπιδιδασκόντων τε καὶ διδασκομένων. πυκιναὶ γὰρ καὶ βαθεῖαι λόχμαι περὶ τὰς φρένας καὶ τὰν καρδίαν ἐμπεφύκαντι τῶν μὴ καθαρῶς τὰ μαθήματα μυηθέντων, πᾶν τὸ ἅμερον καὶ πρᾶον καὶ λογιστικὸν ἐπισκιάζουσαι, ... εὐξηθεῖσαι ... δὲ τὰν ... τούτων παντοῖαι κακότητες ἐκβοσκόμεναι καὶ κωλύουσαι καὶ μηδαμαῖς ἐῶσαι ἐξανακύψαι τὸν λόγον. ὀνομάξαιμι δὲ πρᾶτον ἐπελθὼν αὐτῶν τὰς ματέρας, ἀκρασίαν τε καὶ πλεονεξίαν. ἄμφω δὲ πολύγονοι πεφύκαντι. τᾶς μὲν ὦν ἀκρασίας ἐκβεβλάστηκαν ἄθεσμοι γάμοι καὶ μέθαι καὶ φθοραί, καὶ παρὰ φύσιν ἁδοναὶ καὶ σφοδραί τινες ὁρμαὶ μέχρι θανάτου καὶ κρημνῶν ἐκσυνωσαι. ἤδη γάρ τινας ἐπάξασαν ἐπιθυμίαι, μήτε ματέρων μήτε θυγατέρων ἀποσχέσθαι, δὴ παρωσάμεναι νόμον καὶ πατέρα καὶ πόλιν καὶ τύραννον ἐκπεριαγαγοῦσαι τὼς ἀγκῶνας, ὡς αἰχμαλώτους ἐπὶ τὸν ἔσχατον ὄλεθρον μετὰ βίας ἄγουσαι κατέστασαν. τᾶς δὲ πλεονεξίας ἐκπεφύκαντι, ἁρπαγαί τε καὶ πατροκτονίαι, ἱεροσυλίαι, φαρμακεῖαι, καὶ ὅσα τούτων ἀδελφά. δεῖ ὦν τὸ γε πρᾶτον τὰς ὕλας, ἐν αἷς διαιτῆται ταῦτα τὰ πάθη, πυρὶ καὶ σιδάρῳ καὶ πάσαις μηχαναῖς ἐκκαθαίρεντα, καὶ ῥυσάμενον τὸν λογισμὸν ἐλεύθερον τῶν τοσούτων παθέων, τηνίκα φυτεύοντά τι χρηστὸν αὐτῷ παραδιδόμεν. ἃ τὺ ἐμάνθανες μὲν ἱππάρχε μετὰ σπουδᾶς, οὐκ ἐτήρησας δὲ ὦ γενναῖε γευσάμενος σικελικᾶς πολυτελείας, ἇς οὐ χρῆν τὸ δεύτερον. λέγοντι δὲ πολλοί σε καὶ δαμοσίᾳ φιλοσοφέν, ὅπερ ἀπαξίωσε Πυθαγόρας. ὃς γε Δαμοῖ τᾷ αὑτοῦ θυγατρὶ τὰ ὑπομνάματα παρακαταθέμενος, ἐπέσκαψε μηδενὶ τῶν ἐκτὸς τᾶς οἰκίας παραδιδόμεν. ἁ δὲ δυναμένα πολλῶν χρημάτων ἀποδόσθαι τὼς λόγως, οὐκ ἐβουλάθη. πενίαν δὲ καὶ τὰς τῶ πατρὸς ἐπισκάψιας ἐνόμιζε χρυσῶ τιμιωτέρας ἦμεν. φαντὶ δὲ ὅτι καὶ Δαμὼ θνάσκοντι Βιστάλᾳ τῇ ἑαυτᾶς θυγατρὶ τὰν αὐτὰν ἐπισκάψιν ἀπέλιπε. ἄμμες δὲ ἄνδρες ἐόντες, οὐ γνησίως αὐτῷ πειθόμεθα. ἀλλὰ παραβάται τᾶν ὁμολογιᾶν γιγνοίμεθα. εἰ μὲν οὖν μεταβάλοιο, χαρίσομαι. εἰ δὲ μή, τέθνακάς μοι.

Ἐπιστολὴ Ἀμάσιδος βασιλέως αἰγύπτου πρὸς Πολυκράτην ἄρχοντα σαμίου φίλον αὐτοῦ τὰ πάντα εὐτυχοῦντα.

AΜασις Πολυκράτει ὧδε λέγει. ἡδὺ μὲν πυνθάνεσθαι ἄνδρα φίλον καὶ ξεῖνον εὖ πρήσσοντα.

ἐμοὶ δὲ αἱ σαὶ μεγάλαι εὐτυχίαι οὐκ ἀρέσκουσι, τὸ θεῖον ἐπισταμένῳ, ὡς ἔστι φθονερόν. καί κως βούλομαι καὶ αὐτὸς ἔστ' ἂν κήδωμαι, τὸ μέν τι εὐτυχεῖν τῶν πρηγμάτων, τὸ δὲ προσπταίειν. καὶ οὕτω διαφέρειν τὸν αἰῶνα ἐναλλὰξ πρήσσων ἢ εὐτυχεῖν τὰ πάντα. οὐδένα γάρ κω λόγῳ οἶδα ἀκούσας ὅστις ἐς τέλος οὐ κακῶς ἐτελεύτησε πρόρριζος, εὐτυχέων τὰ πάντα. σὺ νῦν ἐμοὶ πειθόμενος ποίησον πρὸς τὰς εὐτυχίας τάδε. φροντίσας τὸ ἂν εὕρῃς ἐόν τοι πλείστου ἄξιον, καὶ ἐπ' ᾧ σὺ ἀπολομένῳ μάλιστα τὴν ψυχὴν ἀλγήσεις, τοῦτο ἀπόβαλε οὕτως ὅκως μηκέτι ἥξει ἐς ἀνθρώπους. ἤν τε μὴ ἐναλλὰξ ἤδη τὠπὸ τούτου αἱ εὐτυχίαι τοι ταῖσι πάθῃσι προσπίπτωσι, τρόπῳ τῷ ἐξ ἐμεῦ ὑποκειμένῳ ἀκέο.

verò tui magni ſucceſſus non placent, qui numen probè noui, quàm ſit inuidioſum. Et quodammodo ipſe, volo, quibus bene cupio, eos in ſuis rebus partim fauente, partim ſiniſtra fortuna vti, & ſic mutatis vicibus æuum tranſigere, non in omnibus fortunato eſſe. Neminem enim me audire memini, qui deinde non malè vitam finierit, priori omniũ ſeculo, fœliciter peracto. Tu mihi nunc morem gere, & aduerſus ſecundam fortunam ita te compara, & operam da vt ſi quid nactus eris precioſiſſimum, & cuius pernicies magnum animo tuo dolorem allatura ſit, & hoc abiice ita vt nõ amplius in hominum manus aut cõſpectũ veniat. & ſi nõ ita viciſſim exinde fœlicitates ad eiuſmodi damnũ reciderint, rationi à me propoſitæ morem gere.

ΕΠΙΣΤΟΛΗ ΜΟΥΣΩΝΙΟΥ.

EPISTOLA MVSONII.

Πανκρατίδῃ.

Καὶ ἐκ τῶν ἀπαγγελλομένων ἡμῖν περὶ σοῦ, καὶ ἐξ ὧν αὐτὸς ἐπέστειλας τοῖς υἱοῖς σου, τεκμαιρόμενος μὴ τὰ αὐτὰ τοῖς πολλοῖς, ἀλλ' ἅπερ οἰκεῖόν ἐστι σὲ φρονεῖν περὶ φιλοσοφίας, προεθυμήθην κατὰ μὲν τὸ παρὸν, συνησθῆναί σοι ἐπ' αὐτοῖς. εἰς δὲ τὸ ἑξῆς, συνεύξασθαι, μὴ ἐφ' ἕτερόν τι αὐτοὺς ἀποκλῖναι, τηροῦντας δὲ ἣν ἔχουσι νῦν προαίρεσιν ἄχρι τέλους φιλοσοφῆσαι. ἵν' αὐτοί τε εὖ ἀπαλλάττωσι καὶ σὲ ὧν ἐκ σοῦ ἔπαθον, ἀμείψασθαι δυνηθῶσι. δυεῖν γὰρ ὡς καθόλου εἰπεῖν οὐσῶν αἰτιῶν, παρ' ἃς ἄνθρωποι εὐτάκτως καὶ ὁδῷ ζῶσιν, ἐμπειρίας τε καὶ ἐγκρατείας πῶς ἂν δυναίμεθα ἢ πρὸς ἑαυτοὺς ἢ πρὸς ἑτέρους ποιεῖν τὰ δέοντα ὑπ' ἀγνοίας ἅμα καὶ ἀκρασίας κατεχόμενοι. ἡ μὲν οὖν τούτων ἀπόλυσις, ἀναγκαίως πάνυ ἔοικε παρ' ἡμῶν ἀπαιτεῖσθαι. πρὸς γὰρ τὸ τεταγμένως καὶ εὐσχημόνως ζῆν γεγόναμεν, τὸν λόγον εἰς τοῦτο ἡμῖν καθάπερ ἐπισκόπου καὶ ἄρχοντος ὑπὸ τῆς φύσεως διδομένου. ἀπολυθῆναι μέντοι ἀγνοίας καὶ ἀκρασίας οὐχ οἷόν τε ἡμᾶς ἄνευ τοῦ ἐπιτρέψαι αὐτοὺς τῇ διὰ τοῦ λόγου ἰατρείᾳ. προσελθοῦσα γὰρ αὕτη καὶ τὸ πρεσβυτικὸν ἐν ἡμῖν ἐκ τῆς παρὰ φύσιν εἰς τὸ κατὰ φύσιν ἀεὶ ἐπιστρέφουσα, τὰς μὲν μοχθηρὰς τῶν κρίσεων τὰς ἐκ τῆς διαστροφῆς ἐγγενομένας, ἐπικόπτειν καὶ ἐξαίρειν ἐκ τῆς ψυχῆς ἀεὶ πειρᾶται, τὰς δ' ὑγιεῖς καὶ ἀκολούθους τῇ φύσει ἀντεισάγειν, ἢ ἀσθενούσας ἀνακτᾶσθαι. ἰσχὺν δὲ αὗται καὶ εὐστάθειαν προσλαβοῦσαι, ὡς χρὴ ἡμᾶς ἐν ἅπασι τοῖς κατὰ τὸν βίον ὁδηγοῦσιν, ὥστε καὶ ὁρᾶν ἀεὶ τὰ ἐπιβάλλοντα ἡμῖν, καὶ σύμφωνα οἷς ἐδοκιμάσαμεν προσάττειν. τοιαῦτα δὲ οὐκ ἐπαγγελλομένης μόνον, ἀλλὰ καὶ παρεχούσης τῆς κατὰ τὴν ψυχὴν ἰατρείας, τίνα ἄν τις δικαιότερον ἐπὶ τὸ βοηθεῖν τοῖς σοῖς παισὶν ἢ σὲ καλέσειεν. ἢ οὐκ εὐδαιμονεῖν μὲν αὐτοὺς προαιρῇ πατὴρ ὢν, ἑτοίμως δὲ ἔχεις πᾶν ὁποιοῦν ὑποστῆναι, ἵνα αὐτοὺς ὁρᾷς ἐν ἀγαθοῖς ὄντας, ἢ οὐκ ἐπὶ ταῦτα καὶ ἐγέννησας αὐτοὺς καὶ ἐξέθρεψας; οὐ τοιαῦτα δὲ διηνεκῶς σὺ περὶ αὐτῶν εὔχῃ τοῖς θεοῖς; ἀρετῆς δὲ καὶ εὐσχημοσύνης βίου

Pancratidæ.

Et ex his quæ ad nos de te hominum ſermone perferuntur, & ex literis quas ipſe tuis filiis mittis, coniecturam faciens non idem quod vulgus, ſed quod par eſt te de philoſophia ſentire, in præſentia quidem gratulari tibi ob eam cauſſam ſtatui, in poſterum verò ſimul vota facere, ne ad aliud quippiam illi deflectant, ſed hoc propoſitum quod nunc habent, conſeruantes ad finẽ vſque philoſophentur, vt & ipſi bene diſcedãt, & pro tuis in ſe collatis beneficiis gratiã tibi referre poſſint. Cùm enim duæ ſint in vniuerſum cauſſæ, quibus homines rectè & via quadam vitam inſtituũt, peritia & temperãtia, quomodo poſſimus, aut erga uoſmetipſos, aut erga alios officiũ facere, inſcitia ſimul & intemperantia præditi. Harum igitur liberatio, neceſſariò videtur à nobis requiri. Nam ad modeſtè ac ritè viuendum nati ſumus, ratione nobis ad hoc nobis quaſi Epiſcopo ac principe à natura data. Inſcitia vero & intemperantia nos poſſumus liberari, niſi rationis medicinæ & curationi nos committamus. Hæc enim procedens & quod primum eſt in uobis à diſſonantia naturali, ad naturam ſemper conuertens, praua iudicia, & ex peruerſitate inſita, reſecare & euellere ſemper ex animo conatur, contrà verò ſana & cum natura conſentientia introducere, aut imbecilla recreare. Hæc verò poſtquam robur & conſtantiam acceperunt, in omni vita nobis officij viam præmonſtrant, vt etiam videamus ſemper quid fieri oporteat, & his quæ comprobamus conſentanea faciamus. Hæc cùm non ſolùm promittat ſed etiam præſtet animi medicina, eccuius auxilium, aliquis iuſtius tuis liberis implorauerit quàm tuum, aut non cupis eis bene conſultum, pater cùm ſis, & ad quiduis ſubeundũ paratus es, vt eos in bonorũ numero cõſpicias. aut nõ ad hæc & genuiſti ipſos & educaſti, non autem idcirco cõtinenter pro iis vota diis immortalibus facis. Virtutem autem & vitæ honeſtatem colens

colens, non velis tuos liberos videre temperātes in cibo ac potu & continentes ſub ventre, vt ad procreationem ſobolis tantummodo cùm opportunū eſt, generatiuis partibus vtantur, & exiguo ſomno ad requieſcendum contentos, veſtibus inornatis & non fucatis, ſed puris & ad tegendum ea quæ natura tecta eſſe vult, aptis indutos. Vultum autem & greſſum eorum pudore ac prudentia notatum, vt nemo audeat in eorum cōſpectu, aut facere, aut dicere aliquid indecorum. Atque in promptu eis eſſe, cùm velint & opus ſit, cùm toto corpore, tum qualibet eius parte, ad eam rem cuius cauſſa nata eſt, vti? Non autem velis eos ſpeculantes diuina & humana erga deos pietate ac ſanctitate modeſtè ſe gerere, erga homines iuſtitia & ſanctimonia? & patriam parentibus anteferre, quod etiam ipſi volent parentes ſi ſapiant. Et parentes familiaribus & cognatis, atque inter ipſos potes primum honorem habere patri, expoſtulare aut conqueri de ipſis vtrunque nefarium ducere. Gratiam autem referre pro officiis præſtitis, grato & memori animo neceſſarium putare, quod hoc modo duntaxat poſſint rependere vetera beneficia nouis numulata. Item promptos eſſe ad eos propugnandos & pro ipſis ſi neceſſitas poſtulet, mortem adeundam. Nōnunquam etiam indignationē, nō verba ſolùm, ſed etiam plagas & vulnera, quamuis ab ira, non ratione proficiſcantur, placato animo excipere, neque ſibi tunc, ſed magis parentibus metuere, ne ipſi ex ira in malum aliquod incidant. Quid verò non ſuſtineas vt audire de ipſis poſſes, quòd eandem hanc domum per omnem vitam habituri eſſent ſeipſis verò & ſuis in commune relatis concorditer ætatē agere, vt & ſtudiis & remiſſionibus iiſdem vterētur. Aut hæc omnia illis ineſſe velis, morte verò & laborib. atq; opinione non velis ſuperiores eſſe, quib. obſtrictū vulgus, quocūq; ipſorū robore peruenerint quaſi abiectū aliquod, & vile mancipiū, agitur fertúrque. Quod verò natura vulgus eſt, facilius eſt prioribus, noſtro verò tempore, peruerſitate quam ſequitur, euaſit difficilius. Non optaris ipſis hoc ineſſe, vt omnia metiantur argento, atque ſe potiùs, parentes & liberos, quàm pecunias prodere. Sed poſſeſſionibus ac facultatibus tantùm operam dare, quam cùm neceſſitas exigit, ad ſuos ſuorúmque familiarium vſus. Theſauros verò & auaritiam quæ modum excedit, contemnere, quibus priuatim & communiter ad multa nefariaque ſcelera impelluntur. Sed hæc quidem optanda. Non autem æquè optandum, vt ipſi imperium gerere, & iudicia ſecundùm leges, & iuſtitia gubernare poſſint? Atque conſentientes tum ſibi ipſis, tum ſibi mutuò, & in iis quæ faciunt, & in iis quæ loquuntur, vitam agant, quæ ſemper eruditionem & ſapientiam amplectatur, atque rationem mente & optima ſentiendo cōfirmet, & ſi tempus poſtulet in opus producat. Et illa primas teneat, cùm volunt propugnare ſacra, patriam, parentes, amicos, veritatem, leges & vt breuiter dicam, eos qui iniuriam patiuntur. Neque enim, neque quenquam alium arbitror modo ſana

αὐτοποιουμένους, οὐκ ἂν ἐθελήσαις ὁρᾶν τοὺς ἑαυτοῦ παῖδας, εὐτάκτους μὲν ἐν ἐδωδαῖς καὶ πόσεσι, κρατοῦντας δὲ τῶν ὑπὸ τὴν γαστέρα ὡς πρὸς σπορὰν μόνον τέκνων, ὅταν εὔκαιρον ᾖ, τοῖς γεννητικοῖς μέρεσι χρῆσθαι, καὶ ὀλίγῳ μὲν ὕπνῳ πρὸς ἀνάπαυσιν ἀρκουμένους, ἐσθῆτι δὲ ἀπεριέργῳ καὶ μὴ ἐψιμυθιωμένῃ, ἀλλὰ καθαρᾷ, καὶ πρὸς τὸ ἐκ τῆς φύσεως εἰς τὸ σκέπειν ἀπαιτούμενον ἡρμοσμένῃ ἠμφιεσμένους. βλέμμα δὲ εἶναι καὶ βάδισμα αὐτῶν αἰδοῖ καὶ φρονήσει κεχαρακτηρισμένον, ὡς μὴ ἄν τινα θαρσῆσαι ἐπ' αὐτῶν ἢ ποιῆσαί τι ἢ εἰπεῖν ἄκοσμον. ἐν ἑτοίμῳ δὲ εἶναι αὐτοῖς ὁπότε βουληθεῖεν καὶ δέοι, ὅλῳ τε τῷ σώματι καὶ παντὶ μέρει αὐτοῦ εἰς ὃ πέφυκε χρῆσθαι; οὐκ ἂν δὲ ἐθελήσαις αὐτοὺς ἐπισκεπτομένους τὰ θεῖα καὶ τὰ ἀνθρώπινα, πρὸς μὲν θεοὺς εὐσεβείᾳ καὶ ὁσιότητι κοσμεῖσθαι, πρὸς ἀνθρώπους δὲ δικαιοσύνῃ καὶ ὁσιότητι; καὶ πατρίδα μὲν γονέων προτιμᾶν, καὶ αὐτῶν τῶν βουλομένων τῶν γονέων εἴπερ σωφρονοῖεν; γονεῖς δὲ τῶν οἰκείων καὶ συγγενῶν, αὐτῶν δὲ τῶν γονέων τῷ πατρὶ τὸ πρεσβεῖον ἀπονέμοντας; τὸ μὲν αἰτεῖν ἢ μέμφεσθαι θατέρου αὐτῶν ἀσεβὲς ἡγεῖσθαι. τὸ δὲ ἀμείβεσθαι ὑπὲρ τῶν προϋπηρετημένων εὐχάριστον καὶ μνημονευτικῇ διαθέσει ἀναγκαῖον. ὡς ἂν μόνως οὕτως ἐκτίνειν δυναμένους παλαιὰς χάριτας ἐπὶ νέαις δανεισθείσας. ἑτοίμως δ' ἔχοντας ὑπερμαχεῖν αὐτῶν καὶ δι' αὐτοὺς εἰ δέοιτο ἀποθνήσκειν. ὁπότε δὲ χαλεπαίνοιεν μὴ ῥήματα μόνον, ἀλλὰ καὶ πληγὰς καὶ τραύματα ἀπ' ὀργῆς οὐ διαθέσεως φερόμενα, πράως ἐνδέχεσθαι. οὐχ ὑπὲρ ἑαυτῶν τι, ἀλλ' ὑπὲρ τῶν γονέων εὐλαβῶς ἔχοντας, μὴ ἐκ τοῦ διατεθῆναι αὐτοί τι κακὸν πάθωσι. τί δ' οὐκ ἂν ὑπομείναις ὥστε πυθέσθαι περὶ αὐτῶν, ὅτι τὸν αὐτὸν μὲν οἰκήσουσι διὰ βίου οἶκον. ἑαυτοὺς δὲ καὶ τὰ ἑαυτῶν ἐν κοινῷ θέμενοι διατελέσουσιν ὁμονοοῦντες, ὡς καὶ σπουδαῖς καὶ ἀνέσεσι τῶν αὐτῶν χρῆσθαι. ἢ ταῦτα μὲν ἐθελήσαις ἂν αὐτοῖς ὑπάρξαι. θανάτου δὲ καὶ πόνου καὶ δόξης οὐκ ἂν βέλτιον αὐτοὺς ὑπερέχειν ἦ; οἷος ὁ πολὺς καταδεδουλωμένος ὅποι ἂν ἀνῇ τῷ δι' αὐτῶν κρατοῦντι, ὥσπερ τι ἄτιμον καὶ ἀνδράποδον ἄγεταί τε καὶ φέρεται. τὸ δὲ τῇ φύσει μὲν πολύ, ῥᾳδιώτερον τῶν προτέρων. ἐν δὲ τοῖς καθ' ἡμᾶς χρόνοις, ὑπὸ τῆς ἐπὶ τοσαῦτα κατεχούσης διαστροφῆς γέγονε δυσχερέστερον. οὐκ ἂν δ' εὔξαιο αὐτοῖς ὑπάρξαι, ὥστε μὴ ἀργυρίῳ αὐτοὺς πάντα μετρεῖν καὶ αὐτοὺς μᾶλλον καὶ γονεῖς καὶ τέκνα ἢ χρήματα προΐεσθαι. ἀλλὰ κτήσεως μὲν ἐπιποιεῖσθαι ἐφ' ὅσον ἀναγκαῖον, διὰ τὰς εἰς αὐτοὺς καὶ τοὺς οἰκείους αὐτῶν χρείας. θησαυρισμῶν δὲ καὶ τῆς πλεονεξίας περὶ τὸ ἀργύριον ὑπερφρονεῖν. ὑφ' ὧν ἰδίᾳ τε καὶ κοινῇ εἰς κακὰ ἐπάλληλα καὶ ἀνήκεστα ἄνθρωποι ἐκφέρονται. ἀλλὰ ταῦτα μὲν εὐκτά. οὐκ εὐκτὸν δ' οὐχ ἧττον, ἄρχειν αὐτοὺς καὶ δικάζειν δύνασθαι κατὰ νόμους καὶ τὸ δίκαιον, καὶ τὸ συμφωνοῦντας ἑαυτοῖς τε καὶ ἀλλήλοις καὶ ἐν οἷς πράττουσι καὶ ἐν οἷς λέγουσι, τὸν μὲν βίον ἔχειν ἀεὶ προσαυριζόμενον τοὺς λόγους. τὸν δὲ λόγον τῷ καὶ τῷ φρονεῖν τὰ ἄριστα βεβαιούμενον. καὶ εἰς προφορὰν ὅταν ᾖ καιρὸς ἐκφερόμενον. καὶ τὸ δ' ἡγεῖσθαι, ἐπειδὰν ὑπερμαχεῖν μέλλωσιν ἱερῶν, πατρίδος, γονέων, φίλων, ἀληθείας, νόμων, καὶ συλλαβόντι εἰπεῖν τῶν ἀδικουμένων. οὔτε γὰρ σὲ οὔτε ἕτερόν τινα οἴομαι, εἴπερ εὖ

φρονοίη, ὡς πολιτικὸν δοκιμάζειν λόγον τὸν μὴ εἰς ταῦτα, ἀλλ' εἰς τἀναντία ἐντεινόμενον. εἰ δ' εἶναι καὶ εὐκτὰ ταῦτα καὶ αἱρετά, πῶς οὐ καὶ τὸ φιλοσοφεῖν θείη ἄν τις καὶ εὐκτὸν καὶ αἱρετόν. δι' οὗ μόνου περιγίνεται ταῦτα. φιλοσοφεῖ μὲν γὰρ ὁ τοῦ ἐν καθαρότητι τοῦ λόγου ἐπιμελούμενος, καὶ ἐπιτηδεύων λόγον ὀρθόν. ὁ δὲ ἐπιμελούμενος λόγου, ἑαυτοῦ τε ἅμα ἐπιμελεῖται, καὶ πατρίδος καὶ πατρὸς καὶ ἀδελφῶν, καὶ φίλων, καὶ συλλαβόντι εἰπεῖν πάντων. θεωρεῖν γὰρ ἡ φύσις κόσμου καὶ τῶν ἐν αὐτῷ κατασκευάσασα, διὰ τοῦ μεταδοῦναι ἡμῖν λόγου, κοινοῦ μὲν ὄντος πρὸς ἐκείνους, ἰδίου δὲ παρὰ τὰ ἄλλα ζῷα, ἀξιοῖ ἡμᾶς τοὺς μὲν θεοὺς καθάπερ τινὰς ἀρίστους καὶ πρώτους ἡγεμόνας καὶ κοινοὺς εὐεργέτας τῶν ἡμῶν καὶ γονεῖς ζηλοῦν τε καὶ ἀμείβεσθαι, διὰ τῆς πρὸς αὐτοὺς εὐπειθείας. ἀνθρώποις δὲ καὶ κατὰ τὸ κοινὸν καὶ κατὰ τὰς ἰδιαιτέρας γινομένας ἐπιπλοκὰς καὶ κηδεμονικῶς καὶ εὐποιητικῶς προΐστασθαι. Ἐπειδὰν δὲ νόμῳ καὶ δίκῃ συγκεράσωμεν τὰ ἀνθρώπινα καὶ τὰ θεῖα φησὶν ἄκρως μὲν κατὰ φύσιν ἡμᾶς διατεθῆναι ὥς τε τελείους γεγονότας. καὶ ἐπὶ τὰ ἀνώτατα προελθόντας νόμον καὶ δίκην, οἷαι καὶ τὰ θεῖα οἰακίζεταί τε καὶ μακάρια γίγνεται. τοιούτους δ' ὄντας διά τε τῶν λόγων καὶ τῆς κατ' αὐτῶν χρηματιζομένης ἤθους ὀρθότητα καὶ βιώσεσθαι εὐδαιμόνως καὶ καταστρέψειν τὸν βίον εὐδαιμόνως. ὥσπερ τι δρᾶμα εὖ συντεθειμένον ἀπ' ἀρχῆς μέχρι τέλους ἀστείως ὑποκρινομένους καὶ ἀπαρτίσαντας. Θαρρῶν οὖν ὦ Παγκρατίδη μὴ ἐπίτρεπε μόνον, ἀλλὰ καὶ παρακάλει τοὺς παῖδας φιλοσοφεῖν. καὶ πασῶν ἁρμοδιωτάτην παρρησίαν παρασκεύαζε. ἐξέσται γάρ σοι τοιαῦτα προελομένῳ, καὶ πρὸς τοὺς ἐξ αἵματος ὑμῖν δικαίους ὄντας λέγειν, ὅτι οὐ τέκνα μόνον εἰς τὸ γένος, ἀλλὰ καὶ τοιάδε τέκνα εἰσήγαγες. καὶ πρὸς τὴν πατρίδα ὅτι οὐχ οἵους ἔτυχε μόνον ἀνθρώπους αὐτῇ, ἀλλὰ καὶ οἵους δεῖ πολίτας παρέστησας. εἰ δὲ θαρρήσετε κοινῇ καὶ πρὸς τὴν ἑαυτοῦ τε καὶ ἀλλήλων θεραπείαν, ὡς ἄξιόν ἐστι διεγείραντες τὰς ψυχάς, εὐθὺς μὲν ἐν τῇ ἀγωνοθεσίᾳ τοῦ θεοῦ συμφιλοσοφήσετε ἀλλήλοις, οὐ μόνον τὰ νομιζόμενα παρασκευάζοντες αὐτῇ, ἅπερ ἐκ βαλαντίου ψιλοῦ γίγνεται, ἀλλὰ καὶ οὗ ἕνεκεν νενόμισται ἀκολουθοῦντες τῇ ἱερᾷ καὶ ἀρχαίᾳ παραδόσει. ὅπερ ἐκ μόνης τῆς εὐσεβοῦς καὶ φιλοσόφου περιγίνεται διαθέσεως. καὶ ἀπὸ τῆς ἐν τῷ ἀγῶνι εὐταξίας ἐπὶ τὸν κοινὸν ὑμῖν τε καὶ πᾶσιν ἡμῖν ἀγῶνα ἐκστήσεσθε, οὐδὲν μὲν τῶν κατὰ φύσιν ἀφαιρούμενον. μόνα δὲ τὰ λύπης καὶ θορύβου αἴτια ἡμῶν περιαιροῦντα. ἐν ᾧ ἀγῶνι ἡττηθῆναι μὲν ἀνάγκη τὸν ἀπαρασκεύαστον. ἡττηθέντα δὲ ἐκπεσεῖν χρὴ εἰς δουλείαν καὶ κακοδαιμονίαν, ἣν οὐδ' ἐξομόσασθαί τινι ἡμῶν συγκεχώρηται. κρατούμεθα γὰρ ἐν αὐτῇ, ὑπό τε τῶν ἀϊδίων καὶ τῶν τῆς φύσεως καὶ ὑπὸ τῶν θείων νόμων, εὐτακτεῖν ἑκάστῳ καὶ ζῆν δικαίως ἅμα καὶ ὁσίως προστασσόντων. Ταῦτα οἶμαί σε ὡς παρὰ πατρὸς παίδων πατέρα προσδεξάμενον, αὐτόν τε ἄμεινον ἕξειν καὶ τοῖς υἱοῖς εἰς τὰ ἄριστα συλλήψεσθαι. ἀσπάζομαί σε καὶ διὰ τἄλλα καὶ διὰ τὴν εἰς ἡμᾶς εὔνοιαν. ἴσθι ὑπ' ἐμοῦ στεργόμενος. τοιούτων δὲ καὶ ἑτέρων φιλοσοφοῦντες εὐπορήσετε φίλων.

ΤΕΛΟΣ.

mente ſit, qui ad regendas, Reſpublicas aptam rationem probaturum, quæ non ad hæc, ſed ad cōtraria tendat. Si igitur & optanda ſunt hæc & expetenda, quid obſtet quo minùs etiam philoſophādi rationem & optandam & expetēdam exiſtimemus, qua ſola hæc comparātur. Philoſophatur enim qui purgandæ rationis curam gerit, & rectæ rationi ſtudet. Qui verò rationis curam gerit, & ſuipſius curā habet & patriæ & patris atque fratris, amicorum, & vt ſummatim dicam, omnium. Etenim natura mundi & eorum quæ in hoc inſunt ad ſe conſiderandam nos rapiens, eo quod nobis impertit, rationē, cum ipſis quidem communem, propria verò à reliquis animalibus, vult vt deos quidem tanquam optimos quoſdam & primarios duces atque communes noſtrûm, tum benefactores, tum parentes amemus, & retribuamus ipſis obedientiam, hominibus verò & communiter, & in arctioribus coniunctionibus cū cura & virtute præſimus. Poſtquam verò legibus & iudiciis miſcuerimus diuina atque humana, extremò ac ſummè ſecundum naturam viuamus tanquā perfecti iam facti & ad ſuprema progreſſi, legem & iudicium, quale & numina adminiſtrant & beata ſunt. Ita verò pro rationis & formatorum ſecundū illam morum rectitudinē, & vitam agamus fœliciter, & vitā cū morte cōmutem*, fœliciter, quaſi drama quoddā egregiè & rectè cōpoſitū ab initio vſq; ad finem pulchrè ludentes atq; abſoluētes. Proinde bono & confidenti animo, non ſolum ô Pancratida perā itte, verùm et à adhortare tuos filios ad Philoſophiā amplectendam, & omniū conuenientiſſimā loquēdi libertatē para. Si.n. hęc inſtitueris & approbaris, licebit tibi & ad eos qui vos cognatione attingunt, dicere, te non ſolùm liberos in genus, ſed etiā tales liberos induxiſſe, & ad patriā te nō ſolū qualeſcunque homines ei, ſed etiam iuſtos & moderatos ciues ei præbuiſſe. Quòd ſi confidetis communiter, & cùm ad ſui quiſque, tum ad mutuam inuicem curam animos excitabitis, ſtatim quidē in faciendis ludis Dei mutuò philoſophiam tractabitis, non tantùm hæc iuſta eis tribuentes, quæ ex tenui marſupio ſumuntur, verùm etiā quam ob cauſſam inſtituti ſunt, ſanctum & vetuſtum inſtitutum ſequentes, quòd ſola pia & philoſophica mentis affectione præſtari poteſt. Et ab ea moderatione atq; modeſtia quæ in ludis ſpectatur, ad commune vobis & omnibus certamen conuertemini, quod nihil quidem naturæ detrahit aut repugnat, ſolis verò dolorum & perturbationū cauſſas aufert, in quo certamine, vinci quidem & occumbere neceſſe eſt imparatum, victum autē oportet excidere in ſeruitutem & infœlicitatem, quam ne abiurare quidē vlli noſtrûm conceſſum eſt. Vincimur enim in ea, ab ſempiternis, & naturæ atque latis legibus, quæ vnicuique ſuum negotium agere, & viuere iuſtè ac ſanctè mandant. Hęc arbitror te quaſi à patre liberorum patrem accipientem & ipſum melius habiturum, & ad optima quæque liberis auxilio futurū. Saluto te cùm aliis de cauſſis, tum propter tuam in nos beneuolentiam. Scias te à me diligi. Eiuſmodi verò etiam alios plurimos amicos habebitis, ſi philoſophiæ operam dederitis.

FINIS.

A0 1 146 7435

Digitized by Google

1132

Digitized by Google